Aristotle

COMMENTARIA IN ARISTOTELEM GRAECA

PA
3902
A25
1882
v.21
pars 1-2

EDITA CONSILIO ET AUCTORITATE

ACADEMIAE LITTERARUM REGIAE BORUSSICAE

VOLUMINIS XXI

PARS I EUSTRATII IN LIBRUM SECUNDUM ANALYTICORUM POSTERIORUM

BEROLINI
TYPIS ET IMPENSIS GEORGII REIMERI
MCMVII

EUSTRATII
IN ANALYTICORUM POSTERIORUM
LIBRUM SECUNDUM
COMMENTARIUM

CONSILIO ET AUCTORITATE

ACADEMIAE LITTERARUM REGIAE BORUSSICAE

EDIDIT

MICHAEL HAYDUCK

US
Archbp. of W
199908
15/1/26

BEROLINI
TYPIS ET IMPENSIS GEORGII REIMERI
MCMVII

PRAEFATIO

Eustratii[1]) in Aristotelis Analyticorum Posteriorum librum secundum commentarium primus edidit Paulus Manutius Venetiis anno MDXXXIIII, codice usus Marciano 257, quod ex summo librorum consensu apparet. tituum inscripsit fol. 1[r] Εὐστρατίου ὑπόμνημα εἰς τὸ δεύτερον τῶν Δευτέρων Ἀναλυτικῶν τοῦ Ἀριστοτέλους, et in extremo libro addidit *Venetiis, in Aedibus haeredum Aldi Manutii Romani, et Andreae Asulani soceri, Mense Decembri MDXXXIIII.* commentarium foliis 1[r]—67[r] continetur.[2])

Novam editionem paranti mihi praeter Aldinam (a) duo omnino codices a
praesto fuerunt, qui sunt

I Venetus Marcianus 257 (A), quem supra dixi, chartaceus forma A
quadrata, foliorum 283, saeculi circiter XII secundum Zanetti p. 127; rectius Morelli p. 144 saeculo XIV eum adtribuit (v. Ivo Bruns, *Suppl. Aristotelicum* II 2 p. xxxvi). Eustratii commentarium foliis 87[v]—187[v] continetur. tituli loco versus exhibet hos: Εὐστρατίοιο πόνος τάδε πρωτοέδροιο νικαίης. Κρύψιν ἀριστοτέλους ἀσαφείης ἐξανελίσσων. Τὴν τεκτήνατο κεῖνος ἀναλυτικῶν ἐνὶ λοίσθω. Ἔνθα κεν ἀμφὶ μέσου καὶ ὅροιο πνὺτὰ διδάσκει. Τόσσου μέχρι προήκων, ὄφρ' ἀποδείξει ἐώκει. — contulit W. Rabehl Berolinensis, vir doctissimus.

II Escorialensis Φ—I—14 (E) chartaceus forma maxima, saeculi XVI. E

---

[1]) De Eustratio v. *Krumbacher, Geschichte der Byzantinischen Literatur* [2] 430: „Eustratius, Metropolit von Nicaea, ca. 1050—1120, schrieb außer zwei Reden gegen die armenische Häresie und andern theologischen Sachen Kommentare zur Nikomachischen Ethik [I et VI, cf. G. Heylbut, Comm. in Arist. Gr. vol. XX Praef.] und zum II. Buche der Analytik.“ de vita eius v. *J. Sakkelion*, Ἀθήναιον IV (1875) p. 221—233 et *Jac. Bernays, Ges. Abh. I (1885) p. 158 sq.*, de scriptis theologicis *Krumbacher l. l. p. 85, Io. Dräseke, Archiv für Geschichte der Philosophie IV (1891) p. 247 sqq.* et *Byz. Zeitschrift V (1896).*

[2]) Numeri 1—133 in dextro margine huius libri adscripti Aldinae non folia, ut assolet, sed paginas indicant; cuius erroris veniam me spero impetraturum esse.

Eustratii commentarium in foliis 10r—158r scriptum est. initium eius usque ad vv. ἡ ἐπιγραφὴ συνῳδός (p. 1,13 h. ed.) desideratur; porro deficit p. 96,15 post ὀνοματώδους pergitque rursus p. 119,4 a vv. εἰ δέ σοι μέλει. — contulit M. Wellmann Potisdamensis, vir doctissimus.

Escorialensis a Marciano ita discrepat, ut eos codices artiore propinquitate inter se contingere haud dubie negandum sit. ceterum ex bono libro descriptus non raro meliorem quam Marcianus lectionem exhibet.

Eiusdem codicis folia 1r—9v anonymi interpretis in primum librum Analyticorum Posteriorum commentarium continent, quod ab Eustratii doctrina quidem et subtilitate alienum, re ipsa autem eius commentario quasi vicinum et finitimum non indignum visum est, quod infra velut additamentum praefationis ederetur. descripsit in nostrum usum R. Laqueur Argentoratensis, vir doctissimus.

Scriptum Berolini
mense Junio MCMVII MICHAEL HAYDUCK.

SUPPLEMENTUM PRAEFATIONIS

ΕΙΣ ΤΟ ΠΡΩΤΟΝ ΤΩΝ ΔΕΥΤΕΡΩΝ ΑΝΑΛΥΤΙΚΩΝ.

Anonymi 1r

Σκοπός ἐστιν ἐνταῦθα τῷ Ἀριστοτέλει περὶ τοῦ ἀποδεικτικοῦ καὶ ἐπιστημονικοῦ διδάξαι συλλογισμοῦ, οὗ χάριν καὶ τέλους ὄντος πάσης τῆς λογικῆς πραγματείας καὶ τὰ πρὸ αὐτοῦ πάντα ἐδίδαξε. προετάγη δὲ ἡ παροῦσα πραγματεία τῆς διαλεκτικῆς, διότι αὕτη μὲν περὶ τὸ ἀναγκαῖον καταγίνεται, ἐκείνη δὲ περὶ τὸ πιθανόν (αἱ γὰρ προτάσεις αἱ παρ' αὐτῆς λαμβανόμεναι ἔνδοξοι καὶ πιθαναί εἰσι), τὸ δὲ πιθανὸν καὶ ἀληθείας μετέχει καὶ ψεύδους. οἷον ὅτι ἡ ὑγεία ἀγαθόν ἐστιν, ἔνδοξός ἐστι· δοκεῖ μὲν γὰρ οὐκ ἀγαθὸν διὰ τὸ ἐξεῖναι χρῆσθαι αὐτῇ καὶ εὖ καὶ κακῶς ὡς καὶ τῷ πλούτῳ. τὸ δ' ἀναγκαῖον ἀεὶ ἀληθές ἐστιν ὡς καὶ τὸ αὐτόπιστον ἔχον. τιμιώτερον δὲ τὸ ἀεὶ ὂν ἀληθὲς τοῦ ποτὲ μὲν δοκοῦντος τοιούτου, ποτὲ δὲ μή. καὶ ἡ μὲν πραγματεία ἡ περὶ τῆς συλλογιστικῆς μεθόδου διαλαμβάνουσα, ἣ καὶ εἰς τρία τμήματα διῄρηται, εἰς τὰ τρία σχήματα, εἰς τὸ περὶ εὐπορίας προτάσεων, καὶ εἰς τὸ περὶ ἀναλύσεως συλλογισμοῦ, ἐπιγέγραπται Ἀναλυτικὰ ἐκ τοῦ τιμιωτέρου μέρους· εἰώθαμεν γὰρ πολλάκις τὸ ὅλον ἀπὸ τοῦ τιμιωτέρου μέρους ἐπονομάζειν ὡς τὸ 'Τεῦκρε, φίλη κεφαλή'· τιμιώτερον γάρ ἐστι τὸ ἀναλύειν τοῦ συντιθέναι, καθόσον καὶ οἱ χυδαῖοι συντιθέντες προτάσεις συλλογίζονται, ἀναλύειν δὲ τὸν συλλογισμὸν οὐ δύνανται· τοῦ γὰρ ἐπιστήμονος τοῦτο. καὶ ἐν μὲν τοῖς τρισὶ σχήμασι διδάσκει, πῶς δεῖ συντιθέναι τὰς προτάσεις καὶ ποιεῖν συλλογισμόν, ἐν δὲ τῷ περὶ ἀναλύσεως, πῶς δεῖ ἀναλύειν τὸν συλλογισμὸν καὶ τὸν μέσον εὑρίσκειν. καὶ ταῦτα μὲν οὕτως Ἀναλυτικὰ ἐπιγέγραπται· ἡ δὲ ἀποδεικτικὴ ἐπιγέγραπται | Ἀναλυτικὰ οὐχ οὕτως· οὐδὲν γὰρ τῶν πρὸ αὐτῆς τιμιώτερον 1v
ταύτης· ἀλλ' ἐπιγέγραπται οὕτως αὕτη, καθόσον καὶ ὁ μέσος ὅρος ἐν αὐτῇ εὑρίσκεται ἀπὸ ἀναλύσεως καὶ αἱ ἀρχαὶ αὐτῆς καὶ αἱ ἄμεσοι προτάσεις. ἢ Ἀναλυτικὰ ἐπιγέγραπται ἀπὸ τοῦ ἀνέρχεσθαι ἡμᾶς δι' ἀναλύσεως ἀπὸ τῶν αἰτιατῶν ἐπὶ τὰ αἴτια, ἐξ ὧν ἐστι τοῖς αἰτιατοῖς καὶ τὸ εἶναι καὶ τὸ γινώσκεσθαι. οἷον ἡ σελήνη ἐκλείπει, τὸ ἐκλεῖπον ἀντιφράττεται, ἡ σελήνη ἄρα ἀντιφράττεται· τοῦτο ἀνάλυσις ἀπὸ τοῦ αἰτιατοῦ, ἤγουν τῆς ἐκλείψεως,

3 πείσης E 18 ἀναλύ E 19 τοῦτο scripsi: ταυτό E

εἰς τὸ αἴτιον, ἤγουν τὴν ἀντίφραξιν. εἶτα ἡ ἀπόδειξις ἡ ἀπὸ τοῦ αἰτίου κατιοῦσα, οὕτω πως ἀνείρουσα· ἡ σελήνη ἀντιφράττεται, τὸ ἀντιφραττόμενον ἐκλείπει· ἡ σελήνη ἄρα ἐκλείπει.

Λέγεται δὲ ἡ ἀποδεικτικὴ ἐπιστήμη ὄργανον, ἐξ ἧς καὶ τὸ ὅλον βιβλίον Ὄργανον ἐκλήθη. τῆς γὰρ φιλοσοφίας μέρη εἰσὶ τὸ θεωρητικὸν καὶ τὸ πρακτικόν, καὶ τοῦ μὲν θεωρητικοῦ τέλος τὸ ἀληθές, ᾧ τὸ ψεῦδος ἀντίκειται, τοῦ δὲ πρακτικοῦ τὸ ἀγαθόν, ᾧ τὸ κακὸν ἀντίκειται. καὶ εἰ μὲν ἡ ψυχὴ ἦν ἐκτὸς σώματος, οὐκ ἄν ποτε περὶ ταῦτα ἐπεπλάνητο· οὖσα δὲ ἐν σώματι καὶ ὑπὸ τούτου βαρουμένη καὶ τῶν τούτου κακῶν κατὰ σκότον ἠλάσκεται, καὶ οἴεται πολλάκις τὸ κακὸν ἀγαθὸν καὶ τὴν ἡδονὴν ἐπιζητεῖ ὡς ἀκρότατον ἀγαθόν. ὡσαύτως καὶ τὸ ψεῦδος οἴεται ἀληθές· δοξάζουσα γὰρ τὸν θεὸν πάντα δύνασθαι, οἴεται καὶ τὰ κακὰ δύνασθαι ποιεῖν, ὃ μὴ γένοιτο. τὰ γὰρ κακὰ οὐ δυνάμεις λέγονται, ἀλλὰ ἀδυναμίαι· μὴ γὰρ δυνάμενοι ἐμμένειν ἐν τοῖς ἀγαθοῖς καὶ προκόπτειν ἐν αὐτοῖς, ἐκπίπτοντες τῆς εἰς τὸ ἀγαθὸν προκοπῆς ἐμμένομεν τοῖς φαύλοις. ἵνα οὖν μὴ περιπλανᾶται ἡ ψυχὴ περὶ τὴν κρίσιν τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ, καὶ τῆς ἀληθείας καὶ τοῦ ψεύδους, παρέδωκεν ἡμῖν ὡς ὄργανον τὴν ἀπόδειξιν, δι' ἧς διακρίνομεν τὸ ἀγαθὸν ἀπὸ τοῦ κακοῦ καὶ τὴν ἀλήθειαν τοῦ ψεύδους, ὥσπερ καὶ ὁ ἀρτοποιὸς χρῆται ὡς ὀργάνῳ τῷ κοσκίνῳ καὶ διακρίνει | τὸν σῖτον τῆς ἄρας 2r καὶ τῆς κριθῆς, καὶ ὁ τέκτων χρῆται τῇ στάθμῃ τῶν τε καμπύλων ξύλων καὶ τῶν ὀρθῶν εἰς διάκρισιν, καὶ οἰκοδόμος τῇ καθέτῳ εἰς διάκρισιν τῶν ὀρθῶν τοίχων καὶ τῶν μὴ τοιούτων. Ὕστερα δὲ λέγονται αἱ δύο πραγματεῖαι τῆς ἀποδεικτικῆς διὰ τὸ ταχθῆναι ὕστερα τῶν εἰς τὴν διδασκαλίαν αὐτῆς χρησιμευόντων. πρῶτον δὲ ἐτάχθη ἡ παροῦσα πραγματεία, διότι αὕτη μὲν διδάσκει περὶ προτάσεων, ἐκείνη δὲ ποταπὸν δεῖ εἶναι τὸν μέσον ὅρον ἐν τῇ ἀποδείξει, ὃ καὶ δυσχερεστέραν ἔχει τὴν ζήτησιν· τὰ δὲ ἁπλούστερα ἀεὶ τῶν δυσχερεστέρων προτάττεται.

p. 71a1 Πᾶσα διδασκαλία καὶ πᾶσα μάθησις διανοητική.

Ἡ διδασκαλία καὶ ἡ μάθησις ταὐτὰ μέν εἰσι τῷ ὑποκειμένῳ, τῷ δὲ λόγῳ ἕτερα, ὥσπερ καὶ ἡ ἀνάβασις καὶ κατάβασις· οἷον τὸ 'μῆνιν ἄειδε θεὰ' διδασκαλία λέγεται καὶ μάθησις. καὶ ἡ μὲν ἑρμηνεία τούτου ἐνέργειά ἐστι τοῦ διδασκάλου πρὸς τὸν μαθητήν, καὶ πειρᾶται τοῦτο δρᾶσαι περὶ τὴν ψυχὴν τοῦ μανθάνοντος. καὶ αὕτη μὲν ἡ ἐνέργεια ἡ τοῦ διδασκάλου ἡ περὶ τὸν μαθητὴν λέγεται διδασκαλία, ἡ δὲ μάθησις, καθ' ἣν ἡ ψυχὴ τοῦ μανθάνοντος πάσχει καὶ ἐπιστημονοῦται περὶ τοῦτο τὸ ῥητὸν καὶ γνῶσιν αὐτοῦ λαμβάνει, λέγεται μάθησις. τὸ δὲ διανοητικὴ ἔθετο πρὸς ἀντιδιαστολὴν τῆς αἰσθητικῆς γνώσεως. ἐπὶ ταύτης γὰρ οὐ δεόμεθα προγνώσεώς τινος· ἅμα γὰρ τῷ τὴν ὅρασιν προσβαλεῖν τῷ ὁρατῷ εὐθὺς τοῦτο γινώσκει, εἴτε λευκὸν εἴτε μέλαν ἐστίν, ἐκ τοῦ ἐπὶ μὲν τοῦ λευκοῦ διακρίνεσθαι, ἐπὶ δὲ τοῦ μέλανος συγκρίνεσθαι. καὶ τινὲς μὲν ἔλαβον τὸ γνώσεως ἀντὶ

9 κατάσκοτον E 29 ταῦτα E 35 ἐπισημονοῦται E 37 αἰσθητῆς E

τοῦ μαθήσεως, τινὲς δὲ ἐπὶ τῆς εὑρέσεως, ὡς ὁ Ἀλέξανδρος. καὶ μάθησις μέν ἐστιν, ὅταν τις παραλάβῃ τι ἐκ τοῦ διδασκάλου, εὕρεσις δὲ ὅταν τις οἰκοθέν τι νοήσῃ ἀναγινώσκων. οὐκ ἐξελάβοντο δὲ τὴν γνῶσιν καλῶς· καὶ γὰρ καὶ ἡ μάθησις ἐκ προϋπαρχούσης γίνεται γνώσεως καὶ πάλιν εἰ τὴν 30
5 προϋπάρχουσαν γνῶσιν ἐκ | μαθήσεως ὀφείλομεν ἔχειν, δεῖ καὶ πρὸ ταύτης 2v
ἔχειν ἑτέραν γνῶσιν, καὶ τοῦτο ἐπ' ἄπειρον προβήσεται, καὶ ἐν οἷς ἐπιχειροῦμεν μαθεῖν ἕν τι συμβαίνει πολλὰ ἄπειρα προγινώσκειν· τῶν δὲ ἀπείρων οὔτε γνῶσις οὔτε ἐπιστήμη ἐστίν. ἀλλ' οὐδὲ ὁ Ἀλέξανδρος ἔλαβε ταύτην 5
καλῶς· οὐ γὰρ πάντες γινώσκομεν οἴκοθεν, ἀλλὰ πολλὰ παρὰ τοῦ διδα-
10 σκάλου μανθάνομεν. βέλτιον οὖν νοῆσαι γνῶσιν τὴν ὁπωσδήποτε προσοῦσαν ἡμῖν, εἴτε ἀπὸ εὑρέσεως εἴτε ἀπὸ μαθήσεως. ὁ δὲ συλλογισμός ἐστιν οὗτος· ἡ ἀποδεικτικὴ διδασκαλία καὶ μάθησις διανοητική ἐστι, πᾶσα διδασκαλία καὶ μάθησις διανοητικὴ ἐκ προϋπαρχούσης γίνεται γνώσεως· ἡ ἀπο- 10
δεικτικὴ ἄρα ἐκ προϋπαρχούσης γίνεται γνώσεως. εἰπὼν οὖν τὴν μείζονα
15 πρότασιν τὴν ἐλάττονα καὶ τὸ συμπέρασμα παρῆκεν. ἐπεὶ δὲ ἡ μείζων πρότασις ἄμεσός ἐστι, πιστοῦται ταύτην δι' ἐπαγωγῆς. ἀλλ' ὅ με διέλαθε, λέγεται τὸ Ὄργανον λογικὴ πραγματεία, διότι παραδίδωσι μεθόδους τινὰς 15
χρησιμευούσας εἰς πᾶσαν ἐπιστήμην καὶ τέχνην, τὸ δὲ διαλαμβάνον περὶ μεθόδων τινῶν χρησιμευουσῶν εἰς πάντα λογικὸν λέγεται.

20 p. 71a2 Φανερὸν δὲ τοῦτο θεωροῦσιν. Φανερὸν δὲ τοῦτο ὅτι ὁ μέλλων μαθεῖν οἱανοῦν τέχνην ἀναγκάζεται προειδέναι τινὰ τοῖς θεωροῦσι 20
πάσας τὰς τέχνας· καὶ γὰρ καὶ αἱ μαθηματικαὶ καὶ αἱ λογικαὶ τῶν ἐπιστημῶν ἐπιγίνονται ἡμῖν διὰ τούτου τοῦ τρόπου, ἤγουν διὰ τοῦ προειδέναι τινὰ τὸν μανθάνοντα. οἷον ἐπὶ τῆς γεωμετρίας τὸν μέλλοντα μαθεῖν ὅτι τοῦ τριγώνου αἱ
25 δύο πλευραὶ μείζους εἰσὶ τῆς μιᾶς ἀνάγκη εἰδέναι ὅτι τρίγωνόν ἐστι τὸ ὑπὸ 25
τριῶν εὐθειῶν περιεχόμενον, καὶ ὅτι δύο εὐθεῖαι συζευχθεῖσαι γωνίαν ποιοῦσι. καὶ τὸν μέλλοντα μαθεῖν περὶ συλλογισμοῦ ἀνάγκη προειδέναι τὰς προτάσεις· εἶθ' ὁ διδάσκαλος διδάξει αὐτόν, πῶς δεῖ συντιθέναι ταύτας καὶ ποιεῖν συλλογισμόν. καὶ τὸν δι' ἐπαγωγῆς μέλλοντα μαθεῖν ὅτι πᾶν
30 ζῷον τὴν κάτω γένυν κινεῖ, δεῖ προειδέναι τὰ μερικά, ὅτι ὁ ἄνθρωπος καὶ 30
ὁ ἵππος | καὶ ὁ βοῦς τὴν κάτω γένυν κινοῦσιν. ὁμοίως δὲ καὶ τοὺς σκυτο- 3r
τομικὴν μέλλοντας μαθεῖν δεῖ προγινώσκειν ὅτι ὑποκείμενα ἔχει ἡ τέχνη αὕτη τὰ δέρματα καὶ ὅτι εἰσὶ τμητά· οὕτω γὰρ διδάσκεται πῶς τέμνων αὐτὰ ποιήσει ὑπόδημα.

35 p. 71a5 Ὁμοίως δὲ καὶ περὶ τοὺς λόγους καὶ συλλογισμούς. οἱ 5
μὲν γὰρ ἤγουν οἱ συλλογιζόμενοι καὶ μέλλοντες δεῖξαι ὅτι ἡ ψυχὴ ἀθάνατος, διότι αὐτοκίνητός ἐστι, τοῦτο δὲ ἀθάνατον, λήψονται τὰς προτάσεις ταύτας παρὰ τῶν μαθητῶν, ὡς καὶ αὐτῶν ξυνιέντων καὶ γινωσκόντων αὐτάς· οἱ δὲ ἤγουν οἱ δι' ἐπαγωγῆς δεικνύοντες τὸ καθόλου ποιοῦσι τὴν δεῖξιν ἐκ τοῦ
40 δῆλα εἶναι τὰ καθέκαστα τοῖς μανθάνουσι. ῥητορικοὺς δὲ λέγει συλλο- 10

---

19 λογικὴ E 32 μέλλοντα E 33 αὕτη in marg. add. E 35 περὶ] ἐπὶ E¹

γισμοὺς τὸν παραδειγματικὸν καὶ τὸν ἐνθυμηματικόν. καὶ ἐπὶ τοῦ ἐνθυμη-
μματικοῦ συλλογισμοῦ ἀνάγκη προειδέναι ὅτι τὸ καλλωπίζεσθαι κακόν ἐστιν
ἢ τὸ νύκτωρ πλανᾶσθαι, καὶ οὕτω συλλογίζεται ὅτι ὁ δεῖνα καλλωπίζεται,
ὁ δεῖνα ἄρα μοιχός, καὶ πάλιν 'νύκτερος πλανᾶται, λῃστὴς ἄρα'. εἶπε δὲ 15
5 συμπείθουσιν ἢ διὰ τὸ πείθεσθαι τὸν ἀκροατὴν σὺν τῷ παραλαβεῖν καὶ
τὴν καταληφθεῖσαν πρότασιν, ἢ οὕτω πείθει σὺν τῷ ἔχειν καὶ τὸν ἀκροα-
τὴν συγκατανεύοντα καὶ συγχωροῦντα τὰς ἐρωτηθείσας προτάσεις· εἰ γάρ
τις δύσερις ὢν ἀκροατὴς οὐ συγχωρήσει ταύτας, οὐ συλλογίζεται ὁ ἐρωτῶν. 20
λέγει δὲ καὶ ὁ Πλάτων ἐν τῷ Γοργίᾳ ὅτι δύο εἰσὶ πίστεις, ἡ μὲν διδασκα-
10 λικὴ ἡ δὲ πιστευτική, καὶ τῇ μὲν διδασκαλικῇ κέχρηνται οἱ φιλόσοφοι ὡς
περὶ ἀληθείας διαλεγόμενοι, τῇ δὲ πιστευτικῇ οἱ ῥήτορες ὡς ἐπιτηδεύοντες
πείθειν μᾶλλον ἢ τἀληθῆ προβάλλοντες. παράδειγμα δέ ἐστι συλλογισμὸς 25
ὁ διὰ μερικῶν βεβαιῶν τὸ μερικόν. εἰ γάρ τις μέλλει δεῖξαι κακὸν τὸ
Αἰσχίνῃ διδόναι χρήματα, δεῖ τὸν ἀκροατὴν πρότερον γινώσκειν ὅτι ὁ Πει-
15 σίστρατος λαβὼν παρ' Ἀθηναίων χρήματα ἐτυράννησε. λέγεται δὲ τὸ
παράδειγμα ἐπαγωγή, διότι ὅπερ ἐστὶν ἐν τοῖς φιλοσόφοις ἡ ἐπαγωγή, τοῦτό
ἐστι τὸ παράδειγμα παρὰ τοῖς ῥήτορσι· διαφέρουσι δὲ διότι ἡ ἐπαγωγὴ τὸ 30
καθόλου | πιστοῦται διὰ τῶν μερικῶν, ἡ δὲ παρὰ τοῖς ῥήτορσιν ἐπαγωγὴ 3v
τὸ μερικὸν πιστοῦται διὰ τῶν μερικῶν.

20 p. 71a11 Διχῶς δ' ἀναγκαῖον προγινώσκειν· τὰ μὲν γάρ.
Εἰπὼν ὅτι πᾶσα διδασκαλία καὶ πᾶσα μάθησις διανοητικὴ ἐκ προϋπαρχούσης 5
γίνεται γνώσεως, καὶ πιστωσάμενος τοῦτο καὶ ἐκ τῶν ἄλλων τεχνῶν καὶ
ἐκ τῶν συλλογισμῶν καὶ ἐκ τῆς ἐπαγωγῆς καὶ ἐκ τῶν ῥητορικῶν πίστεων,
βούλεται νῦν παραδοῦναι, τίνα ἐστὶ τὰ προγινώσκεσθαι ὀφείλοντα. ἀλλ'
25 ἐπειδὴ περὶ τῶν μὴ κατὰ μέρος ἐπιστημῶν νῦν ἐστιν ἡμῖν τὸ προκείμενον,
ἀλλ' ἁπλῶς περὶ ἀποδεικτικῆς μεθόδου, ὀφείλομεν ζητῆσαι οὐ τὰ καθ' 10
ἑκάστην ἐπιστήμην προγινώσκεσθαι ὀφείλοντα, ἀλλὰ τὰ ἁπλῶς τῆς ἀποδείξεως.
οὐκ ἂν δὲ τοῦτο γνοίημεν μὴ πρότερον μαθόντες, κατὰ πόσους τρόπους προ-
γινώσκεται τὰ προγινωσκόμενα. τοῦτο δὲ πάλιν οὐκ ἄλλως ἡμῖν ὑπάρξει μὴ
30 μαθοῦσιν, ἐν τίσιν ἐστὶν ὅλως ἡ ἀποδεικτικὴ ἐπιστήμη καὶ διὰ τίνος περαί- 15
νεται. φησὶ γοῦν, ἐπὶ πάσης ἀποδείξεως ἔστι τι προκείμενον πρόβλημα εἰς
ἀπόδειξιν καὶ αἱ προτάσεις, δι' ὧν τὸ πρόβλημα κατασκευάζεται. πάλιν
δὲ ἐν παντὶ προβλήματι δύο ταῦτα θεωρεῖται, τό τε δεδομένον καὶ τὸ
ζητούμενον. καὶ πρόβλημα ἔστω τοῦτο ὅτι ἡ ψυχὴ ἀθάνατος. εἶτα ἔχομεν 20
35 καὶ τὰ κοινὰ ἀξιώματα καὶ τὰς ἀμέσους προτάσεις, ἐξ ὧν, ὡς εἴρηται, τὸ
προκείμενον πρόβλημα δείκνυται, οἷον ὅτι ἡ ψυχὴ αὐτοκίνητος, τὸ αὐτο-
κίνητον ἀεικίνητον, τοῦτο ἀθάνατον· ἡ ψυχὴ ἄρα ἀθάνατος. τὸ δὲ πρό-
βλημα, ὡς εἴπομεν, διαιρεῖται εἰς δύο, εἴς τε τὸ δεδομένον καὶ τὸ ζητού- 25
μενον· καὶ δεδομένον μέν ἐστι τὸ ὑποκείμενον ἐν τῷ προβλήματι, ἤγουν ἡ
40 ψυχή, ὃ καὶ ὀφείλει γινώσκειν καὶ ὅτι ἔστι ψυχὴ καὶ τί ἐστι ψυχή. τὸ
δὲ τί ἐστιν ὁ τὸν ὁρισμὸν αὐτοῦ δηλοῖ ἢ τὸ σημαινόμενον. καὶ σημαινό-

6 καταλειφθεῖσαν E 9 ἐν τῷ Γοργίᾳ] p. 454 E sqq.

μενον ταύτης ἐστὶ τὸ ψύχειν καὶ ζωογονεῖν τὸ σῶμα, ὁρισμὸς δὲ τὸ οὐσία πολυδύναμος. ζητούμενον δέ ἐστιν ὁ κατηγορούμενος ἐν τῷ προβλήματι, ἤγουν τὸ ἀθάνατον· ζητοῦμεν γὰρ | ἐπ' αὐτοῦ τὸ ὅτι ἐστίν, ἤγουν ἐὰν τὸ 4r ἀθάνατον ὑπάρχῃ τῇ ψυχῇ. γινώσκομεν δὲ τὸ τί ἐστιν ἤγουν τὸν ὁρισμὸν τοῦ ἀθανάτου ἢ τὴν σημασίαν· ἀθάνατον γάρ ἐστι τὸ μὴ φθορᾷ ὑποπῖπτον. τὰ δὲ κοινὰ ἀξιώματα ἤγουν τὰς ἀμέσους προτάσεις ὀφείλομεν γινώσκειν καὶ κατὰ τὸ ὅτι ἔστι καὶ κατὰ τὸ τί ἐστιν. ὅτι γὰρ αὐτοκίνητός ἐστιν ἡ ψυχὴ οὐκ ἀμφιβάλλεται (αὐτὴ γὰρ ἑαυτὴν κινεῖ) καὶ ὅτι αὐτοκίνητόν ἐστι τὸ μὴ παρ' ἄλλου κινούμενον. διχῶς οὖν ἀναγκαῖον προγινώσκειν, ἤγουν δύο τρόποι εἰσὶ τῆς γνώσεως, καθ' ἣν ὀφείλομεν γινώσκειν τὰ δεδομένα, τὰ ζητούμενα καὶ τὰ ἀξιώματα. τὰ μὲν γὰρ ἤγουν τὰ ἀξιώματα καὶ τὰς ἀμέσους προτάσεις ἀναγκαῖον προϋπολαμβάνειν καὶ προγινώσκειν κατὰ τὸ ὅτι ἔστι. ταῦτα δὴ καὶ κατὰ τὸ τί ἐστιν ὀφείλεις προγινώσκειν· παρῆκε δὲ τοῦτο ὡς ὁμολογούμενον. τὰ δὲ ζητούμενα δεῖ ξυνιέναι καὶ προγινώσκειν κατὰ τὸ τί ἐστι τὸ λεγόμενον, ἤγουν ἢ κατὰ τὸν ὁρισμὸν ἢ κατὰ τὸ σημαινόμενον, ζητεῖν δὲ ἐπ' αὐτῶν μόνον τὸ ὅτι ἔστιν ἤγουν ἐὰν ὑπάρχῃ τῷ ὑποκειμένῳ· τὰ δὲ ἤγουν τὰ δεδομένα κατ' ἄμφω, ἤγουν κατὰ τὸ ὅτι ἔστι καὶ κατὰ τὸ τί ἐστιν. τὸ ἅπαν ἢ φῆσαι ἢ ἀποφῆσαι· τὸ ἐπὶ παντὸς ἡ κατάφασις ἢ ἀπόφασις παράδειγμα τέθεικε τῶν ἀξιωμάτων, ἃ δεῖ ὅτι ἔστι προγινώσκειν· τὸ δὲ τρίγωνον παράδειγμά ἐστι τοῦ ζητουμένου, ὅπερ ὀφείλεις γινώσκειν τί σημαίνει, ἤγουν τὸ ὑπὸ τριῶν γραμμῶν περιέχεσθαι. τὴν δὲ μονάδα * * τοῦ δεδομένου, ἣν ὀφείλεις γινώσκειν καὶ κατὰ τὸ τί ἐστι καὶ κατὰ τὸ τί σημαίνει.

p. 71a17 Ἔστι δὲ γνωρίζειν τὰ μέν.

Ἐπεὶ περὶ γνώσεως ἦν ὁ λόγος, διδάσκει καὶ πῶς ὀφείλομεν ταύτην ἔχειν, καὶ φησὶ τὰ μὲν πρότερον γνωρίζομεν, ἤγουν κατὰ τὸ καθόλου, κατὰ δὲ τὸ μερικὸν ἀγνοοῦμεν, οἷον γινώσκω ὅτι πᾶσα Μαγνῆτις ἕλκει τὸν σίδηρον, εἰ δὲ ἥδε ἡ προκειμένη λίθος Μαγνῆτίς ἐστιν, ἀγνοῶ· εἰ δὲ ἰδωταύτην ἕλκουσαν σίδηρον, εὐθὺς γινώσκω ἀπὸ τοῦ καθόλου ταύτην εἶναι Μαγνῆτιν· τῶν δὲ ἤγουν τῶν μερικῶν λαμβάνομεν τὴν γνῶσιν ἅμα τῷ ταῦτα ἰδεῖν. |

Εἰπὼν ὅτι πᾶσα διδασκαλία καὶ πᾶσα μάθησις διανοητικὴ ἐκ προϋπαρ- 4v χούσης γίνεται γνώσεως, νῦν προτίθεται περὶ εὑρέσεως εἰπεῖν καὶ δεῖξαι ὅτι καὶ αὕτη ἐκ προϋπαρχούσης γνώσεως γίνεται. ἐπειδὴ γὰρ ἡ διανοητικὴ γνῶσις ἢ διὰ διδασκαλίας ἡμῖν παραγίνεται καὶ μαθήσεως ἢ διὰ ζητήσεως καὶ εὑρέσεως, ἀνάγκη δὲ ἐν ἑκατέρῳ τῶν τρόπων ἐκ προεγνωσμένων τινῶν γίνεσθαι ἡμῖν τὴν γνῶσιν, διὰ τοῦτο δείξας τὸν ἕτερον τῶν τρόπων μέτεισιν ἐπὶ τὸν λοιπόν, ὡς εἶναι δῆλον πᾶσαν γνῶσιν διανοητικὴν ἐκ προεγνωσμένων τινῶν παραγίνεσθαι. πρὶν ἢ δὲ διαλεχθῆναι περὶ εὑρέσεως πρότερον

---

4 γινώσκωμεν E 13 παρῆκα E 14. 15 τὸ ὅτι ἐστὶ E 22 lacunam indicavi: addendum παράδειγμα λέγει

περὶ τοῦ γνωρίζειν προτίθεται διδάξαι ὡς ἂν καθολικωτέρου ὄντος. τοῦ οὖν γνωρίζειν δύο εἰσὶ τρόποι, εἷς μὲν ὅταν προεγνωκότες τι αὖθις προσβάλωμεν λήθης μὴ μεσολαβησάσης, οἷον ὅταν προεωρακότες τινά, εἶτα τούτου τὴν μνήμην ἔχοντες πάλιν αὐτὸν ἴδωμεν, λεγόμεθα τοῦτον γνω- 15
5 ρίζειν· εἰ δὲ λήθη μεσολαβήσῃ, εἶτα αὖθις τὴν προτέραν αὐτοῦ γνῶσιν λάβωμεν, οὐκέτι τὸ τοιοῦτον γνωρίζειν λέγομεν ἀλλὰ ἀναμιμνήσκεσθαι. εἷς μὲν οὖν τρόπος οὗτος, δεύτερος δὲ ὡς ὅταν ἔχοντες τοῦ καθόλου τὴν γνῶσιν καὶ ἔννοιαν μερικῷ τινι προσβάλωμεν, ὃ μὴ πρότερον ἐθεασάμεθα, εἶτα τοῦτο ἐφαρμόσωμεν τῷ καθόλου οὗ τὴν γνῶσιν ἔχομεν· οἷον εἰ θεάσηταί 20
10 τις τὴν Μαγνῆτιν ἕλκουσαν τὸν σίδηρον, εἰ μὲν μὴ εἴη προεγνωκὼς ὅτι πᾶσα ἡ τοιαύτη λίθος ἕλκει τὸν σίδηρον, οὐ λέγεται ὁ τοιοῦτος γνωρίζειν ὅτι Μαγνῆτις λίθος ἐστίν, ἀλλὰ πρώτως μανθάνει, εἰ ἀπορήσοι τοῦ διδάσκοντος ὡς πᾶσα ἡ Μαγνῆτις ἕλκει τὸν σίδηρον· εἰ δὲ τοῦτο εἴη προ- 25
εγνωκώς, προσβαλὼν τῇ μερικῇ λίθῳ εὐθὺς γνωρίζει ὅτι αὕτη ἐστὶν ἡ ὑπὸ
15 τὸ καθόλου ἐκεῖνο εἶδος ἀναγομένη. δύο οὖν τούτων τρόπων ὄντων γνωρίσεως, κατὰ τὸν δεύτερον τρόπον φησὶν ὁ Ἀριστοτέλης γίνεσθαι τὴν εὕρεσιν, ὅταν μερικοῖς τισι θεωρήμασι μὴ προεγνωσμένοις ἡμῖν πρώτως 30
ἐπιβάλλοντες, ἀπό τινων καθολικωτέρων προεγνωσμένων τὴν γνῶσιν αὐτῶν 51r
σχήσωμεν. ἰστέον δὲ ὅτι ὅταν λέγωμεν ἐκ προεγνωσμένων τινῶν καθολικῶν
20 τὴν γνῶσιν γίνεσθαι, οὐ λέγομεν καθολικωτέρων ὡς ἔστι τὸ γένος τοῦ εἴδους, ἀλλ' ὅτι ἁπλῶς ἔκ τινων ἄλλων θεωρημάτων καθολικῶν. καὶ διὰ τοῦτό φαμεν καθολικωτέραν εἶναι τὴν γνῶσιν τῆς εὑρέσεως, διότι κατὰ 5
μόνον τὸν δεύτερον τρόπον τῆς γνώσεως ἡ εὕρεσις γίνεται, τὰ ζητούμενα τοῖς ὁμολογουμένοις ἐφαρμοζόντων ἡμῶν, ἡ δὲ γνῶσις ἐπὶ πλέον θεωρεῖται·
25 καὶ γὰρ καὶ ἐπὶ τοῦ προτέρου τρόπου. ἡμικύκλιον λέγει τὴν ἐπικάλυψιν τῆς παλάμης τὴν διὰ δακτύλων. κατεσοφίζοντο γοῦν τινες οὕτως· ἔγραφον 10
ἐν τῇ χειρὶ τρίγωνον καὶ ἠρώτων 'οἶδας ὡς πᾶν τρίγωνον ἔχει τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας'; τῶν δὲ εἰπόντων ναί, ἐπεδείκνυον τὸ ἐν τῷ ἡμικυκλίῳ γεγραμμένον τρίγωνον λέγοντες 'ἀλλὰ μὴν τοῦτο οὐκ ἤδεις εἰ τρί-
30 γωνόν ἐστι, καὶ λοιπὸν ἠγνόεις, εἰ καὶ τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχει· τὸ αὐτὸ ἄρα οἶδας καὶ ἀγνοεῖς'. ἡ λύσις τοῦ σοφίσματος ὡς οὐδὲν 15
καινόν, εἰ κατὰ τὸ καθόλου τοῦτο οἶδα, κατὰ δὲ τὸ μερικὸν ἠγνόουν. ἢ δυάδα κατέγραφον καὶ ἠρώτων 'οἶδας ὡς πᾶσα δυὰς ἀρτία ἐστί;' τοῦ δὲ φήσαντος ναί, προέτεινον τὴν ἐν τῇ χειρὶ δυάδα λέγοντες 'ἀλλὰ ταύτην
35 ἠγνόεις ὅλως ⟨ὡς⟩ δυάς ἐστι, καὶ λοιπὸν καὶ εἰ ἀρτία ἐστὶν ἠγνόεις· τὸ 20
αὐτὸ ἄρα καὶ οἶδας καὶ ἀγνοεῖς'. ἡ δὲ λύσις ἡ καὶ πρότερον. ἅμα δὲ ἐπαγόμενος, φησίν, ἐγνώρισεν, ἤγουν τῇ αἰσθήσει προσβαλὼν ἤγουν θεασάμενος·

p. 71a21 Ἐνίων γὰρ τοῦτον τὸν τρόπον ἡ μάθησίς ἐστι. Πρὸς
10 τὸ προσεχὲς ἀπήντησεν, ὅτι τινὰ μανθάνομεν οὐκ ἐφαρμόζοντες αὐτὰ ἄλλοις, 25

5 μεσολαβήσει E 9 θεάσεται E 14. 15 ὑπὸ τοῦ E 29 εἰ] εἰς E
30 λειπὸν E 35 ὡς addidi

ἀλλ' ἅμα τῷ προσβαλεῖν αὐτοῖς τὴν πρώτην γνῶσιν αὐτῶν αἱροῦντες. λέγει οὖν ἐνίων γὰρ ἤγουν τῶν μερικῶν ἡ μάθησις καὶ ἡ γνῶσις γίνεται κατὰ τοῦτον τὸν τρόπον, ἤγουν ἐν τῷ ὑποπεσεῖν τῇ αἰσθήσει, καὶ οὐ γνωρίζεται τὸ ἔσχατον ἤγουν τὸ μερικὸν διὰ μέσου τινὸς ἤγουν διὰ συλλογισμοῦ, ἀλλὰ διὰ μόνης τῆς αἰσθήσεως. ἔσχατα δὲ λέγει τὰ μερικὰ ὡς μὴ ἔχοντα ὑπο- 30
κάτω | αὐτῶν ἕτερα κείμενα. σημειωτέον δὲ ὅτι τὴν διὰ τῆς αἰσθήσεως 5v
γνῶσιν μάθησιν εἶπε· πρὸς ὃ καὶ ἐν ἀρχαῖς εἰπὼν 'πᾶσα διδασκαλία καὶ πᾶσα μάθησις' ἀντιδιαστελλόμενος εἶπε τὸ διανοητικὸν ὡς οὔσης καὶ αἰσθητικῆς τινος μαθήσεως· πρὸ τοῦ δὲ ἐπαχθῆναι καὶ θεαθῆναι τὸ μερικὸν 5
ἢ λαβεῖν συλλογισμὸν ἤγουν συλλογίσασθαι ἐν τῷ ἐπισυνάψαι τὸ μερικὸν τῷ καθόλου τρόπον μέν τινα ἐπιστάμεθα τὸ μερικόν, ἤγουν κατὰ τὸ καθόλου, τρόπον δὲ ἄλλον, ἤγουν καθὸ μερικὸν καὶ μὴ ὑποπῖπτον τῇ αἰσθήσει, ὡς κεκρυμμένον οὐ γινώσκομεν. ἀλλὰ δῆλον ὡς ὡδὶ μὲν ἐπίσταται, ἤγουν κατὰ τὸ καθόλου, ἁπλῶς δὲ ἤγουν κατὰ τὸ μερικὸν οὐκ ἐπίσταται. εἰ δὲ 10
μή, ἤγουν εἰ τὸ αὐτὸ καὶ ἓν οὐ κατ' ἄλλο μὲν γινώσκομεν ἤγουν κατὰ τὸ καθόλου, κατ' ἄλλο δὲ ἀγνοοῦμεν, ἤγουν κατὰ τὸ μερικόν, συμβήσεται τὸ τοῦ Μένωνος ἀπόρημα, ἤγουν τὸ μήτε ζήτησιν εἶναι μήτε εὕρεσιν· τούτων δὲ μὴ ὄντων οὐδὲν μαθησόμεθα ἢ ἐκεῖνα μαθησόμεθα, ἃ γινώσκομεν. ὁ γὰρ Πλάτων βουλόμενος δεῖξαι ὡς αἱ μαθήσεις ἀναμνήσεις εἰσὶ παράγει 15
τὸν Σωκράτη ἐρωτᾶν Μένωνα, ἆρα ἡ ἀρετὴ διδακτόν ἐστι καὶ τί ἐστιν ἀρετή· 'οἶδα γάρ σε παρὰ τοῦ Γοργίου, φησίν, ἀκριβῶς περὶ ταύτης μαθόντα.' ὁ δὲ ἀπεκρίνατο 'ἀρετή ἐστι τῆς μὲν γυναικὸς τὸ οἰκουρεῖν, τοῦ στρατάρχου δὲ τὸ στρατηγεῖν.' ὁ δὲ Σωκράτης ἔφη 'νὴ Δία Μένων, 20
πολλάς, ὡς ἔοικεν, οἶδας ἀρετάς. τί ἐστιν, εἰπέ, ἀρετή'; ὁ δὲ 'ἀνδρία, σωφροσύνη, σοφία καὶ φρόνησις'. ὁ δὲ Σωκράτης 'οὔκ ἠρώτησα', φησί, 'πόσαι εἰσὶν ἀρεταί, ἀλλὰ τί ἐστιν ἀρετή. οὐκοῦν εἰ ζητήσομεν, εὑρήσομεν'. ὁ δὲ Μένων 'οὔτε εὕρεσίς ἐστι', φησίν, οὔτε ζήτησις· ἢ γὰρ οἶδέ τίς τι καὶ περὶ αὐτοῦ οὐ ζητήσει ἢ οὐκ οἶδε καὶ περὶ οὗ οὐκ οἶδεν 25
ἀδύνατόν τινα ζητεῖν'. ὁ δὲ Σωκράτης παράγει τὸν ἀκολουθοῦντα τῷ Μένωνι λόγον ἐρωτώμενον παρ' αὐτοῦ εὑρεῖν τι θεώρημα, ὃ μὴ πρότερον ᾔδει, λέγω δὴ ὅτι τὸ ἀπὸ τῆς διαμέτρου ἀναγραφόμενον τετράγωνον διπλάσιόν ἐστιν τοῦ τετραγώνου, οὗ ἐστιν ἡ διάμετρος· ἀναγράφει γὰρ τετράγωνον τὸ ΑΒΓΔ καὶ ἄγει τὴν ΑΔ διαγώνιον διάμετρον καὶ ἀναγράφει ἐκ 30
τῆς | ΒΔ πλευρᾶς τετράγωνον τὸ ΒΖΔΕ καὶ ἐκ τῆς ΑΒ τετράγωνον 6r
ἕτερον τὸ ΑΗΘΒ καὶ ἐκ τῆς ΒΘ ἕτερον τὸ ΒΖΙΘ. δῆλον οὖν ὅτι ἴση ἐστὶν ἑκάστη τῶν πλευρῶν τοῦ ΑΒΓΔ τετραγώνου καὶ τοῦ ἄλλου τετραγώνου τοῦ ΒΖΔΕ· ὁμοίως πάλιν ἴση ἐστὶν ἡ ΑΒΗΘ τῇ ΒΖΘΙ. καὶ ἵνα συντόμως εἴπω, περὶ τὸ πρῶτον τετράγωνον τὸ ΑΒΓΔ περιτίθησι γνώμονα. ἄγει δὲ καὶ ἐν ἑκάστῳ τετραγώνῳ διαγωνίας διαμέτρους, λέγω δὴ τὴν ΑΘ καὶ τὴν ΘΖ καὶ ΖΔ καὶ τὴν ΔΑ. δῆλον οὖν ὅτι τὸ ΓΕΗΙ τετράγωνον τετραπλάσιόν ἐστι τοῦ ΑΒΓΔ τετραγώνου· τρία γὰρ τετράγωνα ἴσα αὐτῷ

---

8 οὔσης ex οὖσα corr. E 13 κεκρημμένον E 20 σωκράτει E ἐρωτὸν E
23 ὁ δὲ] οὐδὲ E 26. 27 εὑρήσωμεν E 31 λέγω δὲ E

περιετέθησαν· τὰ ἄρα τέσσαρα τετράγωνα ἴσα ὄντα τοῦ ἑνὸς αὐτῶν τετρα- 10
γώνου τετραπλάσιά εἰσι. τοῦτο ὁμολογεῖ ὁ οἰκέτης ἐξ αὐτῆς τῆς ἐναργείας.
καὶ ἐπεὶ ἕκαστον τῶν ἀναγραφέντων τεσσάρων τετραγώνων εἰς δύο ἴσα
τρίγωνα αἱ διάμετροι τέμνουσιν, ὀκτὼ ἴσα ἀλλήλοις τρίγωνα γίνεται. ὥστε
5 τὸ ΓΕΗΙ τετράγωνον διπλάσιόν ἐστι τοῦ ΑΔΖΘ τετραγώνου· τοῦτο γὰρ
τὸ ΑΔΖΘ τετράγωνον περιέχει τέσσαρα τρίγωνα, τὸ δὲ ΓΕΗΙ τετραπλά- 15
σιόν ἐστι τοῦ ΑΒΓΔ τετραγώνου. τὸ ἄρα ΑΔΖΘ τετράγωνον, ὅπερ ἀνε-
γράφη ἀπὸ τῆς ΑΔ διαμέτρου διπλάσιόν ἐστι τοῦ ΑΒΓΔ τετραγώνου.
οὕτως οὖν ὁ Σωκράτης διὰ τῶν ἐρωτήσεων τούτων ἐποίησε τὸν δοῦλον
10 τοῦ Μένωνος εὑρεῖν ὅπερ οὐκ ᾔδει θεώρημα, ἀπό τινων προωμολογημένων 20
ἐνάγων αὐτὸν εἰς γνῶσιν τοῦ ζητουμένου. διὰ ζητήσεως ἄρα καὶ εὑρέσεως
γνῶσις ἡμῖν ἐπιγίγνεται.

p. 71a30 Οὐ γὰρ δή, ὥς γέ τινες ἐγχειροῦσι λύειν, λεκτέον.
Τινὲς ἔλυον τὰ προρρηθέντα σοφίσματα λέγοντες ὅτι πᾶσα δυὰς ἀρτία
15 ἐστὶν ἣν γινώσκομεν, καὶ ὅτι πᾶν τρίγωνον ἔχει τὰς τρεῖς γωνίας δυσὶν 25
ὀρθαῖς ἴσας ὃ γινώσκομεν, καὶ οὐκ ἀληθεύουσι τοῦτο λέγοντες· ἴσασι γὰρ
τὸ τρίγωνον ἐκεῖνο οὗ τὴν ἀπόδειξιν ἔλαβον, ἔλαβον δὲ ἀπολύτως ὅτι παντὸς
τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσί, καὶ παντὸς ἀριθμοῦ οὗ
ᾔδειμεν τὸ διχῇ διαιρεῖσθαι, κατηγορεῖσθαι τὸ ἄρτιον· οὐδεμία γὰρ πρό-
20 τασις λαμβάνεται τοιαύτη, ἤγουν μετὰ προσθήκης ὅτι ὃν σὺ οἶδας 30
ἀριθμόν, ἤγουν δυάδα | ἢ ὃ σὺ οἶδας εὐθύγραμμον, ἤγουν τρίγωνον, ἀλλ' ἀπο- 6v
λύτως καὶ ἄνευ προσθήκης πᾶσα δυὰς ἀρτία, καὶ πᾶν τρίγωνον τὰς τρεῖς
γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχει. διαβαλὼν οὖν τοὺς λύοντας τὰ ῥηθέντα
σοφίσματα ὡς εἴπομεν, λέγει νῦν καὶ πῶς δεῖ ταῦτα λύειν· οὐδὲν γάρ, 5
25 φησί, κωλύει ὃ μανθάνει τις, ἔστιν ὡς ἐπίστασθαι, ἤγουν κατὰ τὸ
καθόλου, ἔστι δ' ὡς ἀγνοεῖν, ἤγουν κατὰ τὸ μερικόν. οὐδὲν γὰρ ἄτοπόν
ἐστιν, εἰ ὃ μανθάνει τις ὡς μερικόν, τοῦτο οἰδέ πως, ἤγουν κατὰ τὸ καθόλου·
ἀλλὰ τοῦτο ἄτοπον, ἐάν τι ὡδὶ γινώσκῃ, ἤγουν κατὰ τὸ μερικόν, καθ' ὃ
καὶ μανθάνει αὐτὸ ὡς ἀγνοῶν καὶ ὥς, ἤγουν κατὰ τὸν αὐτὸν τρόπον τῆς 10
30 δείξεως, ἤγουν εἰ γινώσκων διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς ὅτι ἡ διάμετρος
ἀσύμμετρος τῇ πλευρᾷ, πάλιν φαίνεται τοῦτο μανθάνων διὰ τῆς εἰς ἀδύ-
νατον ἀπαγωγῆς ὡς ἀγνοῶν· ἔστι γὰρ τοῦτο ἄτοπον. εἰ δὲ γινώσκεις μὲν
τοῦτο διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, σπεύδεις δὲ τοῦτο μαθεῖν διὰ τῆς
ἐπ' εὐθείας δείξεως, οὐδὲν ἄτοπόν ἐστιν. αὐτὸς οὖν τὴν ἀληθῆ ἐπίλυσιν 15
35 τῆς ἀπορίας τίθησιν, ὅτι οὐδὲν κωλύει κατά τι μὲν ἀγνοεῖν κατά τι δὲ ἐπί-
στασθαι, ἐπίστασθαι μέν, εἰ τύχοι, κατὰ τὸ καθόλου, ἀγνοεῖν δὲ κατὰ τὸ μερικὸν
ἢ ἔμπαλιν. καὶ ἐπίστασθαι μὲν τῇ τοῦ ἀδυνάτου δείξει, ἀγνοεῖν δὲ τῇ ἐπ'
εὐθείας ἢ ἔμπαλιν. εἰ γὰρ μανθάνει τις κατὰ τὸν τρόπον τῆς μαθήσεως 20
ἐπ' εὐθείας, ἀδύνατον προειδέναι τὸν ἐπ' εὐθείας τῆς δείξεως τρόπον·
40 ὁμοίως δὲ καὶ εἰ τὸν δι' ἀδυνάτου τρόπον μανθάνει. τὸ γὰρ αὐτὸ κατὰ
τὸ αὐτὸ εἰδέναι καὶ ἀγνοεῖν ἤγουν μὴ εἰδέναι, τῶν ἀδυνάτων ἐστίν.

2 ἐνεργείας E 10 ὧδε ει E 16 ἀληθεύουσα E 28 ἤγουν] ἢ E

p. 71b9 Ἐπίστασθαι δὲ οἰόμεθα ἕκαστον ἁπλῶς, ἀλλά. Δύο τρόπων ὄντων, καθ' οὓς γινώσκομέν τι, ἤγουν διδασκαλίας καὶ μαθήσεως, καὶ ζητήσεως καὶ εὑρέσεως, δείξας ὅτι ἐφ' ἑκατέρου ἐκ προεγνωσμένων τινῶν ἡ γνῶσις ἡμῖν παραγίνεται, εἰπών τε καὶ τίνα ἐστὶν ἃ προεγνῶσθαι ὀφείλει, ὅτι ἁπλῶς μὲν ἐπὶ πάσης ἐπιστήμης τὰ κοινὰ ἀξιώματα, οἷον ἐπὶ παντὸς ἡ κατάφασις ἢ ἡ ἀπόφασις, ἐπὶ δὲ τῶν καθ' ἕκαστα ἐπιστημῶν τὰ ἴδια ἑκάστης ἐ|πιστήμης, καὶ ὅτι καθ' ἕκαστον ἀποδεικτὸν προεγνῶσθαι 7r δεῖ πρὸς τοῖς ἀξιώμασι τὸ δεδομένον καὶ τὸ ζητούμενον, νῦν μέλλει καὶ τὴν ἀπόδειξιν ὁρίσασθαι. καὶ λαμβάνει ὡς γένος τὴν ἐπιστήμην· πᾶς γὰρ ὁρισμὸς ἐκ γένους σύγκειται καὶ συστατικῶν διαφορῶν· καὶ τούτου χάριν προλαμβάνων διδάσκει περὶ τοῦ ἐπίστασθαι ἤγουν τῆς ἐπιστήμης, ἵνα μὴ ἀγνοῶμεν αὐτήν. ἀντὶ γὰρ τῆς ἀποδείξεως τὴν ἐπιστήμην καὶ τὸ ἐπίστασθαι λαμβάνει· γνωριμώτερα γὰρ ταῦτα καὶ τοῖς πολλοῖς τῆς ἀποδείξεως. ἕκαστος γοῦν ἐπίστασθαι μέν τι οἴεται, ἀποδεικνύναι δὲ τί ποτέ ἐστιν, ὁ πολὺς ἄνθρωπος οὐκ οἶδε. διαφέρει δὲ ἐπιστήμη τε καὶ ἐπίστασθαι ἀποδείξεως, ὅτι ἐπίστασθαι μέν ἐστιν ἡ διάθεσις αὐτὴ ἡ ἐγγινομένη ἡμῖν περὶ τῶν πραγμάτων, ἀπόδειξις δὲ ἡ ὁδός, καθ' ἣν ἡ τούτων γίνεται γνῶσις, καὶ ὅτι καθολικώτερόν ἐστιν ἡ ἐπιστήμη τῆς ἀποδείξεως· καὶ δῆλον ἐκ τῆς ἀντιστροφῆς. λέγεται δὲ καὶ εἰδικώτερον ἐπιστήμη, ἥτις εἰς ταὐτὸν συν- τρέχει τῇ ἀποδείξει· περὶ ἧς νῦν ζητεῖ. οὐχ ὡς ἀπὸ εἴδους οὖν τῆς ἀποδείξεως ἐπὶ τὴν γενικὴν ἐπιστήμην μετῆλθεν, ἀλλ' ὡς ἐπὶ σαφέστερον τὴν μετάληψιν ἐποιήσατο ἐκ τῆς ἀποδείξεως εἰς τὴν ἰσοδυναμοῦσαν ἐπιστήμην. ἐπίστασθαι οὖν λεγόμεθα ὅτι ὁ ἥλιος ἐκλείπει, ὅταν γινώσκωμεν τὴν κυρίως αἰτίαν, δι' ἣν ἐκλείπει, καὶ οὐκ ἐνδέχηται ἄλλην αἰτίαν ἀποδοθῆναι τῆς αὐτῆς ἐκλείψεως. τίς δέ ἐστιν αὕτη; τὸ ὑποτρέχειν ἤγουν τὸ ὑποκάτω γίνεσθαι τὴν σελήνην τοῦ ἡλίου καὶ διὰ τοῦτο παρεμποδίζεσθαι αὐτὸν φωτίζειν τὸ περίγειον. καὶ πάλιν ἡ σελήνη ἐκλείπει διὰ τὸ ἀντιφράττεσθαι τὸν ἥλιον ὑπὸ τῆς γῆς ὑποκάτω ταύτης γενόμενον, καὶ σκιὰν κωνοειδῆ ποιεῖν ἀποτελεῖν τὴν γῆν καὶ παρεμποδίζεσθαι ἐντεῦθεν φωτίζειν τὴν σελήνην· ἐκ τοῦ ἡλίου γὰρ φωτίζεται ἡ σελήνη. κατὰ συμβεβηκὸς δὲ ἐπίσταταί τις, ὅταν τὴν κυρίως αἰτίαν τοῦ πράγματος ἀγνοῇ, οἷον εἴ τις οἴεται τὸ ὠχρὸν αἴτιον εἶναι τοῦ τέξασθαι ταύτην τὴν γυναῖκα ἢ τὸ γάλα ἔχειν· οὐ γὰρ ταῦτα αἴτιά ἐστι τῆς ἐγκύμονος· πολλαὶ γὰρ ὠχραὶ καὶ γάλα ἔχουσαι οὐ τίκτουσι. λέγει | δὲ τὴν τοιαύτην γνῶσιν κατὰ τὸν σοφιστικὸν 7v τρόπον γίνεσθαι διὰ τὸ καὶ τοὺς σοφιστὰς ἀπὸ συμβεβηκότων κατασοφίζεσθαι καὶ ἀπατᾶν, οἷον ὅτι ὁ κύκνος λευκόν, τὸ λευκὸν χρῶμα, ὁ κύκνος ἄρα χρῶμα, ἢ ὅτι ὁ ἄνθρωπος ζῷον, τὸ ζῷον δισύλλαβον, ὁ ἄνθρωπος ἄρα δισύλλαβον. ἡ ἀπάτη ἐνταῦθα ἐγένετο διὰ τὸ λαβεῖν τὸ κατὰ συμβεβηκὸς ὑπάρχον τῷ κατηγορουμένῳ ἐξ ἀνάγκης ὑπάρχειν καὶ τῷ ὑποκειμένῳ. τὸ γὰρ δισύλλαβον κατὰ συμβεβηκὸς κατηγορεῖται τοῦ ζῴου, καὶ διὰ τοῦτο οὐκ ἀνάγκη ὑπάρχειν καὶ τῷ ὑποκειμένῳ· ὅσα γὰρ οὐσιωδῶς

---

13 λαμβάνειν E 14 μέν τι] μέντοι E 24 ἐνδέχεται E 33 ὠχραῖον E
36 κύκλος λευκὸν E

κατὰ τοῦ ζῴου λέγεται, ταῦτα καὶ κατὰ τοῦ ἀνθρώπου ῥηθήσεται. καὶ τὸ χρῶμα δὲ εἰ καὶ καθ' αὑτὸ κατηγορεῖται τοῦ λευκοῦ, ἀλλὰ τὸ λευκὸν κατὰ συμβεβηκὸς κατηγορεῖται τοῦ κύκνου, καὶ διὰ τοῦτο οὐχ ὑπάρχει τὸ χρῶμα τῷ κύκνῳ. οἱ μὲν οὖν σοφιστικοὶ συλλογισμοὶ ἀπὸ συμβεβηκότων, ὡς εἴρηται, τοὺς παραλογισμοὺς ποιοῦνται· οὐ μὴν εἴ τις συλλογισμὸς ἀπὸ συμβεβηκότων τι κατασκευάζει, ἤδη καὶ σοφιστικός ἐστιν. ἐὰν οὖν εἴπω 'ἡ γυνὴ γάλα ἔχει· τέτοκεν ἄρα', ἢ 'ἐνταῦθα καπνός ἐστιν· καὶ πῦρ ἄρα' ἀπὸ συμβεβηκότων μέν ἐστιν ὁ συλλογισμός, οὐκέτι δὲ καὶ σοφιστικός. οὗτος δὲ τῇ λέξει καταχρησάμενος διὰ τὸ καὶ τοὺς τοιούτους ἀπὸ συμβεβηκότων συλλογίζεσθαι πάντας σοφιστικοὺς ἐκάλεσεν. ἐπίστασθαι δὲ οἰόμεθα ἕκαστον πρᾶγμα ἁπλῶς καὶ κυρίως, ἀλλὰ μὴ κατὰ συμβεβηκὸς κατὰ τὸν σοφιστικὸν τρόπον, ἤγουν ὥσπερ οἱ σοφιστικοὶ ἀπατῶσιν ἀπό τινων συμβεβηκότων ἀποδιδόντες τὰς αἰτίας, ὅταν τὴν αἰτίαν γινώσκωμεν τοῦ πράγματος, δι' ἣν ἐστι τὸ πρᾶγμα καὶ οὐκ ἐνδέχεται ἄλλην αἰτίαν εἶναι αὐτοῦ. ὅτι δὲ τὸ ἐπίστασθαι τοιοῦτον, πιστοῦται ἐκ τῆς δόξης τῶν πολλῶν. ὅτι γάρ, φησί, τοιαύτη ἐστὶν ἡ κυρίως ἐπιστήμη, οἵαν εἴπομεν, δῆλον καὶ ἀπὸ τῶν πολλῶν· ὁρῶμεν γὰρ καὶ τοὺς μὴ ἐπισταμένως γινώσκοντάς τι πρᾶγμα ἐνισταμένους καὶ λέγοντας ὅτι αὕτη ἐστὶν ἡ αἰτία τούτου τοῦ πράγματος, ἣν ἀπεδώκαμεν, καὶ οὐκ ἄλλη. οἷον τοῦ ὀνομάζεσθαι τοὺς ἀνθρώπους | 30
λαοὺς οἴονται οἱ χυδαῖοι αἰτίαν εἶναι τὸ ἐκ τῶν λίθων αὐτοὺς γενέσθαι, 81
οἳ λᾶες λέγονται, καὶ ἐνίστανται ταύτην εἶναι αἰτίαν τοῦ οὕτως αὐτοὺς ὀνομάζεσθαι· ἐπὶ γὰρ τοῦ Δευκαλίωνος κατακλυσμοῦ γενομένου καὶ ἀποπνιγέντων τῶν ἀνθρώπων ὁ Ζεὺς μετάμελον λαβὼν προσέταξε τῷ Δευκαλίωνι λίθους λαμβάνειν καὶ ῥίπτειν ὄπισθεν, οἳ καὶ ἄνθρωποι ἐγένοντο· ὅσοι δὲ τῶν λίθων Πύρρας τῆς γυναικὸς αὐτοῦ ἐρρίφησαν, ἐγένοντο γυναῖκες. ἡ δὲ κυρίως αἰτία τοῦ τοὺς ἀνθρώπους λαοὺς ὀνομάζεσθαι τὸ λαλεῖν αὐτούς ἐστι· παράγεται γὰρ ἀπὸ τοῦ λαλῶ λάλος καὶ λαός. καὶ πάλιν ἀποδιδόασί τινες αἰτίαν τοῦ ἠρεμεῖν τὴν γῆν ἀπὸ τῆς σφοδρᾶς καὶ ταχείας περιδινήσεως τοῦ οὐρανίου σώματος, καὶ ἐνίστανται ταύτην εἶναι τὴν αἰτίαν αὐτῆς. οὐκ ἔστι δὲ αὕτη, ἀλλὰ τὸ ἐν τῷ οἰκείῳ τόπῳ εἶναι· πᾶν γὰρ στοιχεῖον ἐν τῷ οἰκείῳ τόπῳ ὂν ἠρεμεῖ ἐν αὐτῷ, ἐν δὲ ἀλλοτρίῳ τόπῳ γενόμενον κινεῖται. οἷον τοῦ πυρὸς τόπος ἐστὶν ἡ κοίλη περιφέρεια τῆς σφαίρας τῆς σελληνιακῆς, ἐν ᾗ ὁ αἰθήρ, ἀλλότριος δὲ ἡ γῆ· καὶ διὰ τοῦτο ἐν τῇ γῇ ὂν ἄνω φέρεται ζητοῦν τὸν οἰκεῖον τόπον. ὡσαύτως δὲ καὶ οἱ ἐπιστάμενοι ἀποδιδόντες τὴν ἀληθῆ αἰτίαν τοῦ πράγματος ἐνίστανται μὴ ἄλλως εἶναι τοῦτο ἔχειν.

p. 71b16 Εἰ μὲν οὖν καὶ ἕτερός ἐστι τοῦ ἐπίστασθαι τρόπος, ὕστερον ἐροῦμεν. Ἔστι μὲν καὶ ἄλλο εἶδος ἐπιστήμης παρὰ τὸ ἀποδοθέν, περὶ οὗ ὕστερον μέλλει διαλαβεῖν· ἔστι δὲ ἐκείνη ἡ ἐπιστήμη κρείττων ἢ κατὰ ἀπόδειξιν, ἤγουν οὐ διὰ συλλογισμοῦ γινώσκει τὰ πράγματα, ἀλλ'

---

1 καὶ κατοῦ E 13 γινώσκομεν E 19 ἄλλα E 26 τὸ ex καὶ corr. E²
28. 29 περιδηνήσεως E

ἁπλαῖς ἐπιβολαῖς ὡς [ἡ] αὐτόπιστος, καθ' ἣν ἐπιστήμην γνῶσιν ἔχομεν τῶν τε κοινῶν ἐννοιῶν καὶ ἀξιωμάτων· οἷον κοινὴ ἔννοιά ἐστιν ὅτι ὁ θεὸς ἀγαθός, ἀξίωμα δὲ τὸ ἐπὶ παντὸς ἡ κατάφασις ἢ ἡ ἀπόφασις. ὥστε νῦν περὶ τῆς ἰσοδυναμουμένης τῇ ἀποδείξει λέγει, οὐ περὶ τῆς γενικῆς καὶ καθόλου, ἀλλὰ περὶ τῆς εἰδικῆς τῆς ἀντιδιῃρημένης τῇ ἐπιστήμῃ, ἣ κρείττων ἐστὶν ἢ κατὰ ἀπόδειξιν. ἰστέον γε μὴν ὅτι ἡ ἀποδεικτικὴ ἐπιστήμη ἀκριβῶς αὐτὸ τὸ τῆς ἀποδείξεως πέρας καὶ ἡ ἕξις ἡ ἐγγινομένη τῇ ψυχῇ, ἀπόδειξις δὲ ἡ ὑπὸ τὴν συλλογιστικὴν ἐπιστήμην καὶ ἡ ὁδὸς ἡ οὕτω γινομένη. |

p. 71 b 19 Εἰ τοίνυν ἐστὶ τὸ ἐπίστασθαι οἷον ἐθέμεθα, ἀνάγκη καὶ τήν. Δείξας τὴν ἐπιστήμην ὅτι γένος ἐστὶ διαιρουμένη εἰς τὴν γνῶσιν τὴν ἐπιγινομένην ἡμῖν ἐν τῷ γινώσκειν τὴν αἰτίαν, δι' ἣν οὕτως ἔχει τὸ πρᾶγμα καὶ οὐκ ἄλλως, καὶ εἰς τὴν γνῶσιν τὴν κρείττονα ἢ κατὰ ἀπόδειξιν, ὁρίζεται νῦν τὴν ἀπόδειξιν λέγων ἀπόδειξιν εἶναι ἐξ ἀληθῶν καὶ πρώτων καὶ ἀμέσων καὶ γνωριμωτέρων καὶ προτέρων καὶ αἰτίων τοῦ συμπεράσματος. καὶ φαμὲν εἰδέναι καὶ ἐπίστασθαι διὰ τῆς τοιαύτης ἀποδείξεως· ἐπιστημονικὸς γὰρ συλλογισμός ἐστιν ἡ ἀπόδειξις, καθ' ὃν ἐπιστάμεθα ἐν τῷ ἔχειν αὐτὸν τὸν συλλογισμὸν τὴν αἰτίαν τοῦ συμπεράσματος καὶ τοῦ πράγματος, δι' ἣν οὕτως ἔχει καὶ οὐκ ἄλλως. ἐπεὶ δὲ πᾶσα ἀπόδειξις καὶ συλλογισμὸς διά τινων μέσων ὅρων περαιοῦται, διὰ τοῦτο τὰς εἰς τὸν ἀποδεικτικὸν συλλογισμὸν παραλαμβανομένας προτάσεις ἀμέσους εἶπε δεῖν εἶναι, τοῦτ' ἔστι μὴ δεῖσθαι μέσου ὅρου, δι' οὗ δείκνυται ὑπάρχειν τῷ ὑποκειμένῳ τὸ κατηγορούμενον. δυνατὸν δὲ ἴσως τὸ πρώτων καὶ ἀμέσων καὶ οὕτως εἰρῆσθαι, διότι ἔστι τινὰ ἄμεσα μέν, οὐ πρῶτα δὲ καὶ προηγούμενα τῶν ἀποδεικτῶν, ἀλλ' ἔσχατα καὶ μερικά, οἷον ὅτι τόδε τὸ ψιμύθιον λευκόν ἐστιν ἄμεσός ἐστι πρότασις (οὐ δεῖται γὰρ μέσου ὅρου εἰς πίστιν) καὶ ὅτι τόδε Σωκράτης ἐστίν. ἀλλ' οὐ τῶν τοιούτων ἀμέσων χρεία εἰς τὴν ἀπόδειξιν, ἀλλὰ τῶν πρώτων καὶ κοινῶν ἐννοιῶν, αἷς τὰ ἀποδεικτὰ ὡς ὕστερα τῇ φύσει προτέροις καὶ ὡς αἰτίοις αἰτιατὰ ἕπονται. καὶ γνωριμωτέρων· δεῖ γὰρ μὴ μόνον ἄμεσα εἶναι καὶ πρῶτα τὰ παραλαμβανόμενα εἰς τὴν ἀπόδειξιν, ἀλλὰ καὶ γνωριμώτερα. δυνατὸν γὰρ καί τινα τῶν κοινῶν ἐννοιῶν καὶ ἀξιωμάτων δι' ἀνεπιστασίαν τοῖς πολλοῖς μὴ εἶναι γνώριμα, οἷον τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα, αὐτόπιστον ὄν, οὐκ ἂν ῥᾳδίως οἱ πολλοὶ γνωρίσαιεν· δεῖ οὖν γνώριμα καθιστάνειν. καὶ προτέρων καὶ αἰτίων τοῦ συμπεράσματος. ὅτι μὲν γὰρ ἐκ προτέρων ἀνάγκη τὴν ἀπόδειξιν εἶναι, σαφές· εἰ γὰρ πρὸς τὴν δεῖξιν παραλαμβάνεται, ἀνάγκη καὶ πρότερα | λαμβάνειν. ἀλλὰ δεῖ τὰ πρότερα ταῦτα καὶ αἴτια εἶναι τοῦ συμπεράσματος. δυνατὸν γὰρ πρότερα λαμβάνειν, μὴ αἴτια δέ· δεῖ δὲ μετὰ τοῦ εἶναι πρῶτα καὶ ἄμεσα ὡς εἰς τὴν ἀπόδειξιν καὶ αἴτια εἶναι· οὕτω γὰρ ἔσονται αἱ ἀρχαὶ οἰκεῖαι τοῦ δεικνυμένου. τὰ προσεχῆ γὰρ αἴτια δεῖ

8v

9r

1 ἡ delevi 2 οἷον κοινῶς E 5 ἢ] ἢ E 7 τὴν ψυχὴν E
39 ὡς] τοὺς E

λαμβάνειν, ἀλλ' οὐχ ἁπλῶς αἴτια. τὰ γὰρ πορρωτέρω αἴτια δύναται καὶ ἄλλων εἶναι αἴτια, καὶ οὐκ οἰκεῖα τοῦ δεικνυμένου. τὰ γὰρ τέσσαρα στοιχεῖα αἴτια μὲν τοῦ ἡμετέρου σώματος, οὐ προσεχῆ δέ· καὶ γὰρ καὶ τῶν ἄλλων συνθέτων σωμάτων· ἡ δὲ τῶν χυμῶν συμμετρία αἰτία τοῦ ἡμετέρου σώ-
5 ματος, τοῦτο μὲν ὡς ὁλικὸν προσεχὲς αἴτιον, ὡς δὲ ποιητικὸν προσεχὲς 10
αἴτιον ὁ πατὴρ καὶ ἡ ἐν ἑκάστῳ μερικὴ φύσις. ὑφ' ἓν οὖν τὸ ὅλον τοῦτο ἀναγνωστέον προτέρων αἰτίων· ὥσπερ γὰρ τὸ ἀμέσων συνέταξε τῷ πρώτων, οὕτω καὶ νῦν φησι πρώτων αἰτίων· πρώτων δὲ εἶπεν οὕτως ἀντὶ τοῦ προσεχῶν. οὕτω γάρ, φησίν, ἔσονται αἱ ἀρχαὶ οἰκεῖαι τοῦ δεικνυ-
10 μένου. τὸ μὲν γὰρ εἰς πίστιν τῆς μοιχείας τὸν καλλωπισμὸν λαμβάνειν 15
οὐκ οἰκεία ἀρχὴ τοῦ συμπεράσματος, οὐδὲ αἴτιον τὸ πρότερον τοῦ δευτέρου. ἀλλὰ καὶ τὸ ἐπὶ τοῦ ζῳδιακοῦ κύκλου κινεῖσθαι τὸν ἥλιον καὶ τὴν σελήνην αἴτιον μέν ἐστι τῆς τοῦ ἡλίου ἐκλείψεως, οὐ προσεχὲς δὲ αἴτιον· τὸ μέντοι ὑποτρεχούσης τῆς σελήνης τὸν ἥλιον καὶ κατὰ κάθετον αὐτῷ γινομένης 20
15 τὴν ἡλιακὴν ἔκλειψιν γίνεσθαι οἰκεία τε καὶ προσεχὴς ἀρχὴ τῆς ἀποδείξεως τῆς περὶ τῆς ἐκλείψεως τοῦ ἡλίου. δεῖ δὲ καὶ τὴν τῆς ἀποδείξεως πρόοδον ἀπὸ τῶν αἰτίων καὶ πρώτων τὴν ἀρχὴν ποιεῖσθαι καὶ τελευτᾶν εἰς τὰ αἰτιατά τε καὶ ὕστερα, οἷον ἐκ τῆς ἀντιφράξεως ἄρχεσθαι καὶ τελευτᾶν εἰς τὴν ἔκλειψιν. εἰ γὰρ ἀπὸ τοῦ αἰτιατοῦ ἐπὶ τὸ αἴτιον παλινδρομήσομεν, 25
20 οὐκέτι ἀπόδειξις τὸ τοιοῦτον, ἀλλὰ τεκμήριον. οὕτω γάρ, φησίν, ἔσονται καὶ αἱ ἀρχαὶ οἰκεῖαι τοῦ δεικνυμένου, ἤγουν τοῦ συμπεράσματος· συλλογισμὸς γὰρ ἔσται καὶ ἄνευ τούτων, ἤγουν τοῦ λαβεῖν προτάσεις ἀληθεῖς καὶ ἀμέσους καὶ τὰ ἑξῆς, ἀπόδειξις δέ, ἤγουν ἀποδεικτικὸς συλλο- 30
γισμός, οὐκ ἂν γένοιτο· ἄνευ γὰρ τοῦ λαβεῖν οἷας εἴπομεν | προτάσεις 9v
25 οὐ ποιήσει ἐπιστημονικὸν καὶ ἀποδεικτικὸν συλλογισμόν.

p. 71b25 Ἀληθεῖς μὲν οὖν δεῖ εἶναι τὰς προτάσεις. Ἀληθῆ μὲν οὖν δεῖ' φησὶν ἐπεξηγούμενος ἕκαστον τῶν ἀπηριθμημένων, 'διότι οὐκ ἔσται ἡμῖν ἐπίστασθαι καὶ ἀποδεῖξαι εἰ μὴ ἐξ ἀληθῶν, ἀλλὰ λαβοῦσι τὸ μὴ ὄν.' 5

---

7 τῷ πρώτω E 9 ἡ ἀρχὴ οἰκεία E

EUSTRATII

IN ANALYTICORUM POSTERIORUM

LIBRUM SECUNDUM

COMMENTARIUM

ΕΥΣΤΡΑΤΙΟΥ ΥΠΟΜΝΗΜΑ
ΕΙΣ ΤΟ ΔΕΥΤΕΡΟΝ ΤΩΝ ΔΕΥΤΕΡΩΝ ΑΝΑΛΥΤΙΚΩΝ
ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΟΥΣ

Τὸν σκοπὸν τοῦ δευτέρου βιβλίου τῶν Ὑστέρων Ἀναλυτικῶν τοῦ Ἀριστοτέλους περὶ τοῦ ὁρισμοῦ εἶναι ὁ Ἀλέξανδρος εἴρηκεν. ἐπεὶ γάρ, φησί, δύο λόγοι τῆς μετὰ λόγου καὶ διανοίας θεωρίας, ὁ μὲν δι' ὁρισμοῦ, ὁ δὲ δι' ἀποδείξεως, περὶ ἐπιστήμης εἰπεῖν ἐξ ἀρχῆς προθέμενος καὶ τὴν ἀπόδειξιν παραδοὺς πρότερον τί τέ ἐστι καὶ πῶς γίνεται, νῦν διδάσκει καὶ περὶ ὁρισμῶν. καὶ ἕτεροι δέ τινες τῶν μεταγενεστέρων ἐξηγητῶν περὶ τῆς τοῦ ὅρου κατασκευῆς ἔφασαν ἐνταῦθα τῷ Ἀριστοτέλει προκεῖσθαι· δοκεῖ δὲ ταῦτα πρὸς τὴν ἐπιγραφὴν ἀκατάλληλα. εἰ γὰρ οὗτος αὐτῷ ὁ σκοπός, ἔδει μὴ Ἀναλυτικὰ τὴν πραγματείαν ἀλλ' Ὁριστικὰ ἐπιγράφεσθαι ἢ Περὶ ὅρου ἢ ἄλλως πως, ὡς ἂν ᾖ τῷ σκοπῷ καὶ ἡ ἐπιγραφὴ συνῳδός. νῦν δὲ αἱ μὲν ἐπιστῆμαι αὗται πρὸς ἀλλήλας ἀντιδιήρηνται, λέγω δὴ ἀναλυτικήν τε καὶ ὁριστικήν, καὶ ἕτεραι ἀλλήλων τῷ εἴδει εἰσίν· ἐν δὲ τῇ τῆς ἑτέρας παραδόσει τὴν ἑτέραν ἐπιγράφειν δόξειεν ἂν ἴσως ἄλογον. οὐδὲ τοῦτο δὲ εὔλογον ὅτι ἐπειδὴ μὴ ἁπλῶς περὶ ὅρου παραδίδωσιν ἀλλ' ὅσον ἀνήκει τῇ ἀποδείξει, τούτου ἕνεκεν Ἀναλυτικὰ καὶ τοῦτο τὸ βιβλίον ἐπέγραψε. πρῶτον μὲν γὰρ ὁ ταῦτα λέγων οὐ παρίστησιν αὐτόθεν τῷ λόγῳ, πῶς τοσοῦτον ἐνταυθοῖ περὶ ὅρου παραδίδοται, ὅσον ἀνήκει τῇ ἀποδείξει· οὔτε γὰρ τοῦτο ἐκ τούτου παρίσταται οὔτε μὴν ὅτι τοσοῦτον ἐνταυθοῖ παραδίδοται. ἔπειτα οὐδ' οὕτως ἔδει Ἀναλυτικὰ τὴν περὶ ὅρου ἐπιγράφειν παράδοσιν, ὅτι κατὰ τὴν χρείαν τῆς Ἀναλυτικῆς γίνεται, ἀλλ' ἐξ αὐτοῦ μᾶλλον τοῦ προκειμένου ἐχρῆν ὀνομασθῆναι τὸ βιβλίον, ἐπεὶ καὶ πολλὰς πραγματείας εὑρήσομεν εἰς ἑτέρας ἀναφερομένας ὡς εἰς ἐκείνας συμβαλλομένας, ἀλλ' οὐκ ἐξ ἐκείνων ὀνομαζομένας εἰς ἃς συμβάλλονται, ἀλλ' ἐκ τῶν καθ' ἑαυτὰς προκειμένων αὐταῖς. ὡς ἐπὶ πᾶν γὰρ αἱ ἐπιγραφαὶ τῶν πραγματειῶν τὸν προκείμενον

---

12 ἐπιγράφεσθαι scripsi: ἐπιγράφεται Aa 13 νῦν δὲ] incipit E 14 ἀλλήλας E: ἀλλήλοις Aa δὴ scripsi: δὲ libri 14. 15 ὁριστικήν τε καὶ ἀναλυτικὴν coll. E 16 ἴσως E: ἴσος Aa οὐδὲ Aa: οὐδὲν E 20 περὶ τοῦ ὅρου ἐνταυθοῖ E 20. 21 ὅσον ἀνήκει — παραδίδοται om. E 22 ἔδει om. E 25 ὡς εἰς — συμβαλλομένας A: om. E: εἰς om. a ἐξ om. E

σκοπὸν περιέχειν ἐν βραχεῖ ἐπαγγέλλονται. τί οὖν ἐροῦμεν; ἢ ὅτι ἐπειδὴ 1
περὶ ἀποδείξεως καὶ ἐπιστήμης ἀποδεικτικῆς ἐν τοῖς Ὑστέροις Ἀναλυτικοῖς
ἡ πρόθεσις ἦν, ἐν μὲν τῷ πρὸ τούτου βιβλίῳ τό τε εἶναι ἀπόδειξιν καὶ
τί εἶναι ἀπόδειξιν παραδέδωκεν, ἔτι τε διὰ τίνων γίνεται καὶ τί τῶν ἄλλων
5 διαφέρει συλλογισμῶν, καὶ ὅτι ἐν μὲν τοῖς ἄλλοις συλλογισμοῖς ὁ μέσος 25
τοῦ συμπεράσματος αἴτιος. οὐχὶ καὶ τοῦ πράγματος, ἐν δὲ τῷ ἀποδεικτικῷ
συλλογισμῷ δεῖ τὸν μέσον καὶ τοῦ πράγματος εἶναι αἴτιον καὶ μὴ μόνον
τοῦ συμπεράσματος, ἔδει δὲ ἐξ ἀνάγκης καὶ περὶ τοῦ μέσου διδάξαι καὶ
γνωρίσαι ὁποῖος οὗτος εἶναι ὀφείλει καὶ πῶς καὶ τοῦ πράγματος αἴτιός ἐστι,
10 διὰ τοῦτο ἐν τῷ παρόντι βιβλίῳ ἰδίαν διδασκαλίαν περὶ τοῦ μέσου ποιεῖται,
δεικνὺς εὐθὺς ἐξ ἀρχῆς τοῦ βιβλίου ὅτι ἀναγκαῖον περὶ τοῦ κατὰ τὴν ἀπό-
δειξιν μέσου εἰπεῖν. ὁ γὰρ περὶ τῶν τεσσάρων ζητημάτων λόγος ὃν τοῦ 30
βιβλίου ἀρχόμενος εὐθὺς ποιεῖται, οὐδὲν ἄλλο ἐστὶν ἢ κατασκευὴ τοῦ δεῖν
περὶ τοῦ μέσου ζητῆσαι καὶ ἐξετάσαι ὡς ἂν μετ' ἐπιστήμης καὶ οὗτος ἐν
15 τῇ ἀποδείξει παραλαμβάνηται. τεσσάρων γὰρ ὄντων καθόλου τῶν ζητου-
μένων ἐν ἑκάστῳ τούτων, ὡς αὐτὸς παραδίδωσι, περὶ τοῦ μέσου ἐστὶν ἡ
ζήτησις. καὶ ἐπεὶ οὕτως ἀναγκαῖός ἐστιν ὁ μέσος, ὡς ἐν παντὶ ζητήματι
τούτου εἶναι τὴν ζήτησιν, ἔδει περὶ αὐτοῦ οὐ κατὰ πάρεργον εἰπεῖν, ἀλλ'
ἰδίαν πραγματείαν συστήσασθαι. παραδίδωσι μὲν οὖν περὶ ὅρου, ἀλλὰ 35
20 κατὰ συμβεβηκός· οὐ γὰρ ἡ ὅρος, ἀλλ' ἡ μέσος τῆς ἀποδείξεως. περὶ μὲν
γὰρ ὅρου ἡ ὅρος ἐν τῷ Ζ τῆς Μετὰ τὰ φυσικὰ πραγματείας διδάσκει, ἐν
ταῦθα δὲ οὐχ ἡ ὅρος, ἀλλ' ἡ αἴτιος καὶ μέσος ἐν τῇ ἀποδείξει ἐστίν, ὡς
δὴ καὶ περὶ τῶν λοιπῶν αἰτίων, τοῦ ποιητικοῦ λέγω, τοῦ ὑλικοῦ καὶ τοῦ
τελικοῦ· περὶ τούτων γὰρ οὐχ ἁπλῶς, ἀλλ' ἡ μέσοι ἐν ἀποδείξει παρα-
25 λαμβάνονται, διδάσκει ἐνταυθοῖ. ἐπεὶ οὖν περὶ τοῦ ἐν τῷ ἀναλυτικῷ
συλλογισμῷ μέσου ἐνταῦθα παραδίδοται. μέρος δὲ καὶ αὕτη ἡ διδασκαλία 40
τῆς ἀναλυτικῆς, διὰ τοῦτο καὶ προσφυῶς Ἀναλυτικὰ ἐπιγέγραπται. ἐν-
τεῦθεν δὲ δῆλον καὶ τὸ παρὰ Ἀλεξάνδρου λεγόμενον τὸ τοσοῦτον διδάσκειν
περὶ τοῦ ὅρου ὅσον ἀνήκει τῇ ἀποδεικτικῇ. ἐπεὶ γὰρ ὡς περὶ μέσου ἐν
30 τῇ ἀποδείξει λαμβανομένου καθ' αὑτὸ ἐνταῦθα παραδίδοται, οἰκείως αὐτῇ
παραδίδοται καὶ ἐφ' ὅσον ταύτῃ δεῖ, κἂν τρόπον ἢ καὶ τρόπους τῆς αὐτοῦ
τούτου κατασκευῆς παραδίδωσι, τούτου ἕνεκα τοῦτο ποιεῖ, ἵνα ἔχωμεν τὸ
ἀποδεικτικὸν μέσον ἐπιστημονικῶς εὑρημένον καὶ ἀναμφίβολον. 45

Ἐπεὶ δὲ καὶ τοῦτο τοῖς παλαιοῖς ἐξηγηταῖς παραλέλειπται, τίνος ἕνεκεν
35 Ἀναλυτικὰ ἡ Ἀποδεικτικὴ ὀνομάζεται, χρὴ καὶ περὶ τούτου προσθεῖναι·
ἡ γὰρ ἐν τοῖς Προτέροις ἀναλυτικοῖς παρὰ τοῖς ἐξηγηταῖς κειμένη ἀπόδοσις
ἐκείνοις μὲν ἴσως ἁρμόσει, τῇ δέ γε Ἀποδεικτικῇ οὐδαμῶς. οὐ γὰρ ἡ
ἀποδεικτικὴ ἐπιστήμη ἀτελεστέρα τῆς εἰς τὰ σχήματα ἀναγούσης τῶν
συλλογισμῶν ἕκαστον, ἵν' ἐξ ἐκείνης καὶ αὐτὴ ὀνομάζηται, εἴ γε καὶ τέλος

2 καὶ ἐπιστήμης—ζήτησις (17) om. E 9 καὶ post πῶς om. a 17 ὁ μέσος ἐστὶν coll. E 25 ἐπειδὴ E 27 καὶ om. E 29 μέσου—οὐ γὰρ ἡ (37) om. E 31 αὐτοῦ om. a 34 καὶ om. a 38 ἐπιστήμη] ἐπιγίνεται E ἀναγούσης] οὔσης E 39 ἐκείνου A

ἡ ἀπόδειξις τῶν πρὸ αὐτῆς ἐστι πασῶν περὶ τῶν συλλογισμῶν παρα- 50
δόσεων· καὶ τοῦτο καὶ αὐτὸς ὁ Ἀριστοτέλης μαρτυρεῖ ἐκ πρώτης αὐτῆς
ἀρχῆς κοινῶς τὴν σκέψιν εἰπὼν περί τε ἀποδείξεως καταγίνεσθαι, καὶ
ἐπιστήμης εἶναι σκέψιν ἀποδεικτικῆς. τί οὖν φαμεν; τὸ τῆς ἀναλύσεως
5 ὄνομα ἐπὶ τῶν ἀνιόντων ἔοικε τεθεῖσθαι ἀπὸ τῶν ἐκ τῶν ἀρχῶν ἐπὶ τὰς
ἀρχάς, ὡς καὶ αὐτὸ | τοὔνομα δηλοῖ· ἀνάλυσις γάρ ἐστιν ἡ εἰς τὰ ἄνω καὶ 2
εἰς τὰ πρότερα λύσις τῶν δευτέρων καὶ ἐξ αὐτῶν ἀποτελουμένων. καὶ τάχα
μεταφορικῶς εἴληπται ἀπὸ τῶν ἀποδημούντων καὶ ἀναστρεφόντων εἰς τὰ
οἰκεῖα· ὁ γὰρ ἐκ τῆς πατρίδος ἀποδημήσας, εἶτα ὑποστρέφων ὅθεν ἐξελήλυθεν
10 ἀναλύειν λέγεται. ὥσπερ δὲ ὅ τε ὁρισμὸς ἥ τε ἀπόδειξις ἥ τε διαίρεσις
πολλαχῶς λέγεται, οὕτω δὴ καὶ ἡ ἀνάλυσις. ἔστι μὲν γὰρ ἀνάλυσις ἡ ἀπὸ 5
τῶν συνθέτων ὁδὸς εἰς τὰ ἁπλᾶ, ἐξ ὧν συνετέθησαν ὡς ἐκ συντε-
ταγμένων ἀρχῶν, ταὐτὸν δὲ εἰπεῖν στοιχείων. ἔστι δὲ τῶν συλλογισμῶν
ἀνάλυσις εἰς τὰ σχήματα ὡς εἰς ἀρχάς τινας ἤτοι κανόνας τεχνικοὺς καὶ
15 ἐπιστημονικούς· καὶ ἑτέρα αὖθις ὡς εἰς στοιχεῖα τὰς προτάσεις ἢ τοὺς
ὅρους, ἐξ ὧν πρώτων συντέθεινται. ἔστιν ἀνάλυσις καὶ ἡ ἀπὸ τῶν μερικω-
τέρων ἄνοδος ἐπὶ τὰ καθολικώτερα, οἷον ἀπὸ τῶν καθ' ἕκαστα ἐπὶ τὰ
εἰδικώτατα καὶ ἀπὸ τούτων ἐπὶ τὰ ὑπὲρ αὐτὰ γένη, ᾗ καὶ χρῆται ὁ
Ἀριστοτέλης ἐν τῷ προκειμένῳ βιβλίῳ, δι' αὐτῆς εὑρίσκειν τοὺς ὁρισμοὺς 10
20 προτρεπόμενος, ὡς τὸν κοινῶς εὑρισκόμενον λόγον τοῖς ὁμοειδέσι τοῖς καθ'
ἕκαστα ὁρισμὸν εἶναι τοῦ εἴδους, καὶ τὸν κοινῶς εὑρισκόμενον λόγον τοῖς
ὁμογενέσιν εἴδεσιν ὁρισμὸν ὑπάρχειν τοῦ γένους· ἣν καὶ τῆς διαιρετικῆς
ὑπερτίθησιν ὡς ῥᾷον ἢ ἐκείνη καὶ ἀσφαλέστερον τοὺς ὁρισμοὺς θηρᾶν
δυναμένην. ἔστι καὶ γνωστοῦ τινος ἀνάλυσις εἰς τὰς ἀρχὰς καὶ τὰ
25 αἴτια, ὅθεν τὸ εἶναι ἔχει καὶ τὸ γινώσκεσθαι, καθ' ὃν δὴ τρόπον καὶ ἡ
ἀποδεικτικὴ ἀναλυτικὴ ὀνομάζεται. ἐπεὶ γὰρ ὡς ἐπὶ πᾶν ἐξ ἀναλύσεως 15
ἡμῖν αἱ ἀρχαὶ ταύτης εὑρίσκονται ἀπὸ τῶν ἡμῖν προτέρων ἀνιοῦσιν ἐπὶ τὰ
τῇ φύσει πρότερα, τουτέστι τῶν αἰτιατῶν ἐπὶ τὰ αἴτια, διὰ τοῦτο αὐτή
τε ἀναλυτικὴ ὀνομάζεται καὶ ὁ κατ' αὐτὴν συλλογισμὸς ἀναλυτικός. ὅτι
30 γὰρ ἡ σελήνη ἐξ ἀντιφράξεως τῆς γῆς ἐκλείπει, ἐκ τῶν ὑστέρων ἐπὶ τὰ
πρότερα ἀνιόντες γνωρίζομεν, καὶ τότε τὴν ἀπόδειξιν συντίθεμεν. ὅτι μὲν
γὰρ ἐκλείπει αἰσθήσει γινώσκεται, τὸ δὲ τούτου αἴτιον ὕστερον εὑρίσκουσα
ἡ διάνοια τὴν περὶ τούτου ἐπιστήμην συνίστησιν· ἡ σελήνη ἐκλείπει,
τὸ ἐκλεῖπον ἀντιφράττεται, ἡ σελήνη ἄρα ἀντιφράττεται. τοῦτο ἀνάλυσις ἐκ 20
35 τῶν αἰτιατῶν ἰοῦσα ἐπὶ τὰ αἴτια. εἶτα ἀπόδειξις ἐκ τῶν αἰτίων ἐπὶ τὰ
αἰτιατὰ κατιοῦσα· ἡ σελήνη ἀντιφράττεται, τὸ ἀντιφραττόμενον ἐκλείπει, ἡ
σελήνη ἄρα ἐκλείπει. πάλιν ἡ γῆ σείεται, σειομένης αὐτῆς πνεῦμα ἐν τοῖς

---

1 περὶ] καὶ E 2 ὁ om. E Ἀριστοτέλης μαρτυρεῖ] Anal. pr. A 1 p. 24a 10
2. 3 ἀρχῆς πρώτης αὐτῆς coll. E 3 ἀπόδειξιν E 5 ante ὄνομα add. ὃν Aa
ἀρχῶν εἰς τὰς E 6 ἡ om. E 8 ἀποδημάτων Aa ἀνατρεφόντων libri
10 ὥσπερ δὴ E 12 post ἐκ add. τῶν E 20 προτρεπόμενος — ὅτι γὰρ (29. 30)
om. E λόγος a 31 συντιθέαμεν (sic) Aa: ποιοῦμεν E 32 αἴτιον
ἀνευρίσκουσα E 35 post εἶτα add. ἡ Aa

κοιλώμασιν αὐτῆς καὶ σήραγξιν ἀποκλείεται, ἐν τῇ γῇ ἄρα πνεῦμα ἀπο- 2
κλείεται· τοῦτο ἀνάλυσις. εἶτα ἀπόδειξις· ἐν τῇ γῇ πνεῦμα ἀποκλείεται,
πνεύματος ἀποκλειομένου σεισμὸς γίνεται· ἐν γῇ ἄρα σεισμὸς γίνεται. ἢ 25
οὖν διὰ ταύτην τὴν αἰτίαν ἀναλυτικὴ ἡ ἀποδεικτικὴ ὀνομάζεται, ἢ ἐπειδὴ
5 τὸ κῦρος ἅπαν ἐν τῇ ἀποδείξει ὁ μέσος ἔχει, οὗτος δέ ἐστιν ὁ λόγος καὶ
τὸ τί ἦν εἶναι τοῦ πράγματος, τοῦτο δ' ἐξ ἀναλύσεως εὑρίσκεται, ὡς αὐτὸς
παραδίδωσι, διὰ τοῦτο ἀναλυτικὴ ἡ ἀποδεικτικὴ ἐπωνόμασται, διὰ τὸ ἐξ
ἀναλύσεως πρώτης προβαίνειν τε καὶ συνίστασθαι. οὐ γὰρ ἂν εἴη ἀπόδειξις,
εἰ μὴ ὅρος, οὐκ ἂν δὲ ὅρος, εἰ μὴ ἀνάλυσις, καθὼς ὁ Ἀριστοτέλης φησίν·
10 οὐκ ἂν ἄρα ἀπόδειξις, εἰ μὴ ἀνάλυσις.

Εἴποι δ' ἄν τις καὶ οὕτως ὡς τὰ μὲν Πρότερα Ἀναλυτικὰ διὰ τὴν 30
προτέραν αἰτίαν οὕτως ὠνόμασται, ὡς τελεωτέρας οὔσης παρ' αὐτῆς θεωρίας
τῆς εἰς τὰ σχήματα τῶν συλλογισμῶν ἀναλύσεως, τὸ δὲ πρὸ τούτου βιβλίον
διὰ τὴν δευτέραν, ὡς ἐξ ἀναλύσεως τῶν ἀρχῶν εὑρισκομένων τῆς ἀπο-
15 δείξεως, καθὼς εἴρηται. τὸ προκείμενον δὲ βιβλίον οὕτωσὶ ἐπιγέγραπται,
ἐπειδὴ περὶ τοῦ μέσου μὲν διδάσκει ἀποδείξεως, ὅστις ὁ τοῦ τί ἦν εἶναι
λόγος ἐστίν, οὗτος δὲ διὰ τῆς ἀπὸ τῶν περιεχομένων ἐπὶ τὰ περιέχοντα
ἀνόδου εὑρίσκεται, ὡς δὴ προϊὼν Ἀριστοτέλης ἐρεῖ, τοῦτο δέ ἐστι τρόπος 35
ἀναλύσεως. καὶ οὕτως ἑκάστῳ τῶν βιβλίων τουτωνὶ οἰκεία αἰτία τῆς ἐπι-
20 γραφῆς ἀποδίδοται. ἴσως δὲ καὶ ἐξ αὐτῆς τῆς ἐπιγραφῆς ἐνδείκνυται τὸ
μὴ συναρέσκεσθαι τοῖς ἐπιχειροῦσιν ἀπογεννᾶν τοὺς ὁρισμοὺς ἐκ τῶν
διαιρέσεων, καθὼς ἐποίουν οἱ περὶ Πλάτωνα, ὡς ἀκριβεστέρας οὔσης καὶ
ἀπταιστοτέρας τῆς ἀναλύσεως εἰς τὸ ἀπογεννᾶν τοὺς μέσους τῶν ἀποδείξεων.

Τεσσάρων δὲ ὄντων αἰτίων κατὰ Ἀριστοτέλην περὶ τοῦ εἰδικοῦ ὁ
25 πλεῖστος λόγος αὐτῷ ἐνταυθοῖ, διότι καὶ τοῦτο ἐν ταῖς ἀποδείξεσι μέσον ὡς 40
ἐπὶ τὸ πλεῖστον παραλαμβάνεται. τὸ μὲν γὰρ ὑλικὸν χεῖρον τῶν αἰτίων,
καὶ ἡ ἐκ τούτου γνῶσις ἀμαυροτέρα, συμπαρομαρτοῦν ἔχουσα τὸ τῆς
τοιαύτης αἰτίας ἀχλυῶδές τε καὶ ἀβέβαιον. τὸ δέ γε ποιητικὸν καὶ τὸ
τελικὸν ἢ ἄμφω ἐξῄρηται τοῦ οὗ ἐστιν αἴτια, ἢ εἴ ποτε τούτων θάτερον
30 ἔχεται, ταὐτὸν τῷ εἴδει ἔστι· τοῦτο δέ ἐστι τὸ τέλος. μόνον δὲ τὸ εἶδος
ἀεί τε οἰκεῖον καὶ τελειωτικὸν τῆς οὐσίας τοῦ πράγματος καὶ τὴν γνῶσιν
αὐτοῦ καθαρὰν παρεχόμενον· διὰ τοῦτο καὶ αἱ πλείους τῶν ἀποδείξεων 45
τοῦτο μέσον παραλαμβάνουσι.

Τεσσάρων δὲ καὶ τῶν μεθόδων οὐσῶν κατὰ γένος, δι' ὧν πᾶσα διδα-
35 σκαλία καὶ μάθησις ἐπιστημονικὴ περιγίνεται, ὁριστικῆς τε καὶ ἀποδεικτικῆς
διαιρετικῆς τε καὶ ἀναλυτικῆς, οὐκ ἂν δικαίως περιττὸν δόξαι, ἐν τῷ περὶ

---

1 ἢ σήραγξιν αὐτῆς Aa 3. 4 ἢ οὖν om. E 6 εἶναι om. E
8 οὐ γὰρ ἂν ex κἂν ἄρα corr. A: οὐκ ἂν γὰρ E εἴη om. Aa 12 παρ' αὐτοῖς E 13 βιβλίου E 14 ἀναλύσεως ἄλλης εὑρισκομένης E 16 ἦν E: om. Aa 18 δὴ E: ἐστὶ Aa 21 συναρέσθαι E 24 δὲ] οὖν E
25 ante μέσον add. ἐστὶ A 28. 29 καὶ τελικὸν E 30 post ταὐτὸν add. τότε E 33 μέσων Aa παραλαμβάνουσα E 35 ἐπιστημονικὴ om. E
36 δόξαι scripsi: δόξῃ libri

ἀποδείξεως λόγῳ καὶ ὁρισμοῦ εἰπεῖν ἁπλῶς περὶ τῶν τεσσάρων τί τέ εἰσι 2
καὶ διὰ τί, τί τε τὸ ἔργον ἑκάστῳ καὶ πῶς πρὸς ἀλλήλας ἔχουσιν. ἀτάρ τοι
μέθοδοι μέν εἰσιν ἐννοηματικαί, δι' ὧν ὁ ἀνθρώπινος νοῦς τὰ οἰκεῖα κατα- 50
λαμβάνει ζητήματα· εὕρηνται δέ, ἵν' ὦσιν ὁδοὶ τῷ νῷ τῷ ἀνθρωπίνῳ πρὸς
5 τὴν τῶν ἀφανῶν εὕρεσιν. ἔργον δέ ἐστι τῆς μὲν ὁριστικῆς τὸ τὴν ἰδίαν
οὐσίαν τοῦ προκειμένου δηλοῦν, τῆς δὲ ἀποδεικτικῆς τὸ δεικνύειν τὰ καθ'
αὐτὸ συμβεβηκότα διὰ μέσων τῶν αἰτίων τοῖς οἰκείοις ὑποκειμένοις ὑπάρ-
χοντα, τῆς δέ γε διαιρετικῆς τὸ τὰ γένη τῶν εἰδῶν εἴτε τῶν ὑπαλλήλων
εἴτε τῶν εἰδικωτάτων λαμβάνειν καὶ διαιρεῖν αὐτὰ ταῖς εἰδοποιοῖς διαφοραῖς,
10 μηδὲν ὑπερβαίνουσαν μεταξύ· τῆς δὲ ἀναλυτικῆς | τὸ ἐκ τῶν ἀτόμων τε 3
καὶ καθ' ἕκαστον ἀνιέναι ἐπὶ τὰ εἰδικώτατα καὶ ἀπὸ τῶν εἰδικωτάτων
ἐπὶ τὰ ὑπάλληλα, καὶ ἁπλῶς ἀπὸ τῶν ὑστέρων τε καὶ ὑποκειμένων ἐπὶ
τὰ πρότερα καὶ κατηγορούμενα. πολλῶν γὰρ ὄντων σημαινομένων διαιρέσεώς
τε καὶ ἀναλύσεως, αὗται μόναι κυρίως εἰσὶν αἱ εἰρημέναι ὡς καὶ εἰς τοὺς
15 ὁρισμοὺς συντελοῦσαι καὶ εἰς τὰς ἀποδείξεις· ἃς καὶ Ἀριστοτέλης ἐν τῷ
προκειμένῳ παραλαμβάνει βιβλίῳ εἰς τὴν τῶν ὁρισμῶν εὕρεσιν, ἀμφοτέρας 5
μὲν λέγων συντελεῖν εἰς αὐτήν, τὴν δέ γε ἀνάλυσιν τῆς διαιρέσεως προ-
τιθέμενος.

Τὰ μὲν δὴ τῶν τεσσάρων ἑκάστης ἔργα ταδί, λοιπὸν δ' ἂν εἴη καὶ
20 πῶς πρὸς ἀλλήλας ἔχουσιν εἰπεῖν. ἔχει γὰρ ἀμφισβήτησιν, πότερον
ἀρχηγικαί εἰσι καὶ αἴτιαι τῆς ὁριστικῆς καὶ τῆς ἀποδεικτικῆς αἱ λοιπαί,
ἐπεὶ δι' αὐτῶν ὁρῶμεν εὑρισκομένους τοὺς ὁρισμούς, ἢ τοῦτο μὲν οὐχί,
ὡς ὑπηρέτιδες δὲ αὗται ἐκείναις ὑπόκεινται, ὡσπερεὶ διακονοῦσαι αὐταῖς
καὶ τῷ ἐπιστήμονι λόγῳ τὴν ἐξ ἐκείνων προσγινομένην τοῖς πράγμασι 10
25 προετοιμάζουσαι εἰδοποίησιν. εἰ μὲν γὰρ ὡς αἴτιαι προκατῆρχον ἐκείνων
αὗται, αὐτοτελεῖς ἂν ἦσαν καθ' ἑαυτὰς καὶ οὐ πρὸς ἐκείνας ἀναφερόμεναι·
νῦν δὲ πρὸς ἐκείνας αὐτὰς ἔστιν ἀφορώσας ἰδεῖν, ὥσπερ ἂν εἴποι τις τὴν
πριστικὴν καὶ τὴν μεταλλικὴν πρὸς τὴν χρυσοχοϊκὴν καὶ τεκτονικήν,
εὐεργοὺς αὐταῖς τὰς ὕλας ἀποτελούσας. τὰ γὰρ γένη ὕλαι τῶν ὁρισμῶν,
30 ἅπερ δὴ ἀδιάρθρωτα ὄντα παραλαβοῦσα ἡ διαίρεσις διαρθροῖ ταῖς δια-
φοραῖς καὶ ἐπιτήδεια πρὸς τὴν τῶν ὁρισμῶν σχημάτισιν ἀπεργάζεται, εἶτα 15
τοιαῦτα γενόμενα ἡ ὁριστικὴ δεξαμένη καὶ τὴν προσήκουσαν αὐτοῖς τάξιν
προσθεῖσα καὶ σύνθεσιν τοὺς ὁρισμοὺς ἀπεργάζεται. ὡσαύτως ἡ ἀναλυτικὴ
ἄνεισι μὲν ἀπὸ τῶν ἀτόμων ἐπὶ τὰ εἰδικώτατα καὶ ἀπὸ τούτων ἐπὶ τὰ
35 ὑπὲρ αὐτὰ γένη, καὶ ἀνευρίσκει ἀεὶ τὰ τοῖς ὑποκειμένοις κοινά, καὶ ταῦτα
προτίθησι τῇ ὁριστικῇ· ἡ δὲ λαβοῦσα καὶ συνθεῖσα προσηκόντως τὰ μὲν

---

1 λόγῳ E: λέγειν Aa περὶ—τεσσάρων om. E 4 τῷ ἀνθρωπίνῳ E: τοῦ ἀνθρώπου Aa 7 τῶν αἰτίων μέσων coll. Aa 9 εἰδικωτάτων] γενικωτάτων E 11 ἐπὶ] ἐπεὶ E 15 καὶ post ἃς om. Aa 16 παραλαμβάνει Aa: λαμβάνει E 20 εἰπεῖν E: ἐρεῖν Aa 22 εὑρισκομένους ὁρῶμεν coll. E 23 ἐκείναις E: ἐκείνης Aa ὥσπερ E 25. 26 αὗται ἐκείνων coll. E 27 τις E: τῆς Aa 28 καὶ μεταλλικὴν Aa 29 αὐτῶν καὶ ὕλας E 31 σχημάτησιν E 33 προσθεῖσα E: προσθέσεως Aa 36 προσηκόντως om. E

τοῖς καθ' ἕκαστα κοινὰ ὁρισμοὺς τῶν εἰδῶν ἀπεργάζεται, τῶν γενῶν δὲ 3
αὖθις τὰ κοινὰ τοῖς εἴδεσιν· ὡς εἰ ἀφέλοι τις ἀπὸ τῆς διαιρετικῆς καὶ 20
τῆς ἀναλυτικῆς τὸ πρὸς τοὺς ὁρισμοὺς ἀποβλέπειν καὶ πρὸς τούτους λυσι-
τελεῖν, ἀτελεῖς τε ἔσονται, καὶ ἢ οὐδ' ὅλως ἢ ἐπὶ βραχὺ χρησιμεύουσαι.
5 αὗται μὲν οὖν οὕτως· ἡ δέ γε ὁριστικὴ καθ' ἑαυτήν τε αὐτοτελής ἐστι
τὰς οὐσίας τῶν πραγμάτων παραδιδοῦσα, συνίστησι δὲ καὶ τὴν ἀποδεικτικὴν
τὸ μέσον καὶ αἴτιον αὐτῇ παρέχουσα, οὐ χωρὶς ἀπόδειξιν γενέσθαι ἀδύνατον.
τὸ κῦρος οὖν ἅπαν τῇ ὁριστικῇ ὁ λόγος ἀποδίδωσι, μετὰ δ' αὐτὴν τὴν
ἀποδεικτικὴν τίθεται ὡς ἐξ αὐτῶν ἀποβαίνουσαν, τὰς δὲ λοιπὰς ὑπουργοὺς 25
10 τούτων κρίνει καὶ ὑπηρέτιδας, τῆς μὲν ὁριστικῆς προηγουμένως, διὰ μέσης
δ' αὐτῆς καὶ τῆς ἀποδεικτικῆς. ἡ δὲ ὁριστικὴ τῆς ἀποδεικτικῆς προηγεῖται,
εἴ γε ἡ μὲν τὰς οὐσίας τῶν πραγμάτων, ἡ δὲ τὰ ἑπόμενα αὐταῖς ἀπο-
δίδωσιν· ὡς οὖν ἡ οὐσία πρὸς τὰ ἑπόμενα, οὕτως ἡ ὁριστικὴ πρὸς τὴν
ἀποδεικτικήν.

15 Οὐ περιττὸν δ' οἶμαι καὶ περὶ τοῦ ποσοῦ τούτων εὑρεῖν, διὰ τί τέσσαρες
ἀλλ' οὐ πλείους ἢ καὶ ἐλάττους αἱ κοιναὶ τῆς διδασκαλίας καὶ τῆς μαθήσεως 30
μέθοδοι. ἢ γὰρ τὰς οὐσίας ἐπιστημονικῶς μαθεῖν ἐξετάζομεν ἢ τὰ ταύταις
ἑπόμενα. πρὸς μὲν οὖν τὰς οὐσίας τῇ ὁριστικῇ χρώμεθα, ἐκ δὲ τῶν
δηλωτικῶν τοῦ τί ἦν εἶναι λόγων εἰς ἔννοιαν τῶν ἑπομένων ἐρχόμενοι
20 τὴν ἀποδεικτικὴν εἰς τὴν τῶν τοιούτων κατασκευὴν παραλαμβάνομεν. ἐπεὶ
δὲ ὅλης δεῖ τῇ ὁριστικῇ πρὸς τὴν τῶν ὁρισμῶν ἀποτέλεσιν, ἐπιχορηγοῦσι
ταύτην ἥ τε διαίρεσις καὶ ἡ ἀνάλυσις. ἐπεὶ γὰρ οἱ ὁρισμοὶ ἢ τῶν εἰδικω-
τάτων ἢ τῶν ὑπαλλήλων εἰσίν, ἢ ἄνωθεν ἢ κάτωθεν τούτους θηρεύομεν,
ἤγουν ἢ ἀπὸ τῶν πρότερον ἢ ἀπὸ τῶν ὕστερον. ἀπὸ μὲν οὖν τῶν προ- 35
25 τέρων τὴν θήραν μετιόντες τῶν ὁρισμῶν διαιρέσει χρώμεθα, ἀπὸ δὲ τῶν
ὑστέρων ἀναλύσει· ὡς εἶναι προηγουμένας μὲν ἐπιστήμας ὁριστικήν τε
καὶ ἀποδεικτικήν, διὰ δὲ ταύτας διαιρετικήν τε καὶ ἀναλυτικήν.

Καὶ ὅπου δὲ τὸ βιβλίον χρήσιμον, οὐδὲ τοῦτ' ἄδηλον τοῖς τοῦ πρὸ αὐτοῦ
ἐγνωκόσι τὸ χρήσιμον. εἰ γὰρ ἡ ἐπιστήμη ψυχῆς λογικῆς τελειωτική, προ-
30 άγουσα ταύτην εἰς τὴν οἰκείαν αὐτῆς ἐνέργειαν, ἐπιστήμη δὲ συλλογισμὸς ὁ
διὰ μέσου αἰτίου τοῦ πράγματος, οὐ μόνον τοῦ συμπεράσματος, ὁ δὲ μέσος 40
οὐ πρόχειρος, ἐξ ἀνάγκης ἔδει μεθόδου πρὸς τὴν τοῦ μέσου εὕρεσιν. ταύτην
δὴ παραδιδοὺς ἐνταυθοῖ τέλειον πάντῃ καὶ ἀνενδεᾶ τὸν περὶ ἀποδείξεως
καὶ ἐπιστήμης λόγον ἀποκαθίστησι. τοῦ καιριωτάτου δ' ἂν οὗτος ἐλείπετο,
35 εἰ μὴ τὰ ἐνταῦθα παραδεδομένα ἐκτίθοιτο. τὸ γνήσιον δὲ καὶ ὅσα ἄλλα
τῶν εἰωθότων ζητεῖσθαι παραλείπεται, περιττόν ἐστιν ἐξετάζειν.

---

2 post αὖθις add. ὁρισμοὺς ποιεῖ a in marg. A² 8 οὖν] γὰρ E ἅπαν τῇ ἀποδεικτικῇ δίδωσιν E 8. 9 τὴν ἀπόδειξιν Aa 9 τίθεται] γενέσθαι a τίθεται—ἀποβαίνουσαν om. E 9. 10 ὑπεργοὺς τούτου E 13 ὡς γὰρ αἱ οὐσίαι E 15 ἐρεῖν E 20 τὴν ἀποδεικτικὴν post κατασκευὴν ponit E τῶν τοιούτων om. E 21 ὁρισμῶν ἀποτέλεσιν E: τελεσμῶν ἀποπλήρωσιν Aa 24. 25 τῶν πρότερον Aa 25 μετιέντες (sic) E 30 αὐτῆς] ταύτην E 33 δὴ] δὲ E 34 οὗτος] οὕτως Aa 35 ἐκτίθοιτο scripsi: ἐκτέθοιτο Aa: ἐκτέθειται E 36 ζητεῖσθαι] λέγεσθαι E παραλέληπται E

p. 89b23 Τὰ ζητούμενά ἐστιν ἴσα τὸν ἀριθμὸν ὅσαπερ ἐπιστάμεθα. 3

Τὴν αἰτίαν τῆς τῶν ζητουμένων ἐνταυθοῖ παραλήψεως καὶ διδασκαλίας ἤδη μὲν προλαβόντες ἀποδεδώκαμεν, ὡς ἡμῖν ἔδοξεν, οἰκείαν ὅτι μάλιστα καὶ τοῖς προκειμένοις ἁρμόδιον. τῷ γὰρ βουλομένῳ μετὰ τὴν ἀκριβῆ τῆς ἀποδεικτικῆς ἐπιστήμης παράδοσιν διδάξαι περὶ τοῦ μέσου, ἔδει ἀναγκαίαν παραστῆσαι τῇ ἐπιστημονικῇ θεωρίᾳ τὴν περὶ τούτου ἐξέτασιν. τοῦτο δὲ δείκνυται μάλιστα, εἰ ἐν παντὶ φανείῃ ζητήματι τοῦ μέσου εἶναι τὴν ζήτησιν· οὕτω δὲ ἀναγκαία ἐστὶν ἡ καθόλου περὶ τῶν ζητουμένων παράδοσις. ἐπεὶ δὲ καὶ ἄλλη τις τοῖς παλαιοτέροις ἐξηγηταῖς παραδέδοται, δεῖ μηδ' ἐκείνην παραλιπεῖν· ὅσῳ γὰρ πλείω τὰ αἴτια ἀποδίδοται, τοσούτῳ καὶ ὁ περὶ τῶν ζητουμένων λόγος ἀναγκαιότερος ἀναφαίνεται, μάλιστα δὲ καὶ ἐντρεχεστέρας τῆς διανοίας καθισταμένης, ὅταν ἡ τῶν αἰτίων ἀπόδοσις γίνηται. ἐφ' ὅσον οὖν ἡ τῶν αἰτίων ἀπόδοσις πληθύνεται, ἐπὶ τοσοῦτον καὶ ταῖς ψυχαῖς τὸ περὶ ἐπιστήμην ἐντρεχὲς ἐπιδίδοται.

p. 89b23 Τὰ ζητούμενά ἐστιν ἴσα τὸν ἀριθμὸν ὅσαπερ ἐπιστάμεθα. |

Περὶ ὁρισμοῦ προθέμενος εἰπεῖν ἐφ' ὁπόσον (οὐ γὰρ προηγουμένως περὶ αὐτοῦ ἀλλὰ διὰ τὴν ἀπόδειξιν, ὡς εἴρηται πρότερον) ἐπεὶ ὁ ὁρισμὸς ἐν τῷ τί ἐστι, τὸ δὲ τί ἐστι ζητούμενον, καθόλου ἐξετάζει πόσα ἐστὶ τὰ ζητούμενα καὶ τίς ἡ τούτων διαφορὰ πρὸς ἄλληλα, ἵν' ἐκ ταύτης ἡμῖν καὶ ἡ τῶν ζητουμένων ποσότης δήλη γένηται. καὶ τοῦτο μὲν ἀκολούθως τοῖς πρὸ ἡμῶν, οὐδὲν δὲ ἧττον καὶ διὰ τὴν ἀπόδειξιν ὁ περὶ τῶν ζητουμένων λόγος ἀναγκαῖός ἐστιν, εἴπερ ἓν ἐξ αὐτῶν καὶ τὸ διὰ τί ἐστιν, ὅπερ τοῖς ἀποδεικνύουσι ζητεῖται καὶ ἀποδίδοται. μήποτε δὲ τὸ χρήσιμον τῆς ἀποδεικτικῆς ἐξαίρων μεθόδου τὸν περὶ τῶν ζητουμένων λόγον κεκίνηκε· δείξει γὰρ προϊὼν ὡς οὐδὲν ἐκ τούτων ταύτην διαπέφευγε τὴν ἐπιστήμην, ὡς καὶ πᾶσαν ἐπιστήμην εἰς αὐτὴν ἀναφέρεσθαι. εἰ γὰρ τοῖς ζητουμένοις ἰσάριθμα τὰ ἐν ἐπιστήμῃ γινόμενα, καὶ ἑκάστῳ τῶν ζητουμένων ταὐτὸν τῷ ὑποκειμένῳ τὸ ἐκ τῆς κατ' αὐτὸ ζητήσεως εὑρισκόμενον, εἰ καὶ τῷ λόγῳ διήνεγκε, πάντα δὲ τὰ ζητούμενα ὑπὸ τὴν ἀπόδειξιν ἀναφέρεται, ὡς προϊόντος τοῦ λόγου φανήσεται, ὑπ' αὐτὴν ἄρα καὶ τὰ ἐν ἐπιστήμῃ γινόμενα, ὥστε καὶ πᾶσα ἐπιστήμη· ἰσάριθμα οὖν, φησί, τὰ ζητούμενα τοῖς εἰς ἐπιστήμην ἐρχομένοις. ζητοῦμεν γάρ, ἵν' εὑρήσομεν, ταὐτὸν δὲ εἰπεῖν ἵνα γνῶμεν· ὃ οὖν ὡς ζητούμενον ἐξ ἀρχῆς προβληθῇ, τοῦτο τελευταῖον εὑρεθὲν ἐν γνώσει

1 ἐστιν om. E 3 ἤδη ἐκτιθέντες E ἔδοξαν E 4 καὶ post προκειμένοις ponit E τὴν ἀκριβῆ—δείκνυται (7) om. E 7 ζητήματα Aa 8 ζητουμένων] ζητημάτων Aa 9 παραδίδοται Aa 11 ἀποφαίνεται E δὲ om. E ἐντρεχεστέροις Aa 12 γένηται E 21 γενήσεται Aa 22 δὲ om. E 24 χρήσιμον om. E 25 ἐκίνησε E 33 γάρ] δὲ E εὑρήσωμεν E

γίνεται καὶ ἐπιστήμῃ τοῖς ζητήσασιν, ὡς εἶναι ταὐτὸν τῷ ὑποκειμένῳ τὸ 4
ζητούμενον πρότερον καὶ ὕστερον γινωσκόμενον, τῷ λόγῳ δὲ διαφέρειν 15
μόνον ὡς ζητούμενόν τε καὶ γινωσκόμενον, ὥσπερ καὶ πρόβλημα καὶ
συμπέρασμα. καὶ μὴν ὥσπερ ἐπὶ τῶν ζητουμένων κατ' αἴσθησιν οὐκ ἐξ
5 ἀνάγκης ἐν εὑρέσει τὸ ζητούμενον γίνεται, οὕτως οὐδ' ἐπὶ τῶν κατὰ
διάνοιαν· οὔτε γὰρ ὁ ζητῶν εὑρεῖν θησαυρὸν ἐξ ἀνάγκης εὑρίσκει θησαυρὸν
οὔθ' ὁ ζητῶν οἰκέτην δραπέτην ἐξ ἀνάγκης εὑρίσκει τὸν ἀποδράντα οὔτ'
αὖθις ὁ ζητῶν γνῶναί τι, ἐξ ἀνάγκης εὑρίσκει τὸ ζητούμενον· ὁ γὰρ τετρα-
γωνισμὸς τοῦ κύκλου ἐζήτηται μὲν παρὰ πολλοῖς, οὔπω δὲ εὕρηται. ὥστ'
10 οὐκ ἐξισάζειν ἀνάγκη τοῖς κατὰ λόγον ζητουμένοις ἃ ἐπιστάμεθα. ἢ οὐχ 20
οὕτως οὐδ' Ἀριστοτέλης ἴσα φησὶν εἶναι κατ' ἀριθμὸν τοῖς ζητουμένοις ἃ
ἐπιστάμεθα, ἵνα καθ' ἕκαστον μετρούμενα ἀλλήλοις ἐξισάζοιεν ὅσα ζητοῦμεν
καὶ ὅσα ἐπιστάμεθα, ἀλλ' ὅτι ὅσα κατὰ γένος ἐστὶ τὰ εἰς ζήτησιν προ-
βαλλόμενα, τοσαῦτά ἐστι καὶ τὰ ἐν ἐπιστήμῃ γινόμενα, καὶ ὅτι τέσσαρα
15 καθόλου ταῦτα κἀκεῖνα. ζητοῦντες γὰρ περί τινος ἢ εἰ ἔστιν ἐκεῖνο
ζητοῦμεν ἢ τί ἐστιν, ἢ εἰ ὑπάρχει αὐτῷ τι ἢ διὰ τί ὑπάρχει αὐτῷ τι· ὅτι
δὲ τοσαῦτα καὶ οὔτε πλείω οὔτε ἐλάττω, δῆλον τίθησιν ἐκ τῆς διαιρέσεως, 25
ἅ τινά ἐστι ταῦτα ἐκθέμενος πρότερον.

Ποιεῖται δὲ τὴν ἔκθεσιν ἀπὸ τῶν συνθέτων ἀρχόμενος καὶ ἀνιὼν ἐπὶ
20 τὰ ἁπλᾶ, ὡς ἔθος αὐτῷ ποιεῖν ἀπὸ τῶν ἡμῖν ἀρχομένῳ προτέρων ἀεὶ
καὶ γνωριμωτέρων καὶ ἐπὶ τὰ φύσει ἀνιόντι πρότερά τε καὶ γνωριμώτερα.
τῇ γὰρ φύσει πρότερα τὰ ἁπλούστερα, ἡμῖν δὲ τὰ συνθετώτερα. ἔστι δὲ
ἁπλᾶ μὲν τὸ εἰ ἔστι καὶ τί ἐστιν, οἷον εἰ ἔστι νοῦς, εἰ ἔστι θεός, καὶ τί ἐστι
νοῦς καὶ τί ἐστι θεός, σύνθετα δὲ τὸ εἰ ὑπάρχει τῷδε τόδε καὶ διὰ τί ὑπάρχει
25 τῷδε τόδε, οἷον εἰ ἡ σελήνη ἐκλείπει, καὶ διὰ τί ἡ σελήνη ἐκλείπει, καὶ εἰ ἡ 30
γῆ κέντρου λόγον ἐπέχει πρὸς τὸ πᾶν, καὶ διὰ τί ἡ γῆ κέντρου λόγον ἐπέχει
πρὸς τὸ πᾶν. καὶ οὕτω μέν, ὥσπερ εἴρηται, δύο ἐστὶ τὰ ἁπλᾶ προβλήματα,
καὶ δύο τὰ σύνθετα. οὗτος δὲ τὸ εἶναι ἄλλῳ ἄλλο καὶ διὰ τί ἐστιν ἄλλῳ
ἄλλο τοῦ εἶναί τι καὶ τί ἐστι προτίθησιν. ἡ δὲ διαίρεσις ἐξ ἧς τὸ ποσὸν
30 τῶν προβλημάτων εὑρίσκεται, πρόεισιν οὕτως· ἢ γὰρ τὸ εἶναί τι ζητοῦμεν
ἢ τὴν αἰτίαν τοῦ εἶναί τι, καὶ τούτων ἑκάτερον διττόν· ἢ γὰρ ἁπλοῦν ἐστιν
ἢ σύνθετον. ἢ γὰρ αὐτό τι ζητοῦμεν πρᾶγμα καθ' ἑαυτὸ εἰ ἔστιν, ἤγουν 35
εἰ ἐν τοῖς οὖσίν ἐστιν, οἷον Ἱπποκένταυρον ἢ θεόν, ἢ εἶναι αὐτὸ λαβόντες
ζητοῦμεν εἰ ἔστιν αὐτῷ τι ἕτερον, οἷον τὴν ψυχὴν λαβόντες εἶναι ζητοῦμεν
35 εἰ ἔστιν ἀθάνατος, τουτέστιν εἰ ἔστιν αὐτῇ τὸ ἀθάνατον. ἢ τὴν γῆν
λαβόντες εἶναι ζητοῦμεν, εἰ κέντρου λόγον ἐπέχει πρὸς τὸ πᾶν, τουτέστιν εἰ
ὑπάρχει τῇ γῇ τὸ κέντρου λόγον ἐπέχειν πρὸς τὸ πᾶν. καὶ ταῦτα μὲν
δύο τοῦ εἶναι· ἁπλοῦν τε καὶ σύνθετον, ἕτερα δὲ δύο τὴν αἰτίαν ζητοῦντα

---

1 ζητήσασιν E: ζητήμασιν Aa 5 τὸ ζητούμενον ἐν εὑρέσει coll. E 7 ἀποδράσαντά τ' αὖθις Aa 11 κατ' ἀριθμὸν om. E 13 ζήτησιν] ζητοῦσιν Aa 16 διὰ τί] διότι Aa 20 ἀρχομένων libri 21 τὰ τῇ φύσει Aa 23 οἷον om. E 24 τόδε τῷδε E 27 ὡς Aa 28 διὰ τί ἐστιν] διότι εἶναι Aa 29 καὶ τί εἶναι προτίθησιν Aa

ἢ τοῦ εἶναί τι ἁπλῶς ἢ τοῦ αὐτῷ τι εἶναι, ὧν τὸ μὲν τί ἐστιν ὀνομάζεται, τὸν ὁρισμὸν ἀπαιτοῦν, ὅστις αἰτία ἐστὶ τοῦ εἶναι τὸ πρᾶγμα· εἶδος γὰρ ὁ ὅρος, τὸ δὲ εἶδος αἴτιον. καὶ ἔστι τοῦτο ἁπλοῦν τὸ πρόβλημα, τὸ δὲ διὰ τί ἐστι καλεῖται καὶ σύνθετόν ἐστι· τὴν γὰρ αἰτίαν ζητεῖ τοῦ εἶναι ἄλλῳ ἄλλο, ἧς ἡ ἀπόδοσις κατὰ τὸν τῆς ἐπιστήμης προβᾶσα διορισμὸν ἀπόδειξίς ἐστι. καὶ οὕτω γίνονται τέσσαρα τὰ προβλήματα. καὶ αὖθις ἑτέρως· πᾶσα ζήτησις ἢ περὶ ἁπλοῦ τινός ἐστιν ἢ περὶ συνθέτου τινός. ἁπλοῦν μέν ἐστιν ὃ ὑπὸ μιᾶς κατηγορίας σημαίνεται, οἷον νοῦς θεός, σύνθετον δὲ ὃ ὑπὸ πλειόνων, οἷον ἡ σελήνη ἐκλείπει, τὸ δίκαιον φύσει ἐστίν· ὅταν οὖν ἁπλοῦν ζητῶμεν, ἢ τὸ εἶναι αὐτοῦ ζητοῦμεν ἢ τὸ τί ἦν εἶναι αὐτῷ, οἷον εἰ ἔστι νοῦς ἢ τί ἐστι νοῦς· ὅταν δὲ σύνθετον, ἢ εἰ ὑπάρχει αὐτῷ τι ἢ διὰ τί ὑπάρχει αὐτῷ τι, οἷον εἰ ἡ γῆ πρὸς τῷ κέντρῳ ἐστὶ τοῦ παντός ἢ διὰ τί ἡ γῆ πρὸς τῷ κέντρῳ ἐστὶ τοῦ παντός, ἢ εἰ ἡ σελήνη ἐκλείπει ἢ διὰ τί ἡ σελήνη ἐκλείπει. τὸ μὲν οὖν πρότερον εἰ ἔστιν Ἀριστοτέλης ὠνόμασεν· αὐτὸ γὰρ ζητεῖ τὸ εἶναι τὸ πρᾶγμα ἁπλῶς· τὸ δὲ δεύτερον τί ἐστι· τὸν γὰρ ὁρισμὸν ἀπαιτεῖ τοῦ εἶναι δοθέντος πράγματος, ὃς ἐν τῷ τί ἐστιν ἀποδίδοται· τὸ δὲ τρίτον ὅτι, τουτέστιν εἰ ὑπάρχει αὐτῷ τι ἁπλῶς χωρὶς τῆς αἰτίας. τὸ δὲ τέταρτον διὰ τί· τὴν γὰρ αἰτίαν ἐξετάζει τοῦ εἶναι τούτῳ ἐκεῖνο. καὶ ἔστι καὶ οὕτω τέτταρα τὰ πάντα προβλήματα. καὶ οὕτω μὲν λογικῶς ἐκ τῆς διαιρέσεως ἡ τῶν ζητουμένων ποσότης δέδεικται. ἐπεὶ δ' ὁ λόγος ὁ ἐν ἡμῖν ὄντα πρότεραν γινώσκει τὰ πράγματα καὶ μιμεῖται τὰ τούτων αἴτια γνωστικῶς, ὑπέρ τε τὴν φύσιν γίνεσθαι πέφυκε καὶ τοῖς θείοις συνάπτεσθαι τῷ τε νῷ συγγίνεσθαι νοητικῶς καὶ ἔτι τῷ ἑνὶ ὑπὲρ νόησιν, ὡς εἶναι καὶ τὴν διανοητικὴν γνῶσιν αὐτῷ τῇ τε κατὰ τὴν φύσιν δημιουργίᾳ συνᾴδουσαν | καὶ πρὸς θεὸν καὶ τὰ θεῖα δυνατὴν ἀναφέρεσθαι, οὐ περιττὸν ἴσως λογικῶς ἀποδόντας περὶ τῆς τῶν ζητουμένων ποσότητος εἰπεῖν τι καὶ φυσικῶς, ἔπειτα καὶ θεολογικῶς. εἰ γὰρ τέσσαρα τὰ αἴτια ἐν τοῖς Φυσικοῖς τεθεώρηται, εἰκότως καὶ τρόπος ζητήσεως ἕκαστος πρὸς ἕκαστον εὑρίσκεται τῶν αἰτίων, τὸ μὲν εἰ ἔστι τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως μιμούμενον· πρὸς γὰρ τὸ αἴτιον τοῦ εἶναι ἁπλῶς καὶ ἡ τοῦ εἶναι ἁπλῶς ζήτησις εὕρηται· τὸ δὲ τί ἐστι κατὰ τὸ εἰδικόν ἐστιν αἴτιον, ἐπεὶ καὶ εἶδος καὶ λόγος ὁ ὁρισμός. τὸ δὲ ὅτι κατὰ τὴν ὕλην ὡς παρεισάγον τὸ ὑποκείμενον ἐν ᾧ ἄλλο ἐστί· τὸ δὲ διὰ τί ἐστι κατὰ τὸ τέλος, λόγον ἀπαιτοῦν τῆς συνθέσεως, ἐπεὶ καὶ τῶν μετὰ τὸ ἓν ἤδη καὶ ὧν ἐπὶ πλέον ἢ ἓν ἡ ὑπόστασις, τὸ ἐπὶ τέλος ἕτερον ἑαυτῶν ἀναφέρεσθαι. καὶ αὖθις ὥσπερ τὸ ἓν πρώτιστον ἁπάντων ἐστὶ καὶ ἐξῃρημένον τῶν ἐξ αὐτοῦ προϊόντων, ἄρρητόν τε παντὶ λόγῳ καὶ ἄφραστον καὶ ἄγνωστον πάσῃ γνώσει καὶ ἄληπτον, αἰτία πρωτίστη διὰ πάντων χωροῦσα τῶν ἐξ αὐτῆς καὶ μηδενὸς τῶν μετ' αὐτὴν ἀπολειπομένη,

---

6 ἕτερα E 7 ἁπλοῦν δέ ἐστιν Aa 8 σύνθετα Aa 10 τὸ εἶναι αὐτῷ E ἦν εἶναι αὐτοῦ Aa 12. 13 ἢ διὰ τί — παντός om. Aa 13 διὰ τί] διότι Aa 16 δοθέντος τοῦ πράγματος E 24 διανοητικὴν scripsi: διανοητὴν libri κατὰ φύσιν E 25 δυνατὸν E 27 καὶ] δὲ a τέσσαρα τὰ ἐναντία A[1] 28 εὑρίσκεσθαι E 34 ἡ om. E 36 παντὶ] πάντα Aa 38 τῶν ἐπ' αὐτὴν a

τὸν αὐτὸν τρόπον καὶ ἡ τοῦ εἰ ἔστι ζήτησις πάσης ζητήσεως ὑπερήπλωται καὶ καθ' ἑαυτὴν πρὸ τῶν λοιπῶν τεθεώρηται καὶ ταῖς ἄλλαις παρέπεται, οὐκ εἶδος ζητοῦσα καθ' ἑαυτήν, οὐκ αἴτιον, ἀλλ' αὐτὸ τὸ εἶναι ἁπλῶς. καὶ ὥσπερ ἐκεῖ τοῦ ἑνὸς μὴ τιθεμένου πάντα ἀναιρεῖται καὶ οὐδὲν ὑποστῆναι δύναται, καὶ διὰ πάντων ἐκεῖνο χωρεῖ μηδὲν ἑαυτοῦ καταλιμπάνον μονούμενον, οὕτω δὴ κἀνταῦθα εἰ μὴ τὸ εἶναι τεθῇ, οὐ τὸ τί ἦν εἶναι οὐδέ τι ἕτερον ὑπολείπεται, συνέπεταί τε τοῖς ἄλλοις πᾶσιν ἡ τοῦ εἶναι ἁπλῶς ἐξ ἀνάγκης ἔννοια. καὶ ὥσπερ ἐκεῖ τὸ πέρας φασὶ καὶ τὸ ἄπειρον ἐκ τῆς πρώτης αἰτίας προϋφίστασθαι, τὸ μὲν τὰ ὄντα ὁρίζον καὶ αἴτιον τοῖς πᾶσιν ὑπάρχον μονιμότητος καὶ ἑνώσεως καὶ συνοχῆς, τὸ δὲ τοῦ εἰς ἀπογεννήσεις προϊέναι καὶ τοῦ πληθύνεσθαι, οὕτως ἐνταῦθα τὸ μὲν τί ἐστι καὶ ὁ ὅρος τῷ πέρατι ἐοικὼς τὴν ἑκάστου παρίστησιν ἰδιότητα, περατοῖ δὲ καὶ ὁρίζει καὶ συνέχει τὰ ὁριστά, καὶ ποιεῖ παραμένειν ἐν ταῖς σφῶν ἰδίαις ὑπάρξεσι. τὸ δὲ εἰ ὑπάρχει τῷδε τόδε ἀρχὴν συνθέσεως καὶ πληθύος παρέχεται ταῖς ζητήσεσι, δυάζον ἤδη τὰ πράγματα καὶ ἄλλο μὲν παριστῶν τὸ περὶ οὗ ἡ ζήτησις γίνεται, ἄλλο δὲ τὸ περὶ αὐτοῦ ζητούμενον. καὶ ἔτι ὡς τὸ ὂν ἐκεῖ μικτὸν ἐκ τοῦ πέρατος καὶ τῆς ἀπειρίας φασὶ καὶ τριαδικὸν τοῦτο τιθέασι, μῖγμα μὲν ὂν τῶν εἰρημένων δυοῖν, τὸ ἓν δὲ ἔχον τὸ τὴν μῖξιν ἀπεργαζόμενον, οὕτω δὴ κἀνταῦθα τὸ διότι ὑπάρχει τῷδε τόδε τόν τε ὅρον ἔχει τῇ ἀποδόσει τῆς αἰτίας ἀναφαινόμενον καὶ τὸ εἶναι τῷδε τόδε ὁμολογούμενον, καὶ τὸ εἶναι ἁπλῶς ἄμφω τοὺς ὅρους τοῦ συμπεράσματος, καὶ τριαδικὴν τὴν ἅπασαν σύνθεσιν τῶν τε ἄκρων καὶ τοῦ μέσου. καὶ αὖθις ὥσπερ τὸ ὂν τριαδικὸν διὰ τὴν μῖξίν φασιν, ὅτι τριῶν τούτων ἐν παντὶ μικτῷ δεῖ, κάλλους ἀληθείας συμμετρίας, οὕτω δὴ καὶ ἐν τῇ τοῦ διότι ἀποδείξει τό τε εὔσχημον τοῦ λόγου θεωρεῖται, κάλλος ὂν προσῆκον αὐτῷ, καὶ τὸ ἀληθὲς τῶν προτάσεων, καὶ τὸ σύμμετρον τῷ ἐξ ἀνάγκης εἶναι τάς τε προτάσεις καὶ τὸ συμπέρασμα. εἰ δὲ βούλει, τὰ μὲν πρῶτα σιγῇ ἐάσθων ὥσπερ ἐν ἀδύτοις ἱεροῖς ἀποκεκρυμμένα, τό τε αἴτιον ἓν καὶ τὰ ἐξ ἐκείνου δεικνυόμενά τε καὶ ἐκφαινόμενα, οὐ ποιούμενα οὐδὲ παραγόμενα· ἐκ τῶν ποιουμένων δὲ ὁ λόγος γινέσθω, καὶ ἔστω πρῶτον τὸ ὄν, ταὐτὸν δὲ εἰπεῖν τὸ νοητόν, εἶτα ἡ ζωή, ταὐτὸν δὲ εἰπεῖν ἡ νόησις, εἶτα ὁ νοῦς, ταὐτὸν δὲ εἰπεῖν τὸ νοοῦν, καὶ ἔσχατον ἡ ψυχή· τὸ μὲν οὖν εἰ ἔστι περὶ τοῦ εἶναι ζητοῦν ἁπλῶς τοῦ ἁπλῶς ὄντος ἔστιν εἰκών· τὸ δὲ τί ἐστιν ἐπεὶ τὸ γνώρισμα τοῦ ὄντος ζητεῖ καὶ ἐκεῖνο ἐκφαίνει ὡσπερεὶ κρυπτόμενον, καὶ πρόοδος ἐκείνου εἰς τοὐμφανὲς ἐκ τοῦ ἀφανοῦς γίνεται, τῆς ζωῆς ὡς δυνάμεως οὔσης ἢ ἐνεργείας, δι' ἧς τὸ ὂν νοεῖται καὶ καταλαμβάνεται· τὸ δὲ εἰ ὑπάρχει τῷδε τόδε, τοῦ νοῦ ὡς ἄμφω ἑαυτῷ συνάπτοντος, νόησίν τε καὶ τὸ νοητόν, τὸ μὲν ὡς ὑποκείμενον, τὴν δὲ περὶ αὐτὸ ἢ πρὸς αὐτὸ

7 πᾶσι τοῖς ἄλλοις coll. E 10 μονιμότατος Aa συνοχεῖς E 10. 11 εἰς ἀποστερήσεις a 12 καὶ ὅρος E 13 δὲ] γε A 14 συνθέσει Aa 15 διάζον A ἤδη] δὴ Aa παριστᾶ Aa 17 μικτὴν a 18 τὸ post ἔχον om. E 29 ἐμφαινόμενα Aa 33 ἔσται εἰκὼν E 34 ἐπεί] ἐπὶ Aa 38 τὸ μὲν ὡς scripsi: ὡς τὸ μὲν libri

ἀποτεινομένην. τῆς ψυχῆς δὲ τὸ διὰ τί ἐστιν, ὅτι λόγος αὕτη ἐστὶ καὶ λόγους τῶν ὑπὸ λόγον καὶ αἰτίας τῶν ὑπ' αἰτίαν καὶ μέσα τῶν ἐμμέσων ἀναζητεῖ τε καὶ ἀνευρίσκει· ὅθεν δὴ καὶ τὸ πόθεν ποῖ κινεῖσθαι αὐτῇ ἀπὸ προτάσεων ἐπὶ τὰ συμπεράσματα.

Καλῶς δὲ ἐνταῦθα τῇ τῶν ζητουμένων διαιρέσει ἐπέστησεν ὁ Θεμίστιος καὶ τὴν διαφορὰν παραδέδωκε τῆς τε ἐνταυθοῖ περὶ τῶν προβλημάτων διδασκαλίας καὶ τῆς ἐν τοῖς Τοπικοῖς. ἐκεῖ μὲν γὰρ περὶ τῶν διαλεκτικῶν μόνων προβλημάτων ἐδίδαξεν, ὧν οὐδέν ἐστιν ἁπλοῦν, ἀλλ' ἐν συνθέσει ἅπαντα καὶ μόνῳ τῷ τρόπῳ προτάσεως διαφέροντα. πᾶσα μὲν γὰρ πρότασις ἐν συνθέσει, πρόβλημα δὲ οὐ πᾶν· ὅσα δὲ τῶν προβλημάτων ἐν συνθέσει ἐστί, ταῦτα καὶ προτάσεις γενέσθαι δύναται, ἐπὶ μὲν τῶν διαλεκτικῶν τὸν τρόπον μεταβαλόντα τῆς χρήσεως, ἐπὶ δὲ τῶν ἐπιστημονικῶν τοῖς ἐφεξῆς εἰς ἀπόδειξιν τὰ πρότερα συμβαλλόμενα.

Ἅπαν τοίνυν διαλεκτικὸν πρόβλημα ἢ εἰ ὑπάρχει ζητεῖ αὐτό τι καθ' αὑτό, ὡς ἐπὶ τοῦ εἰ ἔστι θεός, εἰ ἔστι κενόν, ἢ εἰ ἐν ἑτέρῳ ὑπάρχει· καὶ τοῦτο διττόν ἐστιν, ἢ εἰ ἁπλῶς ὥσπερ ἐπὶ τοῦ συμβεβηκότος, ἢ πῶς οἷον ἢ ὡς γένος ἢ ὡς ἴδιον ἢ ὡς ὅρος. τὸ μὲν οὖν πρῶτον ὑπὸ τὸ εἰ ἔστιν ἁπλῶς, τὰ δὲ μετ' ἐκεῖνο πάντα ὑπὸ τὸ ὅτι ἔστι. καὶ εἰ ταὐτὸν γὰρ τῷδε τόδε, τοιοῦτόν ἐστι· ζητεῖ γὰρ εἰ συμβέβηκε τῷδέ τινι ταὐτὸν εἶναι ἐκείνῳ πρὸς ὅ ποτε εἴληπται. καὶ τὰ συγκριτικὰ δὲ ὡσαύτως· ζητοῦσι γὰρ εἰ συμβέβηκε τῷδέ τινι κρεῖττον εἶναι ἐκείνου τινὸς ἢ χεῖρον ἤ τι τοιοῦτον. ὡς εἶναι τὰ διαλεκτικὰ πάντα προβλήματα ὑπὸ τὸ εἰ ἔστι καὶ ὅτι ἐστὶν ἀναγόμενα· εἰ γὰρ καὶ περὶ ὅρου ζητῆσαί ποτε διαλεκτικῆς ἐστιν, ἀλλ' οὐ διαλεκτικὸν τὸ τί ἐστι ζήτημα, ἐπεὶ μηδὲ ἁπλῶς ἡ διαλεκτικὴ εἰσηγεῖται τὸ τί ἐστιν ἀλλ' εἰ τόδε τῷδε ὑπάρχον ὅρος ἐκείνου ἔστι. οὔτε οὖν τὸ τί ἐστιν οὔτε τὸ | διὰ τί ἐστι διαλεκτικὸν πρόβλημα, τὸ μὲν ὅτι 6
ἁπλοῦν ἐστιν, οὐδὲν δὲ τοιοῦτον διαλεκτικὸν πρόβλημα (οὐ γὰρ ἂν μόνῳ τῷ τρόπῳ προτάσεως διέφερεν) ἀμφότερα δὲ ὅτι τούτων οὐδέτερον προβαλλόμενον δίδωσι τῷ ἀποκρινομένῳ ἑλέσθαι ὃ βούλεται τῆς ἀντιφάσεως μόριον. ἐπιστήμης γὰρ ἕνεκεν ἀλλ' οὐκ ἐλέγχου χάριν πυνθάνεται ὁ τὴν αἰτίαν τῶν ζητουμένων ἐπιστημονικῶς μετιών.

p. 89b23 Τὰ ζητούμενά ἐστιν ἴσα τὸν ἀριθμὸν ὅσαπερ ἐπιστάμεθα.

Ἐπεὶ ὁ ἀνθρώπινος νοῦς ἀτελής ἐστιν ἐξ ἀρχῆς, ὡς ἐκ τοῦ δυνάμει προβαίνειν εἰς τὴν ἐνέργειαν, διὰ τοῦτο καὶ ἐκ ζητήσεως τοῦ γνωστοῦ εἰς

1 διὰ τί] διότι Aa αὕτη] αὐτὸς Aa 2 μέσα] μέσους Aa 4 ἐπὶ] εἰς E
5. 6 Θεμίστιος] cf. Comm. Arist. V 1 p. 42 6 παρέδωκε E περὶ om. E
προβλημάτων E: προκειμένων Aa 11 post μὲν add. γὰρ Aa 13 πρότερον Aa
15 εἰ ἔστι post θεός om. E 19 τῷδε ante τινὶ om. E 20 ἐκείνῳ om. Aa
21 τῷδέ τινι] τόδε τὶ Aa 24 post ἀλλ' οὐ add. διὰ τοῦτο Aa ζήτημα τὸ τί ἐστι coll. Aa 24. 25 ἐπεὶ — τὸ τί ἐστιν om. Aa 25 τῷδε τόδε coll. Aa 26. 27 τὸ μὲν — πρόβλημα om. E 28 διέφερον E 33 ὁ νοῦς ὁ ἀνθρώπινος coll. Aa

εὕρεσιν αὐτοῦ παραγίνεται. τὰ γένη τοίνυν τῶν ζητουμένων τοσαῦτά ἐστιν, 6
ὅσα καὶ τὰ τῶν γινωσκομένων. ἐνδεὴς γὰρ ὢν ὁ νοῦς τῆς τοῦ γνωστοῦ γνώσεως ζητεῖ, καὶ εὑρὼν ἐκεῖνο εὕρηκεν ὃ ἐζήτηκεν. ἢ δὴ ἁπλῶς τὸ εἶναι ζητήσας τοῦτο εὕρηκεν ἢ τὸ τί ἐστιν ἢ τὸ ὑπάρχειν τί τινι ἢ τὸ 10
διὰ τί ὑπάρχει τί τινι. δόξειε δ' ἂν διὰ τοῦ ἀδήλου δεικνύναι τὸ ἄδηλον ὁ Ἀριστοτέλης· ἀδήλου γὰρ οὔσης τῆς τε τῶν ζητουμένων τῆς τε τῶν γινωσκομένων ποσότητος ἔοικε τὴν ἑτέραν διὰ τῆς ἑτέρας δεικνύναι. οὐκ ἔστι δὲ τοῦτο ἀληθές· οὐ γὰρ ἔλαβεν οὐδετέραν ὁμολογουμένην ποσότητα, ἵνα δόξῃ δι' ἐκείνης τὴν ἑτέραν δεικνύναι, ἀλλ' ἀμφοῖν ἀδήλων οὐσῶν
τοῦτο μόνον εἶπεν ὅτι δεῖ εἶναι ἰσάριθμα ἀλλήλοις τὰ ζητούμενα καὶ τὰ ἐν ἐπιστήμῃ γινόμενα, ὥσθ' ὁποτερωνοῦν τῆς ποσότητος δεδειγμένης 15
συναποδεδειγμένην εἶναι καὶ τὴν τῶν ἑτέρων αὐτῇ. διὸ καὶ ἐπάγει

p. 89b24 Ζητοῦμεν δὲ τέτταρα, τὸ ὅτι, τὸ διότι, εἰ ἔστι, τί ἐστιν.

Ἡ μὲν ἀπαρίθμησις αὕτη τῶν ζητουμένων. ὅτι δὲ τοσαῦτα καὶ οὔτε
πλείονα οὔτε ἐλάττονα κατὰ γένος ἐστὶ τὰ ζητούμενα, ἤδη δείκνυσι τῇ διαιρετικῇ μεθόδῳ χρώμενος. τί δὲ τούτων ἕκαστον δηλοῖ, ἅπερ ὡς ὀνόματα τοῖς τῶν ζητουμένων ἔθετο γένεσι λόγους ἀντ' ὀνομάτων λαβών, ἤδη εἴρηται. εἰρήσεται δ' εἰσέτι κατὰ μέρος τὴν λέξιν ἐπεξιοῦσιν. 20

p. 89b25 Ὅταν μὲν γὰρ τόδε ἢ τόδε ζητῶμεν.

Δῆλον ἤδη ποιεῖται τὸ προτεθέν, λέγω δὴ τὴν τῶν ζητουμένων ποσότητα· χρῆται δὲ καὶ παραδείγματι καθ' ἕκαστον, ἄγων δι' αὐτοῦ τὴν διδασκαλίαν ἐπὶ τὸ σαφέστερον. ὅταν μὲν γάρ, φησίν, τόδε ἢ τόδε ζητῶμεν 25
εἰς ἀριθμὸν θέντες, τουτέστιν ὅταν τι σύνθετον προθῶμεν πρόβλημα ἤγουν ἄλλῳ ἄλλο ὑπάρχειν δηλοῦν, ταὐτὸν δὲ εἰπεῖν ὑποκείμενον καὶ κατηγορού-
μενον· τοῦτο γάρ ἐστι τὸ εἰς ἀριθμὸν θέντες. τὸ γὰρ ἁπλοῦν μοναδικόν ἐστιν, ἡ δὲ μονὰς οὐκ ἀριθμός· πλῆθος δὲ ἡ δυάς, διὰ τοῦτο καὶ ἀριθμός. ὅταν οὖν τὴν ζήτησιν ἐν πλήθει καὶ ἀριθμῷ θέμενοι, ταὐτὸν δὲ εἰπεῖν ἐν συνθέσει κατηγορουμένου καὶ ὑποκειμένου ταύτην ποιήσαντες, οὕτω προφέρωμεν, καὶ ἐπάγει εὐθὺς τὸ παράδειγμα οἷον πότερον ἐκλείπει ὁ 30
ἥλιος ἢ οὔ; ἄλλο γὰρ τῷ λόγῳ ἥλιος καὶ ἄλλο τὸ ἐκλείπειν· ταῦτα τοίνυν δύο πράγματα ὄντα ἀλλήλων ἕτερα λαβόντες ἐν ἑνὶ συντίθεμεν προβλήματι καὶ ζητοῦμεν εἰ ὑπάρχει θατέρῳ θάτερον ἢ μή. ὅταν οὖν, φησίν, οὕτω ποιῶμεν, τὸ ὅτι ζητοῦμεν. ὅτι δὲ οὕτως ἔχει καὶ τοιαύτη ἐστὶν οἵαν εἴπομεν ἡ περὶ τῆς ἐκλείψεως τοῦ ἡλίου ζήτησις ἥδε, δῆλον ποιεῖται
διὰ τοῦ ἐπιφερομένου.

---

4 τοῦτο] τὸ εἶναι a ἐστιν] εἶναι A ὑπάρχειν A 11 δεδειγμένα Aa
17 ὀνόματι E 19 post γὰρ add. πρότερον Arist. 20 δὴ] δὲ Aa
22 ἐπὶ] πρὸς Aa 23 et 25 θέντες E Arist.: ἐνθέντες Aa 26 καὶ ἀριθμός] καὶ δυάς Aa 27 θέμενος Aa 28 ταύτην om. Aa 28. 29 προφέρομεν Aa
33 δὲ τοῦτο οὕτως Aa

p. 89b27 Σημεῖον δὲ τούτου· εὑρόντες γὰρ ὅτι ἐκλείπει πεπαύ- 6
μεθα, καὶ ἐὰν ἐξ ἀρχῆς εἰδῶμεν ὅτι ἐκλείπει, οὐ ζητοῦμεν 35
πότερον.

Ὅτι, φησί, περὶ τοῦ εἰ ὑπάρχει ἄλλῳ ἄλλο ἡ εἰρημένη περὶ τοῦ
5 ἐκλείπειν τὸν ἥλιον ζήτησις, δῆλον ἐκ τῆς περὶ αὐτοῦ ἐπιστήμης. εἴτε γὰρ
μετὰ τὸ ζητῆσαι ἡ γνῶσις αὐτοῦ ἡμῖν παραγένηται, πεπαύμεθα τῆς
ζητήσεως, εἴτε καὶ ἄνευ ζητήσεως τύχωμεν εἰδότες ὅτι ἐκλείπει, οὐκ ἄν
ποτε ζητήσαιμεν περὶ αὐτοῦ. εἰ οὖν ἡ γνῶσις αὐτοῦ ἢ παύει προλαβοῦσα
τὴν ζήτησιν καὶ οὐκέτι ἐᾷ ζητεῖν, ἢ οὐδὲ τὴν ἀρχὴν καταλιμπάνει γίνε- 40
10 σθαι ταύτην, εἰ πρὸ ταύτης τύχῃ ὑπάρχουσα, δῆλον ὅτι ἡ ἄγνοια αὐτοῦ
ἐν αἰσθήσει γινομένη ποιεῖ τὴν ζήτησιν. ἔστιν ἄρα γένος ζητήματος περὶ τοῦ
ὑπάρχειν ἄλλῳ ἄλλο γινόμενον, καὶ ἡ ἐπιχείρησις αὐτῷ ἐκ τοῦ ἐναντίου
γεγένηται.

p. 89b29 Ὅταν δὲ εἰδῶμεν τὸ ὅτι, τότε τὸ διότι ζητοῦμεν.

15 Ἐπὶ τὸ δεύτερον μεταβαίνει πρόβλημα ὁμογενὲς ὂν καὶ αὐτὸ τῷ
προτέρῳ, ὅτι γε ἄμφω σύνθετα καὶ εἰς ἀριθμόν, ὡς εἴρηκεν αὐτός, ἐντιθέ- 45
μενα, διάφορον δ' ἐκείνου, ὅτι ἐκεῖνο μὲν τὸ ἁπλῶς εἶναι τῷδε τόδε
ἐζήτει, τοῦτο δὲ ἐξετάζει τὸ διὰ τί, τουτέστι τὴν αἰτίαν τοῦ ὑπάρχειν ἑτέρῳ
ἕτερον· ὅπερ γίνεται, ὅταν τὸ μὲν ὑπάρχειν ἕτερον ἑτέρῳ γινώσκωμεν ἢ
20 ἐξ αἰσθήσεως καταλαβόντες ἢ ἀπὸ λόγου τινός, ἀγνοῶμεν δὲ τὴν αἰτίαν δι'
ἣν ὑπάρχει. καὶ ἔστιν ἐκεῖνο τούτου φύσει πρότερον, τοῦτο δὲ ἐκείνου
ἐπιστημονικώτερον· ἀγνοουμένου γὰρ εἰ ὑπάρχει ὅλως τῷδε τόδε, περιττὸν
πάντως ἐστὶ ζητεῖν διὰ τί ὑπάρχει, ἵνα μὴ λέγω καὶ εὔηθες. ἢ ἴσως τῷ 50
μὲν καθ' ἡμᾶς λόγῳ τὸ ὅτι τοῦ διὰ τί πρεσβύτερον, τῇ δὲ φύσει ἀνάπαλιν·
25 τελειοτέρα γὰρ ἡ μετὰ τῆς αἰτίας γνῶσις, τὰ δὲ τελειότερα φύσει πρότερα
καὶ τὸ αἴτιον τοῦ ἐξ αὐτοῦ πρότερον, κἂν τῶν ἀεὶ συνόντων ἀλλήλοις
ταῦτα εὑρίσκηται. ὅταν δὲ ἐκεῖνο δῆλον ἡμῖν ᾖ, ἀγνοῆται δὲ διὰ τί,
τότε ἤδη τοῦτο ζητεῖσθαι ἔχει καιρόν· ποιήσει δὲ τὸν λόγον σαφέστερον
ἐπενεχθὲν τὸ παράδειγμα. |

30 p. 89b29 Οἷον εἰδότες ὅτι ἐκλείπει καὶ ὅτι κινεῖται ἡ γῆ, τὸ 7
διότι ἐκλείπει ἢ διότι κινεῖται ζητοῦμεν.

Γνόντες γὰρ ὅτι ὑπὲρ γῆν ὄντα τὸν ἥλιον συμβαίνει σκιὰν μὴ ποιεῖν,
ἢ αἰθρίας οὔσης μὴ ὁρᾶσθαι τὸ φῶς αὐτοῦ ὄντος ὑπὲρ γῆν, ἔγνωμεν ὅτι

---

5 post ζήτησις add. καὶ ὅτι ἐστὶ τοιαύτη ζήτησις E 8 προλαβοῦσαν Aa 9 οὐκέτι] οὐκ Aa οὐδὲ] οὐδὲν E 10 τύχοι E 14 Ὅταν] ὅτι a 16 γε om. E 16. 17 ἐντιθέμεθα E 17 διαφέρον Aa 19 ὑπάρχειν post ἑτέρῳ coll. E γινώσκομεν Aa 20 καταλαμβάνοντας E 21 ἐκεῖνο] ἐκεῖ E 23 ζητεῖν ἐστι coll. E διὰ τί] διότι Aa ἴσως] ὅτι E 26 ἀλλήλων Aa 28 ζητῆσθαι Aa 30 τὸ om. E: καὶ a

ἐκλείπει, καὶ οὐκέτι περὶ τούτου μαθεῖν δεόμεθα· διὸ οὐδὲ ζητοῦμεν, εἴ 7
γε διὰ γνώσεως ἔνδειαν καὶ πρὸς μάθησιν πᾶσα λογικὴ ζήτησις· ἀγνο-
οῦντες δὲ τὴν αἰτίαν δι' ἣν τοῦτό ἐστι ζητοῦμεν περὶ αὐτῆς, ἵν' ἐν ἐπιστήμῃ 5
τοῦ πράγματος γενώμεθα. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ κινεῖσθαι τὴν γῆν· ὅταν
5 γὰρ ὅτι παλμὸς αὐτῆς καὶ τρόμος τις γίνεται γνῶμεν, οὐκέτι περὶ τούτου
ζητεῖν χρείαν ἔχομεν, ἀλλὰ ζητοῦμεν διὰ τί τοῦτο γίνεται. καὶ τοῦτο
ἡμῖν γίνεται, διότι σὺν λόγῳ ζωὴ ἡ ψυχή, καὶ λόγος ἑκάστῳ τὸ αἴτιον·
ὡς γοῦν τὸν λόγον ἑαυτῇ σύμφυτον ἔχουσα ζητεῖ τοὺς λόγους τῶν ὑπὸ
λόγον, ἵνα μὴ τούτων λειπομένη τῆς οἰκείας ἐνδέοιτο τελειότητος. ὥστε
10 ἡ πρὸς ἐπιστήμην ὄρεξις τῇ ψυχῇ τῆς οἰκείας ἐστὶν ἔφεσις τελειότητος, 10
καὶ οἱ κατὰ φύσιν ἔχοντες πάντες φύσει ταύτης ὀρέγονται, οἱ δ' ἄλλως
διακείμενοι, ὡς ἔχειν ἀνεπιστρόφως πρὸς ἐπιστήμην, διεστράφαταί τε καὶ
διεφθόρασιν ἀγνοοῦντες ὡς καὶ θεοῦ τῆς πρώτης καὶ κοινῆς ἁπάντων αἰτίας
ἐντεῦθεν καταφρονοῦντες ἐλέγχονται. διὰ γὰρ τῶν προσεχεστέρων λόγων
15 καὶ συγγενεστέρων ἀναφέρεσθαι πεφύκασιν αἱ ψυχαὶ πρὸς τὸ πάντων ἐπέ-
κεινα· εἰ οὖν πρὸς τούτους ὀκλάζουσί πως καὶ ἀναδύονται, σχολῇ γ' ἂν
πρὸς τὸ πρῶτον καὶ ὑπεροχικώτατον ἀναχθῆναι βουλήσονται ἢ δυνήσονται. 15
ὥσπερ οὖν τὸ πρότερον πρόβλημα δῆλον τέθεικεν ἐκ τοῦ παραδείγματος,
οὕτω δὴ καὶ τοῦτο τὸ μετ' ἐκεῖνο· ὡς εἶναι δῆλον καὶ ἐκ τῶν ἐπὶ τούτῳ
20 παραδειγμάτων ὡς ἔστι καὶ τοιούτον γένος προβλήματος ἕτερον.

p. 89b31 Καὶ ταῦτα μὲν οὕτως· ἔνια δ' ἄλλον τρόπον ζητοῦμεν.

Εἰπὼν περὶ τῶν ἐν συνθέσει καὶ ἐν ἀριθμῷ προβλημάτων ἐπὶ τὰ
ἁπλᾶ πρόεισιν, οὐχ ὡς φύσει ὄντα πρότερα προτάξας ἐκεῖνα ἀλλ' ἀπὸ τῶν 20
ἡμῖν σαφεστέρων καὶ γνωριμωτέρων ἀρξάμενος· τοιαῦτα γὰρ τὰ σύνθετα.
25 συμπεραίνων οὖν τὰ εἰρημένα φησὶν ταῦτα μὲν οὕτως, ἤγουν ταῦτα μὲν
τοιοῦτον ἔχει τρόπον ζητήσεως περὶ τοῦ ἄλλῳ ὑπάρχειν ἄλλο πραγμα-
τευόμενα, τὸ μὲν ἁπλῶς, τὸ δὲ διά τί. ἔνια δ' ἄλλον τρόπον, τουτέστιν
εἰσὶ δὲ προβλήματα ἕτερα οὐ σύνθεσιν ἔχοντα οὐδὲ ἀριθμῷ εἰσαγόμενα.
ἀλλὰ τρόπον ἕτερον, ἤτοι ἐν ἁπλότητι καὶ μονάδα μόνην πράγματος
30 ἔχοντα, ἐν οἷς οὐκ ἔστι τὸ εἶναι ὡς προσκατηγορούμενον, ἀλλ' αὐτὸ τοῦτο 25
κατηγορούμενον. τοῦτο εἰπὼν ἐπάγει παράδειγμα τρόπου ζητήσεως ἑτέρου
παρὰ τοὺς προλαβόντας, οἷον εἰ ἔστιν ἢ μὴ ἔστιν Κένταυρος ἢ θεός, τοι-
αῦτα παραλαβὼν ὑποκείμενα, ὧν τὸ εἶναι ἠγνόηται, τοῦ μὲν ὡς μὴ ὄντος
μηδαμῶς (τοῦ γὰρ ὄντος ἡ γνῶσις) τοῦ δὲ ὡς ὑπερόντος καὶ οὕτω μὴ

2 ζήτησις] κίνησις E 5 γὰρ om. Aa 7 γίνεται ἡμῖν coll. Aa
9 ὥστε — τελειότητος (10) om. E 11 πάντα Aa 12 τε om. Aa
16 τούτοις Aa 17 βουλήσονται ἢ om. Aa 20 ἕτερον] ὕστερον Aa
21 Καὶ ταῦτα μὲν E: Καὶ om. Aa: ταῦτα μὲν οὖν Arist. 22 καὶ ἐν] ἢ ἐν E
23 φύσιν Aa 26 ἄλλῳ] ἄλλο a 27 ἔνια] ἔννοια E 28 δὲ om. E
29 τρόπον] πᾶν E ἤτοι] ἤτε Aa 29. 30 ἔχοντα πράγματος coll. Aa
30 προκατηγορούμενον E

ὄντος. ἔδει γὰρ τοιαῦτα παραλαβεῖν εἰς παράδειγμα τοῦ τοιούτου ζητή- 7
ματος, ἐν οἷς εἰ ὅλως ἔστι τὸ πρᾶγμα ἡ ζήτησις. ἐπεὶ δὲ δοκεῖ πως τὸ
πρῶτον πρόβλημα τοιοῦτον εἶναι (ἔοικε γὰρ κἀκεῖ περὶ τοῦ εἰ ἔστιν εἶναι 30
ἡ ζήτησις, διὰ τὸ ζητεῖσθαι εἰ τὸ κατηγορούμενόν ἐστι τῷ ὑποκειμένῳ)
5 τὴν διαφορὰν εὐθὺς ἐπιφέρει λέγων

p. 89b33 Τὸ δ' εἰ ἔστιν ἢ μὴ ἁπλῶς λέγω, οὐκ εἰ λευκὸς ἢ μή.

Τουτέστιν οὐχ οὕτω λέγω τὸ εἰ ἔστιν, ἵνα τις ὑπολάβῃ ὡς εἰ ἔστι
λευκὸς ἢ μὴ ἔστι λευκός· τοῦτο γὰρ οὐ περὶ αὐτοῦ ἐστι τοῦ ὑποκειμένου,
οὐδ' ἁπλοῦν τὸ ζήτημα, ἀλλὰ σύνθετόν τε καὶ περί τινος ἄλλου, εἴπερ
10 ὑπάρχει αὐτῷ. ἀλλ' ἁπλῶς λέγω, τουτέστιν αὐτὸ τὸ ὑποκείμενον λαμβάνω 35
ἁπλῶς καὶ ζητῶ, εἰ ἔστιν ἢ μὴ τὸ εἶναι καὶ μὴ εἶναι οὐ προσκατηγορῶν
ἀλλὰ κατηγορῶν. ὡς εἶναι ταύτην ἑτέραν τῷ γένει τὴν ζήτησιν καὶ
γίνεσθαι δῆλον ἐκ τοῦ ἐπ' αὐτῇ παραδείγματος ὡς ἔστι καὶ τοιοῦτο γένος
ζητήματος.

15 p. 89b34 Γνόντες δ' ὅτι ἔστι τί ἐστι ζητοῦμεν, οἷον τί οὖν ἐστι
θεός, ἢ τί ἐστιν ἄνθρωπος.

Ὁρᾶς, ὅτε μὲν περὶ τοῦ εἰ ἔστιν ὅλως τὸ ζήτημα ἦν, καὶ μηδαμῇ τι
μηδαμῶς ὂν παρείληφεν εἰς παράδειγμα, ὡς ἐνὸν ζητεῖν καὶ περὶ μὴ 40
ὄντος ὅλως εἰ ἔστι, μήποτε ὂν τὴν ἡμετέραν διαπέφευγε γνῶσιν καὶ δοκεῖ
20 μὴ ὂν τὸ ὂν μέν, μὴ γινωσκόμενον δὲ καὶ ζημιωθῶμεν τὴν γνῶσιν αὐτοῦ·
ὅταν δὲ περὶ τοῦ τί ἐστιν, οὐκέτι τι τοιοῦτον εἰς μέσον παρήγαγεν, ὡς μὴ
ἐξὸν περὶ μὴ ὄντος ὅλως ζητεῖν τὸ τί ἐστι· γνόντες δ' ὅτι ἔστι τί ἐστι
ζητοῦμεν. τοῦτο εἰπὼν ἅμα καὶ τὴν τάξιν ἀναγκαίως τῶν δύο τούτων
προβλημάτων παρέστησε· τότε γάρ, φησί, ζητοῦμεν τὸ τί ἐστιν, ὅτε εἰ ἔστι
25 γνωσόμεθα, ὡς ἐκείνου ἀγνοουμένου εὔηθες ὂν τοῦτο ζητεῖν· δέον ἄρα 45
ἐκεῖνο τούτου προτετάχθαι τὸ πρόβλημα.

p. 89b36 Ἃ μὲν οὖν ζητοῦμεν καὶ ἃ εὑρόντες ἴσμεν.

Τοῦτο τῶν εἰρημένων συμπέρασμα ὡς ἤδη ἀπαρτισθείσης τῆς διαι-
ρέσεως καὶ ἐξ αὐτῆς ἐκπεφασμένης τῆς τῶν ζητουμένων κατ' ἐπιστήμην
30 καὶ εὑρισκομένων ποσότητος. ἃ προεβάλλετο μὲν ἐξ ἀρχῆς τέτταρα εἶναι
εἰπὼν καὶ τούτων ἑκάστου ἀπαγγείλας τὴν κλῆσιν, εἶτα δὲ καὶ ἀπέδειξε τῇ
διαιρέσει συμπλέκων τὰ παραδείγματα, καὶ διὰ μὲν τῆς ἀναγκαίαν δεικνὺς 50
ποσότητα, διὰ δὲ τῶν ἐναργῆ ποιῶν τὰ δεικνύμενα, πόσα τε καὶ τίνα

---

4 τὴν ζήτησιν E 7 οὐχ om. A τις om. Aa 12 ἀλλὰ κατηγορῶν om. Aa 17 ὅταν E post ἦν add. τὸν κένταυρον A²a 24 ὅτε] ὅταν Aa
26 τοῦτο ἐκείνου Aa 30 προβάλλεται Aa 30. 31 εἰπὼν εἶναι coll. Aa
33 ποσότητος Aa

ἐστίν· ἢ γάρ, φησίν, εἰ ἄλλῳ ἄλλο ὑπάρχει ζητοῦμεν ἁπλῶς, ὡς τῷ ἡλίῳ τὴν ἔκλειψιν, ἢ διὰ τί ἄλλῳ ἄλλο ὑπάρχει, ὡς τὸ διὰ τί τῷ ἡλίῳ ἡ ἔκλειψις ἢ τὸ κινεῖσθαι τῇ γῇ, ἢ εἰ ἔστι τι ἁπλῶς ἢ μή, οἷον εἰ ἔστι Κένταυρος ἢ θεός, ἀλλ' οὐχὶ εἰ λευκὸς ἢ μή, ἢ τοῦτο εἰδότες ἤγουν τὸ εἶναι ἁπλῶς, τί ἐστι ζητοῦμεν, οἷον τί ἐστι θεός, ἢ τί ἐστιν ἄνθρωπος. καὶ οὕτω τέτταρα | κατὰ γένος εὑρίσκεται ἃ ζητοῦμεν καὶ ἃ ἐκ τῆς ζητήσεως εὑρόντες γινώσκομεν· ὡς εἶναι ἰσάριθμα τὰ ζητούμενα τοῖς γινωσκομένοις, καὶ εἶναι ταῦτα ἀλλήλοις τῷ ὑποκειμένῳ ταὐτά, τῷ λόγῳ δὲ διαφέροντα ὡς ζητούμενά τε καὶ γινωσκόμενα.

p. 89ᵇ37 Ζητοῦμεν δέ, ὅταν μὲν ζητῶμεν τὸ ὅτι ἢ τὸ εἰ ἔστιν ἁπλῶς, ἆρ' ἔστι μέσον αὐτοῦ ἢ οὐκ ἔστιν.

Διαφοραῖς χρησάμενος τῇ συνθέσει καὶ τῇ ἁπλότητι τέτταρα τὰ πάντα κατὰ γένος ζητήματα ἔδειξε, δύο μὲν τῇ συνθέσει προσαφορίσας, δύο δὲ τῇ ἁπλότητι, διαφέροντα ἀλλήλων τὰ μὲν σύνθετα, ὅτι τὸ μὲν τὸ εἶναι τόδε τῷδε, τὸ δὲ τὸ διὰ τί εἶναι τῷδε τόδε ζητεῖ, τὰ δὲ ἁπλᾶ, ὅτι τὸ μὲν τὸ εἶναι, τὸ δὲ τὸ τί εἶναι. νῦν δ' ὥσπερ σαφηνίζων ἐπὶ πλέον τὰ εἰρημένα φησὶν ὅτι τεσσάρων ὄντων τῶν προβλημάτων, ὡς εἴρηται, ταῦτά ἐστι τὰ ἐπὶ τούτων ζητούμενα, ἐπὶ μὲν τῶν δύο τὸ εἰ ἔστι τις αἰτία τοῦ πράγματος ἢ τοῦ εἶναι καθ' αὑτὸ ἢ τοῦ εἶναι ἐν ἑτέρῳ, ἐπὶ δὲ τῶν δύο τίς ἡ αἰτία τοῦ εἶναι τὸ πρᾶγμα ἢ καθ' ἑαυτὸ ἢ ἐν ἑτέρῳ. ἃ δὴ προβαίνει μηκέτι ζητουμένου τοῦ εἶναι ἢ ἁπλῶς ἢ πῇ, τουτέστιν ἢ ὡς καθ' ἑαυτὸ ἢ ὡς ἐν ἑτέρῳ, καθ' ἑαυτὸ μὲν ὡς τὸ εἰ ἔστι κενόν, ἐν ἑτέρῳ δὲ ὡς τὸ εἰ τῇ σελήνῃ τὸ ἐκλείπειν. ὁπόταν γὰρ ζητῶμεν εἰ ἔστι κενόν, εἰ ἔστι Κένταυρος, εἰ ἔστι τούτοις αἰτία τις τοῦ εἶναι ζητοῦμεν· εὑρόντες δὲ ὅτι ἔστιν αἰτία τις τοῦ εἶναι αὐτοῖς τίς ἐστιν αὕτη ζητοῦμεν, ὅπερ ἐστὶ τὸ τί ἐστιν. ὁμοίως πάλιν ὁπόταν ζητῶμεν εἰ ἐκλείπει ἡ σελήνη, εἰ ἔστιν αὐτῇ αἰτία τις τοῦ ἐκλείπειν ζητοῦμεν· εὑρόντες δ' ὅτι ἔστι τις αὐτῇ αἰτία τοῦδε τοῦ συμπτώματος, ζητοῦμεν τίς ἐστιν αὕτη· τοῦτο δ' ἐστὶ τὸ διὰ τί ἐστιν. οὐκ ἀπὸ δὲ τρόπου δόξειεν ἄν τις λέγειν εἶναι μὲν καὶ ταῦτα οὕτως ὡς εἴρηται, ποιεῖσθαι δὲ καὶ καθ' ἕτερον τρόπον τῶν προβλημάτων διαίρεσιν τὸν Ἀριστοτέλην, τὴν αἰτίαν παραλαμβάνοντα καὶ κατὰ τὸ διάφορον τῆς τοῦ μέσου ζητήσεως διάφορα καὶ τὰ ζητήματα φάσκοντα γίνεσθαι, ὡς ἐν μὲν τῷ ὅτι καὶ εἰ ἔστι ζητουμένου τοῦ μέσου τε καὶ αἰτίου εἰ ὅλως ἔστιν, ἐν δὲ τῷ τί καὶ διὰ τί τί τοῦτό ἐστι. διὸ καὶ κατὰ ταύτην τὴν ἐπιβολὴν τὸ ὅτι καὶ τὸ εἰ ἔστιν εἰς ἓν συνέταξεν ὡς ἄμφω ζητοῦντα τὸ εἶναι αἴτιον,

2 διὰ τί] utrobique διότι Aa 2. 3 ἡ ἔκλειψιν (sic) E 3 ἔστιν ἁπλῶς E
4 ἤγουν] οἷον E 10 μὲν om. E 10. 11 εἰ ἔστιν—οὐκ ἔστιν om. E
12 τέτταρα om. E 15 τὸ διὰ τί] διότι Aa 16 τὸ post δὲ om. E
ὥσπερ] ὡς περὶ Aa 16. 17 τὰ εἰρημένα ἐπὶ πλέον coll. E 20 post εἶναι add. αὐτὸ E 21 μηκέτι om. a 24 τις om. E 27 τοῦδε om. A
32 γίνεσθαι φάσκοντα coll. Aa 34 διὰ τί] διότι Aa

ἀλλήλων ⟨δὲ⟩ διαφέροντα τῷ τὸ μὲν τοῦ εἶναι ἁπλῶς αἴτιον ζητεῖν, τὸ δὲ τοῦ εἶναί τι ἐν ἑτέρῳ. τὸ δὲ τί τῷ διὰ τί συνέζευξεν ὡς ἀμφοῖν τούτων τίς ἡ αἰτία ζητούντων, φανεροῦ δηλονότι ὄντος τοῦ εἶναι αἴτιον τοῦ εἶναι ἢ ἁπλῶς ἢ ἐν μέρει. διαφέρει δὲ ἀλλήλων καὶ ταῦτα κατὰ τὸ ἁπλοῦν τε καὶ σύνθετον, ὡς τοῖς διαφόροις τρόποις τῆς διαιρέσεως βεβαιοτέραν γίνεσθαι τὴν τῶν ζητουμένων ποσότητα. δύο οὖν ἔοικεν ἐν ταὐτῷ κατορθοῦν, ἅμα μὲν δι' ἐπιδιαιρέσεως σαφηνίζειν τὰ περὶ τῶν ζητουμένων προειρημένα ἐν τῷ φάσκειν καὶ τίνα ἐστὶν ἅπερ δι' αὐτῶν ζητεῖται καὶ εὑρίσκεται, ἤγουν εἰ ἔστιν αἰτία τοῦ εἶναι, καὶ τίς αὕτη ἔστιν, ἢ ἁπλῶς ἢ ἐν μέρει, ἅμα δὲ καὶ βεβαιοτέραν ποιεῖσθαι τὴν τῶν ζητουμένων ποσότητα διὰ τοῦ καὶ ἑτέρῳ τρόπῳ τῆς διαιρέσεως εἰς δήλωσιν ἔρχεσθαι ταῦτα. τοῦτο γὰρ καὶ ἐπ' ἄλλων μὲν ποιεῖ, ἀλλὰ δὴ καὶ ἐπὶ τῶν συλλογιστικῶν σχημάτων, ὁτὲ μὲν διὰ τῆς τοῦ μέσου θέσεως τὴν τούτων δεικνὺς ποσότητα, ὁτὲ δὲ διὰ τῶν τοῖς ὅροις ἑπομένων καὶ οἷς ἕπονται καὶ τῶν ἀλλοτρίων, ὁτὲ δὲ ἑτέρως, ὡς εἶναι σύμφωνον διὰ πολλῶν τρόπων ὡς δι' ὀργάνων ᾀδόμενον αὐτὸ πρὸς ἑαυτὸ τἀληθές, καθὼς κἀκεῖνος ἐπὶ τοῖς Προτέροις Ἀναλυτικοῖς περὶ τῆς ποσότητος τῶν σχημάτων συμπεραίνων τελευταῖόν φησιν. ἢ ταῦτά φησιν ἵνα δείξῃ πᾶσαν ἐπιστημονικὴν μέθοδον τῆς ἀποδεικτικῆς ὑπηρέτιδα· εἰ γὰρ πᾶσα ἐπιστήμη ἐκ ζητήσεως ἀρχομένη εἰς τὴν εὕρεσιν πρόεισι, πᾶν δὲ τὸ ζητούμενόν τε καὶ εὑρισκόμενον εἰς τέσσαρα τὰ εἰρημένα ἀνάγεται, τῶν δὲ τεσσάρων ἕκαστον τούτων τὴν αἰτίαν ζητεῖ τοῦ πράγματος ἡ δὲ αἰτία τὸ μέσον ἔστι, τὸ δὲ μέσον εἰς τὸν συλλογισμὸν καὶ τὴν ἀπόδειξιν συντελεῖ, πᾶσα ἄρα ἐπιστήμη εἰς τὸν συλλογισμὸν καὶ τὴν ἀπόδειξιν συντελεῖ καὶ διὰ ταύτην ἔστι.

p. 89b37 Ζητοῦμεν δὲ ὅταν ζητῶμεν τὸ ὅτι ἢ τὸ εἰ ἔστιν ἁπλῶς, ἆρ' ἔστι μέσον αὐτοῦ ἢ οὐκ ἔστι.

Τῆς δευτέρας ἀρχόμενος διαιρέσεως, δι' ἧς βεβαιοτέραν τὴν τῶν ζητουμένων ποιεῖται ποσότητα, ὡς κατὰ διαφόρους ἐπιβολὰς τὴν αὐτὴν ἀναφαινομένην καὶ μηδαμῇ μηδαμῶς διαφωνοῦσαν πρὸς ἑαυτήν, φησὶν ὅτι ἐπειδὴ πᾶσα ζήτησις ζητουμένου τινός ἐστι, τί ἐστιν ὃ ζητεῖται ἐν τῷ ὅτι καὶ εἰ ἔστιν, ἢ πάντως ὅτι ἆρ' ἐστὶ μέσον τοῦ προκειμένου ἢ οὐκ ἔστι. μέσον δὲ λέγει τὸ αἴτιον τοῦ εἶναι ἢ τόδε τι ἁπλῶς ἢ τῷδέ τινι ἕτερόν τι· καὶ οὕτως εἰς ἓν τάττει τὸ ὅτι καὶ τὸ εἰ ἔστι, καθὸ ἀμφότερα τὸ ἆρ' ἔστι μέσον αὐτοῦ ἢ οὐκ ἔστι ζητοῦσι. καὶ εἰσὶν ἓν τῷ γένει κατά γε τοῦτο, διαφέρουσι δ' ἀλλήλων, ὅτι τὸ μὲν ἁπλῶς ζητεῖ ἕν τι πρᾶγμα

---

1 δὲ addidi 2 τούτων om. E 3 δηλονότι] δῆλον E 6 et 7 ζητημάτων Aa 9 post εἶναι add. τι Aa 12 ἄλλων] ἀλλήλων Aa 12. 13 συλλογισμῶν Aa 14 δείκνυσιν Aa 16 κἀκεῖνα E 16. 17 ἐπὶ τοῖς Προτέροις Ἀναλυτικοῖς] nescio ubi 17 περαίνων Aa 23 συντελεῖ] τελεῖ E 25 τὸ εἰ — οὐκ ἔστι (26) om. E 28. 29 ἀναφαινομένην scripsi: ἀναφωνομένην libri 30 πᾶσα] ἡ E ζητουμένη Aa 34 ἓν scripsi: ἐν libri

λαβὸν καὶ εἴ τις αὐτῷ αἰτία τοῦ εἶναί ἐστι ζητοῦν, τὸ δὲ οὐχ ἁπλῶς 8
ἀλλὰ κατὰ σύνθεσιν ὡς δύο λαμβάνον πράγματα καὶ ζητοῦν εἰ ἔστι τις
αἰτία τοῦ εἶναι θατέρῳ θάτερον.

p. 89b38 Ὅταν δὲ γνόντες ἢ τὸ ὅτι ἢ τὸ εἰ ἔστιν ἢ τὸ ἐπὶ μέρους
5 ἢ τὸ ἁπλῶς.

Εἰρηκὼς τί ἐπὶ τῶν δύο ζητημάτων ζητεῖται τοῦ τε ὅτι καὶ τοῦ εἰ 50
ἔστιν, ἅπερ ὡς εἰς ἓν ἔταξεν ὡς κοινωνοῦντα ἀλλήλοις τῆς διαφορᾶς τοῦ
ζητεῖν, εἰ ἔστι τις αἰτία τοῦ εἶναι, διαφέροντα δὲ ἀλλήλων αὖθις καὶ δύο
γινόμενα τῷ τὸ μὲν περὶ ἑνὸς ζητεῖν τὸ εἶναι καθ' ἑαυτὸ καὶ εἴ τις αἰτία
10 τούτου αὐτῷ ἐστι, τὸ δὲ περὶ δύο, εἴ τις αἰτία τοῦ εἶναι θατέρῳ θάτερον,
νῦν μεταβαίνει ἐπὶ τὰ ἕτερα καί φησιν ὅτι ὁπόταν ταῦτα | γνωσθῇ καὶ 9
οὐκ ἡ χρεία ἔτι ζητεῖν ἢ ἐπὶ τοῦ συνθέτου προβλήματος ἐκείνου, εἰ τῷδε
τόδε ὑπάρχει, ἢ ἐπὶ τοῦ ἁπλοῦ, ὡς εἰ τόδε ἁπλῶς ἐστιν, ὡς δῆλον ὂν ὅτι
γε ἀμφοτέροις αἴτιόν ἐστι τὸ μὲν τοῦ ἐν ἑτέρῳ εἶναι, τὸ δὲ τοῦ καθ'
15 αὑτὸ εἶναι, καὶ ζητῶμεν πάλιν τὸ διὰ τί μέν ἐστιν ἐπὶ τοῦ συνθέτου, τὸ δὲ
τί ἐστιν ἐπὶ τοῦ ἁπλοῦ, τότε τί τὸ αἴτιον ἤτοι τί τὸ μέσον ἐστὶ ζητοῦμεν.
ἕτερον δέ ἐστι τὸ οὕτως ἢ ἐκείνως ζητεῖν, εἴ γε καὶ ἕτερά ἐστιν ἀλλήλων 5
τὸ ζητεῖν εἰ ἔστι τόδε καὶ τί ἐστι τόδε, ταὐτὸν δὲ εἰπεῖν τὸ κοινὸν καὶ
τὸ ἴδιον, καὶ τὸ συγκεχυμένον καὶ ὡρισμένον· ὥστε καὶ οὕτω τέτταρα τὰ
20 πάντα ζητήματα δείκνυσθαι τῇ τε τοῦ ἁπλοῦ καὶ συνθέτου διαφορᾷ καὶ
τῇ τοῦ ζητεῖν τὸ εἶναι ἢ μὴ εἶναι τὸ αἴτιον καὶ τὸ μέσον.

p. 89b39 Λέγω δὲ τὸ ὅτι ἢ εἰ ἔστιν ἐπὶ μέρους.

Δείκνυσιν εἰσέτι πραγματικὴν οὖσαν τὴν τῶν προβλημάτων διαφοράν, 10
ἤγουν τοῦ ὅτι καὶ τοῦ ⟨εἰ⟩ ἔστι καὶ μὴ μόνον θεωρουμένην ἐν τοῖς ὀνό-
25 μασιν. οὐ γὰρ ἂν εἰ τοῦτο ἦν, δύο ἐλέγοντο εἶναι προβλήματα, μὴ καὶ
τοῖς πράγμασι διαφέροντα· ἄμφω μὲν γὰρ εἰ ἔστι μέσον καὶ αἴτιον ζητοῦσιν,
ὡς ἀμφοτέροις ἁρμόττειν τὸ εἰ ἔστι, καὶ γίνεσθαι ὅσον ἐν τούτῳ καὶ ὀνό-
ματι ταῦτα κοινωνοῦντα καὶ πράγματι· διαφέρουσι δὲ ἀλλήλων, ὅτι τὸ μὲν
ἐπὶ μέρους τὸ εἰ ἔστι λαμβάνει, τὸ δὲ ἁπλῶς, ἐπὶ μέρους μὲν ὀνομάζων 15
30 τὸ ἐκ δύο ὅρων, ὑποκειμένου καὶ κατηγορουμένου, συγκείμενον πρόβλημα,
ἁπλῶς δὲ τὸ ἕνα μόνον ἔχον ὅρον μετὰ τοῦ ἔστι ῥήματος, ὅπερ καὶ ἐν
ἐκείνῳ προσέκειτο τὸν λόγον ἀπαρτίζον. ἐπὶ μέρους δὲ λέγει ἐκεῖνο ἢ ὅτι
εἰς δύο μερίζεται πράγματα (ἐξ ὅσων γάρ τι σύγκειται καὶ μερίζεται εἰς
τοσαῦτα), ὡς καὶ εἶναι τὸ ἐπὶ μέρους ἀντὶ τοῦ μεμερισμένως, ὥς φησιν

---

7 ὡς (post ἅπερ) om. Aa 8 δὲ om. E 10 τούτῳ E 12 οὐκ ἔστι E χρείαν Aa 16 ζητοῦμεν post τότε pon. Aa 18 καὶ (ante τί) om. Aa τί ἐστι τόδε om. A¹ 21 post μέσον add. καὶ τῇ τοῦ τί ἐστι τὸ αἴτιον καὶ τὸ μέσον E 24 εἰ addidi ἔστι a ex διότι corr. A²: διότι E 32 ἀπαρτίζων E 34 καὶ om. Aa μεμερισμένος E

ὁ Ἀλέξανδρος, ὅπερ ἀρχόμενος τοῦ βιβλίου ἀριθμὸν εἴρηκεν, ἢ ὡς αὐτὸς καὶ τοῦτό φησιν, ὅτι ὁ ζητῶν εἰ τῷδε τόδε ὑπάρχει, εἰ τοῦδε τόδε τί ἐστι ζητεῖ, οἷον εἰ γένος τοῦδε ὡς εἰ ὁ ἄνθρωπος ζῷον, ἢ συμβεβηκὸς τοῦδε ὡς ἡ χιὼν λευκή, ἢ εἰ πάθος τοῦδε ὡς εἰ ἡ σελήνη ἐκλείπει. εἰ δὲ δεῖ καὶ τοῦτο εἰπεῖν καθόλου, τὰ πράγματα ὅσον συντίθεται, χωρεῖ πρὸς τὸ μερικώτερον· ἡ γὰρ καθολικωτάτη οὐσία τῆς σωματικῆς αὐτῇ συντεθείσης διαφορᾶς μερικωτέρα γίνεται, καὶ ἔτι τῆς τοῦ ἐμψύχου καὶ ἔτι τῆς τοῦ αἰσθητικοῦ καὶ τῆς τοῦ λογικοῦ, ἔτι καὶ μᾶλλον τῆς τοῦ θνητοῦ, ὡς καὶ μέχρι τῶν ἀτόμων χωρεῖν καὶ καθ' ἕκαστα τῶν ἰδιοτήτων προστιθεμένων, ἐξ ὧν τῶν ἀτόμων τε καὶ καθ' ἕκαστα συνέστηκεν ἕκαστον. εἰ δὲ βούλει, καὶ τὸ ἓν καθ' ἑαυτὸ μὲν μένον κοινότερον, τῷ ὄντι δὲ συνεργόμενον μερικώτερον, καὶ τὸ ὂν πρὸ τοῦ καταδεεστέρου κοινότερον, μετὰ δὲ τῆς ζωῆς μερικώτερον, καὶ αὕτη πρὸ νοῦ καὶ μετὰ νοῦ ὡσαύτως, καὶ οὗτος πρὸ ψυχῆς καὶ μετὰ ψυχῆς, καὶ ἑξῆς οὕτως. διὰ τοῦτο πανταχοῦ παρ' αὐτῷ τε Ἀριστοτέλει καὶ Πλάτωνι καὶ τοῖς ἄλλοις σοφοῖς τὸ ἁπλῶς ἐπὶ τῶν ἁπλῶν καὶ τὸ πῇ ἐπὶ τῶν συνθέτων λαμβάνεται.

p. 90a2 Ἐπὶ μέρους μέν, ἄρα ἐκλείπει ἡ σελήμη ἢ αὔξεται.

Ἔτι σαφέστερα ποιεῖται διὰ παραδειγμάτων τὰ εἰρημένα· ζητοῦντες γὰρ εἰ ἐκλείπει ἡ σελήνη, εἰ ἔστι τι αἴτιον τοῦ ἐκλείπειν τῇ σελήνῃ ζητοῦμεν, ὁμοίως ἐν τῷ εἰ αὔξεται ζητοῦμεν εἰ ἔστι τι αἴτιον τῇ σελήνῃ τοῦ αὔξειν.

p. 90a3 Εἰ γὰρ ἔστι τι ἢ μὴ ἔστι τι, ἐν τοῖς τοιούτοις ζητοῦμεν.

Τοιούτοις, φησί, προβλήμασι τὸ εἰ ἔστι μὲν ἢ μὴ ἔστι ζητοῦμεν, οὐ μὴν δὲ ἁπλῶς περὶ τοῦ ὑποκειμένου, ἀλλ' εἴ τι ἐν αὐτῷ, καὶ διὰ τοῦτο ἐν μέρει λέγομεν ὡς περί τινος τῶν ἐν αὐτῷ ζητοῦντες, οὐχ ἁπλῶς περὶ αὐτοῦ. ὑποκειμένου γὰρ ληφθέντος τινὸς πολλὰ ἴσως καὶ διάφορα ἐνδέχεται θεωρεῖσθαι περὶ αὐτό· περὶ δὲ τῶν ἐν αὐτῷ ζητοῦντες, μερικὴν καὶ οὐχ ἁπλῶς τὴν περὶ τοῦ ὑποκειμένου ποιούμεθα ζήτησιν. ἔστω γάρ, εἰ τύχῃ, ἡ σελήνη· περὶ ταύτης ἐνδέχεται ζητῆσαι πολλά, οἷον τὸ σχῆμα, εἰ σφαιρική ἐστι, τὸ φῶς εἰ ἴδιον ἔχει εἴτε ἐκ τοῦ ἡλίου δέχεται, τῶν φωτισμῶν τὰ διάφορα σχήματα, τὴν ἔκλειψιν, τὰ τοιαῦτα. περὶ ταύτης μὲν οὖν ζητοῦντες ἁπλῶς τὴν περὶ αὐτῆς ποιούμεθα ζήτησιν, περί τινος δὲ τῶν ἐν αὐτῇ μερικῶς ὥς τι ζητοῦντες ἐν αὐτῇ, καὶ οὐχ ἁπλῶς περὶ

---

1 ὁ om. Aa 2 τόδε τοῦδε coll. Aa 3 ζητεῖν E γένη E
4 ὡς εἰ] ἔστι ἢ Aa 5 πράγμα (sic) E 6 αὐτῇ] αὐτῆς Aa 9. 10 τῶν ἰδιοτήτων—καθ' ἕκαστα om. E 11 μὲν om. E τῷ ὄντι—κοινότερον (12) om. E 13 καὶ ante μετὰ om. Aa ὡσαύτως om. Aa 16 τὸ πᾶ E
17 Ἐπὶ μέρους—αὔξεται] lemma non distinxit E μέν om. E 22 γὰρ om. Aa
23 post τοιούτοις add. γὰρ E 25 ζητοῦντας E 27 δὲ τῶν ἐν αὐτῷ] ὧν ζητοῦντες τινὸς Aa 28 ἁπλῆν Aa 29 τύχοι E

αὐτῆς, ἀλλὰ πῇ. ἔτι δὲ ὥσπερ τὴν μὲν οὐσίαν ἁπλῶς λέγομεν ὄν, τὸ δὲ 9
λευκὸν καὶ τὸ τρέχειν καὶ καθόλου ὅσα ἐν τῇ οὐσίᾳ καὶ περὶ αὐτὴν πῇ
καὶ τινὰ ὄντα, ὡς μὴ ἁρμοττούσης αὐτοῖς ἁπλῶς τῆς ὀντότητος, ἀλλ' ἢ 45
μόνον διὰ τὸ εἶναί τι τοῦ ὄντος αὐτά, οἷον ποιότητας, ποσότητας, ἡλικό-
5 τητας, ἐνεργείας, πάθη, ἄλλο τι τοιοῦτον, τὸν αὐτὸν τρόπον ὅταν ζητῶμεν
περί τινος τὸ εἰ ἔστιν αὐτὸ ἢ τί ἐστι, τότε ἁπλῶς ζητοῦμεν περὶ αὐτοῦ·
ὅταν δὲ ζητῶμεν περί τινος τῶν ἐν αὐτῷ, τότε οὐχ ἁπλῶς ζητοῦμεν περὶ
αὐτοῦ, ἀλλ' ἐν μέρει.

p. 90a 4 Ἁπλῶς δ' εἰ ἔστιν ἢ μὴ σελήνη ἢ νύξ.

10 Τοῦτο ἐκ τῶν εἰρημένων σαφὲς καὶ οὐ πλείονος λόγου δεόμενον πρὸς 50
σαφήνειαν. παραδείγματα γὰρ θεὶς τοῦ συνθέτου ζητήματος τὰ εἰρημένα,
τίθησι ταῦτα τοῦ ἁπλοῦ, τὸ εἰ ἔστι σελήνη ἢ νύξ. ὥσπερ δὲ ἐκεῖ ἔκλειψιν
σελήνης καὶ αὔξησιν ὡς συγγενῆ ἀλλήλοις τῷ περὶ αὐτὴν καὶ ἄμφω ζητεῖ-
σθαι παρέλαβε, καὶ ἐπὶ μέρους τὸ ζήτημα κατωνόμασεν ὡς οὐχ ἁπλῶς
15 ἀλλ' ἐν μέρει τὴν περὶ σελήνης εἰσάγον ζήτησιν, ὥσπερ εἴρηται, οὕτω κἀν-
ταῦθα ὡς κοινωνοῦντα ἀλλήλοις σελήνην καὶ νύκτα εἰς παράδειγμα | τοῦ 10
ἁπλῶς ζητουμένου παρέθετο· εἰς ἀρχὴν γὰρ νυκτὸς ἡ σελήνη, καὶ ἐν νυκτὶ
τὸ φαίνειν αὐτῇ.

p. 90a 5 Συμβαίνει ἄρα ἐν ἁπάσαις ταῖς ζητήσεσι ζητεῖν.

20 Περὶ τῶν ζητημάτων καθόλου εἰπὼν ὁπόσα κατὰ γένος ἐστί, καὶ
πρότερον μὲν ἣν ἔχουσι διαφορὰν πρὸς ἄλληλα, ἔπειτα καὶ δι' ἑτέρας ἐπι-
βολῆς τὴν τούτων δείξας ποσότητα, καὶ τί τε ζητοῦσιν ἕκαστα, πρὸς δὲ καὶ 5
τί κοινὸν πρὸς ἄλληλα καὶ διάφορον ἔχουσιν εἰρηκώς, ἐπεὶ ἐν τῇ δευτέρᾳ
διαιρέσει τὸ μέσον εἶναι αὐτοῖς τὸ ζητούμενον εἴληφε καὶ ἐκ τῆς ἐπα-
25 γωγῆς τοῦτο ἔδειξε καθ' ἕκαστον γένος τῶν ζητημάτων ἐπεξιὼν καὶ διὰ
παραδειγμάτων τοὺς λόγους πιστούμενος, ἐπάγει μὲν τοῖς ῥηθεῖσι συμπέρασμα
λέγων ὅτι συμβαίνει ἄρα ἐν ἁπάσαις ταῖς ζητήσεσι ζητεῖν ἢ εἰ
ἔστι τι μέσον ἢ τί ἐστι τὸ μέσον. δῆλον γὰρ ἤδη γέγονε διὰ τῶν
εἰρημένων ὡς οὐδὲν ἄλλο ζητεῖται ἐν τοῖς ζητήμασιν ἢ τὸ μέσον, ἢ εἰ 10
30 ἔστι τοῦτο ἢ τί ἐστιν, εἴτε ἁπλῶς εἴτε πῇ· ὡς εἰς δύο συναιρούμενα τὰ
προβλήματα εἰς τέτταρα αὖθις πλατύνεσθαι τῇ τοῦ ἁπλοῦ καὶ συνθέτου
διαφορᾷ. εἶτα τῇ ἐπαγωγῇ μὴ ἀρκούμενος δείκνυσι τὸ αὐτὸ καὶ διὰ συλ-
λογισμοῦ ἐν πρώτῳ σχήματι τοῦτο συνάγων· ἐν πάσαις ταῖς ζητήσεσι,

---

1 μὲν om. Aa 3 ὀνότητος Aa 5 ζητοῦμεν om. E 7 τινος—αὐτῷ] τῶν ἐν αὐτῷ ἢ περὶ αὐτὸ τινὸς Aa 13 περὶ αὐτῆ E 14 ὡς om. E
15 εἰσάγον scripsi: εἰσάγοντα libri ὥσπερ εἴρηται om. Aa 20 ἐστὶ] εἰσὶ Aa
22 ἕκαστα] τούτων ἕκαστον Aa 25 ἀπεξιὼν E post διὰ add. τῶν Aa
26 ποιούμενος E συμπεράσματα E 27 ἢ om. Aa 29 ζητήμασιν] προβλήμασι Aa. εἰ om. Aa 31 αὖθις] αὖ E 32 δείκνυσιν αὐτὸ E

φησί, τὸ αἴτιον ζητεῖται· τὸ δὲ αἴτιον τὸ μέσον ἐστίν· ἐν ἁπάσαις ἄρα ταῖς ζητήσεσι τὸ μέσον ζητεῖται. ὅτι δὲ τὸ αἴτιόν ἐστι τὸ ζητούμενον πιστοῦται πάλιν ἐκ τῆς ἐπαγωγῆς. τὸ γὰρ ζητεῖν ἄρα ἐκλείπει ἡ σελήνη ταὐτόν ἐστι τῷ ἆρά ἐστιν αἴτιόν τι τοῦ ἐκλείπειν αὐτὴν ἢ οὔ· ὅταν δὲ γνῶμεν ὅτι ἔστι τι αἴτιον, τότε ζητοῦμεν τί τοῦτό ἐστι, καὶ ἔστιν ἐκεῖνο μὲν τὸ ὅτι ἔστι, τοῦτο δὲ τὸ διὰ τί ἐστι. τὸ αὐτὸ δὴ καὶ ἐπὶ τῶν ἁπλῶν· κἄν τε γὰρ μὴ τοδὶ ἢ τοδὶ ζητῶμεν, ἀλλ' ἁπλῶς τὴν οὐσίαν καὶ τὸ ὑποκείμενον, οἷον εἰ ἔστι σελήνη ἢ γῆ ἢ ἥλιος ἢ τρίγωνον, κἄν τε μὴ ἁπλῶς τὴν οὐσίαν, ἀλλά τι τῶν ἐν τῇ οὐσίᾳ, εἴτε καθ' αὑτό τι εἴτε μὴ καθ' αὑτὸ ἀλλὰ κατὰ συμβεβηκός, τὸ αἴτιον τοῦ εἶναι τὸ προκείμενον τὸ μέσον ἐστίν, οἷον καθ' αὑτὸ μὲν ἐπὶ τῆς σελήνης τὸ σφαιρικόν, κατὰ συμβεβηκὸς δὲ τὴν ἔκλειψιν. ὡσαύτως καὶ ἐπὶ τοῦ ἡλίου. ἐπὶ δὲ τῆς γῆς καθ' αὑτὸ μὲν τὸ ἐν μέσῳ εἶναι· κατὰ γὰρ τὴν κατὰ φύσιν ῥοπὴν καὶ ὁ τόπος ὁ κατὰ φύσιν· κατὰ συμβεβηκὸς δὲ τὸ αἰσθητόν. ὅτι δὲ καλῶς ταῦτα εἴρηται, δῆλον· τὰ γὰρ καθ' αὑτὰ καὶ ἀεί, ὥστε τὰ μὴ ἀεὶ οὐδὲ καθ' αὑτά. οὔτε δὲ ὁ ἥλιος ἢ ἡ σελήνη ἐκλείπει ἀεί, ἀλλὰ ποτέ, καὶ γίνεται ταῦτα ποτὲ τοῖς ὑποκειμένοις κἂν τῷ ἀπογίνεσθαι οὐδὲν αὐτοῖς λυμαίνεται, εἰ μὴ καὶ τελεώτερα ταυτὶ τῶν τοιούτων συμπτωμάτων ἀπαλλαττόμενα. ἀλλὰ καὶ τὸ ἐν φαντασίᾳ εἶναι τὰ σχήματα ἢ ἐν αἰσθήσει τὰ χρώματα ἢ ἄλλο τι τοιοῦτον οὔτε ἀεὶ αὐτοῖς ἐστιν οὐδὲ αὐτά τι πάσχει ἐν φαντασίᾳ ἢ ἐν αἰσθήσει γινόμενα· ὡς μηδὲ αὐτῶν εἶναι κυρίως τι πάθος ἢ εἶδος ἢ ἕξιν ἢ ἐνέργειαν ἤ τι τοιοῦτον τὸ ἐν φαντασίᾳ ἢ αἰσθήσει γίνεσθαι, ἀλλὰ τῶν φανταζομένων ἢ αἰσθανομένων. ἐπεὶ δὲ καὶ τὸν ὁρισμὸν μέσον καὶ αἴτιον εἴρηκεν, ὅτι μὲν αἴτιον, δεῖξαι οὐκ ἠξίωσεν, ὡς δῆλον ὂν ὅτι εἶδος, τὸ δὲ εἶδος αἴτιον τοῦ ἐκ τούτου καὶ ὑποκειμένου τινός· ὅτι δὲ μέσον ἐν συλλογισμῷ ληφθῆναι ἐνδέχεται, δείκνυσιν ὁριστὰ λαβὼν μὴ καθ' αὑτὸ ὑπάρχοντα, ἀλλ' ἐν ἑτέρῳ τὸ εἶναι ἔχοντα, οἷον ἔκλειψιν, συμφωνίαν. ἐν ἅπασι γὰρ τοῖς τοιούτοις, φησί, τὸ αὐτό ἐστι τὸ τί ἐστι καὶ τὸ διὰ τί ἐστι, τὸ αὐτὸ τῷ ὑποκειμένῳ ἀλλ' οὐ τῷ τρόπῳ τῆς λήψεως· ἄλλως γὰρ ὡς τί ἐστι λαμβάνεται, καὶ ἄλλως ὡς διὰ τί ἐστι. τὸ μὲν γὰρ ὡς καθ' αὑτὸ λαμβανομένου τοῦ ὁριστοῦ καὶ ἐν ἁπλῷ ζητουμένου προβλήματι, εἰ ἔστιν ὅλως ἢ τί ἐστι, τὸ δὲ ὡς ἐν ἑτέρῳ ὄντος καὶ διὰ τί ἐν αὐτῷ ἔστι. ὅτι δὲ τὰ αὐτὰ τῷ ὑποκειμένῳ ἐν τοῖς ἐν ἄλλῳ ὑπάρχουσι καὶ διὰ ἀποδείξεως γινώσκεσθαι φύσιν ἔχουσι τὸ τί ἐστι καὶ διὰ τί ἐστι, δῆλον γίνεται ὁρισμοῦ προβάντος αὐτῶν καὶ λαμβανομένου τοῦ μέσου πρὸς τὴν ἀπόδοσιν τοῦ διὰ τί ἐν ἑτέρῳ ἔστι. τί γάρ ἐστιν ἔκλειψις;

---

1 φησί om. E 6 διὰ τί] διότι Aa 8 εἰ om. E 9 τῶν ἐπὶ τῇ Aa εἴτε καθ' αὑτό τι om. E μὴ] καὶ a 12 τὴν ἔκλειψιν] exspectas ἡ ἔκλειψις τῆς γῆς a, ex τοῦ τριγώνου corr. A²: τοῦ τριγώνου E 13 post καθ' αὑτὸ μὲν add. αἱ δύο ὀρθὴ (sic) κατὰ συμβεβηκὸς δὲ τὸ φανταστόν, ὡς τῇ γῇ καθ' αὑτὸ μὲν E 16 ἐκλείπειν a 17 γίνεται] γὰρ E 19 ἐν τῇ φαντασίᾳ E 23 καὶ om. Aa 24 δεῖξαι] εἰπεῖν Aa 28 φησὶ τοῖς τοιούτοις coll. Aa 29 διὰ τί] διότι Aa, itemque porro ἀλλ' οὐ] οὐ E 35 τοῦ] τούτου E 36 ἀπόδοσιν] ἀπόδειξιν a

στέρησις φωτὸς ἀπὸ σελήνης ὑπὸ γῆς ἀντιφράξεως. καὶ διὰ τί ἡ σελήνη 10
ἐκλείπει; διὰ τὸ ἀπολείπειν τὸ φῶς ἀπ' αὐτῆς, ἀντιφραττούσης τῆς γῆς. 40
καὶ αὖθις ἐπὶ τῆς συμφωνίας· τί ἐστι συμφωνία; λόγος ἀριθμῶν ἐν ὀξεῖ
καὶ βαρεῖ. διὰ τί συμφωνεῖ τόδε τι ὀξὺ ὂν τῷ ψόφῳ ἢ τῇ φωνῇ πρὸς
5 ἕτερόν τι βαρύ; διὰ τὸ λόγον ἔχειν ἀριθμῶν τὸ ὀξὺ καὶ τὸ βαρύ. ταῦτα
δὲ καὶ κατὰ τοὺς τέσσαρας τρόπους τῶν ζητημάτων ζητηθῆναι ἐνδέχεται,
εἰ πρότερον μὲν καθ' ἑαυτὰ λάβωμεν, εἴ εἰσι καὶ τί εἰσιν, ἔπειτα ὡς ἐν
ἑτέρῳ ἔχοντα τὸ εἶναι τὰ ὑποκείμενα ζητοῦντες εἰ τοιάδε τινά εἰσιν, οἷον
ἆρ' ἐστὶ συμφωνία ἐν ὀξέσι καὶ βαρέσι, καὶ ἆρ' ἐστὶν ἐν ἀριθμοῖς ὁ λόγος 45
10 αὐτῶν, λαβόντες δὲ τὸ εἶναι, τίς ἐστιν ὁ λόγος οὗτος ζητήσωμεν· οἷον
ὅτι ἐπίτριτος ὡς ἐπὶ τοῦ διὰ τεσσάρων, ἢ ἡμιόλιος ὡς ἐπὶ τοῦ διὰ πέντε,
ἢ διπλάσιος ὡς ἐπὶ τοῦ διὰ πασῶν, ἢ τετραπλάσιος ὡς ἐπὶ τοῦ δὶς διὰ
πασῶν. τὸ αὐτὸ δὴ καὶ ἐπὶ τῆς ἐκλείψεως· ἆρ' ἔστιν ἔκλειψις, καὶ τί
ἐστιν ἔκλειψις; ὅταν δὲ τὰ ὑποκείμενα τούτοις λαβόντες εἰ τούτοις ταῦτα
15 ὑπάρχει ζητῶμεν, τότε πρῶτον μὲν τὸ ὅτι ταῦτά ἐστιν ἐν ἐκείνοις ζητοῦμεν, 50
ταὐτὸν δὲ εἰπεῖν εἰ ἐκεῖνα τούτοις πεποίωται, οἷον τὸ ὀξὺ καὶ τὸ βαρὺ τῇ
συμφωνίᾳ, καὶ ἡ σελήνη τῇ ἐκλείψει. τοῦτο δὲ λαβόντες ζητοῦμεν τὸ διότι.
καὶ ἕτερον δέ τι τούτων λεγομένων συναναφαίνεται, οὐδὲν ἧττον ἀναγ-
καῖον τυγχάνον, ὅτι ἑπομένως καὶ προσφυῶς μάλιστα τῇ περὶ ἀποδεικτικῆς
20 ἐπιστήμης διδασκαλίᾳ καὶ ὁ περὶ τοῦ ὅρου λόγος παραλαμβάνεται. εἰ γὰρ
τὸ μέσον καὶ αἴτιον οὐ τοῦ συμπεράσματος μόνον ἀλλὰ δὴ καὶ τοῦ πράγ-
ματος ἀναγκαίως ἐν τῇ ἀποδείξει παραλαμβάνεται, τοιοῦτον δὲ καὶ ὁ ὅρος,
ἀναγκαῖον καὶ περὶ | ὅρου ἀποδοῦναι τὸν περὶ ἀποδεικτικῆς ἐπιστήμης 11
διδάσκοντα, καὶ τοσοῦτον ὅσον τῇ ἀποδείξει συμβάλλεται. αἱ μὲν γὰρ
25 κοιναὶ ἔννοιαι νοῦ ὑπάρχουσαι ἀπηχήματα, οὐδεμιᾶς δέονται βασάνου οὐδὲ
λόγου τινός, ἢ ὅσον παραθέσεώς τινος βραχείας, ὥστε ἀνεγεῖραί τε καὶ
ἀνάψαι τὸ ἐγκεκαλυμμένον καὶ βεβυσμένον ἐν ἡμῖν τῆς νοερᾶς δυνάμεως
ἐμπόρευμα· οἱ δέ γε ὅροι ἐπιστήμης δέονται καὶ βασάνου πλείονος καὶ 5
πραγματείας οὐ τῆς τυχούσης, ἵνα δῆλοι γένωνται καὶ τὰς τῶν ὁριστῶν
30 οὐσίας δι' ἑαυτῶν παραστήσωσι. διὰ τοῦτο περὶ ἐκείνων διδασκαλίας οὐκ
ἔδει τῷ περὶ ἀποδείξεως εἰσομένῳ, περὶ δέ γε τῆς τῶν ὅρων θεωρίας καὶ
μάλιστα. ἀναγκαίως ἄρα τῷ περὶ ἀποδείξεως λόγῳ ὁ περὶ τοῦ ὅρου συν-
τέτακται. καὶ ἵνα τοῦτο καὶ ὁ Ἀριστοτέλης ἐνδείξηται, τούτου ἕνεκεν τὸν
περὶ τοῦ μέσου καὶ αἰτίου λόγον εἰς μέσον προέθετο. μήποτε δὲ διὰ τοῦτο
35 περὶ ὅρου ἀναγκαῖον ἦν εἰπεῖν, διότι καὶ περὶ τοῦ μέσου, καθάπερ ἐξ 10
ἀρχῆς εἴρηται.

---

2 ἐκλείπειν a 5 διὰ τί τὸ λόγον E 7 λάβοιμεν E 9 ἐν ante ἀριθμοῖς om. E
10 ζητήσωμεν scripsi: ζητήσομεν libri 12. 13 ἢ τετραπλάσιος — πασῶν om. E
15 ἐκείνοις] τούτοις Aa 16 εἰ] ὡς Aa 18 λεγόμενον Aa 18. 19 τυγχάνον
ἀναγκαῖον coll. Aa 20 ἐπιστήμης scripsi: ἐπιστήμη libri 22 δὲ om. E
24 διδάξαντα Aa 25 νοῦ] τοῦ Aa ἀποχήματα E 32 περὶ τῆς ἀπο-
δείξεως Aa 33 ἐνδίξηται a 35 ἦν] εἶναι Aa διότι] διὸ τοῦ E

p. 90a 5 Συμβαίνει ἄρα ἐν ἁπάσαις ταῖς ζητήσεσι ζητεῖν. 11

Συμπεραίνει τὰ εἰρημένα ὅτι καλῶς ἄρα ἡμῖν εἴρηται ὡς ἐν πᾶσιν τοῖς ζητήμασι τὸ μέσον ζητεῖται, καθὼς ἐκ τῆς ἐπαγωγῆς δῆλον γέγονεν· ἕκαστον γὰρ λαβόντες ζήτημα καὶ τούτου παράδειγμα θέμενοι ἔγνωμεν ὅτι τὸ μέσον ἐστὶν ἐν αὐτῷ τὸ ζητούμενον, ἢ εἰ ἔστι ἢ τί ἐστιν· ὡς συναιρεῖσθαι τοῦτον τὸν τρόπον εἰς δύο τὰ πάντα προβλήματα, εἴς τε τὸ εἰ ἔστι τὸ μέσον καὶ τί ἐστι τὸ μέσον, ἔπειτα τούτων εἰς δύο αὖθις διαιρεῖσθαι ἑκάτερον, εἴς τε τὸ ἁπλοῦν καὶ τὸ σύνθετον. ὡς εἶναι οὕτω προβαίνουσαν τὴν διαίρεσιν· πᾶν πρόβλημα ἢ εἰ ἔστι ζητεῖ ἢ τί ἐστι, καὶ τὸ εἰ ἔστιν ἢ τὸ ὅτι ἐστὶν ἢ εἰ ἔστιν ἁπλῶς. καὶ αὖθις τὸ τί ἐστιν ἢ τὸ διὰ τί ἐστι ἢ τὸ τί ἐστιν ἁπλῶς· καὶ ταῦτα γίνεται σαφῆ ἐκ τῶν εἰρημένων παραδειγμάτων· εἶτα ἐπάγει καὶ συλλογισμὸν εἰς δεῖξιν τοῦ αὐτοῦ, τῇ ἐπαγωγῇ μὴ ἀρκούμενος.

p. 90a 6 Τὸ μὲν γὰρ αἴτιον τὸ μέσον.

Τὸν συλλογισμὸν ὅπως ἐν πρώτῳ γίνεται σχήματι εἴπομεν, καὶ σαφὴς ἐξ ἐκείνων ὁ λόγος ἐστίν. ἀλλ' οὐδὲ τὸ παράδειγμα πολλοῦ λόγου δέεται, σαφὲς καὶ αὐτὸ ἤδη ὂν ἐκ τῶν προειρημένων. ἐν γὰρ τῷ ζητεῖν, φησίν, ἄρα ἐκλείπει τοῦτο ζητοῦμεν, ἄρα ἔστι τι αἴτιον τῆς ἐκλείψεως ἢ οὔ· ἐπίτηδες δὲ τὸ ἐκλείπειν χωρὶς ὑποκειμένου ἔλαβεν ὡς αὐτὸ τιθεὶς ὑποκείμενον, δυνατὸν ὄν, ὡς ἐρεῖ προϊών, καὶ ἐπὶ τῶν ἐν ἑτέροις ἐχόντων τὸ εἶναι τὰ τέσσαρα παραλαμβάνεσθαι προβλήματα. τίς δὲ ἡ αἰτία, δι' ἣν ἐπὶ τῶν τοιούτων τὸν περὶ τῶν ζητημάτων γυμνάζει λόγον καὶ οὐκ ἐπὶ τῶν ὑφεστηκότων καθ' ἑαυτά, εἰρήσεται μετ' ὀλίγον.

p. 90a 9 Τὸ γὰρ αἴτιον τοῦ εἶναι μὴ τοδὶ ἢ τοδί.

Καθόλου γάρ, φησί, τὸ αἴτιον τοῦ εἶναι τὸ μέσον ἔστιν, εἴτε ἐπὶ τῶν καθ' ἑαυτὰ ὑφεστώτων ἐρεῖ τις εἴτε ἐπὶ τῶν ἐν ἑτέροις ἐχόντων τὸ εἶναι. ἐπεὶ οὖν τὰ μὲν καθ' ἑαυτὰ ὑφεστῶτα ἤτοι αἱ οὐσίαι ἁπλῶς ὄντα ἔστι, τὰ δ' ἐν αὐτοῖς ἔχοντα τὸ εἶναι πῇ ὄντα ὥς τι ὄντα τῶν οὐσιῶν ἕκαστον αὐτῶν, διὰ τοῦτο τὰ μὲν ἐν ἑτέρῳ ἔχοντα τὸ εἶναι τοδὶ ἢ τοδὶ ὠνόμασε, τὰ δὲ ὑποκείμενα ἁπλῶς. τὸ τοίνυν αἴτιον, φησί, τοῦ εἶναι ἤ τι τῶν μὴ ἐν ἑτέροις ἐχόντων τὸ εἶναι, ἀλλὰ τῶν ἁπλῶς ὄντων, ταὐτὸν δὲ εἰπεῖν τῶν οὐσιῶν, ἢ καὶ τῶν μὴ ἁπλῶς ὄντων, ἀλλά τι τῶν ἐν ἑτέροις, τὸ

---

2 ἡμῖν ἄρα coll. Aa 7 ante ἔπειτα add. καὶ Aa 8 τὸ post τε om. a
9 πρόβλημα] ζήτημα Aa 10 διὰ τί] διότι Aa 16 πολλοῦ om. Aa
17 ἤδη om. E εἰρημένων Aa 19 δὲ om. Aa 21 post τίς δὲ add. ἣν Aa 22 λόγον om. Aa 23 ὑφεστώτων καθ' ἑαυτὸ Aa 27 καθ' ἑαυτὸ Aa ἤτοι] ἤτε Aa 28 αὐταῖς Aa

αἴτιον, φησί, τοῦ εἶναι ἢ ἐκείνων τι ἢ τούτων τὸ μέσον ἔστι· λέγει δὲ 11
ταῦτα τὸ ῥηθὲν εἰσέτι ἐπιβεβαιούμενος, ὅτι πανταχοῦ τὸ αἴτιόν ἐστι τὸ
μέσον. ἐπεὶ δὲ τῶν ἐν ἑτέρῳ ὄντων τὰ μὲν καθ' αὑτὸ συμβέβηκεν, ὡς
τὸ περιττὸν ἐν ἀριθμῷ καὶ ἄρτιον, τὰ δὲ ἁπλῶς συμβέβηκεν ὡς τὸ λευκὸν
5 καὶ τὸ βαδίζειν, τούτου ἕνεκεν καὶ ταῦτα διέστειλεν, ἐπὶ πάντων τὸ τοιοῦ- 40
τον κρατεῖν διισχυριζόμενος, λέγω δὴ τὸ εἶναι τὸ αἴτιον τὸ μέσον. σαφηνίζων
δὲ τὸ τοιοῦτον ἐπάγει

p. 90a 12 Λέγω δὲ τὸ μὲν ἁπλῶς τὸ ὑποκείμενον, οἷον σελήνην ἢ γῆν ἢ ἥλιον.

10 Διὰ παραδειγμάτων τὸ εἰρημένον διασαφεῖ, σελήνην μὲν καὶ γῆν καὶ
ἥλιον καὶ τρίγωνον ὑποκείμενα λαμβάνων καὶ καθ' ἑαυτὰ θεωρούμενα, εἴ 45
γε οὐσία δοκεῖ τὸ τρίγωνον μαθηματική (εἰς τρία γὰρ τὰ ὄντα διῄρηνται,
εἰς αἰσθητά, νοητά, διανοητά, ὧν διανοητῶν ἐστι καὶ τὸ τρίγωνον· εἰ γὰρ
καὶ φανταστόν, ἀλλὰ διανοητῶς τὰ περὶ αὐτοῦ ἐξεταζόμενα τεθεώρηται),
15 ἔκλειψιν δὲ καὶ ἰσότητα καὶ ἀνισότητα καὶ τὸ ἐν μέσῳ εἶναι ἢ μή, ὡς
ἐν ἐκείνοις τὸ εἶναι ἔχοντα. καὶ ἔστιν ἡ μὲν ἔκλειψις σύμπτωμά τι ἴσως
ἐν ἡλίῳ ἢ σελήνῃ γινόμενον καὶ διὰ τοῦτο τοῖς συμβεβηκόσιν ἁπλῶς συν-
ταττόμενον, ἰσότης δὲ τῶν δύο ὀρθῶν ἐν τριγώνῳ τῶν καθ' αὑτὸ οὖσα, 50
ὡς καὶ τὸ ἔχειν τὰς δύο πλευρὰς ἀνίσους τῇ μιᾷ πανταχόθεν μεταλαμβα-
20 νομένας· τὸ γὰρ μεῖζον ἄνισον τῷ οὗ ἐστι μεῖζον. ὁμοίως δὲ καθ'
αὐτὸ τῇ γῇ τὸ ἐν μέσῳ εἶναι τοῦ παντός, καθὰ εἴρηται. εἰπὼν δὲ τόδε
τι ἀντέθηκε μὲν τοῦτο πρὸς τὸ ἁπλῶς, ἐνέφηνε δὲ τὰ μὴ καθ' αὑτὰ τὴν
ὑπόστασιν ἔχοντα.

p. 90a 14 Ἐν ἅπασι γὰρ τούτοις φανερόν ἐστιν ὅτι τὸ αὐτό ἐστι καὶ τὸ τί ἐστι καὶ τὸ διότι ἐστίν. |

Ἐπειδὴ ἀνωτέρω εἰς παράδειγμα τῶν τεσσάρων προβλημάτων τὴν 12
ἔκλειψιν εἴληφε καὶ ἐπ' αὐτῆς τὸν περὶ τούτων λόγον ἐγύμνασεν, ἔνθα
ἔλεγεν 'ἐν ἅπασι δὲ τοῦτο ζητεῖται, ἆρ' ἐκλείπει, ἆρ' ἔστι τι αἴτιον ἢ οὔ'
καὶ τὰ ἑξῆς, τὸ δὲ ἐκλείπειν οὐ τῶν καθ' αὑτὸ ὑφεστώτων ἐστίν, ἀλλ'
30 ἐν ἑτέρῳ ἔχει τὸ εἶναι, ἔλαβε δὲ ἑξῆς ὑποκείμενά τέ τινα καὶ ἐν αὐτοῖς
αὐθις θεωρούμενα ἕτερα, ὡς ἀδιάφορον ὂν εἴτε ἐπὶ οὐσιῶν εἴτε ἐπὶ συμ- 5
βεβηκότων τὸν περὶ τῶν ζητημάτων λόγον γυμνάζοι τις, ἐδόκει δὲ τὸ μὲν
εἰ ἔστι καὶ τί ἐστιν οἰκεῖον ταῖς οὐσίαις εἶναι, ὡς κυρίως οὔσαις καὶ
ὑφισταμέναις καθ' αὑτάς, τὸ δὲ ὅτι ἔστιν ἤτοι ὑπάρχει τῷδε τόδε, καὶ

2. 3 τὸ μέσον ἐστὶν E 3 ἐν ἑτέρῳ — συμβέβηκεν] ἐν ἑτέροις θεωρουμένων τὰ μὲν καταυτὸ ἐστι Aa 6 δὴ] δὲ libri 14 φανταστῶς E 16 συμπτώματι libri 18 ἰσότητα Aa τῶν καθ' αὑτὸ οὖσα] τοῖς καθ' αὑτὸ Aa 19 ἀνίσας a 20 δὲ om. Aa 21 καθὰ] ὡς E 24 γὰρ] δὲ Aa 30 ἑξῆς scripsi: ἐξ ἧς libri 32 γυμνάζει Aa 34 καθ' αὑτά Aa

διὰ τί ὑπάρχει τῷδε τόδε τοῖς ἐν ἑτέροις τὸ εἶναι ἔχουσι, τοῦτο ἐνταῦθα 12
κατασκευάζειν δοκεῖ ὡς οὐδὲν ἄτοπον, εἰ καὶ ἐπὶ τῶν συμβεβηκότων ζητήσομεν ἅπαντα· ἐν ἅπασι γὰρ τούτοις τοῖς προσεχῶς ἀπηριθμημένοις, ἅπερ τόδε τι ἔλεγεν, ὡς πῇ ὂν τούτων ἕκαστον καὶ οὐχ ἁπλῶς, οἷον ἐκλείψει, 10
5 ἰσότητι, ἀνισότητι, τῷ ἐμμέσῳ ἢ μή, ἐν ἅπασι τούτοις φανερόν ἐστιν, ὅτι τὸ αὐτό ἐστι καὶ τὸ τί ἐστι καὶ τὸ διὰ τί ἐστι. ταὐτὸ γάρ ἐστιν ἑκάτερον τῷ ὑποκειμένῳ, τῷ λόγῳ δὲ διαφέρει καὶ τῷ τρόπῳ τῆς χρήσεως, καθὼς καὶ ἐν τῷ πρὸ τούτου βιβλίῳ ἔλεγε τὸν ὁρισμὸν ἀπόδειξιν εἶναι τῇ θέσει διαφέροντα. τοῦτο δὲ λέγει οὐ περὶ τῶν οὐσιῶν πάντως, ἀλλὰ περὶ
10 ὧν ἡ ἀπόδειξις· ταῦτα δέ ἐστιν ὡς ἐπὶ τὸ πλεῖστον καθ' αὑτὰ συμβεβηκότα, ἐνίοτε δὲ καὶ ἁπλῶς. ἐνδείκνυται δὲ καὶ τοῦτο ἐντεῦθεν, ὅτι πάντα 15
τὰ ζητήματα τῇ ἀποδεικτικῇ ἐπιστήμῃ δύναται ἀναφέρεσθαι, ὡς οἰκεῖον εἶναι τῇ περὶ ταύτης προθέσει καὶ τὸ περὶ τούτων εἰπεῖν, εἴ γε μέσου ἐστὶν ἑκάστου τούτων ἡ ζήτησις. τὸ δὲ μέσον τὸ αἴτιον, καὶ αἴτιον τοῦ
15 πράγματος, οὐ μόνον τοῦ συμπεράσματος, ὅπερ τῇ ἀποδεικτικῇ οἰκειότατον, λέγω δὴ τὸ τοιοῦτον παραλαμβάνειν τὸν μέσον. ὅτι δὲ τὸ αὐτό ἐστιν ἐν τούτοις τὸ τί ἐστι καὶ διὰ τί ἐστι, δῆλον ποιεῖ διὰ τῶν παραδειγμάτων, μηδὲν λαμβάνων καθ' ἑαυτὸ ὑφεστός, ἀλλ' ἐκ μόνων ἐν ἑτέροις ἐχόντων 20
τὸ εἶναι τὸν λόγον ἀποπληρῶν.

20 p. 90a15 Τί ἐστιν ἔκλειψις; στέρησις φωτὸς ἀπὸ σελήνης ὑπὸ γῆς ἀντιφράξεως.

Τοῦτο ὁρισμός, εἶτα ἀπόδειξις μέσῳ χρωμένη τῷ ὁρισμῷ.

p. 90a16 Διὰ τί ἐστιν ἔκλειψις, ἢ διὰ τί ἐκλείπει ἡ σελήνη; διὰ τὸ ἀπολείπειν τὸ φῶς ἀντιφραττούσης τῆς γῆς.

25 Ἔοικε δὴ ἐν τοῖς τοιούτοις τὸ εἰ ἔστι καὶ τί ἐστιν ὑπουργὰ εἶναι 25
τοῦ διὰ τί ἐστι, τὸν μέσον εὑρίσκοντα καὶ τῇ ἀποδείξει τοῦτον παρέχοντα, εἰ μή τις ταῦτα φαίη γεννητικὰ εἶναι τῆς ἀποδείξεως καὶ παραίτια ὡς αὐτῇ χορηγοῦντα τὴν ἀφορμὴν τῆς ὑπάρξεως. εἴτε οὖν οὕτως εἴτε ἐκείνως, ὡς οἰκεῖα ταῦτα τῷ ἐξ ἀρχῆς σκοπῷ, ὃν περὶ τῆς ἀποδεικτικῆς ἐπιστήμης
30 προέθετο, οὕτως ἐνταυθοῖ παραδίδωσι. δοκεῖ δὲ τῇ ἀποδεικτικῇ διαιρετικὴν καὶ ὁριστικὴν ἀναφέρων καὶ αὐτῇ ταύτας ὑποτιθεὶς εἰρηκέναι ταδί, εἰ 30
καὶ ἐν ἑτέροις αὗται παραλαμβάνονται, ἐν οἷς μὴ χώραν ἔχει ἡ περὶ τῶν καθ' αὑτὸ συμβεβηκότων ἐξετάζουσα ἐπιστήμη.

---

1 διὰ τί] διότι Aa 2. 3 ζητήσωμεν a 4 πῇ] τῇ a 5 ἐμέσῳ E
ἐν—τούτοις om. E 6 ὅτι—τὸ τί ἐστι om. E: τὸ τί ἐστι om. A 8 καθὼς E
ἐν τῷ πρὸ τούτου βιβλίῳ] Anal. post. A 8 p. 75b31 sqq. 9 θέσει] διαθέσει Aa
13 τὸ περὶ τούτου Aa μέσου] μέση Aa 16 δὴ scripsi: δὲ libri 17 καὶ
διότι Aa 25 δὴ] δὲ E τούτοις E 29 τῆς] τοῖς Aa 30 post
ἀποδεικτικῇ add. ἐπιστήμη Aa 31 ταύτοις (sic) a

p. 90a 18 Τί ἐστι συμφωνία; λόγος ἀριθμῶν ἐν ὀξεῖ καὶ βαρεῖ. 12

Τῷ τῆς ἐκλείψεως παραδείγματι μὴ ἀρκούμενος καὶ τὸ περὶ συμφωνίας προστίθησιν, ὡς κἂν τούτῳ δήλου γινομένου ὡσαύτως τοῦ τὸ αὐτὸ 35
εἶναι τὸ τί ἐστι καὶ διὰ τί ἐστι. ἡ γὰρ ἐν τῷ τί ἐστι γινομένη ἀπόδοσις
5 καὶ ἐνταῦθα μέση λαμβανομένη ἐν τῷ διὰ τί ἐστιν ἀποτελεῖ τὴν ἀπόδειξιν.

p. 90a 21 Ἆρ' ἔστι συμφωνεῖν τὸ ὀξὺ καὶ τὸ βαρύ; ἆρ' ἔστιν ἐν ἀριθμοῖς ὁ λόγος αὐτῶν; λαβόντες δ' ὅτι ἔστι, τίς οὖν ἐστιν ὁ λόγος;

Ἐπειδὴ τὴν μὲν ἔκλειψιν πολλάκις εἰς παράδειγμα εἴληφε, τὴν δὲ
10 συμφωνίαν ὥσπερ καινόν τι νῦν παρεισήνεγκε, τούτου χάριν τὰ τέσσαρα
καὶ ἐπ' αὐτῆς γυμνάζει προβλήματα. τὸ δὲ τίς οὖν ὁ λόγος ἐλλιπῶς 40
τελευταῖον εἰσήνεγκεν ἀκουομένου τοῦ ζητοῦμεν. ἀπορήσειε δ' ἄν τις, εἰ
ἁπλᾶ τὰ προβλήματα τὸ εἰ ἔστι καὶ τί ἐστι, πῶς καὶ ἐπ' αὐτῶν τὸν
μέσον εἶναί φησι τὸν ζητούμενον· ὁ γὰρ μέσος ἄκρων ἐστὶ μέσος, τὰ δὲ
15 ἄκρα ἀλλήλων ἕτερα· ὅπου δὲ ἕν τι καὶ ταὐτόν, πῶς τούτου ἔσται τι μέσον;
ἐπὶ μὲν γὰρ τοῦ ὅτι καὶ διὰ τί, συνθέτων ὄντων ζητημάτων καὶ ἕτερα
ἀλλήλων ἐχόντων τὸ ἐν ᾧ τε καὶ ὅ, καὶ μέσος παραλαμβάνεται εἰς ἓν δι'
ἑαυτοῦ συνάγων τὰ ἕτερα· ἐπὶ δὲ τῶν ἁπλῶν οὐδαμῇ τις χώρα τῷ 45
μέσῳ λείπεται. πῶς οὖν ἐπὶ τῶν ἁπλῶν τὸν μέσον εἶναι τὸ ζητούμενον
20 εἴρηται; ἢ οὐχ ὡς ἐπὶ πάντων μέσου ὄντος τοῦ ζητουμένου εἴρηται τοῦτο,
ἀλλ' ὡς αἰτίου μὲν ἐπὶ πάντων, δυνατοῦ δὲ ὄντος τοῦ αἰτίου μέσου
γίνεσθαι οὐχὶ καὶ ἐπὶ τῶν ἁπλῶν, ἀλλ' ἐπὶ τῶν συνθέτων μόνων. ὡς γὰρ
αἰτίου ζητουμένου τοῦ ὅρου ἐπὶ τοῦ εἰ ἔστι καὶ τί ἐστιν, ἐπὶ τούτων εὑρε-
θέντος, λαβεῖν αὐτὸν ὡς μέσον ἐπὶ τοῦ διὰ τί ἐστι δυνατόν. ὡς ἐκεῖ μὲν
25 εἶναι αὐτὸν ἐνεργείᾳ μὲν αἴτιον, δυνάμει δὲ μέσον, ἐπὶ δὲ τοῦ διὰ τί ἐνεργείᾳ 50
ἄμφω καὶ μέσον καὶ αἴτιον. μεταξὺ γὰρ οὑτινοσοῦν πράγματος καὶ τοῦ
ἰδίου αὐτοῦ τί ἐστιν εἶναί τι οὐκ ἐνδέχεται· εἰ δὲ καὶ ἦν, καὶ ἐκεῖνο ἂν
ἦν τὸ ζητούμενον, εἴ γε τοῦ μέσου ἡ ζήτησις, ἀλλ' οὐχὶ τὸ τοῦ πράγματος
τί ἐστι· νῦν δὲ τοῦτο ζητεῖσθαι λέγεται. ἀλλ' οὐδ' ἂν ὑπῆρχεν ἁπλοῦν
30 τὸ πρόβλημα, εἰ οὕτως ἀπ' ἀλλήλων διίστατο τὸ πρᾶγμά τε καὶ τὸ αὐτοῦ
ἴδιον τί ἐστιν, ὡς καί τι μέσον αὐτῶν εὑρίσκεσθαι· ἐπεὶ δὲ καὶ ἐφ' ὧν
ζητημάτων ἀπόδειξις, ἐπὶ τούτων καὶ μέσον, | ἐφ' ὧν δ' οὐχί, οὐδὲ μέσον, 13
εἴη ἂν ἐπὶ μὲν τοῦ ὅτι καὶ διὰ τί μέσον, ἐπεὶ καὶ ἀπόδειξις, ὡς ἐν τῷ
πρὸ τούτου βιβλίῳ ἐμάθομεν, ἐπὶ δὲ τῶν ἄλλων οὐχί, καθὼς προϊοῦσι
35 δῆλον γενήσεται, ὅταν ὅτι οὐκ ἔστι τοῦ τί ἐστιν ἀπόδειξις δείκνυται. πῶς

4 γενομένου E 7. 8 ἐστὶν ὁ λόγος] λόγος ἐστὶν αὐτῶν Aa 11 τὸ δὲ — προβλήματα (13) om. E 13 καὶ τί ἐστι om. E post πῶς add. δὲ E 15 ἕτερα om. E ἔσται] ἐστι Aa 17. 18 δι' αὐτοῦ Aa 18 συνάγων] συλλέγων E τις] τῆς A: τοῖς a 19 τὸν ζητούμενον Aa 20 τοῦτο εἴρηται coll. Aa 21 ὡς αἰτία E 23. 24 εὑρεθέντα Aa

δὲ καὶ ὅλως αἴτιον φήσομεν ἐπὶ τῶν ἁπλῶν ζητημάτων οὕτως ὡς ὅρον, 13
εἴ γε οὐκ ἄλλο παρ' ἐκεῖνο ἑκάστῳ τὸ τί ἐστιν, ὡς μηδὲ κατηγορίαν λέγεσθαι
τοῦ ὅρου, καθ' οὗ ὅρος ἔστι. τὸ γὰρ αἴτιόν τινός ἐστιν αἴτιον· ὅταν δὲ 5
ὁ ὅρος οὐκ ἔστι τοῦ ὁριστοῦ ἕτερον ἢ μόνον ὅσον ἐπεξηγεῖσθαι ὡς λόγον
5 τὸ οὗ λόγος ἐστί, πῶς αἴτιον καὶ αἰτιατὸν ἐν τοῖς τοιούτοις ἐροῦμεν; ἢ
ἐπὶ μὲν τῶν ἁπλῶν οὐσιῶν τοῦτο, ὡς μὴ εἶναι ἄλλο καὶ ἄλλο ἐν τοῖς
τοιούτοις τὸ τῷδε εἶναι καὶ τόδε εἶναι· ἐπὶ δὲ τῶν συνθέτων καὶ μετὰ
ὅλης θεωρουμένων εἰδῶν ἕτερος ὁ λόγος ἀποδιδόμενος, καὶ ἄλλος τῇ ὅλῃ
συνθεωρούμενος. ψυχῇ μὲν γὰρ καὶ ψυχὴν εἶναι τὸ αὐτό, καὶ νῷ τε
10 καὶ νοῦν· ἄνθρωπον δὲ καὶ ἀνθρώπῳ ἴσως οὐχί. διὸ καὶ αἴτιον ἐπὶ 10
τούτων ὁ ὅρος λέγοιτ' ἄν, ὡς εἶδος ὧν εἰς τὴν δι' ἑαυτοῦ ἄγων τὸ
ὑποκείμενον τελειότητα, εἰ καὶ μὴ ἐξῃρῆσθαι ἴσως δόξει ἀλλὰ συντετάχθαι
τῷ οὗ ἐστιν αἴτιον. δόξειε δ' ἂν εἰκότως Ἀριστοτέλης πρὸς τὸν προκεί-
μενον σκοπὸν ταῦτα μεταχειρίζεσθαι· ἐπεὶ γὰρ περὶ ἀποδείξεως λέγων
15 μόνα τὰ δύο ταύτῃ ζητήματα ὑπάγεσθαι εἴρηκεν ὡς τοῦ ὅτι εἶναι εἰπὼν
καὶ τοῦ διότι ἀπόδειξιν, ὑπελείπετο δὲ καὶ τὸ εἰ ἔστι καὶ τί ἐστιν, ἵνα
μὴ δόξῃ ἢ ἐλλιπῆ καὶ ὥσπερ ἐξ ἡμισείας τὴν διδασκαλίαν ποιήσασθαι ἢ 15
χώραν ἑτέραις ἐπιστήμαις παρέχειν εἰς τὴν τῶν ζητουμένων τοῖς ἄλλοις
ζητήμασιν εὕρεσιν, οἷον τυχὸν διαιρετικῇ ἢ ἀναλυτικῇ τὸ εἶναι εὑρισκούσαις
20 καὶ τί εἶναι, ἐπειράθη καὶ ταῦτα ὑποθέσθαι τῇ ἀποδεικτικῇ ὡς μέσον
ζητοῦντα καὶ αὐτὰ καὶ τοῖς κατ' ἐκείνην καθυπουργοῦντα ζητήμασι, καὶ
γυμνάζει τὸν λόγον ἐπὶ τῶν μὴ καθ' αὑτὰ ἀλλ' ἐν ἑτέροις ὑφεστηκότων·
ἐφ' ὧν καὶ ὁ λόγος σώζεσθαι δύναται, ὡς ἐγχωροῦν ἐπὶ τούτων ἑκάστου
τὰ τέσσαρα ζητήματα παρεισάγεσθαι, καθὼς καὶ τὰ παρ' αὐτοῦ παρίστησι 20
25 παραδείγματα, εἰ ἔστιν ἔκλειψις, τί ἐστιν, ὅτι ἐστὶ καὶ διὰ τί ἐστι· καὶ ἐπὶ
τῆς συμφωνίας ὡσαύτως. εἰπὼν γὰρ ὑπὸ τὴν ἀποδεικτικὴν ἐπιστήμην
πάντα τὰ ζητήματα ἀναφέρεσθαι, ἐπειδήπερ ἐπὶ τῶν ἐν ἑτέροις ἐχόντων
τὸ εἶναι τὸν λόγον εὐοδούμενον εὕρισκε, τούτου ἕνεκεν ἐν τοῖς τοιούτοις
μόνοις αὐτὸν ἐξήτασεν· εἰ γὰρ καὶ γῆν καὶ σελήνην καὶ τρίγωνον εἴληφεν,
30 ἀλλ' οὐχὶ καὶ ἐν τούτοις τὴν γυμνασίαν τῶν προβλημάτων πεποίηκεν, ὡς 25
μήτε τοῦ εἶναι μήτε τοῦ τί εἶναι τούτων ἀναφέρεσθαι δυναμένων τῇ ἀπο-
δεικτικῇ, εἰ μήτις ἁπλῶς βούλοιτο λέγειν ὡς ἅπας ὁρισμὸς δύναται μέσος
λαμβάνεσθαι ἐν συλλογισμῷ καὶ τὸ εἶναι δι' ἑαυτοῦ ἀποδεικνύειν τὸ
ὁριστόν. οἷον ὅτι τί ἐστιν ἄνθρωπος; ζῷον πεζὸν δίπουν· καὶ διὰ τί ἐστιν
35 ἄνθρωπος; διότι ἔστι ζῷον πεζὸν δίπουν. ἀλλὰ τοῦτό ἐστιν αὐτὸ δι' ἑαυτοῦ
δεικνύναι· οὐδὲν γὰρ ἕτερον ὁ ἄνθρωπος ἢ ζῷον πεζὸν δίπουν οὐδ' αὖ τὸ

---

1 ἁπλῶς E 3 καθ οὗ—ὁ ὅρος (4) om. E 4 ἐπεζητεῖσθαι E
5 τοῦ οὗ E ἐροῦμεν post αἴτιον ponunt Aa 9 ψυχὴν μὲν γὰρ καὶ ψυχὴν
εἶναι ταυτόν E 10 post ἀνθρώπῳ add. εἶναι E 10. 11 ἐπὶ τούτου E
12 μὴ ἐρεῖσθαι E 15 ταύτῃ] ταῦτα E 16 καὶ post δὲ om. Aa
19 εὑρισκούσης E 25 διὰ τί] διότι Aa 29 γῆν καὶ] τὴν a 32 λέγει a
ἅπαν a 35 διότι] ὅτι Aa 36 ἕτερον] ἄλλο E ὁ om. Aa αὖ τὸ scripsi:
αὐτὸ libri

ζῷον πεζὸν δίπουν ἄλλο ἢ ἄνθρωπος. καὶ οὕτω λέγοντες οὐδὲν ἕτερόν 13
φαμεν ἢ ὅτι ἄνθρωπός ἐστι, διότι ἄνθρωπός ἐστιν. ἔπειτα τῶν καθ' αὑτὸ 31
συμβεβηκότων ἑτέροις τὰς ἀποδείξεις εἶναι ἐμάθομεν, οὐ τῶν καθ' αὑτὰ
τὸ εἶναι ἐχόντων· πρὸς δὲ τούτοις εἰ καὶ ἕτερα ἀλλήλων εἶναι δώσομεν
5 τὸν ὁρισμὸν καὶ τὸ ὁριστόν, εἰ ἀντιστρέφουσι, πῶς οὐχὶ δι' ἀλλήλων
ἀποδειχθήσεται, καὶ ἔσται ἀλλήλων αἴτια καὶ πρῶτα καὶ ὕστερα, ὅπερ
ἄτοπον.

p. 90ᵃ23 Ὅτι δ' ἔστι τοῦ μέσου ἡ ζήτησις, δηλοῖ ὅσων τὸ μέσον αἰσθητόν.

10 Προτίθεται τὸ αὐτὸ καὶ ἐκ τῆς ἐναργείας δεῖξαι, λέγω δὴ τὸ τοῦ 35
μέσου εἶναι τὴν ζήτησιν ἐν τοῖς ζητήμασιν ἅπασιν. ἐπεὶ δὲ μὴ ταὐτὸ
ἐπιστήμη καὶ αἴσθησις, μηδ' ἐπιστητόν τε καὶ αἰσθητὸν ταὐτὰ τῷ λόγῳ
εἰσί, καὶ οὐκ ἦν ἁπλῶς αἰσθητόν τι λαβεῖν πρὸς τὴν προκειμένην ἐνάργειαν,
πῇ αἰσθητόν τι παραλαμβάνει. τὸ γὰρ τὴν σελήνην ὑπὸ τῆς γῆς ἀντι-
15 φράττεσθαι, αἰσθητὸν μὲν τῇ ἑαυτοῦ φύσει ὡς πεφυκὸς ὁρᾶσθαι καὶ κατα-
λαμβάνεσθαι, ἡμῖν δὲ οὐκ αἰσθητὸν διὰ τὸ μὴ εἶναι ἐπὶ τῆς σελήνης, ὥσπερ 40
καὶ τὸ ἐν τῷ βυθῷ ὄστρακον. νῦν γὰρ ἐπεὶ μή ἐσμεν ἐπὶ τῆς σελήνης,
διὰ τοῦτο οὐκ αἰσθανόμεθα ἀντιφραττούσης τῆς γῆς, καὶ διὰ τοῦτο ζητοῦμεν
εἰ ἐκλείπει ἡ σελήνη· εἰ δ' ἦμεν ἐπ' αὐτῆς, οὐκ ἂν εἰ ἔστι, τὴν ἔκ-
20 λειψιν ἐζητήσαμεν ὁρῶντες τὴν ἀντίφραξιν. ὥσπερ οὖν ὁρῶντες τὴν ἀντί-
φραξιν οὐ ζητοῦμεν τὴν ἔκλειψιν ὡς τὴν αἰτίαν αὐτῆς γινώσκοντες, οὕτω
τὴν ἔκλειψιν εἰ ἔστι ζητοῦντες τὴν αἰτίαν ζητοῦμεν αὐτῆς, ἥτις ἐστὶν ἡ
ἀντίφραξις. οὐ τοῦτο δέ, φησί, λέγομεν ὅτι εἰ ἐπὶ τῆς σελήνης ἦμεν,
ταὐτὸν ἂν ὑπῆρχεν ἡμῖν ἐπιστήμη καὶ αἴσθησις ὡς τὸ μέσον ἔχουσιν 45
25 αἰσθητὸν καὶ δι' αὐτοῦ συνάγουσι τὸ συμπέρασμα αἰσθητὸν ὂν καὶ αὐτό
(τοῦτο γὰρ ἐναντίον τοῖς προτέροις, ἐν οἷς ἕτερα ἀλλήλων ἐπιστήμη καὶ
αἴσθησις ἐδείκνυτο) ἀλλ' ὅτι ταῦτα μὲν καὶ ἄμφω ἂν ἦν αἰσθητά, ἀπὸ δὲ
τῶν καθ' ἕκαστα ἐκλείψεων, ὅπως γίνονται, τὸ καθόλου εἴχομεν ἂν ἐν ἡμῖν
ἐκ τούτων ἀποτικτόμενον· τὸ μὲν γὰρ εἰδέναι τὸ νῦν οὕτως ἔχειν αἰσθήσεως,
30 τὸ δ' ἁπλῶς οὕτως ἔχειν εἰδέναι ἐπιστήμης.

Τοῦτο εἰπὼν ἐπαναλαμβάνει πάλιν τὸν περὶ τοῦ τί ἐστι καὶ διὰ τί 50
ἐστι λόγον, καὶ φησὶν ὃ καὶ πρότερον, ὅτι τῇ τοῦ τί ἔστι γνώσει καὶ ἡ τοῦ
διὰ τί ἐστιν ἐπιστήμη συνείσεισιν. ὁ γὰρ εἰδὼς τί ἐστιν ἔκλειψις οἶδε
καὶ διὰ τί ἐστιν ἔκλειψις, αὐτὸ λαμβάνων τὸ τί ἐστι μέσον ἐν τῷ
35 ἀποδιδόναι τὸ διὰ τί ἐστιν, ὡς πρότερον εἴρηται· τοῦτο δὲ ἢ ἐπὶ

2 ὅτι ἄνθρωπος—ἐστιν] διότι ἐστὶ ἄνθρωπος διότι ἐστὶ ἄνθρωπος Aa 5 τὸν—καὶ τὸ ὁριστόν] αὐτὰ E εἰ E: ἐπὶ (sic) Aa 6 ἔσται scripsi: ἔστη Aa: om. E
10 τὸ ante αὐτὸ om. E 15 ὁρᾶσθαι καὶ] ὁράσει Aa 18. 19 εἰ ἐκλείπει ζητοῦμεν coll. E 21 τὴν post ὡς om. Aa 24 τὸν μέσον Aa 26 ἕτεραι Aa
27. 28 ἀπὸ δὲ τῶν A²a: ὡς E 28 post καθ' ἕκαστα add. αἰσθανόμενοι δὲ τῶν καθ' ἕκαστα E . ἔχομεν Aa 33 συνείσεισιν] σύνεστιν E 35 ἢ] εἴτε Aa

τῶν καθ' αὑτὸ ὑπαρχόντων, οἷον ἡλίου σελήνης γῆς τριγώνου, ἢ ἐπὶ τῶν ἐν ἑτέροις θεωρουμένων, οἷον ἐκλείψεως κινήσεως δύο ὀρθῶν. τοῦτο δ' οἶμαι λέγειν αὐτόν, οὐχ ὅτι καὶ ἐπ' ἀμφοῖν εἶναι τοῦτο δύνα- | ται, ἵνα καὶ ἐπὶ τῶν ὑφεστώτων καθ' αὑτὸ μέσος ὁ ὁρισμὸς λαμβάνηται 14
5 τοῦ ἁπλῶς ὑπάρχειν αὐτά, ἀλλ' ὅπερ ἐν τοῖς Ἀναλυτικοῖς ἐπὶ τῆς μίξεως τοῦ ἀναγκαίου καὶ ὑπάρχοντος ἔλεγε, τοῦτο κἀνταῦθα ποιεῖ· κἀκεῖ γὰρ εἴρηκε μὲν ὅτι οἷα ἂν ᾖ τῷ τρόπῳ ἡ μείζων πρότασις ἐν πρώτῳ σχήματι, τοιοῦτον ἔσται καὶ τὸ συμπέρασμα, εἰ μὲν ἀναγκαία ἀναγκαῖον, εἰ δὲ ὑπάρχουσα ὑπάρχον· παραδείγματα δὲ τοῦ μὲν ὑπάρχειν ἐτίθει πανταχοῦ ἔνθα 5
10 τοῦτο συνάγεσθαι ἔλεγε, τοῦ δὲ ἀναγκαίου οὐχί, ἐπεὶ οὐδαμοῦ ἦν εὑρεῖν τὸ ἁπλῶς ἀναγκαῖον ἐκ τῆς τοῦ ὑπάρχοντος καὶ τοῦ ἀναγκαίου μίξεως συναγόμενον. τοιοῦτόν τι κἀνταῦθα ποιεῖ. βουληθεὶς γὰρ καὶ τὸ εἰ ἔστι καὶ τί ἐστιν ὑποθέσθαι τῇ ἀποδεικτικῇ, ἐπεὶ τοῦτο ἐπὶ μὲν τῶν καθ' αὑτὸ συμβεβηκότων ἑτέροις εὐοδούμενον εὗρισκεν, ἐπὶ δέ γε τῶν ὑφεστώτων
15 καθ' αὑτὰ οὐχί, ἐπὶ μὲν ἐκείνων ἔδειξε τοῦτο ἀποβαῖνον καὶ ἐν τοῖς πράγμασι, ταῦτα δὲ παρῆκε μέχρι τοῦ λόγου. 10

p. 90a 24 Ὅτι δ' ἔστι τοῦ μέσου ἡ ζήτησις, δηλοῖ ὅσων τὸ μέσον αἰσθητόν.

Ὅτι, φησίν, ἐπὶ τῶν ζητημάτων οὐδὲν ἕτερον ἢ τὸ μέσον ζητοῦμεν,
20 δῆλόν ἐστιν ἐπὶ τῶν τῇ ἑαυτῶν φύσει αἰσθητῶν ὑπαρχόντων, κἂν ἡμεῖς διὰ τὸ πόρρω εἶναι ἐκείνων οὐ τῇ αἰσθήσει καταλαμβάνωμεν ὅπως γίνονται.

p. 90a 25 Ζητοῦμεν γὰρ μὴ ᾐσθημένοι, οἷον τῆς ἐκλείψεως, εἰ ἔστιν ἢ μή.

Διὰ τοῦτο γάρ, φησί, καὶ ζητοῦμεν, διότι οὐκ αἰσθανόμεθα. ἐπεὶ 15
25 γὰρ αἰσθητὸν τὸ πρᾶγμα τοῦτο τῇ ἑαυτοῦ ἐστι φύσει, οὐκ ἂν ἐζητοῦμεν, εἰ τοῦ αἰσθητοῦ ᾐσθανόμεθα, ἀλλ' ὅτι οὐκ αἰσθανόμεθα, διὰ τοῦτο συμβαίνει ζητεῖν ἡμᾶς.

p. 90a 26 Εἰ δ' ἦμεν ἐπὶ τῆς σελήνης, οὐκ ἂν ἐζητοῦμεν οὔτ' εἰ γίνεται οὔτε διὰ τί.

30 Διὰ τί δέ, φησίν, οὐκ αἰσθανόμεθα; διότι πόρρω τῆς σελήνης ἐσμὲν ᾗ τὸ πάθος συμβαίνει τὸ τῆς ἐκλείψεως. εἰ γὰρ ἦμεν ἐπ' αὐτῆς, οὐκ ἂν 20

---

2 οἷον om. E 3 λέγει αὐτὸς E 4 ἐφεστώτων E ὁ om. Aa
5 ὅπερ] ὡς Aa ἐν τοῖς Ἀναλυτικοῖς] An. pr. A 9 7 οἷα scripsi: οἵει libri
σχήματα libri 8 ἔσται] ἔστι Aa 9 ἐτέθη Aa 17 δηλοῖ] δῆλον E
19 ζητοῦμεν ἢ τὸ μέσον coll. E 20 post ἐστιν add. τοῦτο Aa ἐπὶ] ἀπὸ Aa
24 καὶ om. E 25 ἐστι om. Aa ἐκζητοῦμεν E 30 Διὰ τί—οὔτε διὰ τί (p. 30,1) om. E

ἐζητοῦμεν οὔτ' εἰ γίνεται οὔτε διὰ τί· ἐναργῆ γὰρ ἔχοντες ἐκ τοῦ αἰσθάνε- 14
σθαι τὴν κατάληψιν ὅτι ἡ τῆς γῆς ἐν μέσῳ τοῦ ἡλίου καὶ τῆς σελήνης
παρέμπτωσις τὴν στέρησιν αὐτῇ τοῦ φωτὸς ἀπεργάζεται, οὐκ ἂν οὐδεμίαν
χρείαν ζητήσεως εἴχομεν, οὔτε εἰ γίνεται οὔτε διὰ τί γίνεται, ταὐτὸν δὲ
5 εἰπεῖν οὔτε εἰ ἔστιν οὔτε διὰ τί ἐστιν· ὡς γὰρ ἐπὶ τῶν ἐν τῷ γίνεσθαι τὸ
εἶναι ἐχόντων τὸ γίνεται, οὕτως ἐπὶ τῶν ἐν τῷ εἶναι τὸ ἔστι. καὶ συνάγει
τέως ἐν τῷ αὐτῷ τὸ εἰ ἔστι καὶ ὅτι ἔστι, καθὰ καὶ προλαβὼν συνῆψε 25
ταῦτα εἰς ἕν. τὸ γὰρ εἰ ἔστιν ἐνταῦθα καὶ τὸ εἰ γίνεται συναναφαινό-
μενον ἔχει καὶ τὸ εἰ ὑπάρχει τῷδε τόδε, ὡς περὶ ὑπάρχοντος ἐν ἑτέρῳ
10 τοῦ λόγου γινομένου. συνάψει δὲ καὶ τῷ τί ἐστι τὸ διὰ τί ἐστι, μᾶλλον δὲ
ἤδη καὶ ταῦτα συνῆψεν ἔνθα ἔλεγεν ὅτι τὸ αὐτό ἐστι τὸ τί ἐστι καὶ τὸ
διὰ τί ἐστιν. ὡς εἶναι δῆλον ἐπὶ τῶν τεσσάρων ὅτι τὸ μέσον ἐστὶ τὸ ζητού-
μενον· ἐν τῷ προκειμένῳ τοίνυν παραδείγματι τὰ τέσσαρα προβλήματα
παριστᾷ τὸ μέσον ζητοῦντα. τὸ γὰρ εἰ γίνεται ἔκλειψις καθ' ἑαυτὸ μὲν 30
15 θεωρούμενον εἰ ἔστιν αἴτιόν τι τῇ ἐκλείψει ζητεῖ· εἰ δὲ ⟨τὸ⟩ εἰ τῇ σελήνῃ
γίνεται ἔκλειψις ληφθῇ, τὸ εἰ ὑπάρχει τῷδε τόδε παρίστησι ζητοῦν εἰ ἔστι
τι αἴτιον καὶ μέσον τῇ σελήνῃ τοῦ ἐκλείπειν· ὡσαύτως καὶ τὸ τί ἐστιν
ἔκλειψις οὕτω μὲν θεωρούμενον ἁπλοῦν ἂν εἴη ζητοῦν τίς αἰτία τοῦ ἐκλεί-
πειν· εἰ δὲ τί ἐστι τῇ σελήνῃ αἴτιον τοῦ ἐκλείπειν ληφθῇ, αὐτὸ τοῦτο
20 ἔσται τὸ διὰ τί ἐστι· δεδομένου γὰρ τοῦ ὅτι ἐκλείπει ζητεῖται τὸ διὰ τί
καὶ τὸ αἴτιον ἤτοι τὸ μέσον. ὡς εἶναι καὶ ἐκ τοῦ παραδείγματος δῆλον 35
ὅτι ἐν πᾶσι τοῖς ζητήμασι τὸ μέσον ἐστὶ τὸ ζητούμενον. εἰ οὖν ἦμεν ἐπὶ
τῆς σελήνης καὶ ἑωρῶμεν αὐτὴν ἀντιφραττομένην ὑπὸ τῆς γῆς, οὐκ ἂν
ἐζητήσαμεν οὔτε εἰ ἔστιν ἔκλειψις οὔτε τί ἐστιν, εἰδότες ἐκ τῆς αἰσθήσεως
25 καὶ ὅτι στέρησίς ἐστι φωτὸς ὑπὸ γῆς ἀντιφράξεως γινομένη· ὁμοίως οὐκ
ἂν ἐζητήσαμεν οὔτε εἰ ὑπάρχει τῇ σελήνῃ οὔτε διὰ τί ὑπάρχει, ὅτι τε
ὑπάρχει αὐτῇ αἰσθανόμενοι καὶ ὅτι διὰ γῆς ἀντίφραξιν ὑπάρχει.

p. 90a 27 Ἀλλ' ἅμα δῆλον ἦν ἄν. 40

Τοῦτό φησιν ὅτι οὐκ ἂν ἦν ζήτησις ἡμῖν ἐπὶ πράγματος ὃ τῇ
30 αἰσθήσει καταλαμβάνεται, ἀλλὰ δῆλον ἂν ἡμῖν ἦν ἅμα τῷ προβαλεῖν τὴν
αἴσθησιν· ὡς εἶναι τὸ ἅμα ἀντὶ τοῦ ἀθρόον ὡς ἀχρόνως τῇ τῆς ὄψεως
προσβολῇ γινωσκόμενον καὶ μηδεμιᾶς χρῆζον ζητήσεως. ὁποῖον εἶναί τι
δοκεῖ καὶ τὸ ἐν ἀρχῇ τοῦ πρὸ τούτου βιβλίου λεγόμενον, ἔνθα περὶ τῶν
διαφόρων τρόπων φησὶ τῆς γνωρίσεως, τὸ 'ἅμα ἐπαγόμενος ἐγνώρισεν'. 45
35 'ἐνίων γάρ, φησί, τοῦτον τὸν τρόπον ἡ μάθησίς ἐστι, καὶ οὐ διὰ τοῦ μέσου

---

2 κατάληψιν] ἔκλειψιν E 6. 7 καὶ συνάγει—ὅτι ἔστι om. E 7 καὶ post καθὰ om. E 13 τοίνυν ante ἐν τῷ ponunt Aa 15 τὸ addidi 19 ληφθῇ om. E 20 ἔσται] ἔστι Aa διδομένου Aa 21 καὶ post εἶναι om. Aa 23 ὡρῶμεν Aa 24 οὔτε τί] ὅτι τε E 28 ἂν ἦν E 32 τι om. E 33 τὸ ἐν ἀρχῇ—λεγόμενον Anal. post A 1 p. 71a 21 ἀρχαῖς Aa 35 οὐ om. Aa

τὸ ἔσχατον γνωρίζεται, ὅσα ἤδη τῶν καθ' ἕκαστα τυγχάνει ὄντα καὶ μὴ 14
καθ' ὑποκειμένου τινός'. τῶν γὰρ καθ' ἕκαστα τὴν μάθησιν ἁπλαῖς καὶ
ἀθρόαις τισὶ προσβολαῖς, καὶ μάλιστα ὧν διὰ τῆς ὁράσεως ἡ κατάληψις,
δεχόμεθα, καὶ οὐ διὰ ζητήσεώς τινος. ταῦτα εἰπὼν ἐπειδὴ ᾔσθετο ἑαυτοῦ
5 ἐναντίαν ἑαυτῷ διδόντος ὑπόνοιαν, ἐν μὲν τῷ πρὸ τούτου βιβλίῳ ἕτερα
ἀλλήλων φήσαντος ἐπιστήμην καὶ αἴσθησιν, ἐνταῦθα δὲ εἰς ταὐτὸν τρόπον 50
τινὰ συναγαγόντος αὐτὰς ὡς ἐπιστητὸν πρᾶγμα τὴν ἔκλειψιν αἰσθητὸν εἶναι
ἐνδέχεσθαι εἰρηκότος, λύων τὴν ἔνστασίν φησιν

p. 90a 28 Ἐκ γὰρ τοῦ αἰσθάνεσθαι καὶ τὸ καθόλου ἂν ἐγίνετο
10 ἡμῖν εἰδέναι· ἡ μὲν γὰρ αἴσθησις ὅτι νῦν ἀντιφράττει· καὶ γὰρ
δῆλον ὅτι νῦν ἐκλείπει.

Οὐ γὰρ τοῦτο, φησί, λέγομεν ὅτι αἰσθητὴ οὖσα ἡ καθ' ἕκαστα
ἔκλειψις ἡ αὐτὴ καὶ ἐπιστητή ἐστιν, ἀλλ' ὅτι | ἡ μὲν αἴσθησις τοῦ νῦν 15
ἀντιφράττειν, τουτέστι τῆς νῦν γινομένης ἐκλείψεως τὴν νῦν ἀντίφραξιν αἰτίαν
15 ὑπάρχειν, εἶτα τοῦ νῦν ἐντεῦθεν εἰληφότος τὴν πρόφασιν καὶ τὸ καθόλου
ἐν ἑαυτῷ ὑποστήσαντος ὡς καθόλου πάσης ἐκλείψεως τῆς σελήνης ἐκ τῆς
ἐπιπροσθήσεως τῆς γῆς γινομένης, ἡ ἐπιστήμη ἀποτελεῖται. τὸ γὰρ τοιοῦ-
τον ἅπαν καθόλου, λέγω δὴ τὸ λογικῶς λαμβανόμενον, ἐκ τῶν καθ' ἕκαστα 5
τὴν ἀπογέννησιν δέχεται, διὸ καὶ ἐπὶ τοῖς πολλοῖς καὶ ὑστερογενὲς ὀνο-
20 μάζεται. καὶ οὕτως τὸ αἰσθητὸν ἐπιστητὸν γίνεται, οὐχ ὡς τόδε οὐδ' ὡς
νῦν, ἀλλ' ὡς ἁπλῶς καὶ ἀεί, ταὐτὸν δὲ εἰπεῖν ἐκ τοῦ καθ' ἕκαστα εἰς τὸ
καθόλου μεταπεσόν.

Ἡ μὲν γὰρ αἴσθησις ὅτι νῦν ἀντιφράττει· καὶ γὰρ δῆλον
ὅτι νῦν ἐκλείπει. κατασκευάζει πῶς ἐκ τοῦ αἰσθάνεσθαι τὸ καθόλου
25 γίνεται, ἔτι δὲ καὶ πῶς περὶ τὴν τοῦ αὐτοῦ γνῶσιν ἔστιν οὗ ἐπιστήμη
καὶ αἴσθησις ἔχουσαι ἀλλήλων διενηνόχατον· ἡ μὲν γὰρ αἴσθησις, φησί,
τοῦ νῦν γίνεσθαι κριτική ἐστι καὶ τὴν ἀντίφραξιν καὶ τὴν ἔκλειψιν. 10

p. 90a 30 Ἐκ δὲ τούτου τὸ καθόλου ἂν ἐγίνετο.

Ἤγουν ἐκ τοῦ νῦν πάλιν καὶ πάλιν γινομένου ἡ τοῦ καθόλου ἂν ἐγίνετο
30 ἔννοια· τοῦτο δέ ἐστιν ἐπιστήμη, ὅταν τι καθόλου γινώσκωμεν διὰ τί
γίνεται, ταὐτὸν δὲ καὶ διὰ τί ἐστιν· ὡς τὸ αὐτὸ μὲν γινώσκειν ἐν τοῖς
τοιούτοις ἐπιστήμην καὶ αἴσθησιν, ἄλλως δὲ καὶ ἄλλως, ἤγουν τὴν μὲν
καθολικῶς τὴν δὲ μερικῶς, καὶ τὴν μὲν ὅτι ἁπλῶς τὴν δὲ ὅτι νῦν ἢ 15
ὡδί, ἢ τοῦτο ἤ τι τοιοῦτον. οὐ ταὐτὸ δὲ τὸ ἐκλεῖπον καὶ ἀντιφράττον, εἰ
35 καὶ ἴσως οὕτως ἀπὸ τῆς λέξεως φαίνεται, ἀλλὰ τὸ μὲν σελήνη τὸ δὲ γῆ,
ἢ τὸ μὲν ἥλιος, τὸ δὲ σελήνη.

---

7 συναγαγόντας E: συνάγοντος Aa 9 ἐγίνετο ἂν E 10 ἀντιφράξει Aa
14 τῆς νῦν] τῶν νῦν E τὴν om. Aa 18 ἅπαν] ἅπασαν Aa 21 ὡς
om. E 25 τὴν om. Aa 35 οὕτως] τοῦτο E

p. 90a31 Ὥσπερ οὖν λέγομεν, τὸ τί ἐστιν εἰδέναι ταὐτόν ἐστι καὶ διὰ τί ἐστίν.

Ἴσως μὲν οὖν δόξειεν ἂν ταυτολογεῖν εἰπὼν καὶ πρὸ ὀλίγου ταὐτὸν εἶναι τὸ τί ἐστι καὶ τὸ διὰ τί ἐστι, καὶ αὖθις νῦν τὸ αὐτὸ προστιθείς· οὐκ ἔστι δὲ περιττόν, ἀλλ' ἀναγκαίως τῷ παρόντι λόγῳ εἰσενήνεκται. ἐπεὶ γὰρ εἰπὼν ὅτι ἐν τοῖς ζητήμασι πᾶσι τοῦ μέσου ἐστὶν ἡ ζήτησις, δεῖξαι τοῦτο καὶ ἐκ τῆς ἐναργείας προέθετο, ἔδει δὲ τοῦτο καὶ ἐπὶ τῶν τεσσάρων προβλημάτων δῆλον γενέσθαι, συνεῖλε μὲν ἐν ταὐτῷ τὸ εἰ ἔστι καὶ ὅτι ἐστὶν πρότερον, συναιρεῖ δὲ νῦν καὶ τὸ τί καὶ τὸ διὰ τί, ὡς ἐπὶ θατέρου γινομένου δήλου τοῦ εἶναι τοῦ μέσου τὴν ζήτησιν δῆλον τοῦτο γίνεσθαι καὶ ἐπὶ τοῦ ἑτέρου.

p. 90a32 Τοῦτο δ' ἢ ἁπλῶς καὶ μὴ τῶν ὑπαρχόντων τι, ἢ τῶν ὑπαρχόντων.

Ἁπλῶς λέγει καὶ μὴ τῶν ὑπαρχόντων τι τὰ καθ' αὑτὰ ὑφεστῶτα, ὡς πολλάκις εἴρηται. δεῖ γὰρ συνεξακούεσθαι τῷ τῶν ὑπαρχόντων τι τὸ ἐν ἑτέροις, ὡς εἶναι τὸ ὅλον οὕτως 'τοῦτο δ' ἢ ἁπλῶς καὶ μὴ τῶν ἐν ἑτέροις ὑπαρχόντων, ἢ τῶν ἐν ἑτέροις ὑπαρχόντων.' ἔστι δὲ τὸ λεγόμενον τοιοῦτον· τοῦτο δὲ τὸ διὰ τί ἐστι καὶ τί ἐστιν ἤ τι τῶν καθ' αὑτὸ ὑπαρχόντων ἤ τι τῶν ἐν ἑτέροις ἐχόντων τὸ εἶναι. διὰ τί γάρ ἐστι ζητοῦμεν ἢ τί ἐστιν, ἢ τί τούτων ἢ τί ἐκείνων.

p. 90a33 Οἷον ὅτι δύο ὀρθαί, ἢ ὅτι μεῖζον ἢ ἔλαττον.

Παραδείγματα τῶν ἐν ἑτέροις θεωρουμένων τίθησι ταῦτα· αἱ γὰρ δύο ὀρθαὶ ἐν τῷ τριγώνῳ, καὶ τὸ μεῖζον καὶ τὸ ἔλαττον ἢ περὶ τοῦ τριγώνου καὶ αὐτὸ νοητέον λεγόμενον (ἀποδείκνυται οὖν ὅτι αἱ δύο τοῦ τριγώνου πλευραὶ τῆς λοιπῆς μείζους εἰσὶ πάντῃ μεταλαμβανόμεναι, καὶ ἀνάπαλιν ἡ μία ἐλάττων τῶν δύο), ἢ καὶ περὶ ἄλλου τινὸς οἷον ἴριδος ὅτι μείζων οὐκ ἔστιν ἡμικυκλίου, ἀλλ' ἢ ἐλάττων ἢ ἴση. οὐκ εἶπε δὲ ταὐτὸν ἁπλῶς εἶναι τὸ τί ἐστι καὶ διὰ τί ἐστιν, ἀλλὰ τὸ εἰδέναι ταῦτα εἶναι ταὐτόν, ὡς συντρεχούσαιν ἐν ταὐτῷ ἀμφοῖν τοῖν εἰδησέοιν. οὕτω γὰρ δεῖ νοεῖν καὶ τὸ πρότερον, ὅτι γε ἀλλήλων ἕτερα ὁρισμὸς καὶ ἀπόδειξις, ὡς ἐφεξῆς δειχθήσεται. συντρέχειν δ' ἀλλήλαις φησὶ τὴν γνῶσιν τοῦ τί

1 ἐλέγομεν E 3 οὖν om. Aa δόξειεν ἂν] ἂν δόξη Aa post εἰπὼν add. μὲν Aa 4 καὶ διότι ἐστὶ Aa 5 εἰσήνεκται Aa 6 πᾶσι om. Aa post δεῖξαι add. δὲ E 10 τοῦτο om. E 12 τι] παντὶ libri, sed cf. vv. 14. 15 ἢ ante τῶν om. E 14 τῶν et τι om. Aa 17 ἢ—ὑπαρχόντων om. E 21 ὀρθῆ E 24 νοητέον] νοῆ Aa 25 πλευρὰ E λοιπῆς] μιᾶς E πάντῃ] πάντα E 29 ἐν ταὐτῷ] ἐν τούτω τῶ A: ἐνταῦθα τῷ a εἰδησέοιν] εἰδήσαιοιν A: εἰδίσαιοιν a, εἰδήσκοιν E 31 post ὡς add. καὶ Aa

ἐστι καὶ διὰ τί ἐστιν, ὅτι τὸν ὁρισμὸν ἀποδεδομένον ὀρθῶς ἔστι λαβεῖν μέσον ὡς αἴτιον τοῦ πράγματος, οὐ μόνον τοῦ συμπεράσματος, καὶ ποιῆσαι ἀπόδειξιν· καὶ τοῦτο ἐπὶ τῶν ἐν ἑτέροις θεωρεῖσθαι συμβεβηκότων ἢ καθ' αὐτὸ ἤ ποτε καὶ ἁπλῶς, ὡς τὰ ληφθέντα δηλοῖ παραδείγματα, αἱ δύο ὀρθαὶ καὶ τὸ μεῖζον ἢ ἔλαττον· τῶν γὰρ ἐν ἑτέροις ταυτί.

p. 90ᵃ35 Ὅτι μὲν οὖν πάντα τὰ ζητούμενα μέσου τις ζήτησίς ἐστι, δῆλον· πῶς δὲ τὸ τί ἐστι δείκνυται, καὶ τὰ ἑξῆς.

Τὸν περὶ τῶν τεσσάρων προβλημάτων λόγον ἱκανῶς παραδοὺς ἐφ' ἕτερον θεώρημα μέτεισιν ἀκολούθως τοῖς ἔναγχος εἰρημένοις, ἐξετάζων περὶ ὁρισμοῦ. ἐπεὶ γὰρ τὴν κατ' ἐπιστήμην ζήτησιν ἅπασαν περὶ μέσου εἴρηκε γίνεσθαι κἀντεῦθεν εἰς συλλογισμὸν συντελεῖν, ὡς πᾶσαν εἰς τὴν ἀπόδειξιν ἀναφέρεσθαι, εἴρηκε δ' ὅτι ἐν οἷς ὁρισμός ἐστι τῶν αὐτῶν καὶ ἀπόδειξις, ἐν τοῖς τοιούτοις τὸ αὐτό ἐστι τὸ τί ἐστι καὶ διὰ τί ἐστιν, ὡς συνιούσαιν ἀμφοῖν ἐν τούτοις ταῖν γνωσέοιν, τῆς τε δι' ὁρισμοῦ καὶ τῆς δι' ἀποδείξεως, εἰκὸς ἦν οἰηθῆναί τινα εἰς ταὐτὸν φέρειν αὐτὸν ὁρισμὸν καὶ ἀπόδειξιν, ὡς εἶναι μίαν καὶ τὴν αὐτὴν ἐπιστήμην ὁριστικήν τε καὶ ἀποδεικτικήν. διὰ τοῦτ' ἐξ ἀνάγκης μετ' ἐκεῖνα εὐθὺς ὁ περὶ ὁρισμοῦ λόγος παρ' αὐτοῦ ἐπιφέρεται ἐν ᾧ δείκνυσι μὲν καὶ τοῦτο αὐτὸ ὅτι ἕτερόν ἐστι τὸ δι' ὁρισμοῦ τι εἰδέναι καὶ ἕτερον τὸ δι' ἀποδείξεως, καὶ ὡς οὐ ταὐτὸ ἐπιστάμεθα δι' ὁρισμοῦ καὶ ἀποδείξεως, ἀλλὰ τῷ μὲν τὴν οὐσίαν τοῦ πράγματος, τῇ δὲ τὸ ἕτερον ἐν ἑτέρῳ ὑπάρχειν· κἂν περὶ | τοῦ αὐτοῦ 16
εἴη ὁρισμὸς καὶ ἀπόδειξις, διὰ μὲν τοῦ τὸ τί ἐστιν αὐτὸ γινώσκομεν, διὰ δὲ τῆς τὸ ἐν ἑτέρῳ ὑπάρχειν αὐτό. ἀποδίδωσι δὲ καὶ πῶς ὁ ὁρισμὸς δείκνυται, καὶ τίνι τρόπῳ ἀνάγεται εἰς ἀπόδειξιν, ἔτι δὲ τί ἐστιν ὁρισμὸς καὶ τίνων, πότερον τῶν ὄντων ἁπάντων ἢ τῶν μὲν τῶν δ' οὔ. ὡς εἶναι τὰ περὶ τοῦ ὅρου ἐν τῷ παρόντι παραδιδόμενα τέσσαρα τὰ πάντα κεφάλαια· τέως δὲ πρότερον περὶ τοῦ προτέρου, ὅπερ ὡς ἀπορούμενον παρεισάγων ἀρχὴν οἰκειοτάτην εἶναί φησι τῶν περὶ τοῦ ὅρου μελλόντων ζητεῖσθαι. δεῖ γὰρ πρότερον φανῆναι ὅτι ἄλλο τί ἐστιν ὁρισμὸς παρὰ τὴν ἀπόδειξιν, καὶ ἕτερον ὁριστικὴ ἀποδεικτικῆς, καὶ ὡς οὐ τὸ αὐτὸ κατὰ τὸ αὐτὸ ὁρισμῷ τε καὶ ἀποδείξει γινώσκομεν, καὶ οὕτω ζητῆσαι ἰδίως περὶ τοῦ ὁρισμοῦ. ὥσπερ γὰρ εἰ ἀμφίβολον γέγονεν, εἰ ταὐτὸν ἢ ἕτερον ψυχή τε καὶ νοῦς, καὶ ἔδει λόγους τινὰς ἀποδιδόναι περὶ τοῦ νοῦ, οἷον τί ἐστι νοῦς ἢ τίς ἡ αὐτοῦ οἰκεία ἐνέργεια, καὶ ὅτι τελειοῦται τῇ τῶν νοητῶν θεωρίᾳ καὶ τὰ τοιαῦτα, ἀναγκαῖον ἦν πρότερον διαστῆσαι αὐτὸν τῆς οὐσίας τῆς ψυχικῆς

---

1 ἀποδιδόμενον Aa 3 θεωρεῖσθαι] θεωρουμένων E 6. 7 ὅτι — δῆλον om. E
10 περὶ τοῦ ὁρισμοῦ Aa 11. 12 γίνεσθαι — ἀναφέρεσθαι om. Aa 14 alt. τῆς om. E 16 καὶ post ὁρισμὸν om. Aa 17 δι' αὐτοῦ τ' ἐξ Aa 18 παρ' αὐτῶ Aa ante ἐν add. καὶ E 19. 20 καὶ ὡς — ἀποδείξεως om. E
22 γινώσκωμεν Aa 23 ὁ om. Aa 26 post παρόντι add. ἐνταῦθα E
29 ὁ ὁρισμὸς Aa 33 ᾤδει E ἡ om. E

καὶ δεῖξαι ὡς ἕτερόν ἐστι τῇ φύσει ὁ νοῦς τῆς ψυχῆς, καὶ οὕτως εἰπεῖν 16
τὰ περὶ αὐτοῦ ὀφειλόμενα λέγεσθαι, ἵνα μή τις ἀδιανοησία τοῖς περὶ αὐτοῦ
λεγομένοις ἕποιτο τῆς διανοίας συγχεομένης καὶ τὰ αὐτὰ λέγεσθαι οἰομένης
καὶ περὶ τῆς ψυχῆς, ἃ δὴ καὶ περὶ τοῦ νοῦ λέγεται, καὶ ἐπὶ τῶν ἄλλων
5 ὡσαύτως, ἃ διαφέροντα τῇ φύσει τὰ αὐτὰ δοκεῖ τισιν ὑπάρχειν, τὸ αὐτὸ 15
δὴ καὶ περὶ τοῦ ὁρισμοῦ ἀναγκαῖον ποιεῖν τῷ ὑπόνοιαν μὲν δόντι τὸν
αὐτὸν εἶναι τῇ ἀποδείξει, ἕτερον δὲ τῇ ἀληθείᾳ τοῦτον εἰδότι καὶ περὶ
αὐτοῦ ἰδίαν τινὰ παραδιδόναι μέλλοντι θεωρίαν. οὐ δείκνυσι δὲ ἐκ τοῦ
εὐθέος ἕτερα εἶναι ἀλλήλων ὁρισμὸν καὶ ἀπόδειξιν, ἀλλ' ἕτερ' ἄττα, οἷς
10 ἐξ ἀνάγκης ἕψεται τὸ ἕτερα εἶναι ταῦτα ἀλλήλων· τὸ γὰρ ὑποκείμενον
ἀμφοῖν προχειριζόμενος πρότερον, λέγω δὴ τὸ γνωστόν, καὶ δεικνὺς ὡς ἕτερον
μέν ἐστι τὸ διὰ τοῦ ὅρου ἕτερον δὲ τὸ διὰ τῆς ἀποδείξεως γινωσκόμενον 20
δίδωσιν ἐντεῦθεν νοεῖν ὡς καὶ ὁρισμὸς καὶ ἀπόδειξις ἐξ ἀνάγκης ἀλλήλων
ἕτερα· ἡ γὰρ ἐπιστήμη ἐπιστητοῦ ἐπιστήμη, καὶ εἴπερ ἦν ἡ αὐτὴ τῇ ἀπο-
15 δεικτικῇ ἡ ὁριστική, ἦν ἂν καὶ τὸ γνωστὸν ἀμφοῖν ἐξ ἀνάγκης ταὐτόν, εἰ
δὲ τὰ ἐπιστητὰ διάφορα, καὶ αἱ ἐπιστῆμαι ἄρα διάφοροι ἀλλήλων καὶ ἕτεραι.
ὅτι δὲ τὰ ἐπιστητὰ ἕτερα, αὐτὰ τὰ πράγματα μεταχειριζόμενος δείκνυσιν.
ὁρισμῷ μὲν γὰρ γνωστὸν τὸ τί ἐστι γίνεται, πᾶν δὲ τὸ τί ἐστι καθόλου
καὶ κατηγορικόν ἐστι· συλλογισμοὶ δὲ οὐ πάντες καθόλου οὐδὲ πάντες 25
20 κατηγορικοί, ἀλλ' εἰσὶ μὲν οἵ γε στερητικοί, εἰσὶ δ' οἱ μερικοί. οἱ μὲν
γὰρ ἐν τῷ δευτέρῳ σχήματι πάντες στερητικοί, οἱ δ' ἐν τῷ τρίτῳ μερικοὶ
ἅπαντες· καίτοι εἰσὶ καὶ ἐν δευτέρῳ μερικοὶ καὶ ἐν τρίτῳ ἀποφατικοί, ὡς
καὶ ἐν τῷ πρώτῳ οὐ τὸ καθόλου μόνον καταφατικόν, ἀλλὰ καὶ τὰ λοιπὰ
τρία συνάγεται· ἀλλὰ κατὰ τὸ ἑκατέρου ἰδιαίτερον ἀποδέδωκεν. εἶτα ἵνα
25 μή τις εἴπῃ ὅτι εἰ καὶ μὴ διὰ πάντων τρόπων τε καὶ σχημάτων συλλογιστι-
κῶν ὁρίζεσθαι δυνατόν, ἀλλ' ἔστι διά τινος, οἷον διὰ τοῦ ἐν πρώτῳ σχήματι 30
καθόλου καταφατικοῦ (τοῦτο γὰρ μάλιστα τὸ σχῆμα καὶ οὗτος ὁ τρόπος
δόξαιεν ἂν τῷ ὅρῳ οἰκειότατον) δείκνυσιν ὡς καὶ τοῦτο τοῦ ὅρου ἀλλότριον.
ὁ γὰρ συμπεραίνων λόγος ὅτι πᾶν τρίγωνον τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς
30 ἴσας ἔχει καθόλου μέν ἐστι καὶ καταφατικός, οὐ μὴν ὅρον ἔδειξεν ἀλλ' ὅτι
ἄλλο ἄλλῳ ὑπάρχει, αἱ δύο ὀρθαὶ τῷ τριγώνῳ· οὔτε δὲ τί τρίγωνον οὔτε
τί ὀρθὴ ἔδειξεν, ὅπερ τῷ ὅρῳ πρόκειται δηλοῦν τὸ τί ἐστιν ἕκαστον. ἔτι
τὸ μὲν τῇ ἀποδείξει γνωστὸν σύνθετον ἐκ διαφόρων ἐστὶ φύσεων· ἄλλη 35
γὰρ φύσις τοῦ ὑποκειμένου καὶ ἄλλη τοῦ κατηγορουμένου ἐστίν· ἕκαστος δὲ
35 ὁρισμὸς μιᾶς ἐστι φύσεως δηλωτικός. πῶς οὖν ἔσται δυνατὸν ὅρον εἶναι τὸ
τῇ ἀποδείξει συμπεραινόμενον; ἀλλ' οὐδὲ πρότασιν ἢ προτάσεις εἶναι τὸν

---

3 ἕψοιτο E 9 εὐθέως E ἀλλήλων εἶναι coll. Aa 10 ἐξ ἀνάγκης om. Aa 11 προχειριζόμενοι E 16 διάφορα ex διαφέρει corr. E
18 τὸ post δὲ om. Aa 20 γε om. Aa 21. 22 πάντες μερικοὶ Aa
22 ἐν τῷ δευτέρῳ Aa ἐν τῷ τρίτῳ Aa ἀποφατικόν E 25 εἴποι E
27 καταφατικῆς a 28 οἰκειότητα Aa 29 τὰς τρεῖς γωνίας post ἔχει (30) ponunt Aa 31 ἄλλῳ ἄλλο Aa 34 κατηγορουμένου — ὑποκειμένου Aa
35 ὅρον Aa

ὁρισμὸν ἐνδέχεται· οὐδὲν γὰρ ἐν αὐτῷ ἄλλο ἄλλου κατηγορεῖται, ἀλλ' ὡς 16
φάσις τὸ πᾶν ἐστιν· εἰ γὰρ καὶ πολλὰ τὰ ἐξ ὧν σύγκειται, ἀλλ' ὡς ἕν τι
τὸ ἐκ τῶν πολλῶν. οὐδ' ἔστι τὸ συναμφότερον ὅρος, τὸ ἐκ τῶν προτάσεων
καὶ τοῦ συμπεράσματος· ἀποφάνσεις γὰρ ἅπαντα, καὶ τὸ ἐκ πάντων ὡς 40
5 μία τις ἀπόφανσις σύνθετος. ὡς ἐν αἰτίας δὲ λόγῳ τοῦ μὴ ταὐτὸν εἶναι
τὸ τῷ ὅρῳ τε καὶ τῇ ἀποδείξει γνωστὸν τίθησιν ὅτι εἴρηται ἐν τῷ πρὸ
τούτου βιβλίῳ τὸ ἐπίστασθαι ἀποδεικτικῶς τὸ ἔχειν ἀπόδειξιν εἶναι· ὥστ'
ἐπειδὴ ἐπὶ τῶν δι' ἀποδείξεως γινωσκομένων ἀπόδειξίς ἐστι, δῆλον ὅτι οὐκ
ἂν εἴη ὁρισμός, δι' οὗπερ ὡς ἐπιστήμης ταῦτα γινώσκομεν. εἰ γὰρ δι'
10 ὁρισμοῦ τις ἐπίσταται τὸ ἀποδεικτόν, εἴη ἂν τοῦτο γνωστὸν μὴ ἀπόδειξιν 45
ἔχοντος ἀλλ' ὁρισμὸν τοῦ γινώσκοντος· ἀλλ' ὑπέκειτο τῷ ἔχειν ἀπόδειξιν
ἐπίστασθαι τὸν ἐπιστάμενον τὰ ἀποδεικτά· οὐκ ἄρα δι' ὁρισμοῦ ταῦτα ἐπί-
στασθαι ἔστι. τοῦτο δή τί ἂν εἴη ἄλλο ἢ ὅτι ληφθέντος πρότερον τοῦ
ἕτερον εἶναι τὸ γνωστὸν ὁρισμῷ τοῦ γινωσκομένου δι' ἀποδείξεως εἰς πα-
15 ράστασιν τοῦ ἕτερα εἶναι ἀλλήλων ὁρισμὸν καὶ ἀπόδειξιν αἰτίαν νῦν τοῦ
ληφθέντος προστίθησιν τὸ ἕτερα εἶναι ἀλλήλων ὁρισμὸν καὶ ἀπόδειξιν; ὡς
προβαίνειν αὐτῷ τὸν λόγον πρότερον μὲν κατ' ἀνάλυσιν ἐκ τοῦ ὑστέρου 50
δεδειχότα τὸ πρότερον, ἤτοι ἐκ τῆς τῶν γνωστῶν ἑτερότητος τὴν τῶν γνώ-
σεων, ὃς καὶ τεκμηριώδης συλλογισμὸς λέγεται, εἶτα δὲ καὶ κατὰ ἀπόδειξιν
20 ἐκ τῆς τῶν γνώσεων ὡς αἰτίων διαφορᾶς τὴν τῶν γνωστῶν ἑτερότητα
παραστήσαντα. εἶτα δὲ καὶ ἐπαγωγικῶς τρόπον τινὰ πιστοῦται τὸ ἕτερα
εἶναι τὰ γνωστὰ ὅρῳ καὶ ἀποδείξει, τὰ κατὰ γένος λαμβάνων ἀποδεικτὰ
ἢ ὁριστά· τὰ μὲν γὰρ ἀποδείξει γνωστὰ συμβεβηκότα ἐστὶν ἢ καθ' αὑτὸ
ὡς αἱ δύο ὀρθαὶ τῷ τριγώνῳ, ἢ ἁπλῶς ὡς ἡ ἔκλειψις τῇ σελήνῃ· οὐδὲν
25 δὲ τοιοῦτον ὁρισμῷ ποτε ἔγνωμεν, εἰ μὴ ἄρα καθ' ἑαυτὸ ὁρισαίμεθα, οἷον τί |
ὀρθὴ καὶ τί ἔκλειψις. οὐκ ἔστι δὲ ταὐτὸν καθ' αὑτό τι ὁρίζεσθαι καὶ ἐν 17
ἑτέρῳ δεικνύειν ὑπάρχον· οὐ γὰρ εἰ χρῶμα διακριτικὸν ὄψεως τὸ τί ἦν
εἶναι τῷ λευκῷ, ἤδη διὰ τοῦτο δῆλον καὶ ὅτι τῇ χιόνι ἐστὶ τὸ λευκόν,
ἀλλὰ δεῖ λόγου πρὸς τοῦτο ἐν οἷς μὴ αἰσθήσει ἀρκούμεθα. ἔτι δέ, φησίν,
30 ὁ μὲν ὁρισμὸς οὐσίαν παρίστησιν, τὰ δὲ συμβεβηκότα ἃ τῇ ἀποδείξει γινώ-
σκονται, οὐκ οὐσίαι τῶν οἷς συμβεβήκασιν, εἴτε καθ' αὑτὸ ταῦτα εἴτε 5
ἁπλῶς.

p. 90ᵃ36 Πῶς δὲ τὸ τί ἐστι δείκνυται, καὶ τίς ὁ τρόπος τῆς ἀναγωγῆς, καὶ τί ἐστιν ὁρισμός.

35 Τέσσαρα τὰ πάντα προβλήματα ἃ περὶ τῶν ὅρων διδάξαι προτίθεται, πῶς οἱ ὁρισμοὶ δείκνυνται, τίνα τὴν πρὸς ἀπόδειξιν ἢ ἁπλῶς τὸν συλλογισμὸν

---

3 οὐδ' ἔτι E προτάσεων E: προτέρων Aa 6 τὸ om. E 6. 7 ἐν τῷ πρὸ τούτου βιβλίῳ] Anal. post. A 6 p. 75ᵃ12 7 εἶναι post ἀποδεικτικῶς ponunt Aa 9 post εἴη add. ὁ Aa 10 ἀποδεικτὸν scripsi: ἀποδεικτικὸν libri 11 τῷ] τὸ E 12 ταῦτα om. E 14 ἑτέρου E 20. 21 ἐκ τῆς τῶν γνώσεων — τρόπον om. Aa 22 τὰ post ἀποδείξει om. Aa 23 post pr. ἢ add. καὶ Aa 25 ὁρισόμεθα Aa

οἰκείωσιν ἔχουσι, τί ἐστιν ὁρισμὸς καὶ τίνα τὰ ὁρισμῷ γινωσκόμενα, πότερον 17
πάντα τὰ ὄντα ἢ τὰ μέν, τὰ δ' οὔ· ὧν προτάξας τὰ ἀπορητικῶς λεγόμενα 10
πέντε τὰ πάντα ποιεῖ. ἀπορητικῶς δὲ ποιεῖται τὸν λόγον ἐν τῷ λέγειν
ἕτερον εἶναι τὸ ὁριστὸν τοῦ ἀποδεικτοῦ, ὡς μὴ δυνατὸν ὂν τὸ αὐτὸ κατὰ
5 τὸ αὐτὸ ὁρισμῷ τε εἰδέναι καὶ ἀποδείξει.

p. 90a 38 Ἀρχὴ δ' ἔστω τῶν μελλόντων ἥπερ ἐστὶν οἰκειοτάτη τῶν ἐχομένων λόγων.

Εἰ τὰ ἐχόμενα ἀλλήλων ὁμωνύμως ἀποδίδονται πρὸς ἄλληλα, ὡς εἶναι 15
τὸ ἐχόμενον ἐχομένου ἐχόμενον καὶ ἀνάπαλιν, ὥσπερ καὶ τὰ ἁπτόμενα,
10 οὐδὲν πάντως ἄτοπον ἐχόμενα λέγειν περὶ ὧν πρὸ βραχέος ἐλέγομεν πρὸς
τὰ ἐπαγόμενα. ἐλέγομεν δ' ὅτι τὰ ἐπιστημονικῶς ζητούμενα πάντα μέσου
ἐστὶ ζήτησις καὶ ὅτι ταὐτόν ἐστιν εἰδέναι τὸ τί ἐστι καὶ διὰ τί ἐστι. τῶν
γὰρ μελλόντων ζητεῖσθαι πάντων ἐνταυθοῖ περὶ ὁρισμοῦ τὸ νῦν προτι-
θέμενον τοῖς προλαβοῦσίν ἐστιν οἰκειότατον· ἐπειδὴ γὰρ τὸ αὐτὸ εἶπεν 20
15 εἰδέναι τὸ τί ἐστι καὶ τὸ διὰ τί ἐστιν, ᾠήθη ἄν τις μίαν λέγειν ἐπιστήμην
αὐτὸν τὴν δι' ὅρου τε καὶ δι' ἀποδείξεως· ἦν οὖν οἰκεῖον τῶν προσεχῶς
εἰρημένων λόγων εἰπεῖν, εἰ ἀληθῶς οὕτως ἔχει ἢ οὔ· τούτου δὲ πρότερον
ζητηθέντος καὶ γνωσθέντος ὅτι ἕτερα ἀλλήλων ὁριστὸν καὶ ἀποδεικτόν, ὡς
εἶναι δῆλον ὅτι καὶ ὁρισμὸς καὶ ἀπόδειξις, οἰκείως ἕπεται παραδοῦναι πῶς
20 τε ὁ ὁρισμός δείκνυται, πότερον συλλογισμῷ τε καὶ ἀποδείξει ἢ κατά τινα
τρόπον ἕτερον, καὶ τί ἐστι καὶ τίνων ἐστί, καὶ εἰ μὴ ἔστιν ἀπόδειξις, τί
ἐστιν ἕτερον, καὶ εἰ ἀνάγεται ὅλως εἰς συλλογισμὸν ἢ ἀπόδειξιν. εἰ οὕτως 25
οὖν τὸ ἐχομένων νοήσομεν, οὕτω καὶ τὸ παρὸν ῥητὸν ἐκληψόμεθα ὅτι
'ἀρχὴ δὲ ἔστω τῶν ῥηθησομένων ἑξῆς ὅπερ ἐστὶν οἰκείως τοῖς προρρηθεῖσιν
25 ἐπιφερόμενον'· ὡς τὸν λόγον προβαίνειν ἀκόλουθόν τε καὶ εὔτακτον. εἰ δ'
ἐχόμενα τὰ ἑξῆς ἑπόμενα εἴποιμεν, διττῶς πάλιν τοῦτο νοήσομεν· ἢ γὰρ
ἁπλῶς πρὸς ἅπαντα τὰ περὶ ὅρου ῥηθῆναι μέλλοντα ἢ πρὸς ταῦτα τὰ
προσεχῶς ῥηθησόμενα. εἰ μὲν οὖν πρὸς τὰ προσεχῆ, οὐχ ἅπαντα τὰ ἐν τῷ
προκειμένῳ κεφαλαίῳ λεγόμενα οἰκείαν ἀρχὴν εἴποιμεν, ἀλλ' αὐτὴν τὴν 30
30 πρώτην ἐπιχείρησιν καθολικωτέραν οὖσαν τῶν μετ' αὐτὴν οἰκείως ἐροῦμεν
προτάττεσθαι καὶ διὰ τοῦτο οἰκείαν ἀρχὴν ὀνομάζεσθαι. καθολικώτερον
γὰρ εἰπεῖν ὡς οὐκ ἔστιν ἡ ὁριστικὴ ταὐτὸν τῇ ἁπλῶς συλλογιστικῇ τοῦ
ὅτι οὐκ ἔστι ταὐτὸν τὸ ἐν πρώτῳ σχήματι καθόλου καταφατικῶς συλλογί-
ζεσθαι τῷ ὁρίζεσθαι, καὶ τὰ ἑξῆς. εἰ δ' ἁπλῶς πρὸς ἅπαντα τὰ περὶ ὅρου

---

1 τὰ τῶ ὁρισμῶ Aa 3 πέντε] πάντα Aa τοὺς λόγους Aa 4. 5 κατὰ τοῦ αὐτοῦ Aa 9 ἁπτόμενα] ἑπόμενα Aa 11 ἐπαγόμενα] ἑπόμενα a 14 ἐπεὶ A: ἐπὶ a 15 λέγειν] λέγον E 16 αὐτὸν] αὐτῶν Aa δι' post καὶ om. E 19 οἰκεῖα E 21. 22 καὶ εἰ μὴ — ἕτερον E: del. A¹ om. a 22 οὕτως] εἰκότως E 23 ῥητὸν om. E 24 δὲ om. E 26 εἴπωμεν Aa 29 εἴπωμεν Aa 30 τῶν ἐπ' αὐτὴν Aa 33 post ἐν add. τῷ Aa post καθόλου add. καὶ Aa 34 τῶν ἑξῆς Aa

ῥηθησόμενα ἡ ἀρχὴ εἴληπται, εἴη ἂν τὸ λεγόμενον ὅτι ἀρχὴ ἔστω τῶν 17
μελλόντων ἥπερ ἐστὶν οἰκειοτάτη τούτων τῶν λόγων· αὕτη δέ ἐστιν ἡ 35
περὶ τοῦ εἰ ταὐτὸν ὁρισμῷ τε ἔστι γινώσκειν καὶ συλλογισμῷ ἢ ἀποδείξει,
ταὐτόν δ' εἰπεῖν εἰ ταὐτὸν ὁρισμός τε καὶ ἀπόδειξις. καὶ τοίνυν εἰ κατὰ
5 τὰς δύο ταύτας ἐπιβολὰς τὸ ἐχομένων ληψόμεθα, τὰ αὐτὰ ἐροῦμεν μέλ-
λοντα καὶ ἐχόμενα· τὰ γὰρ ἐντεῦθεν ἑξῆς ῥηθησόμενα ταῦτά ἐστι τὰ
μέλλοντα λέγεσθαι, εἴτε πάντα τις εἴποι εἴτε τινά, ὥσπερ εἴρηται· ῥηθείη
δὲ τούτων οἰκεία ἀρχὴ τὰ ἐνταῦθα λεγόμενα, ὅτι τοῦ εἰπεῖν πῶς τὸ τί 40
ἐστι δείκνυται καὶ πῶς εἰς συλλογισμὸν ἡ ἀπόδειξις ἀναφέρεται καὶ τί ἐστιν
10 ὅρος καὶ τίνων, ἀναγκαῖόν ἐστι προτάττεσθαι τὸ εἰ ταὐτὸ γινώσκεται ὁρισμῷ
τε καὶ ἀποδείξει, ἤτοι εἰ ταὐτὸ ὁρισμὸς καὶ ἀπόδειξις· τούτων γὰρ φανέντων
ὡς οὐ ταὐτὸν ἀκολούθως ῥηθήσεται τὰ λοιπά.

p. 90b1 Ἀπορήσειε γὰρ ἄν τις, ἆρ' ἔστι τὸ αὐτὸ κατὰ τὸ αὐτὸ ὁρισμῷ εἰδέναι καὶ ἀποδείξει.

15 Ἐνταῦθα δεῖ στῆσαι τὴν πεῦσιν καὶ οὕτως ἐπαγαγεῖν τὸ ἢ ἀδύνατον· 45
τοῦτο γὰρ οὐ πυνθανόμενός φησιν, ἀλλ' ἀποφαινόμενος, ὡς μέλλων τὴν τοῦ
εἶναι ἀδύνατον κατασκευὴν ἐπενεγκεῖν. ἀπορήσειε γὰρ ἄν τις, φησί,
πρὸς τὰ παρ' ἡμῶν προσφάτως εἰρημένα, λέγω δὴ τὸ εἶναι ταὐτὸν τὸ τί
ἐστιν εἰδέναι καὶ διὰ τί ἐστίν· εἰ γὰρ ταὐτὸν ἁπλῶς τὸ εἰδέναι ὁρισμῷ τε
20 καὶ ἀποδείξει, ὡς ἄν τις ἐκ τῶν ῥηθέντων οἰήσαιτο, ἔσται τὸ αὐτὸ κατὰ
τὸ αὐτὸ ὁρισμῷ τε εἰδέναι καὶ ἀποδείξει. ἀλλὰ τοῦτο ἀδύνατον, ὡς
δειχθήσεται· καὶ γὰρ εἰ πρὸς ἄλληλα ἐπιστητόν τε καὶ ἐπιστήμη, εἰ ἓν τὸ 50
ἐπιστητόν, καὶ ἡ ἐπιστήμη μία· ἐκείνου δ' ὄντος ἑτέρου καὶ ἑτέρου καὶ αἱ
ἐπιστῆμαι ἀλλήλων ἕτεραι.

25 p. 90b3 Ὁ μὲν γὰρ ὁρισμὸς τοῦ τί ἐστιν εἶναι δοκεῖ. |

Ἄλλο προτεθεῖσθαι δοκεῖ καὶ ἄλλο δείκνυσθαι· περὶ γὰρ τοῦ εἰ ταὐτὸν 18
ὁριστὸν καὶ ἀποδεικτὸν ἢ μὴ ἡ ζήτησις ἦν, νῦν δὲ ὅτι ἑτέρου ὁ ὅρος καὶ
ἑτέρου ὁ συλλογισμός ἐστι τὸ δεικνύμενον. ἀλλ' εἰ καὶ ἕτερον τοῦτο
ἐκείνου, ὅμως φέρει γε εἰς ταὐτό. ἐπεὶ γάρ τις συλλογισμὸς ἡ ἀπόδειξις,
30 δειχθέντος ἁπλῶς ὅτι ἕτερον καθόλου συλλογιστὸν καὶ ὁριστὸν συλλογισμός
τε καὶ ὁρισμός, ὡς μηδαμῇ κοινωνεῖν ἀλλήλοις τῷ εἴδει, δεδειγμένον ἔσται 5
ὅτι καὶ ἀποδεικτὸν καὶ ὁριστόν, ἀπόδειξίς τε καὶ ὁρισμὸς ἀλλήλων ἕτερα·

1 ἔστω om. et post μελλόντων (2) add. ἐστίν Aa 2 τῶν λόγων τούτων coll. Aa
4 ὁρισμός] ὅρος E 8 post τὰ add. γὰρ E 10 ὁρισμῷ] ὅρῳ Aa
12 ταυτὰ Aa 13 κατὰ E Arist. D: καὶ κατὰ Aa Arist. vulg. 17 γὰρ ἄν] οὖν Aa 18 τοῦ εἶναι Aa 19 εἰδέναι] εἶναι Aa 20 ἔστι τὸ A
20. 21 κατὰ τὸ αὐτὸ om. E 21 τε om. Aa 22 ἓν] ἑνὸς E 23 ἡ om. Aa
αἱ om. Aa 27 ἢ] εἰ Aa ὅρος bis, itemque συλλογισμός (28) Aa
32 post ὁριστὸν add. καὶ Aa τε om. Aa

ὡς γίνεσθαι τὸν λόγον οὕτως ἐπιστημονικώτερον ὡς καθολικώτερον. ἔοικε 18
δὲ καὶ καθ' αὑτὸ πρὸς τὸν συλλογισμὸν εἶναι τῷ ὁρισμῷ ἡ διαφορά, δι'
ἐκεῖνον δὲ καὶ πρὸς τὴν ἀπόδειξιν. ὥσπερ οὖν εἰ ἕτερα προὔκειτο δεῖξαι
ἀλλήλων κύκλον καὶ σκαληνόν, οἰκειότερον ἂν ἦν καὶ ἐπιστημονικώτερον
5 ἕτερα δεῖξαι ἀλλήλων κύκλον καὶ τρίγωνον, κἀκείνοις ἂν ἡ ἑτερότης τοῦ 10
σκαληνοῦ καὶ τοῦ κύκλου συναπεδείκνυτο, ταὐτὸν δὴ κἀνταῦθα γέγονε· τοῦ
συλλογισμοῦ ἀποδειχθέντος ἁπλῶς, ὅτι ἕτερος κατ' εἶδός ἐστι τοῦ ὁρισμοῦ,
καὶ ὅτι ἡ ἀπόδειξις ὡσαύτως ἔχει συναποδέδεικται· ὁ μὲν γὰρ ὁρισμός,
φησί, τοῦ τί ἐστι δοκεῖ. τὸ δοκεῖ ἐνταῦθα οὐ κατὰ τὸ ἀμφίβολον,
10 ἀλλ' ὅτι κοινή τις δόξα καὶ ἔννοια περὶ ὁρισμοῦ τὸ εἶναι αὐτὸν δηλωτικὸν
τοῦ τί ἐστι, τουτέστι τῆς ἰδίας οὐσίας τοῦ ὁριστοῦ. τὸ δὲ τί ἐστιν ἅπαν
καθόλου καὶ κατηγορικόν· οἱ γὰρ κυρίως ὅροι κατηγορικοὶ ἅπαντες, οἱ δὲ 15
ἀποφατικοὶ οὐχ ὅροι κυρίως· οὐ γάρ τί ἐστιν ἀλλὰ τί οὐκ ἔστι δηλοῦσιν.
οἱ δὲ συλλογισμοὶ οὐ πάντες τοιοῦτοι· οὐκ ἄρα ἁπλῶς συλλογιστὸν καὶ
15 ὁριστὸν ταὐτόν. καὶ τέως μὲν οὕτω δέδεικται μὴ εἶναι ἁπλῶς· ἔστι δὲ ἡ
δεῖξις οὕτω τὴν ἀνάλυσιν δεχομένη· πᾶς ὁρισμὸς τοῦ τί ἐστι δοκεῖ· πᾶν
τὸ τί ἐστι καθόλου καὶ κατηγορικόν· πᾶς ἄρα ὁρισμὸς καθόλου καὶ κατη-
γορικός. οὗτος πρῶτος τρόπος τοῦ πρώτου σχήματος. εἶτα τοῦτον λαβόντες
ἐν δευτέρῳ συλλογιζόμεθα σχήματι. πᾶς ὅρος καθόλου καὶ κατηγορικός· 20
20 οὐ πᾶς συλλογισμὸς καθόλου καὶ κατηγορικός· οὐ πᾶς ἄρα συλλογισμὸς
ὅρος· καὶ ἔστιν οὗτος τρίτος τρόπος τοῦ δευτέρου σχήματος. ὅτι δὲ οὐ πᾶς
συλλογισμὸς καθόλου καὶ κατηγορικός, ἐκ τῆς ἐπαγωγῆς δείκνυσιν· οἱ γὰρ
ἐν τῷ δευτέρῳ, φησί, πάντες ἀποφατικοί, οἱ δ' ἐν τῷ τρίτῳ πάντες μερικοί.
εἶτα ἐπειδὴ μὴ καθόλου ἔδειξεν ἢ ὅτι οὐδὲν συλλογιστὸν ὁριστὸν ἢ ὅτι οὐδεὶς
25 συλλογισμὸς ὁρισμός, ὃ ποιῆσαι προὔκειτο, προστίθησιν τὸ ὑπόλοιπον·
ἐδείχθη γὰρ τέως ὅτι οὔτε τὰ ἀποφατικὰ οὔτε τὰ μερικῶς συλλογιστὰ 25
ὁριστά ἐστιν· οὐ δὴ οἱ τοιοῦτοι συλλογισμοὶ ὁρισμοί· ὑπελείφθη δὲ μόνα τὰ
καθόλου καὶ καταφατικά. λέγει δὲ καὶ ταῦτα τῶν ὁριστῶν ἕτερα, ᾗ συλ-
λογιστά· τὸ δὲ κατὰ τὸ αὐτὸ εἴρηκε μὴ δυνατὸν εἰδέναι τὸ αὐτὸ ὁρισμῷ
30 τε καὶ ἀποδείξει, ὅτι γε κατ' ἄλλο καὶ ἄλλο ἐνδέχεταί ποτε· οἷον τί μέν
ἐστι τρίγωνον ἰσόπλευρον ὁρισμῷ οἴδαμεν, ὅτι τὸ τὰς τρεῖς πλευρὰς ἴσας
ἀλλήλαις ἔχον· ὅτι δὲ δύο κύκλων ἀλλήλους τῇ διὰ τῶν κέντρων ἀγωγῇ
τεμνόντων καὶ τὴν αὐτὴν διάμετρον ἐχόντων τὸ ἐκ τῆς διαμέτρου καὶ τῶν 30
ἑκατέρων τῶν κύκλων ἀπὸ τῆς ἁφῆς ἐπὶ τὰ κέντρα ἀγομένων εὐθειῶν
35 συγκείμενον τρίγωνον ἰσόπλευρόν ἐστι, δι' ἀποδείξεως γινώσκομεν. ἕτερον
δὲ τοῦτο ἐκείνου· ἐκεῖνο μὲν γὰρ τὸ τί ἐστι δηλοῖ τὸ ἰσόπλευρον τρίγωνον,

---

5 ἂν om. E ἡ] ἦν Aa 6 δὴ] οὖν E 10 τὸ] τοῦ Aa
18 ὁ πρῶτος E 19 σχήματι συλλογιζόμεθα coll. Aa καὶ om. Aa
23 τῷ ante τρίτῳ om. E 24 ὁριστὸν om. E 27 οὐδ' οἱ Aa ὑπελήφθη Aa
28 καὶ post δὲ om. a 30 τε om. Aa 32 δύο κύκλων κτλ.] τὸ πρῶτον θεώρημα τῆς γεωμετρίας λέγει in marg. add. A^2 ἀγωγῇ scripsi: ἀγωγή E: ἀγῶ A: ἀγωῶν a
33 ante διαμέτρου add. κοινοῦ A^2 34 ἑκατέρω a τῶν om. E
ἁφῆς] τομῆς add. A^2

τοῦτο δὲ τὸ διὰ τί τὸ ὡδὶ ἢ ὁπουοῦν οὕτω γραφόμενον ἰσόπλευρον τρίγωνόν ἐστι. 18

p. 90b7 Εἶτα οὐδὲ τῶν ἐν τῷ πρώτῳ σχήματι κατηγορικῶν ἁπάντων ἐστὶν ὁρισμός.

Ὅτι μὲν οὖν τὰ ἀποφατικὰ καὶ τὰ μερικὰ ὁρισμῷ οὐχ ὑπόκειται, ἤδη εἴρηκε· λέγει δὲ νῦν καὶ περὶ τῶν καθόλου καὶ καταφατικῶν, ἃ ἐν μόνῳ τῷ πρώτῳ σχήματι περαίνεσθαι πέφυκε. λέγει δὲ ὅτι οὐδὲ τούτων ἁπάντων ἐστὶν ὁρισμός. τῶν μὲν γὰρ ἁπλῶν ἔσται, οἷον ἐκλείψεως, ἰσοπλεύρου, ἡμικυκλίου, εἰ καὶ μὴ κατὰ τὸ αὐτὸ καθὸ καὶ ἀπόδειξις· τῶν δὲ συνθέτων οὐδαμῶς· τὸ γὰρ δυσὶν ὀρθαῖς ἴσας εἶναι τὰς τρεῖς γωνίας τοῦ τριγώνου διὰ συλλογισμοῦ μὲν καὶ ἀποδείξεως περαίνεται, οὐδαμῶς δ' ὁρίζεται· οὐδ' ἄλλο τῶν συνθέτων οὐδέν. πῶς οὖν πρότερον ἔφασκεν ὅτι ταὐτόν ἐστιν εἰδέναι τὸ τί ἐστι καὶ διὰ τί ἐστιν, εἴπερ ἔστι τινὰ ἅπερ διὰ τί μέν ἐστιν, ἔστιν εἰδέναι, τί δ' ἐστὶν οὐχί; διὰ τὸ μὴ εἶναι ἐπ' αὐτῶν ἀποδοῦναι τὸ τί ἐστιν, ὡς ἐπί τε τοῦ εἰρημένου ἔχει καὶ ἐπὶ πλειόνων ἑτέρων, οἷόν ἐστι καὶ τὸ ἐὰν δύο τρίγωνα δύο πλευρὰς ἴσας ἔχῃ ἑκατέραν ἑκατέρᾳ, ἔχῃ δὲ καὶ γωνίαν γωνίᾳ ἴσην τὴν ὑπὸ τῶν ἴσων πλευρῶν περιεχομένην, καὶ τὴν βάσιν τῇ βάσει ἴσην ἕξει, καὶ τὸ τρίγωνον τῷ τριγώνῳ ἴσον ἔσται, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται. ἢ οὐδ' ἐξ ἀρχῆς τοῦτο ἐλέγετο ὅτι ἐπὶ τῶν ἐν ἑτέρῳ ὄντων ἁπάντων ταὐτόν ἐστιν τὸ εἰδέναι τὸ διὰ τί ἐστι καὶ τί ἐστιν, ἀλλὰ τοῦ μὲν τί ἐστι τῇ εἰδήσει συντρέχειν καὶ τὴν τοῦ διὰ τί ἐστιν, οὐ μὴν δὲ ἁπλῶς καὶ τῇ τοῦ διὰ τί ἐστι τὴν τοῦ τί ἐστιν. εἰσὶ γὰρ κατηγορούμενα καὶ ἁπλᾶ καὶ σύνθετα δι' ἀποδείξεως περαινόμενα· ἐπὶ μὲν οὖν τῶν ἁπλῶν συνδραμοῦνται ἄμφω ἀλλήλοις ὁρισμὸς καὶ ἀπόδειξις, ἐπὶ δὲ τῶν συνθέτων ἀπόδειξις μὲν ἔσται, ὁρισμὸς δ' οὐχί. |

p. 90b9 Τούτου δὲ λόγος ὅτι τὸ ἐπίστασθαί ἐστιν. 19

Πρότερον μὲν ἐκ τῆς τῶν γνωστῶν διαφορᾶς διίστατο τὰς γνώσεις ὁριστικήν τε καὶ ἀποδεικτικήν, ἐκ τῶν μερικωτέρων τὸν λόγον πιστούμενος, νῦν δὲ καθολικῶς τὸν λόγον τῆς διαφορᾶς τῶν γνωστῶν ἀποδίδωσιν τὰς γνώσεις αὐτὰς μεταχειριζόμενος. ἔκειτο γὰρ ἐν τῷ πρὸ τούτου βιβλίῳ τοῦτο εἶναι τὸ ἐπίστασθαι ἀποδεικτικῶς, τὸ ἔχειν ἀπόδειξιν. εἰ τοίνυν ἀποδεικτικῶς τὰ ἀποδεικτὰ ἐπιστάμεθα, ἀπόδειξιν ἔχοντες αὐτὰ ἐπιστάμεθα·

---

1 διότι Aa 5 Ὅτι] ὁ a ὑπόκεινται Aa 6 καὶ post νῦν om. E
7 δὲ ὅτι] δι' ὅτι Aa 17 ὑπὸ] ἀπὸ Aa 18 βάσιν ex βάσει corr. E
19 ἴσων Aa ante ἢ add. λύσις A 21 τὸ post ἐστι om. Aa
21—23 διότι (ter) Aa 24 ἁπλῶν scripsi: ἁπλῶς libri 28 post διαφορᾶς add. κατ' εἶδος ἀπ' ἀλλήλων Aa διίστα Aa 33 τὰ ἀποδεικτικὰ E αὐτὰ] τὰ ἀποδεικτὰ E

εἰ δὲ ταῦτα καὶ δι' ὁρισμοῦ ἐπιστάμεθα, συμβήσεται ταῦτα ἐπίστασθαι 19
ἀπόδειξιν μὴ ἔχοντας ἀλλ' ὁρισμόν, ὅπερ ἐναντίον τῶν ἐξ ἀρχῆς κειμένων 10
ἐστίν. οὐκ ἄρα δι' ὁρισμοῦ τὰ ἀποδεικτὰ ἢ ἀποδεικτὰ ἀλλὰ δι' ἀποδείξεως
μόνης γινώσκεται. ὅρα δὲ ὅτι ἀπὸ μὲν τῶν ὑστέρων καὶ αἰτιατῶν ἐπὶ τὴν
5 τῶν προτέρων καὶ αἰτίων ἀνιόντες γνῶσιν ἀπὸ τῶν πολλῶν εἰς ἓν ἀνερ-
χόμεθα, κατὰ μέρος τὴν τοῦ αἰτίου συνάγοντες γνῶσιν ἐκ τῶν ἐξ αὐτοῦ·
ὅταν δὲ ἀπὸ τῶν πρώτων καὶ αἰτίων ἡ πρόοδος γίνηται, τὸ ἀνάπαλιν ἀπὸ
τοῦ ἑνὸς γινώσκεται τὰ πολλά· καὶ τοῦτο οὐ μόνον ἐπὶ τῶν λογικῶν καὶ
διανοητῶν, οἷον ἐπιστήμης τε καὶ ἐπιστητοῦ καὶ γενῶν καὶ εἰδῶν, ἀλλὰ 15
10 καὶ ἐπὶ τῶν φυσικῶς τε καὶ θεολογικῶς θεωρουμένων ἔστιν εὑρεῖν. ὡς
γὰρ ἐνταῦθα ἐκ τῶν κατ' εἶδος συμπερασμάτων, ἃ τῷ συλλογισμῷ καὶ τῇ
ἀποδείξει συνάγεται, τὴν δύναμιν τῆς συλλογιστικῆς καὶ ἀποδεικτικῆς ἐπι-
στήμης ἐπέγνωμεν, καὶ αὖθις ἐκ τῶν κατ' εἶδος ὁριστῶν, ὁποία ἡ ὁριστική
ἐστι μέθοδος, οὕτως ἐκ τῆς κατ' εἶδος τῶν φυσικῶν ἰδιότητος, ἣ φυσικά
15 ἐστιν, ἐπὶ τὴν γνῶσιν ἁπλῶς τῆς φύσεως ἀναγόμεθα, ὅτι ἔστιν ἀρχή τις ἡ
ταῦτα οἰκείως διοικοῦσα λαμβάνοντες, καὶ τίς αὕτη ἐστί, καὶ ἔτι ἐκ τῶν 20
κατ' εἶδος δημιουργικῶν λόγων ἐπὶ τὴν πρώτην καὶ μίαν αἰτίαν τῶν γινο-
μένων καὶ ὄντων ἀναφερόμεθα, ἓν τὸ πάντων καταλαμβάνοντες προϊστάμενον,
εἰς ὃ τελευταῖον πᾶν ἀναπληρούμενον ἵσταται καὶ οὐ περαιτέρω προβῆναι
20 οὐκ ἔνεστι. καὶ ἀνάπαλιν ἀπὸ τῶν αἰτίων ἐπὶ τὰ ἐξ αὐτῶν· ὥσπερ γὰρ
ἀπὸ μιᾶς ἐπιστήμης κοινῆς τῆς συλλογιστικῆς τε καὶ ἀποδεικτικῆς πάντα
κατὰ μέρος τε καὶ εἶδος τὰ συμπεράσματα πρόεισι καὶ ἀπὸ τοῦ ἑνὸς
γένους τὰ ἐξ αὐτοῦ, οὕτως ἀπὸ τῆς μιᾶς τε καὶ κοινῆς φύσεως πάντα 25
τὰ κατὰ μέρος τε καὶ εἶδος τὰ ἐξ αὐτῆς, καὶ ἀπὸ ἑνὸς καὶ τοῦ
25 αὐτοῦ αἰτίου τοῦ πρώτου πάντα κατὰ μέρος τε καὶ εἶδος τὰ δεύτερα.
καὶ κοινὴ ὁμοιότης ἐπί τε τῶν λογικῶν καὶ φυσικῶν καὶ θείων τὸ
ἄλλα ἄλλων εὑρίσκεσθαι αἰτιώτερα καὶ καθολικώτερα ἀπὸ τῶν ὑστέρων
ἐπὶ τὰ πρότερα ἀνιόντων ἡμῶν, καὶ ἄλλα ἄλλων αἰτιατότερά τε καὶ
μερικώτερα ἀπὸ τῶν προτέρων κατιόντων ἐπὶ τὰ ὕστερα. ἀλλὰ περὶ 30
30 μὲν αἰτίων καὶ αἰτιατῶν καὶ περὶ ὅλου καὶ μέρους καὶ ὅπως οἰκείως
ἐπὶ τῶν λογικῶν καὶ φυσικῶν καὶ θείων ταῦτα λαμβάνεται, ἐν ἑτέροις
εἴρηται πλατυκώτερόν τε καὶ ἀκριβέστερον· νῦν δὲ ἰτέον ἐπὶ τὰ προ-
κείμενα.

---

2 ἔχοντες Aa 7 γίνεται E 10 φυσικῶν τε καὶ καθολικῶς θεωρουμένων E
12. 13 ἐπιστήμης om. E 13 ὁριστῶν—κατ' εἶδος (14) om. E 15 ἐπὶ] καὶ Aa ἔστιν] τὲ Aa 16 λαμβάνοντας E τίς] τί E
17 δημιουργῶν Aa τῶν om. E 19 ὑπεραιτέρω Aa 20 post ἀνάπαλιν add. ὡς E post αὐτῶν add. καὶ a γὰρ om. Aa
21 τῆς om. E 24 τὰ post πάντα om. Aa 24 τοῦ] τὸν E 26 καὶ θείων] αἰτίων E 27 ἀπὸ] ὑπὸ E 28 αἰτιατώτερα E: αἰτιατὰ Aa
29 προτέρων—ὕστερα del. A¹ 31 τῶν] τε Aa 32 πλατικώτερον Aa ἰστέον E

p. 90ᵇ13 Οὐδὲν γὰρ κωλύει μὴ ἅμα ἔχειν. 19

Ὥσπερ τινὸς λέγοντος πρὸς αὐτὸν ὅτι 'καὶ τίς ἡ ἀνάγκη τῆς ἀτοπίας ὥστε τὸ ἀποδεικτὸν ἐπίστασθαι χωρὶς ἀποδείξεως; εἰ γὰρ τὸ αὐτὸ ὁριστὸν καὶ ἀποδεικτόν, ἐπίσταιτο ἄν τις ἔχων αὐτοῦ καὶ ὁρισμὸν καὶ ἀπόδειξιν,' 35
5 φησὶ πρὸς τὸν οὕτω λέγοντα ὅτι οὐδὲν κωλύει μὴ ἔχειν ἅμα τοῦ αὐτοῦ τόν τε ὁρισμὸν καὶ τὴν ἀπόδειξιν. ἐνδέχεται γὰρ τὸν ὁρισμὸν ἔχοντά τινα μόνον εἰδέναι τοῦτο διὰ μόνου αὐτοῦ χωρὶς ἀποδείξεως, ὥστε ἔσται τι ἐπίστασθαι ἀποδεικτικῶς μὴ ἔχοντα ἀπόδειξιν, ὅπερ οὐχ ὑπέκειτο. ἀπορήσειε δ' ἄν τις πρὸς ταῦτα ὡς ἕτερόν ἐστι τὸ ἀποδεικτικῶς ἐπίστασθαι καὶ ἕτερον
10 τὸ ὁριστικῶς. τὸ μὲν γάρ ἐστι δι' ἀποδείξεως ἐπίστασθαι, τὸ δὲ δι' ὁρισμοῦ· ὁ οὖν τὴν ἀπόδειξιν ἔχων ἐπίσταται ἀποδεικτικῶς, ὁ δὲ τὸν ὁρισμὸν 40 ὁριστικῶς, καὶ ἀνάπαλιν ὁ ὁριστικῶς ἐπιστάμενος ἔχει τὸν ὁρισμόν, ὁ δὲ ἀποδεικτικῶς τὴν ἀπόδειξιν. ἂν οὖν τὸ αὐτὸ ὑποθώμεθα ἐπιστητὸν εἶναι ὁρισμῷ καὶ ἀποδείξει, ὁ τὸν ὁρισμὸν ἔχων ὁριστικῶς οὐκ ἀποδεικτικῶς
15 ἐπιστήσεται, καὶ οὐδὲν ἔσται ἄτοπον οὕτως· εἰ μὴ καὶ μᾶλλον ἐρεῖ τις ἄτοπον τὸν ἔχοντα τὸν ὁρισμόν, οὐχὶ τὴν ἀπόδειξιν ἀποδεικτικῶς λέγειν ἐπίστασθαι, ἑτέρων ὄντων ἀλλήλων ὁρισμοῦ τε καὶ ἀποδείξεως. οὐ γὰρ εὔλογον, διότι καὶ ἀποδεικτὸν τὸ ὁριστόν, ἀποδεικτικῶς λέγειν ἐπίστασθαι 45 τὸν διὰ μόνου τοῦ ὁρισμοῦ αὐτὸ ἐπιστάμενον. ἢ οὐκ ἐνδέχεται τὸ ἀπο-
20 δεικτὸν ἄλλως ἢ ἀποδεικτικῶς ἐπίστασθαι, ὡς μηδὲ τὸ αὐτὸ ὁριστόν τε εἶναι ἁπλῶς καὶ ἀποδεικτόν. κἂν γὰρ καὶ τὸ αὐτὸ ᾗ τῷ ὑποκειμένῳ ποτέ, ἀλλά γε τῷ λόγῳ διοίσει, ἐπινοίᾳ μὲν ὂν ὁριστόν, ἐνεργείᾳ δὲ ἀποδεικτόν· τοῦ γὰρ ὅτι καὶ διὰ τί ἡ ἀπόδειξις, ὁ δὲ ὅρος τοῦ τί ἐστι, καὶ τῶν μὲν ἐν ἑτέροις ἐκεῖνα, τῶν δὲ καθ' αὑτὰ θεωρουμένων τὸ τί ἐστιν· ὅταν οὖν 50
25 τι ταὐτὸ λαμβάνηται ὅρῳ τε ὑποκεῖσθαι καὶ ἀποδείξει δυνάμενον τῶν ἐν ἑτέρῳ ὑφισταμένων ὄν, τοῦτο ἐπινοίᾳ μὲν τοῦ ὑποκειμένου χωριζόμενον ὁρισθήσεται, ὡς ἐν ἑτέρῳ δὲ ὂν ἀποδειχθήσεται. ὁ τοίνυν τὸ ἀποδεικτὸν γνοὺς ὡς ἐν ἑτέρῳ ὂν ἀποδεικτικῶς αὐτὸ ἔγνωκε, τοῦτο δέ ἐστι καθὼς ἡ ἀπόδειξις αὐτοῦ τὴν γνῶσιν παρίστησιν. τοιγαροῦν εἰ καὶ ὁ ὁρισμὸς οὕτως
30 αὐτὸ ἀποδίδωσιν, ἀποδεικτικῶς αὐτοῦ τὴν γνῶσιν παρέχεται· ὥστε ἔσται γνῶναι δι' ὁρισμοῦ ἀποδεικτικῶς τὸ ἀποδεικτὸν | χωρὶς ἀποδείξεως. ἀλλ' 20 οὐχ οὕτως ὑπέκειτο· τὸ οὖν ἀποδεικτικῶς λέγειν εἰδέναι, τοῦτό ἐστι καθὼς ἡ δι' ἀποδείξεως γνῶσις γίνεται, τοῦτο δέ ἐστι κατὰ τὸ ἐν ἑτέρῳ εἶναι· τοῦτο δ' οὐκ ἐνδέχεται ἄνευ ἀποδείξεως. ὁ δέ γε ὅρος οὐχ οὕτως, ἀλλ'
35 ὡς καθ' ἑαυτὸ παραδίδωσιν ἐπινοίᾳ διιστῶν τοῦ ὑποκειμένου τὸ ἐν ἑτέρῳ.

---

2 ὅτι om. E 3 ἀποδεκτικὸν E 4 καὶ τὴν ἀπόδειξιν Aa 7. 8 ἔστι ἐπίστασθαί τι Aa 8 μὴ] καὶ a ἀπορήσει E 10 τὸ post ἕτερον om. E 13 ἂν] εἰ Aa 17 ὁρισμῶν τε καὶ ἀποδείξεων E 18 ἀποδεικτὸν scripsi: ἀποδεικτικὸν libri 19 αὐτὸ] τὸ E 20 τὸ om. Aa 21 ᾗ om. Aa 22 γε om. Aa 27 ἀποδεικτικὸν Aa 31 ἀποδεικτικόν Aa 33 γίνεται] γὰρ E εἶναι — ὑποκειμένου τὸ ἐν ἑτέρῳ (35) om. E

ἐπεὶ τοίνυν ἡ μὲν ὁριστικὴ ὡς καθ' ἑαυτὸ λαμβάνει τὸ ἐν ἑτέρῳ, ἡ δὲ ἀποδεικτικὴ ὡς ἐν ἑτέρῳ, τὸ μὲν ἐκείνως αὐτὸ γινώσκειν ὁριστικῶς ἐστι γινώσκειν, τὸ δ' οὕτως ἀποδεικτικῶς· ὡς ταὐτὸν εἶναι λέγειν τρόπον τινὰ ἀποδεικτικῶς τε εἰδέναι καὶ ἀποδεικτὸν εἰδέναι, καὶ ὁριστικῶς καὶ ὁριστὸν ὡσαύτως.

p. 90b 13 Ἱκανὴ δὲ πίστις καὶ ἐκ τῆς ἐπαγωγῆς.

Καὶ ἐκ τῶν κατὰ μέρος ἀποδεικνυμένων δείκνυσι τὸ προκείμενον. τὰ μὲν γὰρ ἀποδεικνύμενά εἰσι τὰ ἐν ἑτέροις ὑπάρχοντα ἢ καθ' αὑτὸ ἢ ἁπλῶς ὡς συμβεβηκότα, ὡς τῷ τριγώνῳ αἱ δύο ὀρθαὶ καὶ τῇ σελήνῃ ἡ ἔκλειψις. ἐπέξιθι οὖν, φησί, καθ' ἕκαστον καὶ οὐδὲν εὑρήσεις αὐτῶν ὁρισμῷ γινωσκόμενον· καίτοι ἔστι γνωρίσαι τι τῶν δι' ἀποδείξεως γινωσκομένων ἐκ τοῦ ὁρίσασθαι. οἷον τὸ ἰσόπλευρον τρίγωνον, ἀλλ' οὐ κατὰ τὸ αὐτό, ὥσπερ εἴρηται. τί μὲν γὰρ τὸ ἰσόπλευρον τρίγωνον, ἔστι γνῶναι δι' ὁρισμοῦ· ὅτι δὲ τόδε τὸ οὕτω διαγραφὲν ὡς ἐν ταῖς ἀποδείξεσι διαγράφεται ἰσόπλευρον τρίγωνόν ἐστιν, οὐκέτι· καθ' ἑαυτὸ μὲν γὰρ ὁρίζεται, ὡς ἐν ἑτέρῳ δὲ ἀποδείκνυται, καὶ ὁ μὲν ὁρισμὸς τὸ τί ἐστιν, ἡ δὲ ἀπόδειξις τὸ τόδε τῷδε ὑπάρχειν παρίστησιν. ἱκανὴν δὲ πίστιν καὶ τὴν ἐκ τῆς ἐπαγωγῆς ὠνόμασεν ὡς καὶ τῶν ἄλλων μὲν ἱκανῶν οὐσῶν ἐκ τοῦ λόγου, ἱκανῆς δὲ καὶ ταύτης ὡς ἐκ τῆς ἐναργείας παριστώσης τὸ ἀληθές.

p. 90b 16 Ἔτι εἰ ὁ ὁρισμὸς οὐσίας τινὸς γνωρισμός.

Καὶ ἐντεῦθεν ἄν τις γνοίη, φησίν, ἕτερα ὄντα ἀλλήλων τὰ τῷ ὁρισμῷ καὶ τὰ τῇ ἀποδείξει ὑποκείμενα. ὁ μὲν γὰρ ὁρισμὸς οὐσίαν παρίστησι, καθὰ καὶ ἐν τῷ περὶ αὐτοῦ λόγῳ διείληπται. λόγος γάρ ἐστι δηλωτικὸς τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος, ἡ δὲ φύσις ἑκάστου οὐσία ἐστὶν αὐτοῦ. οὐδεμία δὲ οὐσία δι' ἀποδείξεως συμπεραίνεται, ἀλλὰ τὸ ἄλλο ἄλλῳ ὑπάρχειν ἢ καθ' αὑτὸ ἢ κατὰ συμβεβηκός. καίτοι καὶ συμβεβηκότων εἰσὶν ὁρισμοί, ὡς τὸ λευκὸν ὁριζόμεθα χρῶμα λέγοντες εἶναι διακριτικὸν ὄψεως, καὶ πολλὰ ἕτερα. ἀλλ' οὐχ ὅτι τινί ἐστιν ὁ ὁρισμὸς ἀποδίδωσιν, ἀλλ' ἢ τὸ εἶδος αὐτοῦ παρίστησιν, ὅπερ ἡ οὐσία αὐτοῦ ἐστιν. οὐχ ἁπλῶς δὲ οὐσίας ἀλλὰ τινὸς εἶπε γνωρισμὸν εἶναι τὸν ὁρισμόν, ὡς μὴ μόνον τῶν εἰδῶν καὶ γενῶν τῆς πρώτης οὐσίας ὁρισμῷ ὑποβαλλομένων, ἀλλὰ δὴ καὶ συμβεβηκότων· ὡς πάντως μὲν τὸν ὁρισμὸν οὐσίαν τινὰ δηλοῦν, ἤτοι εἶδός τι καθ' ὅ ἐστιν ἕκαστον, τοῦτο δὲ ἢ ἐν ταῖς οὐσίαις ἢ ἐν τοῖς συμβεβηκόσιν. καὶ ἔστιν ὁ λόγος τοιοῦτος 'ὁ ὁρισμὸς οὐσίας τινὸς γνωρισμός· οὐδὲν τῶν

4 ἀποδεικτὸν scripsi: ἀποδεικτικὸν libri ὁριστὸν καὶ ὁριστικῶς coll. Aa
10 φησί om. E 14 τὸ—ὡς] τῷδε E 16 τὸ (ante τί) τοῦ Aa δὲ om. E
17 τῷδε τόδε coll. Aa 22 τὰ om. E 23. 24 τῆς τοῦ ὑποκειμένου φύσεως coll. Aa 25 δι'] ἐστὶ a 25. 26 ἀλλ' ἢ τὸ ἄλλῳ ἄλλο ὑπάρχειν Aa
29 αὐτοῦ οὐσία coll. Aa 32 τι om. E 34 καὶ ἔστι] ἔστι δὲ A

ὑπὸ τῆς ἀποδείξεως γινωσκομένων οὐσία ἐστίν· οὐδὲν ἄρα τῶν ὑπὸ τῆς ἀποδείξεως γινωσκομένων ὁρισμῷ γινώσκεται.' δοκεῖ δὲ ἐλλιπὴς μὴ ἐπενεχθέντος τοῦ συμπεράσματος.

p. 90b19 Τί δ', οὗ ὁρισμός, ἄρα παντὸς ἀπόδειξις ἢ οὔ;

Δείξας μὴ εἶναι πᾶν τὸ ἀποδεικτὸν ὁριστόν, μηδ' εἶναι πᾶν ὁρίζεσθαι ὅπως καὶ δι' ἀποδείξεως περαίνεται, δείκνυσιν ἤδη καὶ τὸ τούτου ἀντίστροφον, μὴ εἶναι πᾶν τὸ ὁριστὸν τοῦτο καὶ ἀποδεικτόν, μηδ' ἀποδείξει περαίνεσθαι πᾶν τὸ δι' ὅρου γινωσκόμενον. ἐρωτῶν δὴ τὸ εἶναι ἀποκρίνεται τὸ μὴ εἶναι· εἶτα τῇ τούτου δείξει ἐπιχειρεῖ, λέγω δὴ τοῦ μὴ εἶναι παντὸς ἀπόδειξιν οὗ καὶ ὁρισμός ἐστιν.

p. 90b20 Εἷς μὲν δὴ λόγος καὶ περὶ τούτου ὁ αὐτός.

Διαφόρων, φησί, λόγων καὶ τοῦτο δεικνυόντων εἷς ἐστι τούτων ὃς καὶ ἐπὶ τοῦ προτέρου προβλήματος εἴληπται, τὸ αὐτὸ καὶ τούτῳ δεικνὺς ὑποτιθεμένῳ ἑπόμενον ἄτοπον. εἶτα ἐπάγει τοῦ γὰρ ἑνὸς ᾗ ἓν μία ἐπιστήμη, ἤγουν εἴ τι ὑπάρχει ἓν καὶ τὸ αὐτὸ ἐπιστητὸν καὶ κατ' ἐπίνοιαν καὶ κατ' ἐνέργειαν λαμβανόμενον, καθὸ ἕν ἐστι, τουτέστι κατὰ τὸν ἕνα τρόπον αὐτοῦ τῆς γνώσεως, μίαν ἕξει καὶ τὴν ἐπιστήμην, καὶ οὐκ ἐνδέχεται κατὰ τὸ αὐτὸ δυσὶν ἐπιστήμαις εἶναι ἐπιστητόν. τοῦτο θεὶς ἐπάγει καὶ ἕτερον ὃ ἐξ ἀρχῆς ὑπέκειτο, τοῦτο δέ ἐστι τὸ ταὐτὸν εἶναι τὸ ἐπίστασθαι τὸ ἀποδεικτὸν τῷ ἔχειν τὴν ἀπόδειξιν. τούτων τοίνυν ὄντων, φησί, συμβήσεταί τι ἀδύνατον, εἴπερ ὑποθώμεθα πᾶν εἶναι τὸ ὁριστὸν καὶ ἀποδεικτόν. τί δὲ τὸ συμβαῖνόν ἐστιν; ὃ καὶ ἐπὶ τοῦ προτέρου συμβέβηκεν.

p. 90b23 Ὁ γὰρ τὸν ὁρισμὸν ἔχων ἄνευ τῆς ἀποδείξεως ἐπιστήσεται.

Ἀποδεικτοῦ γὰρ ὄντος τοῦ ὁριστοῦ, ὡς ἡ ὑπόθεσις, ὁ τὸν ὁρισμὸν ἔχων αὐτοῦ εἴσεται τὸ ἀποδεικτὸν ἄνευ ἀποδείξεως. ἀλλὰ τοῦτο ἀδύνατον· ὑπέκειτο γὰρ τοῦτο εἶναι τὸ ἐπίστασθαι τὸ ἀποδεικτόν, τὸ ἔχειν τὴν ἀπόδειξιν. ἀλλὰ καὶ ἕξει ἅμα καὶ οὐχ ἕξει τὴν ἀπόδειξιν· καθὸ μὲν γὰρ ἐπίσταται τὸ ἀποδεικτόν, ὃ δι' ὁρισμοῦ ἔγνωκεν, ἕξει τὴν ἀπόδειξιν (τοῦτο γὰρ ἦν τὸ ἐπίστασθαι αὐτό, τὸ ἔχειν τὴν ἀπόδειξιν), καθὸ δὲ διὰ μόνου τοῦ ὅρου ἐπίσταται αὐτὸ χωρὶς ἀποδείξεως, οὐχ ἕξει· ὥσθ' ἅρα ἕξει καὶ οὐχ ἕξει | τὴν ἀπόδειξιν, ὅπερ ἀδύνατον. οὐκ ἄρα παντὸς οὗ ὁρισμὸς 21

---

1 οὐσία ἐστίν — γινωσκομένων (2) om. E 4 in lemmate ὅτι μὲν — δῆλον ex Arist. add. Aa 7 μὴ δ' εἶναι Aa 8 δὴ] δὲ Aa 18 τιθεὶς E 20 τὴν ἀπόδειξιν ἔχειν coll. Aa 28 ἅμα] ἀλλὰ E 29. 30 τοῦτο γὰρ — ἀπόδειξιν om. E

τούτου καὶ ἀπόδειξις. ἴσως δὲ τὰ τοῦ γάρ ἑνὸς ᾗ ἓν μία ἐπιστήμη 21
οὐχ ὡς λῆμμα προτέτακται, ἀλλ' ὡς κατασκευαστικὸν τοῦ τὸ ἐπίστασθαι
τὸ ἀποδεικτὸν εἶναι τὸ ἔχειν τὴν ἀπόδειξιν· ἐπειδὴ γὰρ κυρίως ἐπιστήμας
ταύτας τὰς δύο τίθεται, ὁριστικήν τε καὶ ἀποδεικτικήν, ὡς Θεόφραστος
5 μαρτυρεῖ καὶ Ἀλέξανδρος, φησὶν ὅτι οὐκ ἐνδέχεται τοῦ ἑνὸς ᾗ ἓν ὁρισμὸν 5
εἶναι καὶ ἀπόδειξιν. διὸ οὔτε ὁριστὸν ᾗ ἓν ἄνευ ὁρισμοῦ γνωστόν ἐστιν
οὔτε ἀποδεικτὸν ἄνευ ἀποδείξεως. τούτου δὲ οὕτως ἔχοντος οὔτε παντός,
οὗ ἀπόδειξις, ἔστι καὶ ὅρος οὔτε παντός, οὗ ὅρος, ἔστι καὶ ἀπόδειξις· εἰ δ'
ἔστιν, ὅ τε δι' ὁρισμοῦ μόνου τὸ ἀποδεικτὸν ἐπιστάμενος ἄνευ τῆς ἀπο-
10 δείξεως εἴσεται τὸ ἀποδεικτόν, ὅ τε διὰ ἀποδείξεως μόνης τὸ ὁριστὸν ἄνευ
ὁρισμοῦ τὸ ὁριστὸν εἴσεται. διὰ τοῦτο καὶ οὕτως ἐπήνεγκεν ὥστ' εἴπερ
τὸ ἐπίστασθαι τὸ ἀποδεικτὸν καὶ τὰ ἑξῆς, ὡς ἑπομένου τῷ εἶναι
μίαν ἐπιστήμην τοῦ ἑνὸς ᾗ ἓν τοῦ ταὐτὸν εἶναι τὸ ἐπίστασθαι τὸ ἀποδεικτὸν 10
τῷ ἔχειν τὴν ἀπόδειξιν. εἰ δὲ καὶ ὡς λήμματά τις ἄμφω ταυτὶ λήψεται
15 προτεταγμένα, πρὸς ἄμφω τὸ ἄτοπον ἕψεται. εἴπερ γὰρ παντὸς οὗ ἀπό-
δειξις, τούτου καὶ ὅρος, οὔτε μία ἐπιστήμη τοῦ ἑνὸς ᾗ ἕν, ἀλλὰ δύο ἕτεραι
ἀλλήλων καὶ μὴ ὑπ' ἄλληλα τεταγμέναι ὅρος καὶ ἀπόδειξις, οὔτε ταὐτὸν
ἔσται τὸ εἰδέναι τὸ ἀποδεικτὸν τῷ ἔχειν τὴν ἀπόδειξιν· εἴσεται γὰρ τὸ
ἀποδεικτὸν ὁ ἔχων τὸν ὁρισμὸν διὰ μόνου τοῦ ὅρου, τὴν ἀπόδειξιν μὴ
20 ἔχων. οὕτω δὲ πρότερον μὲν ἥρμοττεν εἰπεῖν, ὅτε μὴ παντὸς ἔλεγεν οὗ 15
ἀπόδειξις, τούτου καὶ ὅρον εἶναι· νῦν δὲ τὸ ἀνάπαλιν ἔδει, ἐπεὶ καὶ ἀντί-
στροφον τὸ προκείμενον, ὅτι εἰ παντὸς οὗ ὅρος, τούτου καὶ ἀπόδειξις, συμ-
βήσεται τὸ ὁριστὸν ἐπίστασθαι δίχα ὅρου διὰ μόνης τῆς ἀποδείξεως. ἀλλ'
ἐπεὶ μὴ οὕτως ἀλλ' ἐκείνως ὑπέκειτο (τὸ μὲν γὰρ ἐπίστασθαι τὸ ἀπο-
25 δεικτὸν τὸ ἔχειν τὴν ἀπόδειξιν εἶναι ὑπέκειτο, τὸ δὲ ἐπίστασθαι τὸ ὁριστὸν
τὸ ἔχειν τὸν ὅρον εἶναι οὐδαμοῦ ὑπετέθη) τούτου ἕνεκεν ὃ ὑποτέθειται, 20
εἴληπται. τάχα δὲ καὶ διὰ τοῦτο τέθειται ἐνταυθοῖ τὸ τοῦ ἑνὸς ᾗ ἓν μίαν
ἐπιστήμην εἶναι, ὡς ἀμφοῖν ἁρμόζον ἐπίσης τοῖς προβλήμασιν· εἰ γὰρ τοῦτο,
οὔτε τοῦ ἀποδεικτοῦ ᾗ ἀποδεικτὸν ὅρος ἔσται οὔτε τοῦ ὁριστοῦ ᾗ ὁριστὸν
30 ἀπόδειξις.

p. 90b 24 Ἔτι αἱ ἀρχαὶ τῶν ἀποδείξεων ὁρισμοί.

Ὅτι αἱ ἀρχαὶ τῶν ἐπιστημῶν καὶ τῶν ἀποδείξεων ἀναπόδεικτοί εἰσιν, ἐν τῷ πρὸ τούτου βιβλίῳ δέδεικται· ἐπεὶ οὖν οἱ ὁρισμοὶ ἀρχαί, δῆλον ὅτι καὶ ἀναπόδεικτοι· δείκνυσι δὲ κἀνταῦθα.

---

1 τοῦ γάρ] τὸ γάρ τοῦ E 2 τὸ om. E 3 εἶναι post ἀπόδειξιν ponit E
5 ὅτι om. E 9 ὅ τε] ὅτι E 12 τὰ om. Aa 13 τοῦ (post ἓν) scripsi: τὸ libri 14 λῆμμα Aa ταυτὶ om. E 17 ὑπ' ἀλλήλοις Aa
19 ὁ om. Aa 24 τὸ μὲν — ὑπέκειτο (25) om. E 26 οὐδαμῆ Aa ὑπετέθει Aa ὃ ὑπετέθη Aa 32 καὶ τῶν] τε καὶ Aa 33 ἐν τῷ πρὸ τούτου βιβλίῳ] cf. Anal. post. A 2 βιβλίῳ om. E

p. 90b25 Ἢ γὰρ ἔσονται, φάσκων, αἱ ἀρχαὶ ἀποδεικταὶ καὶ τῶν ἀρχῶν ἀρχαὶ καὶ τοῦτ' εἰς ἄπειρον βαδιεῖται, ἢ τὰ πρῶτα ὁρισμοὶ ἔσονται ἀναπόδεικτοι. 21

Δυνάμει τοῦτο λέγων ὅτι ἢ οὐκ ἔσται ἐπιστήμη ἢ τῶν ὁρισμῶν οὐκ ἔσται ἀπόδειξις· ἀλλὰ τὸ μὴ εἶναι ἐπιστήμην ἀδύνατον· τῶν ἄρα ὁρισμῶν οὐκ ἔστιν ἀπόδειξις. εἰ γὰρ οἱ ὁρισμοὶ ἀρχαί, ἔστι δὲ τούτων ἀπόδειξις, ἔστιν ἄρα τῶν ἀρχῶν ἀπόδειξις. πᾶσα δὲ ἀπόδειξις ἐξ ἀρχῶν· ἔσονται ἄρα τῶν ἀρχῶν ἀρχαί, κἀκείνων αὖθις, καὶ τοῦτο εἰς ἄπειρον. τὸ δὲ ἄπειρον ἀδιεξίτητόν τε καὶ ἀπερίληπτον, τὸ δὲ τοιοῦτον καὶ ἀνεπίστητον. ὥστε οὐκ ἔσται ἐπιστήμη· πᾶσα γὰρ ἐπιστήμη διεξέλευσίς ἐστι τοῦ ἐπιστητοῦ καὶ περίληψις. εἰ ἄρα οἱ ὁρισμοὶ ἀποδεικτοί, οὐκ ἔσται ἐπιστήμη. ἀλλὰ τοῦτο ἀδύνατον· ἀναπόδεικτοι ἄρα οἱ ὁρισμοί. ὥσπερ δὲ ἀπὸ ἄλλης ἀρχῆς ἀναγνωστέον τὸ ἢ ἔσονται ἀρχαὶ καὶ τὰ ἑξῆς, κατὰ διαίρεσιν τοῦ λόγου προβαίνοντος. τὸ δὲ ἢ τὰ πρῶτα ὁρισμοὶ ἔσονται ἀναπόδεικτοι οὕτω δεῖ λέγειν 'ἢ τὰ πρῶτα, ταὐτὸν δὲ εἰπεῖν οἱ ὁρισμοί, ἔσονται ἀναπόδεικτοι.' δόξειε δ' ἂν μὴ πρὸς τὸ ζητούμενον γενέσθαι τὴν ἐπιχείρησιν· τὸ μὲν γὰρ ἦν ὅτι τὸ ὁριστὸν οὐκ ἔστιν ἀποδεικτόν, ταῦτα δὲ περὶ τοῦ ὅρου εἴρηται. ἀλλ' ἐπεὶ ὁ ὅρος τε καὶ τὸ ὁριστὸν ἀντιστρέφει πρὸς ἄλληλα, εἰ τὸ ὁριστὸν ᾗ ὁριστὸν ἀποδεικτόν, δῆλον ὅτι καὶ ὁ ὅρος. ἔτι τῷ ὅρῳ τὸ τί ἐστι δηλοῦται, ὡς τῇ ἀποδείξει τὸ τῷδε τόδε ὑπάρχειν περαίνεται· τὸ δὲ τί ἐστι ταὐτὸν τῷ ὅρῳ, ὥσθ' ὁ τὸ τί ἐστι λέγων εἶναι ἀποδεικτὸν τὸν ὅρον φησὶν εἶναι ἀποδεικτόν. οὐ γὰρ ὥσπερ ἐν τῇ ἀποδείξει ἕτερόν τι τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει ἐκ τῶν εἰρημένων, οὕτω καὶ ὁ ὅρος ἕτερόν τι ἐξ ἑτέρου ἢ ἑτέρων ἀποβαῖνον παρίστησιν, ἀλλ' αὐτὸ τὸ εἶδός ἐστι καὶ τὸ τί ἐστι τὸ δηλούμενον, ὅπερ οὐχ ἕτερόν τι παρὰ τὸν ὅρον ἐστίν· ὅρος γὰρ ἑκάστου ὁ κατ' οὐσίαν λόγος καὶ τὸ εἶδός ἐστιν. ἀλλὰ καὶ ἐκ τῶν περὶ ταῦτα δυνάμεων ἡ διαφορὰ δείκνυται· νῷ μὲν γὰρ τοὺς ὅρους γινώσκομεν ἁπλῶς καὶ ἀμέσως τοῖς πράγμασιν ἐπιβάλλοντες, διανοίᾳ δὲ τὰ καθ' αὑτὸ συμβεβηκότα, μέσοις τοῖς ὅροις χρώμενοι, ἐπεὶ καὶ ἁπλῶς νοῦς μὲν τοῦ ὄντος ᾗ ὄν ἐστι γνωστικός, ψυχὴ δὲ καθ' αὑτὴν καὶ διάνοια τῶν τοῦ ὄντος ἐμφάσεων. ὅροι δὲ οὐ μόνον οἱ ὁρισμοί, ἀλλὰ καὶ αἱ κοιναὶ ἔννοιαι ἤτοι τὰ ἀξιώματα καὶ εἴ τι ἕτερον ἄμεσον, ὡς τὰς ἐπιστήμας ὁρίζοντα καὶ μέχρις ἑαυτῶν ἱστῶντα τὴν ἄνοδον.

p. 90b28 Ἀλλ' ἆρα, εἰ μὴ παντὸς τοῦ αὐτοῦ, ἀλλά τινος τοῦ αὐτοῦ.

Καθόλου μὲν δὴ ὅτι οὐκ ἔστι παντός, οὗ ὁρισμός, καὶ ἀπόδειξις καὶ ἀνάπαλιν εἴρηται· μήποτε δὲ ἐνδέχεται τινὸς εἶναί ποτε τοῦ αὐτοῦ κατὰ

---

3 ἀναπόδεικτα E 4 ἐπιστήμων E 6 ἔστι δὲ τούτων — ἀρχαί (8) om. E
9 ἀνεπίστημον libri 23 εἰρημένων] κειμένων Aa 24 οὕτωσὶ E
32 αἱ om. Aa ἤτοι] ἤτι Aa 33 ἱστῶντα scripsi: ἱστῶνται libri
35 καὶ ante ἀπόδειξις om. E 36 δὲ om. a εἶναί ποτέ τινος coll. E

τὸ αὐτὸ ὁρισμὸν καὶ ἀπόδειξιν. ἔστι δὲ καὶ τοῦτο ἀδύνατον, ὡς δειχθήσεται. 21
πᾶς μὲν γὰρ ὁρισμὸς τὸ τί ἐστι δηλοῖ, ὅπερ ἐστὶν ἡ οὐσία τοῦ πράγματος· οὐδεμία δὲ ἀπόδειξις τὸ τί ἐστι δείκνυσιν, ἀλλὰ τοῦτο ὁμολογούμενον λαμβάνουσι πᾶσαι καὶ ἀρχὴν οἰκείαν τίθενται. τί γὰρ μονὰς καὶ τί περιττόν, ἡ ἀριθμητικὴ ὑποτίθεται, καὶ γεωμετρία τί σημεῖον καὶ τί γραμμή, καὶ αἱ λοιπαὶ μαθηματικαὶ πᾶσαι ὡσαύτως. ἔτι τῷ μὲν ὅρῳ ἁπλοῦν τὸ 22
δεικνύμενον· ὃ δὲ ἡ ἀπόδειξις δείκνυσι, σύνθετον ἤδη καὶ διπλόης ἐχόμενον. πᾶσα μὲν γὰρ ἀπόδειξις ἕτερόν τι καθ' ἑτέρου κατασκευάζει καὶ κατηγορούμενον κατὰ ὑποκειμένου δείκνυσιν ὑπάρχον ἢ μὴ ὑπάρχον. οὐδαμῇ δὲ ὁ ὁρισμὸς ἕτερόν τι κατηγορούμενον καθ' ἑτέρου τινὸς ὑποκειμένου παρίστησιν· ἐν γὰρ τῷ ζῷον πεζὸν δίπουν ὁρισμῷ τοῦ ἀνθρώπου οὔτε τὸ 5
ζῷον κατηγορεῖται τοῦ δίποδος οὔτε τὸ δίπουν τοῦ ζῴου· ὡσαύτως κἂν τῷ σχῆμα ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον καὶ τὰ ἑξῆς, ὁρισμῷ ὄντι τοῦ κύκλου, οὔτε τὸ σχῆμα κατὰ τοῦ ἐπιπέδου κατηγορεῖται οὔτε τὸ ἐπίπεδον κατὰ τοῦ σχήματος· οὔτε γὰρ τὸ σχῆμα ἐπίπεδόν ἐστιν οὔτε τὸ ἐπίπεδον σχῆμα. ἔτι ἐκ τῆς τῶν ζητουμένων καὶ ἐν ἐπιστήμῃ γινομένων διαφορᾶς· ὁ μὲν γὰρ ὁρισμὸς τὸ τί ἐστι ζητεῖ καὶ εὑρίσκει, καὶ τὸ ὑπ' αὐτοῦ δηλούμενον τὸ τί ἐστι, τῇ δὲ ἀποδείξει τὸ ζητούμενον τὸ ὅτι ἐστὶν 10
ἢ οὐκ ἔστιν, ἤγουν τὸ ὑπάρχειν τῷδε τόδε ἢ μὴ ὑπάρχειν. ἕτερον δὲ κατὰ γένος τὸ τί ἐστι καὶ ὅτι ἐστί, καθὼς ἐν τῇ τῶν ζητουμένων ἐξετάσει ἐκπέφανται. εἰ οὖν ἕτερα ταυτί, καὶ αἱ πρὸς αὐτὰ ἄγουσαι ἐπιστῆμαι ἕτεραι, καὶ οὐκ ἐνδέχεται μίαν καὶ τὴν αὐτὴν εἰς τὸ τί ἐστιν ἄγειν, καὶ ὅτι ἐστίν, οὔτε ὅρον οὔτε ἀπόδειξιν, ἐπεὶ καὶ καθόλου ἑτέρου ἑτέρα ἐπιστήμη ἐστί. καίτοι ἐνδέχεταί ποτε ἓν καὶ τὸ αὐτὸ διαφόροις ἐπιστήμαις εἶναι δηλούμενον, ἀλλ' ὅταν ἡ μὲν μέρος ἡ δὲ ὅλον ἐστίν, ὥσπερ τὸ τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχειν καὶ τῇ τοῦ 15
τριγώνου ἐπιστήμῃ καὶ τῇ τοῦ σκαληνοῦ ἀποδείκνυται· ἀλλὰ μέρος τοῦ τριγώνου τὸ σκαληνόν, καὶ αἱ ἐπιστῆμαι ὡσαύτως. ἀλλ' οὐχ οὕτως ἔχει πρὸς ἄλληλα ὁρισμὸς καὶ ἀπόδειξις· οὔτε γὰρ μέρος, οὔτε ὅλον θάτερον· ὡσαύτως οὐδὲ τὸ ὅτι καὶ τί ἐστιν. οὐδαμῶς ἄρα οὔτε καθόλου οὔτε ἐν μέρει ταὐτὸ καὶ ὡσαύτως τὸ τῷ ὁρισμῷ καὶ τῇ ἀποδείξει δηλούμενον, οὐδὲ ταὐτὸν ὅλως ὁριστὸν καὶ ἀποδεικτόν. ἐκ δὲ τούτων δῆλον ὅτι οὐδὲ ταὐτὸν ὁρισμὸς καὶ ἀπόδειξις. ἀλλ' οὐδ' 20
ὡς ὅλον καὶ μέρος πρὸς ἄλληλα· εἶχε γὰρ ἂν ὁμοίως καὶ τὰ αὐτοῖς ὑποκείμενα.

---

4 πᾶσα E 6 πᾶσαι om. Aa ἔτι] εἴ τι E 7 δεικνύμενον scripsi: δηκούμενον libri 8 ἐξ ἑτέρου E 9 post κατὰ add. τοῦ E ἢ μὴ ὑπάρχον iterat E 12 τοῦ ζῴου] κατὰ τοῦ ζῴου κατηγορεῖται τοῦ δίποδος E
21 αὐτὰ] αὐτὴν E 23 ἑτέρα ἑτέρου coll. E 24. 25 ἐπιστήμης E
25 δεικνύμενον Aa 26 ἔχειν ἴσας ὀρθαῖς coll. Aa 30 post ὅλον add. θατέρου Aa 33 ὅτι om. Aa 34 ὁμοίως ἂν coll. E

p. 90b28 Ἀλλ' ἄρα εἰ μὴ παντὸς τοῦ αὐτοῦ, ἀλλά τινος τοῦ αὐτοῦ.

Τὰς καθόλου προβαλλόμενος ἀποφάνσεις ἐπ' ἀμφοτέρων τῶν ζητημάτων ἐπί τε τοῦ εἰ πᾶν τὸ ἀποδείξει γνωστὸν τοῦτο καὶ ὅριῳ καὶ ἐπὶ τοῦ ἀνάπαλιν, καὶ ἀνελὼν ὡς καθόλου αὐτὰς μεταβαίνει ἐπὶ μερικήν, καὶ ζητεῖ εἰ ἐνδέχεταί τι ὅρῳ γνωστὸν εἶναι τὸ αὐτὸ καὶ ἀποδείξει ἐπιστητόν, ὡς καὶ τῆς ἐπὶ μέρους ἀναιρουμένης δῆλον εἶναι ὡς οὐδ' ὅλως τὸ αὐτό τι ὁρισμῷ καὶ ἀποδείξει δυνατὸν ἐπίστασθαι. καίτοι ἐκ τῶν εἰρημένων δέδεικται ὡς καθόλου ἀδύνατον ἐν ταὐτῷ συνδραμεῖν τὰς ἐπιστήμας ἄμφω, ὡς τὸ αὐτὸ κατὰ τὸ αὐτὸ ἐξ ἀμφοτέρων γινώσκεσθαι· ἐκ περιουσίας δ' οὖν ὡς ἐπ' ἄλλου παρὰ τὸ καθόλου προβλήματος καὶ ταῦτα λέγεται. φησὶν οὖν ὡς ἀδύνατον καὶ τοῦτό ἐστιν, ἵν' εἴη τινὸς τοῦ αὐτοῦ ὁρισμὸς καὶ ἀπόδειξις· καὶ τοῦτο δῆλον ποιεῖται ἐκ τοῦ εἰς ζήτησιν προτιθεμένου τῷ ὅρῳ, ὅπερ ἐστὶ τὸ τί ἐστι καὶ ἡ οὐσία. ὁ μὲν γὰρ ὅρος τοῦτο καὶ ζητεῖ καὶ δείκνυσι, λέγω δὲ τὸ τί ἐστι καὶ τὴν οὐσίαν, αἱ δ' ἀποδείξεις οὐχί, ἀλλ' ἔνθα ἂν αὐτῷ χρήσωνται, οὐχ ὡς ζητούμενον αὐτὸ προτιθέασιν, ἀλλ' ὑποτίθενται καὶ λαμβάνουσιν ὡς ὁμολογούμενον. προβαίνει δὲ οὕτως ἡ ἐπιχείρησις· πᾶς ὁρισμὸς τοῦ τί ἐστι καὶ τῆς οὐσίας ἐστίν. οὐδεμία ἀπόδειξις τοῦ τί ἐστι καὶ τῆς οὐσίας ἐστίν· οὐδεμία ἄρα ἀπόδειξις οὗ ὁρισμός. ἔστι δὲ οὗτος ὁ τρόπος δεύτερος τοῦ δευτέρου σχήματος. πιστοῦται δὲ τὴν ἀποφατικὴν πρότασιν ἐκ τῆς ἐπαγωγῆς. εἰπὼν γὰρ ὅτι φαίνονται πᾶσαι αἱ ἀποδείξεις ὑποτιθέμεναι καὶ λαμβάνουσαι τὸ τί ἐστιν ἐπὶ τὰ καθ' ἕκαστα παρέπεμψε τὴν διάνοιαν· ταῦτα γάρ ἐστι τὰ φαινόμενα, ἃ καὶ εἰς μέσον παράγει λέγων οἷον αἱ μαθηματικαί· ἐν ταύταις γάρ εἰσι κυρίως αἱ ἀποδείξεις ὡς τὰ καθ' αὑτὸ συμβεβηκότα ζητούσαις τοῖς μεγέθεσι καὶ τοῖς ἀριθμοῖς. τί γὰρ μονὰς καὶ τί περιττόν, ἡ ἀριθμητικὴ οὐκ ἀποδείκνυσιν, ἀλλ' ὑποτίθεται καὶ λαμβάνει, ὡς ἡ γεωμετρία τί σημεῖον καὶ τί γραμμὴ καὶ τί ἐπιφάνεια, καὶ τὰ ἄλλα ὁμοίως. δυνάμει δὲ τοῦτο δέδεικται καὶ ἐν οἷς ἔλεγε πρὸ τούτου ὅτι εἰ οἱ ὁρισμοὶ ἀρχαί, καὶ αἱ ἀρχαὶ ἀναπόδεικτοι, εἰ δὲ μή, εἰς ἄπειρον βαδιεῖται τῶν ἀρχῶν ἀρχὰς ἀεὶ ζητούντων ἡμῶν.

p. 90b33 Ἔτι πᾶσα ἀπόδειξις τὶ κατά τινος δείκνυσιν.

Ἐκ τοῦ κατὰ τὸν ὅρον ζητουμένου τὴν προτέραν ποιησάμενος ἐπιχείρησιν ἕτερον τὸ δι' ὅρου ἐπιστητὸν τοῦ δι' ἀποδείξεως ἔδειξε. νῦν δ' ἀνάπαλιν τίθησιν· τὸ γὰρ τῇ ἀποδείξει ζητούμενον εἰς μέσον παραλαβών,

---

3 ἀποφάσεις E 4 πᾶν] εἶναι E 6 τι post γνωστὸν ponunt Aa 9 ταὐτῷ] ταῦτα E 14 καὶ post τοῦτο om. E 15 τὴν om. E 16 χρήσονται a 17 ἡ om. Aa 19 ἐστίν om. Aa 20 ὁ om. A δὲ] δὴ Aa 25 ζητοῦσαι a 26 τὸ γὰρ E 28 καὶ ante ἐν om. Aa 29 τούτου scripsi: τοῦ libri post ἀναπόδεικτοι fort. addendum οἱ ὁρισμοὶ ἄρα ἀναπόδεικτοι 32 κατὰ τὸν ὅρον] τῷ ὅρῳ E

ἀλλότριον τῆς κατὰ τὸν ὅρον γνώσεως τὸ ἀποδείξει ἐπιστητὸν δείκνυσιν. 22
ὡς εἶναι τὸ μὲν πρὸ τούτου ἐπιχείρημα τῇ δευτέρᾳ ἁρμόζον ζητήσει, ἐν
ᾗ ἐζητεῖτο εἰ οὗ ὁρισμός, τούτου παντὸς ἀπόδειξις, τὸ δὲ νῦν λεγόμενον τῇ
προτέρᾳ, ἐν ᾗ ἐζητεῖτο εἰ παντὸς οὗ ἀπόδειξις, τούτου καὶ ὁρισμός. ἔστι
5 δὲ ὁ συλλογισμὸς τοιοῦτος ‘πᾶσα ἀπόδειξις τὶ κατά τινος δείκνυσιν· οὐδεὶς
ὁρισμὸς τὶ κατά τινος δείκνυσιν· οὐδεὶς ἄρα ὁρισμὸς ἀπόδειξις. καὶ οὗτος
διὰ τοῦ αὐτοῦ καὶ σχήματος καὶ τρόπου. τὰ δὲ λοιπὰ τῆς λέξεως σαφῆ
ἐκ τῶν προειρημένων περὶ αὐτῶν. |

p. 90b38 Ἔτι ἕτερον τὸ τί ἐστι καὶ ὅτι ἐστὶ δεῖξαι. 23

10 Ἐν μὲν τοῖς πρὸ τούτου δυσὶν ἐπιχειρήμασιν ἰδίᾳ ἑκάτερον ἔθετο, τό 5
τε τῷ ὁρισμῷ καὶ τῇ ἀποδείξει δεικνύμενον, καὶ ἐκ τῆς αὐτῶν ἑτερότητος
ἑτέρας καὶ τὰς περὶ αὐτὰ ἐπιστήμας ἔδειξεν, ὡς ἑκατέρα περί τι ἴδιόν
ἐστιν, ἀλλ' οὐχὶ ἥδε περὶ τὸ τῆσδε ἢ ἀνάπαλιν· νῦν δὲ ἀμφότερα ὁμοῦ
παρ' ἄλληλα τίθησι, καὶ ἕτερα εἶναι λαβὼν παρὰ τῆς ἐναργείας αὐτῆς τὰ
15 ἑκατέρᾳ ὑποκείμενα ἑτέρας ἀλλήλων καὶ τὰς περὶ αὐτὰ ἐπιστήμας ἐκ τούτου
δείκνυσι. καίτοι δοκεῖ μὴ τοῦτο εἶναι τὸ προκείμενον ἐξ ἀρχῆς, ἵν' ἡ ἀπό- 10
δειξις καὶ ὁ ὁρισμὸς ἐπιστῆμαι ἀλλήλων φανῶσιν ἕτεραι, ἀλλ' ἵνα ὅτι οὐ
ταὐτὸ καὶ ἓν ἑκατέρᾳ ἐπιστητόν. ἀλλὰ πρῶτον μὲν ἵν' ὑπερβολὴν δείξῃ
τῆς αὐτῶν ἑτερότητος πρὸς ἄλληλα ὡς τοσοῦτον ἕτερα, ὡς τὴν αὐτῶν
20 ἑτερότητα αἰτίαν εἶναι καὶ ταῖς περὶ αὐτὰ ἐπιστήμαις τῆς ἑτερότητος, οὕτω
πεποίηκεν. ἔπειτα εἰ αἱ ἐπιστῆμαι ἀλλήλων ἕτεραι οὖσαι δείκνυνται, ἕπεται
ἐξ ἀνάγκης ἕτερα ἀλλήλων εἶναι καὶ τὰ ἐπιστητά· αἱ γὰρ ἐπιστῆμαι
ἐπιστητῶν ἐπιστῆμαι. καὶ ὥσπερ οὐκ ἐνδέχεται αἰσθήσεις ἑτέρας κατ' 15
εἶδος ταὐτὸ καὶ ἓν ἔχειν ἴδιον αἰσθητόν, οὕτως οὐδὲ ἐπιστήμας ἐπιστητόν.
25 πρὸς δὲ τούτοις καὶ τοῦτο ἐλέγομεν εἶναι τὸ προηγουμένως τῷ λόγῳ προ-
κείμενον, ἵν' ἀνέλῃ τὸ δοκεῖν ἓν εἶναι καὶ ταὐτὸν ὁρισμὸν καὶ ἀπόδειξιν,
καὶ ἐπιστήμην ὁριστικήν τε καὶ ἀποδεικτικήν· ἔδοξε γὰρ ἂν τοῦτο τοῖς
ἀκούουσι τούτου λέγοντος ἐν οἷς περὶ τῶν ζητουμένων ἐδίδασκε, ταὐτὸν
εἶναι τὸ τί ἐστι καὶ διὰ τί ἐστι. διὸ καὶ τὸν λόγον συμπληρῶν ταυτὶ
30 συνεπέρανεν ἐπίτηδες ὡς ἑτέρα ἀπόδειξις τοῦ τί ἐστι τῆς τοῦ ὅτι ἐστί. 20
προσκείσθω καὶ τέταρτον, ἵνα δείξῃ ὅτι ἀντιστρέφει ταῦτα πρὸς ἄλληλα
καὶ δι' ἀλλήλων δείκνυται, καὶ εἰ ἕτερα ταῦτα, καὶ αἱ ἐπιστῆμαι αὐτῶν
ἕτεραι, καὶ εἰ ἕτεραι αἱ ἐπιστῆμαι, ἕτερα καὶ αὐτά.

Φησὶν οὖν ὅτι ἕτερόν ἐστι δεῖξαι τί ἐστι καὶ ἕτερον ὅτι ἐστίν. ὁ μὲν
35 οὖν ὁρισμὸς τί ἐστι δείκνυσιν, ἡ δὲ ἀπόδειξις ὅτι ἐστὶ τόδε κατὰ τοῦδε ἢ

---

1 ἀποδείκνυσιν E 3 παντὸς] πάντως Aa 4 εἰ om. a 5. 6 οὐδεὶς — ἀπόδειξις om. Aa 9 δεῖξαι] δεῖξις Aa 12 ἑτέρας καὶ om. Aa 13 ἀμφότερον Aa 15 προκείμενα Aa 16 post δοκεῖ add. εἰ a 16. 17 αἱ ἀποδείξεις Aa 17 ὁ ὁρισμὸς om. Aa 18 δείξει E 19 τῆς] τῶν Aa ἀλλήλας Aa ἕτεραι Aa ἑαυτῶν E 20 τῆς ἑτερότητος om. Aa 21 τὰς ἐπιστήμας E ἑτέρας εἶναι δέδεικται E δείκνυται a 31 δείξει E 32 αὐτῶν om. E

οὐκ ἔστι· καὶ συμπεραίνει ὅτι ὁρισμὸς ἄρα καὶ ἀπόδειξις ἕτερα ἀλλήλων δεικνύουσιν, ὃ παρῆκεν ὡς δῆλον. παρέστησε δὲ διπλῆν οὖσαν τὴν ἑτερότητα τοῦ δι' ἀποδείξεως δεικνυμένου πρὸς τὸ δι' ὅρου, εἴ γε ὁ μὲν ἁπλοῦν δείκνυσι καὶ καταφατικὸν ἀεί, ἡ δὲ σύνθετον καὶ οὐκ ἀεὶ καταφατικόν, ἀλλὰ καὶ ἀποφατικὸν ἔστιν οὗ· ταῦτα γὰρ δηλοῦται ἐκ τοῦ ὅτι ἐστὶ τόδε κατὰ τοῦδε ἢ οὐκ ἔστιν.

Ἑτέρου δ' ἑτέρα ἀπόδειξις, ἐὰν μὴ ὡς μέρος ᾖ τι τῆς ὅλης. εἴποι δ' ἄν τις δείκνυσθαι μὲν καὶ τὸ προκείμενον ὅτι ἕτερα ἀλλήλων τὸ δι' ὅρου δεικνύμενον καὶ δι' ἀποδείξεως, εἰ καὶ φαίνεται παρεικὼς τὸ συμπέρασμα, ἀναφαίνεσθαι δ' ὥσπερ πόρισμα καὶ τὸ ἑτέρας ἀλλήλων εἶναι τὰς ἐπιστήμας, ὅπερ οὐδὲν ἧττον αὐτῷ εἰ μὴ καὶ μᾶλλον προέκειτο. κατὰ κοινοῦ δὲ τῷ ὀνόματι τῆς ἀποδείξεως κέχρηται ἐπί τε τοῦ ὁρισμοῦ καὶ τῆς ἀποδείξεως. τὸ δὲ ἐὰν μὴ ὡς μέρος ᾖ τι τῆς ὅλης αὐτὸς διὰ τῶν ἑξῆς σαφηνίζει. τὸ γὰρ ἰσοσκελὲς εἶδος τοῦ τριγώνου ἐστί, καὶ γένος τὸ τρίγωνον τοῦ ἰσοσκελοῦς· ὅλον δέ τι τὸ γένος καὶ μέρος τὸ εἶδος ὡς πρὸς τὸ γένος· εἰ γὰρ καὶ μὴ πᾶν, εἴ τι ὅλον, τοῦτο καὶ γένος ἐστίν, ἀλλ' ἀληθὲς τὸ τὸ γένος εἶναί πως ὅλον. ὥστε καθ' αὑτὸ μὲν ἀπόδειξις ἄλλη ἄλλου· εἰ δέ τι εἴη ὡς ὅλον καὶ μέρος, συμβαίη ἂν ἐπὶ τούτων τὴν αὐτὴν εἶναι ἀπόδειξιν, ὡς τῆς τοῦ ὅλου ἀποδείξεως καὶ τὸ μέρος περιεχούσης. τοῦτο οὖν ὡς ἔνστασις προσηνέχθη πρὸς τὸ ἑτέρου δ' ἑτέρα ἀπόδειξις, λέγω δὴ ἡ τοῦ ἰσοσκελοῦς καὶ τοῦ τριγώνου παραγωγή, ἣ λύεται διὰ τοῦ συμβεβηκέναι ὅλον εἶναι καὶ μέρος ἐφ' ὧν ἡ αὐτὴ ἀπόδειξις γίνεται, καθ' αὑτὸ μὲν οὖσα τοῦ ὅλου, δι' ἐκεῖνο δὲ καὶ τοῦ μέρους. ταῦτα δέ, φησί, πρὸς ἄλληλα οὐκ ἔχει οὕτως, τὸ ὅτι ἐστὶ καὶ τί ἐστιν· οὐ γάρ ἐστι θάτερον θατέρου μέρος, ἀλλ' ἕτερά τέ ἐστι καὶ μὴ τεταγμένα ὑπ' ἄλληλα.

p. 91a7 Φανερὸν ἄρα ὅτι οὔτε οὗ ὁρισμός.

Ἐπειδὴ ἰδίᾳ μὲν τὸ μὴ παντός, οὗ ὁρισμός, τούτου εἶναι καὶ ἀπόδειξιν ἔδειξε καὶ ἀνάπαλιν, ἰδίᾳ δ' αὖθις τὸ μηδενός, διὰ τοῦτο καὶ τοὺς περὶ τούτων συμπληρῶν λόγους καὶ τὴν ἐπὶ τούτοις φέρων κατάστασιν τὰ δύο εἴρηκε συμπεράσματα, τό τε μὴ παντὸς καὶ τὸ ἁπλῶς μηδενός. τὸ δὲ ὥστε ὅλως τοῦ αὐτοῦ οὐδενὸς ἐνδέχεται ἄμφω ἔχειν τοῦτο δηλοῖ ὅτι ἀδύνατον ὅλως ἔχειν ἑνός τινος τοῦ αὐτοῦ ὁρισμὸν καὶ ἀπόδειξιν.

p. 91a9 Ὥστε δῆλον ὡς οὐδ' ὁρισμὸς καὶ ἀπόδειξις.

Τὰ μὲν εἰρημένα δύο συμπεράσματα ὡς μέρος καὶ ὅλον ὑπῆρχε πρὸς ἄλληλα· ἡ γὰρ ἐπὶ μέρους ἀπόφανσις μέρος τῆς καθόλου, ὑφ' ἥνπερ τέτακται, ὡς μέρους ὄντος τοῦ τινὸς τοῦ ἁπλῶς· τὸ δὲ νῦν, τρίτον ὂν ἐπ' ἐκείνοις,

---

1 συμπέρασμα E ὁ ὁρισμὸς ἄρα καὶ ἡ ἀπ. Aa 7 ἀπόδειξις—ὅλης] ἐπιστήμη E
13 ᾖ om. E 14 ἰσομερὲς E 17 τὸ semel exh. E 21 δὴ] δὲ a
διὰ τὸ E 28 καὶ ἀνάπαλιν om. E 35 ἥνπερ] ἣν Aa 36 μέρος ὄντος Aa

ἕτερον πάντῃ ἐκείνων ἐστίν, ἐκ τῶν εἰρημένων ἀναφαινόμενον καὶ αὐτό, 23
ὡς οὔτε ταὐτὸν ὁρισμὸς καὶ ἀπόδειξις οὔτε οὕτως ἔχει πρὸς ἄλληλα, ὡς τὸ μὲν εἶναι μέρος τὸ δ' ὅλον. τοῦτο γὰρ δηλοῖ τὸ οὔτε θάτερον ἐν θατέρῳ· ὡς γὰρ ἔχει τὰ ἐπιστητὰ πρὸς ἄλληλα, οὕτως καὶ αἱ ἐπιστῆμαι. |

5 p. 91 a 12 Ταῦτα μὲν οὖν μέχρι τούτου διηπορήσθω. 24

Καὶ τοῦ λόγου ἀρχόμενος τοῦ περὶ τοῦ εἰ ταὐτὸν ὁρισμῷ καὶ ἀποδείξει γινώσκειν ἔστι, καὶ εἰ ταὐτὸν ὁρισμὸς καὶ ἀπόδειξις, καὶ νῦν συμπληρῶν ὡς ἀπορητικῶς τὰ εἰρημένα εἰπὼν τὸν λόγον καθίστησιν. ὅτι μήπω περὶ τῶν προτεθέντων ἀποδεικτικῶς εἴρηκεν, ἀλλ' ἐπιχειρηματικῶς τε καὶ
10 ἀπορητικῶς, ταὐτὸν δὲ εἰπεῖν λογικῶς τε καὶ διαλεκτικῶς. τὸ γὰρ ἀπορεῖν τοῦ διαλεκτικοῦ οἰκειότερον, εἴ γε λογισμῶν ἀντικειμένων μάχη ἡ ἀπορία, 5
τοῦτο δὲ διαλεκτικοῦ ὡς ἐφ' ἑκάτερα πεφυκότος ἐπιχειρεῖν· ὥστε τὸ διαλεκτικῶς λέγειν ἀπορητικῶς ἐστι λέγειν, καὶ τοῦτο ἐκείνῳ ἀντιστρέφει. καὶ οὐ τοῦτό φαμεν ὅτι ἐπὶ πάντων ὁ διαλεκτικὸς ἐπιχειρεῖν ἐφ' ἑκάτερα
15 δύναται, ἀλλ' ὡς ἴδιον αὐτοῦ ἐστι τοῦτο, καὶ ἐφ' ὧν μὲν ἐνδέχεται, ποιεῖ τοῦτο, ἐφ' ὧν δὲ μή, οὔ. ἐπὶ γὰρ τῶν ἐπιστημονικῶν τε καὶ ἀναγκαίων χωρεῖ μὲν ἐπιχειρεῖν διαλεκτικῶς ἐκ δοκούντων τινῶν τὰ αὐτὰ συμπεραίνοντα τοῖς ἀποδεικτικῶς συμπεραινομένοις, τὰ δ' ἐκείνοις ἀντικείμενα οὐδαμῶς· 10
ὅμως μέντοι καὶ ἐπὶ τούτων αἱ λογικαὶ ἐπιχειρήσεις ῥηθεῖεν ἂν λογικαί τε
20 καὶ ἀπορητικαί, ὡς κατὰ τὸν τρόπον τοῦ διαλεκτικοῦ ἐκ τῶν δοκούντων τῷ ἀποκρινομένῳ προβαίνουσαι. πολλοὶ δὲ λόγοι περί τινων λεγόμενοι λογικῶς τῶν ἀποδεικτικῶν εἰσιν ἔγγιστα, οἷς μηδὲν ἐκ τῶν ἀντικειμένων ἐστὶν ἰσχυρότερον, ἀλλ' οὐδὲ ἴσον κατὰ τὴν δύναμιν· ὁποῖοι λόγοι πολλοὶ καὶ καλοὶ περὶ ἀθανασίας τῆς λογικῆς ψυχῆς εἴρηνται.

25 p. 91 a 12 Τοῦ δὲ τί ἐστι πότερον ἔστι συλλογισμὸς καὶ ἀπό- 15
δειξις, ἢ οὐκ ἔστι, καθάπερ νῦν ὁ λόγος ὑπέθετο.

Τέσσαρα ταῦτα περὶ ὁρισμοῦ ζητῆσαι προέθετο, πῶς τὸ τί ἐστι δείκνυται, τίς ὁ τρόπος τῆς ἀναγωγῆς αὐτοῦ πρὸς συλλογισμὸν καὶ ἀπόδειξιν, τί ἐστιν ὁρισμὸς καὶ τίνων. ἀναμεῖναι δὲ μικρὸν τὸν περὶ τούτων
30 ἐάσας λόγον ἀναγκαίως μετέβη ἐπὶ ζήτησιν ἑτέραν, ἐν ᾗ ἐζητεῖτο, εἰ ταὐτὸ καὶ κατὰ τὸ αὐτὸ εἰδέναι ἐνδέχεται δι' ὁρισμοῦ καὶ δι' ἀποδείξεως, ἵν' ἐκ τούτου φανείη εἰ ταὐτὸν ὁρισμὸς καὶ ἀπόδειξις· τοῦ γὰρ ἑνὸς ᾗ ἓν ἡ αὐτὴ 20
ἐπιστήμη. πῶς δὲ τοῦτο ἀναγκαῖόν ἐστι ταῖς περὶ ὅρου ζητήσεσιν; ἐπειδὴ πολλὰ περὶ ἀποδείξεως εἴρηται, ἔμελλε δὲ καὶ περὶ ὅρου λέγεσθαι ἕτερα,
35 ἀναγκαῖον ἦν εἰδέναι εἰ περὶ τοῦ αὐτοῦ καὶ ἑνὸς τὰ λεγόμενα, ὡς ἦν ὑπονοῆσαι ἐκ τοῦ λόγου οὗ αὐτὸς εἴρηκε προλαβών, ὅτι ταὐτόν ἐστιν εἰδέναι

---

3 τὸ post δηλοῖ om. E 5 τούτου] τοῦδε Aa 8 ἀπορηματικῶς Aa
10 διαλεκτικῶς] οὐκ ἀποδεικτικῶς E 17 συμπεραίνων E 28 αὐτοῦ ἀναγωγῆς coll. Aa 33 περὶ τοῦ ὅρου Aa

τὸ τί ἐστιν καὶ διὰ τί ἐστιν, ἢ περὶ ἑτέρου ἐστίν, ὥσπερ εἰ περὶ ζῴου 24
ἐλέγετό τινα πρότερον, εἶτα δὲ περὶ φυτοῦ ἕτερα, ἐρρήθη δὲ ἄμφω ζῆν.
κἀντεῦθεν ὑπόνοια ἐδίδοτο μή ποτε ἓν ἐστιν ἄμφω, ὡς καὶ ἀμφοῖν ἁρμόζειν 25
τὰ ἰδίᾳ περὶ ἑκατέρου λεγόμενα, ἀναγκαῖον ἂν ἦν τὴν τούτων δηλῶσαι
5 διαφοράν, καὶ ὡς ἀλλήλων ἄμφω αἱ φύσεις διεστήκατον αὗται, ἵν' εἴη
δῆλον ὡς καὶ οἱ ἴδιοι ἑκατέρου λόγοι ἐκείνῳ μόνῳ ἁρμόζουσιν, οὗπερ εἰσὶν
ἴδιοι, εἰ καί τινας ἴσως ἔχουσι κοινοὺς καὶ ἀμφοτέροις ἁρμόζοντας. μετὰ
τὸ ἱκανῶς τοίνυν περὶ τῶν προειρημένων διαπορῆσαι περὶ τῶν προτεθέντων
ζητεῖν ἀπάρχεται, καὶ πρῶτον περὶ τοῦ εἰ ἔστι τοῦ τί ἐστι συλλογισμὸς
10 καὶ ἀπόδειξις, ὃ καὶ ἐν τῇ ἀπαριθμήσει τῶν περὶ τοῦ ὅρου μελλόντων 30
ζητεῖσθαι προτέτακται. ζητεῖ δὲ εἰ ἔστι τοῦ ὁρισμοῦ συλλογισμὸς καὶ
ἀπόδειξις τοῦτο αὐτὸ συμπεραίνουσα ὅτι ὅδε ὁ λόγος τοῦδε τοῦ πράγματος
ὁρισμός ἐστι· καὶ δείκνυσι τοῦτο ἀδύνατον. οὐχ ἥκιστα δὲ τῇ περὶ τούτου
ζητήσει λυσιτελεῖν ἔοικε τὰ περὶ τῶν προλαβόντων ῥηθέντα, καθὰ δὴ καὶ
15 αὐτὸς παρεμφαίνει ἐκ τοῦ λέγειν ὅτι καθάπερ νῦν ὁ λόγος ὑπέθετο.
οὐ σμικρὰς γὰρ ἐμφάσεις ἔχει τὰ εἰρημένα πρὸς τὸ μὴ εἶναι τὸν ὁρισμὸν
διὰ τῆς ἀποδείξεως συμπεραίνεσθαι. εἰ γὰρ ἀρχαὶ τῶν ἀποδείξεων οἱ 35
ὁρισμοί, πῶς ἂν αἱ ἀποδείξεις τὰς σφετέρας ἀρχὰς ἀποδείξαιεν; καὶ εἰ
ἀρχαὶ τῶν ἀποδείξεων οἱ ὁρισμοί, πῶς καὶ ὕστεροι αὐτῶν ἔσονται; τὸ γὰρ
20 συμπέρασμα τῆς αὐτὸ περαινούσης ἀποδείξεως ὕστερον. ἀλλ' οὐδὲ ἅμα
ἄμφω, εἴ τις καὶ τοῦτο θήσειεν, ὡς ἐπιστητόν τε καὶ ἐπιστήμη· αἱ γὰρ
ἀρχαὶ τῶν ὑπ' αὐτὰς πρότεραι· καὶ εἰ ἀρχὰς ὄντας τοὺς ὁρισμοὺς αἱ ἀπο-
δείξεις ὑποτίθενται καὶ λαμβάνουσιν, πῶς ἂν καὶ ἀποδείξαιεν τοὺς αὐτούς;
καὶ εἰ ἀρχὰς ὄντας τοὺς ὁρισμοὺς ἀποδείξαιεν, ἐπ' ἄπειρον ἔσται ἡ ἄνοδος,
25 κἀντεῦθεν αἱ μαθηματικαὶ τῶν ἐπιστημῶν οὐκ ἔσονται. ὅρα λοιπὸν ὡς καὶ 40
διὰ ταῦτα ἀναγκαῖον ἦν ἐκεῖνα προηπορῆσθαι. πρότερον οὖν δύο τίθησι
λήμματα, ἓν μὲν τῷ συλλογισμῷ, ἕτερον δὲ τῷ ὅρῳ ἑπόμενον. φησὶ γὰρ
ὅτι συλλογισμὸς τὶ κατά τινος δείκνυσι διὰ τοῦ μέσου, πάντως δὲ καὶ ἡ
ἀπόδειξις· εἶδος γὰρ ἡ ἀπόδειξις τοῦ συλλογισμοῦ. πᾶν γὰρ συμπέρασμα
30 τὶ κατά τινος ἔχει λεγόμενον, κατηγορούμενον κατὰ ὑποκειμένου, εἴτε κατα-
φατικῶς εἴτε ἀποφατικῶς. ἔστι δὲ καὶ μέσος ὁ δι' αὐτοῦ πάντα συνάγων
εἰς ἕν. τοῦτο οὖν τὸ ἴδιον τοῦ συλλογισμοῦ, ἤδη δὲ καὶ τῇ ἀποδείξει ἐξ 45
ἀνάγκης ὑπάρχον· τοῦ δὲ ὁρισμοῦ ὅτι πᾶς ὅρος ἰδιόν τέ ἐστι καὶ ἐν τῷ
τί ἐστι κατηγορεῖται τοῦ ὁριστοῦ, κοινωνῶν τῷ μὲν ἁπλῶς ἰδίῳ κατὰ τὸ
35 ἀντιστρέφειν, τοῖς δὲ κατηγορουμένοις οὐσιωδῶς, οἷον γένεσι καὶ διαφοραῖς,
ὅτε μετὰ τοῦ γένους λαμβάνονται, κατὰ τὸ ἐν τῷ τί ἐστι κατηγορεῖσθαι,
διαφέρων δὲ ἑκατέρου ᾧ κοινωνεῖ πρὸς θάτερον. τούτων τοίνυν προειλημ-
μένων ἐπάγει ὡς, εἰ δώσομεν τὸν ὁρισμὸν ἀποδείκνυσθαι, δεῖ τρεῖς ὅρους

---

1 εἰ om. E 2 ἐκρίθη Aa 3 ἐδίδοτο scripsi: ἐδέδοτε Aa: δέδεται E
5 ἄμφω—φύσεις] τὰς φύσις ἄμφω E αὗται om. E 7 ἴσας Aa 7. 8 τοίνυν
μετὰ τὸ ἱκανῶς coll. Aa 8 εἰρημένων E 18 τὰς om. Aa 19 ὕστεραι Aa
22. 23 αἱ ἀποδείξεις—τοὺς ὁρισμοὺς (24) om. Aa 27 γὰρ] οὖν E 30 κατὰ τοῦ
ὑπ. E 31 πάντα] ταῦτα Aa 37 τούτων] τοῦτον Aa

ληφθῆναι, μείζω καὶ μέσον καὶ ἐλάττονα· τοῦτο γὰρ εἴληπται τῇ ἀποδείξει ἐξ ἀνάγκης προσὸν ὡς εἴδει συλλογισμοῦ. ἔστιν οὖν ὁ μὲν ἐλάττων ὅρος τὸ ὁριστόν, ὁ δὲ μείζων ὁ ὁρισμός· οὕτω γὰρ πρόκειται δεῖξαι, ὅτι ὅδε ὁ λόγος τοῦδε τοῦ πράγματος ὁρισμός ἐστι. δεῖ τοίνυν, φησί, καὶ τὸν μέσον ὁρισμὸν μὲν τοῦ ἐλάττονος, ὁριστὸν δὲ τοῦ μείζονος εἶναι, ἵνα διὰ μέσου τούτου ὁ μείζων συναχθῇ τῷ ἐλάσσονι, ὅτι | ὁρισμός ἐστιν αὐτοῦ. καὶ γυμνάζει τὸν λόγον ἐπὶ στοιχείων, ὡς ἔθος αὐτῷ. εἰ γὰρ τὸ Α τοῦ Γ ἴδιον ὡς ὁρισμὸς αὐτοῦ, δῆλον ὅτι καὶ τοῦ Β καὶ τοῦτο τοῦ Γ, ὡς εἶναι πάντα ἀλλήλων, ἤγουν ἀντιστρέφειν πάντα πρὸς ἄλληλα, καὶ εἶναι τοῦτο ἐκείνου ὁρισμὸν καὶ ἐκεῖνο τούτου ὁριστόν· ἄλλως γὰρ οὐκ ἔστιν ἀναγκαίως ἑπόμενον τὸ συμπέρασμα, ἵν' εἴη ὁ μείζων ὁρισμὸς τοῦ ἐλάττονος, εἰ μὴ διπλῆ τῶν ὅρων ἡ λῆψις γένηται. οὐ γὰρ ἁπλῶς ὑπάρχειν ζητοῦμεν τὸν μείζονα τῷ ἐλάττονι, ἀλλὰ τὸ ὡς ὅρον ὑπάρχειν· οὐκ ἂν δὲ οὕτως ὑπάρχοι, εἰ μὴ καὶ τῷ μέσῳ οὕτως εἴη καὶ ὁ μέσος ὡσαύτως τῷ ἐλάττονι. τὸ γὰρ οὕτως ἢ οὕτως ὑπάρχειν λέγεσθαι τῷδε τόδε κατὰ τρόπον ἐστὶ λεγόμενον, καὶ οὗπερ ἂν τρόπου αἱ προτάσεις ἄμφω οὖσαι τυγχάνοιεν, τοῦ αὐτοῦ δεῖ ὑπάρχειν καὶ τὸ συμπέρασμα· ὡς μὴ ἐνδέχεσθαι τῆς μιᾶς οὔσης ἀνομοιοτρόπου τῇ ἑτέρᾳ ἄλλως ἔχειν τὸ συμπέρασμα ἀλλ' ἢ τῇ χείρονι ἕπεσθαι, ἤγουν τῇ ἁπλῶς καὶ μὴ ὡς ὅρον ἐχούσῃ τὸν κατηγορούμενον τῷ ὑποκειμένῳ ὑπάρχοντα, ὡς δέον πανταχοῦ τῇ χείρονι τῶν προτάσεων τὸ συμπέρασμα ἕπεσθαι καθ' ὃν ἂν τρόπον αὐτῇ τὸ χείρονι εἶναι πρόσεστιν, εἴτε κατὰ ποσὸν εἴτε κατὰ ποιὸν εἴτε κατὰ τρόπον. ὁ γὰρ Ἀριστοτέλης περὶ τῆς μείζονος λέγει ἀναγκαίας, ὡς αὐτῇ ἑπομένου τοῦ συμπεράσματος, κἂν ᾖ ἡ ἐλάττων ὑπάρχουσα, οὐδενὶ ἀρέσκει τῶν μετ' αὐτὸν ὡς οὐχ οὕτως ἐγχωροῦν ἐν τοῖς πράγμασι. δεῖ τοίνυν καὶ τὸ Α ὅρον εἶναι τοῦ Β καὶ τὸ Β τοῦ Γ, καὶ οὕτως ἔσται τὸ Α ὅρος τοῦ Γ. ἴδωμεν δὲ τὸ λεγόμενον κἀπὶ τῶν πραγμάτων, ἵν' εἴη καὶ ἐκ τούτων δῆλον ὅτι καὶ ἐπ' ἀμφοτέρων ἀναγκαῖον εἶναι τῶν διαστημάτων τὸ τί ἐστιν, εἰ μέλλει ὁ ὁρισμὸς ἀποδεικνυσθαι. ἔστω τὸ Α οὐσία ἔμψυχος αἰσθητική, τὸ Β ζῷον, τὸ Γ ἄνθρωπος. οὐ δὴ ὁρισμὸς τοῦ ἀνθρώπου τὸ οὐσία ἔμψυχος αἰσθητική ἐστιν, ἀλλὰ κατηγορηθήσεται μέν, οὐχ ὡς ὅρος δέ, ἐπεὶ μηδὲ ἴδιον μηδὲ ἀντιστρέφει. εἴληπται δὲ τὸν ὅρον ἴδιον εἶναι καὶ ἐν τῷ τί ἐστι. καὶ οὕτω μὲν μὴ ἐχούσης τῆς ἐλάττονος τὸ τί ἐστιν· ἔστω δὴ τὸ ἀνάπαλιν, καὶ τὸ μὲν Α οὐσία, τὸ δὲ Β οὐσία ἔμψυχος αἰσθητική, τὸ δὲ Γ ζῷον. οὐ δὴ ἔσται ἡ οὐσία ὅρος τοῦ ζῴου. πάλιν ἔστων μὲν ὁρισμοὶ ἄμφω, οὐ μὴν ἀλλήλων τε ἰδίᾳ καὶ τοῦ ἐλάττονος, οὐδὲ οὕτω τὸ προκείμενον συναχθήσεται· ἔστω γὰρ τὸ μὲν Α οὐσία ἔμψυχος αἰσθητική, τὸ δὲ Β ζῷον

---

1 μέσον corr. ex μικρὸν A² 2 ὁ μέν] καὶ ὁ Λa 6 αὐτοῦ ἐστι coll. Λa
9 εἶναι] ἦν Λa 12 γένοιτο E ζητοῦμεν ὑπάρχειν coll. E 13 ὑπάρχει E
14 ὁ μέσον a 22 ποιὸν εἴτε κατὰ ποσὸν E 24 ᾖ] εἴη Λa τῶν] τοῦ a
25 τοῦ Β ὅρον εἶναι coll. Λa 26 τὸ Λ] ὁ δ E 28 μέλλοι E
ὁ om. E 29 ὁρισμὸς Λa 30 αἰσθητικόν Λa 32 καὶ ante ἐν om. Λa
35 ἔσται] ἔστιν Λa

πεζὸν δίπουν, τὸ δὲ Γ ἄνθρωπος. τὸ οὖν οὐσία ἔμψυχος αἰσθητικὴ κατη- 25
γορηθήσεται μὲν τοῦ Γ, οὐ μὴν ἔσται ὅρος αὐτοῦ οὐδὲ ἴδιον. δῆλον ἄρα
ἐκ τούτων ὅτι δεῖ τὰ ἐν ἀμφοτέραις ταῖς προτάσεσιν κατηγορούμενα ὅρους 25
εἶναι τούτων ὧνπερ κατηγοροῦνται, εἰ δι' ἀποδείξεως δοίημεν τὸν ὅρον
5 εὑρίσκεσθαι. ἀλλ' εἰ ταῦθ' οὕτως ἔχει, πρὸ τῆς ἀποδείξεως ἔσται τὸ τί
ἐστι λαμβανόμενον ὡς μέσος ὅρος. εἰ γὰρ ὁρισμοὶ τὰ ἐν ταῖς προτάσεσιν
ἄμφω κατηγορούμενα, τὸν μὲν μείζονα ὅρον ἔστι λέγειν ὡς διὰ μέσου τινὸς
συνάγεται· περὶ δέ γε τοῦ μέσου οὐδὲν ὅλως ἔσται εἰπεῖν ἢ ὅτι αὐτόθεν ὅρος
ἐστὶ λαμβανόμενος τῷ ἐσχάτῳ, ὅπερ ἦν τὸ ζητούμενον. τοῦτο δὲ καὶ ἐπὶ
10 τῶν πραγμάτων δείκνυσι τὸ Γ μὲν ἤτοι τὸ ὁριστὸν τὸν ἄνθρωπον θέμενος, 30
τὸ δὲ Α ἤτοι τὸν περὶ αὐτοῦ ἀποδειχθῆναι ζητούμενον ὁρισμὸν τὸ ζῷον
δίπουν εἴθ' ὅ τις ἕτερον βούλοιτο· εἰ οὖν τὸ Β μέσον λαβὼν διὰ τούτου
τὸ Α ἤτοι τὸ ζῷον δίπουν ἢ ἄλλο τι κατὰ τοῦ Γ τοῦ ἀνθρώπου μέλλει
συνάξαι, ἔσται τὸ μὲν Α τὸ ζῷον δίπουν κατὰ τοῦ Β κατηγορούμενον, ὡς
15 μὴ ἐνὸν ἄλλως ἢ δι' αὐτοῦ ἐκεῖνο κατὰ τοῦ Γ τοῦ ἀνθρώπου συναγαγεῖν,
ἔσται δὲ καὶ τὸ Β λόγος τις ἕτερος μέσος ἀμφοῖν τῶν ἄκρων τιθέμενος
καὶ δι' ἑαυτοῦ ταῦτα συνάγων εἰς ἕν· ἔσται ἄρα κἀκεῖνο ἤτοι τὸ Β τί 35
ἐστιν ἄνθρωπος, καὶ ἰδοὺ ἐπὶ τοῦ μέσου, ταὐτὸν δὲ εἰπεῖν ἐπὶ τοῦ κατη-
γορουμένου ἐν τῇ ἐλάττονι προτάσει, λαμβάνεται τὸ ζητούμενον. ὁ γὰρ
20 ὁρισμὸς ἐζητεῖτο, εἴληπται δὲ οὗτος αὐτόθεν τοῦ ἀνθρώπου κατηγορούμενος·
μᾶλλον δὲ καὶ οὗτος κυρίως ὅρος, μὴ διὰ μέσου τινὸς ἀλλ' αὐτὸς δι' ἑαυτοῦ
παριστῶν τὴν οὐσίαν τοῦ πράγματος. ἐπεὶ δὲ ἀπόδειξις προηγουμένως μὲν
ἡ ἐκ πρώτων καὶ ἀμέσων συνισταμένη, λέγομεν δὲ ἀπόδειξιν κἀκείνην τὴν
ἐκ τοιούτων συνισταμένην ἃ ἐκ πρώτων καὶ ἀναποδείκτων ἀποδείκνυται, 40
25 ἐπὶ τοῦ ὁρισμοῦ εἰ μέλλει τις ποιεῖσθαι ἀπόδειξιν, πρῶτα δεῖ τοῦτον καὶ
ἄμεσα λαβεῖν, καὶ ἐπὶ τοιούτων σκοπεῖν εἰ ἐνδέχεται ὁρισμὸν ἀποδείκνυσθαι.
μεταξὺ γὰρ ὁρισμοῦ τε καὶ ὁριστοῦ οὐδὲν ἐνδέχεται εἶναι, ὥστ' ἐπεὶ τὸν
μέσον ὁρισμὸν εἶναι δεῖ λαβεῖν τοῦ ἐλάττονος, δεῖ τοῦτον ἀμέσως κατη-
γορεῖσθαι, καὶ τούτου αὖθις τὸν μείζονα. ἄλλως τε εἰ τὰ καθ' αὑτὰ συμ-
30 βεβηκότα διὰ πρώτων καὶ ἀμέσων ἀποδείκνυται, πολλῷ μᾶλλον τὸ τί ἐστι 45
παντὸς οὑτινοσοῦν, εἰ ἀποδείκνυται, διὰ τοιούτων ἀποδειχθήσεται, παντὸς
οὑτινοσοῦν ἑτέρου οἰκειότατον ὑπάρχον τῷ πράγματι. γίνεται δὲ καὶ ὃ
λέγομεν φανερώτερον, εἰ οὕτως ποιήσομεν· δῆλον γὰρ ἔσται οὕτως ὅτι ὃ
δεῖ δεῖξαι, τοῦτο λαμβάνομεν. εἰ γὰρ τὸ ζῷον λογικὸν θνητόν, εἰ τύχοι,
35 μέσον ληψόμεθα, καὶ οὐκ ἀμέσως τοῦτο τοῦ ἀνθρώπου κατηγορήσομεν,
ἀλλά τι ληψόμεθα μεταξύ, οἷον τὸ γελαστικόν, ὑπονοήσειεν ἄν τις ὅτι οὐκ
αὐτόθεν τὸ ζητούμενον εἴληπται. ἀλλ' οὐδεμία χρεία τοῦ γελαστικοῦ πρὸς 50
τὸ κατηγορηθῆναι τοῦ ἀνθρώπου τὸ αὐτοῦ τί ἐστι, οὐδὲ δεῖ ἑτέρου τινὸς εἰς

---

2. 5. 8 ἔστιν Aa 3 κατηγορούμενα om. Aa 4 δοίημεν scripsi: δοίη μὲν libri
8 γε om. Aa ὅρος αὐτόθεν (ex αὐτὸ μὲν corr.) E 11 ζητούμενον δειχθῆναι E
13 μέλει E 14 συνάξαι] συνάζειν Aa μὲν τὸ a κατηγορουμένου Aa
16 et 17 ἔστι Aa 27 εἶναι ἐνδέχεται coll. E 30 ἀποδεικνύεται E 33 ἔστι Aa
35 κατηγορήσωμεν E 38 τὸ (ante αὐτοῦ) τὲ E δεῖ post τοῦτο (p. 54,1) ponunt Aa

τοῦτο. τὸ αὐτὸ δὲ ἁμαρτάνουσι καὶ οἱ ἀντιστρέφοντας λόγους πρὸς ἀλλήλους 25
λαμβάνοντες, κἀντεῦθεν ὁρισμὸν ἀποδεικνύναι οἰόμενοι· τὸ ἐξ ἀρχῆς γὰρ
αἰτοῦνται καὶ οὗτοι λαμβάνοντες ὡς ὁμολογούμενον τὸ ζητούμενον, οἷον
ὥσπερ ἐποίει Ξενοκράτης· δεῖξαι γὰρ βουλόμενος εἶναι τὴν ψυχὴν ἀριθμὸν
5 αὐτὸν ἑαυτὸν κινοῦντα, ἔλαβε πρότερον εἶναι τὴν ψυχὴν τὸ αὐτὸ ἑαυτῷ
αἴτιον τοῦ ζῆν, | τοῦτο δ' αὖθις ἀριθμὸν αὐτὸν ἑαυτὸν κινοῦντα, καὶ οὕτω 26
συνεπέραινε τὴν ψυχὴν εἶναι ἀριθμὸν αὐτὸν ἑαυτὸν κινοῦντα. οὕτως οὖν
ποιῶν ἐξ ἀνάγκης αἰτεῖται τὸ ἐν ἀρχῇ προτεθὲν εἰς ζήτησιν. εἰ γὰρ
ἀντιστρέφει ἡ ψυχὴ πρὸς τὸ αὐτὸ αὐτῷ αἴτιον τοῦ ζῆν, ταὐτόν ἐστι τούτῳ,
10 καὶ ταὐτόν ἐστι λαβεῖν κατὰ τούτου τὸ ἀριθμὸν εἶναι αὐτὸν ἑαυτὸν κινοῦντα
καὶ κατὰ τῆς ψυχῆς. ὥστε καὶ ὅτε ἐλάμβανε τὸ ἀριθμὸν αὐτὸν αὐτὸν
κινοῦντα κατὰ τοῦ αἰτίου αὐτοῦ ἑαυτῷ τοῦ ζῆν, κατὰ τῆς ψυχῆς ἐλάμβανεν. 5
ἦν δὲ τὸ ἐν ἀρχῇ, εἰ ἡ ψυχὴ ἀριθμός ἐστιν αὐτὸς ἑαυτὸν κινῶν· ὥστε
δῆλον ὅτι τὸ ἐν ἀρχῇ εἴληφεν. εἰ δὲ μὴ ἀντιστρέφει τὸ ἀριθμὸς αὐτὸς
15 ἑαυτὸν κινῶν πρὸς τὸ αὐτὸ αὐτῷ αἴτιον τοῦ ζῆν, ἀλλ' ἕπεται ἁπλῶς, καὶ
τοῦτο αὖθις τῇ ψυχῇ, οὐκ ἔσται τὸ ἀριθμὸς αὐτὸς αὐτὸν κινῶν τὸ τί ἦν
εἶναι τῇ ψυχῇ, ἀλλ' ἀληθές ἐστιν εἰπεῖν μόνον ὅτι ἐστὶν ἡ ψυχὴ ἀριθμὸς
αὐτὸς αὐτὸν κινῶν, οὐ μὴν δὲ καὶ ὁρισμός ἐστιν αὐτῆς τοῦτο. οὐ προέκειτο
δὲ δεῖξαι τὸ μόνον ὑπάρχειν ἀλλὰ τὸ οὕτως ὑπάρχειν, ἤτοι ὡς ὁρισμόν. 10
20 καὶ οὐ μόνον ἐπὶ τούτων τῶν εἰρημένων, ἀλλὰ καὶ ἐπὶ πάντων ἁπλῶς
οὕτως ἕξει. εἰ γὰρ τὸ Α ὁρισμὸς τοῦ Β καὶ τοῦτο τοῦ Γ, ἔσται τὸ Α
ὁρισμὸς τοῦ Γ, καὶ ἤτηται οὕτω τὸ ἐν ἀρχῇ. ταὐτὸν γὰρ τὸ Β τῷ Γ,
εἰ ἀντιστρέφει ταῦτα πρὸς ἄλληλα, καὶ ταὐτόν ἐστι λαβεῖν τὸ Α κατὰ τοῦ
Β καὶ κατὰ τοῦ Γ· ὥστε ὅτε ἐλαμβάνομεν τὸ Α κατὰ τοῦ Β, καὶ κατὰ
25 τοῦ Γ ἐλαμβάνομεν, ἀντιστρεφόντων ἀλλήλοις τῶν ΒΓ, καὶ οὕτως ἠτούμεθα
τὸ ἐν ἀρχῇ· οὐ γὰρ ὡς τὰ τυχόντα τῶν ἀντιστρεφόντων τὰ ΒΓ λαμβάνομεν, 15
ἀλλ' ὡς ὁρισμόν τε καὶ ὁριστόν. οὐ μόνον δέ, ἀλλὰ καὶ ὅτε τὸ Β ὁρισμὸν
ὄντα κατὰ τοῦ Γ λαμβάνομεν, τὸ ἐν ἀρχῇ αἰτούμεθα, εἰ ὡς ὁρισμὸν τοῦ
Γ τὸ Β κατηγοροῦμεν· ζητουμένου γὰρ ὁρισμοῦ τοῦ Γ εἴληπται τὸ Β
30 ὁρισμὸς τοῦ Γ. εἰ δὲ μὴ ὡς ὁρισμοὶ ἀλλ' ὡς ἀκολουθοῦντα ἁπλῶς λαμ-
βάνονται τὸ μὲν Α τῷ Β, τὸ δὲ Β τῷ Γ, οὐκ ἔσται ὁρισμὸς τὸ Α τοῦ Γ,
ἀλλ' ἔσται μόνον αὐτῷ· καὶ τοῦτο οὐ μόνον ἐπὶ τῶν ἐν ὑποκειμένῳ καὶ
ἐν ἑτέρῳ τὸ εἶναι ἐχόντων εὑρήσομεν, ἀλλὰ καὶ ἐπὶ τῶν οὐσιῶν καὶ 20
οὐσιωδῶς λεγομένων κατά τινων, ὧν ἕκαστον ὅπερ τί εἶναι λέγεται καὶ
35 αὐτὸ καὶ τὸ αὐτῷ ὑποκείμενον ὅπερ ἐκεῖνο τί ἐστιν. οὐ γὰρ πᾶν τὸ

---

2 λαμβάνουσιν E 4 Ξενοκράτης] ὃ ἐξ κράτης E εἶναι om. E 5. 6 τὸ αὐτῷ αὐτὸ αἴτιον E 6 ἑαυτὸν om. E 6. 7 καὶ οὕτω — κινοῦντα om. Aa
8 τὸ ἐξ ἀρχῆς E 10 εἶναι om. E 11 τῆς om. E ὅταν Aa
12 ζῆν ex νῦν corr. A 13 αὐτὸς αὐτὸν Aa 14. 15 αὐτὸν ἑαυτὸν a
16 οὐκ ἔστι Aa τὸ post ἔσται] ὅτι Aa 17 ἐστὶν om. A 19 ante οὕτως add. καὶ Aa 20 τῶν om. E 21 τοῦτο τὸ Γ E ἔσται] ἔστι Aa
22 τῷ Β τὸ Γ Aa 23 πρὸς ἄλληλα ταῦτα coll. Aa 24 ὅταν Aa
25 ante ἀντιστρεφόντων add. τῶν E 26 τὸ βγ Aa 31 ὁρισμόν a
31 et 32 ἔσται] ἔστιν Aa 33 ἐχόντων τὸ εἶναι coll. Aa 35 οὐ γὰρ πᾶν] εἰ γὰρ οὐ E

οὐσιωδῶς λεγόμενον κατά τινος καὶ τί ἐστιν ἐκεῖνο ἔστι· σχολῇ γ' ἂν τὸ μὴ 26
ὡς μέρος ὂν ἕν τινι καὶ χωρὶς τοῦ ἐν ᾧ ἐστι μὴ εἶναι δυνάμενον. τί δέ ἐστιν
ὅ φημι; τὸ γὰρ ζῷον οὐσία ὂν ὅπερ τί ἐστι, τοῦτ' ἔστιν οὐσία. ἡ γὰρ
οὐσία τί καὶ τὸ τί οὐσία, τῶν δ' ἄλλων οὐδέν ἐστι τί, ὅσα παρὰ τὴν
5 οὐσίαν, ἀλλ' ἢ ποιὸν ἢ ποσὸν ἤ τις ἄλλη τῶν κατηγοριῶν. ὅ τε οὖν λόγος 25
τοῦ ζῴου κατηγορεῖται καὶ τοὔνομα κατὰ τοῦ ἀνθρώπου, καὶ ὁ λόγος δὲ
τοῦ ζῴου κατὰ τοῦ λόγου τοῦ ἀνθρώπου· ἀλλ' οὔτε ὁ λόγος τοῦ ζῴου διὰ
ταῦτα ὁρισμός ἐστι τοῦ ἀνθρώπου οὔτε τὸ ζῷον, οὐδὲ ἕν ἐστιν οὔτε τὸ
ζῷον καὶ ὁ ἄνθρωπος οὔτε ὁ λόγος τοῦ ζῴου καὶ ὁ λόγος τοῦ ἀνθρώπου,
10 οὔτε ἔτι ὁ λόγος τοῦ ζῴου τῷ ἀνθρώπῳ. ὑπάρχει τε ὁ ὁρισμὸς τοῦ
ζῴου καὶ τὸ ζῷον τῷ τε λόγῳ τοῦ ἀνθρώπου καὶ τῷ ἀνθρώπῳ, ἀλλ'
οὐχ ὡς ὁρισμοί. εἰ γὰρ καὶ ἐν τῷ τί ἐστι κατηγοροῦνται, ἀλλ' οὐχὶ καὶ 30
ἰδίᾳ· ὑπέκειτο δ' ἐξ ἀρχῆς ἄμφω ἔχειν τὸν ὁρισμόν. ἃ οὖν ἐν τῷ περὶ
ὁρισμοῦ συλλογισμῷ λαμβάνει τις κατηγορούμενα, ἢ ὡς ὁρισμοὺς κατηγορού-
15 μενα ταῦτα λήψεται ἢ οὔ. εἰ μὲν οὖν οὐ λήψεται, οὐδὲ ὁρισμὸν εἶναι τὸ Α
τοῦ Γ συμπεραν εῖ· εἰ δὲ λήψεται, τὸ ἐν ἀρχῇ αἰτήσεται πρὸ τῆς ἀπο-
δείξεως εἰληφὼς τὸ ζητούμενον, λέγω δὴ τὸ εἶναι ὁρισμὸν τοῦ Γ τὸ Α·
ἀμφοτέρως δὲ ἀνάγκη μὴ ἀποδεδεῖχθαι τὸν ὁρισμόν.

p. 91ᵃ 12 Τοῦ δὲ τί ἐστι πότερον ἔστι συλλογισμὸς καὶ ἀπόδειξις.

20 Τὸ πρότερον τοῦτο τῶν προβλημάτων ὧν περὶ ὁρισμοῦ ζητῆσαι ὑπέ- 35
σχετο, εἰ ἔστιν ἀπόδειξις ὁρισμοῦ ἢ οὐκ ἔστιν. ἐπειδὴ δὲ δεικνύων ἔναγχος
ἕτερα ἀλλήλων εἶναι ὁρισμὸν καὶ ἀπόδειξιν, καὶ ἕτερα τὰ ὑπὸ τούτων
δεικνύμενα, ἐν ὑποθέσεως τάξει τὸ ἄλλο εἶναι παρὰ τὸ τί ἐστι τὸ τῇ ἀπο-
δείξει δεικνύμενον ἔλαβεν, ὅτε ἔλεγεν ὅτι ὁ ὁρισμὸς μὲν τὸ τί ἐστι δείκνυσι
25 τὸ δὲ διὰ τί ἐστιν ἡ ἀπόδειξις, διὰ τοῦτο εἰπὼν ἢ οὐκ ἔστι, καὶ ἀπο- 40
φήσας τὸ ὁρισμοῦ εἶναι ἀπόδειξιν, ἐπήνεγκε καθάπερ νῦν ὁ λόγος ὑπετί-
θετο. ὁπότε γὰρ ἔλεγε μὴ τοῦ τί ἐστιν εἶναι ἀλλὰ τοῦ διὰ τί ἐστι τὴν
ἀπόδειξιν, μὴ ἀποδείκνυσθαι πάντως τὸν ὁρισμὸν ὑπέθετο· εἰ γὰρ ἕτερα
γένη ζητημάτων καὶ μὴ ὑπ' ἄλληλα τεταγμένα τὸ τί ἐστι καὶ διὰ τί ἐστι,
30 τοῦ δὲ διὰ τί ἐστιν ἡ ἀπόδειξις οὖσα καὶ οὐχὶ τοῦ τί ἐστι, πῶς τὸν
ὁρισμὸν ἀποδείξει ὄντα τὸ τί ἐστιν; οὐκ ἂν δὲ εὐλόγως ταὐτὸν εἶναι τῷ
προτέρῳ τοῦτο τὸ πρόβλημα δόξειεν, ὥστε καὶ οἴεσθαί πως ἤδη δεδεῖχθαι
τὸ νῦν προκείμενον διά τινων ἐπιχειρήσεων, ἃς ἐπὶ τοῦ προλαβόντος 45
παρέλαβεν, οἷον ὁρισμοῦ μὲν τὸ τὴν οὐσίαν δεικνύναι, ἀποδείξεως δ' οὔ,

---

1 ἐκείνου E γ' ἂν] γὰρ E 2 ὧν E 4 τί post ἐστι om. a
παρὰ] περὶ Aa 6 καὶ τοὔνομα post ἀνθρώπου ponit E 8 ταῦτα] τοῦθ' Aa
9 καὶ (post ζῷον) om. E 10 ἔτι ὁ] γὰρ E post τῷ add. τε E
τε—ζῴου (11)] καὶ τῷ λόγῳ τοῦ ἀνθρώπου E 13 ἴδιαι E 14 ἢ] ἂν a
15 οὐ (post οὖν)] ἡ a 21 ἐπεὶ δὲ Aa 24 δεικνύμενος Aa 25. 26 ἀποφήσας]
φήσας Aa 26. 27 ὑπέθετο Aa 27 γὰρ scripsi: γε libri 30 ἡ om. Aa
καὶ om. Aa 31 ὄντα τοῦ τί Aa ἀλόγως E

ἀλλὰ τὸ ὑποτίθεσθαι μὲν αὐτήν, διὰ δ' αὐτῆς ἄλλο τι δεικνύειν, καὶ ὅτι 26
ἀρχὴ ἀποδείξεως ὁ ὁρισμός, ἡ δὲ ἀρχὴ ἀναπόδεικτος, καὶ τὰ τοιαῦτα.
ἐκεῖ μὲν γὰρ ἐζητεῖτο, εἰ τὸ αὐτὸ γινώσκειν δι' ὁρισμοῦ καὶ δι' ἀποδείξεως
δυνατόν· νῦν δὲ ζητεῖται, εἰ ἔστιν ἀποδεῖξαι τὸν ὁρισμὸν ὅτι ἐκείνου ἐστὶν
5 ὁρισμός, οὗ ὁρισμὸς εἶναι λέγεται, οἷον τὸ ζῷον λογικὸν θνητὸν ὅτι ὁρισμὸς
τοῦ ἀνθρώπου ἔστιν. ἕτερον δέ ἐστι τὸ ζητεῖν εἰ πρὸς τὸ αὐτὸ ἄμφω 50
φέρουσιν, καὶ εἰ θάτερον ὑπὸ θατέρου δεικνύεται.

p. 91ª 14 Ὁ μὲν γὰρ συλλογισμός τι κατά τινος δείκνυσι διὰ τοῦ μέσου.

10 Τὰ δύο ταῦτά ἐστι λήμματα, καθάπερ εἴρηται πρότερον, ἃ δὴ ἐξ
ἀνάγκης εἴληφε χρήσιμα αὐτῷ ἑπόμενα πρὸς τὸ ἀνασκευάσαι τὸν λέγοντα
λόγον τὸν ὁρισμὸν ἀποδεικνυσθαι· ὅσων δὲ δεῖ πρὸς σαφήνειαν τῆς λέξεως, 27
ταῦτα εἴρηται πρότερον. τὸ δὲ ταῦτα δὲ ἀνάγκη ἀντιστρέφειν διττῶς
ἔστιν ἐκλαβεῖν· ἢ γὰρ τούτοις συντάξαι δεῖ ἢ τοῖς ἐφεξῆς ἐπιφερομένοις.
15 εἰ μὲν οὖν τούτοις, τοῦ δευτέρου λήμματος ἔστι μέρος, ὡς ἀναγκαῖον ὂν
ἀντιστρέφειν τὰ ἐν τῷ τί ἐστι καὶ ἴδια. ὡς γὰρ εἴρηται, πολλὰ μὲν ἐν
τῷ τί ἐστι κατηγορεῖται καὶ οὐκ ἀντιστρέφει, ὡς τὰ γένη καὶ αἱ διαφοραί,
πολλὰ δὲ ἀντιστρέφει καὶ οὐκ ἐν τῷ τί ἐστι κατηγορεῖται ὡς τὰ ἁπλῶς 5
ἴδια. οἱ δὲ ὁρισμοὶ ἄμφω ἔχοντες, τό τε ἐν τῷ τί ἐστι λέγεσθαι καθ'
20 ὧν λέγονται, τό τε ἴδιον εἶναι, τῶν μὲν τῷδε τῶν δὲ τῷδε διενηνόχασι.
καὶ δῆλον μὲν ἦν ἐκ τοῦ εἰπεῖν ἴδιον εἶναι τὸν ὁρισμὸν ὅτι καὶ ἀντιστρέφει·
ὅμως δὲ προσέθετο καὶ τοῦτο ὡς ἐπισημαινόμενος· ἔσται γὰρ χρήσιμον
τοῖς ἑξῆς. καὶ εἰ οὕτως τὴν τοῦ λόγου ληψόμεθα σύνταξιν, τὸ εἰ γὰρ τὸ
Α τοῦ Γ ἴδιον ἐφεξῆς λεγόμενον οὐχ ὡς κατασκευῆς πρὸς τὸ προλαβὸν
25 ἐπιφερομένης τὸν γάρ ἕξει σύνδεσμον, ἀλλ' ὡς ἐκείνου μὲν τοῦ λόγου 10
ἀπηρτισμένου, ἀπ' ἄλλης δὲ ἀρχῆς ἑτέρου ἐπαγομένου τὸ γάρ ἀντὶ τοῦ δέ
ἢ ἀντὶ τοῦ δή, ὡς παραπληρωματικὸν ἔχοντος. εἰ δὲ μέχρι τοῦ ἐν τῷ
τί ἐστι κατηγορεῖται τὰ λήμματα ἀπαρτίζοιτο, εἴη ἂν τὸ ταῦτα δὲ
ἀνάγκη ἀντιστρέφειν τοιαύτης ἐννοίας ἐχόμενον· 'ταῦτα δὲ τὰ εἰς
30 κατασκευὴν καὶ ἀπόδειξιν τοῦ ὁρισμοῦ λαμβανόμενα ἀνάγκη τοιαῦτα εἶναι
οἷα καὶ ἀντιστρέφειν πρὸς ἄλληλα.' εἶτα ἕξει τὸ ἑξῆς κατασκευαστικῶς
ἐπαγόμενον. 15

p. 91ª 16 Εἰ γὰρ τὸ Α τοῦ Γ ἴδιον, δῆλον ὅτι καὶ τοῦ Β, καὶ τοῦτο τοῦ Γ, ὥστε πάντα ἀλλήλων.

35 Ἀντιστρέψουσι, φησί, πρὸς ἀλλήλους πάντες οἱ ὅροι οἱ ἐν τῇ ἀποδείξει
τοῦ τί ἐστι λαμβανόμενοι· εἰ γὰρ τὸ Α, ὁ μείζων ὅρος, οὕτως κατὰ τοῦ

---

1 μὲν om. E 7 τοῦ ἑτέρου Aa 12 ὅσον E 15 ἔσται μέρος E
17 κατηγορεῖται om. Aa 22 δὲ om. Aa 27 ὡς om. E περιπληρωματικόν Aa 28 ἀπαρτίζουσα E 29 post ἐχόμενον add. ὡς τὰ μὲν λήμματα οὕτως Aa 36 ὁ α E

Γ συνάγεται τοῦ ἐσχάτου ὡς ἴδιον ἐν τῷ τί ἐστι κατηγορούμενον, καὶ αἱ προτάσεις ἄμφω τοιαύτης ἕξονται κατηγορίας, καὶ τὰ ἐν αὐταῖς ἀμφοτέραις κατηγορούμενα ὡς ἴδια ἀλλήλων καὶ ἐν τῷ τί ἐστιν ἔσονται, καὶ οὕτως ἔσται πάντα ἀλλήλων ὡς πρὸς ἄλληλα ἀντιστρέφοντα.

p. 91ᵃ18 Ἀλλὰ μὴν καὶ εἰ τὸ Α ἐν τῷ τί ἐστιν ὑπάρχει παντὶ τῷ Β, καὶ καθόλου τὸ Β παντὸς τοῦ Γ ἐν τῷ τί ἐστι λέγεται, ἀνάγκη καὶ τὸ Α ἐν τῷ τί ἐστι τοῦ Γ λέγεσθαι.

Ὥσπερ ἀπευθύνας τὸν λόγον τῆς τοῦ ὁρισμοῦ ἀποδείξεως ὡς οὕτω προβαίνειν ὀφειλούσης, ἵν' ὅροι ἄμφω τὰ κατηγορούμενα εἴη, τὸ μὲν ἐν τῇ μείζονι τὸ δ' ἐν τῇ ἐλάττονι, καὶ τὰ τρία ἀντιστρέφοι πρὸς ἄλληλα, πλέκει νῦν τὴν δῆθεν ἀπόδειξιν ἐξ ὁρισμῶν δύο καὶ ἑνὸς ὁριστοῦ τὴν σύστασιν ἔχουσαν. καὶ ἔστι τὸ λεγόμενον τοιοῦτον· λοιπὸν εἰ τὸ Α ὁρισμὸς τοῦ Β καὶ τὸ Β τοῦ Γ, ἀνάγκη τὸ Α ὁρισμὸν εἶναι τοῦ Γ. εἰ γὰρ τὸ ἐν τῷ τί ἐστιν ὑπάρχειν τὸ Α παντὶ τῷ Β τὸ ὁρισμὸν εἶναι αὐτοῦ ἐστι, καὶ τὸ λέγεσθαι καθόλου τὸ Β παντὸς τοῦ Γ ἐν τῷ τί ἐστι τὸ ὡς ὁρισμὸν αὐτοῦ κατηγορεῖσθαί ἐστιν, ἀνάγκη καὶ τὸ Α τοῦ Γ ἐν τῷ τί ἐστιν λέγεσθαι ἤτοι ὡς ὁρισμὸν αὐτοῦ λέγεσθαι, ὅπερ ἐστὶ τὸ συμπέρασμα.

p. 91ᵃ21 Εἰ δὲ μὴ οὕτω τις λήψεται διπλώσας.

Εἰ μέλλει, φησίν, ἀναγκαίως τὸ τί ἐστι καὶ ὁ ὁρισμὸς κατὰ συλλογιστικὸν οὕτω σχῆμα συνάγεσθαι, ὡς μείζων διὰ μέσου συναπτόμενος τῷ ἐλάττονι, δεῖ καὶ ἄμφω τί ἐστι καὶ ὁρισμοὺς ληφθῆναι τόν τε μείζω καὶ τὸν μέσον. εἰ γάρ τις μὴ οὕτω λήψεται διπλώσας, τουτέστι διπλῇ ὁρισάμενος, ἤτοι δύο ὅρους ἐφεξῆς λαβὼν ἔν τε τῇ μείζονι καὶ τῇ ἐλάττονι προτάσει, ἄλλως οὐκ ἔσται συνάγειν ἐξ ἀνάγκης τὸ τί ἐστιν, οὐδὲ ἀποδειχθήσεται τὸ Α ὁ μείζων ὅρος κατὰ τοῦ ἐλάττονος ἐν τῷ τί ἐστι καὶ ὡς ὁρισμὸς αὐτοῦ κατηγορούμενος· οἷον εἰ τὸ μὲν Α κατηγορεῖται τοῦ Β ἐν τῷ τί ἐστιν, ἤγουν ὡς ὁρισμός, τὸ δὲ Β καθ' ὅσων ἂν λέγοιτο, μὴ ἐν τῷ τί ἐστι λέγεται, τουτέστι τὸ δὲ Β, ὅπερ ἐστὶ τὸ μέσον, λέγεται μὲν κατὰ τοῦ ἐλάττονος, ὅπερ ἐστὶ τὸ Γ, μὴ μέντοι ἐν τῷ τί ἐστιν, ἤγουν ἐν τάξει τοῦ τί ἐστι, ταὐτὸν δὲ εἰπεῖν ὡς τί ἐστι καὶ ὁρισμός. εἴρηται γὰρ καὶ πρότερον ὅτι ὥσπερ ἐν ταῖς μετὰ τρόπου προτάσεσιν ἢ τοῦ αὐτοῦ τρόπου δεῖ ἀμφοτέρας εἶναι, ἵνα καὶ τὸ συμπέρασμα ὁμοιότροπον αὐταῖς συναχθήσεται, ἢ εἰ χείρονος ἡ ἑτέρα τρόπου, τῇ τοῦ χείρονος ἕψεται ἢ

---

1 κατηγορούμενον scripsi: κατηγορουμένου libri 2 ἐν αὐτῆς E 3. 4 οὕτως ἔσονται E 4 ἀντιστρέφονται E 5 ὑπάρχει—λέγεσθαι (7)] λέγεται E 13. 14 εἰ γὰρ τὸ] τὸ γὰρ Aa 9 ἵνα οἱ ὅροι Aa 10 ἀντιστρέφοι scripsi: ἀντιστρέφει libri 16 ἀνάγκη] ὡς Aa 17 ἤτοι—λέγεσθαι om. Aa 22 λήψαιτο E διπλῶς E 24 ἔστι συνάγων Aa 28 λέγεται] λέγοιτο Aa 29 post μέντοι add. γε Aa 33 συναχθείη E

μικτὸν ἐξ ἀμφοῖν ἔσται, ὡς ἐπὶ τοῦ κατὰ τὸν δ διορισμὸν ἐνδεχομένου, 27
ἀλλὰ [τοῦ] μηδενὶ ἢ μὴ παντὶ ἐξ ἀνάγκης, τῇ δὲ κρείττονα τρόπον ἐχούσῃ
οὐδέποτε μόνῃ κατὰ τὸν τρόπον ἕπεται τὸ συμπέρασμα, ἵνα μὴ κρεῖττον 45
τοῦ αἰτίου τὸ αἰτιατὸν γένηται, τῆς προτάσεώς φημι τὸ συμπέρασμα, τὸν
5 αὐτὸν τρόπον καὶ ἐπὶ τούτων ἕξει. δύο γὰρ προτάσεων οὐσῶν, ἐξ ὧν ὁ
ὁρισμὸς μέλλει κατὰ τοῦ ὁριστοῦ ἀποδείκνυσθαι, ἢ ἄμφω ἕξουσιν ὁρισμοὺς
τὰ κατηγορούμενα ἢ τῇ μὴ ὁρισμὸν ἐχούσῃ τὸ συμπέρασμα ἕψεται, ἢ
ἀμφοτέρων μεθέξει. εἰ μὲν οὖν ἐν ἀμφοτέραις ὁριστικῶς ἔσται κατηγο-
ρούμενον τὸ κατηγορούμενον, τοῦτο ἔσται ὃ λέγομεν· εἰ δ' ἡ ἑτέρα μὴ ἕξει,
10 ταύτῃ ἕψεται ὡς χείρονι· αὕτη γὰρ χείρων τῆς ἐχούσης. εἰ δὲ μὴ ἁπλῶς 50
ὁρισμὸς ἀλλὰ πῇ τὸ ἀποδεικνύμενον ὡς ἐν ἀμφοτέραις ἑπόμενον, οὐδ'
οὕτως ὁρισμός. δεῖ ἄρα ἀμφοτέρας ἔχειν τί ἐστι τὰ κατηγορούμενα, εἰ
μέλλει ὁρισμὸς ἀποδείκνυσθαι, ὅπερ ἔδει δεῖξαι.

p. 91a 24 Τὸ δὲ τί ἐστιν ἄμφω ταῦτα ἕξει.

15 Τὸ δέ ἐνταῦθα ἢ ἀντὶ τοῦ γάρ ἢ ἀντὶ τοῦ δή. εἰ μὲν ἀντὶ τοῦ γάρ,
ἐπὶ πλέον ἔσται τοῦ λεγομένου ἐπιβεβαίωσις, | οἷον ὅτι δεῖ γὰρ ἔχειν ἄμφω 28
ἢ τοὺς ὅρους ἢ τὰ διαστήματα τὸ τί ἐστιν. εἰ δὲ ἀντὶ τοῦ δή, ὡς συμ-
πέρασμα νοήσομεν τὸ λεγόμενον· λοιπὸν ἕξει ἄμφω τὸ τί ἐστιν ἐφ' ὧν
ἐπιφέρεται· ἔσται ἄρα καὶ τὸ Β κατὰ τοῦ Γ τὸ τί ἐστι. τὸ μὲν γὰρ Α
20 ὅτι ἐστὶν ὁρισμός, οὐδὲ λόγου δεῖ πρὸς παράστασιν· τοῦτο γάρ ἐστι τὸ
ὡς ὁρισμὸς κατὰ τοῦ ἐλάττονος λέγεσθαι καὶ εἶναι ζητούμενον καὶ ἀπο-
δεικνύμενον. εἰ οὖν μὴ ὅλως ὁρισμός, πῶς ἔσται τοῦδε ὁρισμός; ἔστω 5
δὴ καὶ τὸ μέσον ὁρισμός· ἄλλως γὰρ οὐκ ἐνδέχεται ὁριστικῶς λέγεσθαι
τὸ Α κατὰ τοῦ Γ.

25 p. 91a 25 Εἰ δὴ τὸ τί ἐστι καὶ τὸ τί ἦν εἶναι ἄμφω ἔχει, ἐπὶ τοῦ
μέσου ὅρου ἔσται πρότερον τὸ τί ἦν εἶναι.

Ὅτι μὲν τοίνυν δυοῖν δεῖ ταῖς προτάσεσιν ὁρισμῶν, ἐξ ὧν ὁρισμὸς
ἀποδειχθήσεται, ὡς εἶναι ὁρισμὸν τὸν μείζω τε καὶ τὸν μέσον τῶν ὅρων,
εἴπερ ἄμφω εἰσὶν οἱ ἐν ταῖς προτάσεσι κατηγορούμενοι ἐν τῷ πρώτῳ 10
30 σχήματι, ἐν ᾧ μόνῳ λαβεῖν ἀπόδειξιν ἐνδέχεται ὁρισμοῦ, εἴπερ ἐνδέχεται,
ὡς καταφατικοῦ καὶ καθόλου ὀφείλοντος ἐξ ἀνάγκης συνάγεσθαι, δέδεικται
ἱκανῶς. ἐξετάζει δὲ νῦν εἰ τούτων ἀναγκαίως τῇ τοῦ ὁρισμοῦ ἀποδείξει
ἀπαιτουμένων, εὔοδόν ἐστιν ὁρισμοῦ ἀπόδειξιν γίνεσθαι. λέγει οὖν ὅτι εἰ
ἄμφω τὰ διαστήματα τὸ τί ἐστιν ἔχει κατὰ τὰ κατηγορούμενα, ἔσται πρὸ

---

1 ἔσται] ἐστιν Aa post ἐπὶ τοῦ add. μὴ Aa ὃ scripsi: δὲ A: om. Ea
2 τοῦ delevi μηδὲν et μὴ παντὸς Aa 9 ἔσται] ἐστιν Aa 11 ἐν om. E
13 μέλλοι Aa 18 ἐφ' ὧ Aa 20 ἐστὶν om. Aa περίστασιν a
27 post ὧν add. ὁ Aa 28 μείζονα E 29 τῷ om. Aa 33 γενέσθαι Aa

τῆς ἀποδείξεως ὁρισμὸς ἐν τῷ μέσῳ λαμβανόμενος. ὁρισμὸν γὰρ ζητοῦμεν 28
δι' ἀποδείξεως εὑρεῖν κατὰ τοῦ ἐλάττονος συναγόμενον· εἰ οὖν λάβοιμεν 15
τὸν μέσον ὁρισμὸν ὑπάρχοντα τοῦ ἐλάττονος, εἴληπται ἤδη πρὸ τῆς ἀπο-
δείξεως τὸ ζητούμενον, καὶ περιττὴ εἰσέτι ἡ ἀπόδειξις. ἐπεὶ γὰρ δέδεικται
5 ὅτι δεῖ ἄμφω ὁρισμοὺς εἶναι τὸν μείζω τε καὶ τὸν μέσον, εἰ μέλλει ὁ
ὁρισμὸς ἀποδείκνυσθαι, ὅταν ὁ μέσος ὁριστικῶς ληφθῇ κατὰ τοῦ ἐλάττονος,
ὃς καὶ τὸ ὁριστόν ἐστιν, ἰδοὺ τὸ ζητούμενον. οὐ γὰρ ὡς δῆλον ὂν ὅτι
ὅδε αὐτοῦ ὁρισμός ἐστιν, ἀποδεῖξαι ζητοῦμεν αὐτοῦ ὁρισμόν· περιττὸν γὰρ
τὸ δῆλον ζητεῖν. εἰ οὖν δῆλόν ἐστιν, οὐ ζητοῦμεν, εἰ δὲ ζητοῦμεν, οὐ 20
10 δῆλον· πῶς οὖν ὃ ζητεῖται ὡς δῆλον λαμβάνομεν; οὐκ εὐοδοῖ ἄρα τὸ
δύο λαμβάνεσθαι ὁρισμοὺς ἐν τῇ ἀποδείξει τοῦ ὁρισμοῦ. ἀλλὰ δέδεικται
ὅτι ἀδύνατον χωρὶς τοῦ οὕτως λαβεῖν ἀποδεῖξαι ὁρισμόν· οὐκ ἄρα ἐνδέχεται
ὁρισμοῦ ἀπόδειξιν γίνεσθαι. ἔστι δὲ ὑποθετικῶς οὕτω συλλογιζόμενον τὸ
προκείμενον· εἰ ὁρισμοῦ ἀπόδειξις ἔσται, δεῖ τὸν μείζονα καὶ τὸν μέσον
15 ὡς ὁρισμοὺς κατηγορεῖσθαι ὧν κατηγοροῦνται· εἰ ⟨δὲ⟩ τοῦτο, τὸ ἐν ἀρχῇ 25
αἰτεῖσθαι συμβήσεται. εἰ ὁρισμοῦ ἄρα ἀπόδειξις ἔσται, τὸ ἐν ἀρχῇ αἰτεῖ-
σθαι συμβήσεται. ἔνθα δὲ τὸ ἐν ἀρχῇ αἰτεῖσθαι, οὐκ ἔστιν ἀπόδειξις. εἰ
ὁρισμοῦ ἄρα ἀπόδειξις ἔσται, τοῦ ὁρισμοῦ οὐκ ἔσται ἀπόδειξις· ὡς ἀντι-
φάσκειν πρὸς ἑαυτὸν τὸν τοῦτο τιθέμενον. τῶν δὲ συνημμένων ἀμφοῖν τὸ
20 μὲν ἤδη δέδεικται, τὸ δὲ καὶ δέδεικται καὶ δειχθήσεται.

p. 91a 26 Ὅλως τε εἰ ἔστι δεῖξαι τὸ τί ἐστιν ἄνθρωπος.

Σαφέστερον ἔτι δεῖξαι τὸ προκείμενον βούλεται. διὸ καὶ ἐπὶ παρα-
δειγμάτων τὸν λόγον μεταχειρίζεται, καὶ ἐν τῷ τοῦ Γ τόπῳ, ὅπερ ἐστὶν ὁ
τῶν ὅρων ἔσχατος, ἤτοι τὸ ὁρισθῆναι προκείμενον, τὸν ἄνθρωπον τίθησιν, 35
25 ἐν δὲ τῷ τοῦ Α τόπῳ, ὅστις μείζων ὑπῆρχε τῶν ὅρων, ὁρισμόν τινα, οἷον
τὸ ζῷον δίπουν ἢ ἄλλο, ὅ τις βούλοιτο· ὅπερ καὶ ὀφείλει δειχθῆναι διὰ
μέσου τινὸς ὡς ὁρισμὸς κατὰ τοῦ ἀνθρώπου λεγόμενον. τούτων οὕτως
ἐχόντων εἰ συλλογιεῖται, φησί, τις ἀνάγκη τὸν μέσον τοιοῦτον ληφθῆναι, ὡς
κατὰ παντὸς αὐτοῦ κατηγορεῖσθαι τὸν μείζονα· καθόλου γὰρ καταφατικὸν τὸ
30 ζητούμενον ὂν τοιούτων ἐξ ἀνάγκης δεῖται καὶ τῶν προτάσεων. ἐπεὶ δ' ἐν
μὲν τοῖς ἄκροις πράγματα εἴληφε μετὰ στοιχείων, ἐπὶ δὲ τοῦ μέσου τὸ Β 40
μόνον ἄνευ τινὸς πράγματος, διὰ τοῦτο ἐπεσημήνατο λέγων τούτου δ'
ἔσται ἄλλος λόγος μέσος, τουτέστι τούτου δὲ τοῦ Β ἔσται ἄλλος ὁρι-
σμός, ὃς ὀφείλει μέσος εἶναι τῶν δύο ἄκρων, τοῦ ὁρισμοῦ καὶ τοῦ ὁριστοῦ,
35 οὐ τοῦ Β τιθέμενος ὁρισμὸς πάντως, ἵνα τὸ Β ὁρίζηται, ἀλλ' ἀντ' αὐτοῦ

---

1 τῷ om. Aa 2 λάβωμεν A¹: λάβομεν A² 5 μέλλοι Aa 7 καὶ om. Aa
8 ὁρισμόν] ὁρισμὸς E 10 εὐοδεῖ E 13 γενέσθαι Aa 15 ὁρισμοῦ Aa
δὲ addidi 17 δὲ] δὴ E αἰτεῖται οὐκ Aa 17. 18 εἰ ὁρισμοῦ — ἔσται
ἀπόδειξις om. E 19 τὸν om. Aa 20 ἤδη om. E 22. 23 ἐπὶ τῶν
πραγμάτων Aa 28 εἰ om. E 31 post μετὰ add. τῶν Aa 35 τιθέμενος]
ἐσόμενος Aa ἵνα — κεισόμενος (p. 60,1) om. E

ἐν τῷ μέσῳ κεισόμενος. ἵνα δὲ εἴη τὸ τούτου σαφέστερον, οὕτως εἴπωμεν· 28
οἱονεὶ ἀπονενεμημένων τοῖς ἄκροις πραγμάτων τινῶν, ὡς εἶναι τοῦ μὲν Γ τὸν
ἄνθρωπον, τοῦ δὲ Α τὸ ζῷον πεζὸν δίπουν, φησὶ δεῖν καὶ τῷ Β ἀποδο- 15
θῆναι τὸ οἰκεῖον, ὃ καὶ αὐτὸ ὅρος ἔσται, ὡς εἶναι καὶ τοῦ Β λόγον ἄλλον
5 ἐν μέσῳ κείμενον καὶ δι' ἑαυτοῦ τὰ ἄκρα συνάγοντα. εἴρηται γὰρ πολλάκις
καὶ ἀποδέδεικται ὅτι τὰ ἐν ἀμφοῖν κατηγορούμενα ταῖς προτάσεσιν ἐν τῇ ἀπο-
δείξει τοῦ ὁρισμοῦ ὡς ὁρισμοὺς δεῖ κατηγορεῖσθαι ὧν κατηγοροῦνται. κἂν
γὰρ ὁρισμοὶ ὦσιν, οὐ κατηγορῶνται δὲ ὡς ὁρισμοί, οὐκ ἐνδέχεται τὸν ὁρισμὸν
συναγαγεῖν ἐξ αὐτῶν. οἷον εἰ τὸ μὲν Α εἴη οὐσία ἔμψυχος αἰσθητική,
10 ὁρισμὸς ὂν τοῦ ζῴου, τὸ δὲ Β ζῷον πεζὸν δίπουν, τὸ δὲ Γ ἄνθρωπος· 30
κατηγορεῖται μὲν γὰρ τοῦ ζῷον πεζὸν δίπουν τὸ οὐσία ἔμψυχος αἰσθητική,
ἀλλ' οὐχ ὡς ὁρισμὸς αὐτοῦ, ὅτι μηδὲ ἴδιον αὐτοῦ. διὸ οὐδὲ ὡς ὁρισμὸς
κατὰ τοῦ ἀνθρώπου συνάγεται. ἢ οὖν οὕτως, ὡς εἴρηται, τὸ τούτου δὲ
ἔσται ἄλλος λόγος μέσος νοήσομεν, ὡς εἶναι τὸ τούτου περὶ τοῦ Β
15 λεγόμενον, ἢ τὸ τούτου πρὸς τὸ Α ἀποδώσομεν, ὡς εἶναι τὸ λεγόμενον
ὅτι 'ἔσται δὲ μέσος ὅρος καὶ λόγος λαμβανόμενος ἄλλος τοῦ Α, ἤγουν
ἄλλος παρὰ τὸ Α, ὥσ|τε καὶ τοῦτο ἔσται τί ἐστιν ἄνθρωπος.' ἐπεὶ γὰρ 29
καὶ τὸ μέσον λόγος ἐστί, καὶ ὡς λόγος ὀφείλει τοῦ ἀνθρώπου κατηγορεῖ-
σθαι, δεῖ τοῦτο καὶ ἐν τῷ τί ἐστι καθ' αὑτὸ λέγεσθαι καὶ ἀντιστρέφειν
20 πρὸς αὐτό· ὥστε ἔσται κἀκεῖνο ὁρισμὸς τοῦ ἀνθρώπου. καὶ οὕτως πρὸ
τῆς ἀποδείξεως λαμβάνεται ἐν τῇ ἐλάττονι προτάσει ὃ δεῖξαι προέκειτο.
τὸ γὰρ Β ἤτοι τὸ μέσον τί ἐστιν ἄνθρωπός ἐστι, τουτέστιν ὁρισμὸς τοῦ
ἀνθρώπου ἐστί. ζητοῦντες οὖν ὁρισμὸν ἀποδεῖξαι τοῦ ἀνθρώπου ἐλάβομεν 5
ὁρισμὸν τοῦ ἀνθρώπου, ὅπερ ἀλλότριον ἀποδείξεως. ἴσως δ' ἐπίτηδες
25 μὲν εἶπε δεῖν εἶναι ὁρισμὸν καὶ τὸ μέσον, οὐ μὴν καὶ εἴληφεν ὁρισμὸν ἐν
τῷ μέσῳ αὐτόθεν παρεμφαίνων τὴν ἀτοπίαν, ὡς ταὐτὸν ὂν λαβεῖν ὁρισμὸν
τὸν μέσον καὶ τὸ ἐν ἀρχῇ αἰτήσασθαι.

p. 91a 33 Δεῖ δ' ἐν ταῖς δυσὶ προτάσεσι καὶ τοῖς πρώτοις καὶ ἀμέσοις σκοπεῖν.

30 Τοῦτο παράγγελμα εἶναι ἔοικε τοῦ πῶς δεῖ λαμβάνειν τὰς προτάσεις
ζητοῦντας ἀποδεῖξαι τὸν ὁρισμόν. ἐπεὶ γὰρ τῷ ὁριστῷ ἐνδέχεταί τινα
ἕπεσθαι ὡς ἁπλῶς ἴδια, ὧν καὶ αὐτῶν οἱ λαμβανόμενοι ὁρισμοὶ κατηγορη-
θήσονται καὶ αὐτὰ κατ' αὐτῶν διὰ τὸ ἀντιστρέφειν πρὸς ἄλληλα, κἀν-
τεῦθεν ἐνδέχεται μεταξὺ τῶν λαμβανομένων ἴδια λαμβάνεσθαι, ὡς γίνεσθαι
35 πλείους τε τῶν δύο προτάσεις, καὶ τὰ κατηγορούμενα μὴ ἀμέσως κατηγο- 15
ρεῖσθαι, διὰ τοῦτο φησὶν ὅτι δεῖ μὴ οὕτω ποιεῖν, ἀλλὰ δύο μόνας λαμ-
βάνειν προτάσεις, ἐν αἷς οἱ ὁρισμοὶ κεῖνται, ἵν' ἅμα μὲν τὸ τῆς ἀπο-

---

1 τὸ τούτου om. E 3 δεῖ Aa 8 ὦσιν] εἶεν Aa κατηγορῶνται] κατηγοροῦνται E: κατηγοροῖντο Aa 25 εἶπε μὲν coll. E 29 σκοπεῖν] λαβεῖν A
30 εἶναι om. E τοῦ] τὸ Aa 33 αὐτὰ scripsi: αὐτὸ libri 35 πλείω Aa
37 post μὲν add. καὶ E

δείξεως φυλάττοιτο ἴδιον, τῷ ἀμέσως κατηγορεῖσθαι τὰ κατηγορούμενα ὧν 29
κατηγοροῦνται, ἅμα δὲ εἴη καὶ τὸ λεγόμενον εὐδηλότερον. τὰ γὰρ ἴδια
μεταξὺ λαμβανόμενα ἀσαφέστερον ἂν τῷ πλήθει τῶν προτάσεων τὸ λεγό-
μενον ἀπεργάζοιτο. οἷον εἰ προκέοιτο δεῖξαι τὸ ζῷον πεζὸν δίπουν κατὰ
5 τοῦ ἀνθρώπου, μέσον δὲ τούτων λαμβάνοιτο τὸ ζῷον λογικὸν θνητὸν τῆς 20
ἀποδείξεως μελλούσης ἐν τούτῳ συμπλέκεσθαι, εἰ οὐ τὸ ζῷον πεζὸν δίπουν
λαμβάνει τις κατὰ τοῦ ζῴου λογικοῦ θνητοῦ καὶ τοῦτο κατὰ τοῦ ἀνθρώπου,
καὶ οὕτως ἐπιφέρει τὸ συμπέρασμα, ἀλλὰ μεταξὺ τυχὸν τῶν δύο ὁρισμῶν
λαμβάνει τὸ γελαστικόν, καὶ μεταξὺ τοῦ ἑτέρου ὁρισμοῦ καὶ τοῦ ὁριστοῦ
10 τὸ ὀρθοπεριπατητικόν, καὶ οὕτως συνάγει τὸ συμπέρασμα, ἢ ἴσως τοὺς
μὲν ὁρισμοὺς ἀμέσως λήψεται, θήσει δέ τι μεταξὺ τοῦ μέσου καὶ τοῦ 25
ἐσχάτου. τοιαῦτα δ' ἄν τις ποιοίη πειρώμενος ἐκφυγεῖν τὸ αἰτεῖσθαι τὸ
ἐν ἀρχῇ, καὶ διὰ τοῦτο λαμβάνων μέσον τι τοῦ ὁρισμοῦ καὶ τοῦ ὁριστοῦ,
καὶ τοῦτο καθ' αὑτό τι καὶ ἴδιον, ἵν' οὕτω δοκῇ κατορθοῦν τὴν ἀπόδειξιν.
15 οὐ δεῖ δὲ οὕτως· ὁ γὰρ ταῦτα ποιῶν ἅμα τε τὸ τῆς ἀποδείξεως ἴδιον
ἀφαιρεῖται μὴ ἀμέσως λαμβάνων κατηγορούμενα τὰ κατηγορούμενα, καίτοι
μηδενὸς μέσου δεόμενα, ἅμα τε πλείονας τῶν δύο λαμβάνων προτάσεις,
ἐμποδίζοι ἂν φανῆναι τὴν ἀτοπίαν. ἵν' οὖν, φησί, φανερώτερον ἢ καὶ
σαφέστερον τὸ λεγόμενον, δυσὶ μόναις χρηστέον προτάσεσιν, ὅπερ ἂν
20 γένοιτο ἀμέσων γινομένων τῶν κατηγορημάτων. ἢ οὖν οὕτω λεκτέον, ἢ 30
ὥς φησιν ὁ Ἀλέξανδρος, ὅτι χρὴ δύο μόνας προθεμένους προτάσεις
ἀμέσους ἐπὶ τῶν πραγμάτων σκοπεῖν τὸ λεγόμενον. τότε γὰρ ἔσται
φανερώτερον ἐπὶ ὅλης ἐξεταζόμενον. εἰ δὲ καὶ ἄλλως πως περὶ τούτων
καὶ τῶν προλαβόντων ἐκεῖνός φησι, τὰ ἐκείνου τις ἐξετάζων ἀναλεγέσθω·
25 δοκεῖ γὰρ περιττὸν χωρὶς ἀνάγκης τοῖς ἀλλοτρίοις μηκύνειν.

p. 91ᵃ 35 Οἱ μὲν οὖν διὰ τοῦ ἀντιστρέφειν δεικνύντες τί ἐστι ψυχή. 35

Τῷ αὐτῷ, φησίν, ὑπόκεινται ἁμαρτήματι καὶ οἱ ἀντιστρέφοντας 40
λόγους πρὸς ἀλλήλους λαμβάνοντες καὶ διὰ τούτων δεικνύειν ὁρισμὸν κατά
τινος ὁριστοῦ οἰόμενοι· καὶ οὗτοι γὰρ ὃ ζητεῖται δειχθῆναι ἐν ταῖς προ-
30 τάσεσιν ὡς ὁμολογούμενον λαμβάνουσι. δεῖ δὲ μετασχηματίσαι τὸν λόγον
πρὸς τὸ σαφέστερον οὕτωσὶ λέγοντας. καὶ οἱ διὰ τοῦ ἀντιστρέφειν δὲ
δεικνύντες τί ἐστι τόδε ἢ τόδε τὸ ἐξ ἀρχῆς αἰτοῦνται. καὶ παράδειγμα
τοῦ λόγου ὁ Ξενοκράτης· οὗτος γὰρ τὴν ψυχὴν ἀριθμὸν κινοῦντα ἑαυ-
τὸν ἀποδεῖξαι προθέμενος ὡς ὁρισμὸν αὐτῆς τοῦτον τὸν λόγον κατηγο- 45

---

1 τῷ] τὸ E 5 τούτων] τούτου E λαμβάνεται Aa post θνητὸν add. μετὰ Aa 6 πλέκεσθαι E εἰ οὐ] μὴ E 7 λαμβάνοι E
8 ἐπιφέροι E 9 λαμβάνοι E 10 συνάγοι E 11 λήψοιτο E θείη E 12 τοιαῦτα] ταῦτα E 14 δοκεῖ a 15 δὲ] οὖν Aa
21 μόνας om. Aa τιθεμένους Aa 22 τῶν om. Aa 23 δὲ om. E
26 οὖν] δὴ Aa 28 διὰ τούτου Aa 29 οἰόμενος Aa λεχθῆναι Aa
29. 30 ὡς ὁμολογούμενον ἐν ταῖς προτάσεσι coll. Aa 31 δὲ om. Aa 32 ἢ τόδε] καὶ τῷδε Aa

ρούμενον ἔχουσαν, ἕτερον λόγον μέσον προσέλαβε τὸ αὐτὸ αὑτῷ αἴτιον τοῦ 29
ζῆν. τούτους γὰρ τοὺς δύο λόγους λαβὼν ἀντιστρέφοντας πρὸς ἀλλήλους,
καὶ τὸν ἕτερον αὖθις πρὸς τὴν ψυχὴν ἀντιστρέφοντα, οὕτως ἐδόκει ποιεῖν
τὴν ἀπόδειξιν, οἷον 'ἡ ψυχὴ αὐτὸ αὑτῷ αἴτιον τοῦ ζῆν, καὶ τὸ αὐτὸ
5 ἑαυτῷ αἴτιον τοῦ ζῆν ψυχή.' πάλιν δὲ 'εἴ τι αὐτὸ ἑαυτῷ αἴτιον τοῦ ζῆν,
ἀριθμὸς αὐτὸς ἑαυτὸν κινῶν,' καὶ 'εἴ τι ἀριθμὸς κινῶν αὐτὸς ἑαυτόν, αὐτὸ 50
ἑαυτῷ αἴτιον τοῦ ζῆν.' εἶτα συλλογισμὸν συνετίθει 'ἡ ψυχὴ αὐτὸ ἑαυτῷ
αἴτιον τοῦ ζῆν, τὸ αὐτὸ ἑαυτῷ αἴτιον τοῦ ζῆν ἀριθμὸς αὐτὸς ἑαυτὸν κινῶν.'
οὕτως οὖν ποιῶν ἅμα μὲν ἔλαβεν ὁρισμὸν τῆς ψυχῆς τὸ αὐτὸ ἑαυτῷ
10 αἴτιον τοῦ ζῆν, ὅπερ ἦν ζητούμενον, ἅμα δ' ἐπειδὴ ἀντιστρέφον καὶ ταὐ-
τὸν τὸ αὐτὸ αὑτῷ αἴτιον τοῦ ζῆν καὶ τὸ ἀριθμὸν κινοῦντα ἑαυτὸν ἔλαβεν,
ἐν τῷ λέγειν τὴν ψυχὴν αὐτὸ ἑαυτῷ αἴτιον τοῦ ζῆν τὸ ἐξ ἀρχῆς ᾐτήσατο.
τὸ ἐξ ἀρχῆς γὰρ ἦν 'εἰ ἡ ψυχὴ ἀριθμὸς | αὐτὸς ἑαυτὸν κινῶν,' τοῦτο δὲ 30
ταὐτὸν εἴληπται τῷ 'αὐτὸ αὑτῷ αἴτιον τοῦ ζῆν.' ὥστε ἐν τῷ λέγειν τὴν
15 ψυχὴν τὸ αὐτὸ ἑαυτῷ αἴτιον τοῦ ζῆν ἀριθμὸν αὐτὸν ἑαυτὸν κινοῦντα
ἔλεγεν· τοῦτο δ' ἦν τὸ ἐξ ἀρχῆς. ἐν τῷ λέγειν ἄρα τὴν ψυχὴν τὸ αὐτὸ
ἑαυτῷ αἴτιον τοῦ ζῆν τὸ ἐξ ἀρχῆς ἐλάμβανε. τὸ δὲ οὕτως ὡς τὸ
αὐτὸ ὂν τοῦτο δηλοῖ ὅτι οὕτως ὡς ὁρισμὸν ἀντιστρέφοντά τε καὶ
ἐν τῷ τί ἐστιν αὐτοῦ λεγόμενον. ὁ γὰρ οὕτως ἔχων λόγος τὸ αὐτό ἐστι 5
20 τῷ ὁριστῷ.

p. 91b1 Οὐ γὰρ εἰ ἀκολουθεῖ τὸ Α τῷ Β καὶ τοῦτο τῷ Γ.

Εἰ μὲν γὰρ ὁρισμόν, φησί, βούλεται ἀποδεῖξαι, τοιαῦτα δεῖ εἶναι τὰ
λαμβανόμενα, ὡς ἀλλήλοις ἀντιστρέφειν καὶ εἶναι ταὐτά. εἰ δ' ὡς ἁπλῶς
ἑπόμενα, οὐκ ἔσται ὁ μείζων τοῦ ἐλάττονος ὁρισμός, οὐδ' ἔσται αὐτοῦ τὸ
25 τί ἐστιν, ἀλλὰ μόνον ἔσται αὐτοῦ ἀληθῶς κατηγορούμενον. ἢ οὕτως· ἴσως
μὲν γὰρ εἴη ἄν τις ἀκολούθησις ἐν τοῖς ληφθεῖσιν, ὡς τόν τε μείζω τῷ 10
μέσῳ ἕπεσθαι καὶ τοῦτον τῷ ἐλάττονι, καὶ διὰ τοῦτο καὶ τὸν μείζω· ἀλλ'
οὐ διὰ τοῦτο ἐξ ἀνάγκης καὶ ὁρισμὸς ἔσται τοῦ ἐλάττονος, ἀλλὰ κατηγορη-
θήσεται μόνον αὐτοῦ ἀληθῶς. ἢ καὶ ἑτέρως· ὥσπερ τινὸς εἰπόντος 'εἰ
30 δὲ οἱ ληφθέντες λόγοι πρός τε ἀλλήλους καὶ τὸν ὁριστὸν οὕτως ἔχουσιν,
ὥστε κἀκείνων ἕπεσθαι θατέρῳ τὸν ἕτερον, τὸν μείζονα τῷ μέσῳ καὶ τὸν 15
μέσον τῷ ὁριστῷ, τί πρὸς τοῦτο ἐρεῖς'; φησὶν αὐτὸς πρὸς τὸν λέγοντα
ὡς οὐκ ἀρκεῖ τὸ ἕπεσθαι μόνον πρὸς τὸ εἶναι καὶ ὁρισμόν, ἀλλ'
ἔστι μόνον ἀληθὲς εἰπεῖν ὅτι ἔστι τόδε κατὰ τοῦδε, οὐ μὴν καὶ ὡς
35 ὁρισμός.

---

1 παρέλαβε Aa 3 ἐδόκει] ἔδει Aa 5 τοῦ ζῆν ψυχὴν E 7 post εἶτα add. τὸν Aa 9 τῆς om. Aa 10 ἀντιστρέφουσι Aa 13 τούτῳ δὲ Aa 14 τῷ] τὸ τὸ Aa ἐν τῷ λέγειν] λέγων Aa 18 ὅτι om. E τε] γε E 23 ἀντιστρέφοντα E 24 et 25 αὐτοῦ] αὐτῷ utrobique Aa 29 ἀληθῶς αὐτοῦ coll. Aa 31 ὥστε] εἴτε Aa τὸν ἕτερον] θάτερον Aa 34 ὅτι ἔσται Aa 35 ὁρισμόν E

p. 91b3 Οὐδ' εἰ ἔστι τὸ Α ὅπερ τι καὶ κατὰ τοῦ Β κατηγορεῖται.

Κατασκευάζει τὸ εἰρημένον ἐκ τοῦ μᾶλλον ἐπιχειρῶν καὶ ἐπὶ τῶν οὐσιῶν τὸν λόγον ὡς εὐδηλότερον προχειριζόμενος. τῶν γὰρ ἑπομένων ταῖς ὁρισταῖς οὐσίαις τὰ μὲν ἁπλῶς ἕπεται, τὰ δ' ὡς συμπληρωτικὰ τῆς τῶν ὁριστῶν οὐσιῶν ὑπάρξεως, οἷάπερ εἰσὶ τὰ γένη. λέγει τοίνυν ὅτι κἂν οὐσίαν τινὰ λάβῃς τὸν μείζονα ὅρον καὶ κατὰ τοῦ μέσου κατηγορήσῃς παντός, οὐδ' οὕτως ἐξ ἀνάγκης ἔσται ὁρισμὸς ὁ μείζων τοῦ ἐλάττονος. οὐδὲ γὰρ τὰ γένη αὐτὰ ὡς ὁρισμοὶ κατηγοροῦνται ὧν κατηγοροῦνται, οὐδὲ αὐτοὶ οἱ ὁρισμοὶ τῶν γενῶν κατηγορούμενοι τῶν εἰδῶν καὶ τῶν ὁρισμῶν αὐτῶν ὡς ὁρισμοὶ αὐτῶν κατηγοροῦνται· ἀληθεύουσι μὲν γὰρ λεγόμενοι κατ' αὐτῶν, οὐ μέντοι γε πρὸς αὐτὰ ἀντιστρέφουσιν οὐδὲ τὰ αὐτὰ ἐκείνοις εἰσίν. οἷον τὸ ζῷον ἔστι μὲν ὅπερ τι, τουτέστιν οὐσία, καὶ οὐσιωδῶς οὖ ἂν κατὰ φύσιν κατηγορῆται κατηγορούμενον. καὶ τὸ ζῴῳ εἶναι, ἤτοι ὁ λόγος τοῦ ζῴου ὁ τοῦ τί ἦν εἶναι κατηγορεῖται κατὰ τοῦ ἀνθρώπῳ εἶναι, ἤτοι κατὰ τοῦ ὁρισμοῦ τοῦ ἀνθρώπου (πᾶν γὰρ ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν οὐσία ἔμψυχος αἰσθητική ἐστιν), ὥσπερ καὶ τὸ ζῷον παντὸς ἀνθρώπου κατηγορεῖται· πᾶς γὰρ ἄνθρωπος ζῷον. ἀλλ' οὐχ οὕτως κατηγορεῖται ὁ λόγος ὁ τοῦ τί ἦν εἶναι τοῦ ζῴου τοῦ ὁρισμοῦ τοῦ ἀνθρώπου ἢ τοῦ ἀνθρώπου, ὥστε ἓν εἶναι· οὐδὲ γὰρ ἀντιστρέφει ὁ λόγος τοῦ ζῴου οὔτε πρὸς τὸν ἄνθρωπον οὔτε πρὸς τὸν ὁρισμὸν τοῦ ἀνθρώπου. εἰ οὖν αἱ οὐσίαι καὶ τὰ οὐσιωδῶς λεγόμενα κατά τινων οὐ διὰ τοῦτο ἐξ ἀνάγκης καὶ ταὐτὰ ἐκείνοις ἐστὶ καὶ ὅροι αὐτῶν, διότι αὐτοῖς ἕπεται καὶ αὐτῶν ἀληθῶς κατηγορεῖται, σχολῇ γ' ἂν ἕτερόν τι. ἢ οὖν διὰ τοῦτο εἴληφε τὰ οὐσιώδη, ὡς ἐκ τοῦ μᾶλλον ἐπιχειρῶν, ἢ ἐπὶ τῶν οὐσιῶν ἐποιήσατο τὸν λόγον ὡς περὶ τῶν ὁρισμῶν διδάσκων ὡς οὐκ ἀποδείξει ὑπόκεινται. δόξειε γὰρ ἂν ἴσως περιττὸν συμβεβηκότα λαβεῖν εἰς παράδειγμα περὶ τῶν ὁρισμῶν τὸν λόγον ποιούμενον. τοίνυν ἵνα τὸν ὁρισμόν τις συλλογίσαιτο, δεῖ αὐτὸν λαβεῖν πρὸς ἀλλήλους ἀντιστρέφοντας ὅρους· πάλιν δὲ εἰ οὕτως λάβῃ, πρὸ τῆς ἀποδείξεως τὸ ζητούμενον λήψεται. ἐπεὶ οὖν ἑκατέρωθεν ἀτοπία τις ἕπεται, οὐκ ἔστι τὸν ὁρισμὸν ἀποδείκνυσθαι· ταῦτα γὰρ δηλοῖ τὰ ἑξῆς λεγόμενα. πρὸς πᾶσιν τούτοις φησὶν ὁ Ἀλέξανδρος ὅτι ἐπειδὴ ἀντιστρέφουσιν, οὐδὲν ἂν ἧττον διὰ τοῦ ἑτέρου τῶν ὁρισμῶν ὁ ἕτερος δεικνύοιτο, καὶ οὕτως ἂν εἶεν δι' ἀλλήλων δεικνύμενοι· τοῦτο δ' ἀλλότριον ἀποδείξεως. ἀλλὰ καὶ ἄμφω οἱ ὁρισμοὶ ὁμοίως καὶ αἰτοῦνται καὶ προλαμβάνονται· οὐδὲν γὰρ μᾶλλον ὁ ἕτερος τοῦ ἑτέρου. ἐροῦμεν δὲ καὶ οὕτως· ὁ μὲν ὁρισμὸς τὴν οὐσίαν παρίστησιν, ἡ δὲ ἀπόδειξις τὰ

---

3 εὐδηλοτέρων Aa 7 ὁ μείζων ὁρισμὸς ἔσται τοῦ ἐλάττονος coll. E
10 alt. αὐτῶν om. E 16 ἐστιν post δεκτικὸν ponit E 18 ὁ post λόγος om. E 19 ἢ τὴν ἀνθρώπου E ἓν] ἑνὸς Aa 20 τοῦ ἀνθρώπου] αὐτοῦ E 22. 23 διότι — κατηγορεῖται ante οὐ διὰ τοῦτο (21) ponunt Aa
23 οὖν om. A¹a 27 ποιούμενος E 29 λάβοι E 30 αὐτοπία E
31 ταῦτα] ταὐτὸν Aa 32 ἐπεὶ Aa 33 ἀποδεικνύοιτο Aa

ἑπόμενα, ἤτοι τὰ καθ' αὑτὸ συμβεβηκότα συνίστησιν. προτέρα δὲ φύσει ἡ 30
οὐσία τῶν ἑπομένων αὐτῇ, καὶ ὁ ὁρισμὸς ἄρα τῆς ἀποδείξεως. καὶ αὖθις
φύσει πρότερον τὸ εἶναι ἁπλῶς τοῦ πῶς εἶναι· καὶ συμβέβηκε τοῦτο ἐκείνῳ. 50
τὸ εἶναι δὲ ὁ ὁρισμὸς ἀποδίδωσι, τὸ δὲ πῶς εἶναι ἐκ τῆς ἀποδείξεως ἐπι-
5 στάμεθα. ὡς δὲ ταῦτα ἔχει πρὸς ἄλληλα, οὕτως καὶ ὁρισμὸς καὶ ἀπόδειξις.
ἀποδοίη δ' ἄν τις καὶ θεολογικῶς τὴν αἰτίαν τοῦ μὴ τὸν ὁρισμὸν διὰ συλ-
λογισμοῦ ἀποδείκνυσθαι. εἰ γὰρ ὁ νοῦς τὰ εἴδη, εἶδος δέ τι ὁ ὁρισμός,
εἴη ἂν ὁ ὁρισμὸς ἀνάλογον τῷ νῷ. ἐπεὶ δὲ καὶ ἡ οὐσία τῆς ψυχῆς ἐν
τῷ διανοεῖσθαί ἐστι, τὸ δὲ διανοεῖσθαι τὸ συλλογίζεσθαί ἐστιν, εἴη | ἂν ὁ 31
10 συλλογισμὸς ἀνάλογον τῇ ψυχῇ. ὥστ' ἐπεὶ ὁ νοῦς πρότερον τῆς ψυχῆς,
καὶ ὁ ὁρισμὸς συλλογισμοῦ πρότερος. ὡς γὰρ ὁ νοῦς πρὸς ὁρισμόν, καὶ
ἡ ψυχὴ πρὸς συλλογισμόν, καὶ ἐναλλὰξ ὡς ὁ νοῦς πρὸς ψυχήν, οὕτως ὁ
ὁρισμὸς πρὸς συλλογισμόν. πρότερον δὲ ὁ νοῦς τῆς ψυχῆς καὶ αἴτιος·
πρότερος ἄρα καὶ ὁ ὁρισμὸς τοῦ συλλογισμοῦ καὶ αἴτιος. ὥστε καὶ ἀρχὴ
15 ὅρος συλλογισμοῦ, οὐκ ἀνάπαλιν, καὶ ἐκ τῆς ἀρχῆς ὁ συλλογισμός, οὐκ 5
ἐκ τοῦ συλλογισμοῦ ἡ ἀρχή.

p. 91ᵇ12 Ἀλλὰ μὴν οὐδ' ἡ διὰ τῶν διαιρέσεων ὁδὸς συλλογίζεται καθάπερ.

Ἐπειδὴ τέσσαρες τῆς διδασκαλίας οἱ τρόποι καὶ τῆς μαθήσεως, διαι- 10
20 ρετικός τε καὶ ἀναλυτικὸς ὁριστικός τε καὶ ἀποδεικτικός, ἔδειξε δὲ τῆς ἀπο-
δεικτικῆς τὴν ὁριστικὴν οὐ μόνον ἑτέραν, ἀλλὰ καὶ προτέραν καὶ ἀρχικήν,
οὐ μὴν ἐξ αὐτῆς ἀπογεννωμένην, οὐδὲ τὸν ὁρισμὸν ἀποδείξει τὸ συνόλον
ὑποκείμενον, ἐπὶ τὴν διαίρεσιν μεταβέβηκε, μήποτε ἄρα ζητῶν διὰ ταύτης
ἕνι τὸν ὁρισμὸν συλλογίζεσθαι, καθώς τισιν ἔδοξε. καὶ δείκνυσιν οὐ μόνον
25 μὴ συλλογιζομένην τὸν ὁρισμὸν τὴν διαίρεσιν, ἀλλ' οὐδὲ ἁπλῶς συλλογιζο-
μένην· περὶ οὗ εἴρηκε μὲν καὶ ἐν τῷ Περὶ εὐπορίας προτάσεων, ἐρεῖ δὲ 15
κἀνταῦθα ἐφ' ὅσον ἐστὶ πρὸς τὸ προκείμενον ἱκανόν. ἢ ἄλλως, ὃ δὴ καὶ
μᾶλλον· ἐπειδὴ προέθετο δεῖξαι πῶς ἔχει πρὸς τὸν ὁρισμὸν ἡ ἀπόδειξις,
καὶ ἔδειξε τοῦτον μήτε ἀποδείξει μήτε ὅλως συλλογισμῷ ὑποκείμενον, ἀλλ'
30 ἀρχηγικόν τινα ὄντα τῆς ἀποδείξεως, εἰσὶ δὲ καὶ ἕτεροι παρὰ τὴν ἀπό-
δειξιν τρόποι, δι' ὧν δοκεῖ τι περαίνεσθαι, οἷον ἡ διαίρεσις, ἡ ἐπαγωγή,
οἱ ἐξ ὑποθέσεως λόγοι καὶ εἴ τις ἕτερος, μάλιστα δὲ οἱ διαιρέσει χρώμενοι 20
πρὸς ὁρισμῶν ἀπογέννησιν δοκοῦσι περὶ ἑκάστου τῶν μερῶν αὐτοῦ συλλο-
γίζεσθαι, καὶ οὕτω πάντα συντιθέντες ὁμοῦ τὸν ὁρισμὸν ἀποτελεῖν, δείκνυσιν
35 ὅτι οὐδὲ διὰ τούτων ἀποδείξει ἢ ὅλως συλλογισμῷ ὁ ὁρισμὸς ὑπόκειται·
οὔτε γὰρ ἡ διαίρεσις οὔτε τις τῶν νῦν εἰρημένων τρόπων συλλογίζεσθαι

---

1 ἀνίστησιν E 3 τοῦ πῶς ἦν Aa 4 εἶναι δὴ Aa 6 θεωλόγως (sic) Aa
6. 7 δι' ἀποδείξεως δείκνυσθαι E 8 ἡ om. E 11 ὡς γὰρ] αἱ γὰρ E
12 ἀναλλὰξ a 15 ante prius οὐκ add. καὶ E 19. 20 διαιρετικὸς ὁριστικὸς, ἀπο-
δεικτικὸς ἀναλυτικὸς in mg A² 23 post μήποτε add. δὲ E 24. 25 μόνον τὸν ὁρισμὸν
οὐ συλλογιζόμενον E 25. 26 ἁπλῶς συλλογιζόμενον E 31 τι om. E 36 τρόπων]
ἄρτων E

πέφυκεν. ὅτι δ' ἄλλη παρὰ τὴν ἀποδεικτικήν τε καὶ συλλογιστικὴν ἡ διαιρετική ἐστι, καὶ ὅτι ἥδε οὐ συλλογίζεσθαι πέφυκε, δείκνυσι τὸν ὁρισμὸν τοῦ συλλογισμοῦ μεταχειριζόμενος. ὁ γὰρ λόγος τοῦ συλλογισμοῦ ἐστι τὸ ἄλλων κειμένων ἕτερόν τι αὐτοῖς ἐξ ἀνάγκης ἕπεσθαι, οὗ μὴ ὄντος ἐν τῇ διαιρέσει τὸ ἑτέραν τε εἶναι παρὰ τὸν συλλογισμὸν καὶ τὸ μὴ συλλογίζεσθαι αὐτὴν ἀποδείκνυται. ἐξομοιοῖ δὲ τὴν διαίρεσιν τῷ ἐπάγοντι, ὅσον κατὰ τὸ μὴ ἀποδεικνύναι. καὶ γὰρ ὁ ἐπάγων οὐδεμιᾷ ἀνάγκῃ χρώμενος τὸ καθόλου συνίστησιν, ἀλλὰ τοῦ προσδιαλεγομένου διδόντος συμπεραίνειν δοκεῖ. οὐ γὰρ εἰ τόδε καὶ τόδε τῶν καθ' ἕκαστα οὕτως ἔχει, ἀνάγκη καὶ ἁπλῶς οὕτως ἔχειν τὸ ὑποκείμενον, ὥστε ἔξεστιν ἀντειπεῖν πρὸς τὸ καθόλου τὸν προσδιαλεγόμενον. τὸ δ' αὐτὸ θεωρεῖται καὶ περὶ τὴν διαίρεσιν. ὁπόταν γὰρ τὰ ἐξ ὧν ὁ τοῦ ἀνθρώπου λόγος, εἰ τύχοι, συνίσταται διαιρῶν τις ἐκλέγοιτο, ἔροιτ' ἂν 'ἆρα ὁ ἄνθρωπος ζῷον ἢ ἄψυχον'; εἶτα τὸ ζῷον λαμβάνει, οὐ συλλογίζεται. τοῦτο δὲ λαβὼν πάλιν διαιρεῖ 'πᾶν δὲ ζῷον ἢ πεζὸν ἢ πτηνὸν ἢ νηκτόν'· εἶτα λαμβάνει τὸ πεζόν. αὖθις δὲ διαιρεῖ τὸ ληφθὲν εἰς ἄπουν καὶ δίπουν καὶ πολύπουν, καὶ συντίθησι τὸ ἅπαν εἶναι λέγων τὸν ἄνθρωπον ζῷον πεζὸν δίπουν. ἀλλ' οὔτε ἕκαστον τῶν μερῶν οὔτε τὸ ἅπαν ἀκολουθεῖ ἐξ ἀνάγκης, ἀλλὰ κἀκεῖνα καὶ τοῦτο λαμβάνεται. ἀλλ' οὐχ οὕτως ἔχει ἐπὶ τοῦ συλλογισμοῦ τὸ συμπέρασμα, ἵν' ἢ ἐρωτᾶται ἢ διδῶται, ἀλλ' ἐξ ἀνάγκης ἕπεται οὐσῶν τῶν προτάσεων, ὡς μηδὲ δεῖσθαι τῆς τοῦ ἀποκρινομένου ὁμολογίας. εἰ δὲ καὶ τινὲς μὲν τῶν ὁρισμῶν ἐκ πλειόνων, τινὲς δὲ ἐξ ἐλαττόνων σύγκεινται, οὐδεμία ὅσον εἰς τοῦτο διαφορά· κἄν τε γὰρ πλείω κἄν τε ἐλάττω ᾖ τὰ εἰς τὴν σύνθεσιν τοῦ ὁρισμοῦ λαμβανόμενα, τὸ αὐτὸ γίνεται. τοσοῦτον δὲ ἀπέχει τοῦ συλλογίζεσθαι ἡ διαίρεσις, ὥστε τοὺς μετιόντας αὐτὴν ἀσυλλογίστως λαμβάνειν καὶ ἃ συλλογισθῆναι ἐνδέχεται· οἷον τὸ τὸν ἄνθρωπον εἶναι ζῷον ἐνδέχεται δειχθῆναι διὰ συλλογισμοῦ, μέσου ληφθέντος τοῦ αἰσθητικοῦ· τοῖς δὲ λαβοῦσιν ἐκ διαιρέσεως ἀσυλλογίστως εἴληπται. καὶ ἐπὶ ἄλλων τις εὑρήσει τοῦτο πολλῶν, ἅπερ ἡ διαίρεσις μὲν λαμβάνει, πέφυκε δὲ μέσου λαμβανομένου τινὸς διὰ συλλογισμοῦ δείκνυσθαι. ἡ γὰρ διαίρεσις πᾶσα δι' ἐρωτήσεώς τε καὶ συγχωρήσεως πρόεισι, μηδαμοῦ τὸ ἀναγκαῖον ἐπάγουσα. ἔτι δὲ οὐκ εἰ ἰδίᾳ κατηγορεῖται, δῆλον ἤδη ὅτι καὶ ὁμοῦ· οὐ γὰρ εἰ σκυτεὺς καὶ ἀγαθός, καὶ σκυτεὺς ἀγαθός. ἔπειτα οὐ πᾶν κατηγορήματος σύνθημα κατά τινος ἀληθῶς λεγόμενον ὡς ὁρισμὸς κατ' αὐτοῦ λέγεται, ἀλλ' ἐνδέχεται καὶ ἄλλως κατηγορεῖσθαι· ἀγαθὸς γὰρ καὶ φιλόσοφος ὁ Σωκράτης καὶ ἀγαθὸς ὁ Σωκράτης φιλόσοφος, ἀλλ' οὐχ ὁρισμὸς Σωκράτους τὸ ἀγαθὸς φιλόσοφος· καὶ τὸ ἰσόπλευρον τρίγωνον τρίγωνον καὶ ἰσόπλευρον, ἅμα πάλιν ἰσόπλευρον τρίγωνον, οὐχ ὁρισμὸς δὲ τούτου τὸ κατηγόρημα. ἢ οὖν οὕτως, ἢ ὅτι κἂν οὐσιώδη

---

5 εἶναι om. E συλλογίζεσθαι E 13 ὁ om. E 15 πτηνὸν ἢ πεζὸν coll. E 18 ἐξ ἀνάγκης ante τὸ ἅπαν ponit E 25 ὥστε] ὡς Aa 27 μέσος Aa 28 τοῦτο τὶς εὑρήσει coll. Aa 29 ἅπερ] εἴπερ E 32 ὅτι ἤδη coll. Aa 37 τρίγωνον καὶ — ἰσόπλευρον τρίγωνον om. Aa 38 οὐσιώδει Aa

συντεθῇ, ἐνδέχεται μηδὲ τότε ἴδιον εἶναι μηδὲ ἀντιστρέφειν τὸ ἅπαν σύν- 31
θημα. οὐ γὰρ εἰ ζῷον λογικὸν ὁ ἄνθρωπος, ἤδη καὶ ὅρος ἀνθρώπου
τοῦτό ἐστιν. ὥστε καὶ τὰ ἐκ τῆς διαιρέσεως καθ' ἓν συναγόμενα, εἶτα
ὁμοῦ συντιθέμενα οὔπω δῆλον εἰ ὁρισμός ἐστι, κἂν ἀληθῶς λέγηται καθ'
5 οὗ λέγεται. πρὸς δὲ τούτοις κἂν οὐσιωδῶς κατηγορούμενα ὁ διαιρῶν
ἐκλέξαιτο, ἐξ ὧν συστῆσαι τὸν ὁρισμὸν βούλεται, εἰκὸς πλάνην τι|νὰ ὑπο- 32
στῆναι αὐτὸν ἐν πολλῷ πλάτει καὶ βάθει διαφορῶν τὴν ἑαυτοῦ εἰσενεγκόντα
διάνοιαν. πλάνης δὲ τρόποι πολλοί, οἷον ὑπέρβασις, ἀφαίρεσις, πρόσθεσις.
ὑπέρβασις μὲν οὖν ἐστιν, ὅταν τις κατὰ βάθος ἐλλείπῃ τι ἀπὸ τοῦ γένους
10 κατιών, οἷον εἰ τὸν ἄνθρωπον ὁρίσασθαι πρόκειται καὶ λάβῃ μὲν ζῷον
εἶναι αὐτόν, ζητεῖ δὲ τῷ γένει προσθεῖναι τὰς διαφορὰς καὶ ταύτας εὑρεῖν
πειρᾶται τῇ διαιρέσει, εἶτα τέμοι τὸ ζῷον εἰς ἄπουν καὶ δίπουν καὶ πολύ- 5
πουν ὑπερβὰς τὸ πεζόν. ἔστι δὲ τοῦτο κακία ὁρισμοῦ, ὅτι μὴ ὁ σκοπὸς
φυλάττεται τοῦ ὁρίζεσθαι· σκοπὸς δὲ ὁρισμοῦ τὸ μηδὲν παραλιπεῖν τῶν
15 συμπληρούντων τὴν οὐσίαν τοῦ ὁριστοῦ, ἀλλὰ πάντα ἐπελθεῖν· ἄλλως γὰρ
οὐκ ἐνδέχεται δηλωτικὸν εἶναι λόγον τὸν ὁρισμὸν τῆς φύσεως τοῦ ὑποκει-
μένου πράγματος, εἰ τὰ μὲν λέγοι τὰ δὲ παραλείποι τῶν ἐν τῷ τί ἐστιν.
οὐ γὰρ ἀρκεῖ τὸ ἀντιστρέφειν· ἢ γὰρ ἂν λόγος ἦν τὸ τί ἦν εἶναι δηλῶν ἡ
ἄτομος μετὰ τοῦ γένους διαφορά, οἷον τὸ αἰσθητικὸν μετὰ τῆς οὐσίας (τῷ 10
20 γὰρ ζῴῳ ἄτομον τὸ αἰσθητικόν, ἐπεὶ καὶ ἀντιστρέφει) ἢ ἐπὶ τοῦ ἀνθρώπου
τὸ νοῦ καὶ ἐπιστήμης δεκτικὸν μετὰ τοῦ ζῴου. ἀντιστρέφουσι γὰρ ταῦτα
καὶ ἐν τῷ τί ἐστιν, ἀλλ' οὐδέτερον τὸ τί ἐστιν, οὔτε ἐκεῖνο τοῦ ζῴου
οὔτε τοῦτο τοῦ ἀνθρώπου, ὅτι μὴ τὴν οὐσίαν ἁπλῶς δηλοῖ, ἐπειδὴ οὐ
πᾶσαν ἐπέξεισιν. ἀφαίρεσις δὲ ὅταν κατὰ πλάτος ἐλλείπῃ μὴ πάσας τὰς
25 διαφορὰς ἐκτιθέμενος, οἷον εἰ τέμοι τὸ ζῷον εἰς πτηνὸν καὶ νηκτὸν παρα-
λιπὼν τὸ πεζόν· πάντως γὰρ ζῷον εἶναι τὸν ἄνθρωπον θέμενος, μιᾷ τῶν 15
διαιρουσῶν τὸ ζῷον διαφορῶν ἀναγκασθήσεται ὑποθέσθαι αὐτόν, καὶ οὕτω
τὰ μὴ ὄντα τῷ ὁριστῷ ἐν τῷ τί ἐστι λήψεται. καὶ οὗτοι μὲν οἱ δύο
τρόποι τῆς ἀπάτης, ὅ τε κατὰ τὴν ὑπέρβασιν καὶ ὁ κατὰ τὴν ἔλλειψιν. ἡ
30 δὲ πρόσθεσις γίνεται, ὅταν τις ἐκ τῶν συμπληρωτικῶν τῆς οὐσίας τὸ σύν-
θημα ποιησάμενος προσθήσει ἐπέκεινα, ὡς καί τι λαβεῖν τῶν μὴ κατὰ τὸ
εἶδος ἀλλὰ κατὰ τὴν ὕλην ὑπαρχόντων τῷ ὁριστῷ, οἷόν ἐστι τὸ κατὰ τὸ 20
ἄρρεν καὶ θῆλυ, τὸ πλατυώνυχον καὶ γαμψώνυχον, τὸ ὀρθοπεριπατητικὸν
καὶ τὰ τοιαῦτα. εἰσὶ δὲ καὶ ἕτερα τὰ κατὰ συμβεβηκὸς ἐνυπάρχοντα, οἷον
35 τὸ λευκόν, τὸ γραμματικόν. εἰ οὖν ζῷον πεζὸν δίπουν εἶπε καὶ μὴ ἀρκεσθῇ,
ἀλλ' ἔτι προσθήσει πλατυώνυχον ἢ ὀρθοπεριπατητικὸν ἤ τι τοιοῦτον, οὐ
σμικρὰ οὐδὲ τοῦτο κακία τοῦ ὁρισμοῦ, ἀδιανοησίαν δὴ ἐμποιοῦσα, ὡς

---

1 εἶναι ἴδιον coll. E 2. 3 τοῦτό ἐστιν ἀνθρώπου coll. Aa 9 κατὰ τὸ βάθος ἐλλίπῃ Aa 10 ζῷον μὲν coll. E 12 καὶ δίπουν om. Aa 13 post δὲ add. τοῦ Aa 15 ἐξελθεῖν Aa 17 εἰ τὰ] εἶτα Aa λέγει Aa παραλείψει Aa 23 ἐπεὶ Aa 24 ἐλλείπει Aa 30 πρόθεσις E 31 προσθήσῃ E 32 κατὰ τὸ om. Aa 35 εἶπε καὶ] εἴπας Aa 36 post προσθήσει add. λέγων Aa 37 δὴ] τε Aa

δοκεῖν μὴ ἀντιστρέφειν τῷ ἀνθρώπῳ τὸ ζῷον πεζὸν δίπουν, ἀλλ' εἶναι 32
κοινὸν καὶ ἑτέρῳ, ὃ μὴ ὀρθοπεριπατητικόν ἐστιν ἢ ὃ μὴ πλατυώνυχον. 25
ἀλλὰ καὶ πλείω τοῦ δέοντος ἔχων ὁ τοιοῦτος ὁρισμὸς παραβαίνει τὴν συν-
τομίαν καὶ τὸ εἶναι ὅρος καὶ οὕτως ἀπόλλυσιν· ὥστε πρὸς τῷ μὴ συλλο-
γίζεσθαι τὸν ὁρισμὸν ἔτι καὶ ἐπισφαλὴς εἰς τὴν αὐτοῦ εὕρεσιν ἡ διαίρεσις,
πολλοὺς ἔχουσα τοὺς τρόπους τῆς ἀπάτης. περὶ δὲ τῆς τῶν ἄλλων συμ-
βεβηκότων προσθήκης, οἷον τοῦ λευκοῦ, τοῦ γραμματικοῦ, τῶν τοιούτων
περιττὸν καὶ λέγειν ἐστίν. αἱ μὲν δὴ ἁμαρτίαι καθ' ἃς τὸ καθῆκον τῇ
διαιρέσει παρίεται, αὗταί εἰσι. τί δέ; διὰ ταύτας ὡς ἄχρηστον ταύτην 30
παραδραμούμεθα καὶ οὐδέποτε ὅλως παραληψόμεθα, ἢ χρὴ ἀντιθέσθαι
ταύταις παρατηρήσεις τινάς, δι' ὧν ἐν τῷ διαιρεῖν κατορθοῦντες ἐσόμεθα;
εἰ γὰρ τὸ γένος ἐξ ἀρχῆς αἰτησάμενοι (προὔργου γὰρ τὸ τοῦτο λαβεῖν τοῖς
διαίρεσιν προθεμένοις ποιήσασθαι) μηδὲν τῶν συμβεβηκότων διαιροῦντες
παραληψόμεθα, ἀλλ' οὐσιώδη πάντα καὶ ἐν τῷ τί ἐστι, καὶ τὸ ἐφεξῆς τῇ
διαιρέσει τηρήσομεν, ὡς μὴ ὑπερβῆναι μηδὲν κατὰ βάθος προϊόντες μήτε
μὴν παραλιπεῖν τι κατὰ πλάτος τῶν εἰς ἃ διαιρεῖται τῶν διαιρουμένων 35
ἕκαστον, τοὺς εἰρημένους τῆς ἀπάτης τρόπους ἀποφευξούμεθα καὶ τὸ
χρήσιμον τῆς διαιρέσεως ἕξομεν. πόθεν δὲ τὸ μὴ ἐλλιπεῖν τι διαιροῦντες
ἐπιγνωσόμεθα; εἰ ἅπαν, ὃ τοῦ διαιρουμένου μετέχει, ἐμπίπτει εἰς διαίρεσιν,
ἀνερευνώντων καὶ ζητούντων ἡμῶν ἀκριβῶς πάντα τὰ τοῦ διαιρουμένου
μετέχοντα καὶ μηδὲν καταλιμπανόντων, ὃ ἐν τῇ διαιρέσει ἐμπῖπτον ἀνα-
φαίνεται, ὡς μηδὲν ἐλλείπειν· οὕτω γὰρ ποιούντων ἡμῶν ἀναγκαίως ἔσται 40
ἀνελλιπὴς ἡ διαίρεσις. καὶ δῆλον ἐκ τούτων ὅτι οὔτε ἀνίατα τὰ κατὰ τὴν
διαίρεσιν ἐμπίπτοντα ἁμαρτήματα οὔτε ἄχρηστος ἡ διαίρεσις· ἀλλὰ τὰ
γινόμενα πταίσματα κατ' αὐτὴν παρὰ τὴν ἄγνοιαν ἕπεται ἢ τὴν ἀπροσεξίαν
τῶν διαιρούντων, οὐ παρὰ τὴν φύσιν τῆς ἐπιστήμης. ἀναγκαιότατον δὲ τὸ
οὕτω διαιρεῖν· δεῖ γὰρ μέχρι τοσούτου προβαίνειν τὴν διαίρεσιν μήτε τι
τῶν εἰδῶν παραλείπουσαν μήτε τι τῶν μεταξὺ ὑπερβαίνουσαν μήτε τι τῶν
ἐκ τῆς ὕλης λαμβανομένων ἢ τῶν ἄλλως συμβεβηκότων προστιθεῖσαν, ἕως 45
οὗ εἰς διαφορὰν καταντήσομεν ἄτομον. ἄτομος δὲ λέγεται διαφορά, ἧς
προστιθεμένης τῷ λοιπῷ τῶν οὐσιωδῶς ἐκλεγέντων συνθήματι οὐ χρεία
προσθήκης ἔτι διὰ τὸ ἤδη τὸν ὅρον ἀπαρτισθῆναι τοῦ παντὸς συν-
θήματος πρὸς τὸ ὁριστὸν ἐξισάζοντός τε καὶ ἀντιστρέφοντος. ἄτομος δὲ
λέγεται ἡ τοιαύτη διαφορὰ οὐχ ὅτι αὐτὴ οὐ τέμνεσθαι δύναται (ἐνδέχεται
γάρ ποτε τοιαύτην εἶναι τὴν ἐσχάτην διαφοράν, οἵαν καὶ τέμνεσθαι, εἰ 50
ληφθείη καθ' ἑαυτήν) ἀλλ' ὅτι ἐσχάτη ἐστὶν τοῦ παντὸς ὁριστικοῦ συν-
θήματος, εὐθὺς ἅμα τῷ συντεθῆναι τοῖς πρὸ αὐτῆς τὸ ὁριστὸν τί ἐστι

---

2 ὃ μὴ om. E 4 τῷ μὴ om. Aa 6 ἄλλως Aa 8 ante τῇ add. ἐν Aa
9 τί δὴ Aa 12 τὸ ante τοῦτο om. E 13 post μηδὲν add. μὲν Aa
διαιροῦντες om. Aa 14 οὐσιωδῶς E 15 προϊόντες scripsi: προϊόντας libri
16 κατὰ τὸ πλάτος E 17 ἀποφευξόμεθα Aa 19 εἰς] πρὸς Aa
20 ἀνερευνόντων Aa: ἀνερευνούντων E 21. 22 ἀναφέρεται E 23 τὴν om. E
27 διαιρεῖν οὕτως coll. Aa προβαίνειν] προϊέναι Aa 30 καταντήσωμεν Aa
διαφορὰ—λέγεται (34) om. E 36 τοῦ παντὸς om. Aa

δηλοῦσα καὶ μηκέτι διὰ τοῦτο δεομένη τομῆς. προσκείσθω τῶν λεγομένων 32
παράδειγμα, ὅπερ καὶ Ἀριστοτέλης προλαβὼν εἴληφε, καὶ ἔστω τὸ ὁριστὸν
ἄνθρωπος. αἰτούμεθα τούτου γένος εἶναι τὸ ζῷον, ὃ διαιροῦμεν εἰς πεζόν,
πτηνὸν καὶ νηκτόν. ὁ οὖν ἄνθρωπος οὔτε πτηνὸν οὔτε νηκτόν· ἔστιν ἄρα
5 πεζόν. πάλιν ἐπειδὴ οὔπω ἐξισάζει τὸ ζῷον πεζὸν πρὸς τὸν ἄνθρωπον,
διαιροῦμεν τοῦτο εἰς ἄπουν καὶ δί|πουν καὶ πολύπουν. ἐπεὶ οὖν οὔτε 33
ἄπουν οὔτε πολύπουν ὁ ἄνθρωπος, ἔστιν ἄρα δίπουν. ἄτομος οὖν τούτῳ
διαφορὰ εἴληπται, μὴ δεομένων ἡμῶν εἰσέτι διαιρέσεως καὶ τομῆς εἰς τὸ
ὁρίσασθαι τὸ προκείμενον διὰ τὸ πρὸς τὸ ὁριστὸν τὸν ἄνθρωπον ἀντιστρέφειν
10 τὸ ζῷον πεζὸν δίπουν. καίτοι γε τὸ δίπουν καθ' ἑαυτὸ εἰς πλείω διαιρεῖ-
σθαι δύναται. τὰ μὲν δὴ κατὰ τῆς διαιρέσεως οὕτω λύεται. ἀλλ' εἰ καὶ
χρήσιμος πρὸς ὁρισμοῦ εὕρεσιν ἡ διαίρεσις γίνεται τὸν ὑφηγημένον τρόπον 5
προβαίνουσα, ἀλλ' οὖν γε οὐ συλλογίζεται· οὐ γὰρ ἅπας τρόπος γνωρίσεως
συλλογιστικός ἐστι καὶ ἀποδεικτικός. ἰδοὺ γὰρ καὶ ὁ ἐπαγωγικὸς γνωριστικός
15 τίς ἐστι καὶ δηλωτικός, ἀλλ' οὐ διὰ τοῦτο καὶ ἀποδεικτικός, ἀλλὰ καὶ πολὺ
τοῦ ἀποδεικτικοῦ διενήνοχεν. ὁ μὲν γὰρ ἐκ τῶν προτέρων δεικνύει τὰ
ὕστερα, ὁ δ' ἀνάπαλιν ἐκ τῶν ὑστέρων τὰ πρότερα· ἐκ γὰρ τῶν μερικῶν
τὸ καθόλου πιστοῦται ὁ ἐπάγων. καὶ ὁ μὲν ἀναγκαίως τοῖς προτέροις 10
κειμένοις ἐπιφέρει τὸ ὕστερον, ὁ δ' οὐκ ἀναγκαίως τὸ καθόλου οἷς ἐκτίθεται
20 καθ' ἕκαστα. καὶ πρὸς μὲν τὸν ὁ τὰ πρότερα θέμενος ἀντειπεῖν οὐκ ἔχει
πρὸς τὸ ἐπιφερόμενον, πρὸς δὲ τὸν ἐπάγοντα ἔχει, ὡς ἴσως ἐστί τι ὃ μὴ
οὕτως ἔχον ὡς τὰ λοιπὰ τὴν τοῦ καθόλου ἀπείρξει κατάθεσιν. καὶ ἡ
διαίρεσις τοίνυν δηλοῖ μέν τι καὶ τὸν ὁρισμὸν συνιστᾷ κατὰ λόγον προ-
βαίνουσα, οὐ μὴν δὲ λέγει συλλογισμὸν ὁ τὸν ὁρισμὸν λέγων. οὔτε γὰρ ὁ
25 τρόπος δι' οὗ συνῆκται συλλογισμός ἐστιν οὔτε δὴ αὐτός· ἀλλ' ὥσπερ 15
τινῶν λεγομένων ἀποφάνσεων, αἳ διὰ τὸ μὴ ἄμεσοι εἶναι δύνανται διὰ
μέσων τινῶν συμπεραίνεσθαί τε καὶ ἀποδείκνυσθαι, εὐλόγως ἄν τις ἐρω-
τήσειε τὸ διὰ τί, οὕτως ἐν τοῖς ἀπὸ διαιρέσεως εὑρισκομένοις ὅροις. καὶ
ἐπ' ἐκείνων γὰρ τῶν ἐμμέσων λόγων, κἂν αὐτούς τις μόνους προφέρῃ κἂν
30 τι λέγῃ ἕτερον, οὗ ὄντος ἔστι καὶ τόδε, μὴ μέντοι μέσον ἐστὶ τὸ πρὸ
ἐκείνου λεγόμενον ἤγουν αἴτιον, ἔροιτ' ἄν τις τὸ διὰ τί. οἷον περὶ ἐκλείψεως
σελήνης ἢ βροντῆς εἴ τις εἴποι ὅτι ἡ σελήνη ἐξέλιπεν, ἐπειδὴ τοῦτο ἀπό-
φανσίς ἐστιν οὐκ ἄμεσος, ἀλλὰ δυναμένη διὰ μέσου τινὸς συμπερανθῆναί 20
τε καὶ ἀποδειχθῆναι, εὔλογόν ἐστιν ἐρωτηθῆναι τὸν λέγοντα διὰ τί ἐστι
35 τοῦτο ὃ λέγει, ἤγουν διὰ ποίαν αἰτίαν ἐξέλιπεν. ὡσαύτως βροντὴ γέγονε,

---

1 προκείσθω Aa 5 ἐπεὶ Aa 7 τούτῳ scripsi: τοῦτο libri 10 γε om. Aa
11 ἰδοὺ] οὐδὲ E καὶ om. E 14. 15 ἐπαγωγικὸς — ἀποδεικτικός] ἀπάγων ἴσως
ἀποδείκνυσιν E 18 ἀναγκαίως] ἀνάγκη Aa 20 τὸν om. E 21 τὰ
ἐπαγόμενα E 23 τοίνυν ante καὶ (22) ponunt Aa μέντοι E ὁρισμὸν
ex συλλογισμὸν corr. A 24 λέγων ante τὸν ponunt Aa 25 post δι' οὗ add.
ἡ διαίρεσις δηλονότι A² 26 ἀποφάσεων E 27. 28 ἐρωτήσῃ Aa 28 διότι Aa
30 οὗ] ὡς E post ὄντος add. ἐκείνου E μέντοι] μέν τι A
32. 33 ἀπόφασις E

διὰ τί; ἔχει γὰρ μέσους καὶ αἴτια καὶ ἄμφω ταῦτα. ἀλλὰ καὶ εἴ τις 33
πανσελήνου οὔσης εἴποι ὅτι ἐπειδὴ στέρησις ἐγένετο τοῦ ἐξ αὐτῆς φωτός,
ἐξέλιπε, τούτου μὲν ὄντος εἶπε ταύτην ἐκλιπεῖν, οἷον τῆς στερήσεως οὔσης
τοῦ φωτὸς ἐν πανσελήνῳ αὐτὴ ἐξέλιπεν, οὐ μὴν τὸ μέσον εἶπεν. ὥστε
5 ἔστιν ἐρωτῆσαι τὸ διὰ τί ἢ τοῦτο, ἢ εἴ τις εἴποι ὅτι σκιὰν μὴ ποιοῦσα ἐν 25
πανσελήνῳ ἐξέλιπεν. κἀνταῦθα γὰρ τὸ αὐτό, ὅτι ὄντος τοῦ μὴ ποιεῖν
σκιὰν αὐτὴν ἐν πανσελήνῳ ἐξέλιπεν. ἀλλ' οὐδὲ τοῦτο αἴτιον· ὥστε ἔσται
καὶ ἐπὶ τούτου ἐρωτῆσαι τὸ διὰ τί. ὡσαύτως ψόφου γενομένου ἄνωθεν
βροντή ἐστιν· ἔροιτ' ἄν τις τὸ διὰ τί, διὰ τὸ μὴ τὸ μέσον εἰρῆσθαι, ἤγουν
10 τὸ αἴτιον τοῦ ψόφου. ἔστι δὲ τῆς μὲν σεληνιακῆς ἐκλείψεως ἡ τῆς γῆς
ἀντίφραξις αἴτιον, τῆς δὲ βροντῆς τὸ ἀποσβέννυσθαι πῦρ ἐναπειλημμένον
τοῖς νέφεσιν. ἢ οὖν περὶ τοῦ τοιούτου λέγει συμπεράσματος ἢ περὶ ὧν 30
προηγοῦνται μὲν προτάσεις, οὐ μέντοι καὶ ἀνελλιπής ἐστιν ὁ συλλογισμός,
οἷον ἡ ψυχὴ ἀεικίνητος, τὸ ἀεικίνητον ἀθάνατον, ἡ ψυχὴ ἄρα ἀθάνατος.
15 ἐνταῦθα γὰρ λέγεται μὲν τούτων ὄντων τόδε τι εἶναι, οὐ μὴν τὸ προσεχὲς
τῷ ὑποκειμένῳ μέσον εἴληπται, ὅπερ ἐστὶ τὸ αὐτοκίνητον· οὐ γὰρ ἀμέσως
κατὰ τῆς ψυχῆς τὸ ἀεικίνητόν ἐστιν, ἀλλὰ διὰ μέσου αὐτοῦ. ἔστιν οὖν καὶ
ἐπὶ τούτου ἐρωτῆσαι τὸ διὰ τί. ἢ ὥς φησιν ὁ Ἀλέξανδρος, περὶ τοιού-
των ἂν εἴη ὁ λόγος συμπερασμάτων, οἱάπερ ὁ Ἀριστοτέλης ἐν τῷ περὶ 35
20 ἀναλύσεως συλλογισμῶν ἔθετο ἀσυναρτήτων ἀλλήλαις προηγησαμένων προ-
τάσεων αὐτὰ ἑπόμενα. οἷον τῆς μὴ οὐσίας ἀναιρουμένης οὐκ ἀναιρεῖται
ἡ οὐσία· τῶν μερῶν ἀναιρουμένων ἀναιρεῖται τὸ ὅλον· τὰ μέρη ἄρα τῆς
οὐσίας οὐσίαι εἰσίν. ἔστι γὰρ καὶ ἐπὶ τῶν τοιούτων ἐρωτῆσαι τὸ διὰ τί,
ὡς παραλελειμμένου τοῦ μέσου. ἢ καὶ ἐπ' ἐκείνων τῶν λόγων, οἳ μὴ ἄμφω
25 τὰς προτάσεις λαμβάνουσιν, ἀλλὰ μόνης μιᾶς ληφθείσης ἢ τῆς μείζονος ἢ
τῆς ἐλάττονος ἐπάγουσι τὸ συμπέρασμα. οἷον πᾶς ἄνθρωπος ζῷον πεζόν
ἐστιν· ὁ Σωκράτης ἄρα ζῷον πεζόν ἐστιν. ἢ ὁ δεῖνα καλλωπιστής ἐστι· 40
μοιχὸς ἄρα. οὐ γὰρ ἐπὶ τούτων ὁ μέσος ὡς μέσος εἴληπται, κἂν καὶ
μέσος εἴη καὶ εἴληπται· οὐ γὰρ πρὸς ἄμφω τὰ ἄκρα ἐν ταῖς προτάσεσιν
30 εἴληπται· ὥστε ἔστι καὶ ἐπὶ τούτων ἐρωτῆσαι τὸ διὰ τί. ἢ λέγοι ἂν περὶ
τῶν ὑποθετικῶν, οἳ τοῦ πρώτου ὄντος φασὶν εἶναι τὸ δεύτερον· ἀλλὰ μὴν
τὸ πρῶτον, καὶ τὸ δεύτερον ἄρα. συμπέρασμα γὰρ ἐπὶ τούτων ἐπάγεται,
οὐ μὴν ἤδη δῆλον τὸ διὰ τί, ὃ ἔστιν ἐρωτῆσαι ἐπί τε τοῦ συνημμένου
καὶ τῆς προσλήψεως. ὥσπερ οὖν ἐπὶ τούτων ἁπάντων, οὕτω καὶ ἐν τοῖς 45
35 ὅροις εὑρισκομένοις ἀπὸ διαιρέσεως. οἷον εἰ ἀποδιδούς τις τί ἐστιν ἄνθρωπος
ζῷον εἴπῃ θνητὸν ὑπόπουν δίπουν ἄπτερον, ἔροιτ' ἄν τις καθ' ἕκαστον
τούτων τῶν τῷ γένει προστιθεμένων εἰς τὸ ἀπαρτίσαι τὸν ὁρισμὸν διὰ τί.

---

1 ταῦτα] τὰ αἴτια E 2 τοῦ — φωτός] φῶτὸς τοῦ ἐξ αὐτῆς E 4 οὐ μὴν — πανσελήνῳ (6) om. E 7 ἔσται] ἐστὶ Aa 13 μέντοι] μὴν Aa 17 τὸ ἀκίνητον a 19 ὁ Ἀριστοτέλης om. Aa 19. 20 ἐν τῷ περὶ ἀναλύσεως συλλογισμῶν] cf. p. 70,24. 25 23 ἐπὶ τούτων E 24 ἢ om. Aa 27 ante ὁ Σωκράτης add. ζῶον E 27. 28 καλλωπίζεται· μοιχὸς E 28 οὐδὲ γὰρ E ὡς — καὶ εἴληπται (29) om. E 32 καὶ — ἄρα] τὸ ἄρα δεύτερον E 34 καὶ ἐπὶ τῆς Aa οὖν om. Aa 35 τις om. Aa 36 εἴποι E 37 τῶν τῷ] τῷ νῷ Aa

τὸ μὲν γὰρ γένος αἰτεῖται καὶ δίδοται, τὰ δ' ἄλλα τὰ ἐπὶ τούτῳ ἐρεῖ μὲν 33
ὁ διαιρῶν καὶ δείξει τῇ διαιρέσει, καθὼς αὐτὸς οἴεται, οἷον ζῷον τὸν
ἄνθρωπον εἶναι λαβών, πᾶν δὲ ζῷον ἢ θνητὸν ἢ ἀθάνατον, καὶ ἐπεὶ οὐκ
ἀθάνατον ὁ ἄνθρωπος, θνητὸν ἄρα· ἔστι δ' ἐρωτῆσαι τὸ διὰ τί. διὰ τί 50
5 οὐκ ἀθάνατον; ἢ διὰ τί εἰ μὴ ἀθάνατον, θνητόν; καὶ ἐπὶ πάντων ὡσαύ-
τως. ὥστε καὶ ἅπας ὁ λόγος οὔπω δῆλον εἰ ὁρισμός ἐστι, κἂν ἀληθεύῃ
καθ' ἕκαστον τῶν ἐξ ὧν σύγκειται, ἀλλ' ἔστιν ἐρωτῆσαι διὰ τί τοῦτο
ὁρισμός ἐστιν, ὡς οὐκ εὐθὺς δῆλον ὂν ἐκ τῆς διαιρέσεως ὅτι ὁρισμός ἐστι·
δεῖ γὰρ λόγου τινὸς πρὸς τοῦτο. ὅπερ οὖν προέκειτο δῆλον γέγονεν, ὅτι εἰ
10 καὶ ἐκ διαιρέσεως δήλωσίν τινα ὁ ὁρισμὸς ἔσχηκεν, ἀλλ' οὔτε αὐτὸς συλλο-
γισμός ἐστιν οὔτε συλλογιστικῶς ἀποδέδεικται. |

p. 91b 12 Ἀλλὰ μὴν οὐδ' ἡ διὰ τῶν διαιρέσεων ὁδὸς συλλογίζεται. 34

Ἔδειξε μὲν διὰ τῶν προλαβόντων ἄλλην τε εἶναι τὴν ἀποδεικτικὴν
τῆς ὁριστικῆς καὶ τὸν ὁρισμὸν τῆς ἀποδείξεως ἕτερον, καὶ ἕτερα ἀλλήλων
15 τὰ ὑφ' ἑκατέρας δεικνύμενα, καὶ πρὸς τούτοις ὅτι οὐκ ἔστι τὸν ὁρισμὸν 5
ἀποδείκνυσθαι ἢ ὅλως συλλογισμῷ συμπεραίνεσθαι. ἐπεὶ δὲ τοῖς διαιρέσει
τὸν ὁρισμὸν ἐφευρίσκουσιν ἔμφασίν τινα ἡ μέθοδος παρείχετο τοῦ συλλο-
γίζεσθαι δοκεῖν, ἐπιχειρεῖ νῦν ἅμα μὲν δεικνὺς ὡς καὶ διαιρέσεως ἑτέρα
ἐστὶν ἡ ἀπόδειξις, ἅμα δ' ὅτι οὐδὲ διαιρέσει χρωμένους εἰς εὕρεσιν ὁρισμοῦ
20 ἔστι συλλογίζεσθαι. διὰ τοῦτό φησιν ὡς οὐδὲ ἡ ὁδός, ἣν ἀνύειν πειρώμεθα
τῇ διαιρέσει χρώμενοι πρὸς εὕρεσιν ὁρισμοῦ, συλλογίζεται. καὶ περὶ τούτου
εἴρηται μὲν αὐτῷ καὶ ἐν τῷ περὶ εὐπορίας προτάσεων, ἔνθα καὶ ἀσθενῆ 10
ἀπεκάλει ἀπόδειξιν τὴν διαίρεσιν· λέγεται δὲ καὶ νῦν ὡς πρὸς τὴν παροῦσαν
χρείαν. ἀντὶ δὲ τοῦ εἰπεῖν ἐν τοῖς Ἀναλυτικοῖς φησιν ἐν τῇ ἀναλύσει τῇ περὶ
25 τὰ σχήματα· ἐκ γὰρ τοῦ τελεωτέρου μέρους τῆς πραγματείας ἐκείνης ὀνο-
μάζει τὸ πᾶν. μήποτε δὲ καὶ ἐντεῦθεν ὁρμηθέντες οἱ ἐξηγηταὶ τὴν αἰτίαν ἀπέ-
δοσαν τοῦ Ἀναλυτικὰ ὀνομάζεσθαι τὴν περὶ συλλογισμοῦ ἁπλῶς πραγματείαν.

p. 91b 14 Οὐδαμοῦ γὰρ ἀνάγκη γίνεται.

30 Τὸν ὁρισμὸν τοῦ συλλογισμοῦ προχειρίζεται πρὸς τὸ δεῖξαι μὴ συλλο- 15
γιζομένην τὴν διαίρεσιν, καί φησιν ὅτι τοῦ μὲν συλλογισμοῦ ἴδιον τὸ τινῶν
ὄντων ἐξ ἀνάγκης ἕτερον ἕπεσθαι, ἡ δὲ διαίρεσις οὐκ ἔχει τι ἐξ ἀνάγκης
ἑπόμενον κειμένοις τισίν· οὐκ ἄρα ἡ διαίρεσις συλλογίζεται.

p. 91b 15 Ἀλλ' ὥσπερ οὐδ' ὁ ἐπάγων ἀποδείκνυσι.

Τριῶν τούτων ἐπιχειρήσεων, τῆς ἐκ τοῦ μᾶλλον, τῆς ἐκ τοῦ ἧττον,
τῆς ἐκ τοῦ ὁμοίου ἡ μὲν ἐκ τοῦ μᾶλλον ἐν ταῖς ἀνασκευαῖς παραλαμβάνεται. 20

7 τῶν om. E 20 ἣν] ἢν E 22 ἐν τῷ περὶ εὐπορίας προτάσεων] cf. p. 64,26
22. 23 ἔνθα—διαίρεσιν] cf. Anal. pr. A 31 p. 46a 32 23 καὶ om. Aa 26 ὁρμη-
θέντας E 31 τὸ om. E

ἡ δ' ἐκ τοῦ ἧττον ἐν ταῖς κατασκευαῖς, ἡ δ' ἐκ τοῦ ὁμοίου, καὶ ἐν ταῖς 34
ἀνασκευαῖς καὶ ἐν ταῖς κατασκευαῖς. εἰ γὰρ τὸ μᾶλλον δοκοῦν οὐκ ἔστιν,
πολλοῦ ἂν δεῖ τὸ ἧττον· καὶ εἰ τὸ ἧττον δοκοῦν ἔστι, πολλῷ μᾶλλον τὸ
μᾶλλον· καὶ εἰ τὸ ὁμοίως ἔχον ἔστιν ἢ οὐκ ἔστιν, ὡσαύτως καὶ τὸ ὁμοίως.
5 ὡς ὁμοίως δὲ ἔχουσάν πως κατά γε τὸ προκείμενον τῇ διαιρέσει τὴν
ἐπαγωγὴν ἐνταῦθα παρείληφεν· οὔτε γὰρ ἡ ἐπαγωγὴ ἀναγκαίως ἔχει τοῖς
ληφθεῖσιν καθ' ἕκαστα τὸ καθόλου ἑπόμενον οὔτε μὴν ἡ διαίρεσις ἐκθεμένη 25
τὰ ἀντιδιῃρημένα ἀνάγκην ἐπάγει τινὰ διὰ τῆς ἐκθέσεως ἑνὶ τῶν ἀντιδιῃρη-
μένων ὑπάγεσθαι τὸ προκείμενον.

10 p. 91b15 Οὐ γὰρ δεῖ τὸ συμπέρασμα ἐρωτᾶν.

Τὸ μὴ χρῆναι τὸ συμπέρασμα ἐρωτᾶν διττῶς ἔστιν ἐκλαβεῖν, ἢ τὸν
διαιροῦντα ἢ τὸν ἐξ αὐτοῦ τὸν λόγον δεχόμενον. εἰ μὲν οὖν τὸν διαιροῦντα 30
μὴ δεῖν ἐρωτᾶν φαίημεν, οὕτω νοήσομεν οὐχ ὡς ἐρωτῶντος αὐτοῦ, ἀλλ' ὡς
οὕτως ἀμφίβολα συμπεραίνοντος, εἴ γε καὶ συμπεραίνειν αὐτὸν ὅλως φαίημεν,
15 ὡς ἐοικέναι τῷ ἐρωτῶντι διὰ τὸ συνάγειν ἀβέβαια. ὡς γὰρ πρὸς τὸν
ἐρωτῶντα δύναται ὁ ἀποκρινόμενος ὃ βούλεται μόριον τῆς ἀντιφάσεως ἀπο-
κρίνασθαι, οὕτω καὶ πρὸς τὸν οὕτω περαίνοντα. εἰ δὲ τὸν τοὺς λόγους
δεχόμενον, οὕτω χρὴ νοεῖν τὸ μὴ δεῖν ἐρωτᾶν τὸ συμπέρασμα· ἐπεὶ γὰρ
ἀβεβαίου ὄντος ἐν τῇ ἐπαγωγῇ καὶ τῇ διαιρέσει τοῦ συμπεράσματος διὰ τὸ μὴ 35
20 ἀνάγκην ἔχειν τοῦ ἕπεσθαι ἔχει ἄδειαν ὁ τοὺς λόγους δεχόμενος ἢ ἐρωτῆσαι
τὸ διὰ τί ἢ συγχωρῆσαι τὸ συνημμένον, διὰ τοῦτό φησιν ὡς οὐ χρὴ οὕτως
ἔχειν τὸ συλλογιστικῶς συναγόμενον, ὥστε ἄδειαν εἶναι τῷ προσδιαλεγομένῳ
ὃ βούλεται προελέσθαι, ἢ ἐρωτῆσαι τὸ διὰ τί ἢ δοῦναι εἶναι κατὰ συγ-
χώρησιν, ἀλλ' οὕτως ἔχειν, ὡς ἀναγκαίων ὄντων τῶν τεθειμένων, ὡς εἶναι
25 μηδένα λόγον τῆς τοῦ προσδιαλεγομένου ἢ ὁμολογίας ἢ ἀπαρνήσεως ὅσον 40
εἰς τὸ συμπέρασμα, ἐπειδὴ αἱ προτάσεις ἐτέθησαν.

p. 91b18 Ἆρ' ὁ ἄνθρωπος ζῷον ἢ ἄψυχον;

Παράδειγμα τοῦτο δι' οὗ παρίστησι τὴν διαίρεσιν ὡς προβαίνει καὶ
ὡς ἐρωτᾷ τε καὶ συμπεραίνει. ἐκ γὰρ τοῦ προσεχεστέρου γένους ἄρχεται,
30 αὐτό τε καὶ τὸ πρὸς αὐτὸ ἀντιδιαιρούμενον ἐρωτήσασα τὸ μὲν ἀφίησι,
τὸ δὲ λαμβάνει μηδεμίαν ἀνάγκην ἐπάγουσα· εἶτ' αὖθις αὐτὸ ταῖς ὑπ' 45
αὐτὸ διαιροῦσα διαφοραῖς τὸ αὐτὸ καὶ ἐπὶ τούτων ποιεῖ, ἐρωτῶσα μὲν
ἁπάσας, λαμβάνουσα δ' ἥνπερ βούλεται, οὐδαμόθεν τὸ ἀναγκαῖον παρ-
έχουσα, ἀλλ' αὐτόθεν λαμβάνουσα. οἷον εἰ τὸν ἄνθρωπον ὁρίσασθαι πρό-

---

4 εἰ] ὡς E καὶ om. Aa 5 δὲ] οὖν Aa 11 ἐκλαβεῖν scripsi: ἐκβαλεῖν libri 12 τοὺς λόγους Aa οὖν om. E 17 post δὲ add. πρὸς Aa 18 χρὴ] δεῖ E δεῖν] χρῆναι E 19 ἐπαγωγῇ καὶ τῇ om. Aa 20 ἔχειν ἀνάγκη Aa 24 ἀναγκαίων scripsi: ἀναγκαῖον εἶναι libri 25 ἀπαρηγήσεως Aa 29 τε] τὴν E ἀπάρχεται Aa 30 παρ' αὐτὸ Aa 32 ἐρωτῶσαι E

κειται, περὶ τοῦ γένους ἐρωτᾷ πρότερον, ἆρ' ὁ ἄνθρωπος ζῷόν ἐστιν ἢ 34
ἄψυχον, εἶτα μηδενὸς γενομένου συλλογισμοῦ λαμβάνει τὸ ζῷον, τοῦτο δὲ
ληφθὲν ὑποδιαιρεῖ. 'ἆρα πᾶν ζῷον ἢ πεζὸν ἢ πτηνὸν ἢ ἔνυδρον'; εἶτα
λαμβάνει τὸ πεζόν, οὐδ' ἐνταυθοῖ ἀνάγκην ἐφιστῶσά τινα. καὶ ἴσως ἄν 50
5 τις οὐ παράλογον εἶναι τὴν λῆψιν φήσειε τὴν ἐνάργειαν τοῦ πράγματος
ἔχουσαν· ἀλλ' οὐ παρὰ τοῦτο συλλογιστικῶς ἐπάγεται τὸ συμπέρασμα, ὅτι
τὸ λαμβανόμενον ἐναργές, εἰ καὶ τοῦτο δοίημεν. καίτοι οὐκ ἐπὶ πάντων
τοῦτο, ἀλλ' ἔστιν ἃ καὶ τοῦ γένους ἔχει καὶ τῶν διαφορῶν πολλὴν
ἀμφισβήτησιν, ὥσπερ ὅταν τῆς ἀρετῆς τὸ γένος ζητῆται καὶ αἱ ταύτης
10 τὸν ὅρον συμπληροῦσαι διαφοραί· καὶ ἐπ' ἄλλων ἔτι πολλῶν εὕροι τις ἂν
τὴν τοιαύτην δυσχέρειαν. |

p. 91b20 Καὶ τὸ εἶναι τὸν ἄνθρωπον τὸ ὅλον ζῷον πεζόν, οὐκ 35
ἀνάγκη.

Οὐ μόνον, φησί, κατὰ μέρος ἀναλεγόμενος τὰ ἐξ ὧν τὸ τί ἐστι σύγ-
15 κειται λαμβάνει ἐκείνων ἕκαστον μὴ συλλογιζόμενος, ἀλλὰ καὶ τὸ ἅπαν
ὁμοῦ σύνθημα οὐκ ἐξ ἀνάγκης τοῖς εἰρημένοις κατὰ τὴν διαίρεσιν ἕπεται,
ἀλλὰ καὶ τοῦτο λαμβάνεται. 5

p. 91b21 Διαφέρει δ' οὐδὲν ἐπὶ πολλῶν ἢ ὀλίγων τοῦτο ποιεῖν.

Ἐπειδὴ ὀλίγα ἦν ἃ εἰς τὸ παράδειγμα εἴληφε (δύο γὰρ ἦσαν μόνα
20 τὸ πεζὸν καὶ τὸ δίπουν) ἢ διὰ ταῦτά φησιν ὡς καὶ ἑτέρων δὲ ὄντων, ἢ
ἁπλῶς μηδὲν διαφέρειν, κἂν τε πλείω κἂν τε ἐλάττω ᾖ τὰ ἐκλεγέντα καὶ
τὸν ὅρον ἀποτελέσαντα. τὸ αὐτὸ γὰρ γίνεται ἐπί τε αὐτῶν καὶ τοῦ ἐξ
αὐτῶν συγκειμένου ὁρισμοῦ· πάντα γὰρ λαμβάνεται, καὶ οὐδέν ἐστιν ὃ 10
συλλογιστικῶς συμπεραίνεται.

25 p. 91b23 Ἀσυλλόγιστος μὲν οὖν καὶ ἡ χρῆσις γίνεται.

Ἔτι τὸ αὐτὸ δείκνυσιν ἐκ τοῦ μᾶλλον ἐπιχειρῶν· τοσοῦτον γάρ, φησίν,
ἡ διαίρεσις ἀπέχει τοῦ συλλογίζεσθαι, ὥστε οἱ ταύτην μετιόντες οὐ μόνον
τὰ πρὸς τὸ συλλογίζεσθαι δυσχέρειαν ἔχοντά τινα τῶν συμπληρούντων τὸν
ὅρον, ἀλλὰ καὶ ὅσα ῥᾴω ἐστὶ πρὸς τὸ συλλογίζεσθαι, καὶ ταῦτα ἀσυλλο-
30 γίστως λαμβάνεται. τοῖς γὰρ οὕτω μετιοῦσι, φησίν, ἤγουν τοῖς διαιρετικῶς 15
τὴν εὕρεσιν μεταχειριζομένοις τοῦ ὁρισμοῦ, ἀσυλλόγιστος ἡ χρῆσις γίνεται
καὶ ἐκείνων αὐτῶν τῶν δυνατῶν ὄντων συλλογισθῆναι. οἷον τὸ ζῷον διὰ
μέσου τοῦ αἰσθητικοῦ συλλογισθῆναι δυνάμενον ἀσυλλογίστως λαμβάνεται.

---

1 παρὰ τοῦ E scripsi: ὅτι libri om. Aa 3 post ἆρα add. δὲ Aa 18 ἐπὶ om. Aa δὲ ὄντων scripsi: δεόντων libri 9 ταύτης] τοῦ Aa τοῦτο] τούτων E 21 μηδὲν] μὴ καὶ Aa 10 ἔτι 20 alt. καὶ

πάλιν τὸ δίπουν διὰ μέσου τοῦ φύσει ὀρθίου· 'ὁ ἄνθρωπος φύσει ὄρθιος· πᾶν τὸ φύσει ὄρθιον δίπουν· πᾶς ἄρα ἄνθρωπος δίπους'. λαμβάνεται δὲ καὶ τὸ δίπουν τοῖς διαιρετικῶς μετιοῦσιν ἀσυλλογίστως.

p. 91b24 Τί γὰρ κωλύει τοῦτο ἀληθὲς μὲν εἶναι.

Τὸ γὰρ ἐνταῦθα ἀντὶ τοῦ δέ. οὐ γὰρ τοῦ προλαβόντος τοῦτο κατασκευαστικόν, ἀλλ' ἕτερον καθ' αὑτὸ ἐπιχείρημα. φησὶ δ' ὅτι κἂν δοίημεν τὸν ληφθέντα λόγον κατὰ μέρος τε καὶ ἁπλῶς κατὰ τοῦ προκειμένου ὁριστοῦ λέγεσθαι, ἀλλ' οὐδεμία ἀνάγκη καὶ ὡς ὁρισμὸν κατ' αὐτοῦ λέγεσθαι. οὐ γὰρ πᾶς λόγος ἀληθῶς κατ' αὐτοῦ λεγόμενος, ἤδη καὶ ὁρισμός ἐστιν ἐκείνου καθ' οὗπερ λέγεται. ἔστι γὰρ καὶ ἐκ συμβεβηκότων συνθεῖναι λόγον καὶ ἀληθῶς κατηγορῆσαι κατά τινος, ἔστι δὲ καὶ ἐκ τῶν τί ἐστι, μὴ μέντοι καὶ ἀντιστρέφειν· καὶ πολλαί εἰσι παρατηρήσεις περὶ τοὺς ὁρισμούς, ὧν μὴ φυλαττομένων οὐκ ἔσται τοῦ τί ἐστιν ὁ συντεθεὶς λόγος, κἂν κατὰ τοῦ ὁριστοῦ ἀληθεύηται.

p. 91b26 Ἔτι τί κωλύει ἢ προσθεῖναί τι.

Διττῶς ἔστι τὸ ῥητὸν ἐκλαβεῖν· ἢ γὰρ πρὸς τὸν ὁρισμὸν ἢ πρὸς τὴν διαίρεσιν. εἰ μὲν πρὸς τὸν ὁρισμόν, ἔσται ἀπόδοσις πρὸς τὸ προσεχές. εἰπὼν γὰρ 'τί κωλύει ἀληθῶς μὲν λέγεσθαι τὸν συντεθέντα λόγον κατὰ τοῦ ὁριστοῦ, μὴ μέντοι εἶναι αὐτὸν τὸ τί ἐστι', τρόπους τίθησίν τινας, καθ' οὓς τοῦτο ἐνδέχεται γίνεσθαι. ἢ γὰρ προσθήκη τινὸς ἐκ τῆς ὅλης λαμβανομένου ἢ συμβεβηκότος ἁπλῶς ἐπιγινομένη τοῖς οὐσιώδεσιν ἀπείργει εἶναι τὸν λόγον τὸ τί ἐστιν, οἷον εἰ τῷ ζῴῳ λογικῷ θνητῷ νοῦ καὶ ἐπιστήμης δεκτικῷ προστεθῇ τὸ πλατυώνυχον ἢ τὸ γελαστικὸν ἢ τὸ γραμματικόν ἤ τι τοιοῦτον· δεῖ γὰρ τὸ τί ἐστιν ἐκ τῶν οὐσιωδῶν τε συγκεῖσθαι καὶ εἰδοποιητικῶν, ὅτι καὶ ἡ οὐσία ὁ λόγος ὁ τοῦ τί ἦν εἶναι καὶ τὸ εἶδός ἐστιν· ἢ ἀφαιρεθέντος τινὸς ἐλλιπὴς ὁ ὅρος γίνεται καὶ οὐκ ἀντιστρέφει πρὸς τὸ ὁριστόν, οἷον εἴ τις εἴποι ζῷον λογικὸν εἶναι τὸν ἄνθρωπον, ἀφελὼν τὰ λοιπά· ἢ ὑπερβὰς τῶν μεταξὺ ἓν ἢ πλείω οὐ πᾶσαν τὴν οὐσίαν ἐπέξεισιν, οἷον εἴ τις ἐρεῖ τὸν ἄνθρωπον εἶναι ζῷον νοῦ καὶ ἐπιστήμης δεκτικόν. καὶ ταῦτα μὲν εἰ πρὸς τὸν ὁρισμὸν τὸ ῥητὸν ἐκληψόμεθα· εἰ δὲ πρὸς τὴν διαίρεσιν, ἕτερον ἔσται τοῦτο καθ' ἑαυτὸ καὶ οὕτω νοούμενον· τί δὲ κωλύει τρόπῳ τινὶ ἀπάτης ἐμπεσεῖν τὸν διαιροῦντα, ἢ ἐξ ὅλης λαμβάνοντα διαφορὰς ἢ καὶ συμβεβηκότα ἐν τῷ διαιρεῖν προστιθέντα ἢ ἀφαιροῦντά

---

6 ἀλλ'] ἂν E 8. 9 λέγεσθαι. οὐ γὰρ—λεγόμενος iterat E 9 καὶ om. Aa 10 συνθῆναι Aa 11 δὲ om. Aa 12 περὶ] παρὰ a 13 μὴ] καὶ Aa ἔσται τοῦ] ἔστι τὸ E 14 ἀληθεύεται Aa 16 ῥηθὲν E πρὸς ante τὴν om. E 17 ἀπόδειξις E 21 συμβεβηκότας Aa 22 τὸ] ἐν τῷ Aa 24. 25 εἰδητικῶν E 29 εἶναι om. E 31 ἔσται] ἔστω E 32 ἀπάτη Aa λαμβανομένας Aa

τινα καὶ μὴ ἐπεξιόντα κατὰ τὰς διαφορὰς ἅπαντα εἰς ὅσα διαιρεῖται τὸ διαιρούμενον, ἤ τι τῶν μεταξὺ ὑπερβαίνοντα, ὧν θάτερον μὲν κατὰ τὸ πλάτος, θάτερον δὲ κατὰ τὸ βάθος τῆς διαιρέσεως πέφυκε γίνεσθαι. δεῖ δὲ τὸ τί νοεῖν οἰκείως καθ' ἕκαστον, ἐπὶ μὲν τῆς προσθέσεως τί τῶν ἐκ τῆς ὅλης διαφορῶν ἢ τῶν ἁπλῶς συμβεβηκότων, ἐπὶ δὲ τῆς ἀφαιρέσεως καὶ ὑπερβάσεως τί τῆς οὐσίας, τουτέστι τῶν οὐσιωδῶν, ἃ καὶ οἰκείως τῷ ὁριστῷ ἐκλεγόμενα τὴν οὐσίαν αὐτοῦ συμπληροῖ. δόξειε δ' ἂν ἄμφω ταῦτα τοῦτό τε καὶ τὸ πρὸ αὐτοῦ οὐ πρὸς τὸ προκείμενον εἰρῆσθαι, λέγω δὴ τὸ τὸν ὁρισμὸν μὴ ἀποδείκνυσθαι διὰ συλλογισμοῦ ἢ μὴ συλλογίζεσθαι τὴν διαίρεσιν, ἀλλὰ πρὸς τὸ τοὺς συλλογισμοὺς μὴ διὰ τῶν διαιρέσεων εὑρίσκεσθαι.

p. 91b 28 Ταῦτα μὲν οὖν παρίεται μέν, ἐνδέχεται.

Τὰ εἰρημένα, φησίν, εἴτε κατὰ τὸν ὁρισμόν, ὡς τὸ πρῶτον εἴρηται, εἴτε κατὰ τὴν διαίρεσιν, ὡς τὸ δεύτερον, καταλιμπάνεται μὲν ἤγουν παραχωρεῖται καὶ ἀφίεται γίνεσθαι δι' ἀπροσεξίαν ἢ καὶ ἀνεπιστημο|σύνην, τοῦ διαιροῦντος. ὅμως οὐκ ἔστιν ἄλυτα τὰ ἐγκλήματα οὐδ' ἀνίατα τὰ ἁμαρτήματα, ἀλλ' ἐνδέχεται λῦσαι ταῦτα καὶ θεραπεῦσαι. εἰ γὰρ διέλοι τις ἐφεξῆς πάντα τὰ ἐν τῷ τί ἐστι, ταὐτὸν δὲ εἰπεῖν τὰ κατ' οὐσίαν κατηγορούμενα, ὡς μηδὲν παραλιπεῖν μήτε κατὰ πλάτος μήτε κατὰ βάθος, οὐδὲν τῶν εἰρημένων πταισμάτων συμβήσεται. δεῖ δὲ οὕτως ἀκούειν τὸ πάντα τὰ ἐν τῷ τί ἐ σ τ ι ν, ἵν' εἴη πάντα τὰ διαιρούμενα ἐν τῷ τί ἐστιν, ἃ τινά εἰσι τὰ εἰδητικά, καὶ μηδὲν μήτε ἀπὸ τῆς ὅλης μήτε συμβεβηκός· ὡς εἶναί τε πάντα τοιαῦτα, καὶ μηδὲν παραλείπεσθαι τῶν τοιούτων. τοῖς γὰρ δυσὶ παραγγέλμασι τὰ τρία ἐπιδιωρθώσατο ἁμαρτήματα. εἰ δὲ πάντα, φησίν, ἐν τῷ τί ἐστιν, οὐ δεῖ ταράττεσθαι ὡς τῶν διαφορῶν ἐν τῷ ὁποῖόν τί ἐστι λεγομένων κατηγορεῖσθαι· τῷ γὰρ γένει συνειλημμέναι ἐν τῷ τί ἐστι λέγονται καὶ αὐταί, ἐπεὶ καὶ ἅπας ὁ ὁρισμὸς ἐκ τοῦ γένους καὶ αὐτῶν συνιστάμενος τὸ τί ἐστιν ἔστι. κατά τε οὖν τὸν ὁρισμὸν δεῖ τοιαῦτα πάντα λαβεῖν, ἤτοι εἰδητικά τε καὶ ἐν τῷ τί ἐστι, καὶ μηδὲν παραλιπεῖν τῶν συμπληρούντων τὸν ὁρισμόν, κατά τε τὴν διαίρεσιν τὸ αὐτὸ ποιεῖν. πᾶν γὰρ τὸ διαιρούμενον ἐπὶ εὑρέσει τοῦ τί ἐστι γένος τε δεῖ εἶναι καὶ εἰς πάντα διαιρεῖσθαι τὰ ὑπ' αὐτὸ ἀναγόμενα διὰ μέσων τῶν διαφορῶν. ἐξ ἀρχῆς μὲν γὰρ τὸ γένος ἁπλοῦν αἰτεῖταί τε καὶ λαμβάνεται· εἶτα διαφορᾶς προσγινομένης οὐσιώδους αὐτῷ καὶ εἰδοποιοῦ τὸ ἀποτελούμενον εἶδος μὲν γίνεται τοῦ προτέρου, γένος δὲ τοῦ ἐφεξῆς, καὶ οὕτως ἀεί, ἔστ' ἂν εἰς τὸ ἄτομον εἶδος ἥξωμεν, ἤγουν τὸν λόγον τῷ ὁριστῷ ἐξισάσωμεν· καὶ τοῦτό ἐστι τὸ ζητούμενον τί ἐστι.

---

9 δείκνυσθαι Aa 10 μὴ om. Aa 15 ἐπιστημοσύνην a
16 ἐκλήματα Aa 23 παραλείψεσθαι Aa δύο Aa 31 δεῖ] δοκεῖ E
34 προγινομένης E 35 γίνεται om. Aa 36 ἄτομον] ἀγόμενον E
ἥξομεν Aa

p. 91b30 Τοῦτο δ' ἀναγκαῖον, εἰ ἅπαν εἰς τὴν διαίρεσιν ἐπιπίπτει. 36

Τὸ μηδὲν παραλείπειν ἀναγκαίως ἕπεται, φησίν, εἰ ἅπαν, ὅπερ ἂν ὑπὸ τὸ γένος ᾖ, εἰς τὴν διαίρεσιν ἐμπίπτει, τουτέστιν ἐν τῇ διαιρέσει παραλαμβάνεται, ὡς μηδὲν τοῦ διαιροῦντος καταλιμπάνοντος μήτε κατὰ πλάτος μήτε δὲ κατὰ βάθος· οὕτω γὰρ ἀνελλιπῶς γινομένης τῆς διαιρέσεως οὔτε κατὰ τὸν ὁρισμὸν οὔτε κατὰ τὴν διαίρεσιν τῶν εἰρημένων τι συμπεσεῖται ἁμαρτημάτων. ἢ οὐχ ὁμοῦ δεῖ καὶ ἐπὶ τῶν αὐτῶν ἀκούειν τὸ ἅπαν εἰς τὴν διαίρεσιν ἐμπίπτειν καὶ μηδὲν ἐλλείπειν, ἀλλὰ τὸ μὲν ἐπὶ τοῦ πλάτους, τὸ δὲ ἐπὶ τοῦ βάθους, ὡς μήτε τῷ διαιρεῖν τὰ ἐπάνω τι καταλιμπάνειν τῶν ὑπ' αὐτά, ἀλλὰ πάντα ἐπεξιέναι, οἷον τὸ ζῷον διαιροῦντας εἰς πεζὸν καὶ πτηνὸν καὶ νηκτόν, καὶ μὴ μέχρι τῶν δύο πλατύνειν καταλιμπάνοντας τὸ ἕν, καὶ αὖθις κατὰ βάθος μὴ μέχρι τοῦ πεζοῦ ἵστασθαι, καὶ τὸ ζῷον πεζὸν λόγον ποιεῖσθαι τοῦ ἀνθρώπου, ἀλλὰ διαιρεῖν καὶ τοῦτο εἰς ἄπουν καὶ δίπουν καὶ πολύπουν· οὕτω γὰρ τὸ τέλειον εὑρόντες οὐκέτι χρείαν τοῦ τέμνειν ἔχομεν. οὕτω γὰρ ἔσται ἀκόλουθον τὸ ἐπιφερόμενον. 20 30 25

p. 91b32 Τοῦτο δ' ἀναγκαῖον· ἄτομον γὰρ ἤδη δεῖ εἶναι.

Τὸ μὲν πρότερον ἀναγκαῖον ὡς ἀναγκαίως ἑπόμενον εἴρηται, τοῦτο δέ γε τὸ δεύτερον κατὰ τὸ τοῦ χρειώδους σημαινόμενον τέθειται· ἀναγκαίως γὰρ οὕτω τὰς διαιρέσεις ποιεῖν δεόμεθα, ὡς μηδὲν ἐλλείπειν κατιόντες. κανὼν δὲ τούτου τῆς διαγνώσεως, δι' οὗ τὸ μηδὲν ἐλλείπειν ἐπιγνωσόμεθα, εἴπερ εἰς ἄτομον καταντήσομεν, ἤγουν ὅταν ἔσχατον ἢ τὸ ληφθὲν τελευταῖον καὶ εὐθὺς ἀντιστρέφον τῷ ὁριστῷ, ὡς μηκέτι εἰς ἕτερα τέμνεσθαι, μηδέ τι εὑρίσκειν κατηγορούμενον τοῦ ὁριστοῦ ἐν τῷ τί ἐστιν. ἄτομον δὲ λέγεται ἢ ὁ συστὰς λόγος ἐκ τῆς διαιρέσεως ὡς μὴ χρείαν ἔχων τομῆς διὰ τὸ ἤδη ἀντιστρέφειν πρὸς τὸ προκείμενον ὁριστόν, ἢ εἰ τύχοι, ἐσχάτη διαφορὰ καὶ ἰδίως τῷ προκειμένῳ μόνῳ καὶ μηδενὶ ἑτέρῳ ὑπάρχουσα, ὡς τὸ νοῦ καὶ ἐπιστήμης δεκτικὸν τῷ ἀνθρώπῳ, ἥτις οὐδὲ εἰς πλείω τέμνεται διὰ τὸ μὴ ἐν πλείοσιν εἴδεσιν εὑρίσκεσθαι. ἢ ἴσως κἂν τις εἴη διαφορὰ θεωρουμένη ἐν πλείοσι, ταύτης δὲ τελευταῖον προστιθεμένης ἀντιστρέφει τὸ ὅλον πρὸς τὸ προκείμενον, ῥηθήσεται ἄτομος, οὐχ ἁπλῶς ἀλλ' ἐν τῷδε τῷ λόγῳ, ὃν τῇ ἑαυτῆς ἔπαυσε προσθήκῃ τοῦ διαιρεῖσθαι καὶ τέμνεσθαι, ὡς ἐν τῷ ζῷον πεζὸν δίπουν τὸ δίπουν. 30 35

---

2 post Τὸ add. δὲ A 3 ὑπὸ τὸ] τὸ τὸ Aa 4 καταλιμπάνοντας E
5 γενομένης E 14 εὑρηκότες Aa 20 κατιόντες scripsi: κατιόντας libri
23 ἀναστρέφον E 27 εἰδίως ex ἰδίως E 28 τέμνεσθαι δύναται Aa
31 τὸ ὅλον om. E

p. 91b32 Ἀλλὰ συλλογισμὸς ὅμως οὐκ ἔνεστιν. 36

Οὐκ ἀδιόρθωτα μὲν τὰ ἐν τῇ διαιρέσει ἁμαρτανόμενα οὐδὲ ἄχρηστος ἡ τοιαύτη μέθοδος πρὸς γνῶσίν ἐστιν, ἀλλὰ πολλὰ ἐκ ταύτης γνωρίζομεν οὕτως αὐτὴν ὡς εἴρηται μετερχόμενοι· ἀλλ' οὐ παρὰ τοῦτο φαίημεν ἂν αὐτὴν συλλογίζεσθαι. εἴπερ γὰρ γνωρίζειν ποιεῖ, ἄλλον τρόπον ἀλλ' οὐ κατὰ συλλογισμὸν τοῦτο ποιεῖ· τοῦτο γὰρ προέκειτο ἐξ ἀρχῆς. ὥστε κἂν μεταξὺ παρεκβάντες περὶ αὐτῆς ἠπορήσαμεν καὶ αὖθις τὰ ἠπορημένα λελύκαμεν, ἀνατρέχοντες αὖθις ἐπὶ τὸ πρότερον λέγομεν ὅτι κἂν γνῶσιν παρέχῃ κἂν εἰς τοὺς ὁρισμοὺς συμβάλληται ἡ διαίρεσις, οὐ συλλογίζεται, καθὼς αὐτὴν προχειριζόμενοι ἀπεδείξαμεν. οὕτω δὴ συντάττειν, οἶμαι, τὴν λέξιν ἐστὶ προσφυέστερον. ἀλλ' εἴπερ γνωρίζειν ποιεῖ, ἄλλον τρόπον· ὡς ἐξακούεσθαι τὸ ποιεῖ καὶ ἐν τούτῳ. οὐκ ἀκαίρως δὲ ἔοικεν ἐκ τοῦ προκειμένου τε παρεκβῆναι μικρὸν καὶ ἐπαπορῆσαι κατὰ τῆς διαιρέσεως σφαλερὰν ἀπελέγχων αὐτήν, εἶτα συστῆσαι ταύτην διὰ τῶν λύσεων καὶ δεῖξαι μέθοδον καὶ αὐτὴν οὖσαν πρὸς ἐπιστήμην συμβαλλομένην, ἀλλ' ἵνα δείξῃ μὴ πᾶσαν ἐπιστήμην τῇ συλλογιστικῇ καὶ ἀποδεικτικῇ περιέχεσθαι, ἀλλ' εἶναί τινας καὶ παρ' αὐτὴν διδασκαλίας τρόπους οἳ αὐτῇ οὐχ ὑπόκεινται. ὥστ' οὐ διαβάλλων τὴν διαιρετικὴν δόξειεν ἂν δικαίως λέγειν ἅπερ λέγει περὶ αὐτῆς, ἀλλ' ἢ μᾶλλον καὶ συνιστῶν καὶ βεβαιῶν αὐτὴν ὡς ἔστι καθ' αὑτὴν ἄνευ τοῦ συλλογίζεσθαι.

p. 91b34 Καὶ τοῦτο μὲν οὐδὲν ἄτοπον.

Οὐδέν, φησίν, ἄτοπον οὐδὲ παράδοξόν ἐστι τὸ λέγειν γνῶσιν μὲν παρέχειν τὴν διαιρετικήν, μὴ μέν|τοι γε συλλογίζεσθαι· οὐ γὰρ πᾶσα γνῶσις 37
ἀγνοουμένου τινὸς διὰ συλλογισμοῦ γίνεται. ἰδοὺ γὰρ καὶ ὁ ἐπάγων γνωρίζει μὲν ἐκ τῶν μερικῶν τὸ καθόλου πιστούμενος, ἀλλ' οὐ συλλογίζεται. κοινότερον δὲ ἐνταῦθα τὸ ἴσως τέθεικεν.

p. 91b35 Ἀλλ' ὅμως δηλοῖ τι.

Δόξειεν ἂν ἀκολουθότερος εἶναι ὁ λόγος, εἰ ληφθείη ἀνάπαλιν 'συλλογισμὸν μὲν οὐ λέγει ὁ λέγων τὸν ὁρισμὸν ἐκ τῆς διαιρέσεως, ἀλλ' ὅμως δηλοῖ τι.' ὁ γὰρ ἐκ τῆς διαιρέσεως, φησί, τὸν ὁρισμὸν συνιστῶν συλλογισμὸν μὲν οὐ λέγει, ὡς εἴρηται, ἀλλ' ὅμως δήλωσιν πράγματος καὶ γνῶσιν παρέχεται. εἰ δὲ βούλοιτό τις, ἔστω καὶ καθ' ὑπερβατόν· δηλοῖ

---

2 ἀδιάρθρωτα E 3 πρὸς τὴν γνῶσιν E πολλὰ om. Aa 4 μεταχόμενοι Aa 8 τὰ πρότερον Aa 9 συμβαίνηται Aa 10 δὴ] δὲ E οἶμαι om. Aa 13 κατὰ om. E 16 καὶ τῇ ἀποδεικτικῇ E 17 οἳ— ὑπόκεινται om. Aa 18 ἅπερ λέγειν περὶ Aa 22 post φησίν add. ἴσως Aa 24 ὁ om. A 26 τὸ ἴσως ἐνταῦθα coll. Aa 29 ὁ λέγων om. a

μέν τι ὁ ἐκ τῆς διαιρέσεως λέγων τὸν ὁρισμόν, ἀλλ' ὅμως συλλογισμὸν 37
οὐ λέγει. ἔσται γὰρ τοῦτο τοῖς ἑξῆς οἰκειότερον.

p. 91b37 Ὥσπερ γὰρ ἐν τοῖς συμπεράσμασιν. 10

Τὸ ἑξῆς τῆς λέξεως ἐκ τῶν πρότερον εἰρημένων ἤδη σαφές ἐστι, καὶ 15
5 οὐ δεῖται πλείονος λόγου· οὔτε γὰρ ἡ σύνταξις δυσχερὴς καὶ ἡ διάνοια
πᾶσα ἐκεῖ δεδήλωται. τίνα τε γὰρ ἔστιν εἰπεῖν συμπεράσματα ἄνευ τῶν
μέσων, ἐν οἷς ἔστιν ἐπιζητῆσαι τὸ διὰ τί, καὶ πῶς κἂν τινῶν ὄντων
αὐτὰ εἶναι λέγηται, χώραν ἔχει ἡ ἐρώτησις, καὶ ὅπως ἐκείνοις ὁμοίως
καθ' ἕκαστόν τε τῶν ἐκ διαιρέσεως εὑρισκομένων εἰς ὅρου σύνθεσιν καὶ
10 τῷ γένει προστιθεμένων καὶ τοῖς προτέροις τῶν ὑστέρων ἔστιν ἐπερωτῆσαι 20
τὸ διὰ τί, καὶ εἰς ἅπαν τὸ τοῦ ὁρισμοῦ σύνθημα· καὶ ὡς οὐκ ἀνάγκη τις
ὁρισμὸν λέγειν αὐτό, ὡς ἐπὶ τοῦ συλλογισμοῦ ἰδεῖν ἔστι μετὰ τὴν τῶν
προτάσεων θέσιν ἀναγκαίως ἑπόμενον τὸ συμπέρασμα, καὶ ὡς ὁ ὁρισμὸς
οὐ συλλογισμός ἐστι, κἂν διὰ τῆς διαιρέσεως ἀπεδείκνυτο, ἱκανῶς εἴρηται,
15 καὶ οὐ χρὴ ταυτολογεῖν, ἀλλὰ μεταβαίνειν ἤδη εἰς τὰ ἑξῆς, πλὴν ὅσον εἰπεῖν
ὅτι διαιρετικοὺς ὅρους λέγει τοὺς εὑρισκομένους ἐκ τῆς διαιρέσεως. καὶ ὅταν
λέγῃ ὁ δὲ τοιοῦτος λόγος ἅπας οὐκ ἔστιν ὁρισμός, ἴσον ἐστὶ λέγειν 25
τῷ οὐκ ἔστι δεδειγμένον συλλογιστικῶς ὅτι ὁρισμός ἐστι. καὶ τοῦτο δῆλον
ἐκ τοῦ ἐπαγομένου, ὅτι εἰ καὶ τῇ διαιρέσει ἀπεδείκνυτο, ἀλλ' ὁρισμὸς οὐ
20 συλλογισμὸς γίνεται, ἅπερ ἐζήτηται ἐξ ἀρχῆς, εἰ μήτε συλλογισμός ἐστι
μήτε συλλογιστικῶς δείκνυται.

p. 92a6 Ἀλλ' ἄρα ἔστι καὶ ἀποδεῖξαι τὸ τί ἐστι κατ' οὐσίαν.

Τὸν ὁρισμὸν δεῖξαι προθέμενος μὴ ἀποδείξει μηδ' ὅλως συλλογισμῷ 30
ὑποκείμενον, πάντα τρόπον ἐπέξεισι δι' οὗ εἰκός ἐστιν οἰηθῆναί τινα ἀπο-
25 δείξει καὶ συλλογισμῷ τὸν ὁρισμὸν ὑποβάλλεσθαι. καὶ ἤδη μὲν δύο προ-
θέμενος ἤλεγξε μηδαμῶς ἀποδεικνύντας ἢ ὅλως συλλογιζομένους τὸν
ὁρισμόν. οὗτοι δὲ ἦσαν ὅ τε διὰ τῶν ἀντιστρεφόντων καὶ ὁ διὰ τῆς
διαιρέσεως· ὡς ἐν παρόδῳ δὲ καὶ τὴν ἐπαγωγὴν μὴ συλλογιζομένην
ἀπήλεγξεν, ὡς εἰ καὶ λέγοι τις κατὰ μέρος ἐξ αὐτῆς τὸν ὁρισμὸν συνίστα-
30 σθαι, ἐκ τῶν ὑπὸ τὸ ὁριστὸν πιστουμένης καθόλου ὑπάρχειν τῷ ὁριστῷ 35
τῶν μερῶν τοῦ ὁρισμοῦ ἕκαστον καὶ τὸν ὁρισμὸν ἅπαντα τὸν συγκείμενον

---

1 μέν τι scripsi: μέντοι E: τι Aa 4 τῶν λέξεων Aa 5 λόγου πλείονος coll. E
γὰρ om. Aa 7 διότι Aa 8 λέγει E ἔχει χώραν coll. E
9 τῶν] τῷ Aa post ἐκ add. τῆς Aa 10 post προτέροις add. προστιθεμένων
δηλονότι A²a 12 αὐτὸ] αὐτοὶ Aa 13 ὁ om. Aa 14 ἀποδείκνυται Aa
15 χρὴ] δεῖ E τὸ ἑξῆς E ὅσα E 16 τῆς om. Aa 17 post λέγῃ
add. ὅτι Aa ὁρισμὸς] ἀριθμὸς A¹ λέγειν] λόγου Aa 19. 20 συλλογισμὸς
οὐ coll. E 23 μὴ ὅλως libri 25 τὸν ὅρον Aa 30 πιστουμένης scripsi:
πιστουμένην libri

ἐξ αὐτῶν· ἀλλά γε μηδ' οὕτως τὸν ὁρισμὸν ἀποδείκνυσθαι, ἐπειδήπερ οὐδ' 37
ἡ ἐπαγωγὴ συλλογίζεται. ἐξετάζει δὲ καὶ περὶ ἑτέρων δύο, οὓς καὶ ὀνο-
μάζει ἐξ ὑποθέσεως, οὐχ ὅτι καὶ ἄμφω ὑποθετικῶς συλλογίζονται, ἀλλὰ
κατηγορικὸς μὲν ὁ πρότερος, διότι δέ τι πρότερον ὑποτιθέμενος καὶ αὐτὸς
5 ὡς ὁμολογουμένην ἀρχὴν οὕτως ἑξῆς συλλογίζεται τῇ ὑποθέσει πρόταστν 40
ἑτέραν προσθείς, τούτου ἕνεκεν καὶ αὐτὸν ἐξ ὑποθέσεως ὀνομάζει. ὑπο-
θέμενος γάρ τις καὶ λαβὼν εἶναι μὲν ὁρισμὸν λόγον ἐκ τῶν ἐν τῷ τί ἐστιν
οἰκείων συγκείμενον, ταὐτὸν δὲ εἰπεῖν ἐκ τοῦ οἰκείου γένους καὶ τῶν
οἰκείων διαφορῶν τοῦ ὑποκειμένου, ἔχων δὲ συνηγμένα τοιαῦτά τινα τῷ
10 προκειμένῳ ὑπάρχοντα, καὶ προσθεὶς τῇ ληφθείσῃ προτάσει ὅτι ταῦτα δὲ
ἐν τῷ τί ἐστι μόνα, καὶ ἴδιον τὸ πᾶν, οἴεται οὕτως ἀποδεικνύναι τὸν
ὁρισμόν, τοῦτο λέγων εἶναι τὸ εἶναι τῷ ὁριστῷ, ὃ ταῦτα δηλοῖ. πάλιν 45
δὴ καὶ οὗτος τὸ ἐν ἀρχῇ αἰτεῖται καὶ ζητῶν τὸ τί ἦν εἶναι λαμβάνει
τοῦτο ἐν ταῖς προτάσεσιν. εἰ γὰρ δοίημεν ταῦτα τὰ συνηγμένα τὸ τί ἐστι
15 εἶναι τὸ ὑποκείμενον, τί ἄλλο δεδώκαμεν ἢ τὸν ὁρισμὸν εἶναι αὐτοῦ, ὅπερ
ἦν τὸ ζητούμενον. εἰ γὰρ ζητοῦντες τὸν ἀνθρώπου ὁρισμὸν ἔχομεν συν-
αθροισθέντα περὶ αὐτοῦ τὰ ζῷον πεζὸν ὑπόπουν δίπουν ἄπτερον, εἶθ'
ὑποθώμεθα, ταὐτὸν δὲ εἰπεῖν ὡς ἀρχὴν ὑποτιθεμένην λάβωμεν, ὅτι πᾶς
λόγος ὁ ἐκ τῶν ἰδίων ἐν τῷ τί ἐστι τοῦ ὑποκειμένου συγκείμενος ὁρισμός
20 ἐστιν, ὁ δὲ λόγος ὁ λέγων ζῷον πεζὸν ὑπόπουν δίπουν ἄπτερον ἐκ τῶν 50
ἰδίων ἐν τῷ τί ἐστι τοῦ ἀνθρώπου σύγκειται, ὁ λόγος ἄρα οὗτος ὁρισμὸς
τοῦ ἀνθρώπου ἐστί, τί ἄλλο εἴπομεν ἢ ὅτι ὁ λόγος οὗτος ὁρισμὸς τοῦ
ἀνθρώπου ἐστί; ταὐτὸν γάρ ἐστιν εἰπεῖν ὁρισμὸν καὶ λόγον ἐκ τῶν ἰδίων
ἐν τῷ τί ἐστι συγκείμενον. τίνα δέ ἐστιν ἃ φαμεν ἴδια ἐν τῷ τί ἐστιν; ἢ τὸ
25 οἰκεῖον τοῦ εἴδους γένος καὶ τὰς αὐτῷ ἁρμοζούσας διαφοράς, | ὧν συνελ- 38
θόντων ἀλλήλοις ὡς ἐκ μερῶν ὅλον τὸ τί ἐστι καὶ ὁ ὅρος συνίσταται.
ἴδια δὲ ταῦτα οὐχ ὡς ἀντιστρέφοντα πρὸς τὸ εἶδος καθ' ἕκαστον λέγεται,
ἀλλ' ὡς οἰκεῖα αὐτοῦ, κἂν μηδὲν ἧττον ἢ αὐτῷ καὶ ἑτέροις ἴσως ᾠκείωται,
ἐπεὶ καὶ ἑκάστου εἴδους τὸ γένος οἰκεῖον αὐτοῦ καὶ ἴδιον, ὡς ἴδιον
30 ἀνθρώπου γένος τὸ ζῷον καὶ ἀρετῆς ἕξις καὶ γεωμετρίας ἐπιστήμη καὶ
ἄλλου ἄλλο. οὐ μόνον δὲ ὁ οὕτως τὸν ὁρισμὸν ἀποδεικνύειν λέγων τὸ ἐν 5
ἀρχῇ αἰτεῖται, ὅπερ ἀλλότριον ἀποδείξεως, ἀλλὰ καὶ τὸ χρήσιμον ἀναιρεῖ
τοῦ συλλογισμοῦ, ὀργάνου ὄντος ταῖς ἐπιστήμαις καὶ ἀεὶ συντελοῦντος πρὸς
ἕτερον ὡς τέλος. οὐ γὰρ τῶν κειμένων ἕτερον συνάγει τῷ ταῦτα εἶναι,
35 ἀλλὰ διάφορα λαμβάνει αὐτά τε πρὸς ἄλληλα τὰ τιθέμενα καὶ πρὸς αὐτὸ
τὸ συμπέρασμα. ὅτι δὲ τοῦτο τῆς διὰ τῶν ἀντιστρεφόντων τῷ ὁρισμῷ
ἀποδείξεως παραλογώτερον, δῆλον· ἐκεῖ μὲν γὰρ ἄλλος ὁ μέσος λαμβανό-

---

10 ὅτι om. E 12 εἶναι post λέγων om. E τὸ ὁριστῷ E 15 τὸ] τοῦ E εἶναι (post ὁρισμὸν) om. E 18 ὑποθώμεθα E 23 post ἀνθρώπου ἐστί add. πᾶς ὁρισμός τινος ὁρισμὸς αὐτοῦ ἐστι. ὁ λόγος ἄρα οὗτος ὁρισμὸς ἀνθρώπου ἐστι Aa 24 ante συγκείμενον add. τοῦ ὁρισμοῦ Aa 25 εἴδους γένος] ἰδίου γένους Aa 29 ἐπεὶ] ἐπὶ E 30 γεωμετρικῆς Aa 31 ὁ om. Aa 35 post τε add. καὶ Aa 36 τοῦ ὁρισμοῦ E

μενος ὁρισμὸς ὑπάρχειν ἐδόκει καὶ ἄλλος ὁ δι' ἐκείνου δεικνύμενος, ἐνταῦθα 38
δὲ οὐκ ἄλλος ἀλλ' ὁ αὐτός· τὸν γὰρ ὁρισμὸν τοῦδε μέσον λαμβάνει, καὶ 10
τὸν ὁρισμὸν τοῦδε δείκνυσιν ὁρισμὸν ὄντα αὐτοῦ. ὅτι δὲ καὶ περιττὸν τὸ
τὸν ὁρισμὸν τοῦ ὁρισμοῦ λαμβάνειν ἐν τῷ ὁρίζεσθαι, ἐκ τῆς πρὸς τὸν συλ-
5 λογισμὸν δείκνυσιν ὁμοιότητος· ὡς γὰρ συλλογιζομένους ἡμᾶς περί τινος οὐ
χρεία ἐστὶ τὸν τοῦ συλλογισμοῦ ὁρισμὸν λαμβάνειν, ἀλλὰ μόνον προτάσεις
τιθέναι ἢ ἄμφω καθόλου ἢ τὴν μὲν καθόλου τὴν δ' ἐν μέρει, καὶ οὕτως
ἐπάγειν τιθείσαις αὐταῖς τὸ συμπέρασμα, τὸν δὲ ὅρον τοῦ συλλογισμοῦ 15
προωμολογημένον ἔχοντας μὴ παρεισάγειν μὲν τοῦτον ἐν ταῖς προτάσεσιν,
10 ἀλλ' εἴπερ τις ἀντιλέγει ὡς ἡμῖν τὸ ἴδιον τοῦ συλλογισμοῦ οὐ τετήρηται,
τότε παράγειν εἰς μέσον τὸν ὁρισμὸν τοῦ συλλογισμοῦ, καὶ πείθειν τὸν
ἐνιστάμενον ὡς τετηρήκαμεν ἅπαντα ἅπερ τῷ συλλογισμῷ ἐποφείλεται,
οὕτω δὴ καὶ τοῦ ὁρίζεσθαι. τὸ γὰρ τὸν ὅρον ἀποδεικνύειν οὐδέν ἐστιν
ἄλλο ἢ ὁρίζεσθαι· οὐκ ἔστι δὲ χρεία τοῦ παρεισάγειν εἰς μέσον τὸν ὅρον
15 τοῦ ὁρισμοῦ, ἀλλ' ἔχειν μὲν καὶ τοῦτον ὁμολογούμενον, ὁπόταν δὲ ὁρισαμένοις 20
ἡμῖν ἀνθίσταιτό τις ὡς τὸ ἴδιον τοῦ ὁρισμοῦ μὴ τηρήσασιν, τότε χρῆσθαι
τῷ ὁρισμῷ τοῦ ὁρισμοῦ καὶ ἑαυτοὺς δεικνύναι τοῦτον τετηρηκότας ἐν τῷ
ὁρίζεσθαι, ὅτι γε τὸ λέγειν ὡς οὗτος λόγος ἐστὶν ἐκ τῶν ἐν τῷ τί ἐστιν
ἰδίων καὶ ὅτι ὁ ἐκ τῶν ἐν τῷ τί ἐστιν ἰδίων λόγος ὁρισμός ἐστιν οὐδὲν ἄλλο
20 ἐστὶν ἢ τὸν ὁρισμὸν παραλαμβάνειν τοῦ ὁρισμοῦ· ὁ γὰρ ὁρισμὸς λόγος ἐστὶν
ἐκ τῶν ἐν τῷ τί ἐστιν ἰδίων. καὶ οὗτος μὲν ἕτερος τρόπος τῶν ὠνομασμένων
ἐξ ὑποθέσεως, ἱκανῶς ἐλεγχθεὶς ὡς ὁρισμὸν δεικνύειν οὐ δύναται. ὑπο- 25
θετικὸς δὲ ὁ ἕτερος ὡς καὶ οὗτος συλλογιζόμενος ἐξ ὑποθέσεως, ὃς οὐδὲ
αὐτός, ὡς δειχθήσεται, ὁρισμοῦ κατορθοῦν ἀπόδειξιν δύναται. κἂν γὰρ μὴ
25 οὕτως τὸ ἐξ ὑποθέσεως λάβωμεν ὡς πρότερον εἴρηται, ἀλλὰ καθάπερ
εἴωθε λέγεσθαι, οὐδ' οὕτως ὁ ὁρισμὸς ἀποδείκνυται, ἀλλ' αἰτεῖσθαι τὸ ἐξ
ἀρχῆς καὶ ὁ οὕτω τὸν ὁρισμὸν συλλογιζόμενος ἀναγκάζεται. καὶ παρα-
δείγματα τούτου ὡς ὁριστὰ μὲν κακὸν καὶ ἀγαθόν, ὡς ὁρισμοὶ δὲ διαιρετὸν
καὶ ἀδιαίρετον. λέγομεν τοίνυν 'εἰ τῷ κακῷ τὸ εἶναι τὸ διαιρετῷ αὐτῷ 30
30 εἶναι, τῷ δ' ἐναντίῳ τὸ εἶναι τὸ ἐναντίῳ εἶναι, ἔστι δὲ τὸ κακὸν ἐναντίον
τῷ ἀγαθῷ, ἔστιν ἄρα τῷ ἀγαθῷ τὸ εἶναι τὸ ἐναντίῳ εἶναι τῷ κακῷ. ἦν
δὲ τῷ κακῷ τὸ εἶναι τὸ διαιρετῷ εἶναι· τῷ ἀγαθῷ ἄρα τὸ ἀδιαιρέτῳ
εἶναι· ἐναντία γὰρ τὸ διαιρετὸν καὶ τὸ ἀδιαίρετον.' πρῶτον μὲν οὖν ὁ λόγος
οὐκ ἐπὶ πάντων κρατήσει τῶν ὁριστῶν, ὥστε πάντα οὕτως ὁρίζεσθαι τὰ
35 ἐναντία περὶ τῶν ἐναντίων ὑποτιθεῖσιν, ἀλλ' ἐπὶ μόνων οἷς ἐναντιότης
εὑρίσκεται, ἐφ' ὧν δὲ μή, οὔ· ἔπειτα κἀνταῦθα, ἵνα τὸ τί ἦν εἶναι δείξῃ, 35
λαμβάνει τὸ τί ἦν εἶναι. εἰ δὲ καί τις ἐρεῖ ὡς ἕτερον λαμβάνων ἕτερον

---

6 ὁρισμὸν τοῦ συλλογισμοῦ coll. Aa 8 δὲ om. E 10 ἀντιλέγοις E
14 δὲ om. Aa 15 ὁπότε E ὁρισάμενος E 23 καὶ οὕτω Aa
ante ἐξ add. τουτέστιν Aa 27 ὁ om. Aa 29 τὸ διαιρετῷ scripsi: τῷ
διαιρετῷ E: τὸ om. Aa 30 τὸ ἐναντίον εἶναι E 30. 31 ἐναντίῳ τῷ Aa
31 τὸ εἶναι τῷ ἀγαθῷ coll. E 32 ἄρα τὸ] ἄρα τῷ E 35 μόνον Aa
36 μή in lac. om. Aa 37 καί om. E

ἀποδείκνυσι, τοῦτο δὲ οὐκ ἄτοπον, ἀλλὰ πρῶτον μὲν οὐδ' αὐτὸ δῆλον τὸ 38
λαμβανόμενον, οὐδὲν δὲ ἧττον τοῦ προκειμένου ζητούμενον· ἔπειτα εἰ καὶ
αὐτὸ δέοι δεῖξαι, διὰ τοῦ ἐναντίου δειχθήσεται, ὡς εἶναι δι' ἀλλήλων ταῦτα
δεικνύμενα, ὅπερ ἐπιστήμης ἀλλότριον. λαμβάνειν γὰρ ἐφεῖται μὲν ἐν ταῖς
5 ἀποδείξεσι· καὶ γὰρ ἐν αὐταῖς ἄλλο ἄλλου κατηγορεῖται, ὅπερ οὐκ ἂν ἦν,
εἰ μή τι ἐν αὐταῖς ἐλαμβάνετο· οὐ μὴν αὐτὸ ἐκεῖνο ὃ δεῖξαι πρό- 40
κειται, ἀλλ' οὐδὲ οὗ ὁ αὐτὸς λόγος, ὡς ἀντιστρέφειν τὰς δείξεις πρὸς
ἀλλήλας τοῦ τε ληφθέντος καὶ τοῦ δι' ὃ εἴληπται, ἀλλ' ἕτερόν τι καὶ
ἄλλως ἔχον, καὶ οὕτω τὰς κατηγορίας ποιεῖσθαι, ταὐτὸν δὲ εἰπεῖν λαμ-
10 βάνειν τὰς προτάσεις ἕτερον τὸ μέσον θεμένους τῶν ὅρων οὓς ἔχειν δεῖ
τὸ συμπέρασμα, ὅπερ ἢ ἀμφοῖν ἔσται κατηγορούμενον ἢ ἀμφοῖν ὑποκεί-
μενον, ἢ τοῦ μὲν οὕτως τοῦ δ' ἐκείνως, ὅπερ δὴ καὶ πρὸς τὴν τοῦ ὁρισμοῦ
ἀπόδειξιν οἰκειότατον ὡς καθόλου τῷ ὁριστῷ καὶ ἐν καταφάσει ὑπάρχοντος. 45
ταῦτα μὲν οὖν πρὸς ἕκαστον εἴρηται τῶν τρόπων. κοινῶς δὲ πρός τε τὸν
15 ἐκ διαιρέσεως λέγοντα δεικνύειν τὸν ὁρισμὸν καὶ πρὸς τὸν ἐξ ὑποθέσεως
ἔστιν εἰπεῖν ὡς οὐδεμία ἐστὶν ἀνάγκη, εἰ καὶ καθ' ἓν τὰ κατηγορούμενα
ἀληθεύει κατὰ τοῦ ὁριστοῦ, ἤδη καὶ τὸ ἐκ πάντων, ὡς ἓν εἶναι δύνασθαι
δηλοῦν τὸ τί ἐστιν αὐτό. οὔτε γὰρ ὁ ἐκ διαιρέσεως ἐκλεξάμενος τῷ ἀνθρώπῳ
τὸ ζῷον καὶ τὸ πεζὸν καὶ τὸ δίπουν, ἀνάγκην τινὰ ἐκ τῶν λαμβανομένων
20 ἐφίστησιν ἓν εἶναι τὸ πᾶν κατηγόρημα, ἀλλ' ἐνδέχεται ἰδίᾳ μόνον κατηγο- 50
ρεῖσθαι ἕκαστον, ζῷον καὶ πεζὸν καὶ δίπουν, οὐ μὴν δὲ καὶ ἅμα ὡς ἕν,
ζῷον πεζὸν δίπουν, ὥσπερ εἰ καὶ τὸν αὐτὸν ἄνθρωπον λέγοιμεν μουσικὸν
καὶ γραμματικόν, ἅπερ οὐκ ἐνδέχεται ἓν γενέσθαι, οὔτε ὁ ὑποθετικῶς
δεικνύων τὸν ὁρισμὸν εἰ τὸ αἰτεῖσθαι τὸ ἐξ ἀρχῆς φυλαττόμενος οὐκ
25 ἀθρόον λαμβάνοι τοῦ ἐναντίου τὸν ὁρισμόν, ἀλλὰ καθ' ἓν ὑπάρχειν τῷ
ἐναντίῳ τιθεὶς τὸ ἐναντίον τῷ ληφθέντι ἀεὶ [τῷ] ἐναντίῳ ὑπάρχειν συλ-
λογίζοιτο, οὐχ ἕξει ἀποδοῦναι διὰ τί ταῦτα πάντα ὡς ἓν συντίθεται καὶ
τὸ τί ἐστιν | ἀπαρτίζει τοῦ προκειμένου. ἐνδέχεται γὰρ ὡς πολλὰ μόνον 39
ἰδίᾳ ἕκαστον, ἀλλ' οὐχὶ καὶ πάντα ὡς ἓν κατὰ τοῦ ὑποκειμένου κατηγορεῖ-
30 σθαι· ὥστε αἰτήσεται τοῦτο, οὐκ ἀποδείξει. ἀλλὰ καὶ ἐπὶ τοῦ κατὰ τὸν
ἕτερον τρόπον ἐξ ὑποθέσεως λέγοντος τὸ αὐτό· οὐδὲ γὰρ οὗτος ἀποδώσει,
διὰ τί ὁρισμὸς τὸ ἐκ τῶν ἐν τῷ τί ἐστιν ἰδίων, οὐδὲ περὶ ἑκάστου τῶν ἐξ
ὧν συνετέθη διὰ τί ἐν τῷ τί ἐστιν, ἐρεῖ, ἀλλ' ἕκαστόν τε αἰτήσεται ἐν τῷ 5
τί ἐστιν εἶναι, καὶ τὸ ἅπαν τί ἐστιν ὡσαύτως.

---

3 δέει Aa 5 ἄλλου ἄλλο coll. E 6 post ἐκεῖνο add. τὸ λαμβανόμενον Aa
8 ἀλλήλοις a τοῦ post καὶ om. Aa 9 ταὐτὸν δὲ εἰπεῖν scripsi: εἰπεῖν δὲ
ταὐτὸν Aa 9. 10 ταὐτὸν — προτάσεις] δεῖ τὰς προτάσεις ταυτὸν δὲ λαμβάνειν E
15 ἐκδιαιρέσει Aa 17 ἓν om. Aa 17. 18 δηλοῦν δύνασθαι Aa
18 ἐκλεγξάμενος a 19 τὸ δίπουν καὶ τὸ πεζὸν coll. Aa 20 μόνον scripsi:
μόνου libri 25 λαμβάνει Aa 26 τὸ ἐναντίον] τὰ ἐναντία E
τῷ delevi 27 πάντα om. a 32 ἐν τῷ om. E ἰδίων] οἰκείων E
ἑκατόν Aa

p. 92a 6 Ἀλλ' ἄρα ἔστιν καὶ ἀποδεῖξαι τὸ τί ἐστι κατ' οὐσίαν, ἐξ 39
ὑποθέσεως δὲ λαβόντα;

Ὅτι μέν, φησίν, οὔτε διὰ τῶν ἀντιστρεφόντων οὔτε διὰ τῆς διαιρέσεως τὸν ὁρισμὸν ἐνδέχεται συλλογίζεσθαι, ἤδη δῆλον ἐκ τῶν εἰρημένων ἐστί. μήποτε δὲ ἄλλον τρόπον ἔστι τοῦτο ποιεῖν, οἷον ὑποθεμένους τι ὥσπερ λῆμμα καὶ τούτῳ ἕτερον προσάψαντας ὁμολόγημα συμπεραίνειν τὸν ὁρισμόν. τὸ δὲ ὑποτιθέμενον λῆμμά ἐστιν ὅτι πᾶν τὸ ἐκ τῶν ἐν τῷ τί ἐστιν ἰδίων οὑτινοσοῦν ὁριστοῦ συγκείμενον, τοῦτο ὁρισμός ἐστι, ταδὶ δὲ ἐν τῷ τί ἐστι μόνα καὶ ἴδιον τὸ πᾶν, καὶ συμπέρασμα ὅτι ταδὶ ἄρα ὁρισμός ἐστι τοῦ ἀνθρώπου, ὅπερ αὐτὸς παρῆκεν ὡς δῆλον. καὶ αὕτη μὲν ἡ διάνοια τῆς λέξεως· δεῖ δὲ καὶ καθ' ἕκαστον ἐπεξελθεῖν τὰ μέρη αὐτῆς. τὸ τί ἐστι κατ' οὐσίαν εἶπεν, ὅτι ἔστιν ἀποδοῦναι τὸ τί ἐστι μὴ κατ' οὐσίαν, ἐκ τῆς ὕλης τινὰ ἢ ἐκ τῶν ἁπλῶς συμβεβηκότων λαβόντας, ὡς ἐπὶ τῶν ὑπογραφῶν γίνεται, οἷον εἰ τὸν ἄνθρωπον εἴποιμεν ζῷον ὀρθοπεριπατητικὸν πλατυώνυχον γελαστικόν· ἐκ γὰρ τῆς ὕλης αἱ τοιαῦται διαφοραὶ ἀλλ' οὐκ ἐκ τοῦ εἴδους ἐλήφθησαν. διὸ τὸ τί ἐστι μὲν δι' αὐτῶν ἀποδίδοται, ἐπεὶ τῷ γένει συνάπτονται, οὐ κατ' οὐσίαν δέ, ἐπεὶ μὴ ἐκ τοῦ εἴδους εἰσί· τὸ γὰρ εἶδος ἡ οὐσία ἑκάστου, καὶ εἰδητικὰ δεῖ εἶναι τὰ εἰς δήλωσιν τοῦ εἴδους λαμβανόμενα. ὡσαύτως ὁ τί ἐστι Σωκράτης ἀποδιδοὺς ὅτι ἀνὴρ φαλακρὸς προκοίλιος σιμὸς καὶ τὰ τοιαῦτα, τί μέν ἐστιν εἶπεν, οὐ κατ' οὐσίαν δέ, τῷ μηδὲν οὐσιῶδες εἰληφέναι. ἐπεὶ δὲ νῦν οὐ περὶ τῶν οὕτως ἀποδιδομένων ὁ λόγος αὐτῷ, ἀλλὰ περὶ τοῦ κυρίως ὁρισμοῦ, διὰ τοῦτό φησι τὸ τί ἐστι κατ' οὐσίαν, ἀντιδιαστέλλων τὸν ὁρισμὸν ἀπ' ἐκείνων. ἆρα δὴ ἔστι, φησί, τοῦτον ἀποδεῖξαι, ἐξ ὑποθέσεως δέ; τουτέστι μὴ κατά τινα τῶν προτέρων τρόπων ἀλλ' ἐξ ὑποθέσεως λαμβάνοντας ἤγουν οὕτω λαμβάνοντας ὡς αἱ κατὰ τὰς ἐπιστήμας ὑποθέσεις λαμβάνονται, οἷον ὡς ἐπὶ γεωμετρίας τὸ δύο εὐθεῖαι χωρίον οὐ περιέχουσι, καὶ τὸ ἀπὸ παντὸς σημείου ἐπὶ πᾶν σημεῖον εὐθεῖαν γραμμὴν ἀγαγεῖν, καὶ τὸ παντὶ κέντρῳ καὶ διαστήματι κύκλον περιγράφεσθαι. ἀρχαὶ γὰρ καὶ ταῦτα γεωμετρικαί, κἂν μὴ οὕτως ὡς τὰ ἀξιώματα ἔχωσιν, ὥστε ἀφ' ἑαυτῶν ταῦτα τοὺς μαθητευομένους προβάλλεσθαι ὡς ἐκεῖνα, ἀλλὰ παρὰ τῶν διδασκάλων παραλαμβάνοντες δέχονται. ἆρ' οὖν ἔστιν ὡς ἐν ὑποθέσεως τάξει λαβόντας εἶναι μὲν τὸ τί ἦν εἶναι, ταὐτὸν δ' εἰπεῖν τὸν ὁρισμόν, τὸ ἐκ τῶν ἐν τῷ τί ἐστιν ἰδίων, τουτέστιν ἐκεῖνο εἶναι τὸν ὁρισμόν, τὸ συγκείμενον ἐκ τῶν ἐν τῷ τί ἐστιν ἰδίων, ἤγουν ἐκ τῶν οἰκείων οὐσιωδῶν κατηγορημάτων

---

1 καὶ om. Aa post οὐσίαν add. καὶ E 4 δήλων a 5 οἷον om. E
6 προσάψαντες a ὁμολόγημεν a 7 ἰδίων om. E 9 συμπεραίνει E
ἄρα om. E τοῦ om. Aa 11 δὲ om. Aa 13 λαμβάνοντας Aa
16 τὸ μὲν τί ἐστι coll. Aa 21 τῷ — εἰληφέναι] ὅτι μηδὲν οὐσιῶδες εἴληφεν Aa
22 ἀποδεδομένων E 25 τρόπον a λαβόντας Aa 25. 26 ἤγουν—λαμβάνοντας om. Aa 31 παρὰ] περὶ Aa 32 λαμβάνοντες δέχονται E
34. 35 ὁρισμὸν τὸν ἐγκείμενον ἐκ τῶν ἰδίων E

οὐτινοσοῦν ὁριστοῦ; οὐ γὰρ ἰδίων τοιούτων οἷα τὰ ἀντιστρέφοντα, ἀλλ' 39
ἴδια ἐν τῷ τί ἐστι τὸ ἴδιον γένος τοῦ ὑποκειμένου φησὶ καὶ τὰς ἰδίας
αὐτοῦ διαφοράς, ἃ καὶ συντεθέντα δεόντως ἴδιον τὸ πᾶν ἀντιστρέφον ἀπο-
τελοῦσι. τούτῳ δὲ τῷ λήμματι καὶ ταύτῃ τῇ ὑποθέσει προσλαμβάνεται
5 ἕτερον τὸ ταδὶ δὲ ἐν τῷ τί ἐστι μόνα, καὶ ἴδιον τὸ πᾶν· τοῦτο γάρ
ἐστιν ἡ ἐλάττων τοῦ συλλογισμοῦ πρότασις· λέγεται δὲ ὡς περὶ συν- 35
ηγμένων τινῶν καὶ ἀλλήλοις συντεθειμένων εἰς ἑνὸς λόγου συμπλήρωσιν,
ὅτι ταῦτα δὲ μόνα ἐν τῷ τί ἐστιν, ἤτοι ὡς πάντων τῶν ἐν τῷ τί ἐστι
λέγεσθαι δυναμένων ἐκεῖσε συνηγμένων κατὰ τοῦ ὑποκειμένου καὶ μηδενὸς
10 ὑπολειπομένου. εἰ γὰρ καὶ τὸ προσεχὲς γένος τοῦ ὁριστοῦ καὶ τὰς προσ-
εχεῖς αὐτοῦ διαφορὰς λαμβάνοντες ἐν τῷ ὁρισμῷ ἔχομεν ἴσως λαβεῖν καὶ
ἕτερα τῶν ληφθέντων ἐπέκεινα, ἃ καὶ αὐτὰ ἐν τῷ τί ἐστι τοῦ ὁριστοῦ
κατηγορεῖσθαι δύναται, ἀλλ' οὖν δυνάμει κἀκεῖνα λαμβάνεται ὡς τοῖς
ληφθεῖσιν ἐνθεωρούμενα· ὁ γὰρ τὸ ζῷον ἐν τῷ τί ἐστι κατηγορήσας τοῦ 40
15 ἀνθρώπου καὶ οὐσίαν καὶ ἔμψυχον καὶ αἰσθητικὸν αὐτοῦ κατηγόρησεν,
ὥστε πάντα ἐκεῖσε τὰ ἐν τῷ τί ἐστιν εἰλῆφθαι, τὰ μὲν δυνάμει τὰ δ'
ἐνεργείᾳ· ὡς ταῦτα μόνα ἐν τῷ τί ἐστιν εἶναι τοῦ ὁριστοῦ καὶ μηδὲν παρα-
λελεῖφθαι, εἰ τὰ προσεχῆ ἅπαντα εἴληπται. ἢ καὶ οὕτω τὸ μόνα, ὡς καὶ
μόνων ἀρκούντων τῶν ληφθέντων δηλοῦν τὸ τί ἐστι. τὸ δὲ καὶ ἴδιον
20 τὸ πᾶν προστέθειται, διότι μὴ ἀρκεῖ λαβεῖν μόνον τινὰ ἐν τῷ τί ἐστι
κατὰ τοῦ ὑποκειμένου λεγόμενα, ἀλλὰ δεῖ καὶ τὸ ἐκ πάντων ἀντιστρέφειν
πρὸς τὸ ὁριστόν. ἢ ὅτι ἐπειδὴ ἡ μείζων πρότασις εἶχε κατηγορούμενον 45
μὲν τὸν ὁρισμόν, ὑποκείμενον δὲ τὸ ἐκ τῶν ἐν τῷ τί ἐστιν ἰδίων, διὰ
τοῦτο εἶπεν ὅτι ταῦτα μόνα ἐν τῷ τί ἐστι, καὶ ἴδιον τὸ πᾶν, τουτέστι
25 καὶ καθ' ἕκαστον ἴδιον ὡς οἰκεῖον γένος καὶ οἰκεῖαι διαφοραί, καὶ τὸ πᾶν
ἴδιον ὡς ἀντιστρέφον. εἰ γὰρ μὴ ἐκ τῶν οἰκείων γένους καὶ διαφορῶν ὁ
λόγος συνέκειτο, οὐκ ἂν ἀντέστρεφεν, εἰ καὶ ἐν τῷ τί ἐστιν ἦν τὰ ληφθέντα·
τὸ γὰρ οὐσία ἔμψυχος αἰσθητικὴ ἐκ τῶν ἐν τῷ τί ἐστι μὲν οὐ μόνον
τοῦ ζῴου, ἀλλὰ καὶ τοῦ ἀνθρώπου· κατηγορεῖται γὰρ καὶ τούτου ἐν τῷ 50
30 τί ἐστιν ἐκεῖνα. τῶν γὰρ καθ' ὑποκειμένου λεγομένων ὅσα κατὰ τοῦ
κατηγορουμένου λέγεται, ταῦτα καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται. ἀλλὰ
τοῦ μὲν ζῴου ἐν τῷ τί ἐστιν ἴδια ἁπλῶς, τοῦ δὲ ἀνθρώπου ἐν τῷ τί ἐστι
μέν, οὐ μὴν ἁπλῶς ἴδια, ἀλλὰ διὰ τὸ ζῷον. ἢ καὶ ἀνωτέρω τὸ ἰδίων
ἀντὶ τοῦ ἰδιαστικῶν ἤγουν ἰδιοποιῶν, ὡς τῇ ἑαυτῶν συνθέσει ἴδιον τῷ ὑπο-
35 κειμένῳ τὸ πᾶν καὶ ἀντιστρέφον ἀποτελούντων, καὶ ἐνταῦθα τὸ ἴδιον τὸ
πᾶν ὡς ἐκ τῶν συντεθέντων ἀποτελούμενον. ὡς εἶναι τὸν λόγον οὕτως·

1 ἀντιστρέφει Aa 9 δυνάμεων Aa ἐκεῖ E κατὰ—ὑποκειμένου post λέγεσθαι transponunt Aa 10 προσχεὲς E 11 λαμβάνοντας E
14 ληφθῆσιν libri 14. 15 κατὰ τοῦ ἀνθρώπου κατηγορήσας Aa 15 καὶ post οὐσίαν om. Aa αἰσθητικὴν Aa κατηγόρηκεν Aa 16 εἴληπται Aa
17 μόνα] μὲν Aa 17. 18 παραλελῆφθαι E 18 εἰ om. Aa 19. 20 τὸ δὲ καὶ—ἐν τῷ τί ἐστι om. Aa 22 ἐπεὶ Aa 23 ὑποκειμένων Aa
26 ἀντιστρέφων a 33 καὶ] ἐν a

πᾶν | τὸ ἐκ τῶν ἐν τῷ τί ἐστι ποιούντων ἴδιον ὁρισμός ἐστιν· οὗτος ὁ λόγος ἐκ τῶν ἐν τῷ τί ἐστιν ἴδιος πεποιημένος. οὗτος ἄρα ὁ λόγος ὁρισμός ἐστι. τὸ δὲ τοῦτο γάρ ἐστι τὸ εἶναι ἐκείνῳ ἴσον ἐστὶ τῷ ταῦτα γὰρ εἰπόντες τὸν ὁρισμὸν συλλελογίσμεθα, ἐπεὶ τοῦτό ἐστι τὸ εἶναι τῷ ὁριστῷ, ὅπερ ὁ λόγος δηλοῖ ὁ ἐκ τῶν ἐν τῷ τί ἐστι συγκείμενος καὶ ἴδιος ὢν πρὸς αὐτὸ καὶ ἀντιστρέφων. ἢ ὥσπερ ἐπίκρισίς ἐστι τῆς μείζονος προτάσεως, ὡς καλῶς εἴληπται· τοῦτο γάρ ἐστι τὸ εἶναι ᾧτινιοῦν ὁρισμῷ, τὸ ἐκ τῶν ἐν τῷ τί ἐστι ἰδίων.

p. 92a 9 Ἢ πάλιν εἴληφε τὸ τί ἦν εἶναι καὶ ἐν τούτῳ; ἀνάγκη γὰρ διὰ τοῦ μέσου δεῖξαι.

Πάλιν, φησί, τὸ αὐτὸ ἄτοπον κἀνταῦθα ὃ δὴ καὶ πρότερον. ὁ γὰρ ταῦτα λέγων εἴληφε τὸ ζητούμενον καὶ ἐν τούτῳ τῷ τρόπῳ ἢ τῷ συλλογισμῷ, ὃ δὴ καὶ ἐπὶ τῶν πρώην ἐγίνετο. τὸ γὰρ ταδὶ ἐν τῷ τί ἐστι μόνα καὶ ἴδιον τὸ πᾶν ταὐτόν ἐστι τῷ ταδὶ ὁρισμός ἐστιν· οὐδὲν γὰρ ἄλλο ἐστὶν ὁρισμὸς ἢ ὁ ἐκ τῶν ἰδίων ἐν τῷ τί ἐστι πάντων ἴδιος λόγος. τὸ δὲ ἀνάγκη γὰρ διὰ τοῦ μέσου δεῖξαι τοιοῦτόν ἐστιν, ὅτι τούτου τοῦ μέσου ληφθέντος ἀνάγκη διὰ τούτου δεῖξαι ὅτι ὁρισμός ἐστιν· ὁ δὲ μέσος οὗτος οὐδὲν ἄλλο ἐστὶν ἢ ὁ ζητούμενος ὁρισμός· ὥστε κἀνταῦθα τὸ ἐξ ἀρχῆς εἴληπται. εἰ γὰρ πρόκειται ὁρίσασθαι ἄνθρωπον, εἴποι δέ τις ὅτι 'ζῷον πεζὸν δίπουν τὰ ἐν τῷ τί ἐστι μόνα καὶ ἴδιος λόγος ἀνθρώπου, πᾶν δὲ τὸ τοιοῦτον τὸ τί ἦν εἶναί ἐστι· οὗτος ἄρα ὁ λόγος τὸ τί ἦν εἶναι τοῦ ἀνθρώπου' τὸ ἐξ ἀρχῆς ᾐτήσατο. τὸ γὰρ εἰπεῖν ὅτι τὰ ἐν τῷ τί ἐστι τοῦ ἀνθρώπου μόνα καὶ ἴδιος λόγος αὐτοῦ ταὐτόν ἐστι τῷ εἰπεῖν ὁρισμὸν εἶναι αὐτοῦ· ὡς εἶναι τὸν λόγον τοιοῦτον 'τὸ ζῷον πεζὸν δίπουν ὁρισμός ἐστιν ἀνθρώπου. πᾶς ὁρισμός τινος ὁρισμός ἐστιν αὐτοῦ. τὸ ἄρα ζῷον πεζὸν δίπουν ὁρισμός ἐστιν ἀνθρώπου'.

p. 92a 11 Ἔτι ὥσπερ οὐδ' ἐν συλλογισμῷ λαμβάνεται τί ἐστι.

Τὸ μὲν πρότερον αἰτίαμα κοινὸν τοῖς προλαβοῦσι τρόποις ἐστί, τοῦτο δ' ἴδιον τοῦ νῦν προκειμένου. ὥσπερ δὲ ἔγκλημα παρανομίας τινὸς κατὰ τῶν οὕτως ἐπιχειρούντων τὸν ὁρισμὸν συλλογίζεσθαι ἐπάγει τουτί. πολλοὶ γὰρ τρόποι ζητήσεως δι' ὧν μὴ γινωσκόμενά τινα ἐφευρίσκεται, οἷον ζητοῦμεν καὶ διὰ διαιρέσεως καὶ δι' ἀναλύσεως καὶ δι' ἀποδείξεως καὶ ἁπλῶς διὰ συλλογισμοῦ, καὶ τούτων ἑκάστη τῶν μεθόδων ὑποδιαιρέσεις ἔχει πολλάς. πολλοὶ γὰρ διαιρέσεως τρόποι καὶ πολλοὶ ἀναλύσεως καὶ συλλογισμοῦ ὡσαύτως πολλοί. ὅπερ οὖν Ἀριστοτέλης ὡς ἀπὸ συλλογισμοῦ κατὰ τῶν οὕτω τὴν ὁριστικὴν μετιόντων ἐπάγει ἔγκλημα, τοῦτο καὶ ἀπὸ πάσης

---

1 ἐν τῷ om. Aa 2 ἰδιοποιημένος Aa 6 ἴδιος] ἰδέως E ἢ om. Aa
15 τοῦ utrobique om. Aa 19 τὸ ζῶον Aa 22 ἴδια E 30 τρόπον Aa
34 post ἀπὸ add. τοῦ Aa

μεθόδου ζητητικῆς ἐπαχθήσεται. οὔτε γὰρ διαιροῦντες οὔτε ἀναλύοντες 40
οὔτε τινὶ ἑτέρᾳ τῶν τοιούτων μεθόδων χρώμενοι πρὸς εὕρεσίν τινος τὸν 30
ὁρισμὸν τῆς μεθόδου ἐν τῷ ζητεῖν εἰς μέσον παραλαμβάνομεν, ἀλλὰ μόνον
εἴ τις ἐνίσταιτο ὕστερον μετὰ τὴν τοῦ προκειμένου συμπλήρωσιν, ὡς οὐ
5 καλῶς τῇ μεθόδῳ κεχρήμεθα, τότε ἴσως χρεία τοῦ αὐτῆς ὁρισμοῦ, δι' οὗ
δείξομεν ὅτιπερ ἡμῖν τὸ καθῆκον τῇ μεθόδῳ τετήρηται. ὃ οὖν ἐν οὐδεμιᾷ
μεθόδῳ εἴωθε γίνεσθαι, τοῦτο πῶς ἐν τῇ ὁριστικῇ ποιοῦσιν; ἴδωμεν δὲ
τὴν λέξιν. ὥσπερ, φησίν, οὐδὲ ἐν τῷ συλλογίζεσθαι ὁ ὁρισμὸς λαμβάνεται 35
τοῦ συλλογισμοῦ (τοῦτο γάρ ἐστι τὸ τί ἐστι τὸ συλλογίζεσθαι) οὕτως οὐδὲ
10 τὸ τί ἦν εἶναι ἤτοι τὸν ὁρισμὸν τοῦ ὁρισμοῦ δεῖ λαμβάνειν ἐν τῷ ὁρίζε-
σθαι (τὸ γὰρ ποιεῖν ὁρισμὸν ἢ εὑρίσκειν ὁρισμὸν ὁρίζεσθαί ἐστιν), ὅπερ
ἐργάζεσθαι πειρῶνται οἱ διὰ τοῦ εἰρημένου τρόπου τὸν ὁρισμὸν εὑρίσκειν
πειρώμενοι.

p. 92ᵃ12 Ἀεὶ γὰρ ὅλη ἢ μέρος ἡ πρότασις ἐξ ὧν ὁ συλλογισμός.

15 Τοῦτο δεικτικόν ἐστι τοῦ μὴ λαμβάνεσθαι τὸν τοῦ συλλογισμοῦ 40
ὁρισμὸν ἐν τῷ συλλογίζεσθαι. εἰ γάρ, φησίν, ἐλαμβάνετο, ἦν ἂν ἀεὶ ἡ
μείζων ἢ ἐλάττων πρότασις τῶν δύο ἐξ ὧν ὁ συλλογισμὸς σύγκειται, ἐν ᾗ
ἔδει κεῖσθαι τὸν αὐτοῦ ὁρισμόν, καὶ ὡρισμένον ἂν ἦν τοῦτο ποῦ ὀφείλει
κεῖσθαι ὁ ὁρισμὸς τοῦ συλλογισμοῦ, εἴτε ἐν τῇ μείζονι, ἣν ὅλην φησίν,
20 εἴτε ἐν τῇ ἐλάττονι, ἣν μέρος καλεῖ, ὡς δέον εἶναι τὸν κανόνα ἀεὶ ὡσαύτως
ἔχοντα· νῦν δ' οὐδαμοῦ τοῦτο θεωρεῖται γινόμενον. οὐκ ἄρα ὁ ὁρισμὸς
τοῦ συλλογισμοῦ λαμβάνεται ἐν τῷ συλλογίζεσθαι· οὐδ' ἄρα ἐν τῷ συλλο- 45
γισμῷ τῷ περὶ τοῦ ὅρου δεῖ τὸν ὅρον αὐτοῦ λαμβάνεσθαι. διττὴ δὲ ἡ
γραφὴ τίθεται. ἐνίοις μὲν γὰρ τῶν ἀντιγράφων οὕτως εὕρηται οὕτως
25 ἄρα οὐδὲ τὸ τί ἦν εἶναι· ἐνίοις δὲ οὕτω γὰρ οὐδὲ τὸ τί ἦν εἶναι.
ἐκείνως μὲν οὖν οὐδεμίαν ἔχει δυσχέρειαν ἡ τῆς λέξεως σύνταξις. κατὰ
δὲ τὴν δευτέραν θέσιν τὸ γάρ οὐ κατασκευαστικὸν κριθήσεται, ἀλλὰ παρα-
πληρωματικὸν ἀντὶ τοῦ δή, ὡς εἶναι τὸν λόγον οὕτως 'οὕτω δὴ οὐδὲ τὸ τί
ἦν εἶναι δεῖ ἐνεῖναι ἐν τῷ συλλογισμῷ, ἀλλ' εἶναι τὸ τί ἦν εἶναι τοῦ τε 50
30 συλλογισμοῦ τοῦ τε ὁρισμοῦ χωρὶς τῶν κειμένων', τουτέστι τῶν προτάσεων
τῶν τεθεισῶν καὶ ὁμοῦ γραφεισῶν πρὸς τὸ ἀκολουθῆσαι αὐταῖς τὸ ζητού-
μενον. καὶ ὥσπερ τινὸς ἐρωτᾶν μέλλοντος, εἰ μηδέποτε μηδαμῇ τοῖς συλ-
λογιζομένοις περί τινος ὁ ὁρισμὸς τοῦ συλλογισμοῦ χρήσιμος ἐν τῷ περὶ
τοῦ συλλογιζομένου πράγματος συλλογίζεσθαι, φησὶν ὅτι ἕως ἔτι συλλογιζό-
35 μεθα καὶ τὴν εἰς εὕρεσιν τοῦ ζητουμένου ὁδὸν συλλογιστικῶς ἐξανύομεν,
οὐ χρεία τοῦ ὅρου ἐστὶ τοῦ συλλογισμοῦ, | μετὰ δὲ τὸ ἀπαρτισθῆναι 41

---

2 τινὶ μεθόδῳ ἑτέρα τῶν τοιούτων E 7 τοῦτο om. Aa 8. 9 τοῦ συλλογισμοῦ ὁ ὁρισμὸς λ. coll. E 14 ἢ om. a 17 σύγκειται om. E 22 ἄρα οὐδ' ἐν coll. Aa 25 ἐνίοις—τί ἦν εἶναι om. Aa 28 δή] δῆ AE: δηλονότι a 30 τοῦ τε ὁρισμοῦ om. Aa 32 post εἰ add. δὲ Aa μηδέποτε] μηδ' ἐπὶ τὸ a 34 ὅτι om. E

τὸν συλλογισμὸν εἴ τις εἴη ἀμφισβητῶν, εἰ ὁ κανὼν ἡμῖν τετήρηται τοῦ 11
συλλογισμοῦ εἴτε μή, ἀνθίστασθαι καὶ τότε προφέρειν εὐκαίρως τὸν
ὁρισμὸν τοῦ συλλογισμοῦ δεικνύντας ὡς συλλελογίσμεθα· τοῦτο γὰρ ὁ
ὁρισμὸς τοῦ συλλογισμοῦ ἀπαιτεῖ, ὃ ἡμεῖς πεποιήκαμεν. τὸ αὐτὸ χρὴ
5 ποιεῖν καὶ ἐν τῷ ὁρίζεσθαι, εἴτε διὰ συλλογισμοῦ τοῦτο εἴτε ἄλλως τις
ἐκπληροῖ· μετὰ δὲ τὸ τὴν ὁδὸν ἐκτελέσαι τὴν ἄγουσαν εἰς ἀπαρτισμὸν 5
τοῦ ὁρισμοῦ εἴ τις εἴη φάσκων ὡς οὐ τί ἦν εἶναι δέδεικται, τότε καιρὸς
τῷ ὁρισμῷ χρῆσθαι τοῦ ὁρισμοῦ δεικνύντας δι' αὐτοῦ ὡς τὸ τί ἦν εἶναι
τὸ δεδειγμένον ἐστί· τοῦτο γὰρ εἶναι ὁμολογεῖται τὸ τί ἦν εἶναι. δῆλον
10 ἄρα ἐκ τῶν εἰρημένων ἐστὶν ὅτι οὔτε τὸν τοῦ συλλογισμοῦ ὅρον χρὴ
παραλαμβάνειν ἐν τῷ συλλογίζεσθαι οὔτε τὸν τοῦ ὅρου ἐν τῷ ὁρίζεσθαι
ἤτοι ὁρισμὸν κατασκευάζειν. προσθετέον δ' ὅτι οὐδ' ἐν τῷ διαιρεῖν τὸν
τῆς διαιρέσεως ἢ ἐν τῷ ἀναλύειν τὸν τῆς ἀναλύσεως ἢ ἴσως ἄλλης 10
μεθόδου τινὸς ἐν τῷ δι' αὐτῆς τι ζητεῖν.

15 p. 92a 20 Κἂν ἐξ ὑποθέσεως δὲ δεικνύῃ.

Ἐπὶ τὸν ἕτερον μεταβαίνει τρόπον τὸν ὑποθετικῶς πειρώμενον περὶ
τοῦ ὁρισμοῦ συλλογίζεσθαι καὶ οὕτως εὑρίσκειν αὐτόν. καὶ πρότερον 15
ἐκτίθησι παράδειγμα πῶς ἐνδέχεται προχωρεῖν τὸ ἐξ ὑποθέσεως τὸν
ὁρισμὸν δείκνυσθαι κατὰ τοῦτο τὸ σημαινόμενον τοῦ ἐξ ὑποθέσεως· εἶτα
20 δὲ ἀπελέγχει καὶ αὐτὸν ὡς οὐκ εὐοδούμενον. τῷ δὲ κἂν ἐξ ὑποθέσεως
δὲ δεικνύῃ χρὴ συνεξακούειν τὸ οὐδ' οὕτως ἕξει καλῶς τὸ τὸν ὁρισμὸν
δεικνύειν ἢ συλλογίζεσθαι. εἶτα τὸ παράδειγμα, οἷον εἰ πρόκειται τοῦ
ἀγαθοῦ εὑρεῖν ὁρισμόν· τούτῳ δέ ἐστιν ἐναντίον τὸ κακόν. εἶτα ὑπο-
θώμεθα τὸν τοῦ κακοῦ ὁρισμόν, ἵν' οὕτω προβαίῃ συλλογισμὸς ὁ ἐξ ὑπο- 20
25 θέσεως 'εἰ τῷ κακῷ ἐστι τὸ εἶναι τὸ διαιρετῷ εἶναι, τούτῳ δὲ ἐναντίον
τὸ ἀγαθόν, οἷς δέ ἐστιν ἐναντία, τούτοις τὸ εἶναι τὸ ἐναντίοις εἶναι οἷς
ἐστιν ἐναντία, δῆλον ὅτι τῷ ἀγαθῷ τὸ εἶναι τὸ ἀδιαιρέτῳ εἶναι· ἐναντίον
γὰρ τὸ διαιρετὸν καὶ τὸ ἀδιαίρετον. ἔστιν ἄρα ἀγαθῷ εἶναι τὸ ἀδιαιρέτῳ
εἶναι.' ἔστιν οὖν τοιουτοτρόπως γινόμενος ὁ ὑποθετικός, ἐκ τριῶν συγ-
30 κείμενος ὑποθέσεων, αἷς ἐπάγεται τὸ συμπέρασμα. ἐλέγχεται δὲ καὶ
οὗτος ὁ τρόπος μὴ καλῶς τὸν ὁρισμὸν συλλογιζόμενος. 25

p. 92a 24 Καὶ ἐνταῦθα λαβὼν τὸ τί ἦν εἶναι δείκνυσι.

Καὶ οὗτος, φησίν, ὁ τρόπος ὁρισμοῦ ζητουμένου εἰς ἀπόδειξιν αὐτοῦ
ὁρισμὸν λαμβάνει· ὡς ἐοικέναι καὶ τοῦτον αἰτεῖσθαι τὸ ἐν ἀρχῇ. ἔροιτο

---

3 συλλογίσμεθα Aa 4 τοῦ συλλογίζεσθαι Aa 6 δὲ om. Aa 10 ἐστὶν om. Aa 12 οὐδ' ἐν] οὔτε ἐν Aa 14 δι' αὐτοῦ E 15 δείκνυσι Aa
20 ἀπελέγξει Aa 21 δεικνύει E 27 τὸ post ἀγαθῷ om. E
22 ἀδιαιρέτῳ] ἀδιατρώτω E 29 τοιοῦτο τρόπος A 30 καὶ om. E
34 ὁρισμὸν post ζητουμένου transp. E

δ' ἄν τις καὶ τί ἄτοπον; εἰ μὲν γὰρ ὁ ζητούμενος ὁρισμὸς ἐλαμβάνετο ἢ 41
ἕτερος μέν, τοῦ αὐτοῦ δ' ὁριστοῦ, εὐλόγως ἂν ὡς τὸ ἐν ἀρχῇ αἰτούμενος
κατεκρίνετο, οἷον εἰ ζητουμένου ὁρισθῆναι τὸ ἀγαθὸν ὁρισμὸν τοῦ 30
ἀγαθοῦ λαβὼν ἢ τὸν αὐτὸν ὃν εἴληφεν ἢ καὶ ἕτερον, ὡς οἱ διὰ τῶν ἀντι-
5 στρεφόντων ἐποίουν, συνῆγε κατὰ τοῦ ὁριστοῦ· ἀμφοτέρως γὰρ ἂν οὗτος
ᾐτεῖτο τὸ ἐξ ἀρχῆς. νῦν δ' οὔτε τὸν αὐτὸν οὔτε τοῦ αὐτοῦ, ἀλλ' ἑτέρου
καὶ ἕτερον'. πρὸς οὖν τὸν οὕτως τῷ λόγῳ ἐπαπορήσοντα ἐπιφέρει.

p. 92ᵃ24 Λαμβάνει δ' εἰς τὸ δεῖξαι τὸ τί ἦν εἶναι, ἕτερον μέντοι
ἔστω· καὶ γὰρ ἐν ταῖς ἀποδείξεσιν ὅτι ἔστι τόδε κατὰ τοῦδε, 35
10 ἀλλὰ μὴ αὐτὸ μηδὲ οὗ ὁ αὐτὸς λόγος καὶ ἀντιστρέφει.

Ἔξεστι μὲν γὰρ λαμβάνειν εἰς δεῖξιν τοῦ ὁρισμοῦ καὶ ἄλλου οὑτινοσοῦν ὃ εἰς δεῖξιν προκείται, καὶ οὐχ ἁπλῶς τὸ λαμβάνειν τι πρὸς ἀπόδειξίν τινος ἀπηγόρευται· πλὴν ἕτερόν τι δεῖ λαμβάνειν, ἀλλὰ μήτε τὸ αὐτὸ μήτε οὗ ὁ αὐτὸς λόγος καὶ ἀντιστρέφει· ἀμφοτέρως γὰρ τὸ ἐν ἀρχῇ αἰτεῖσθαι συμβαίνει. ἐνταῦθα γὰρ ἐπὶ τοῦ κακοῦ καὶ τοῦ ἀγαθοῦ εἰ καὶ μὴ αὐτόθεν δοκεῖ λαβεῖν τὸ ζητούμενον, ἀλλ' οὖν τὸ τὸν αὐτὸν λόγον ἔχον 45
καὶ ἀντιστρέφον λαβὼν τὸ ἐν ἀρχῇ καὶ οὕτως ᾐτήσατο. πῶς δὲ τὸν αὐτὸν λόγον ἔχει τῷ δεικνυμένῳ τὸ εἰς δεῖξιν ληφθὲν καὶ ἀντιστρέφει πρὸς αὐτό, εἴπωμεν. ὃν γὰρ λόγον ἔχει τὸ κακὸν πρὸς τὸ ἀγαθὸν
20 ἐναντίον ὂν αὐτῷ, τὸν αὐτὸν καὶ τὸ ἀγαθὸν πρὸς τὸ κακὸν ἐναντίον ὂν πρὸς αὐτό. καὶ ὥσπερ ἐκείνου ὁ ληφθεὶς ὅρος εἰς δεῖξιν τοῦ τί ἦν εἶναι τούτου εἴληπται, οὕτως ἀντιστρέψει καὶ τούτου τὸν ὁρισμὸν ληφθῆναι εἰς δεῖξιν τοῦ ὁρισμοῦ ἐκείνου· καὶ ἔσται δι' ἀλλήλων δεικνύμενα, καὶ ἢ ἄμφω 45
ἄδηλα, καὶ πῶς διὰ τοῦ ἀδήλου τὸ ἄδηλον δείκνυται; ἢ ἄμφω δῆλα, καὶ
25 περιττὸν τὸ περὶ δήλων ζητεῖν. ἀλλὰ καὶ δι' ἑαυτοῦ δείξει ἑκάτερον, εἴπερ καὶ δι' ἑκατέρου ἑκάτερον. εἰ γὰρ τοῦ Α ὄντος τὸ Β ἐστί, τοῦ δὲ Β ὄντος τὸ Α, τοῦ Α ὄντος ἔσται τὸ Α, καὶ ἀνάπαλιν. ὥστε ὅταν τὸ ἀναλόγως ἔχον καὶ ἀντιστρέφον ἐλάμβανεν εἰς ἀπόδειξιν, πάλιν τὸ αὐτὸ ἐδείκνυ δι' ἑαυτοῦ καὶ ᾐτεῖτο τὸ ἐν ἀρχῇ. τὸ δὲ καὶ γὰρ ἐν ταῖς ἀπο-
30 δείξεσιν ὅτι ἔστι τόδε κατὰ τοῦδε πρὸς πίστιν εἴρηται τοῦ ἐξεῖναι λαμβάνειν· λαμβάνομεν γὰρ ἐν ταῖς ἀποδείξεσι προτάσεις τόδε κατὰ τοῦδε 50
κατηγοροῦντες, δι' ὧν δείκνυμεν τὸ ζητούμενον· πλὴν οὔτε τὸ αὐτὸ τῷ ζητουμένῳ τὸ λαμβανόμενον οὔτε τὸν αὐτὸν λόγον ἔχον οὔτ' ἀντιστρέφον. ὡς ἐνταῦθα γενόμενον δέδεικται. τὸ δὲ ἕτερόν τι ἔστω οὐχ ἁπλῶς οὕτως
35 εἴρηται, ἀλλ' ἐπειδὴ αὐτὸς μὲν οὐχ ὁμολογεῖ συλλογιστικῶς τι λαμβάνεσθαι ἐν ταῖς περὶ τῶν ὅρων ζητήσεσιν, ὁ δὲ ὑποθετικῶς περὶ τοῦ ὅρου συλλο-

7 ἐπαγορήσαντα a 8 λαμβάνειν Aa Arist. codd. Bekker. 8 μέντοι] μέν τι Aa; cf. etiam v. 34 et p. 87,2 10 αὐτὸς om. Aa 15 καὶ ἀγαθοῦ E
22 εἰς ex ὡς corr. E¹ 25 περὶ δήλων] τὰ δῆλα Aa ἐξ ἑαυτοῦ E
27 δὲ om. Aa καὶ ἀνάπαλιν om. E 32 κατηγοροῦντας E δεικνύομεν Aa
35 αὐτὸ Aa λαμβάνεται E

γιζόμενος οὕτω ποιεῖ, διὰ τοῦτό φησιν 'ἔστω δὲ καὶ δε|δόσθω λαμβάνειν τι εἰς τὸ δεῖξαι τὸν ὁρισμόν, ὥσπερ καὶ ἐν ταῖς ἀποδείξεσι γίνεται· πλὴν οὐ τοιαῦτα δεῖ λαμβάνειν, οἷα ὁ ὑποθετικῶς ἐνταῦθα συλλογιζόμενος εἴληφεν. ἔοικε δὲ τὸν ταῦτα λέγοντα ἐκ περιουσίας αἱρεῖν, ὅταν καὶ δοὺς αὐτῷ τὸ ἐνδέχεσθαι περὶ τοῦ ὁρισμοῦ συλλογίζεσθαι, ἐλέγχῃ αὐτὸν μηδ' οὕτως εὐοδούμενον.

p. 92a 27 Πρὸς ἀμφοτέρους δὲ τόν τε κατὰ διαίρεσιν δεικνύντα καὶ πρὸς τὸν οὕτω συλλογισμόν.

Οὐ μόνα, φησί, τὰ εἰρημένα ἕπεται ἄτοπα τοῖς ἐξ ὑποθέσεως πειρωμένοις τὸν ὁρισμὸν συλλογίζεσθαι, ἀλλὰ δὴ καὶ ἕτερον ἐπ' αὐτοῖς ἐστιν, ὃ τούτοις τε ἅμα συνεμπίπτει καὶ τοῖς διαιρέσει τὸν ὁρισμὸν συλλογιζομένοις, ὡς ἀμφοτέρους τοὺς τρόπους τούτους κατά γε τοῦτο εἰς ταὐτὸν συνελαύνεσθαι. ὡς γὰρ ὁ ἐκ διαιρέσεως συνάγων διάφορα κατά τινος ὁριστοῦ κατηγορούμενα οὐδεμίαν ἀνάγκην ἐφίστησι τοῦ καὶ ἅμα δύνασθαι ὡς ἓν τὸ πᾶν φέρεσθαι κατηγόρημα, τοῦτο δὴ καὶ ὁ ἐξ ὑποθέσεως συνάγων ἔχει. οἷον ἐκ διαιρέσεως μὲν εἰ προκέοιτο τὸν ἄνθρωπον εἰ τύχοι ὁρίσασθαι, λαμβάνει ζῷον εἶναι, εἶτα τοῦτο διαιρῶν εἰς λογικὸν καὶ ἄλογόν φησιν 'ἐπεὶ μὴ ἄλογον ὁ ἄνθρωπος, λογικὸν ἄρα.' καὶ ἐπεὶ πᾶν λογικὸν ἢ θνητὸν ἢ ἀθάνατον, ὁ δὲ ἄνθρωπος οὐκ ἀθάνατον, θνητὸν ἄρα. ἰδίᾳ μὲν οὖν ζῷον εἴληπται, ἰδίᾳ δὲ συνῆκται λογικόν, ἰδίᾳ θνητόν· τίς οὖν ἀνάγκη καὶ ὡς ἓν ἀληθεύειν κατὰ τοῦ ἀνθρώπου τὸ πᾶν κατηγόρημα τὸ ἐκ τούτων συγκείμενον, εἰ καὶ καθ' ἕκαστον ἀληθεύειν δοίημεν; οὐ γὰρ πάντα τὰ ἰδίᾳ τινὸς κατηγορούμενα καὶ ἅμα κατηγορεῖσθαι δύναται. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ὑποθετικῶς συναγομένων ἐροῦμεν· οἷον εἰ τὸ ἀγαθὸν πρόκειται ὁρίσασθαι, καὶ συνάξομεν ἰδίᾳ μὲν ὅτι τὸ ἀγαθὸν κατὰ φύσιν, τὸ ἀγαθὸν ἀδιάφορον πρὸς ἑαυτό, τὸ ἀγαθὸν ἀδιαίρετον ἐκ τοῦ τὸ κακὸν ἐναντίον ἔχειν παρὰ φύσιν τε ὂν καὶ πρὸς ἑαυτὸ διαφέρον καὶ διαιρετόν, ἰδίᾳ μὲν τὰ συναχθέντα συνῆκται, οὐδεμία δὲ ἀνάγκη ἀπὸ τοῦ λόγου καὶ εἰς ἓν ταῦτα συνέρχεσθαι καὶ ἀποτελεῖν ὁρισμόν. ὥστε οὔτε ὁ διὰ τῆς διαιρέσεως οὔτε ὁ ἐξ ὑποθέσεως συλλογιζόμενος ἀνάγκην τινὰ ἐπάγει τοῦ συντίθεσθαι καὶ ἓν γίνεσθαι τὸ πᾶν κατηγόρημα, ὥστ' οὐδὲ τοῦ ὅρον εἶναι τοῦ προκειμένου, οὐδὲ συλλογίζονται ἄρα τὸν ὁρισμόν. τοῦτο γὰρ ἦν τὸ συλλογίζεσθαι, τὸ κειμένων τινῶν ἕτερόν τι τῶν κειμένων ἐξ ἀνάγκης δι' ἐκεῖνα συμβαίνειν. τὸ δὲ διὰ τί ἔσται ὁ ἄνθρωπος ζῷον πεζὸν δίπουν, ἀλλ' οὐ ζῷον καὶ πεζὸν τοῦτο δηλοῖ ὅτι οὐχ ἕξει ὁ διαιρῶν αἰτίαν εἰπεῖν δι' ἣν ἔσται ἕν τι τὰ συνηγμένα, ὡς εἶναι τὸ ζῷον πεζὸν δίπουν ἕν

---

1 δὲ om. E 1. 2 τι λαμβάνειν coll. Aa 3 λαμβάνειν] μανθάνειν Aa
4 αἱρεῖν] εὑρεῖν a 5 περὶ τοῦ ὁρισμοῦ om. E 6 μὴ καὶ οὕτως E
11 συμπίπτει Aa 20. 21 ἰδίᾳ δὲ — ἀληθεύειν om. E 27 post μὲν add. γὰρ Aa
28 οὐδεμία δὲ] οὐδὲ E 30 ἐπάγει τινὰ coll. Aa 33 τῶν κειμένων] τούτων E
36 post ἕν τι add. εἰπεῖν Aa

τι, ἀλλὰ μὴ ἰδίᾳ ζῷον καὶ ἰδίᾳ πεζὸν καὶ ἰδίᾳ δίπουν. ὅσον γὰρ ἐκ τῶν 42
ληφθέντων οὐκ ἔστι τις αἰτία ἕν τι εἶναι ἐκ τούτων, ἀλλ' ἔσται οὕτως, 30
ὥσπερ εἰ εἷς καὶ ὁ αὐτὸς ἄνθρωπος μουσικὸς εἴη καὶ γραμματικός, ἀλλ'
οὐχὶ καὶ ἕν τι ἐκ τούτων.

5 p. 92a 34 Πῶς οὖν δὴ ὁριζόμενος τὴν οὐσίαν δείξει καὶ τὸ τί ἐστιν;

Ἐπειδὴ πᾶσα δεῖξις καὶ πᾶσα εὕρεσις ζητουμένου τινὸς ἢ διὰ συλλογισμοῦ (λέγω δὲ συλλογισμοῦ ἁπλῶς ἢ μὴ ἁπλῶς) ἢ δι' ἐπαγωγῆς, ἢ δι' αἰσθήσεως, δῆλον ὅτι καὶ ἡ τοῦ ὁρισμοῦ δεῖξις καὶ εὕρεσις διὰ τούτων 35
ἔσται τινός. διὰ μὲν οὖν συλλογισμοῦ ὅτι οὐκ ἔστι, δέδεικται ἤδη, πάντας
10 τοὺς τρόπους μετιόντων ἡμῶν τούς τε ἁπλῶς τούς τε μὴ ἁπλῶς συλλογιζομένους, ἐν οἷς ἅπασι δῆλον γέγονεν, ὡς οὐκ ἔστι τὸν ὁρισμὸν συλλογίζεσθαι, ἤτοι περαίνειν διὰ συλλογισμοῦ ὡς ὅδε ὁ λόγος τοῦδε τοῦ ὁριστοῦ ὁρισμός ἐστιν. ἔτι δὴ καθόλου ζητοῦμεν, πῶς ἄν τις ὁρίσασθαί τι προθέμενος δείξει τὴν οὐσίαν, ἤγουν τὸ τί ἐστι καὶ τὸν ὁρισμόν, καὶ τῇ διὰ
15 συλλογισμοῦ δείξει τοὺς ἑτέρους δύο τῆς δείξεως τρόπους συνάπτομεν, λέγω 40
δὴ τὴν ἐπαγωγὴν καὶ τὴν αἴσθησιν, εἰ ἐνδέχεται ἐξετάζοντες κατά τινα τούτων τῶν τρόπων τῆς δείξεως ἢ εὑρέσεως, εὑρίσκειν καὶ δεικνύειν τὸν ὁρισμόν. καίτοι δόξειεν ἂν διὰ συλλογισμοῦ μάλιστα τὸν ὁρισμὸν ἐνδέχεσθαι δείκνυσθαι τῷ καθόλου τε εἶναι καὶ περὶ καθόλου τὸν ὁρισμόν· εἰ δὲ διὰ τούτου
20 οὐχί, πολλοῦ γε δεῖ δι' ἐπαγωγῆς ἢ καὶ αἰσθήσεως, ὧν τὸ μὲν ἁπλῶς περὶ τὰ καθ' ἕκαστα, τὸ δὲ εἰ καὶ περὶ τὰ καθόλου ἴσως, ἀλλά γε ἐκ τῶν καθ' ἕκαστα. οὔτε οὖν ὡς ἀποδεικνὺς δείξει ἢ ὡς ὅλως συλλογιζόμενος, 45
εἴ γε τῷ ἀποδεικνύντι καὶ ἁπλῶς τῷ συλλογιζομένῳ παντὶ ὁμολογούμενα δεῖ λαμβάνειν καὶ οὕτω δῆλον ποιεῖν τὸ ζητούμενον, ὡς ἐκείνων ὄντων ἐξ
25 ἀνάγκης εἶναι καὶ τοῦτο ἕτερόν τι ἐκείνων ὄν, ὅπερ οὐκ ἔστιν ἐπὶ τοῦ ὁρισμοῦ δείκνυσθαι, καθὰ διὰ πλειόνων δέδεικται ἤδη, οὔτε δὴ ὡς ἐπάγων· πρῶτον μὲν ὅτι ὁ ἐπάγων ἐκ τῶν καθ' ἕκαστα δήλων ὄντων ὅτι πάντα οὕτως ἔχει, οὐδὲν δ' ὡς ἑτέρως, τὸ καθόλου πιστοῦται, καὶ δεῖ πάντας τοὺς ὅρους λαβεῖν ὅτι ἕκαστος αὐτῶν τοῦ οἰκείου ἐστὶν ὁριστοῦ, ἵνα καὶ 50
30 καθόλου τὸν ὁρισμὸν οὕτως ἔχειν εἴπωμεν. ἀλλὰ τοῦτο πάσης ἀνοίκειον δείξεως, τὸ μὲν ὅτι δεῖξαι τὸν ὅρον ζητοῦντες τοὺς ὅρους ἐλάβομεν καὶ οὕτως τὸ ἐν ἀρχῇ ᾐτησάμεθα καὶ δι' ἑαυτοῦ ἐδείξαμεν τὸ ζητούμενον, οὐκ ἄρα ἐδείξαμεν· ἢ γὰρ δῆλον ἦν, καὶ μάτην ἡ ζήτησις καὶ ἡ δεῖξις γέγονε (τῶν γὰρ σαφῶν δεῖξις οὐκ ἔστιν, ὅτιπερ οὐδὲ ζήτησις) ἢ ἄδηλον,

---

1 ζῷον καὶ ἰδίᾳ om. Aa 5 δὴ om. Aa τί ἐστιν] αἴτιον E 6 τινὸς ζητουμένου coll. E 10 μετιόντων] μετριθέντων (sic) E τούς τε μὴ] καὶ μὴν μὴ Aa 14 δείξῃ Aa 15 συνάπτομεν] συνάγομεν E 16 δὴ] δὲ Aa fort. ἐξετάζοντες εἰ ἐνδέχεται 16. 17 τῶν τρόπων τούτων coll. Aa 17 καὶ δεικνύειν om. E 20 καὶ om. Aa post τὸ μὲν add. ἡ αἴσθησις A² 23 παντὸς a 24 ὄντα Aa 26 δείκνυσθαι] γίνεσθαι Aa post ὡς add. ὁ E 27. 28 οὕτως ἔχει πάντα coll. Aa 30 ἀνοίκειον πάσης coll. Aa 31 ὅρον] ὁρισμὸν E

καὶ πῶς δι' ἀδήλου τὸ ἄδηλον δέδεικται; ἀλλὰ δεῖ καὶ καθ' ἕκαστον τῶν
ὁρισμῶν τὸ αὐτὸ ποιῆσαι, ὥστε | καὶ δι' ἀδήλων δειχθήσονται. ἔπειτα εἰ 13
τόνδε τὸν ὁρισμὸν ὅτι τοῦδε τοῦ ὁριστοῦ ἐστι δεῖξαι πρόκειται, πῶς ἐξ
ἑτέρων ὁρισμῶν ἐπακτικῶς τοῦτο ποιήσομεν; ἡ γὰρ ἐπαγωγὴ τὰ ὑπὸ τὸ
5 ζητούμενον καθόλου λαβοῦσα καθ' ἕκαστα, οὕτως τὸ καθόλου συνίστησιν.
πῶς δὲ ὑφ' ἕνα ὅρον ὀντινοῦν τοὺς ἄλλους πάντας ἀνάξομεν, ἐννοῆσαι
ἀμήχανον. ἔσται δὲ ὁ τρόπος οὗτος τῆς δείξεως καὶ καθ' ἕνα τῶν ὅρων
ἕκαστον, ὥστε πάντες εἰς ἅπαντας ἀναχθήσονται, οὗ τί γένοιτ' ἂν γελοιό- 5
τερον. εἰ δέ τις ἐρεῖ ὡς ἕκαστον τῶν ὑπὸ τὸ ὁριστὸν εἶδος λαμβάνοντες
10 ὡς ἐναργῶς τὸν λόγον ἐπιδεχόμενον, διὰ τῶν καθ' ἕκαστα καὶ καθόλου τῷ
ὁριστῷ τὸν ὁρισμὸν ὑπάρχειν δεικνύομεν, πρῶτον μὲν τοῦτο ἀδύνατον ἐν
οἷς ἢ ἡμῖν ἢ τῇ φύσει ἄπειρα τὰ καθ' ἕκαστα· οὐ γὰρ εἰ τῷδε καὶ τῷδε,
ἤδη καὶ παντί. ἔπειτα ἄλλο πρόβλημα κατὰ γένος ὅτι ἔστι, καὶ ἕτερον τί
ἐστιν· ἀλλ' ἡ ἐπαγωγὴ τὸ ὅτι ἔστι καθόλου τόδε κατὰ τοῦδε ἐκ τῶν καθ' 10
15 ἕκαστα δείκνυσιν, οὐχὶ τί ἐστι, κἂν ἁπλοῦν τι εἴη κἂν σύνθετον τὸ κατη-
γορούμενον. τίς δὴ λοιπὸς τρόπος τῆς τοῦ τί ἐστι δείξεως; μήτοι γε ὁ διὰ
τῆς αἰσθήσεως ἢ ὃν ἄν τις δακτύλῳ ποιήσαιτο αὐτὸν ἐπεκτείνων πρὸς τὸ
ζητούμενον, καὶ οὕτως ἐκεῖνο ἢ ἑαυτῷ ἢ ἑτέρῳ ζητοῦντι δηλῶν. ἀλλὰ
τῶν καθ' ἕκαστα ταῦτα, καθόλου δ' ὁ ὁρισμὸς καὶ καθόλου τῶν πραγμάτων
20 τὸ τί ἐστιν· οὐκ ἄρα τις τρόπος δείξεως τῷ τί ἐστιν ὑπολείπεται. ὅλως
δὲ πῶς τις δείξει τὸ τί ἐστιν; αὐτὸ γὰρ τὸ ὅλως ὑποθέσθαι τὸν ὁρισμὸν 15
δείκνυσθαι ἄτοπόν τι ἔχει ἑπόμενον οὐ μικρόν, εἴτε ἄνθρωπός ἐστιν εἴτε
τι ἄλλο οὗ τὸ τί ἐστι δείκνυται. ἀλλ' ἐπὶ τῶν γινωσκομένων πρότερον
ἴδωμεν τὸ λεγόμενον, ἵν' ἐντεῦθεν ἔσται σαφέστερον. ἀνάγκη γὰρ τὸν
25 εἰδότα τὸ τί ἐστιν ἄνθρωπος ἤ τι ἕτερον εἰδέναι καὶ ὅτι ἔστιν ἁπλῶς·
φύσει γάρ ἐστι πρότερον τὸ εἶναι ἁπλῶς τοῦ τί εἶναι, ἐπεὶ καὶ τὸ ὂν τοῦ
τινὸς ὄντος πρότερον· κοινὸν μὲν γὰρ τὸ ἁπλῶς, ἴδιον δέ γε τὸ τί· δεῖ
οὖν εἶναι πρότερον, καὶ οὕτως τί εἶναι. ὁ εἰδὼς ἄρα τί ἐστιν ἐξ ἀνάγκης 20
καὶ ἁπλῶς οἶδεν ὅτι ἔστιν· εἰ δὲ μή, τὸ μὴ ὂν τί ἐστιν εἴσεται. τὸ δὲ
30 τί ἐστιν εἶδος· ἢ οὖν εἶδος ἔσται ἢ ἕξει εἶδος τὸ μὴ ὄν, ἅπερ ἄμφω
ἄτοπα· ἔσται γὰρ τὸ αὐτὸ κατὰ τὸ αὐτὸ ὄν τε ὁμοῦ καὶ μὴ ὄν. ἀλλ'
ἐπεὶ καὶ ἐκ γένους ὁ ὁρισμὸς καὶ συστατικῶν διαφορῶν, ἕξει τὸ μὴ ὂν
γένος καὶ διαφοράς· τοῦτο δὲ ἀδύνατον. οὐκ ἄρα μὴ εἰδότα ὅτι ἐστὶ τὸ
ὁριστὸν ἔστιν εἰδέναι τὸ τί ἐστιν, ἀλλ' εἴσεται μὲν τί σημαίνει τοὔνομα τὸ
35 ὁριστοῦ, τί δ' ἐστὶν οὐκ εἴσεται. καὶ οὐδὲν ἄτοπον, ἐπεὶ καὶ ἐπὶ τοῦ μὴ
ὄντος μὲν ὀνομαζομένου δὲ ἴσμεν τί σημαίνει τοὔνομα, οὐκ ἴσμεν δὲ οὔθ' 25
ὅτι ἐστίν, ἐπειδὴ οὐδ' ἔστιν, οὔτε τί ἐστιν· οἷον τραγέλαφος τί μὲν σημαίνει

---

1 δεῖ] δὴ Aa ἕκαστα Aa 1. 2 τὸν ὁρισμὸν Aa 8. 9 γελειότερον E
10 ὑποδεχόμενον Aa 12 καὶ τῇ φύσει Aa 13 post ἤδη add. δῆλον ὅτι Aa
19 τῶν ante πραγμάτων om. Aa 20 τις om. E 22 δείκνυσθαι] δείκνυσι E
ἄτοπόν τινα ἔχειν E 25 τὸ om. Aa 27 γε om. Aa 32 καὶ συστατικῶν]
συστατικῶν τὲ Aa 36 μὲν om. E τί σημαίνει—οὐκ om. a 37 ἐπεὶ
μηδέστιν E

ἴσμεν, οἷον ζῷον τυχὸν ἐκ τράγου καὶ ἐλάφου συγκείμενον ὅσον ἐκ τοῦ 43
ὀνόματος, τί δ' ἐστὶ τραγέλαφος, ἀδύνατον εἰδέναι διὰ τὸ μὴ εἰδέναι ὅτι
ἐστίν· οὐδὲ γὰρ ἔστιν. οὕτω δὴ καὶ τί μὲν σημαίνει ὁ λόγος εἰσόμεθα,
τί δ' ἔστιν οὔ ὁ λόγος οὐκ εἰσόμεθα, ἐκ τοῦ λόγου μὴ εἰδότες ὅτι ἐστίν.
5 εἰ γὰρ καὶ ὄν ἐστιν, ἀλλ' οὐδὲν ἧττον ἡμῖν οὐκ ἔστιν μὴ εἰδόσιν ὅτι ἔστιν.
ὅσον μὲν οὖν πρὸς ἡμᾶς οὐδὲν τοῦ μὴ ὄντος ἀπέοικε τὸ ὂν μέν, ἀγνοούμενον δ' εἰ ἔστιν. ἕξει οὖν ὁ τοιοῦτος ὁρισμὸς τὸν τοῦ ὀνόματος λόγον,
ὅπερ ἐπὶ τοῦ μὴ ὄντος κεῖται, τί μὲν σημαίνει γινωσκόντων ἡμῶν καὶ 30
αὐτὸν ὡς ἐκείνου τοὔνομα, ἀγνοούντων δὲ τὸ δηλούμενον τί ἐστιν, ἐπειδὴ
10 οὐκ ἴσμεν ὅτι ἐστίν. ὥσπερ οὖν ἐπὶ τῶν γινωσκομένων, οὕτως ἕξει καὶ
ἐπὶ τῶν δεικνυμένων. ὡς γὰρ ἐπ' ἐκείνων ἀνάγκη τὸν εἰδότα τί ἐστι
συνειδέναι καὶ ὅτι ἐστίν, οὕτω καὶ ἐπὶ τούτων ἀνάγκη τὸν δεικνύντα τί
ἐστι συνδεικνύναι καὶ ὅτι ἐστίν. εἰ γὰρ δείξει τί ἐστιν, εἴσεται τί ἐστιν, εἰ
δ' εἴσεται τί ἐστι, συνείσεται καὶ ὅτι ἐστίν· ὥστε καὶ συνεδείκνυ τῷ τί ἐστι
15 τὸ ὅτι ἐστίν, ὅτε ἐδείκνυ τὸ τί ἐστιν. εἰ δὲ μή, εἴσεται τὸ τί ἐστι μὴ 35
εἰδὼς ὅτι ἐστίν, ὅπερ ἐδείχθη ἀδύνατον. ἅμα ἄρα τὸ τί ἐστι δείξει καὶ
ὅτι ἐστίν. ἀλλὰ πῶς τῷ αὐτῷ λόγῳ δείξει καὶ ἄμφω; ὁ γὰρ ὁρισμὸς ἕν
τι δηλοῖ καὶ ἡ ἀπόδειξις ἕν· οὐχ ἓν δὲ τὸ τί ἐστιν ἄνθρωπος καὶ τὸ εἶναι
ἄνθρωπον, ἀλλὰ ἀλλήλων ἕτερα. ὅτι τοίνυν οὐ ταὐτὸν δείκνυται δι' ὁρισμοῦ
20 καὶ δι' ἀποδείξεως, καὶ ὅτι οὐ ταὐτὸν ὁρισμὸς καὶ ἀπόδειξις, δέδεικται
πρότερον. ὅτι δὲ τὸ ὅτι ἐστὶ δι' ἀποδείξεως δείκνυται, δῆλον· πᾶν γὰρ δι'
ἀποδείξεως δείκνυται, πλὴν τῆς οὐσίας ἤγουν τοῦ τί ἐστι καὶ τοῦ ὁρισμοῦ. 40
τὸ δ' εἶναι οὐκ ἔστιν οὐσία ἤγουν τί ἐστι καὶ ὁρισμὸς καὶ τοσοῦτον, ὅτι οὐδὲ
γένος τὸ ὄν, ἵνα κἂν μέρος ὁρισμοῦ γίγνεσθαι δύνηται. εἰ γὰρ ἦν γένος,
25 ἢ μία ἂν ἦν ἐν τοῖς πᾶσι κατηγορία ἢ μία τῶν κατηγοριῶν ἢ ὑπὸ μίαν
τῶν δέκα ἀνήγετο· νῦν δὲ τούτων οὐδέν, ἀλλὰ δέκα τε τὰ γένη καὶ τοῖς
δέκα τὸ ὂν ἐφήρμοκεν. οὐκ ἄρα γένος τὸ ὄν. ἀλλ' οὐδὲ τί ἐστιν· ἦν γὰρ
ἐκ γένους τε καὶ διαφορῶν, καὶ οὕτω σύνθετόν τε ἂν ἦν ἐκ πλειόνων ἢ 45
ἑνός, καὶ ἑνὸς ἂν ἦν οὗ καὶ τί ἐστιν ἦν. νῦν δὲ τούτων οὐδέτερον, ἀλλὰ
30 καὶ ἁπλοῦν καὶ τῶν δέκα κοινόν, ἅπερ ἕτερά τε καὶ οὐχ ὑπ' ἄλληλα
τέτακται καὶ τὸ πρῶτον ἐν αὐτοῖς καὶ τὸ ὕστερον· οὐκ ἄρα οὐσία τὸ ὄν.
ἐπεὶ δὲ πᾶν ἀποδείκνυται ὃ μὴ οὐσία, καὶ τὸ εἶναι ἄρα ἀποδείκνυται·
ὥστ' ἀπόδειξις τοῦ ὅτι ἐστίν· οὐκ ἄρα ὁρισμός. δέδεικται γὰρ ἤδη διὰ
πλειόνων ὅτι οὐ ἀπόδειξις, οὐχὶ καὶ ὁρισμὸς κατὰ τὸ αὐτό· δῆλον δὲ ὃ
35 φαμεν καὶ ἀπὸ τῶν ἐπιστημῶν. πάσης γὰρ δείξεως προηγουμένου τοῦ τί 50
σημαίνει τὸ εἰς δεῖξιν προκείμενον, λαμβάνεται τοῦτο μὲν πρῶτον ἐπὶ
παντὸς τοῦ προτιθεμένου, εἶτα δείκνυται εἰ ἔστιν ἐκεῖνο· οἷον ὁ γεωμέτρης
τί σημαίνει τρίγωνον λαβών, ὅτι τὸ τρεῖς γωνίας ἔχον σχῆμα, ὅτι ἐστὶ
τοῦτο δείκνυσι διὰ συλλογισμοῦ ἐπὶ τῆς δοθείσης εὐθείας αὐτὸ συνιστῶν.
40 ὥστε δῆλον ἐκ τούτου ὅτι συλλογισμῷ καὶ ἀποδείξει τὸ ὅτι ἐστὶ δείκνυται.

3 μὲν post οὕτω ponit E 5 εἰ γὰρ — ὅτι ἔστιν om. Aa 8 ἐπὶ scripsi: ἐστὶ libri
9 ἐκεῖνο Aa 11 ἀπ' ἐκείνων E 15 ἐδείκνυ τὸ scripsi: ἐδείκνυτο libri
26 τε om. Aa 32 εἶναι] ἦν Aa

λοιπὸν τί δείξει ὁ ἀποδιδοὺς ὁρισμῷ τί ἐστιν; ἢ δῆλον ὅτι τὸ τρίγωνον καὶ
οὗτος, ἀλλ' ὁ μὲν ἀποδεικνὺς ὅτι ἐστίν, ὁ δὲ ὁριζόμενος τί | ἐστιν· ὡς 44
ἰδίᾳ ἑκάτερον δι' ἰδίου εἴδους δείξεως δεικνυσθαι. δῆλον ἄρα ὅτι οὐχ ἕπεται
τῷ εἰδότι δι' ὁρισμοῦ τί ἐστι τὸ εἰδέναι καὶ ὅτι ἐστιν. ὥστε εἰδὼς τί
5 ἐστιν, οὐκ εἴσεται εἰ ἔστιν, ὅπερ ἀδύνατον· εἴσεται γὰρ τί ἐστι τὸ μὴ ὄν.
τοῦτο δ' ἔσται φανερὸν ἐπεξιοῦσι καὶ τοὺς ὅρους καθ' ἕκαστον. ὡς γὰρ
νῦν τούτους τιθέασιν οἱ ὁριζόμενοι, οὐδεὶς ἂν εὑρεθείη δεικνύων ὅτι ἐστίν.
οἷον τὸν κύκλον τὸ ἐκ τοῦ μέσου ἴσον ἀποδιδόασιν ὁριζόμενοι διὰ τὸ ἴσον 5
πανταχόθεν ἀπέχειν ἀπὸ τοῦ κέντρου τὴν περιφέρειαν· οὔκουν ἐν τούτῳ
10 τῷ λόγῳ καὶ ὅτι ἔστιν ὁ κύκλος δείκνυται· οὐδεμία γὰρ αἰτία τοῦ εἶναι
αὐτὸν ἐν τῷ λόγῳ σημαίνεται. ἀλλ' οὐδὲ διά τί τοῦτ' ἐστὶ κύκλος, ὅπερ
ὁ ἀποδοθεὶς λόγος δηλοῖ, ὡς δύνασθαι τοῦτον καὶ περὶ ἑτέρου τινὸς τοῦ
τυχόντος εἰπεῖν. δυνατὸν γὰρ εἰ τύχοι καὶ ὀρειχάλκου φάναι τὸν τοιοῦτον
ὑπάρχειν ὅρον, ἢ μὴ ὄντος ἴσως τινός, ἢ καὶ ὄντος μέν, μὴ κύκλου δέ, διὰ
15 τὸ μὴ ἀνάγκην τινὰ τῇ ἀποφάσει ἐμφαίνεσθαι τοῦ μὴ ἄλλου τινὸς ἀλλ' 10
ἢ τοῦ κύκλου εἶναι αὐτόν. οἱ γὰρ ἀποδιδόμενοι ὅροι οὔτε τοῦτο δηλοῦσιν
ὅτι δυνατὸν εἶναι τὸ λεγόμενον, ἵν' ἅμα τῷ τί ἐστι καὶ τὸ εἶναι συναναφαίνηται, οὔτε περὶ τὸν ὁρισμὸν παριστῶσιν ὅτι οὗτος ὁ ὁρισμὸς τούτου ἐστὶν οὗ φασιν εἶναι αὐτὸν ὁρισμὸν οἱ ἀποδιδόντες αὐτόν· ἀλλ' ἔξεστι λέγειν
20 τῷ βουλομένῳ ἐπαπορεῖν 'διὰ τί τοῦτ' ἐστὶ κύκλος; καὶ διὰ τί ἐστι κύκλος;'
τῆς τοῦ ὁρισμοῦ ἀποδόσεως μηδετέραν δυναμένης ἱστᾶν τουτωνὶ τῶν ζητήσεων. ἐπεὶ οὖν ὁ ὁριζόμενος δυοῖν θάτερον ἐξ ἀνάγκης δείκνυσιν, ἢ τί 15
ἐστι τὸ πρᾶγμα ἢ τί σημαίνει τὸ ἐπ' αὐτῷ κείμενον ὄνομα, εἰ μηδαμῶς τὸ τί ἐστι δείκνυσιν, ὡς ὁ λόγος ἔδειξεν, δείκνυσιν ἄρα τί σημαίνει τοὔνομα.
25 τὸ αὐτὸ ἄρα σημαίνοι ἂν τῷ ὀνόματι, ὡς εἶναι ταὐτὸν ἄνθρωπον εἰπεῖν τὸ διαρθροῦν τὴν ὄπα καὶ ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν. ἀλλὰ τοῦτο ἄτοπον· πρῶτον μὲν ὅτι καὶ τῶν μὴ ὄντων εἶεν ἂν ὁρισμοί. σημαίνειν γὰρ δι' ὀνομάτων ἔστι καὶ τὰ μὴ ὄντα, καὶ εἰ ταὐτὸν σημαίνειν τὸν ὁρισμὸν τῷ ὀνόματι δοίημεν, ἔσονται καὶ τῶν μὴ ὄντων ὁρισμοί, καὶ 20
30 ταὐτὸν ἔσται ὀνομάζειν τε καὶ ὁρίζεσθαι. ἔπειτα πάντες οἱ λόγοι ὁρισμοὶ ἔσονται, οὐ μόνον ὅτι ἔσται ὄνομα θέσθαι ὁτῳοῦν λόγῳ, καὶ εἰ τὸ ὄνομα ταὐτὸν σημαίνει τῷ ὁρισμῷ, εἴη ἂν τὸ ὄνομα τὸ τῷ λόγῳ τιθέμενον ὁρισμός. καὶ ἐπεὶ ταὐτὸν τῷ ὁρισμῷ τὸ ὁριστόν, ὁ ὀνομαζόμενος λόγος ὁ αὐτὸς ἂν εἴη τῷ ὀνόματι, ᾧ ὠνόμασται, ἤτοι τῷ ὁρισμῷ. εἰ μὲν οὖν
35 πρᾶγμα ἦν, ἦν ἂν καὶ ἕτερον ὡς ὁριστόν, ἐπεὶ δὲ λόγος, οὐδαμῶς ἕτερον· ὁρισμὸς ἄρα. ὥστε ἔσται πᾶς λόγος ὁρισμός. οὐ μόνον δὲ οὕτως, ἀλλὰ 25
καὶ ἐπεὶ πᾶς λόγος ἐξ ὀνομάτων σύγκειται, τὸ δὲ ὄνομα καὶ ὁ ὁρισμὸς

---

3 ἀποδείξεως E δείκνυσθαι] δείκνυσι Aa 7 εὑρεθῆ Aa 8 τοῦ om. Aa
13 ὀρειχάλκον E 17 δυνατὸν ἦν τὸ Aa τῷ εἶναι a 17. 18 ἀναφαίνεται E
18 τῶν ὁρισμῶν Aa 19 φασιν scripsi: φησὶν Aa: φαμὲν E 20 διότι utrobique Aa 24 σημαίνει—διαρθροῦν (26) om. E 26 ὅπεν E 27 post μὲν add. γὰρ Aa 28 καὶ ante τὰ om. Aa 33 ἐπεὶ] ἐπὶ Aa 34 ὠνόμασται] ὀνομάσθαι Aa 35 ἦν semel exh. E ὁ λόγος a 36 οὕτως] οὗτος E

ταὐτὸν σημαίνει, εἶεν ἂν πάντες οἱ λόγοι ὁρισμοί. ὥστε καὶ εὐχόμενοι 44
καὶ προστάττοντες καὶ προοιμιαζόμενοι καὶ διηγούμενοι καὶ παντοίως
λέγοντες ὁρισμοὺς ἂν διαλεγοίμεθα, καὶ ἡ πᾶσα ποίησις τῆς Ἰλιάδος εἴη
ἂν ὁρισμός. ἀλλὰ δὴ δεδόσθω ὁρισμὸν εἶναι τὸν ἐπεξηγούμενον λόγον, τί
5 σημαίνει τὸ λεγόμενον ὄνομα, καὶ ταὐτὸν εἶναι τὸν ὁρισμὸν τῷ ἐπ' αὐτῷ
κειμένῳ ὀνόματι. καὶ οὐδ' ὡς ὁ ὁρισμὸς δῆλος ἔσται ὅτι τοῦδέ ἐστιν οὗ 30
ὁρισμὸς εἶναι λέγεται. οὐ γὰρ τοῦτο δῆλον ἐκ τῆς αὐτοῦ ἀποδόσεως
γίνεται· μᾶλλόν γε μὴν ὥσπερ οὐδεμία ἀπόδειξις ἀποδείξειεν ἂν ὅτι τοῦτό
γε τοὔνομα τοῦδε τοῦ πράγματός ἐστι δηλωτικὸν ἐφ' ᾧ τέθειται, οὕτως
10 οὐδὲ οἱ ὁρισμοὶ τοῦτο προσδηλοῦσιν· ἢ δὴ ὥσπερ οὐδεμία ἀπόδειξις τῷ
ὀνόματι ἕπεται, ὅτι τοῦδέ ἐστιν δεικνύουσα ᾧ καὶ ἐπιτέθειται, οὕτως οὐδὲ τῷ
ὁρισμῷ δήλωσίς τις προσεμφαίνεται, ὅτι τοῦδε ὁρισμός ἐστιν. οἷον ὥσπερ
ἐπὶ τοῦ ἄνθρωπος ὀνόματος οὐκ ἔστι δηλοῦν ὅτι τοῦδέ ἐστι καὶ οὐχ ἑτέρου
τινός, οὐδέ τις ἀνάγκη τοῦ τόδε σημαίνειν συναναφαίνεται τῷ ὀνόματι, 35
15 οὕτως οὐδ' ἐπὶ τοῦ λόγου τοῦ λέγοντος ζῷον πεζὸν δίπουν ὅτι τοῦδε
ὁρισμός ἐστιν. ὅτι δὲ οὐκ αὐτόθεν τῷ ὀνόματι τοιαύτη τις ἀνάγκη συν-
εμφαίνεται οὔτε τις αὐτῷ ἀπόδειξις ἔσωθεν ὡς ἐξ ἀνάγκης δηλοῦσα τοῦδε
τοῦ ὀνομαζομένου ἐστί, δῆλον· κατὰ συνθήκην γὰρ τὰ ὀνόματα, ὅπερ οὐκ
ἂν ἦν, εἰ ἐξ ἀνάγκης τοῖς πράγμασιν εἵπετο, ἀλλὰ φύσει ἂν ἦν· ἀλλ' οὐδὲ
20 ὁμωνυμίαι ἂν ἦσαν ἐκ τούτων εἰς ἐκεῖνα μεταβαινόντων τῶν ὀνομάτων, εἰ
ἐξ ἀνάγκης ἔκειντο τοῖς πράγμασι τὰ ὀνόματα· οὐ γὰρ ἐνεδέχετο δηλοῦν 40
ἑτέρως τὸ ἐξ ἀνάγκης τοῦτο δηλοῦν. τὸ γὰρ ἐξ ἀνάγκης οὕτω δηλοῦν
οὐκ ἐνδέχεται ἑτέρως, καὶ τὸ ἐνδεχόμενον ἑτέρως οὐκ ἐξ ἀνάγκης οὕτως.
οὐκ ἂν οὖν συντελέσαι τὸ σημαίνειν τὸν λόγον τὸ αὐτὸ τῷ ὀνόματι πρὸς
25 τὸ ἐξ ἀνάγκης εἶναι τοῦδε τὸν ὁρισμόν, οὗ καὶ ὁρισμὸς εἶναι λέγεται, εἰ
μὴ καὶ μᾶλλον ἀνάπαλιν ἐκ τῆς πρὸς τοὔνομα ὁμοιώσεως τῷ τυχόντι ἂν
καὶ αὐτὸς προσαρμόσειεν.

Περὶ ὅρου τοίνυν λέγειν προθέμενοι πῶς εὑρίσκεται, πᾶσαν πρότερον 45
τὴν περὶ τούτου πλάνην ἀνείλομεν, κἀκ τῶν εἰρημένων ἐδείξαμεν μήτε τὸν
30 ὁρισμὸν εἶναι τὸ αὐτὸ τῷ συλλογισμῷ μήτε ταὐτὸ τὸ ὑφ' ἑκατέρου εἰς
γνῶσιν ἐρχόμενον, ἀλλ' ἕτερον τὸ συλλογισμῷ περαινόμενον καὶ ἕτερον τὸ
ὁρισμῷ γνωριζόμενον· πρὸς δὲ ὅτι ὁ ὁρισμὸς ἐν τῷ ἀποδίδοσθαι οὐδεμίαν ἀπό-
δειξιν προσδηλοῖ, ἀλλ' οὐδὲ δεῖξιν ἁπλῶς ὅτι ἐξ ἀνάγκης τοῦδέ ἐστιν ἐφ' ᾧπερ
καὶ ἀποδέδοται· καὶ ὅτι τὸ τί ἐστιν οὔτε ὁρισμῷ ἔστι γνῶναι, ἐπεὶ μηδεμία
35 παρ' αὐτοῦ πρὸς τοῦτο ἀνάγκη ἐπάγεται, ἵνα βεβαίως τοῦτο καὶ ἀνενδοιάστως 50
σχοίημεν, οὔτε δὲ ἀποδείξει, ἐπεὶ μηδενὶ τρόπῳ συλλογισμοῦ τὸ τί ἐστιν ὑπο-
βάλλεται. τί δὴ ἐκ τούτων γέγονεν ἴδωμεν, καὶ τί ἐκ τῶν ἑπομένων ἐπιγενή-
σεται. ἐπειδὴ ὁ ὅρος τὴν φύσιν μιμεῖται εἰδοποιοῦσαν τὰ δεκτικὰ τῶν εἰδῶν,

---

3 post διαλεγοίμεθα add. πάντες Aa 7 ὁ ὁρισμὸς Aa 8 ἀποδείξειεν — ἀπόδειξις (10) om. E 11. 12 ἐστι δεικνύουσα — ὅτι τοῦδε om. Aa 16 αὐτόθι E 17 ἔξωθεν Aa ἐξ ἀνάγκης ὡς coll. E 21 ἐνδέχετο Aa 23 ἑτέρως (post ἐνδεχόμενον) om. E 24 οὖν om. E συντελέση Aa 26 ὁμοιώσεως] ὁμοιότητος Aa 30 τὸ αὐτὸ scripsi: τὸν αὐτὸν libri τὸ] τῷ E 37. 38 ἔτι γενήσεται Aa

ἔδει τὸν περὶ ὁρισμοῦ εἰπεῖν τι προθέμενον καὶ τῆς τούτου εὑρέσεως τὴν φύσιν μιμήσασθαι, καὶ ὥσπερ ἐκείνη λαμβάνουσα ὑποκείμενον οὐχ ἅπαν οἰκειοῦται τῷ εἴδει, ἀλλὰ πᾶν ἀποβαλοῦσα τὸ περιττὸν καὶ | ἀνεπιτήδειον, ὅσον 45
προσφυὲς καὶ οἰκεῖόν ἐστι πρὸς τὴν τοῦ εἴδους παραδοχήν, τοῦτο μετὰ
5 τὴν ἀποβολὴν τοῦ ἀνοικείου καὶ ἀποσκεύασιν διαμορφοῖ τε καὶ τελεσιουργεῖ, οὕτω ποιῆσαι καὶ αὐτόν, πᾶν ὅσον ἀνοίκειον δόξης καὶ λόγου πρὸς ὁρισμοῦ ἀποτέλεσιν, ἔμφασιν μὲν ἔχον οἰκειότητος, πλανῶν δὲ καὶ διαστρέφον τὴν διάνοιαν καὶ ἐμποδὼν τῇ τελειώσει τοῦ ὁρισμοῦ παριστάμενον, τοῦτο ἀποθέσθαι τοῖς ἐλέγχοις ἐκτιναξάμενον, εἶθ' οὕτω κούφως τε καὶ ἀνεμποδίστως 5
10 εὐθυβολεῖν πρὸς τὸν τοῦ ὁρισμοῦ ἀπαρτισμόν. καὶ ἐπειδὴ ἡ ἡμετέρα διάνοια τῇ πρὸς τὸ σῶμα συνδέσει καὶ σχέσει τὴν ἐκ τῆς γενέσεως ἀχλὺν οἷόν τι περίττωμα ἑαυτῇ ἐπεσπάσατο κἀντεῦθεν δόξαις ἀλλοκότοις περιπλανᾶσθαι καταναγκάζεται, δεῖ τὸν περί του τῶν ἀναγκαίων εἰς πίστιν λέγειν προθέμενον πᾶν πρότερον ἀποξέειν ἀνεπιτήδειον πρὸς τὴν τῆς ἀλη-
15 θείας μόρφωσιν, καὶ οὕτως ἐκφέρειν αὐτῆς μετ' εὐσχημοσύνης ἁπάσης τὴν 10
εἰδοποίησιν, μηδὲν ἔχουσαν τερατῶδες, μηδὲν ἀσύμμετρον, μηδὲν τῇ ζοφώσει τοῦ ψεύδους ἐπισκοτούμενον, ἀλλ' εὔχρουν ἅπαν, σύμμετρον, εὐσύντακτον, ὡραϊσμένον. καὶ ἄλλως γὰρ ἄτοπον τέκτονας μὲν καὶ σκυτεῖς καὶ τοὺς ἄλλους ὅσοι τοιούτων τινῶν ποιητικῶν τεχνῶν ἀντιλήπτορες, πλείστην
20 πρόνοιαν τῶν σφετέρων ἔργων ποιουμένους, ἵν' ἀποκατασταῖεν εἰς τέλος εὐκόσμως ἔχοντα, εὐεργὸν μὲν καθιστάνειν τὴν ὅλην πρότερον, εἶτ' ἀποξέειν ὅσον ἔτι περιττὸν ὑπολέλειπται, καὶ οὕτως εὐτέχνως ἀποτελεῖν τὰ δημι- 15
ουργήματα τὴν τῆς φύσεως συμμετρίαν ὡς ἔστι μιμούμενα ἐφ' ὅσον δὴ τὸ ὑποκείμενον γένος ἐπιδέχεται τὴν ἀκρίβειαν, τὰς δὲ φιλοσόφους καὶ σοφὰς
25 ἐπιστήμας πλάνης καὶ ψεύδους ἀσχημοσύνην ταῖς παρ' αὐταῖς συγχωρεῖν παραδόσεσιν ἐπιμίγνυσθαι.

p. 92ᵃ34 Πῶς οὖν δὴ ὁριζόμενος δείξει τὴν οὐσίαν.

Δείξας ἱκανῶς διὰ τῶν προειρημένων ὡς κατ' οὐδένα τρόπον ἐνδέχεται συλλογιστικῶς τὸν ὁρισμὸν ἀποδείκνυσθαι, νῦν δείκνυσιν ὡς οὐδὲ δι' ἐπα-
30 γωγῆς, ἀλλ' οὐδὲ δι' αἰσθήσεως. φησὶν οὖν ὅτι ἐπειδὴ ἀποπέφανται ὡς 25
οὐκ ἔστι δεῖξαι διὰ συλλογισμοῦ τὸν ὁρισμόν, πῶς ὁ ὁριζόμενος δείξει τὴν οὐσίαν, εἶτα ἐφερμηνεύων τί οὐσίαν φησίν, ἐπιφέρει ἢ τὸ τί ἐστι. παραδιαζευκτικὸς γὰρ ὁ ἤ σύνδεσμος ἐνταῦθα· οὐ γὰρ ὡς ἄλλο ὂν ἐπάγει τὸ ἢ τὸ τί ἐστιν, ἀλλ' ὡς ἑρμηνεύων τί οὐσίαν ὠνόμασεν, ἤγουν τὸ τί ἐστιν.
35 ἐπαναλαμβάνει δὲ καὶ τὴν ἀπόδειξιν, ἵνα πάντας τοὺς τρόπους ἐν ταὐτῷ

---

1 τι] τὸ E καὶ τῆς] ἐκ τῆς Aa 3 ἂν ἐπιτήδειον libri 8 καθιστάμενον E
9 ἀποτιναξάμενον Aa 10 ἐπεὶ Aa 12 ἑαυτοῦ E 13 του] τούτου E
πίστιν] ἐπιστήμην Aa 14 ἀνεπιτήδειον post ἀληθείας (14. 15) exh. libri 16 μηδὲ
ἀσύμμετρον μηδὲ Aa 17 ἐπισκοπούμενον E post ἅπαν add. εὔσχημον ἅπαν E
20 σφετέρων] σαφεστέρων a ποιουμένους om. E 21 ἀεργὸν E
23 μιμούμενον Aa 29 δείκνυσθαι E 32 ἑρμηνεύων Aa 34 ἐφερμηνεύων Aa

συνελών, δι' ὧν ἐνδέχεταί τι δεικνυσθαι, ἐκ πάντων ἀποφήσῃ τὸ δύνασθαι δεικνύειν τὸν ὁρισμόν. οὔτε γάρ, φησί, κατὰ τὸν τρόπον τῆς ἀποδείξεως δείξει, τοῦτο δέ ἐστι τὸ ἐξ ὁμολογουμένων τινῶν δῆλον ποιεῖν ἕτερον, ὧν δὴ ὄντων ἐκεῖνο ἐξ ἀνάγκης ἔστι· τὸ γὰρ οὕτω ποιεῖν ἀπόδειξίς ἐστι, δέδεικται δ' ὅτι δι' ἀποδείξεως ὁ ὁρισμὸς οὐ δείκνυται. δοκεῖ δὲ κοινότερον νῦν τὸ τῆς ἀποδείξεως λαβεῖν ὄνομα· ἀντὶ γὰρ τοῦ εἰπεῖν 'ὡς συλλογιζόμενος' ὡς ἀποδεικνὺς εἴρηκε, καὶ ἀντὶ τοῦ εἰπεῖν 'τοῦτο γὰρ συλλογισμοῦ' τοῦτο γὰρ ἀποδείξεως εἶπε. καὶ δῆλον ἀπὸ τοῦ ἰδίου ὃ ἔφησεν εἶναι τῆς ἀποδείξεως· τὸ γὰρ ἐξ ὁμολογουμένων τινῶν ἕτερόν τι δῆλον ποιεῖν, ὧν ὄντων ἐκεῖνό ἐστιν, οὐ τῆς ἀποδείξεως μόνης ἀλλ' ἁπλῶς τοῦ συλλογισμοῦ, εἰ μή τις ἐρεῖ τὸ ἀναγκαῖον οὐκ ἐπὶ τοῦ συμπεράσματος μόνον, ἀλλὰ καὶ ἐπὶ τοῦ πράγματος ἐξακούεσθαι. ἱκανῶς δὲ εἰπὼν περὶ τῆς ἀποδείξεως πρότερον οὐδὲν λέγει νῦν πλέον περὶ αὐτῆς, ἢ ὅσον ὅτι οὔτε δι' ἀποδείξεώς τις τὸν ὁρισμὸν δείξει. εἶτα εἰπὼν ὅτι οὔτε ὡς ἐπάγων, ἐπέξεισι τὸν τρόπον καθ' ὃν ἡ ἐπαγωγὴ γίνεται, δήλων ὄντων τῶν καθ' ἕκαστα ὅτι πάντα οὕτως ἔχει, ἤγουν ὅτι πᾶσιν ὑπάρχει τὸ κατηγορούμενον, ὃ τοῦ καθόλου κατηγορεῖ ὁ δι' ἐπαγωγῆς τὴν δεῖξιν ποιούμενος, τῷ μηδὲν ἄλλως. οὕτω γὰρ ἀληθὲς τὸ καθόλου· ἐὰν γάρ ἐστί τι τῶν ὑπὸ τὸ καθόλου, ὃ μὴ οὕτως ἀλλ' ἄλλως, οὐκ ἀληθὲς τὸ καθόλου. ὅτι δὲ οὐδ' ἡ ἐπαγωγὴ δεικνύει τὸν ὁρισμόν, δῆλον, ὅτι ἄλλο μὲν τὸ εἶναι, ἄλλο δὲ τὸ τί εἶναι, ἢ ἵν' εἴπω σαφέστερον, ἄλλο μὲν τὸ ἔστι τόδε καὶ οὐκ ἔστι τόδε, ἄλλο δὲ τὸ τί ἐστι τόδε· ἐκεῖ μὲν γὰρ ἀπόφανσις, τὸ δὲ τί ἐστιν οὐκ ἀπόφανσις. ὁ οὖν δι' ἐπαγωγῆς τι δεικνύων ἀπόφανσιν δείκνυσιν· ἕτερον δὲ αὕτη κατὰ γένος τοῦ τί ἐστιν. οὐκ ἄρα τὸ τί ἐστιν ἡ ἐπαγωγὴ δείκνυσι.

p. 92b 1 Τίς οὖν ἄλλος τρόπος λοιπός;

Ἐπειδή, φησίν, οὔτε διὰ συλλογισμοῦ οὔτε δι' ἐπαγωγῆς τὸ τί ἐστι δείκνυται, τίς τρόπος δείξεως ὑπολέλειπται; ἠρώτησε δὲ οὕτως ὡς μηδενὸς ὑπολελειμμένου, διὸ καὶ ἐπήνεγκεν οὐ γὰρ δὴ δείξει γε τῇ αἰσθήσει ἢ τῷ δακτύλῳ. εἰ γάρ, φησίν, οὗτοι οἱ τρόποι ὑπολελείφαται, ἀλλ' οὐδεμίαν πρόφασιν ἔχει τις οἰηθῆναι διὰ τούτων τινὸς τὸ τί ἐστι δείκνυσθαι· διὸ οὐδὲ λόγου τινὸς τούτους ἠξίωσεν.

p. 92b 4 Ἔτι πῶς δείξει τὸ τί ἐστιν;

Καθόλου, φησίν, οὐδ' ἐπιχειρεῖν χρὴ τὴν ἀρχὴν τῇ δείξει τοῦ τί ἐστιν. ὁ γὰρ δεικνὺς τί ἐστιν ὀφείλει συνδεικνύειν τῷ τί ἐστι καὶ ὅτι ἐστὶν ἐκεῖνο ὃ τί ἐστι δείκνυσιν. εἰ δὲ τοῦτο, ἢ ταὐτὸν ἔσται τὸ εἶναι τὸ

1 ἀποφήσει E 17 ὁ] ἡ E 18 ἐὰν — καθόλου (19) om. E 20. 21 ἄλλο δὲ — οὐκ ἔστι τόδε om. E 23. 24 ἕτερον — δείκνυσι om. E 28 δὴ et γε om. E 29 ὑπολελοίπαται libri 33 χρὴ] δεῖ Aa 35 post ἐκεῖνο add. ἐστὶν E τὸ εἶναι om. Aa

πρᾶγμα, καὶ τὸ | τί ἦν εἶναι αὐτὸ ἢ ἕτερα. καὶ ὅτι μὲν ἕτερα, δῆλον· 46
δέδεικται γὰρ ἤδη ὅτι τῷ γένει τοῦ τί ἐστιν ἕτερον οὐ μόνον τὸ εἰ ἔστιν,
ἀλλὰ καὶ τὸ ὅτι ἐστί· πῶς οὖν τῷ αὐτῷ τρόπῳ τῆς δείξεως δύο δειχθή-
σονται; εἰ δὲ μὴ τὸ ὅτι ἐστὶ τῷ τί ἐστι συνδείκνυται, εἴσεται τί ἐστιν
5 ἀγνοῶν εἰ ὅλως ἐστὶ τὸ πρᾶγμα, οὗ τὸ τί ἐστιν ἀποδίδωσιν· ὥστε τὸ μὴ
ὂν τί ἐστιν εἴσεται, ὅπερ ἄτοπον. γυμνάζει δὲ τὸν λόγον ἐπὶ τῶν γινωσκο-
μένων πρότερον, ἵν' ἐκ τούτων ὡς σαφεστέρων ὡς ἔχει τὸ λεγόμενον 5
καὶ ἐπὶ τῶν ζητουμένων γνωσόμεθα. εἰπὼν γὰρ πῶς δείξει τὸ τί ἐστιν
ἄνθρωπος, ὡς ζητουμένου τοῦ τί ἐστι καθ' ὑπόθεσιν περὶ τοῦ ἀνθρώπου,
10 ἐπιφέρει ἀνάγκη γὰρ τὸν εἰδότα τὸ τί ἐστιν ἄνθρωπος ἢ ἄλλο
ὁτιοῦν εἰδέναι ὅτι ἐστί. διὰ τοῦτο δὲ εἶπε τὸ ἄλλο ὁτιοῦν, ἵνα μὴ
ἐπὶ τοῦ ἀνθρώπου σταίημεν, ἀλλ' ἐπὶ πᾶν τὸν λόγον ἐκτείνωμεν, οὗ τὸ τί
ἐστιν οἴδαμεν. ἀνάγκη δή, φησί, καὶ ἐπὶ τοῦ ἀνθρώπου καὶ ἐπὶ ἄλλου
οὑτινοσοῦν τὸν εἰδότα τί ἐστιν ἐκεῖνο εἰδέναι καὶ ὅτι ἐστὶν ἐκεῖνο· εἰ γὰρ 10
15 μὴ οἶδεν ἁπλῶς ὅτι ἐστίν, οὐδὲ τί ἐστιν εἴσεται. τὸ γὰρ μὴ ὂν οὐδεὶς
οἶδεν τί ἐστιν· οὐ γὰρ ἐνδέχεται, φησίν, τί ἐστιν εἰδέναι τινὰ τὸ μὴ ὄν· εἰ
γὰρ δώσομεν τὸ ἀγνοούμενον εἰ ἔστιν εἰδέναι τί ἐστιν, εἴσεταί τις τὸ μὴ
ὄν, ὅπερ ὅτι ἄτοπον δέδεικται πρότερον.

p. 92b6 Ἀλλὰ τί μὲν σημαίνει ὁ λόγος ἢ τὸ ὄνομα.

20 Ἐπειδὴ τὸ ὄνομα σημαντικὴ ὂν φωνὴ δοκεῖ τὸ πρᾶγμα δηλοῦν τὸ 15
ὀνομαζόμενον, καὶ ὁ ἐπεξηγητικὸς αὐτοῦ λόγος ὁρισμός τις εἶναι, ἔστι δὲ
ὀνόματα καὶ μὴ οὖσι κεῖσθαι καὶ λόγους τῶν ὀνομάτων τούτων ἐπεξηγητι-
κοὺς γίνεσθαι, εἶπεν ἄν τις ἴσως πρὸς τὰ λεγόμενα ὡς ἐνδέχεται καὶ ἀγνοου-
μένου τοῦ ὅτι ἐστὶ τὸ πρᾶγμα, τὸ τί ἐστι περὶ αὐτοῦ ἀποδίδοσθαι. σημεῖον
25 δὲ τούτου· καὶ γὰρ ἐπὶ τῶν μὴ ὄντων μὲν ὀνομαζομένων δὲ τοῦτο γίνεται,
καὶ τὸ τί ἐστι περὶ αὐτῶν ἀποδίδοται. ἰδοὺ γὰρ ὁ τραγέλαφος οὐκ ἔστι 20
μέν, διὰ τοῦτο οὐδὲ εἶναι αὐτὸν ἀλλὰ μὴ εἶναι γινώσκομεν· καὶ μὴ ὄντος
δὲ αὐτοῦ ὄνομά τε αὐτοῦ λέγομεν καὶ ὁρισμὸν ἀποδίδομεν ἑρμηνευτικὸν
τοῦ ὀνόματος, ἴσως ὅτι ζῷον ἐκ τράγου καὶ ἐλάφου συγκείμενον, δύο ἔχον
30 κεφαλάς, πόδας δὲ ὀκτὼ ἢ ἄλλως πως ψιλὸν διανοίας ἢ φαντασίας ἀνά-
πλασμα, πράγματος ὑπόστασιν ὅλως οὐκ ἔχον· ὥστε καὶ ἐπὶ ὄντος ἀγνοου-
μένου δὲ ὅτι ἐστὶ δυνατὸν ἀποδοῦναι καὶ ὄνομα καὶ λόγον. πρὸς οὖν τὸν
οὕτω λέγοντα ποιεῖται τὴν ἀντίθεσιν ὅτι ὁ τοιοῦτος λόγος, τουτέστιν ὁ 25
ὀνοματώδης, καὶ τὸ ὄνομα τὸ τραγέλαφος τὸ ὑπὸ τοῦ τοιούτου λόγου ἑρμη-
35 νευόμενον σημασίαν μὲν παρέχεταί τινος, ἀδύνατον δὲ εἰδέναι τί ἐστι

---

3. 4 δειχθήσεται Aa 7 τούτων A¹E: τῶν a corr. A² ὡς om. Aa
9 ἄνθρωπος om. E 14 καὶ εἰδέναι coll. Aa 15 ἁπλῶς] ὅλως Aa
post μὴ ὄν add. οὐδὲ τί ἐστιν εἴσεται· οὐδεὶς γὰρ οἶδε τί ἐστιν E 16 τί ἐστιν] ὅτι
ἐστὶ Aa εἰδέναι τί ἐστι coll. Aa 17 δώσωμεν a post τις add. τί ἐστι Aa
28 αὐτῶ λέγομεν E ἀποδιδόαμεν libri 29 ἔχων E 31 οὐκ ἔχει E
32 δὲ om. E 33 ὁ λόγος ὁ τοιοῦτος Aa ὁ post τουτέστιν om. E 34 λόγου om. E

τραγέλαφος καὶ ἀπὸ τοῦ ὀνόματος καὶ ἀπὸ τοῦ ἑρμηνεύοντος αὐτὸ λόγου. 46
τὸ γάρ τί ἐστιν ἐκ γένους σύγκειται καὶ συστατικῶν διαφορῶν· πῶς οὖν
μὴ ὄντος τινὸς γένος ἕξομεν καὶ συστατικὰς διαφοράς; ἔτι τὸ μὲν τί ἐστι
τὸ ἴδιον εἶναι, τὸ δὲ ἴδιον εἶναι ὑπὸ τοῦ ἁπλῶς εἶναι· ὅπου οὖν τὸ ἁπλῶς
5 εἶναι οὐκ ἔστιν οὐδὲ γινώσκεται, πῶς τὸ ἴδιον ἢ ἔσται ἢ γνωσθήσεται; εἰ 30
δὲ μή, ἔσται τὸ ἐξ ἀρχῆς χωρὶς τῆς ἀρχῆς καὶ ὑπ' ἀρχὴν ἄναρχον, καὶ
ἢ ἡ ἀρχὴ ὑπ' αὐτὸ ἢ ἄμφω ἄναρχα. ἅπερ ἅπαντα ὅτι ἄτοπα καὶ ἀδύνατα
τί χρὴ καὶ λέγειν, οὐ μόνον ἀταξίαν καὶ ἀκοσμίαν καὶ σύγχυσιν ἐν τοῖς
οὖσι φέροντα, ἀλλὰ καὶ εἰς τὸ μηδ' εἶναι ὅλως χωρεῖν ἀναγκάζοντα; ἐλλι-
10 πῶς δὲ εἴρηται τὸ ἀλλὰ τί μὲν σημαίνει ὁ λόγος ἢ τὸ ὄνομα, ὅταν
εἴπω τραγέλαφος· δεῖ δὲ προσθεῖναι τὸ δυνατὸν εἰδέναι. ὅταν γὰρ
εἴπω τραγέλαφος ἢ ὅταν ἑφερμηνεύων τὸ ῥηθὲν ὄνομα φῶ ζῷον ἐκ τράγου 35
καὶ ἐλάφου συγκείμενον, δυνατὸν εἰδέναι τί σημαίνει· τί δὲ ἔστιν, ἀδύνατον
εἰδέναι. οὕτω καὶ ὅταν ᾖ μὲν τὸ πρᾶγμα, ἀγνοῆται δ' ὅ τι ἐστίν, ὀνόματος
15 αὐτοῦ λεγομένου καὶ λόγου ὀνοματώδους ἀποδιδομένου τί μὲν σημαίνει
ταῦτα εἰσόμεθα, τί δ' ἔστιν ἐκεῖνο, οὐκ εἰσόμεθα. ἀλλ' εἰ σημαίνει τι
καὶ εἰσόμεθα, πῶς πάλιν οὐκ ἔστιν ὃ σημαίνει; συμβήσεται γὰρ ἐν ταὐτῷ
τό τε ὄνομα σημαίνειν καὶ μὴ σημαίνειν, καὶ ἡμᾶς εἰδέναι καὶ μὴ εἰδέναι.
ἢ ὥσπερ τὸ μὴ ὂν δοξαστὸν οὐχ ὅτι ἐστίν, ἀλλ' ὅτι οὐκ ἔστιν, οὕτω καὶ 40
20 τὸ περὶ τοῦ μὴ ὄντος ὄνομα σημαίνει μὴ ὄν, καὶ ἡμεῖς ἴσμεν ὡσαύτως
οὐχ ὅτι ἐστίν, ἀλλ' ὅτι οὐκ ἔστι. δεῖ δὲ μὴ λανθάνειν ὡς ὅταν ἐπὶ μὴ
ὄντος ποτὲ ὄνομα κείμενον σημαίνειν δοκῇ, οὐ καθ' αὑτὸ τοῦτο, ἀλλ' ᾗ
ἐκ σημαινόντων συντέθειται. βλίτυρι μὲν γὰρ καὶ σκινδαψὸς καὶ τὰ τοι-
αῦτα σημαίνει τε οὐδὲν καὶ οὐδὲ δοκεῖ· τραγέλαφος δ' ἐπεὶ ἐκ τοῦ τράγος
25 καὶ ἔλαφος, ἅπερ ἐπὶ ὄντων κεῖται, διὰ τοῦτο φαντασίαν σημασίας παρ-
έχεται· ψευδὲς δὲ τὸ φάντασμα, ἐπεὶ μὴ καὶ πρᾶγμα οὕτως ἔχον εὑρίσκεται. 45
διὸ κἂν λόγος τις ἀποδοθείη πρὸς τοὔνομα, οὐ τὸ τί ἐστι δηλοῖ (πῶς γὰρ
τὸ μὴ ὄν;) ἀλλὰ μᾶλλον ἐκ τίνων συντέθειται τοὔνομα.

p. 92b 8 Ἀλλὰ μὴν εἰ δείξει τί ἐστι καὶ ὅτι ἔστι, πῶς τῷ αὐτῷ
30 λόγῳ δείξει; ὅ τε γὰρ ὁρισμὸς ἕν τι δηλοῖ καὶ ἡ ἀπόδειξις, τὸ
δὲ τί ἐστιν ἄνθρωπος καὶ τὸ εἶναι ἄνθρωπον ἄλλο.

Ὅτι μὲν ἀναγκαῖον τὸν δεικνύντα τὸ τί ἐστι συνδεικνύναι τούτῳ καὶ
τὸ ὅτι ἔστι, δέδεικται· ὃ γὰρ ἐπὶ τῶν γινωσκομένων εἴρηται, ἁρμόσει 50
τοῦτο πάντως καὶ ἐπὶ τῶν δεικνυμένων. εἰ δέ τις ἐρεῖ ὅτι συνδείκνυσιν ὁ
35 τὸ τί ἐστι δεικνὺς ἅμα αὐτῷ καὶ τὸ ὅτι ἔστιν, ἕτερον ἄτοπον ἕψεται· πῶς
γὰρ ἑνὶ καὶ τῷ αὐτῷ λόγῳ δύο δείξει κατὰ γένος ἀλλήλων διάφορα; ὅ τε

---

2 τὸ γάρ] καὶ γάρ a 4 τὸ δὲ ἴδιον εἶναι om. Aa 5 ἢ ante ἔσται om. E
11 τραγέλαφον Aa δεῖ—εἰδέναι] τί δ' ἐστὶ τραγέλαφος ἀδύνατον εἰδέναι. δεῖ δ' οὕτως ἀκούειν ἀλλ' ὥσπερ E γάρ om. E 14 μὲν ᾖ coll. E 15 ὀνοματώδους] deficit E pergitque p. 58,22 ed. Ven. 22 ᾖ] ἡ libri 25 ἐπὶ ὄντων] ἐπιόντων libri
25. 26 παρέπεται a 29 τί ἐστι καὶ ὅτι ἔστι Arist.: τὸ ὅτι ἐστι καὶ libri

γὰρ ὁρισμὸς ἕν τι δηλοῖ καὶ ἡ ἀπόδειξις αὖθις ἕν· καὶ ὥσπερ τὴν δεικνούσαν τὸ ὅτι ἔστιν ἀπόδειξιν οὐκ ἐνδέχεται σὺν αὐτῷ δηλοῦν καὶ τὸ τί ἐστιν, οὕτως οὐδὲ τὸν ὁρισμὸν δεικνύντα τὸ τί ἐστιν ἐνδέχεται σὺν αὐτῷ δεικνύειν καὶ τὸ ὅτι | ἔστιν. εἰ μὲν γὰρ ἓν ἦν τὸ τί ἐστιν ἄνθρωπος καὶ 47
5 τὸ εἶναι ἄνθρωπον, ἐδείκνυτο ἂν καὶ ἑνὶ λόγῳ, εἴτε ὁρισμῷ εἴτε ἀποδείξει· ἐπεὶ δὲ ἕτερα καὶ ταῦτα κατὰ γένος, οὐκ ἐνδέχεται ἑνὶ δειχθῆναι λόγῳ καὶ τῷ αὐτῷ.

p. 92b12 Εἶτα καὶ δι' ἀποδείξεώς φαμεν ἀναγκαῖον εἶναι δείκνυσθαι ἅπαν ὅτι ἔστιν, εἰ μὴ οὐσία εἴη. τὸ δ' εἶναι οὐκ οὐσία 5
10 οὐδενί· οὐ γὰρ γένος τὸ ὄν· ἀπόδειξις ἄρ' ἔσται ὅτι ἐστί.

Δέδεικται πρότερον ὅτι οὔτε ὁ ὁρισμὸς καὶ ἡ ἀπόδειξις ταὐτὸν οὔτε τὸ ὑπὸ τούτων ἀμφοῖν δεικνύμενον τὸ αὐτό· ἀλλὰ μὴν ὑπὸ τῆς ἀποδείξεως ἀναγκαῖον πᾶν ὅτι ἔστι δείκνυσθαι πλὴν τῆς οὐσίας, ἤτοι τοῦ τί ἐστιν· οὐκ ἄρα τὸ ὅτι ἐστὶν ὑπὸ τοῦ ὁρισμοῦ δείκνυται. εἰ γὰρ ἔσται
15 δεικνύμενον τὸ αὐτὸ ὑπό τε τοῦ ὁρισμοῦ καὶ τῆς ἀποδείξεως, καὶ τὸ αὐτὸ ἔσται ὁρισμὸς καὶ ἀπόδειξις· καίτοι ταῦτα ὅτι ἀδύνατα, δέδεικται πρότερον. 10 ἀλλ' οὐδ' ἔχει τις εἰπεῖν τὸ εἶναι οὐσίαν, καὶ οὐ δείκνυται ὑπὸ τοῦ ὁρισμοῦ, ἐπεὶ οὐδὲ γένος, ἵνα κἂν ὁρισμοῦ μέρος γένοιτο, ἀλλ' ὁμωνύμως κατὰ πασῶν τῶν δέκα κατηγορεῖται ἀρχῶν. εἰ ⟨δὲ⟩ μὴ οὐσία τὸ εἶναι, πᾶν δὲ
20 ὃ μὴ οὐσία, ἀποδείξει δείκνυται, ἀποδείξει ἄρα τὸ ὅτι ἐστὶ δείκνυται. πάλιν γὰρ ἐνταῦθα δοκεῖ τὴν ἀπόδειξιν κοινότερον λαβεῖν ἀντὶ τοῦ συλλογισμοῦ, ἐπεὶ οὐκ ἐκ τῶν καθ' αὑτὸ καὶ ᾗ αὐτὸ καὶ πρώτων καὶ αἰτίων τοῦ συμπεράσματος πᾶν δοκεῖ δείκνυσθαι ὃ μὴ οὐσία ἐστίν· εἰ δὲ καὶ περὶ τῶν 15 καθ' αὑτὸ συμβεβηκότων ἐκληψόμεθα τὰ λεγόμενα καὶ ἁπλῶς τῶν ὅσα δι'
25 ἀποδείξεως δείκνυται, οὐχ ἁπλῶς τῷ συλλογισμῷ, ἀλλὰ τῇ ἀποδείξει μόνῃ προσαρμόσει τὰ ῥήματα, καὶ ἔσται τοῦτο τῷ προκειμένῳ σκοπῷ οἰκειότερον. διὰ γὰρ τὴν ἀπόδειξιν καὶ τὰ ἀποδεικτά, καὶ ὡς ἔχουσι πρὸς τὸ τί ἐστιν, ἡ πρόθεσις αὐτῷ ἐνταῦθα.

p. 92b15 Ὅπερ καὶ νῦν ποιοῦσιν αἱ ἐπιστῆμαι. τί μὲν γὰρ σημαίνει
30 τὸ τρίγωνον, ἔλαβεν ὁ γεωμέτρης, ὅτι δ' ἐστὶ δείκνυσιν. 20

Ἴσως τοῦτο οὐ πρὸς τὸ προσεχές, ἀλλὰ πρὸς τὸ ἀνωτέρω, ἐν ᾧ ἔλεγεν ὅτι ἐκ τῶν ὀνομάτων καὶ τῶν ταῦτα ἑρμηνευόντων λόγων τὸ τί σημαίνει γινώσκομεν, οὐ τὸ τί ἐστι. δῆλον γάρ, φησί, τοῦτο καὶ ἐκ τῶν ἐπιστημῶν· ὁ γὰρ γεωμέτρης ἐκ τοῦ τρίγωνον ὀνόματος οὐδὲν ἄλλο διαγινώσκει ἢ τί
35 σημαίνει, ὅτι τὸ ὑπὸ τριῶν εὐθειῶν περιέχεσθαί τι χωρίον· τοῦτο δὲ λαβών, ὅτι ἔστι τρίγωνον τὸ ἐπὶ τῆς δοθείσης εὐθείας γραφόμενον ἢ πῇ ἄλλῃ 25 δείκνυσι μήπω εἰδὼς τὸ τί ἐστιν, ἵνα μήτις ἔχῃ εἰπεῖν ὅτι τὸ τί ἐστι τρί-

---

17 οὐσίαν] οὐσία Aa καὶ οὐ om. A[1] 19 δὲ addidi 23 εἰ scripsi: ἡ Aa 34 διαγινώσκει] διὰ γινώσκειται (sic) Aa

γωνον μαθὼν πρότερον ὅτι ἔστι μετὰ ταῦτα δείκνυσι. καίτοι οὐ τὸ εἶναι 47
ἁπλῶς τὸ τρίγωνον δείκνυσιν, ἀλλὰ τὸ ὧδὶ ἢ ὧδί, τὸ δ' εἶναι ἁπλῶς καὶ
πρὸ τῆς ἀποδείξεως ἴσησιν· οὐ γὰρ ἂν ἀπεδείκνυεν ὧδί, εἰ μὴ ἤδει εἶναι
ἁπλῶς. εἰ δὲ καὶ πρὸς τὸ προσεχὲς βούλοιτό τις ἀποδοῦναι τὸ ῥητόν,
5 οὕτως ἂν ἐκλήψοιτο 'ὅτι δὲ τὸ ὅτι ἔστιν ἀποδείξει δείκνυται, δηλοῦσιν αἱ
ἐπιστῆμαι· ὁ γὰρ γεωμέτρης μόνον λαβὼν τί σημαίνει τρίγωνον, ὅτι ἔστι 30
τρίγωνον δείκνυσι'. δύναται δὲ ὁμοῦ καὶ πρὸς ἄμφω λαμβάνεσθαι, ἅμα τε
δηλοῦν ἐκ τῶν ἐπιστημῶν ὅτι ἐκ τῶν ὀνομάτων τὴν σημασίαν μόνην γινώ-
σκομεν, ἅμα δ' ὅτι τὸ ὅτι ἔστι δι' ἀποδείξεως δείκνυται.

10 p. 92b17 Τί οὖν δείξει ὁ ὁριζόμενος τί ἐστιν; ἢ τὸ τρίγωνον· εἰδὼς
ἄρα τις ὁρισμῷ τί ἐστιν, εἰ ἔστιν οὐκ εἴσεται. ἀλλ' ἀδύνατον.

Ἐπεί, φησί, δέδεικται τὸ ὅτι ἐστὶν ἀποδείξει δεικνύμενον, δῆλον ὡς 35
οὐχ ὁρισμῷ. ὁ οὖν ὁρισμὸς δεικνὺς τὸ τρίγωνον τί λοιπὸν δείξει ἢ τί
ἐστι; τοῦτο δὲ πάντως χωρὶς τοῦ ὅτι ἐστὶ δείξει· ἐκεῖνο γὰρ ἀποδείξει
15 δείκνυται. ὥστε εἴσεται ὁρισμῷ τί ἐστιν, ἀγνοῶν εἰ ὅλως ἐστίν· ἀλλὰ τοῦτο
ἀδύνατον δέδεικται· τὸ μὴ ὂν γὰρ εἴσεται τί ἐστιν. εἰ γὰρ καὶ ὂν ἴσως,
ἀλλ' αὐτῷ μὴ ὄν, ὅτι εἰ ἔστιν ἠγνόηται.

p. 92b19 Φανερὸν δὲ καὶ κατὰ τοὺς νῦν τρόπους τῶν ὅρων, ὡς
οὐ δεικνύουσιν οἱ ὁριζόμενοι ὅτι ἔστι.

20 Τὰς ἀποδείξεις λέγων δεικνύσας ὅτι ἐστί, κἀντεῦθεν τοῦτο τῶν ὁρισμῶν 40
ἀπαλλοτριῶν, διὰ τὸ μὴ ταὐτὸν εἶναι τὸ τῷ ὁρισμῷ καὶ τὸ τῇ ἀποδείξει
δεικνύμενον, τὰς ἐπιστήμας ἐκεῖσε παρέθετο ὡς τοῦ ὅτι ἐστὶ ποιουμένας
τὰς ἀποδείξεις· νῦν δὲ τὸ τί ἐστι λέγων ἄνευ τινὸς προσδηλώσεως τοῦ ὅτι
ἐστὶ παρὰ τοῦ ὁρισμοῦ δείκνυσθαι, τοὺς ὁρισμοὺς παρατίθεται, ἐκ τῆς
25 ἐπαγωγῆς δεικνὺς τὸ προκείμενον. καθὼς γὰρ νῦν ὁρίζονται οἱ ὁριζόμενοι,
οὐ δεικνύουσι, φησί, τὸ ὅτι ἐστί. τὸ δὲ 'νῦν ποιοῦσιν αἱ ἐπιστῆμαι' πρότερον 45
εἰπὼν καὶ αὖθις 'τοὺς νῦν τρόπους τῶν ὅρων' οὐχ ὡς ταῖς νῦν οὔσαις
ἐπιστήμαις ἢ τοῖς νῦν ὅροις ἐπιμεμφόμενος οὕτω φησίν, ἀλλ' ὡς εἰπεῖν
ἐπιεικευόμενος· αἱ γὰρ τέως, φησίν, ἄχρι καὶ νῦν ἐπιστῆμαι καὶ οἱ ἄχρι
30 νῦν ὅροι οὕτως ἔχουσιν ὡς ἡμεῖς λέγομεν, εἰ μή τις εἴη καινοτομῶν τὰς
ὁδοὺς καὶ ἄλλους τρόπους ἐπιτηδεύων ταῖς ἐπιστήμαις τε καὶ τοῖς ὅροις.

p. 92b20 Εἰ γὰρ καὶ ἔστιν ἐκ τοῦ μέσου τι ἴσον, ἀλλὰ διὰ τί ἐστὶ
τὸ ὁριστόν; καὶ διὰ τί τοῦτ' ἐστὶν ὁ κύκλος; εἴη γὰρ ἂν καὶ ὀρει- 50
χάλκου εἶναι αὐτό.

35 Προθέμενος δεῖξαι ἐκ τῶν κειμένων ὅρων τὸ εἰρημένον, ὅτι οὔτε τὸ
εἶναι τὸ πρᾶγμα προσσημαίνεται τῷ ὅρῳ οὔτε διὰ τί ὁ ἀποδοθεὶς ὅρος τοῦδέ

3 ἴσησιν] sic Aa εἰ μὴ] ἢ μὴ a 32 et 36 διότι Aa 33 ὁρισθέν Arist.

ἐστιν ἐφ' ᾧ ἀποδέδοται καὶ οὐχ ἑτέρου τινός, ὅρον τινὰ εἰς μέσον προτίθησιν τῷ κύκλῳ ἁρμόζοντα· οὗτος δ' ἐστὶ τὸ ἐκ μέσου ἴσον, ταὐτὸν δ' ἔστιν εἰπεῖν οὗ ἐκ τοῦ κέντρου ἴσον ἀπέχει πανταχόσε ἡ περιφέρεια· μέσον γὰρ ἐν τῷ κύκλῳ τὸ κέντρον ἐστί. φη|σὶν οὖν, εἰ γὰρ καὶ 48
5 ὁμολογουμένως ἔστι τι τοιοῦτον ἐν τοῖς οὖσιν ἐκ τοῦ μέσου ἴσον [ἐστὶν] ἀλλ' ὅσον κατὰ τὴν τοῦ ὁρισμοῦ ἀπόδοσιν ἔστιν ἐρωτᾶν περὶ τοῦ ὁρισθέντος, διὰ τί ἐστι, καὶ διὰ τί τοῦτ' ἐστὶ κύκλος ὃ τὸν ὁρισμὸν τουτονὶ ἐπιδέχεται, διὰ τὸ μηδεμίαν ἀνάγκην ἐκ τῆς τοῦ ὁρισμοῦ ἀποδόσεως ἐμφαίνεσθαι μήτε τοῦ εἶναι τὸ πρᾶγμα μήτε τοῦ αὐτοῦ εἶναι τὸν ὁρισμὸν καὶ οὐκ
10 ἄλλου τινός, καὶ τοσοῦτον, ὥστε καὶ τῷ τυχόντι ἐφαρμόζειν αὐτόν, οἷον 5
ὀρειχάλκῳ ἢ ἄλλῳ ὁτῳοῦν ἢ ὄντι μέν, μὴ κύκλῳ δὲ ὄντι ἢ μηδὲ ὄντι ὅλως, ὅσον ἀπὸ τοῦ μὴ αἰτίαν ἐκ τῆς ἀποδόσεως ἐμφαίνεσθαι, δι' ἣν τοῦ κύκλου ἔσται, ἀλλ' οὐχ ἑτέρου τινός. ὀρείχαλκον δ' οἱ μὲν εἶδος ὕλης εἶναί φασιν οὕτω καλουμένης, ἣ τοῖς νῦν οὐχ εὑρίσκεται, ἄλλοι δὲ τὸν λευκὸν χαλκόν·
15 κέχρηται δὲ τῇ λέξει Ἡσίοδος ἐν Ἀσπίδι "ὡς εἰπὼν κνημῖδας ὀρειχάλκοιο φαεινοῦ δύσατο".

p. 92b23 Οὔτε γὰρ ὅτι δυνατὸν εἶναι τὸ λεγόμενον προσδηλοῦσιν 10
οἱ ὅροι, οὔτε ὅτι ἐκεῖνο οὗ φασιν εἶναι ὁρισμοί·

Οὐδέτερον γάρ, φησί, τῶν δύο τούτων οἱ ὁρισμοὶ ἀποδιδόμενοι συν-
20 εμφαίνουσιν, οὔτε τὸ δύνασθαι εἶναι τὸ πρᾶγμα ἐφ' ᾧ ἀποδέδονται, οὔτε ὅτι ἐκεῖνο τὸ πρᾶγμά ἐστι καὶ οὐχ ἕτερόν τι, οὗ τὸν ἀποδιδόμενον ὁρισμὸν εἶναι λέγουσι. τὸ δὲ δυνατὸν εἶναι ἢ ὁμωνύμως ἀντὶ τοῦ ἀναγκαῖον εἴρηκεν, ἢ ὡς ῥᾷον ὂν δύνασθαι εἶναί τι ἢ ἐξ ἀνάγκης εἶναι, ἵν' εἴη οὕτω 15
νοούμενον 'εἰ γὰρ οὐδ' ὅτι δυνατὸν ὅλως εἶναι συνεμφαίνεται τῷ ὅρῳ,
25 πολλοῦ δεῖ ὅτι ἐξ ἀνάγκης ἐστίν'.

p. 92b24 Ἀλλ' ἀεὶ ἔξεστι λέγειν τὸ διὰ τί.

Τοσοῦτον, φησίν, οὐ δηλοῦσί τι τῶν εἰρημένων οἱ ὅροι, ὡς ἐξεῖναι λέγειν ἀεὶ μετὰ τὴν τοῦ ὅρου ἀπόδοσιν 'διὰ τί τοῦτ' ἐστὶ καὶ οὐκ ἄλλο τὸ ὑπὸ τοῦ ὁρισμοῦ δηλούμενον; ἢ διὰ τί ὅλως ἐστίν'; ἅπερ οὐκ ἂν ἐφεῖτο
30 ἐρωτᾶν, εἰ ὁ ὁρισμὸς ἐκεῖνα ἐδήλου. 20

p. 92b26 Εἰ ἄρα ὁ ὁριζόμενος δείκνυσιν ἢ τί ἐστιν ἢ τί σημαίνει τοὔνομα, εἰ μὴ ἔστιν οὐδαμῶς τοῦ τί ἐστιν, εἴη ἂν ὁρισμὸς λόγος ὀνόματι τὸ αὐτὸ σημαίνων, ὅπερ ἄτοπον.

Λοιπόν, φησίν, ἐπεὶ ὁ ὁρισμὸς δυοῖν θάτερον δεικνύειν ὀφείλει, ἢ τί
35 ἐστι τὸ πρᾶγμα ἢ τί σημαίνει τοὔνομα, μηδαμῶς δὲ δείκνυσι τὸ τί ἐστι

---

3 πανταχόσε scripsi: πανταχός τε Aa 7 διότι Aa 13 ἀλλ' οὐχ scripsi: ἄλλου οὐχ Aa 14 ἢ τοῖς scripsi: ἢ τῆς libri οὐχ om. a 15 Ἡσίοδος ἐν Ἀσπίδι] cf. v. 122 15. 16 ὀρειχάλκοι φαεινόν a

τὸ πρᾶγμα, ὡς εἴρηται, μηνύει ἄρα τί σημαίνει τοὔνομα· ὥστε οὐδὲν ἄλλο 48
ἔσται ὁ ὁρισμὸς ἢ λόγος τὸ αὐτὸ δηλῶν τῷ ὀνόματι. ἀλλὰ τοῦτο ἄτοπον, 25
ὡς δειχθήσεται. τῷ δὲ εἰ μὴ ἔστιν οὐδαμῶς τοῦ τί ἐστι δεῖ συνεξα-
κούειν τὸ δηλωτικὸς ἢ δεικτικός.

5 p. 92b28 Πρῶτον μὲν γὰρ καὶ μὴ οὐσιῶν ἂν εἴη καὶ τῶν μὴ ὄντων· σημαίνειν γὰρ ἔστι καὶ τὰ μὴ ὄντα.

Πολλῶν ἑπομένων ἀτόπων τῷ λέγοντι λόγῳ μηδέν τι πλέον τὸν ὁρισμὸν δηλοῦν τοῦ ὀνόματος, πρῶτον ἔσται τοῦτο, ὅτι γένοιτ' ἂν καὶ τὰ μὴ ὄντα ὁρίζεσθαι, ἐπεὶ καὶ ὀνομάζειν ἔστι. μὴ ὄντα γὰρ τὸν τραγέλαφον ὀνο- 30
10 μάζομεν καὶ τὸν ἱπποκένταυρον, ὧν σημαίνει μὲν τὰ ὀνόματα, οὐ μέντοι γε καὶ εἰσὶ τὰ ὑπ' αὐτῶν σημαινόμενα, ἀλλ' ὀνόματά ἐστι πραγμάτων ⟨μὴ⟩ ὑφεστώτων ψιλά. ὥστε εἰ ταὐτὰ σημαίνουσιν οἱ ὁρισμοὶ τοῖς ὀνόμασιν, ἐπεὶ αὐτὰ ὀνομάζομεν, καὶ ὁρισμοὺς αὐτῶν ἀποδώσομεν, ἢ καὶ ἐν τῷ ὀνομάζειν αὐτὰ ὁριζόμεθα, εἰ ταὐτὸν δηλοῖ ὁ ὁρισμὸς καὶ τὸ ὄνομα· καὶ τὰ
15 πρότερα ἕψεται ἄτοπα, τὸ εἶναι τὸ τί ἐστι καὶ γινώσκεσθαι χωρὶς τοῦ εἶναι ἁπλῶς, καὶ τὰ λοιπά. τὸ δὲ μὴ οὐσιῶν καὶ τῶν μὴ ὄντων ἐκ παραλ- 35
λήλου τὸ αὐτό· λαμβάνεται γὰρ ἐνίοτε ἡ οὐσία καὶ ἐπὶ τοῦ ὄντος ἁπλῶς. τὸ δὲ σημαίνειν γὰρ ἔστι καὶ τὰ μὴ ὄντα, ἤγουν ἔστι γὰρ καὶ τοῖς μὴ οὖσι μὲν ἀναπλαττομένοις δὲ κατὰ φαντασίαν καὶ ἐπίνοιαν ὀνόματα τιθέναι
20 σημαντικά, ὁρισμοὺς δὲ τούτων οὐκ ἔστιν ἀποδιδόναι. εἶεν δ' ἂν ὁρισμοὶ καὶ οἱ λόγοι οἱ τὰς τῶν κειμένων ὀνομάτων δηλοῦντες ἐτυμότητας· εἰσὶ γὰρ καὶ οὗτοι λόγοι τὰ αὐτὰ σημαίνοντες τοῖς ὀνόμασιν, οἷον εἴ τις εἴπῃ ὅτι ἄνθρωπός ἐστιν ὁ διαρθρῶν τὴν ὄπα, καὶ ἵππος ἐστὶν ὁ τοῖς ποσὶν 40
ἱέμενος ἢ ἱπτάμενος. ἀλλ' εἰ καὶ ταὐτὸν οὗτοι σημαίνουσι τοῖς ὀνόμασι,
25 ὅμως οὔκ εἰσιν ἁπλῶς ὁρισμοί, ὅτι μὴ δηλοῦσι τὴν οὐσίαν ἐκείνων οἷς ἐτέθησαν τὰ ὀνόματα.

p. 92b30 Ἔτι πάντες οἱ λόγοι ὁρισμοὶ ἂν εἶεν· εἴη γὰρ ἂν ὄνομα θέσθαι ὁποιῳοῦν λόγῳ, ὥστε ὅρους ἂν διαλεγοίμεθα πάντες, καὶ ἡ Ἰλιὰς ὁρισμὸς ἂν εἴη.

30 Ἕτερον ἄτοπον ἑπόμενον δείκνυσι τῷ λέγοντι λόγῳ ταὐτὸν σημαίνειν τὸν ὁρισμὸν τῷ ὀνόματι· τοῦτο δ' ἐστὶ τὸ πάντας εἶναι τοὺς λόγους ὁρι- 45
σμούς. κατασκευάζει δὲ τοῦτο ἐκ τοῦ δυνατὸν εἶναι ὄνομα θέσθαι λόγῳ παντί, οἷον τὸ 'εἴθ' ὡς ἡβώοιμι, βίη τέ μοι ἔμπεδος εἴη' ὀνομασθείη ἂν εὐχή, καὶ τὸ 'τίς πόθεν εἰς ἀνδρῶν, πόθι τοι πόλις ἠδὲ τοκῆες' πεῦσις,
35 καὶ ἄλλος κλῆσις καὶ ἄλλος προοίμιον καὶ ἄλλος διήγησις. ἐπεὶ οὖν, φησίν, ὀνόματα πᾶσι, τὰ δὲ αὐτὰ σημαίνουσι τοῖς ὁρισμοῖς τὰ ὀνόματα, εἶεν ἂν πάντες οἱ λόγοι ὁρισμοί. πῶς δὲ τοῦτο συμβαίνει, δόξειεν ἂν ὥσπερ ἀνοί-

---

6 et 18 σημαίνει γὰρ ἔστι Aa 11 μὴ addidi 18 καὶ post ἔστι om. a
33 εἴθ' ὡς—ἔμπεδος εἴη] Il. H 157 34 τίς πόθεν—τοκῆες] Od. Λ 170

κειον· ἡ γὰρ ὑπόθεσις ἦν τοὺς ἐπὶ τοῖς πράγμασι κειμένους ὁρισμοὺς ταὐτὸν δηλοῦν τοῖς ὀνόμασι, νῦν δὲ τοῖς ἁπλῶς λόγοις οὐχ ὡς ὁρισμοῖς τιθεὶς ὀνόματα λέγει διὰ τὸ κεῖσθαι αὐτοῖς ὀνόματα ὁρισμοὺς εἶναι αὐτούς. καὶ δοκεῖ ἀνακόλουθον· οἱ γὰρ τοιοῦτοι λόγοι ὡς πράγματά τινα κεῖνται αὐτοῖς καὶ τίθενται τὰ ὀνόματα· καὶ οὐ μόνον ὀνόματα ἴδια, ἀλλὰ καὶ ἰδίους ὁρισμοὺς ἕκαστον εἶδος αὐτῶν ἐπιδέχεται. τίνα οὖν πρόφασιν ἔχει ταῦτα δηλοῦν αὐτοὺς τοῖς οἰκείοις ὀνόμασι, καὶ διὰ τοῦτο εἶναι πάντας ὁρισμούς; ἢ οὐχ ἁπλῶς | ἔοικε περὶ τῶν ὀνομάτων λέγειν, ἵνα καὶ αὐτὰ εἴπωμεν ἃ 49 γενικῶς τοῖς λόγοις τίθεται, ἀλλὰ περὶ τῶν ἰδίως τιθεμένων, ὡς διαφορίζειν τὴν πᾶσαν ὑπόθεσιν· οἷον τί λέγομεν; ἔστιν ὄνομα λόγου ποίησις, ἱστορία, συγγραφή, συλλογισμός, ἐπαγωγή, προοίμιον, διήγησις, ἀπόφανσις, εὐχή, πρόσταξις, κλῆσις, πεῦσις· τὰ τοιαῦτα πάντα γενικὰ καὶ οὐ τῷδε ἢ τῷδε τῷ λόγῳ ἁρμόζοντα, ἀλλὰ πᾶσιν τοῖς οὕτω σχηματιζομένοις, καὶ οὕτω σημαίνουσιν ὡς ὑπὸ τόδε ἢ τόδε τὸ γένος ἀνάγεσθαι, τὴν εὐχὴν τυχὸν ἢ τὴν κλῆσιν ἢ τὴν συγγραφὴν ἢ τὴν ἱστορίαν ἢ τὴν ποίησιν. τὸ δὲ Ἰλιὰς ὄνομα καὶ Ὀδύσσεια καὶ τὰ τοιαῦτα ἴδιά ἐστιν ὀνόματα τὴν πρόθεσιν τοῦ βιβλίου ἐν βραχεῖ ἀφορίζοντα. περὶ τῶν τοιούτων ὀνομάτων ἔοικε λέγειν, ἅπερ ἰδίᾳ ἑκάστῳ λόγῳ τίθεται. διὰ τοῦτο γὰρ λέγει εἴη γὰρ ἂν ὄνομα θέσθαι ὁποιῳοῦν λόγῳ, ὡς δυνατὸν ὂν καθ' ἑκάστην διάνοιαν τὴν δηλουμένην ὑπὸ τοῦ λόγου παντὸς τοῦ λεγομένου προσφυὲς τίθεσθαι. ἐπεὶ οὖν, φησί, ταὐτὸν δηλοῦσιν οἱ ὁρισμοὶ τοῖς ὀνόμασι, ταὐτὸν δὲ καὶ τὰ ὀνόματα τοῖς λόγοις οἷς οἰκείως τίθενται τὴν αὐτὴν διάνοιαν ἀφορίζοντα, εἶεν ἂν οἱ ὁρισμοὶ οἱ τοῖς τοιούτοις λόγοις ἀποδιδόμενοι ταὐτὸν δηλοῦντες τοῖς λόγοις ἐφ' οἷς ἀπεδόθησαν. ὥστε εἶεν ἂν καὶ οἱ λόγοι πάντες ὁρισμοί· ὡς γὰρ ὀνόματα τίθεσθαι τοῖς λόγοις ἰδίᾳ δυνατόν, οὕτω καὶ ὅρους ἐπ' αὐτοῖς ἀποδιδόναι δυνατόν. ὥστε ἐπεὶ τῇ ποιήσει τοῦ Ὁμήρου, ἐν ᾗ περιέχεται τὰ ἐν τῇ Ἰλίῳ πεπραγμένα Τρωσί τε καὶ Ἕλλησιν, Ἰλιὰς ἐπιτέθειται ὄνομα, δυνατὸν καὶ λόγον ἀποδοῦναι τὸν κατὰ τοὔνομα. σημανεῖ οὖν ὁ λόγος ὡς ἡ ὑπόθεσις ταὐτὸ τῷ ὀνόματι, τὸ δὲ ὄνομα ταὐτὸ τῷ λόγῳ παντὶ τῆς ποιήσεως. ὥστε καὶ ὁ λόγος ὁ κατὰ τοὔνομα ταὐτὸ τῷ λόγῳ παντὶ τῆς ποιήσεως, καὶ εἰ ἐκεῖνος ὁρισμός, καὶ ἡ ποίησις ἄρα ὁρισμός· δυοῖν γὰρ λόγων σημαινόντων ταὐτὸ εἰ ἕτερος ὁρισμός, καὶ ὁ ἕτερος. ὥστε δὴ οὐ μόνον ἡ Ἰλιὰς ἅπασιν ὁρισμὸς ἂν εἴη, ἀλλὰ καὶ ἡ Ὀδύσσεια, ἐπεὶ καὶ αὐτῇ ὄνομα ἴδιον τέθειται· καὶ λόγος ἂν ἀποδοθείη αὐτῆς κατὰ τὸ ὄνομα. καὶ πάντες οἱ λόγοι ὡσαύτως, ἱστορίαι τε καὶ συγγραφαί, δίκαι τε καὶ συμβουλαὶ καὶ ἐγκώμια· καὶ ὁρισμοὺς ἂν διαλεγοίμεθα ἕκαστος, ἐπεὶ δυνατὸν τῷ ἑκάστου λόγῳ ἴδιον τεθῆναι ὄνομα, καὶ λόγον δὲ ἀποδοθῆναι τὸν κατὰ τοὔνομα. εἰ γὰρ καὶ μὴ ὡσαύτως τοῖς λόγοις δηλοῦσι τὰ κείμενα αὐτοῖς ὀνόματα, ἀλλ' οὖν γε ταὐτὰ δηλοῦσιν ἑτέρως· τὰ μὲν γὰρ ὁλοσχερῶς, οἱ δὲ διευκρινισμένως. ἔστι δὲ διαπορῆσαι πρὸς τὰ οὕτω λεγόμενα. καὶ μὴν τὰ σημαντικὰ τῶν πραγμάτων ὀνόματα

---

5 καὶ τίθενται om. a 12 γενικὰ scripsi: γενητικά A: γεννητικὰ a 19 καθεκάστω a

ταὐτὰ τοῖς λόγοις αὐτῶν σημαίνουσιν, οἷον τὸ τί ἐστιν ἑκάστου δηλοῦσιν, 49
ὡς καὶ διὰ ἀλλήλων ὁρίζεσθαι τὸν ὁρισμὸν καὶ τὸ ὄνομα καὶ εἶναι μὲν
ὁρισμὸν συνεπτυγμένον τὸ ὄνομα, ὄνομα δ' αὖθις ἐξηπλωμένον τὸν ὁρισμόν.
καίτοι λόγος ὁ λόγος, οὐκ ὄνομα, καὶ ὄνομα, οὐ λόγος τὸ ὄνομα, ἀλλά γε
5 διὰ τὸ ταὐτὸν τῆς δηλώσεως ἀλλήλοις τὰ ἑαυτῶν ἀντιδιδόασιν ὀνόματα.
πῶς οὖν νῦν ὡς ἄτοπον λέγεται τὸ ταὐτὸν σημαίνειν τοὺς ὁρισμοὺς τοῖς 30
ὀνόμασιν; ἔτι ἢ σημαίνει τὰ ὀνόματα ἢ οὔ. εἰ μὲν οὖν ⟨οὐ⟩ σημαίνει,
μάτην εἴληπται καὶ οὐχ ἕξει τέλος, οὗ ἕνεκα τέθειται. ἀλλὰ καὶ οἱ ὁρισμοὶ
ἐξ ὀνομάτων συγκείμενοι ἀσήμαντοι ἔσονται· καὶ οὔτε ὀνόματα οὔτε ὅροι
10 οἱ ὅροι καὶ τὰ ὀνόματα, οὐδ' ἔστιν οἷς πρὸς ἀλλήλους ἡμεῖς τὰ πράγματα
δηλώσομεν, εἰ μὴ δι' ὀνομάτων καὶ λόγων τοῦτο ποιεῖν δυνάμεθα. ἀλλ'
ἄτοπα ταῦτα· δηλοῖ ἄρα τι τὰ ὀνόματα, καὶ ἢ τὰ πράγματα, ἃ δὴ καὶ
ὑπὸ τῶν ὁρισμῶν δηλοῦσθαι λέγεται, ἢ ἕτερ' ἄττα παρ' αὐτά· καὶ εἰ μὲν 35
ἕτερα, πάλιν καὶ οἱ ὁρισμοὶ ἐξ ὀνομάτων συγκείμενοι ἕτερα σημανοῦσιν,
15 οὐχὶ τὰ πράγματα. οἷον εἰ τὸ ζῷον οὐ τὴν οὐσίαν τοῦ ζῴου σημαίνει
καὶ τὸ λογικὸν οὐ τοῦ λογικοῦ καὶ τὸ θνητὸν οὐ τοῦ θνητοῦ, ἀλλ' ἕκαστον
ἄλλο, οὐδὲ ὁ ἐκ τούτων συγκείμενος λόγος τὴν ἐκ τούτων σύνθετον οὐσίαν
δηλώσει, ἀλλ' ἕτερόν τι. ἄλλων δή τινων δεησόμεθα, ἵνα ταῦτα δηλώσωμεν,
καὶ ἢ φωνῶν ἐνάρθρων ἢ νευμάτων ἢ ψόφων ἀγραμμάτων. καὶ εἰ μὲν
20 τούτων, ἄμεινον οὐδὲν θηρίων διακεισόμεθα, εἰ δὲ ἐκείνων, ὁμοίως κωφοῖς 40
καὶ ἀλλήλοις ἕξομεν· εἰ δὲ φωνῶν ἐνάρθρων, καὶ ἐπ' ἐκείνων τὰ αὐτὰ
ἐρησόμεθα καὶ εἰς ἄπειρον, καὶ ὑπ' οὐδενὸς τὰ πράγματα σημανθήσεται.
τί δὲ ἄλλο εἰ μὴ τὸ ἐφ' ᾧ κεῖται δηλώσει τὸ ὄνομα, οὐκ ἔστιν εἰπεῖν.
πῶς δὲ καὶ οἱ ὅροι ἀποδίδονται ἐρωτωμένου μετὰ τῶν ὀνομάτων τοῦ τί
25 ἐστιν; ἢ δῆλον ὡς ἐκεῖνο δηλούντων τῶν ὀνομάτων, ὃ καὶ οἱ ὅροι τί ἐστι
ἐπεξίασι· πλὴν ὅτι ἐπεὶ συνεπτυγμένως καὶ ἀθρόως τὸ ὄνομα, τῶν ὅρων
εἰς ἐξάπλωσιν καὶ διασάφησιν τῆς οὐσίας δεόμεθα. ἢ οὐδὲ τὸ σημαίνειν 45
ταὐτὸν τὸν ὁρισμὸν καὶ τὸ ὄνομα λέγεται ἁπλῶς, ἀλλ' ὁ μὲν ὁρισμὸς καθ'
αὐτό, κατὰ συμβεβηκὸς δὲ τὸ ὄνομα, ὅτι τεθειμένον ἐπί τινος δηλοῖ ἐκφω-
30 νούμενον τοῖς συνήθως ἔχουσι συνιέναι τῆς ἐκφωνήσεως ὅτι τόδε ἐστὶ τὸ
λεγόμενον, τῆς συνηθείας ἀπαγούσης αὐτῶν τὴν διάνοιαν πρὸς τὴν τοῦ
πράγματος ἔννοιαν. εἰ γὰρ ἦν καθ' αὑτὸ σημαντικὸν τοῦ ὄντος τὸ ὄνομα,
ὥσπερ δὴ καὶ ὁ ὁρισμός, οὐκ ἂν καὶ μὴ οὖσιν ὀνόματα ἐτέθειτο οὐδ' ἂν
πολλὰ τῷ αὐτῷ ὀνόματα ἔκειτο, οὐδὲ μὴν πολλοῖς πράγμασιν ὄνομα τὸ 50
35 αὐτό. νῦν δὲ ὁρισμὸς μὲν τοῦ αὐτοῦ κατὰ τὸ αὐτὸ εἷς καὶ οὐ πολλοί
(εἰ γὰρ καὶ διάφοροι ἐνίοτε λόγοι τοῦ αὐτοῦ ἀποδίδονται, ἀλλ' εἷς ἑκάστου
ὁ κυρίως ὁρισμός, ὃς τῷ γένει τῶν εἰδητικῶν συνερχομένων διαφορῶν ἀπο-
τελεῖται, ἐπεὶ καὶ φύσις μία καὶ εἶδος ἓν τὸ ὑπὸ τοῦ λόγου δηλούμενον),
ὀνόματα δὲ | πολλὰ τοῦ αὐτοῦ εἶναι ἐνδέχεται ἀπό τινων μὲν παρεπομένων 50
40 αὐτῷ τιθέμενα, ἐπίσης δὲ ἀλλήλοις δηλοῦντα τὸ ὑποκείμενον τοῖς συνήθως

---

3 συνεπτυγμένον scripsi: συνεπυγμένον A: συνεπιγμένον a
7 οὐ addidi
27 σημαίνειν scripsi: σημαίνει Aa
31 συνηθείσας a
33 τέθειτο Aa
36 εἰ] οἱ a

ἔχουσι τῶν ὀνομάτων. ἄνθρωπος γὰρ καὶ μέρος καὶ βροτὸς τὸ αὐτό, τὸ μὲν ὅτι ἄνω ἀθρεῖ τὸν ὦπα, τὸ δ' ὅτι μερίζει τὴν ὄπα, τὸ δ' ὅτι φθαρτός ἐστι, καὶ ἐξ ἄλλων ἄν τις ἴσως ἑπομένων αὐτῷ εὑρήσει κείμενα ὀνόματα· ὁρισμὸς δ' ὁ κυρίως εἷς. τὸ γὰρ ζῷον πεζὸν δίπουν ἐπεὶ ἐκ τῶν ὁλικῶν σύγκειται, οὐ κυρίως, καὶ τὸ ζῷον ἄπτερον ὑπόπουν δίπουν ὡσαύτως· τὸ δὲ ζῷον λογικὸν θνητὸν ἐπεὶ τὰς εἰδητικὰς ἔχει διαφοράς, κυρίως ἐστὶν ὁρισμός. ἀλλὰ καὶ ὁρισμὸς ὁ αὐτὸς οὐκ ἄν ποτε τεθείη τοῖς διαφόροις κατ' εἶδος, ὄνομα δὲ τὸ αὐτὸ πολλάκις τοῖς κατ' εἶδος διεστηκόσιν, ὡς κύων κατ' εἶδος ἕτερος ὁ ἀστὴρ καὶ ὁ χερσαῖος καὶ ὁ θαλάττιος, ὅπερ οὐκ ἂν ἦν, εἰ καθ' αὑτὸ τὰ ὀνόματα ὥσπερ οἱ ὁρισμοὶ ἐδήλουν τὰ πράγματα. καὶ μεταθείη ἄν τις τὸ τοῦδε εἰς ἕτερον ὄνομα, ὁρισμὸν δ' οὐχί. καὶ ἐκ τῆς τῶν ὀνομάτων δὲ ἐτυμότητος καταμάθοι ἄν τις ὡς κατὰ συμβεβηκὸς δηλοῦσι τὰς τῶν πραγμάτων ὀντότητας· ἐκ γὰρ τῶν παρεπομένων ταῖς φύσεσι λαμβανόμενα ἐξ ἐκείνων τε τὰς ἐτυμότητας δέχεται, καὶ ἐκεῖνα καθ' αὑτὸ δηλοῦν ἐπαγγέλλεται. ἐπεὶ οὖν καθ' αὑτὸ τοῖς ὁρισμοῖς τῶν πραγμάτων ἡ δήλωσις, κατὰ συμβεβηκὸς δὲ τοῖς ὀνόμασι, καὶ τῶν ὄντων ἐξ ἀνάγκης οἱ ὁρισμοί, ὀνόματα δὲ καὶ μὴ ὄντων ἐστί, καὶ ἀμετάθετοι μὲν οἱ ὁρισμοί, μετατίθενται δὲ τὰ ὀνόματα, καὶ πολλὰ τοιαῦθ' ἕτερα, πῶς οὐκ ἄτοπον ἰσοδυναμεῖν λέγειν ἁπλῶς τοῖς ὁρισμοῖς τὰ ὀνόματα; κἂν ὁρισμὸς δὲ ῥηθείη τὸ ὄνομα, οὕτως ἂν λέγοιτο ὡς κατὰ συμβεβηκὸς δηλοῦν τὸ αὐτὸ ὅπερ ὁ ὁρισμὸς καθ' αὑτό.

p. 92b32 Ἔτι οὐδεμία ἀπόδειξις εἴη ἂν ὅτι τοῦτο τοὔνομα τουτὶ δηλοῖ· οὐδ' οἱ ὁρισμοὶ τοίνυν τοῦτο προσδηλοῦσιν.

Ἔστω δή, φησί, καὶ ταὐτὸν σημαινέτω ὁ ὁρισμὸς τῷ ὀνόματι. ὥσπερ οὖν οὐκ ἔστιν ἀπόδειξις δεικνύουσα ὅτι τόδε τὸ ὄνομα τοῦδε τοῦ πράγματός ἐστι δηλωτικόν, οὕτως οὐδ' ὁρισμοὶ τοῦτο προσδηλοῦσιν, ἤτοι συνεμφαίνουσιν ἐν ταῖς ἀποδόσεσιν ὅτι ὅδε ὁ ὁρισμὸς τοῦδέ ἐστι τοῦ ὁριστοῦ, καὶ οὐκ ἄλλου τινός. ὅτι δὲ οὐκ ἐνδέχεται εἶναι ἀπόδειξιν δεικνύουσαν ὅτι τοῦδέ ἐστι τοῦ σημαινομένου τὸ ὄνομα καὶ οὐκ ἄλλου, δῆλον ἔκ τε τοῦ κατὰ συνθήκην εἶναι τὰ ὀνόματα, καὶ ἐκ τοῦ πολλοῖς ἐνίοτε κατ' εἶδος διαφέρουσι τὸ αὐτὸ κεῖσθαι ὄνομα, ὃν τρόπον ἔχουσι τὰ ὁμώνυμα, καὶ ἐκ τοῦ πολλὰ ὀνόματα τῷ αὐτῷ κεῖσθαι πράγματι. ὧν οὐδὲν ὑπῆρχεν ἄν, εἰ ἀπόδειξις ἦν ὅτι τοῦδε καὶ οὐχ ἑτέρου τόδε τὸ ὄνομα. ὃ γάρ τις ἐπίσταται, οὐ δυνατὸν ἄλλως ἔχειν, ὡς εἴρηται ἐν τῷ πρὸ τούτου βιβλίῳ.

p. 92b35 Ἐκ μὲν τοίνυν τούτων οὔτε ὁρισμὸς καὶ συλλογισμὸς φαίνεται ταὐτὸν ὂν οὔτε ταὐτοῦ συλλογισμός τε καὶ ὁρισμός.

Τοῦτο συγκεφαλαίωσις τῶν εἰρημένων ἐστίν. ὅτι δὲ οὐ ταὐτὸν συλλογισμὸς καὶ ὁρισμός, ἔστι μὲν καὶ ἀπὸ τῶν ὁρισμῶν γνῶναι· ἄλλος γὰρ

---

6 ἐπεὶ] ἐπὶ a 7 καὶ ὁρισμὸν a 22 ἀπόδειξις εἴη (om. ἂν) Arist. D: ἀποδείξειεν Aa: ἐπιστήμη ἀποδείξειεν ἄν Bekker 34 ἐν τῷ πρὸ τούτου βιβλίῳ] Anal. post A 33

ἑκατέρου λόγος ὁ τὸ τί ἦν εἶναι δηλῶν· ἔδειξε δὲ καὶ αὐτός, ὅτε ἐδείκνυ 50
μὴ ταὐτὸν ὂν τὸ τῷ συλλογισμῷ καὶ τὸ τῷ ὅρῳ δεικνύμενον. ὅτι γὰρ
οὐ τοῦ αὐτοῦ συλλογισμὸς καὶ ὁρισμός, δέδεικται πολλαχῶς, καὶ ὅτι τοῦ
μὲν ὅρου τὸ τί ἐστι, τοῦ δὲ συλλογισμοῦ τὸ ὅτι ἔστιν· ἔδειξε γὰρ ἐξ ἀρχῆς
5 ὅτι οὐκ ἐνδέχεται τὸ ὑφ' ἑτέρου τούτων δεικνύμενον ὑπὸ τοῦ ἑτέρου
δείκνυσθαι. 35

p. 92b 37 Πρὸς δὲ τούτοις οὔτε ὁρισμὸς οὐδὲν οὔτε ἀποδείκνυσιν οὔτε δείκνυσιν.

Εἰ γὰρ οὔτε τὸ εἶναι τὸ πρᾶγμα, οὗ τὸ τί ἐστιν ἀποδίδοται, ὁ ὁρισμὸς
δείκνυσιν, οὔτε ὅτι ἐκείνου ἐστὶν ἐφ' ᾧ ἀποδίδοται, ἀλλ' οὐδὲ τὸ τί ἐστι
10 τὸ ὁριστόν, ὡς αὐτὸς εἴρηκε, τί ἂν ἕτερον δείξαι; ὡς ἄλλο δὲ ὂν τοῦ
ἀποδεικνύναι τὸ δεικνύναι καὶ ἀμφότερα τέθεικε· τὸ μὲν γὰρ τὸ ἐπιστη-
μονικῶς τε καὶ ἀναγκαίως, καὶ ὅσα περὶ ἀποδείξεως ἐν τῷ πρὸ τούτου 40
βιβλίῳ διώρισται· τὸ δὲ δεικνύναι ἔστι καὶ ἁπλῶς καὶ χωρὶς τῶν τοιούτων
προσδιορισμῶν.

15 p. 92b 38 Οὔτε τὸ τί ἐστιν οὔθ' ὁρισμῷ οὔτε ἀποδείξει ἔστι γνῶναι.

Δέδεικται καὶ ταῦτα ὁρισμῷ μὲν μὴ δείκνυσθαι τὸ τί ἐστιν· οὔτε γὰρ
ὅτι ὁρισμὸς τοῦτό ἐστι τὸ ἀποδοθέν, ἐκ τῆς ἀποδόσεως δῆλον γίνεται, οὔτε
ὅτι τούτου ἐστίν οὔτε ὅλως ἐστὶ τὸ ὁρισθὲν προσδηλοῦται τῷ ὁρισμῷ· διὰ 45
τοῦτο μηδὲ τὸ τί ἐστι δείκνυται. ἀποδείξει δέ, ὅτι ἀρχὴ ὁ ὅρος τῆς ἀπο-
20 δείξεως, διὸ ὑπ' αὐτῆς οὐ δείκνυται, καὶ εἴ τι ἕτερον περὶ τούτων εἴρηται.

p. 93a 1 Πάλιν δὲ σκεπτέον, τί τούτων λέγεται καλῶς καὶ τί οὐ καλῶς, καὶ τί ἐστιν ὁρισμός, καὶ τοῦ τί ἐστιν ἆρά πώς ἐστιν ἀπόδειξις καὶ ὁρισμὸς ἢ οὐδαμῶς.

Τὰ εἰρημένα συγκεφαλαιωσάμενος προστίθησι τὰ ἑξῆς, περὶ ὧν εἰπεῖν
25 τε καὶ δεῖξαι βούλεται. ἐρεῖ γὰρ πρῶτον μὲν ὅτι οὐ πάντῃ καλῶς ἤτοι 50
οὐκ ἀληθῶς ἔχει τὰ εἰρημένα, ἀλλ' ἔστιν οὗ διαπέπτωκεν. αὐτίκα τὸ μὴ
δύνασθαι τὸ αὐτὸ δι' ὁρισμοῦ γινώσκεσθαι καὶ ἀποδείξεως, ἔπειτα καὶ τὸ
μὴ δύνασθαι δεῖξιν ὁρισμοῦ δι' ἀποδείξεως ἢ ὅλως διὰ συλλογισμοῦ γίνεσθαι.
τούτων γὰρ ἑκάτερον ἁπλῶς μὲν λεγόμενον οὐκ ἀληθές, πῇ δὲ λεγόμενον 51
30 ἀληθές. ὥσπερ δηλονότι καὶ τὰ τούτοις ἀντικείμενα· οὔτε γὰρ τὸ δύνασθαι
τὸ αὐτὸ δι' ὁρισμοῦ γινώσκεσθαι καὶ δι' ἀποδείξεως ἁπλῶς ἀληθὲς οὔτε τὸ
μὴ δύνασθαι, ἀλλὰ πῇ ἑκάτερον, ὡς προϊοῦσι φανήσεται. ὡσαύτως καὶ
δύνασθαι ἢ μὴ δύνασθαι δεῖξιν ὁρισμοῦ γίνεσθαι· καὶ τούτων γὰρ πῇ

---

1 ἔδειξε] c. 3 9 οὐδὲ scripsi: οὔτε Aa 10 δείξαι scripsi: δείξῃ Aa
12 ἀναγκαίως scripsi: ἀναγκαίας Aa 17 ὅτι scripsi: οὔτε Aa 20 δείκνυται scripsi: δείκνυσθαι Aa

ἀληθεύει ἑκάτερον καὶ πῇ οὐκ ἀληθεύει, ὡς ἔσται καὶ τοῦτο δῆλον. 51
ὡσαύτως δὲ τούτοις καὶ τὸ δύνασθαι ὁρισμὸν δι' ὁρισμοῦ δείκνυσθαι· 5
καὶ τοῦτο γὰρ ἔστι μὲν οὗ, ἔστι δ' ὅπῃ οὔ. ὥστε περὶ τῶν ἐν μέρει
ἀληθευόντων ὁ ἁπλῶς ἀποφαινόμενος ἢ ἐπιχειρῶν πῇ μὲν καλῶς φησι, πῇ
5 δ' οὐ καλῶς. ἐπεὶ δὲ περὶ ὁρισμοῦ λόγος αὐτῷ κεκίνηται, πῇ τε διέστηκεν
ἀποδείξεως καὶ πῇ ταύτῃ φαίνεται κοινωνῶν, ἔδει καὶ τί ἐστιν ὁρισμὸς
ἀποδοῦναι, ὥσπερ καὶ πρότερον περὶ ἀποδείξεως λέγων τί ἐστιν ἀπόδειξις
ἀποδέδωκεν, καὶ πρὸ αὐτῆς περὶ συλλογισμοῦ μέλλων λέγειν τί ἐστι συλ- 10
λογισμός. τῷ ὄντι γὰρ ἄτοπον κατὰ Πλάτωνα, λέγειν περί τινος ἀγνοοῦντα
10 περὶ ὅτου λόγος ἔστι. πρότερον οὖν δεικνὺς ὡς οὐδαμῶς ἔστιν ὁρισμοῦ
ἀπόδειξις τοὺς τρόπους ἐλάμβανε καθ' οὓς οὐκ ἐνδέχεται τὸν ὁρισμὸν ἀπο-
δείκνυσθαι· ἐπεὶ δ' ἔστι τις τρόπος ἐκείνων ἕτερος, ᾧ ὁρισμὸν δι' ἀπο-
δείξεως ἐνδέχεται γίνεσθαι, τοῦτον ἑξῆς παραδοὺς τὸν περὶ τούτου λόγον
τέλειον ἀπεργάσεται, πρότερον μὲν πῶς οὐ γίνεται δείξας, ἔπειτα δ' ὅπως
15 γίνεται. καλῶς δ' οὕτω πεποίηκεν, ἵνα κατὰ προκοπὴν αὐτῷ ὁ λόγος 15
προβαίνῃ, μὴ κατὰ ὕφεσιν, καὶ κατὰ γένεσιν, μὴ κατὰ φθοράν, ἐξ ἀπο-
φάσεως εἰς κατάφασιν, κἀκ τοῦ μὴ ὄντος εἰς τὸ ὄν, ἀλλ' οὐκ ἀνάπαλιν,
ἐπεὶ καὶ μιμεῖται τὴν φύσιν ἡ ὁριστικὴ μέθοδος. ὡς ⟨γὰρ⟩ ἐκείνη τὰ εἴδη
τῇ ὕλῃ ἐφαρμόζουσα τὰς ἐν κινήσει οὐσίας ἀποτελεῖ, ὧν εἶναι ἀρχὴ λέγεται,
20 οὕτως αὕτη τῷ γένει τὰς διαφορὰς προστιθεῖσα καὶ τὴν τῶν ὁριστῶν
γνῶσιν οὕτω παρέχουσα.

Εἰπὼν δὴ ταῦτα τοὺς τρόπους ἐκτίθεται, καθ' οὓς ὁρισμὸν ἐνδέχεται 20
δι' ἀποδείξεως γινώσκεσθαι. χρῆται δὲ τοῖς προαποδεδειγμένοις, ἐν οἷς
ἔλεγε ταὐτὸν εἶναι τὸ εἰδέναι τί ἐστι καὶ τὸ εἰδέναι τὸ αἴτιον τοῦ εἰ ἔστιν.
25 ἐλέγομεν γὰρ ὅτι ἐπεὶ εἶδος ὁ ὁρισμός, τὸ δὲ εἶδος αἴτιον, δῆλον ὅτι καὶ
ὁ ὁρισμὸς αἴτιον. αἴτιον δὲ τίνος; ἢ πάντως τοῦ εἶναι τὸ πρᾶγμα, οὗ ὁ
ὁρισμὸς ὁρισμός ἐστιν. αἰτίαν οὖν τοῦ δύνασθαι ὁρισμὸν διὰ μέσου τινὸς
δείκνυσθαι ταύτην ἀποδίδωσιν ἐκ διαιρέσεως οὕτω προβαίνουσαν· τῶν γὰρ
ὡς ὁρισμῶν αἰτίων, φησί, τὸ μὲν ταὐτόν ἐστιν ἐκείνῳ οὗ ἐστιν αἴτιον, τὸ δὲ 25
30 ἐκείνου ἕτερον. εἶτα πάλιν ὑποδιαιρεῖ καί φησιν ὅτι τὸ ἕτερον ἢ ἀπο-
δεικτὸν ἢ ἀναπόδεικτον. εἰσὶ γάρ τινες τῶν λόγων, ὡς προϊοῦσιν ἐκ τῶν
παραδειγμάτων φανήσεται, οἳ μὴ ἀντιστρέφουσι πρὸς τὸ ὁριστόν, διὸ καὶ
δοκούντως ὁρισμοὶ ἀλλ' οὐ κυρίως εἰσί· καὶ τούτων οἱ μὲν ἐκ τῆς ὕλης,
οἱ δὲ ἐκ τοῦ εἴδους λαμβάνονται. ὅσοι μὲν οὖν ἐκ τῆς ὕλης λαμβάνονται
35 καὶ μὴ ἀντιστρέφουσιν, οὗτοι ἀποδεικτοὶ διὰ μέσων τῶν ἐκ τοῦ εἴδους, ὅσοι
δὲ ἐκ τοῦ εἴδους, οὗτοι ἀναπόδεικτοι, διὰ τὸ μηδὲν αὐτῶν καὶ τῶν ὁριστῶν 30
εὑρίσκεσθαι μέσον. ἐὰν οὖν ὁρισμὸς τοιοῦτος ᾖ, ὡς ἐκ τῆς ὕλης λαμβά-
νεσθαι καὶ μὴ ἀντιστρέφειν πρὸς τὸ ὁριστόν, διὰ ταῦτα ἄλλο μέν ἐστι τοῦ
ὁριστοῦ, δύναται δὲ διὰ μέσου δείκνυσθαι. ληφθέντος γὰρ μέσου τοῦ ἐκ
40 τοῦ εἴδους λαμβανομένου, ὃς καὶ αὐτὸς οὐκ ἀντιστρέφει μὲν πρὸς τὸ ὁριστόν,

---

1 καὶ πῇ οὐκ om. A¹ 3 οὗ] οὔ Aa οὗ] οὗ Aa 17 κἀκ] ἐκ A¹
18 γὰρ addidi 20 προστιθεῖσα scripsi: προτιθεῖσα Aa

ἀμέσως δὲ ὑπάρχει αὐτῷ, γίνεται συλλογισμὸς ἐν πρώτῳ σχήματι ὁρισμὸν 51
συνάγων δι' ὁρισμοῦ κατὰ τοῦ ὁριστοῦ, ἐπεὶ καθόλου τε καὶ καταφατικὸν
τὸ δεικνύμενόν ἐστι, τοῦτο δὲ ἐν ἄλλῳ οὐκ ἐνδέχεται ἀλλ' ἢ ἐν τῷ πρώτῳ 35
σχήματι δείκνυσθαι.

5 Ταῦτα τοίνυν οὕτως εἰπόντες ποιήσωμεν διὰ παραδειγμάτων τὸν
λόγον σαφέστερον, διελόντες πρότερον ἀκριβέστερον. τῶν γὰρ ἀποδιδομένων
λόγων περί τινων ὁριστῶν οἱ μὲν ἐκ τῶν γενῶν εἰσι καὶ τῶν εἰδοποιῶν
διαφορῶν συνιστάμενοι, οἱ δὲ ἐκ τῶν γενῶν μὲν ἴσως, οὐ μὴν καὶ τῶν
εἰδοποιῶν διαφορῶν, ἀλλ' ἐκ τῶν τῇ ὕλῃ προσόντων λαμβάνονται. οἷον ὁ
10 μὲν ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν τὸν ἄνθρωπον εἶναι 40
λέγων ἐκ τοῦ εἴδους τὰς διαφορὰς εἴληφεν ἢ πάσας ἢ τὰς πλείους· ὁ δὲ
λέγων ζῷον ὀρθοπεριπατητικὸν πλατυώνυχον γελαστικὸν ἐκ τῶν τῇ ὕλῃ
προσόντων συντέθειται. τούτων δ' αὖθις ἑκατέρων οἱ μὲν ἀντιστρέφουσι
πρὸς τὸ ὁριστόν, ὡς οἱ εἰρημένοι ἄμφω, οἱ δὲ οὐκ ἀντιστρέφουσιν· οἷον
15 ἐξ ὕλης μὲν λαμβανόμενος καὶ μὴ ἀντιστρέφων ὁ τὸν θυμὸν ζέσιν εἶναι
λέγων τοῦ περὶ τὴν καρδίαν αἵματος, ἐξ εἴδους δὲ καὶ μὴ ἀντιστρέφων ὁ
τὸν θυμὸν φάσκων ὄρεξιν ἀντιλυπήσεως. οὔτε γὰρ πᾶσα ζέσις τοῦ περι- 45
καρδίου αἵματος θυμός ἐστιν, ἀλλ' ἐνδέχεται καὶ μὴ θυμουμένου τινὸς ζέειν
τὸ περὶ τὴν καρδίαν αἷμα (τῶν γὰρ ἐφ' ὑγροῖς πυρεσσόντων ζέει τὸ αἷμα
20 τὸ περικάρδιον, οὐ μὴν καὶ θυμοῦνται διὰ τοῦτο) οὔτε δὲ πᾶσα ὄρεξις ἀντι-
λυπήσεως θυμός· ἐνδέχεται γάρ τινα ἀντιλυπήσεως ὀρεγόμενον ἠρεμεῖν καὶ
μηδεμίαν ταραχὴν ὑπομένειν θυμοῦ· ἐν γὰρ ταῖς προχειρίσεσι τῶν ὀρέξεων
ἢ κατὰ φαντασίαν γινομέναις ἢ κατ' ἐνέργειαν αἱ τῶν ὑποκειμένων κινήσεις
πεφύκασι γίνεσθαι, οὐ μὴν καὶ ἐκ τοῦ ἁπλῶς ἐν αὐταῖς κεῖσθαι, ἀλλὰ δεῖ 50
25 ἄμφω συνδραμεῖν, ἵνα θυμὸς γένηται. κυρίως μὲν οὖν ὁρισμοὶ οἱ καὶ
ἄμφω ἔχοντες, τό τε ἐκ τοῦ εἴδους λαμβάνεσθαι καὶ τὸ ἀντιστρέφειν· οἱ
δὲ θατέρου τούτων λειπόμενοι οὐ κυρίως, πολλοῦ γε δεῖν οἱ ἀμφοῖν. τὸν
μὲν οὖν ἐκ τοῦ εἴδους καὶ ἀντιστρέφοντα ὁρισμὸν τὸ αὐτό φησιν εἶναι τῷ
οὗ ἐστιν αἴτιος, τὸν δέ γε μὴ ἀντιστρέφοντα ἕτερον, | εἴτε ἐκ τοῦ εἴδους 52
30 εἴτε ἐκ τῆς ὕλης ἐστί. καίτοι κἀκεῖνος ὡς αἴτιον ἕτερόν ἐστι τοῦ οὗ ἐστιν
αἴτιον, ἀλλ' ἐπείπερ ἀντιστρέφει καὶ ἐξισάζει καὶ τὸ εἶδος παρίστησιν,
κατά γε τοῦτο ταὐτὸν πρὸς ὃ ἀντιστρέφει καὶ ἐξισάζει, ἢ ὡς μὲν ὄντος
ἁπλῶς ἕτερον, ὡς δὲ τόδε ὄντος ταὐτόν. καὶ ὁ ὅρος αἴτιον τῷ ὄντι
τοῦ τόδε εἶναι· κατὰ γὰρ τὸν ὅρον τῷ τόδε ὄντι τὸ τί ἐστιν. ὅτι δὲ οὗτος
35 μόνος κυρίως ὁ ὁρισμὸς δῆλον, εἴ γε οἰκειότατον ὁρισμοῦ τὸ ἴδιον εἶναι 5
καὶ ἐν τῷ τί ἐστιν οὗ ὁρισμός ἐστιν. εἰ οὖν πᾶς οὕτως, ὁ μὴ οὕτως οὐχ
ὁρισμός. τοῦτον μὲν δὴ οὕτως, τὸν δ' ἐκ τῆς ὕλης καὶ μὴ ἀντιστρέφοντα
ἕτερόν τέ φησιν, ἐπεὶ μηδὲ ἀντιστρέφει, καὶ ἔμμεσον ὡς διὰ μέσου τοῦ ἐκ
τοῦ εἴδους λαμβανομένου ἀποδεικνύμενον. τὸν δ' ἐκ τοῦ εἴδους μέν, μὴ μέν-
40 τοι γε ἀντιστρέφοντα ἕτερον καὶ αὐτὸν τοῦ οὗ ἐστιν αἴτιον, ἄμεσον δὲ καὶ διὰ
τοῦτο μηδὲ δεικνύμενον. ὅτι γὰρ ὁ θυμὸς ζέσις τοῦ περικαρδίου αἵματος,

30 post κἀκεῖνος add. ὁ ἐκ τοῦ εἴδους καὶ ἀντιστρέφων A²

δειχθείη ἂν διὰ μέσου τοῦ ὄρεξις ἀντιλυπήσεως· ὅτι δὲ ὄρεξις ἀντιλυπήσεως, 52
οὐκ ἂν δειχθείη, διὰ τὸ ἄμεσος εἶναι τῷ θυμῷ· τοῦτο γὰρ προηγεῖται, 10
ἐκεῖνο δὲ ἕπεται. πρότερον γὰρ ὀρέγεταί τις ἀντιλυπῆσαι, εἶτα ζέει αὐτοῦ
τὸ περικάρδιον αἷμα ἐνδιδόντος τῇ ὀρέξει καὶ ἤδη φερομένου πρὸς ἀντα-
5 πόδοσιν· ὥστε ἐκεῖνο μὲν οὐ διὰ μέσου τινὸς τῷ θυμῷ, τοῦτο δὲ διὰ
μέσου ἐκείνου· διὸ καὶ ὁ τοιοῦτος ὁρισμὸς συμπέρασμα ἀποδείξεως ἐν τῷ
πρὸ τούτου βιβλίῳ ἐλέγετο, ὡς διὰ μέσου τοῦ ἐκ τοῦ εἴδους λαμβανομένου 15
κατά τινος συναγόμενος. ἐπὶ τῶν τοιούτων δεῖ ἄμφω συνδραμεῖν, ἵν' ἀντι-
στρέψῃ καὶ ὁρισμὸς τέλειος γένηται· θυμός ἐστι ζέσις τοῦ περὶ καρδίαν
10 αἵματος δι' ὄρεξιν ἀντιλυπήσεως· ἰδίᾳ δ' ἑκάτερον οὔτε ἀντιστρέφει, ὡς
εἴρηται, οὔτε κυρίως ὁρισμός ἐστι. τοῦτον μὲν ἕνα τρόπον φησὶ τοῦ
δείκνυσθαι τὸ τί ἐστι δι' ἄλλου, ὄντος δηλονότι κἀκείνου τί ἐστιν. ἀνάγκη
γὰρ τὸ τί ἐστιν, εἰ μέλλοι δείκνυσθαι, διὰ μέσου τί ἐστι δείκνυσθαι, ὥσπερ
καὶ τὸ ἴδιον διὰ μέσου ἰδίου, ὡς τὸ μὲν εἶναι δεικτικὸν τὸ δὲ μή. τοῦτον
15 δὴ τὸν τρόπον τὸν δι' ὁρισμοῦ συλλογιζόμενον ὁρισμὸν ἔφησε καὶ πρότερον
καὶ νῦν αὖθις λέγει μὴ εἶναι ἀπόδειξιν, ἐπεὶ λαμβάνει ὃ βούλεται ἀπο-
δεῖξαι· ὁρισμὸν γάρ τινος δεῖξαι βουλόμενος ὁρισμὸν αὐτοῦ λαμβάνει· ἀλλ'
ἔστι, φησί, λογικὸς συλλογισμὸς τοῦ τί ἐστι. λογικὸν δέ φησι συλλογισμὸν
τὸν ἐξ ἐνδόξων συλλογιζόμενον, ἢ ὅπερ οἰκειότερον ἐνταῦθα, τὸν δεικνύντα
20 μὲν διὰ μέσου τινὸς τὸ ἕτερον κατὰ τοῦ ἑτέρου τῶν ἄκρων, μὴ μέντοι γε
φυλάττοντα καὶ τὰ εἰρημένα τῆς ἀποδείξεως παρατηρήματα. ἀλλ' εἰ μὲν 25
τὸν αὐτὸν ἐδείκνυεν ὁρισμὸν ὃν καὶ προσελάμβανε, φησὶν ὁ Ἀλέξανδρος,
τὸ ἐν ἀρχῇ ἂν ἠτεῖτο· εἰ δὲ ἄλλον μὲν λαμβάνει ἄλλον δὲ δείκνυσιν,
οὐκέτι αἰτεῖται τὸ ἐν ἀρχῇ, ἐπεὶ καὶ ὁ ὑπάρχον τί τινι ἀποδεικνὺς ὑπάρχον
25 λαμβάνων ὑπάρχον ἀποδείκνυσιν, ἀλλ' οὐ διὰ τοῦτο τὸ ἐν ἀρχῇ λαμβάνει,
ἐπεὶ μὴ τὸ αὐτὸ δείκνυσιν ὑπάρχον, ὃ καὶ λαμβάνει, ἀλλ' ἕτερον μὲν
λαμβάνει, ἕτερον δὲ δείκνυσιν. ἀλλ' εἰ μὲν δώσομεν πλείους εἶναι τοῦ
αὐτοῦ ὁρισμούς, οὐδὲν ἔσται ἄτοπον, ἄλλον δι' ἄλλου δεικνύεσθαι· εἰ δὲ 30
μὴ εἶεν πλείους, τοῦτ' ἂν εἴη τὸ αἴτιον τοῦ μὴ εἶναι ἀπόδειξιν. ἢ τοῦτο
30 μὲν ἐνδιδόντος ἐστὶ τῇ ἀπορίᾳ καὶ τὸν Ἀριστοτέλη λέγοντος μὴ καλῶς
εἰπεῖν τὴν αἰτίαν τοῦ μὴ εἶναι τοῦτο τοῦ τί ἐστιν ἀπόδειξιν τὸ δι' ἑτέρου
δείκνυσθαι τί ἐστιν, ἀλλ' εἶναι λογικὸν συλλογισμόν, ὅτι ὃ ἐζήτησεν εἴληφεν.
ἔπειτα οὐδ' ἂν ὅλως εἴη περὶ ὅρου συλλογισμός, εἰ μὴ ἔστι μέσον λαβεῖν
ὁρισμὸν ἑνὸς ὄντος τοῦ ὁρισμοῦ· ὥστε οὐ μόνον οὐκ ἔσται ἀπόδειξις, ἀλλ'
35 οὐδὲ λογικὸς συλλογισμός, ὡς οὗτός φησι περὶ ὁρισμοῦ, ὅτι οὐκ ἔστι μέσον 35
εὑρεῖν, εἴ γε τῶν τί ἐστι τὸ μέσον τί ἐστι καὶ τῶν ἰδίων ἴδιον. ἀλλὰ καὶ
δύο τί ἐστι τοῦ αὐτοῦ ὡμολόγηται· τοῦ γὰρ θυμοῦ τί ἐστιν ἑκάτερον, τό
τε ζέσις τοῦ περικαρδίου αἵματος καὶ τὸ ὄρεξις ἀντιλυπήσεως. πῶς οὖν
ἐροῦμεν; ἢ ἴσως ὅτι κυρίως μὲν ὁρισμοὺς τοῦ αὐτοῦ πλείους εἶναι οὐκ ἂν
40 δοίημεν, μὴ κυρίως δὲ δοίημεν ἄν. ἐπεὶ τοίνυν ἄμφω οὗτοι μὲν συντι-

---

3 ζέει] ζέου a αὐτοῦ scripsi: αὐτῷ Aa 4 ἤδη] ἤδει a 6. 7 ἐν τῷ πρὸ τούτου βιβλίῳ] Anal. post. A 8 p. 75b32 14 ταῦτα a 18 ἔστι] ἔτι Aa
28 ὁρισμοὺς scripsi: ὁρισμοῦ Aa 31 τοῦ ante μὴ scripsi: τὸ Aa

θέμενοι καὶ τὸ εἶδος τοῦ θυμοῦ παριστῶσι καὶ ἀντιστρέφουσιν, ἰδίᾳ δ' 52
ἑκάτερος οὐχί, λογικὸς ἂν εἴη συλλογισμὸς ὁ διὰ τοῦ ἑτέρου περαίνων τὸν 40
ἕτερον, ὅτι μὴ ἀληθῆ ὁρισμὸν ἀλλὰ δοκοῦντα συνάγει. ἢ καὶ ζητουμένου
τίς ἐστιν ὁρισμὸς τοῦ θυμοῦ, ὁρισμὸν εἴληφε τοῦ θυμοῦ· οὐ γὰρ ἤδη
5 δεδομένου ὅτι ὁρισμὸς τοῦ θυμοῦ ἡ ὄρεξις τῆς ἀντιλυπήσεως ἡ ζήτησις
γίγνοιτ' ἄν, τί ἐστιν ὁρισμὸς τοῦ θυμοῦ, ἀλλὰ μήπω δήλου ὄντος, τί ἐστιν
αὐτοῦ ὁρισμός· ὥστε οὕτως ἀδήλου ὄντος τοῦ πράγματος καὶ ζητουμένου
ὁ λαμβάνων ὁρισμὸν ὃ ἐζήτησεν εἴληφεν, ὥσπερ καὶ εἰ ἐζητεῖτο, εἰ ἔστι
τι ὑπάρχον, ὁ λαμβάνων ὑπάρχον ὃ ἐζητεῖτο ἐλάμβανεν ὄν. τοῦτον μὲν 45
10 δὴ ἕνα τρόπον φησί, δι' οὗ ὁρισμὸν συλλογιστικῶς μέν, οὐκ ἀποδεικτικῶς
δὲ εὑρεθῆναι ἐνδέχεται, καὶ ὁρισμὸν οὐχ ἁπλῶς ἀλλά τινα ὁρισμόν.

Ἐπεὶ δὲ δι' ἀποδείξεως ἐζητεῖτο εἰ δυνατόν ἐστιν εὑρίσκεσθαι ὁρισμόν,
καὶ τοῦτον κυρίως ὡς ἐν τῷ τί ἐστιν εἶναι καὶ ἴδιον, μεταβαίνει ἐφ' ἕτερον
τρόπον, καθ' ὃν ἐνδέχεται, φησί, δι' ἀποδείξεως εὑρίσκεσθαι ὁρισμόν, ὡς
15 μὴ τοῦτο ἐνὸν διὰ τοῦ προτέρου. μέτεισι δὲ πάλιν τὰ ἐξ ἀρχῆς περὶ τῶν
τεσσάρων προβλημάτων παραδοθέντα, ὡς κἀν τῷ προκειμένῳ αὐτῷ χρησι- 50
μεύοντα. ἄρχεται δὲ πάλιν ἀπὸ τῶν ἡμῖν γνωριμωτέρων· ταῦτα δ' ἐστὶ
τὰ σύνθετα προβλήματα, λέγω δὴ τὸ ὅτι καὶ τὸ διότι· καὶ φησὶν ἀναλόγως
τούτοις ἔχειν καὶ τὰ ἁπλᾶ, ἤτοι τὸ εἰ ἔστι καὶ τί ἐστιν. ἀλλὰ διέλωμεν
20 πρότερον. πᾶν γὰρ ζήτημα ἢ πρᾶγμά τι ζητεῖ ἢ αἰτίαν πράγματος, καὶ
πρᾶγμα ἢ | ὡς καθ' ἑαυτὸ θεωρούμενον ἢ ὡς ἐν ἑτέρῳ ἔχον τὸ εἶναι. 53
καὶ αἰτίαν πράγματος ὡσαύτως ἢ ὄντος καθ' ἑαυτὸ ἢ ἐν ἑτέρῳ τὸ εἶναι
ἔχοντος. ὅταν μὲν οὖν ὡς ἕτερον ἐν ἑτέρῳ ζητεῖται τὸ ὅτι καὶ τὸ διότι,
πρόβλημα γίνεται τὸ μὲν τοῦ πράγματος ζητουμένου, τὸ δὲ τῆς αἰτίας
25 αὐτοῦ· ὅταν δὲ ὡς καθ' ἑαυτὸ θεωρούμενον, τὸ εἰ ἔστι καὶ τί ἐστι, τὸ
μὲν κἀνταῦθα ζητουμένου τοῦ πράγματος, τὸ δὲ τῆς αἰτίας τοῦ πράγματος. 5
ὥσπερ τοίνυν ἐπὶ τῶν προτέρων οὐκ ἂν τὴν αἰτίαν ζητήσαιμεν τοῦ πράγ-
ματος ἀγνοουμένου τοῦ εἶναι αὐτό, οὕτω δὴ καὶ ἐπὶ τῶν δευτέρων. λέγω δὴ
τῶν ἁπλῶν· καὶ ὥσπερ ἐκεῖ ἅμα μὲν ἐνδέχεται γνῶναι τὸ ὅτι καὶ τὸ διότι,
30 πρότερον δὲ τοῦ ὅτι τὸ διότι γνῶναι ἀδύνατον, οὕτω κἀνταῦθα ἅμα μὲν τὸ
εἶναι καὶ τὸ τί ἦν εἶναι γνῶναι ἐνδέχεται, πρότερον δὲ τοῦ εἶναι τὸ τί ἦν
εἶναι ἀδύνατον, ἐπεὶ κἀκεῖ κἀνταῦθα εὐήθες καὶ ζητεῖν τὴν αἰτίαν τοῦ πράγμα- 10
τος ἀγνοουμένου τοῦ εἶναι ὅλως αὐτό. εἰ γὰρ καὶ τὸ αἴτιον φύσει πρότερον τοῦ
οὗ ἐστιν αἴτιον, ἀλλὰ τῇ καθ' ἡμᾶς γνώσει ἐκ τῶν ἀτελῶν προβαινούσῃ ἐπὶ
35 τὰ τέλεια ἡ τοῦ εἶναι τὸ πρᾶγμα γνῶσις περιγίνεται πρότερον, εἶθ' οὕτως
καὶ ἡ τῆς αἰτίας αὐτοῦ, ἣ δὴ καὶ ἅμα ἐνίοτε, ἀνάπαλιν δὲ οὐδέποτε. οὐ
γὰρ ἄν τις τὴν αἰτίαν τινὸς εἰδὼς ὅτι αἰτία τούτου ἐστὶ ζητήσαι ποτὲ εἰ
ἔστιν ἐκεῖνο, εἴ γε καὶ ὅτε αὐτὸ ζητεῖ, τὴν αἰτίαν αὐτοῦ ζητεῖ, εἰ ἔστι τις
αἰτία τοῦ εἶναι αὐτό, εἴτε τῶν ἐν ἑτέροις τοῦτο εἴτε τῶν καθ' αὑτὰ θεω- 15
40 ρουμένων ἐστίν. εὑρὼν δὲ ὅτι ἔστι τις αἰτία τοῦ εἶναι αὐτὸ ζητεῖ ἐν-
τεῦθεν, ἥτις αὕτη ἐστίν· οὕτω γὰρ ἐξ ἀρχῆς εἴρηται. ἀλλ' οὖν γε ὥσπερ

---

9 τοῦτον scripsi: τοῦτο Aa 17 γνωριμώτερον a 18 δὴ] δὲ Aa
30. 31 τὸ εἶναι καὶ τὸ om. A[1]

μάταιον ζητεῖν ἰδιότητα πράγματος ἀγνοουμένου τοῦ εἶναι αὐτό, οὕτω δὴ 53
μάταιον ζητεῖν τὴν ἰδίαν αἰτίαν τινὸς ἀγνοουμένου, εἰ ἔστι ὅλως αἰτία αὐτοῦ.

Τούτων οὕτως ἐχόντων ἐπεὶ τὸ εἰ ἔστι καὶ ἡ τούτου γνῶσις προηγεῖται τοῦ τί ἐστι καὶ τῆς αὐτοῦ γνώσεως, ὡς ἔχομεν παρασκευῆς ἐν τῇ τοῦ εἰ ἔστι γνώσει, οὕτω καὶ πρὸς τὸ τί ἐστι ποδηγούμεθα. εἰ μὲν ἀπὸ συμ- 20
βεβηκότων τινῶν καὶ ἃ μὴ τῆς οὐσίας τοῦ ζητουμένου μέρη ἐστί, τὸ εἶναι αὐτὸ γινώσκομεν, ἐπιπόλαιός τε ἡ γνῶσις αὐτοῦ καὶ ἐγγύς που τοῦ μηδὲ γνῶσις εἶναι, διὸ δὴ καὶ ἡ ἐκ ταύτης τοῦ τί ἐστι κατάληψις ἀμυδρά τις καὶ ὡς εἰπεῖν ἀφαυρά· εἰ δὲ ἐξ οὐσιωδῶν τινων καὶ ἃ μέρη τῆς οὐσίας ἐστὶ τοῦ πράγματος τὴν τοῦ εἰ ἔστιν ἔχομεν γνῶσιν, ῥᾷον ἤδη ἐντεῦθεν καὶ πρὸς τὴν ἀτελῆ τοῦ τί ἐστι γνῶσιν ὁδοποιούμεθα. οἷον εἰ περὶ βροντῆς ζητοῦμεν ἢ τῆς ἐκλείψεως, τί τούτων ἐστὶν ἑκάτερον, ἂν περὶ τοῦ εἶναι αὐτὰ οὕτως ἔχωμεν γνώσεως ὅτι τὸ μὲν ψόφος τίς ἐστι νεφῶν, τὸ δ' ὅτι φωτὸς 25
στέρησίς τις, ὡσαύτως καὶ ἄνθρωπον ὅτι ζῶόν τι, καὶ ψυχὴν ὅτι αὐτὸ αὐτὸ κινοῦν, ἐπεὶ ταῦτα οὐσιώδη ἐστὶ τοῖς ληφθεῖσι, ῥᾷον ἀπὸ τούτων καὶ πρὸς τὸ τί ἐστιν ἕκαστον τούτων ἥξομεν. εἰ δὲ περὶ τῆς βροντῆς μὲν ὅτι τινὲς ἐμβρόντητοι γίνονται, περὶ δὲ τῆς ἐκλείψεως τῆς σελήνης ὅτι πανσέληνος οὖσα καὶ ὑπὸ νέφους μὴ ἐπισκοτουμένη ἄφνω ἀφανὴς γίνεται, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως, ἐὰν ἐκ τοιούτων τοῦ εἶναι τὴν γνῶσιν ἔχωμεν, 30
οὐδὲν ἐντεῦθεν πρὸς τὸ τί ἐστι μεθοδεύειν ἔστιν, ὅτι μηδὲ αὐτὸ τὸ εἶναι γινώσκεται ἐκ τοιούτων δοκοῦν γινώσκεσθαι, τούτου δὲ μὴ γινωσκομένου ζητεῖν τὸ τί ἐστι μηδὲ ζητεῖν ἔστι. καλῶς ἄρα εἴρηται ὅτι ὡς ἔχομεν περὶ τοῦ εἶναι οὕτως ἔχομεν καὶ περὶ τοῦ τί ἦν εἶναι. οὐ πάντα δὲ οὐδὲ τὰ ἀπὸ τοῦ πράγματος λαμβανόμενα ὁμότιμά ἐστιν, ἀλλὰ τὰ μὲν ἐγγυτέρω, τὰ δὲ πορρωτέρω, καὶ ἡ ἐκ τούτων πρὸς τὸν ὁρισμὸν ποδηγία τῇ αὐτῶν πρὸς τὸ πρᾶγμα οἰκειώσει ἀνάλογος. λαμβάνει τοίνυν παραδείγματα τῶν 35
εἰρημένων, καὶ πρῶτον μὲν ἐφ' ὧν γνῶσις οὐσιώδης τοῦ ὅτι ἐστί, δι' ἧς καὶ εἰς τὸ τί ἐστι ποδηγούμεθα, εἶτα δὲ καὶ τῆς κατὰ συμβεβηκὸς τοῦ εἰ ἔστι γνώσεως λήψεται παράδειγμα καὶ δείξει διὰ τούτου, ὡς οὐδὲν ἡμῖν ἡ τοιαύτη γνῶσις πρὸς τὸν ὁρισμὸν συντελεῖ. τὸ δὲ παράδειγμα αὐτῷ τῆς τοῦ εἰ ἔστι γνώσεως τῆς ἐχούσης τι τοῦ τί ἐστιν, ἔστι τόδε· μείζονα ὅρον τὴν ἔκλειψιν τίθεται, ὅπερ ἐστὶ τὸ Α, τὴν σελήνην ἐλάττονα, ὅπερ ἐστὶ τὸ Γ, μέσον τῆς γῆς ἀντίφραξιν, ὅπερ ἐστὶ τὸ Β. ὅταν οὖν ζητῶμεν, φησί, 40
πότερον ἐκλείπει ἢ οὔ, τοῦτο ζητοῦμεν, ἆρά ἐστι τὸ Β ἢ οὔ, ταὐτὸν δ' εἰπεῖν ἆρά ἐστιν αἴτιόν τι τῆς ἐκλείψεως τῆς σελήνης ἢ οὔ. καὶ ἐὰν ᾖ τὸ αἴτιον, ἔστι δηλονότι καὶ τὸ αἰτιατόν· ὄντος γὰρ τοῦ ὑπὸ γῆς ἀντιφράττεσθαι, ὅπερ ἦν τὸ Β, ἔσται καὶ τὸ Α ἐξ ἀνάγκης, ὅπερ τὸ ἐκλείπειν ἐστί· λόγος γὰρ καὶ αἰτία τῆς ἐκλείψεως ἡ τῆς γῆς ἐστιν ἀντίφραξις. ἅμα οὖν ἐν τούτῳ ἥ τε τοῦ εἶναι τὴν ἔκλειψιν γνῶσις γίνεται καὶ τοῦ αἰτίου αὐτῆς· τοῦτο δὲ ἦν τὸ τί ἐστιν. ὥστε οὕτως ἡ ἐπιστημονικὴ τοῦ εἰ ἔστι 45
γνῶσις ἑαυτῇ τὸ τί ἐστι συμπαρίστησιν. ἐπιφέρει καὶ ἕτερον παράδειγμα,

---

8 κατάλησις Aa 16 ἥξομεν scripsi: ἕξομεν libri 19 τοῦ om. A
26 οἰκειώσι ἀνάλογον a

τὸ ἔχειν δύο ὀρθὰς τὸ τρίγωνον· δύο γὰρ οὐσῶν ἀποφάνσεων ἀντικειμένων 53
ἀλλήλαις κατὰ ἀντίφασιν ζητοῦμεν ὁποτέρας τούτων ἐστὶν αἴτιον, πότερον
τῆς λεγούσης ἔχειν δύο ὀρθὰς τὸ τρίγωνον ἢ τῆς λεγούσης μὴ ἔχειν.
εὑρόντες οὖν τῆς λεγούσης ἔχειν τὸ αἴτιον, ἴσμεν ὅτι τε ἔχει δύο ὀρθὰς
5 καὶ διότι ἔχει δύο ὀρθάς· ὄντος γὰρ τοῦ δυσὶ ταῖς ἐφεξῆς ἴσας εἶναι τὰς
τοῦ τριγώνου γωνίας τὸ αἴτιον εὕρομεν τοῦ εἶναι αὐτὰς δυσὶν ὀρθαῖς ἴσας. 50
ἅμα οὖν ἐν τούτῳ τῷ λόγῳ τό τε ὅτι ἐστὶ καὶ διότι ἐστὶ λαμβάνομεν. καὶ
ἴσως τὸ δεύτερον παράδειγμα οὐ διὰ τὸ δύνασθαι γνῶναι ὁρισμὸν δι' ἀπο-
δείξεως εἴληπται, ἀλλὰ πρὸς πλείονα πίστωσιν τοῦ ἐνδέχεσθαι ἅμα τὸ ὅτι
10 καὶ τὸ διότι γινώσκεσθαι· ἔστι μὲν γὰρ δυνατὸν ἐν πλείοσι τοῦτο γίνεσθαι,
οὐ μὴν δ' ἀναγκαῖον ἴσως, ἔνθαπερ εὑ|ρίσκεται, εἰς ὁρισμοῦ συντελεῖν 54
εὕρεσιν. ἢ δὴ κἀνταῦθα τὸ μέσον καὶ αἴτιον ὁρισμόν τις ἐρεῖ, εἴ γε ὀρθῆς
γωνίας οὗτός ἐστιν ὅρος· τί γάρ ἐστιν ὀρθὴ γωνία ἀποδιδόντες φαμὲν 'ὅταν
εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα τὰς ἐφεξῆς γωνίας ἴσας ἀλλήλαις ποιῇ', ἢ
15 καὶ οὕτως 'ἡ γινομένη ἐκ τοῦ ἵστασθαι εὐθεῖαν ἐπ' εὐθείας, ὡς καὶ τὰς
ἐφεξῆς γωνίας ἴσας ἀλλήλαις ποιεῖν'. τοῦτο οὖν ἐν τῷ B θέμενοι ἤτοι τῷ
μέσῳ ποιούμεθα τὴν ἀπόδειξιν 'τοῦ τριγώνου αἱ τρεῖς γωνίαι δυσὶ ταῖς 5
ἐφεξῆς ἴσαι εἰσί· δύο δ' ἐφεξῆς δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· τοῦ τριγώνου ἄρα
αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν'. ἅμα οὖν τό τε ὅτι ἔχομεν καὶ
20 τὸ διότι, ἂν διὰ μέσων ᾖ τῶν κυρίως μέσων· κυρίως δὲ μέσοι εἰσίν, εἰ
μὴ τοῦ συμπεράσματος μόνον ἀλλὰ καὶ τοῦ πράγματος αἴτιοι. τοῦτο δέ
ἐστιν, ὅταν ὁ μέσος τοιοῦτος ᾖ, ὡς μὴ μόνον διὰ τὸ ἐν συλλογισμῷ
ληφθῆναι ἀναγκαίως ἔχειν ἑπόμενον τὸ συμπέρασμα, ἀλλ' ὅτι καὶ αἴτιός
ἐστι τοῦ κατηγορουμένου ἐν τῷ συμπεράσματι εἴτε ὡς ὁρισμὸς αὐτοῦ εἴτε 10
25 ὡς ἄλλο τι τῶν αἰτίων, ὡς ἔστιν ἐπὶ τοῦ τριγώνου ἰδεῖν. τὸ γὰρ ὅταν
εὐθεῖα ἐπ' εὐθείας σταθεῖσα τὰς ἐφεξῆς γωνίας ἤτοι δύο ὀρθὰς ποιῇ ἢ
δυσὶν ὀρθαῖς ἴσας αἴτιόν ἐστιν ὡς λόγος τοῦ εἶναι τὰς τρεῖς γωνίας δυσὶν
ὀρθαῖς ἴσας. τὸ γὰρ τί ἐστι τῆς ὀρθῆς γωνίας τοῦτό ἐστι, τὸ γίνεσθαι ἐκ
τοῦ ἵστασθαι εὐθεῖαν ἐπ' εὐθείας, εἰ μή τις ὡς ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως
30 αἴτιον εἴποι διὰ τὸ καὶ ποιεῖν λέγεσθαι, ὡς ἂν σταθῇ εὐθεῖα ἐπ' εὐθείας,
ἤτοι δύο ὀρθὰς ἢ δυσὶν ὀρθαῖς ἴσας τὰς ἐφεξῆς γωνίας ποιεῖ. ἀπόδειξις 15
γὰρ οὐ μόνον ἡ μέσον τὸ ὡς εἶδος αἴτιον ἔχουσα, ἀλλὰ καὶ ἡ τὶ ἄλλο
τῶν αἰτίων, ὡς Ἀριστοτέλης ἐρεῖ προϊών.

Τάχα δὲ οὐ μόνον τό τε ὅτι ἔχομεν καὶ τὸ διότι ἐκ τούτων, ἀλλὰ
35 καὶ τὸ εἰ ἔστι καὶ τί ἐστι. καθὸ μὲν γὰρ τῶν ἐν ἑτέρῳ ἐχόντων τὸ εἶναι
ἐστὶ τὸ ζητούμενον, σύνθετόν τε τὸ πρόβλημα καὶ τοῦ ὅτι καὶ διότι· καθὸ
δὲ ὡς ἄδηλον ἔτι ζητεῖται, οἷον ἔκλειψις ἢ δύο ὀρθαί, καὶ διὰ μέσου
ὁρισμοῦ τὸ εἶναι δείκνυται, τοῦ εἰ ἔστι καὶ τί ἐστι. τὰ μὲν γὰρ πρότερον
εἰρημένα περὶ τοῦ συντελεῖν τὴν γνῶσιν τοῦ εἰ ἔστιν, ἂν δι' οὐσιωδῶν 20
40 γίγνοιτο, πρὸς τὸ τί ἐστι, κατὰ πάντων ἁρμόσει τῶν ὁριστῶν, τῶν τε

---

5 ἔχει scripsi: ἔχειν Aa 14 εὐθεῖα om. a σταθεῖσι a 19 δυσὶν ὀρθαῖς scripsi: δυσὶ ταῖς ἐφεξῆς Aa 30 σταθεῖ a 37. 38 καὶ διὰ—δείκνυται] τὸ γὰρ εἶναι τὰς ἐφεξῆς δύο ὀρθαῖς ἴσας τῷ τῆς ὀρθῆς ὁρισμῷ in marg. add. A²

ὄντων καθ' αὑτὸ καὶ τῶν ἐν ἑτέροις ἐχόντων τὸ εἶναι· διὰ τοῦτο καὶ ἀνα- 54
μὶξ ἐκεῖσε τὰ παραδείγματα εἴληπται, ἔκλειψις βροντή, ἄνθρωπος ψυχή·
τὸ δὲ δι' ἀποδείξεως ἀναφαίνεσθαι ὁρισμὸν οὐκ ἐπὶ πάντων, ἀλλ' ἐπὶ μόνων
τῶν ἐν ἑτέροις θεωρουμένων. διὸ καὶ τοιαῦτα ἐν τῷ περὶ τούτου λόγῳ
5 εἴληπται παραδείγματα, ἔκλειψις βροντή, δύο ὀρθαί. διὰ τοῦτο γὰρ καὶ 25
ποτὲ μὲν ὅτι ἐστὶ ποτὲ δὲ εἰ ἔστιν ὀνομάζει τὸ πρόβλημα, τὸ μὲν διὰ τὴν
σύνθεσιν, τὸ δὲ διὰ τὸ ζητεῖσθαι τοῦ κατηγορουμένου τὴν ὕπαρξιν. εἰ μὲν
τοίνυν, φησί, διὰ τοιούτων μέσων ὁ συλλογισμὸς γίγνοιτο μὴ μόνον αἰτίων
ὄντων τοῦ συμπεράσματος, ἀλλὰ καὶ τοῦ πράγματος, ἄμφω τὰς γνώσεις
10 ἔχομεν, τήν τε τοῦ ὅτι καὶ τὴν τοῦ διότι· εἰ δὲ μὴ διὰ τούτων, τὸ ὅτι
μέν, τὸ διότι δ' οὔ. ἔστων γὰρ πάλιν οἱ μὲν ἄκροι οἱ αὐτοί, σελήνη
Γ, ἔκλειψις Α, Β δὲ ἤτοι μέσον τὸ ἐν πανσελήνῳ σκιὰν μὴ ποιεῖν μηδενὸς 30
ἡμῖν μεταξὺ ὄντος φανεροῦ. ὑπαρχέτω δὴ τὸ μὲν Γ τῷ ἐλάττονι ἤτοι τῇ
σελήνῃ, τὸ δὲ Β ὁ μέσος τὸ μὴ δύνασθαι σκιὰν ποιεῖν ἐν πανσελήνῳ,
15 μηδενὸς μεταξὺ ὄντος φανεροῦ. τούτῳ δὲ ἤγουν τῷ Β τῷ μέσῳ τὸ Α τὸ
ἐκλελοιπέναι. τὸ δὴ Α ὑπάρχει τῷ Γ, ἤγουν τὸ ἐκλελοιπέναι τῇ σελήνῃ.
συνῆκται μὲν δὴ καὶ ὧδὶ τὸ συμπέρασμα, καὶ δῆλον γέγονεν ὅτι ἐκλείπει,
οὐ μὴν δὲ καὶ διότι ἐκλείπει ἐκ τούτου δῆλον, διὰ τὸ μὴ μέσον ληφθῆναι
τοῦ πράγματος αἴτιον. καὶ ὅτι μὲν ἔκλειψίς ἐστιν ἴσμεν, ὅπερ ἐστὶ τὸ 35
20 εἰ ἔστι, τί δέ ἐστιν ἔκλειψις οὐκ ἴσμεν. ὡς γὰρ εἴρηται, ὡς ἔχομεν παρα-
σκευῆς πρὸς τὸ εἰ ἔστιν, οὕτω καὶ πρὸς τὸ τί ἐστιν ὁδοποιούμεθα. ἐπεὶ οὖν
παρακολούθημά τι καὶ συμβαῖνον τῇ ἐκλείψει πρὸς τὸ γνῶναι ὅτι ἐστὶν
αὕτη ἐλάβομεν, καὶ τοῦτο μέσον θέμενοι ταύτην συνεπεράναμεν, οὐδὲν δὲ
οὐσιῶδες εἰς τὴν γνῶσιν τοῦ εἶναι αὐτὴν παρελάβομεν, διὰ τοῦτο ἐξ ἀνάγκης
25 οὐδ' εἰς γνῶσιν τοῦ τί ἐστιν ὡδηγήμεθα, οὐδέ τι ἡμῖν ἡ ἀπόδειξις εἰς τὸν
ὁρισμὸν συνετέλεσεν. ὅταν τοίνυν οὕτως ἀτελῆ τὴν γνῶσιν ἔχωμεν τοῦ 40
πράγματος οὗ ἄλλο παρ' αὐτὸ τὸ αἴτιόν ἐστι, χώρα ὑπολείπεται ζητεῖν
διότι ἐστί. τὸ δὲ ζητεῖν διότι ὑπάρχει οὗ τὸ ὅτι ὑπάρχει χωρὶς τῆς αἰτίας
ἔσχομεν, οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ ζητεῖν τὸν μέσον τί ἐστιν, οἷον ὡς ἐφ'
30 οὗπερ εἴπομεν παραδείγματος· δήλου γὰρ ὄντος ὅτι ἐκλείπει ἡ σελήνη ἐκ
τοῦ ἐν πανσελήνῳ σκιὰν μὴ γίνεσθαι μηδενὸς ὄντος μεταξὺ φανεροῦ, οἷον
νέφους ἤ τινος ἄλλου, ἐπεὶ μὴ τὴν αἰτίαν ἔχομεν δι' ἣν τοῦτό ἐστι,
ζητοῦμεν τὸ διότι. τὸ δὲ τοῦτο ζητεῖν, οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ μέσον τί 45
ἐστιν, ἤγουν τὸ αἴτιον τῆς ἐκλείψεως, πότερον ἀντίφραξις ἢ στροφὴ τῆς
35 σελήνης, ὡς τοῦ πεφωτισμένου μέρους αὐτῆς ἀναστραφέντος ἐπὶ θάτερα
καὶ τοῦ ἀφωτίστου πρὸς ἡμᾶς γεγονότος, ἢ ἀπόσβεσις τοῦ προσόντος αὐτῇ
φωτός. τοῦτο δ' ὅπερ ἄν τις ἀποδῷ, οὐδὲν ἄλλο ἐστὶν ἢ λόγος καὶ ὁρισμὸς
τοῦ ἑτέρου ἄκρου τῶν ἐν τῷ συμπεράσματι εἰλημμένων, ἤγουν τοῦ μείζονος,
ὃς ἦν ἡ ἔκλειψις. ἔστι γὰρ ἔκλειψις ἀντίφραξις ὑπὸ γῆς. τὸ αὐτὸ δὴ καὶ
40 ἐπὶ τῆς βροντῆς ἐρεῖς· ἐπεὶ γὰρ καὶ αὐτὴ τῶν ἐν ἑτέρῳ ὑφισταμένων ἐστίν 50

7 post κατηγορουμένου add. οἷον τῆς ἐκλείψεως A² 13 ἡμῖν et ὄντος scripsi: ἡμῶν et ὄντων Aa 29 ἔσχομεν] ἔχομεν a 34 τὸ om. a

(ἐν γὰρ τῷ νέφει) καὶ τοῦ ἐν νέφει ψόφου τὸ αἴτιον ἄλλο παρ' αὐτόν ἐστι, 54
ὅταν ἴσμεν ὅτι ἐστὶ χωρὶς τοῦ αἰτίου, ζητοῦμεν τὸ διότι· καὶ τοῦτο ζητοῦντες
οὐδὲν ζητοῦμεν ἕτερον ἤ τί ἐστι τὸ μέσον, καὶ τὸ διότι εὑρόντες τὸν λόγον
εὑρήσομεν καὶ τὸν ὁρισμὸν τῆς βροντῆς. διὰ τί γὰρ ὁ ψόφος ἐν τῷ νέφει
5 γίνεται, ἤτοι διὰ τί βροντή ἐστιν; ὅτι πῦρ ἐν τῷ νέφει ἀποσβέννυται. τί 55
ἐστι βροντή; πυρὸς ἀπόσβεσις ἐν νέφει.

Πρὸς παράστασιν δὲ τοῦ πράγματος πλείονα λάβωμεν καὶ μετὰ τῶν
στοιχείων, ἵνα καὶ δῆλον ᾖ πῶς προβαίνει ἡ τὴν αἰτίαν ἔχουσα ἀπόδειξις.
ἔστω γὰρ νέφος Γ, βροντὴ Α, ἀπόσβεσις πυρὸς τὸ Β. οὗτος ὁ μέσος
10 ἐστὶν ὁ συνάγων τὸ Α τὸν μείζονα τῷ ἐλάττονι ἄκρῳ τῷ Γ. ὑπάρχει δὴ τῷ
Γ τῷ νέφει τὸ Β, τὸ ἀποσβέννυσθαι πῦρ ἐν αὐτῷ. τούτῳ δὲ τὸ Α ὁ 5
ψόφος ἤτοι ἡ βροντή. καὶ ἔστι τοῦ ψόφου ἤτοι τῆς βροντῆς λόγος καὶ
ὁρισμὸς ἡ τοῦ πυρὸς ἀπόσβεσις, τὸ Β τοῦ Α, ἤγουν ὁ μέσος τοῦ μείζονος
ἄκρου. ἔστι δὴ πάλιν κἀνταῦθα τὸ τί ἐστι συστατικὸν τῆς τοῦ διὰ τί
15 ἀποδείξεως, καὶ ἡ τοῦ διὰ τί ἀπόδειξις μέσον τὸ αἴτιον τοῦ πράγματος
ἔχουσα πρόφασις γίνεται τῆς τοῦ τί ἐστι γνώσεως. καὶ ἕτερα μὲν ἀλλήλων
ὁ ὁρισμὸς καὶ ἡ τοῦ διὰ τί ἀπόδειξις ἁπλῶς, ἀλλὰ συντρέχετον ἀλλήλοιν
ταῦτα ἐνίοτε, ὁπόταν ἐπὶ τῶν ἐν ἑτέροις ὑπαρχόντων τὴν αἰτίαν ζητοῦντες, 10
δι' ἣν τῷδε τόδε ὑπάρχει, τὸν τοῦ τί ἦν εἶναι λόγον τοῦ κατηγορουμένου
20 αἴτιον εὑρίσκωμεν τοῦ ὑπάρχειν ἐν τῷ ὑποκειμένῳ. ἀλλὰ καὶ ὁ εἰδὼς
ἐπὶ τῶν τοιούτων τὸ τί ἐστιν οἶδε καὶ τὸ διότι ἐστίν. ὁ γὰρ εἰδὼς τὸ τί
ἦν εἶναι τῆς βροντῆς, ὅτι πυρὸς ἀπόσβεσις ἐν νέφει, οἶδεν οὗτος καὶ τὸ
διὰ τί ἐστι βροντή· διὰ γὰρ τὴν ἀπόσβεσιν τοῦ πυρὸς ἐν τῷ νέφει. οἱ
μὲν οὖν κυρίως ὁρισμοὶ τῶν κατηγορουμένων καὶ τοῖς ὑποκειμένοις ἀμέσως
25 ὑπάρχουσι καὶ μέσοι ἐν ταῖς ἀποδείξεσι λαμβανόμενοι τὴν τοῦ διότι ἀπο- 15
τελοῦσιν ἀπόδειξιν ἀληθές τε συμπέρασμα καὶ ἀναγκαῖον συνάγουσαν. εἰ
δέ ποτε συμβαίη λόγον μὲν τοῦ μείζονος ληφθῆναι, μὴ μέντοι μήτε τοῦτον
ἀμέσως ὑπάρχειν τῷ ἐλάττονι μήτε μὴν ἀναγκαῖον συνάγεσθαι συμπέρασμα,
οὗτος ὁ λόγος οὐκ ἔστι τέλειος οὐδὲ κυρίως ὁρισμός, ὡς μηδὲ ἀντιστρέφειν
30 τῷ ὁριστῷ μηδὲ ἐκ τοῦ εἴδους ἀλλ' ἐκ τῆς ὕλης λαμβάνεσθαι. καὶ ἔστιν
οὗτος ἐκ τῶν λόγων ἐκείνων, οἵτινές εἰσι παραλελειμμένοι, τουτέστι τοῦ
τελείου λειπόμενοι καὶ προσθήκης δεόμενοι, ἧς τυχόντες τέλειοί τε καὶ 20
ἀντιστρέφοντες τοῖς ὁριστοῖς γίνονται, κἂν μέσοι ληφθεῖεν μετὰ τὴν τελείωσιν.
τὴν τοῦ διὰ τί συνιστῶσιν ἀπόδειξιν, ἀληθές τε καὶ ἀναγκαῖον συνάγουσαν
35 συμπέρασμα. οἷον ὡς ἐπὶ τοῦ θυμοῦσθαί τινα οὐκ ἄμεσον τὴν ἐλάττω
πρότασιν εἴληφεν· οὐ γὰρ ἀμέσως τῷ θυμουμένῳ, ᾧ θυμούμενός ἐστι, τὸ
ζεῖν ὑπάρχει τὸ περικάρδιον αἷμα, ἀλλὰ διὰ μέσου τοῦ ὀρέγεσθαι ἀντι-
λυπῆσαι. καὶ δῆλον ὅτι τοῦτο δεῖ προηγήσασθαι, ἵν' ἐκεῖνο ἕψεται, οὐδὲ
ὡς θυμουμένῳ ἐκείνῳ ὑπάρξει, κἂν ὑπάρχειν ὑποτεθῇ, εἰ ἐκεῖνο μὴ προ- 25
40 ηγήσεται. ἔστι δὲ τοῦτο λόγος ἐκ τοῦ εἴδους τῆς ὀργῆς λαμβανόμενος καὶ

4 et 5 διὰ τί] διότι Aa 13 ἤγουν] ἤτοι a 15 post καὶ add. ἀνάπαλιν A²
16 πρόφασιν a 32 ἧς τυχόντες A² a: om. A¹

ἀμέσως μὲν ὑπαρχόντων τῷ θυμουμένῳ, οὐ μέντοι γε οὐδ' αὐτὸς ἀντι- 55
στρέφων πρὸς τὸν θυμόν. ἀμφοῖν δ' ἀλλήλοις συντιθεμένων τέλειός τε
καὶ ἀντιστρέφων ὁρισμὸς γίνεται, καὶ μέσος ληφθεὶς τὴν τοῦ διότι ἀπαρ-
τίζει ἀπόδειξιν. 'τῷ δεῖνι ὀρεγομένῳ ἀντιλυπῆσαι ζεῖ τὸ περικάρδιον
5 αἷμα. πᾶς ᾧ ὀρεγομένῳ ἀντιλυπῆσαι ζεῖ τὸ περικάρδιον αἷμα, θυμοῦται.
ὁ δεῖνα ἄρα θυμοῦται. ὅταν οὖν λόγου ληφθέντος ἡ ΒΓ πρότασις, 30
ἥτις ἡ ἐλάττων ἐστίν, ἑτέρου δεῖται μέσου, ὁ ληφθεὶς λόγος οὐκ ἔστι
τέλειος, ἀλλά τις τῶν παραλελειμμένων καὶ ἀτελῶν. οὐδὲν δ' ἧττον τὰ
εἰρημένα καὶ ἐπὶ τῆς μείζονος ἁρμόζει προτάσεως· τὸ γὰρ θυμοῦσθαι μεῖζον
10 ἄκρον τιθέμενον καὶ ὡς μέσου κατηγορούμενον τῆς τοῦ περικαρδίου αἵματος
ζέσεως, δειχθείη ἂν διὰ μέσου τοῦ ὀρέγεσθαι ἀντιλυπῆσαι. 'ἡ ζέσις τοῦ
περικαρδίου αἵματος δι' ὄρεξιν ἀντιλυπήσεως γίνεται· δι' ὄρεξιν ἀντιλυπήσεως
γινομένη θυμός ἐστιν. ἡ ζέσις ἄρα τοῦ περικαρδίου αἵματος θυμός ἐστι.' 35
καὶ ἔστι λογικὸς ὁ συλλογισμός, διότι οὐδ' ἀναγκαῖαι αἱ προτάσεις· οὔτε
15 γὰρ ἐξ ἀνάγκης δι' ὄρεξιν ἀντιλυπήσεως ἡ ζέσις αὕτη γίνεται, ἀλλ' ἐνδέχεται
καὶ δι' ἕτερον, οὔτε εἰ ὄρεξίς τινι ἀντιλυπήσεως γένηται θυμοῦται εὐθύς·
οὐδὲ γὰρ εὐθὺς ἀναγκαῖον ζεῖν αὐτῷ τὸ περικάρδιον αἷμα, ἀλλ' ἐνδέχεται
τὴν ὄρεξιν ἐκκρουόμενον διαμένειν ἀτάραχον· καὶ ἀντέστρεφε δ' ἂν πρὸς
τὸν θυμὸν ἡ τῆς ἀντιλυπήσεως ὄρεξις, καὶ ὁρισμὸς ἦν αὐτοῦ τοῦ λοιποῦ μὴ
20 δεόμενος, εἰ ἐξ ἀνάγκης οὔσης τῆς ὀρέξεως ταύτης ὑπῆρχε καὶ ὁ θυμός. 40
ἃ δὲ περὶ τούτου φησὶν Ἀλέξανδρος, ἐροῦμεν τὴν λέξιν ἐπεξιόντες.

p. 93a 1 Πάλιν δὲ σκεπτέον τί τούτων λέγεται καλῶς καὶ τί οὐ καλῶς, καὶ τί ἐστιν ὁ ὁρισμός, καὶ τοῦ τί ἐστιν ἆρά πως ἔστιν ἀπόδειξις καὶ ὁρισμὸς ἢ οὐδαμῶς.

25 Πρότερον μὲν ἁπλῶς ἔδειξεν ὅτι οὔτε οἷόν τε τὸ αὐτὸ δι' ὁρισμοῦ καὶ
δι' ἀποδείξεως εἰδέναι οὔτε ὁρισμοῦ ἐνδέχεται εἶναι ἀπόδειξιν, οὔτε μὴν ὁ 45
ὁρισμὸς ἀποδείκνυσί τι ἢ δείκνυσι· καὶ ὅσον ἀπὸ τῶν ῥηθέντων δόξειεν ἂν
μήτε ὅλως λόγον τινὰ οὐσιώδη συλλογισμῷ δείκνυσθαι μήτε τρόπον τινὰ
ἀποδείξεως εἰς ὁρισμοῦ συμβαλλόμενον εὕρεσιν, μήτε μὴν ὅλως δεικνύειν τι
30 τὸν ὅρον. ἐπεὶ δὲ καὶ λόγον ἔστιν εὑρεῖν οὐσιώδη συλλογισμῷ συμπεραινό-
μενον καὶ διὰ μέσου ἑτέρου λόγου τῷ ὑποκειμένῳ ὑπάρχειν δεικνύμενον,
οἵους αὐτὸς ἔφησεν εἶναι συμπεράσματα ἀποδείξεως, καὶ τρόπος τίς ἐστιν
ἀποδείξεως, δι' οὗπερ ὁρισμὸς ἀναφαίνεται, διὰ τοῦτο τὰ εἰρημένα πῇ μὲν 50
ἔχει καλῶς, πῇ δὲ οὔ. καλῶς μὲν γὰρ ἔχει ὅτι τέλειος ὁρισμὸς ἀποδείξει
35 οὐχ ὑποβάλλεται καὶ ὅτι οὐκ ἔστι τὸν ἀκριβῆ ὁρισμὸν συλλογισμῷ συμ-
περαίνεσθαι· οὐ καλῶς δὲ ὅτι κατ' οὐδένα τρόπον τὴν ἀπόδειξιν εἰς εὕρεσιν
ὁρισμοῦ συμβάλλεσθαι εἴρηκε, καὶ ὅτι οὐδεὶς ὅλως λόγος οὐσιώδης ἐστὶν ὃς
συλλογισμῷ συμπεραίνεται. διὰ γὰρ τῶν νῦν λεγομένων φανήσεται ὅτι ἐνδέχεταί

---

2 ἀμφοῖν] ἀφοῖν Aa 3 ἀναστρέφων Aa 14 συλλογισμός scripsi: οὐ λόγος Aa
16 εἰ scripsi: ἡ libri 18 διαμένειν scripsi: διὰ μένειν Aa 28 λόγος a

πως καὶ ἄμφω ταῦτα, καὶ ὅτι ὁρισμὸς δύναταί πως εἶναι ἑαυτοῦ δεικτικός. | περὶ ὁρισμοῦ δὲ τὸν λόγον ποιούμενος, ἀναγκαίως ἀποδώσει καὶ τί ἐστιν 56
ὁρισμὸς καὶ ποσαχῶς λαμβάνεται. τὸ δὲ καὶ τοῦ τί ἐστιν ἆρά πως
ἔστιν ἀπόδειξις καὶ ὁρισμὸς ἢ οὐδαμῶς, τοῦτό ἐστιν ὅτι πρότερον
5 μὲν καθόλου ἐλέγετο μηδαμῶς εἶναι ἀπόδειξιν ὁρισμοῦ μήτε μὴν τὸν
ὁρισμὸν δεικνύειν τι ὅλως, νῦν δὲ μέλλει δείκνυσθαι καὶ τρόπος τις ἀπο-
δείξεως ἐκφαντικὸς ὁρισμοῦ, καὶ ὅτι ὁ ὁρισμὸς δείκνυσί πως τὸ τί ἐστιν·
ὡς καὶ δι' ἀμφοτέρων ἐνδέχεσθαί πως τὸ τί ἐστι δείκνυσθαι, διά τε ἀπο- 5
δείξεως καὶ δι' ὁρισμοῦ.

10 p. 93a 3 Ἐπεὶ δ' ἐστίν, ὡς ἔφαμεν, ταὐτὸν τὸ εἰδέναι τί ἐστι καὶ τὸ εἰδέναι τὸ αἴτιον τοῦ εἰ ἔστι, λόγος δὲ τούτου ὅτι ἔστι τι αἴτιον, καὶ τοῦτο ἢ τὸ αὐτὸ ἢ ἄλλο, κἂν εἰ ἄλλο, ἢ ἀποδεικτὸν ἢ ἀναπόδεικτον.

Καὶ πρότερον εἴρηκεν ὅτι ὁ ὁρισμὸς αἴτιον· εἶδος γάρ. εἰ οὖν τὸ τί ἐστιν
15 ὁρισμός, ὁ δὲ ὁρισμὸς εἶδος, τὸ δὲ εἶδος αἴτιον, τὸ τί ἐστιν ἄρα αἴτιον.
αἴτιον δὲ τίνος; ἢ τοῦ εἶναι τὸ πρᾶγμα περὶ οὗ ἀποδίδοται, εἴ γε καὶ τὸ 10
εἶναι ἑκάστῳ κατὰ τὸ εἶδος. ὥστε ταὐτὸν τὸ εἰδέναι τί ἐστι καὶ τὸ εἰδέναι
τὸ αἴτιον τοῦ εἰ ἔστι. προθέμενος οὖν ἐνταυθοῖ δεῖξαι ὅτι δείκνυται ὁ
ὁρισμός, τούτοις προσχρῆται. λόγος δὲ τούτου, φησίν, ὅτι ἔστι τι αἴτιον,
20 τουτέστιν αἰτία τούτου τοῦ ταὐτὸν εἶναι τὸ εἰδέναι τί ἐστι καὶ τὸ εἰδέναι
τὸ αἴτιον τοῦ εἰ ἔστιν, ὅτι αἴτιόν τί ἐστιν ὁρισμὸς ὡς εἶδος ἢ λόγος καὶ
αἰτία τοῦ δύνασθαι δείκνυσθαι διὰ συλλογισμοῦ ὁρισμόν. καὶ εἰ οὕτω τὴν
λέξιν ληψόμεθα, εἴη ἂν ἡ πρὸ αὐτῆς ἐλλιπὴς ἡ ἐπεὶ δέ ἐστιν ὡς
ἔφαμεν ταὐτὸν τὸ εἰδέναι τί ἐστι καὶ τὸ εἰδέναι τὸ αἴτιον τοῦ 15
25 εἰ ἔστι· δεῖ γὰρ προσθεῖναι τὸ 'οἷόν τε διὰ συλλογισμοῦ δείκνυσθαι τὸ
τί ἦν εἶναι', καὶ οὕτως ἔποιτ' ἂν τὸ λόγος δὲ τούτου, τουτέστιν αἴτιον
δὲ τούτου τοῦ ὄντος αἰτίου τοῦ τί ἐστι δύνασθαι δείκνυσθαι διὰ συλλο-
γισμοῦ ὁρισμόν, ὅτι ἔστι τι αἴτιον, καὶ τοῦτο τὸ αἴτιον ἢ ταὐτὸν τῷ οὗ
ἐστιν αἴτιον ἢ ἕτερον, κἂν εἴη ἕτερον, ἢ ἀποδεικτὸν ἢ ἀναπόδεικτον,
30 τουτέστιν ἢ ἔμμεσον ἢ ἄμεσον. ὁ γὰρ ὅρος, αἴτιον ὤν, εἰ μὲν ἐν τῷ τί
ἐστι καὶ ἴδιος, ὡς ἀντιστρέφειν πρὸς τὸ ὁριστόν, ὁ αὐτὸς πρὸς τὸ οὗ ἐστιν 20
αἴτιον. εἰ δ' οὖν, ἕτερος· κἂν μὲν ἀμέσως εἴη αὐτῷ ὑπάρχων, ἀναπόδεικτος,
εἰ δὲ διὰ μέσου, ἀποδεικτός, ὥσπερ ἔστιν εὑρεῖν ἐπὶ τοῦ θυμοῦ καὶ ἐπὶ
τῆς βροντῆς καὶ ἐπ' ἄλλων τινῶν. ἡ γὰρ ζέσις τοῦ περικαρδίου αἵματος
35 λόγος τίς ἐστι τοῦ θυμοῦ ἐκ τῆς ὅλης λαμβανόμενος, ἀλλ' οὐκ ἄμεσος ὡς
αὐτοῦ ἔχων αἴτιον προηγούμενον ἕτερον, ὃ δεῖ πρότερον γενέσθαι, ἵνα αὐτὸ
ἐκείνῳ ἑπόμενον ἔσται θυμός. ἔστι δ' ἐκεῖνο ἡ τῆς ἀντιλυπήσεως ὄρεξις,
ἧς γενομένης εἰ ἡ τοῦ ἐν τῇ καρδίᾳ αἵματος ζέσις ἕψεται, θυμὸς γίνεται. 25
ὥστε δεῖ καὶ ἀμφοῖν τούτοιν πρὸς θυμοῦ γένεσιν· διὸ καὶ ὁμοῦ συντιθέμενα
40 ὁρισμὸς τοῦ θυμοῦ ἐστι τέλειος, οὐδέτερον δὲ καθ' ἑαυτό. ὥστε αἴτια μὲν
καὶ ἄμφω θυμοῦ, ἀλλ' οὐ ταὐτὰ τῷ οὗ εἰσιν αἴτια, εἰ ἀλλήλων χωρίζοιντο,
ὡς μὴ ἀντιστρέφοντα πρὸς τὸ ὁριστόν, καὶ τὸ μὲν διὰ μέσου θατέρου

ὑπάρχον τῷ ὁριστῷ, τὸ δὲ ἀμέσως. ἐκεῖνο μὲν οὖν ἀποδεικτὸν διὰ μέσου τούτου συμπεραινόμενον, τοῦτο δὲ ἀναπόδεικτον ὡς οὐκ ἔχον μέσον, δι' οὗ τῷ ὑποκειμένῳ ὑπάρχον δειχθήσεται. εἰ μέντοι εἰς ἓν ἀλλήλοις συνέλθοιεν, ἀντιστρέφει τε πρὸς τὸ ὁριστόν, καὶ οὐκέτι ἄλλο τοῦ οὗ ἐστιν αἴτιον, ἀλλ' ἐκείνῳ ταὐτόν. τὸ αὐτὸ καὶ ἐπὶ βροντῆς· ἦχός τε γὰρ ἐν νέφει ἐστὶ καὶ πυρὸς ἀπόσβεσις, καὶ αἰτιά πως ἄμφω ταῦτα βροντῆς, ἀλλὰ τὸ μὲν ἔμμεσον τὸ ἦχος ἐν νέφει, τὸ δὲ ἄμεσον τοῦ πυρὸς ἡ ἀπόσβεσις· καὶ ἐκεῖνο διὰ τούτου δείκνυται, οὐδέτερον δὲ τέλειος ὁρισμός ἐστι. διὸ καὶ ἄλλο ἑκάτερον τοῦ οὗ ἐστιν αἴτιον, ἂν ἰδίᾳ λαμβάνηται, ὁμοῦ δὲ ὡς ἓν εἰλημμένα τέλειός τε ὁρισμός ἐστι καὶ ταὐτὸν τῷ οὗ ἐστιν αἴτιον. ταὐτὸν γὰρ τῇ βροντῇ ὁ ἐν νέφει ἦχος διὰ πυρὸς ἀπόσβεσιν· τὸ εἶναι δὲ ἄλλο τὸ αἴτιον καὶ οὗ ἐστιν αἴτιον οὐκ ἐπὶ λόγων μόνον ἀλλὰ καὶ ἐπὶ ἁπλῶν ἔσται πραγμάτων. οἷον τὸ ζῷον μέσον τῆς οὐσίας καὶ τοῦ ἀνθρώπου τιθέμενον αἴτιον ἂν εἴη τοῦ εἶναι οὐσίαν τὸν ἄνθρωπον, ἀλλ' οὐ ταὐτὸν τῇ οὐσίᾳ. ἀλλὰ καὶ τοῦ ζῷον εἶναι τὸν ἄνθρωπον τὸ λογικὸν αἴτιον, ἀλλ' οὐ ταὐτὸν τῷ ζῴῳ. ἐπὶ τῶν τοιούτων οὖν αἰτίων ἅπερ ἄλλα ἐστὶ τῶν ὧν ἐστιν αἴτια εἰ εὑρίσκοιτό τι μέσον, ὡς μὴ ἀμέσως αὐτὰ τοῖς αἰτιατοῖς εἶναι, ταῦτα ἀποδεικτά· καὶ ἡ ἀπόδειξις ἐν τῷ πρώτῳ σχήματι.

p. 93a 6 Εἰ τοίνυν ἔστιν ἄλλο καὶ ἐνδέχεται ἀποδεῖξαι, ἀνάγκη μέσον εἶναι τὸ αἴτιον καὶ ἐν τῷ σχήματι τῷ πρώτῳ δείκνυσθαι.

Δύο γάρ, φησί, δεῖ συνδραμεῖν, ἵνα ἀποδειχθείη τὸ αἴτιον, ἵνα τε ἄλλο εἴη τοῦ οὗ ἐστιν αἴτιον καὶ ἵν' ἐνδέχηται αὐτὸ ἀποδεῖξαι, ἤγουν ἵνα μὴ ἄμεσον ᾖ καὶ προσεχῶς ὑπάρχον τῷ αἰτιατῷ, ἀλλὰ [μὴ] διὰ μέσου τινὸς δι' οὗ καὶ ἀποδείκνυσθαι δύναται. εἰ οὖν τοιοῦτον ᾖ, ἀνάγκη τὸ μέσον δι' οὗ μέλλει δείκνυσθαι, αἴτιον εἶναι κἀκεῖνο. ἢ οὖν οὕτω δεῖ εἰπεῖν ἢ ὅτι ἀνάγκη μέσον εἶναι τὸ κυριώτερον αἴτιον, ἤγουν τὸ προσεχέστερον καὶ ἀμέσως ὑπάρχον τῷ αἰτιατῷ.

p. 93a 9 Εἰς μὲν δὴ τρόπος ἂν εἴη ὁ νῦν ἐξητασμένος, τὸ δι' ἄλλου τὸ τί ἐστι δείκνυσθαι.

Προθέμενοι, φησί, δεῖξαι πῶς ἐνδέχεται διὰ συλλογισμοῦ καὶ διὰ ἀποδείξεως εὑρίσκεσθαι ὁρισμόν, ἕνα μὲν τρόπον ἤδη παραδεδώκαμεν, καὶ ἔστιν οὗτος ὁ νῦν διερευνηθεὶς καὶ ἀποδοθείς. οὗτος δέ ἐστι τὸ δείκνυσθαι τὸ τί ἐστι δι' ἄλλου τί ἐστι, διὰ τοῦ προσεχοῦς καὶ ἀμέσου τὸ μὴ προσεχὲς

---

3 ὑπάρχων a 12 λόγων scripsi: λόγον Aa 21 καὶ Arist.: ὅτι Aa
24 μὴ delevi 29 ante Εἰς μὲν add. ἀλλὰ καὶ ἐν τῷ πρώτῳ σχήματι. καθόλου τε γὰρ καὶ καταφατικὸν τὸ δεικνύμενον sed rursus del. A²

μηδὲ ἄμεσον· ὃ καὶ συμπέρασμα ἀποδείξεως ἐν τῷ πρὸ τούτου βιβλίῳ εἶναι εἴρηκεν ὡς διὰ μέσου τοῦ προσεχεστέρου καὶ αἰτιωτέρου συμπεραινόμενον. ὅτι δὲ οὕτω τὸ δι' ἄλλου εἴρηκεν, ἵνα τὸ τί ἐστιν ἐξακούοιτο, δηλοῖ ἐπάγων αὐτός. |

p. 93a 11 Τῶν τε γὰρ τί ἐστιν ἀνάγκη τὸ μέσον εἶναι τί ἐστι, καὶ τῶν ἰδίων ἴδιον· ὥστε τὸ μὲν δείξει τὸ δ' οὐ δείξει τῶν τί ἦν εἶναι τῷ αὐτῷ πράγματι. 57

Διὰ τί γάρ, φησί, δι' ἄλλου τί ἐστι τὸ τοιοῦτον τί ἐστι δείκνυται; διότι δεῖ τὸ μέσον τῶν τί ἐστι, τουτέστι τὸ ὡς μέσος ὅρος ἐν τῇ ἀποδείξει τῶν τί ἐστι λαμβανόμενον, τί ἐστιν εἶναι, καὶ τῶν ἰδίων ὡσαύτως ἴδιον. ἐπί τε γὰρ τῶν ἰδίων ἁπλῶς εἴ τις μέλλοι μέσον παραλαβεῖν, ἴδιον ἐξ ἀνάγκης παραλήψεται. τῶν γὰρ ἑτέροις ὑπαρχόντων οἰκειότερα τὰ ἴδια· τὰ γὰρ μὴ ἴδια καὶ ἑτέροις κοινά, διὸ καὶ ἧττον οἰκεῖα, ὅταν ἑνί τινι ὄντα λαμβάνηται τῶν μετεχόντων αὐτῶν· τὰ δὲ ἴδια μόνων ἐστὶν τῶν ὧν ἐστιν ἴδια, ὥστε καὶ οἰκειότερα διὰ τοῦτο. ἄτοπον οὖν εἴη ἂν διὰ τῶν ἀνοικειοτέρων δεικνύναι τὰ οἰκειότερα· δεῖ ἄρα δι' ἑτέρων οἰκείων προσεχεστέρων τὰς τῶν οἰκείων δείξεις ποιεῖσθαι. ἄλλως τε καὶ ὁ ὁρισμὸς τῷ ὁριστῷ οἰκειότατον· εἰ οὖ εἴη ὁρισμὸς ὁρισμοῦ προσεχέστερος, διὰ τούτου ὡς ἀμέσου τὸ ἔμμεσον δείξομεν· δι' ἑτέρως δέ τινος ἔχοντος δεῖξαι παντελῶς ἀνεπιστῆμον. τὸ μὲν ἄρα δείξει τῶν τί ἐστι τὸ δὲ οὐ δείξει τῷ αὐτῷ πράγματι. ἐπεὶ γὰρ τῷ αὐτῷ μὲν ἄμφω ὁριστῷ, ἀλλὰ τὸ μὲν προσεχῶς τὸ δὲ διὰ μέσου, τὸ μὲν διὰ μέσου δείξει διὰ τοῦ προσεχοῦς, τὸ δὲ προσεχές τε καὶ ἄμεσον οὐ δείξει.

p. 93a 14 Οὗτος μὲν οὖν ὁ τρόπος ὅτι οὐκ ἂν εἴη ἀπόδειξις, εἴρηται πρότερον, ἀλλ' ἔστι λογικὸς συλλογισμὸς τοῦ τί ἐστι.

Οὐ μόνον διὰ τὰ παρ' αὐτοῦ εἰρημένα πρότερον οὐκ ἂν εἴη ἀποδεικτικὸς ὁ τὸν ὁρισμὸν οὕτω δεικνύων συλλογισμός, ἀλλὰ λογικός, ὅτι γε αἰτεῖται τὸ ἐν ἀρχῇ, ἀλλὰ καὶ δι' ἕτερα ἴσως· ὅτι τε γὰρ μὴ ἀντιστρέφοντα ὅρον δείκνυσιν (οὐ γὰρ ἀντιστρέφει πρὸς τὸν θυμὸν ἡ ζέσις τοῦ περικαρδίου αἵματος, εἴ γε καὶ μὴ θυμουμένου τινὸς αὐτὸ ζεῖν ἐνδέχεται· τὸ δὲ μὴ ἀντιστρέφοντα δεικνύναι οὐδὲ ὅρον ἐστὶ δεικνύναι, ὥστε οὐ τὸ προκείμενον δείκνυσι) καὶ ἔτι ὅτι μηδ' ἀναγκαίας λαμβάνει προτάσεις. οὔτε γὰρ ὁ τῆς ἀντιλυπήσεως ὀρεγόμενος ἐξ ἀνάγκης αὐτῆς ὀρέγεται, ἀλλ' ἔστι καὶ μὴ ὀρέγεσθαι, οὔτε εἰ ὀρέξεται, εὐθὺς καὶ ἡ ζέσις τοῦ περικαρδίου αἵματος ἕπεται.

---

1 ἐν τῷ πρὸ τούτου βιβλίῳ] cf. Anal. post A 8 p. 75b 32 9 μέσος scripsi: μέσον Aa
14 μόνον a 31 δεικνύναι] δείκνυμεν a 33 ἀντιλύψεως Aa

p. 93a 15 Ὃν δὲ τρόπον ἐνδέχεται, λέγωμεν εἰπόντες πάλιν ἐξ ἀρχῆς. 57

Τὸν μὲν ἤδη ῥηθέντα τρόπον τῆς τοῦ τί ἐστι δείξεως ὡς μὴ ἀποδεικτικὸν ἀλλὰ λογικὸν ἀποδοκιμάζει· οὐ γὰρ τοῦτο προηγουμένως προέκειτο, εἰ ὅλως ἐνδέχεται περὶ ὁρισμοῦ συλλογίσασθαι, ἀλλ' εἰ ἔστιν ὁρισμὸν εὑρίσκειν δι' ἀποδείξεως. νῦν δὲ τοῦτο διδάξαι προθέμενός φησιν 'ἐπεὶ ὁ ῥηθεὶς τρόπος οὐκ οἰκεῖός ἐστιν ἀποδείξεως, λέγωμεν νῦν ὃν τρόπον ἐνδέχεται ὁρισμὸν εὑρίσκειν δι' ἀποδείξεως.'

p. 93a 16 Ὥσπερ γὰρ τὸ διότι ζητοῦμεν ἔχοντες τὸ ὅτι, ἐνίοτε δὲ καὶ ἅμα δῆλα γίνεται, ἀλλ' οὔ τι πρότερόν γε τὸ διότι δυνατὸν γνωρίσαι τοῦ ὅτι, δῆλον ὅτι ὁμοίως καὶ τὸ τί ἦν εἶναι οὐκ ἄνευ τοῦ ὅτι ἐστίν.

Ἐπεὶ τὸ μὲν διότι ζήτημα οἰκεῖον τῆς ἀποδείξεως, τοῦ ὁρισμοῦ δὲ τὸ τί ἐστι, ζητοῦμεν δὲ δεῖξαι εἰ δι' ἀποδείξεως ὁρισμὸν εὑρεθῆναι ἐνδέχεται, ταὐτὸν δὲ εἰπεῖν διὰ τοῦ διότι ἐστὶ τὸ τί ἐστι, δεῖ τε καὶ τῶν ὑστέρων δύο ζητημάτων εἰς τὴν τοῦ προκειμένου παράστασιν, ὡς προϊοῦσι φανήσεται, ἀναγκαίως τὰ τέσσαρα εἰς μέσον παράγει, καὶ τάς τε πρὸς ἄλληλα διαφορὰς αὐτῶν καὶ τὰς κοινωνίας ἐκτίθεται. καὶ φησὶν ὅτι σύνθετα μὲν προβλήματά ἐστι τὸ ὅτι καὶ τὸ διότι ἐστίν, ἁπλᾶ δὲ τὸ εἰ ἔστι καὶ τί ἐστι. δεῖ οὖν ἀπὸ τῶν συνθέτων ὡς ἡμῖν σαφεστέρων ὁδηγεῖσθαι πρὸς τὰ ἁπλᾶ. ὃν οὖν λόγον ἐπὶ τῶν συνθέτων ἔχει τὸ ὅτι, τὸν αὐτὸν ἐπὶ τῶν ἁπλῶν τὸ εἰ ἔστι, καὶ ὃν ἐκεῖ τὸ διότι ἐστί, τὸν αὐτὸν ἐνταῦθα τὸ τί ἐστι. καὶ ὥσπερ ἐπὶ τῶν συνθέτων ἡ τοῦ ὅτι ἐστὶ γνῶσις προηγεῖται τοῦ διότι καὶ οὐκ ἄν ποτε διὰ τί ἐστιν εἰσόμεθα ἀγνοοῦντες ὅτι ἐστίν, ἐνίοτε δὲ καὶ ἅμα ἡ γνῶσις γίνεται ἀμφοτέρων, ὅταν τὸ ὅτι ἐστὶ διὰ τῆς αἰτίας γινώσκομεν, πρότερον δὲ τὸ διότι ἐστὶ τοῦ ὅτι ἐστὶν εἰδέναι ἀμήχανον, οὕτω καὶ ἐπὶ τῶν ἁπλῶν εἰδέναι δεῖ εἰ ἔστι πρότερον, καὶ οὕτω γινώσκειν τὸ τί ἐστι· τὸ γὰρ τί ἐστιν αἰτία τοῦ πράγματος. οὐκ ἐνδέχεται οὖν τὸ τί ἐστι καὶ τὸν ὁρισμὸν εἰδέναι τοῦ πράγματος ἀγνοοῦντας εἰ ἔστιν ὅλως αὐτό. πῶς γὰρ οἷόν τε τὴν αἰτίαν εἰδέναι πράγματός τινος, εἴτε ὡς ἐν ἑτέρῳ ὂν εἴτε ὡς καθ' αὑτὸ θεωροῖτο, ἀγνοουμένου τοῦ εἶναι αὐτό, εἰ μὴ καὶ τὸ μὴ ὂν εἰσόμεθα διότι ἐστίν· οὐδὲν γὰρ τοῦ μὴ ὄντος τοῖς ἀγνοοῦσιν ἀπέοικε, κἂν ᾖ, τὸ παρ' αὐτῶν ἀγνοούμενον εἰ ὅλως ἐστίν. ὥσπερ οὖν τὸ μὴ ὂν ἤ τί ἐστιν ἢ διότι ἐστίν εἰδέναι ἀδύνατον, οὕτω καὶ τὸ ἀγνοούμενον εἰ ἔστιν ἢ ὅτι ἐστίν. ἀδιαφόρως δὲ τὸ ὅτι ἐστὶν ἀντὶ τοῦ εἰ ἔστι νῦν εἴληφεν, ἐπεὶ καὶ λέγεται ἐνίοτε καὶ ἄμφω ὅτι ἐστὶ καὶ ἄμφω εἰ ἔστι· δυνατὸν γὰρ καὶ τὸ ὅτι ἐστὶν ὡς καθ' ἑαυτὸ λαβεῖν θεωρούμενον καὶ τὸ εἰ ἔστιν ὡς ἐν

---

1 λέγωμεν Arist.: λέγομεν libri, itemque v. 7 εἰπόντες] γέγραπται ἐπιόντες πρότερον ἐξ ἀρχῆς adnot. A 12 post τοῦ ὅτι ἐστίν add. εἴ ἐστι A^2 35 δὲ τὸ ὅτι om. a

ἑτέρῳ ὄντος τοῦ ζητουμένου πράγματος λαμβάνεσθαι. ἄλλως τε καὶ ὃ 57
βούλεται προϊὼν εἰπεῖν ὡς ἐκ τῆς ἀποδείξεως ἀναφαινομένου τοῦ τί ἐστι,
ἐπὶ τῶν ἐν ἑτέροις τὸ εἶναι ἐχόντων ἁρμόσει, οὐκ ἐπὶ τῶν καθ' αὑτὰ
ὑφεστηκότων· ἦν δὲ ἐπὶ ἐκείνων τὸ ὅτι ἐστιν, ἐπὶ δὲ τούτων τὸ εἰ ἔστιν, 50
5 ὥστε ἐπὶ τῶν ἐν ἑτέροις τὸ εἰ ἔστιν ὅτι ἔστι. διὰ τοῦτο εἰπὼν τὸ τί ἐστιν
οὐκ ἄνευ τοῦ ὅτι ἐστὶν ἐπήνεγκεν

p. 93a 20 Ἀδύνατον γὰρ εἰδέναι τί ἐστιν ἀγνοοῦντας εἰ ἔστι.

Καθὸ μὲν γὰρ ὡς ὁριστὸν ζητεῖται, ἵν' αὐτὸ τί ἐστιν εἰσόμεθα, εἰ
ἔστι δεῖ γνωρίζειν πρότερον· καθὸ δὲ τῶν ἐν ἑτέροις ὄντων τὸ λαμβανό-
10 μενον, ταὐτὸν ἐν τούτῳ τὸ εἰ ἔστι τῷ ὅτι ἐστί. |

p. 93a 21 Τὸ δ' εἰ ἔστι ποτὲ μὲν κατὰ συμβεβηκὸς ἔχομεν, ποτὲ 58
δ' ἔχοντές τι αὐτοῦ τοῦ πράγματος. οἷον βροντὴν ὅτι ψόφος τις
νεφῶν, καὶ ἔκλειψιν ὅτι στέρησίς τις φωτός, καὶ ἄνθρωπον ὅτι
ζῷόν τι, καὶ ψυχὴν ⟨ὅτι⟩ αὐτὸ αὑτὸ κινοῦν.

15 Ἐπειδὴ εἶπεν ὅτι ἀκολούθως τῇ τοῦ εἰ ἔστι γνώσει καὶ ἡ τοῦ τί
ἐστιν εὕρεσις γίνεται, τίθησιν ἐξ ἀνάγκης καὶ τὰς διαφορὰς τῆς τοῦ εἰ ἔστι 5
γνώσεως, καὶ φησὶν ὅτι διττῶς τὸ εἶναι τὸ πρᾶγμα γινώσκομεν· ἢ γὰρ
ἀπό τινος συμβεβηκότος ἢ ἀπὸ τοῦ ἔχειν τι τοῦ πράγματος αὐτοῦ, τουτέστιν
ἀπὸ τοῦ καταλήψιν δέξασθαι τινὰ τῆς οὐσίας ἐχομένην αὐτοῦ. τίθησιν δὲ
20 καὶ παραδείγματα. ἐπειδὴ γὰρ οὐχ ὁμοτιμία ἐστὶ τῶν κατ' οὐσίαν λαμβα-
νομένων ἐπί τινος, ἀλλὰ τὰ μὲν καθαρώτερον αὐτὸ παρίστησιν, τὰ δὲ
ἀμυδρότερον, ἀναλόγως ἡ ἐκ τούτων τε γνῶσις τοῦ εἶναι τὸ πρᾶγμα προσ-
γίνεται καὶ ἡ πρὸς τὸ τί ἦν εἶναι αὐτοῦ λυσιτέλεια. ὁ γοῦν ψόφος τῶν 10
νεφῶν γένος ἐστὶ τῆς βροντῆς, καὶ τοῦ φωτὸς ἡ στέρησις τῆς ἐκλείψεως·
25 ἀλλ' ἐκ τοῦ εἰδέναι τούτων ἕκαστον οὐκ εὐθὺς καὶ τὸ τί ἦν εἶναι γνωρίζειν
ἔχομεν, διότι μηδὲ τοῦ εἶναι γνῶσιν τελείαν ἔχομεν. ὁλοσχερής τε γὰρ ἡ
γνῶσις τοῦ τὶ ζῷον εἶναι τὸν ἄνθρωπον, ἅτε καὶ πλείοσιν οὖσα κοινὴ κατ'
οὐσίαν αὐτοῦ διαφέρουσιν, ὡς δὴ καὶ τὸ εἰδέναι περὶ τῆς ἐκλείψεως μόνον
ὅτι στέρησις φωτὸς γίνεται· κατὰ πολλοὺς γὰρ τρόπους ⟨ἔστιν⟩ ὑπολαβεῖν
30 γινομένην τὴν τοῦ φωτὸς στέρησιν, κατὰ ἀντίφραξιν, κατὰ στροφήν, κατὰ 15
ἀπόσβεσιν. διὰ τοῦτο καὶ οὔπω οἰκειότατα τὸ εἶναι τὴν ἔκλειψιν κατεί-
λῆπται, ὥστ' οὐδὲ πρὸς τὸ τί ἦν εἶναι ἐντεῦθεν εὐθυβολώτατα ἔχομεν.
τὸ αὐτὸ καὶ περὶ βροντῆς καὶ περὶ ψυχῆς, ἵνα μὴ καθ' ἕκαστον ἐπεξίωμεν.
εἰ δὲ ὁποῖος ὁ ψόφος, καὶ τίνος προηγησαμένου αὐτὸς ἐπιγίνεται, ὁμοίως
35 δὲ καὶ τὴν στέρησιν τοῦ φωτός, καὶ ὅπως ἔχον τὸ τὶ ζῷον ὁ ἄνθρωπος
τῶν λοιπῶν διενήνοχε, καὶ πῶς ἔχουσα ἡ ψυχὴ τοῦ εἶναι αὐτοκίνητός 20

14 ὅτι ex Arist. addidi 19 κατάλησιν a 25 οὐκ om. A¹
29 ἔστιν addidi 31 οἰκειότατα scripsi: οἰκειότητα Aa 32 εὐθυβολώτατα scripsi: εὐθυβολώτητα Aa

ἐστι γνοίημεν, ἕξομεν εὐθὺς ἑπομένην καὶ τὴν γνῶσιν τοῦ τί ἐστιν. ἐκ 58
μὲν οὖν τῶν οὐσιωδῶν τὰ ληφθέντα ἐστὶ παραδείγματα, ἀλλά γε κοινότερον·
διὰ τοῦτο καὶ ἀμυδροτέραν τὴν τοῦ εἶναι γνῶσιν παρέχοντα τῶν εἰρημένων
ἕκαστον. εἰ δέ σοι μέλει ἐπὶ τῶν τοιούτων καὶ τῆς ἀπὸ συμβεβηκότων
5 τοῦ εἶναι εἰδήσεως λαβεῖν παραδείγματα, ἕξεις βροντῆς μὲν τὸ ἐμβροντήτους
τινὰς γίνεσθαι, ἐκλείψεως δὲ τὸ σκιὰν ἐν πανσελήνῳ μὴ γίνεσθαι μηδενὸς
ὄντος μεταξὺ φανεροῦ, ἀνθρώπου δὲ τὸ ὁμιλητικὸν διὰ λόγου, ἢ ὄρθιον 25
τῷ σχήματι ἤ τι τοιοῦτον, ψυχῆς δὲ τὸ τόπους ἐξαμείβειν τὸ σῶμα τὸ
ἔμψυχον, μηδενὸς αὐτὸ μετοχλίζοντος ἔξωθεν.

10 p. 93a 24 Ὅσα μὲν οὖν κατὰ συμβεβηκὸς ἴσμεν ὅτι ἔστιν, ἀναγκαῖον
μηδαμῶς ἔχειν πρὸς τὸ τί ἐστιν.

Δύο εἰπὼν εἶναι τρόπους τῆς τοῦ εἰ ἔστι γνώσεως φησὶ πῶς τούτων
ἔχει ἑκάτερος πρὸς τὴν τοῦ τί ἐστιν εἴδησιν. ὅσων γὰρ τὴν γνῶσιν τοῦ 30
εἶναι ἀπό τινος ἔχομεν συμβεβηκότος, ἀναγκαίως ἐντεῦθεν οὐδεμίαν λυσιτέ-
15 λειαν πρὸς τὸ τί ἐστι τούτων ἔχομεν, ταὐτὸν δὲ εἰπεῖν ἀδύνατον ποδηγηθῆναι
πρὸς τοὺς ὁρισμοὺς τῶν λεγομένων γινώσκεσθαι ἐκ τῆς κατὰ συμβεβηκὸς
γνώσεως τοῦ εἶναι αὐτά. καὶ τῆς τοιαύτης γνώσεως τὰ παραδείγματα
ἤδη εἴρηται· ἐπιτείνων δὲ τὸ ἀδύνατον προστίθησιν οὐδὲ γὰρ ὅτι ἔστιν
ἴσμεν, τουτέστιν αὐτὸ γὰρ τοῦτο οὐκ ἴσμεν οὗ ἡ γνῶσις πρὸς τὸ τί ἐστιν
20 ἡμῖν συμβάλλεσθαι ἔμελλε. πῶς οὖν ἐξ αὐτοῦ εἰς ἐκεῖνο ἔσται ὁδηγηθῆναι 35
ἡμᾶς; τὸ γὰρ ἀπὸ συμβεβηκότος εἰδέναι τι οὐδὲ εἰδέναι ἐστὶν αὐτό· ἄλλο
γὰρ γένος τὸ συμβεβηκὸς τοῦ ᾧ συμβέβηκεν, ἐξ ἑτέρου δὲ γένους ἕτερον
γνῶναι οὐκ ἔστι γνῶσις ἐπιστημονικὴ οὐδ' οἰκεία τοῦ πράγματος· τὸ δὲ
ἀλλοτρίως γινώσκειν οὐδὲ γινώσκειν ἐστίν. ὥσπερ δὲ τὸ οὕτω γινώσκειν
25 οὐδὲ γινώσκειν ἐστίν, οὕτω τὸ ζητεῖν περί τινος τί ἐστι μὴ εἰδότας τὸ
εἶναι αὐτὸ μηδὲ ζητεῖν ἐστιν, ἀλλὰ ματαιάζειν καὶ ἀνόνητα πονεῖν. ἀκρι-
βείας δὲ ἕνεκεν τοὺς τρόπους διέλωμεν πλατύτερον τῆς τοῦ εἶναι γνώσεως. 40
ἡ τοῦ εἶναι γνῶσις ἢ κατὰ συμβεβηκὸς ἢ κατ' οὐσίαν γίνεται, καὶ τούτων
ἑκάτερον εἰς δύο διαιρεῖται. τῶν γὰρ συμβεβηκότων τὰ μὲν γνωστικά
30 πως τῶν ὑποκειμένων εἰσίν, ὥσπερ τὸ ὀρθοπεριπατητικόν, τὸ ἥμερον
φύσει, τὸ γελαστικὸν τοῦ ἀνθρώπου, τὰ δὲ παντελῶς ἀλλότρια ὡς μηδὲ
ὅλως γνωρισμόν τινα τῶν ὑποκειμένων παρέχοντα, ὡς τὸ λευκόν, τὸ μέλαν,
τὸ βαδίζειν, τὰ τοιαῦτα. καὶ τῶν κατ' οὐσίαν τὰ μὲν πλείοσι κοινὰ καὶ 45
διὰ τοῦτο τοῦ προκειμένου πορρώτερα, τὰ δ' ἐλάττοσι καὶ διὰ τοῦτο ἐγγύ-
35 τερα. ἐκ μὲν οὖν τῶν πάντῃ ἀλλοτρίων συμβεβηκότων οὐδεμίαν ὅλως

---

4 εἰ δέ σοι] post lacunam pergit E μέλει E: μέλλοι Aa τῶν τοιούτων] τούτων Aa
5 εἰδήσεως] εἰδήσεσθαι E ἐμβροντήτους] ἐμβροντήτων Aa 9 μοχλίζοντος E
10 ὅτι ἐστίν om. Aa 12 post εἶναι add. τοὺς Aa γνῶσις Aa
14 συμβεβηκότων a 20 ἔστι Aa 21 συμβεβηκότως a 21. 22 ἄλλου γὰρ γένους Aa 22 post ᾧ add. γε Aa 24 οὐδὲ γινώσκειν om. E
29 γνωστικά] fort. γνωριστικά

ὁδηγίαν ἔχομεν πρὸς τὴν τοῦ ὑποκειμένου κατάληψιν, κἂν ἐν αὐτῷ ὑφεστη- 58
κότα εὑρίσκοιτο· ἐκ δὲ τῶν ἰδιαιτέρων ἕξομεν ἴσως, ἀλλὰ πάντῃ ἀσαφῆ
τε καὶ ἀμυδράν. ἐκ δὲ τῶν κατ' οὐσίαν μὲν πόρρω δὲ διὰ τὸ πλείοσιν
εἶναι κοινὰ καθαρωτέραν μὲν ἕξομεν γνῶσιν ἢ ἐκ τῶν συμβεβηκότων,
5 συγκεχυμένην δ' ἔτι καὶ ἀδιάρθρωτον· ἐκ δὲ τῶν ἐγγυτάτω σαφῆ τε ἤδη 50
κατάληψιν τοῦ εἶναι τὸ πρᾶγμα ἔχομεν, καὶ ἐξ αὐτῆς ῥᾷον τὸ τί ἐστιν
ἡμῖν παραγίνεται.

p. 93a 27 Καθ' ὅσων δ' ἔχομέν τι, ῥᾷον.

Οὗτος ὁ ἕτερος τρόπος ἐστὶ τῆς τοῦ εἰ ἔστι τὸ πρᾶγμα γνώσεως, ὃς
10 καὶ ἀληθής ἐστι καὶ πρὸς τὸ τί ἐστι συμβαλλόμενος. οὗτος δέ ἐστιν ὁ
ἀπὸ τῶν ἐχομένων αὐτοῦ τοῦ πράγματος. καθ' ὅσων γάρ, φησίν, ἔχομέν
τι | πραγματικῶς καὶ οἰκείως τοῖς γνωστοῖς περὶ τὴν τοῦ εἰ ἔστι γνῶσιν, 59
ῥᾷον ἐπὶ τούτων ἡμῖν ἐστιν εὑρεῖν καὶ τὸ τί ἐστιν.

p. 93a 28 Ὥστε ὡς ἔχομεν ὅτι ἐστίν.

15 Τοῦτο τῶν εἰρημένων ἐστὶν ὥσπερ εἴ τι συμπέρασμα. ἐπεὶ γὰρ περὶ
τοῦ τί ἐστιν εἰπεῖν προθέμενος, εἰ ἐνδέχεται τοῦτο κατά τινα τρόπον δι' 5
ἀποδείξεως εὑρίσκεσθαι, εἴρηκεν ὅτι ὡς ἔχομεν πρὸς τὸ εἰ ἔστι παρασκευῆς,
οὕτως ἐντεῦθεν καὶ πρὸς τὴν τοῦ τί ἐστιν εὕρεσιν ποδηγούμεθα, καὶ τοῦτο
διὰ τῶν εἰρημένων ἔδειξεν, ἐπήγαγε λοιπὸν τὸ συμπέρασμα, ὅτι ὡς ἔχομεν
20 ἄρα τῆς τοῦ εἶναι τὸ πρᾶγμα γνώσεως, οὕτως ἔχομεν καὶ τῆς πρὸς τὸ τί
ἐστιν ἑτοιμότητος. σὺ δὲ ὅρα ὅτι πολλάκις ἐν τούτοις ἀδιαφόρως ἐχρή-
σατο τῷ ὅτι ἔστι καὶ εἰ ἔστι, διὰ τὸ ἐπὶ τῶν ἐν ἑτέροις ὑπαρχόντων δεῖξαι
μέλλειν τὸ προκείμενον. 10

p. 93a 29 Ὧν δ' ἔχομέν τι τοῦ τί ἐστιν, ἔστω πρῶτον μὲν ὧδε.

25 Δύο τρόπους τῆς τοῦ εἰ ἔστιν ἐκθέμενος γνώσεως, ὧν ἄτερος μὲν
ἐλέγετο συμβάλλεσθαι πρὸς τὸ τί ἐστιν, ἄτερος δ' οὐχί, γυμνάζει νῦν καὶ 15
ἐπὶ παραδειγμάτων τὸν λόγον. τίθησι δὲ πρῶτον τὸν ἀληθῆ τρόπον τῆς
τοῦ εἰ ἔστι γνώσεως καὶ φησὶν ὧν δ' ἔχομέν τι τοῦ τί ἐστι καὶ τὰ
ἑξῆς. ἔστι δὲ τὸ λεγόμενον τοιοῦτον· ὧν δὲ πραγμάτων ἅμα τῷ γινώσκειν
30 αὐτὰ ὅτι εἰσὶν ἔχομέν τι καὶ τοῦ τί ἐστιν ἤτοι τοῦ ὁρισμοῦ, ἔστω τοῦτο
πρῶτον παράδειγμα οὕτω λεγόμενον, ὡς δι' ἀποδείξεως τὴν γνῶσιν γίνεσθαι.
μείζων ὅρος ἔκλειψις, ἐφ' οὗ τὸ Α στοιχεῖον τάττεται, σελήνη ἐλάττων,
ἐφ' οὗ Γ, μέσος γῆς ἀντίφραξις, ἐφ' οὗ τὸ Β. ὅταν οὖν ζητῶμεν, πότερον 20
ἐκλείπει ἡ σελήνη ἢ οὔ, τὸ Β ζητοῦμεν ἤτοι τὸ μέσον, ἆρ' ἔστιν ἢ οὔ.

---

1 κατάλησιν a 2 εὑρίσκοιντο Aa 5 συγκεχυμένῳ Aa 7 περιγίνεται Aa
12 γνῶσις a 15 ὡσπερὶ συμπέρασμα E 24 ὧν οὖν ἔχομεν Arist.
33 πρότερον Aa

τὸ γὰρ ζητεῖν εἰ ἔστιν ἡ ἔκλειψις ἢ οὔ, ταὐτόν ἐστι τῷ ζητεῖν εἰ ἔστιν 59
αἴτιον τῆς ἐκλείψεως ἢ οὔ. καὶ ἐὰν ᾖ τὸ αἴτιον, ἔστι καὶ τὸ αἰτιατόν,
κἂν εὕρωμεν θάτερον, εὑρημένον ἤδη καὶ θάτερον ἔχομεν. καθόλου μὲν
γὰρ ἴσως τὸ αἴτιον ᾖ αἴτιον ἅμα τῷ αἰτιατῷ ἐστιν, εἴ γε ἅμα τὰ πρός
5 τι τῇ φύσει· ἐπὶ δὲ τοῦ ὅρου καὶ μάλιστα, ὡς μὴ ἑνὸν μήτε τὸν ὅρον
εἶναι χωρὶς τοῦ ὁριστοῦ μήτε τὸ ὁριστὸν χωρὶς τοῦ ὁρισμοῦ.

p. 93a 33 Ἆρα ποτέρας τῆς ἀντιφράσεώς ἐστιν ὁ λόγος; 25

Πρῶτον εἰπὼν παράδειγμα, δι' οὗ σαφῶς ἡμῖν ἔδειξε, πῶς διὰ τῆς
ἐχούσης μέσον τὸ αἴτιον ἀποδείξεως ἅμα τό τε εἶναι καὶ τὸ τί ἦν εἶναι
10 καταλαμβάνομεν, καὶ δεύτερον τίθησιν. ἔστι δὲ τοῦτο· ἢ εἰ βούλει, φησίν,
ἐπὶ τοῦ τριγώνου· ζητοῦμεν γὰρ κἀκεῖ τῆς ἀντιφράσεως δύο ἐχούσης
ἀποφάνσεις, κατάφασιν καὶ ἀπόφασιν, τὸ ἔχειν δύο ὀρθὰς καὶ τὸ μὴ 30
ἔχειν, ποτέρας τούτων τῶν δύο λόγος ἐστὶ καὶ αἴτιον, τῆς λεγούσης δύο
ὀρθὰς ἔχειν ἢ τῆς λεγούσης μὴ ἔχειν. τῆς γὰρ οὔσης ὁ λόγος, οὐ τῆς
15 μὴ οὔσης· καὶ ἧς λόγος ἐστὶν ἐκείνη ἐστίν, οὐχ ἧς μή ἐστι λόγος. ὅταν
δὲ εὕρωμεν τὸν λόγον, ἅμα τὸ ὅτι, φησίν, ἴσμεν καὶ τὸ διότι· καίτοι οὐ
τοῦτο προέκειτο τὸ ὅτι καὶ τὸ διότι εὑρεῖν, ἀλλὰ τὸ εἰ ἔστι καὶ τί ἐστι,
καὶ περὶ τούτων ἦν ὁ λόγος ἡμῖν, πῶς δυνατὸν ἐκ τῆς τοῦ προτεθέντος
ἀποδείξεως εὑρίσκεσθαι ὁρισμόν. ἀλλ' ἴσως ἐπεὶ καὶ πρότερον τῇ τοῦ ὅτι
20 καὶ διότι γνώσει τὴν τοῦ εἰ ἔστι καὶ τί ἐστιν ἀνάλογον ἔλεγεν, ὅτι ὥσπερ 35
ἐνίοτε ἅμα δῆλα γίνεται τὸ ὅτι καὶ τὸ διότι, οὕτω καὶ τὸ εἰ ἔστι καὶ τί
ἐστιν, εἰπὼν ἐπὶ θατέρου πῶς γίνεται, εἴρηκε νῦν καὶ ἐπὶ τοῦ ἑτέρου πῶς
γίνεται. ἢ οὖν οὕτως, ἢ ἐπειδὴ τὸ ἐκ τῆς ἀποδείξεως ἀναφαίνεσθαι τὸν
ὁρισμὸν οὐκ ἐπὶ τῶν καθ' αὑτὰ ὑφεστηκότων, ἀλλ' ἐπὶ τῶν ἐν ἑτέροις
25 ἐχόντων τὸ εἶναι πέφυκε γίνεσθαι, ἐφ' ὧν τό τε εἰ ἔστιν ὅτι ἐστίν ἐστι,
καὶ τὸ τί ἐστι διὰ τί ἐστι καὶ ἀνάπαλιν, διὰ τοῦτο οὕτως τὸν λόγον ἔδειξεν,
καὶ ἔσχατον δὲ ταὐτὸν εἴρηκεν ἀδιαφόρως ἐπὶ τούτου, τῷ ὅτι ἐστὶν ἀντὶ 40
τοῦ εἰ ἔστι καὶ τῷ διὰ τί ἐστιν ἀντὶ τοῦ τί ἐστι κεχρημένος. τὸ δὲ ἂν
διὰ μέσων ᾖ ἀντὶ τοῦ διὰ τῶν αἰτίων οὐ μόνον τοῦ συμπεράσματος, ἀλλὰ
30 καὶ τοῦ πράγματος. ἂν γὰρ μὴ διὰ τοιούτων ᾖ, τὸ ὅτι μόνον ἀλλ' οὐχὶ
καὶ τὸ διότι εἰσόμεθα, ὡς καὶ αὐτός φησιν ἐφεξῆς.

p. 93a 36 Εἰ δὲ μή, τὸ ὅτι, τὸ διότι δ' οὔ.

Παραδείγματα θέμενος τῆς ἀκριβοῦς τῶν ἀποδεικτῶν γνώσεως, δι' ἧς
ἅμα τὸ ὅτι καὶ τὸ διότι γνωρίζεται ἢ τοῦ εἰ ἔστι γινωσκομένου, καὶ τὸ τί

---

1 τὸ γὰρ—ἢ οὔ om. E 4 ᾖ αἴτιον om. Aa 5 ἑνὸν] ἐν a 7 ἀντιφράσεως AE: ἀντιφάσεως Arist.: ἀντιφράξεως a 8 σαφὲς A¹a 13 αἴτιον] αἰτία Aa 15 οὐχ ἧς—οὐ τοῦτο (16. 17) E: ἀλλ ἐπεὶ μὴ Aa 18 τοῦ προτεθέντος om. E 23 τὸν om. Aa 26. 27 τὸν λόγον—καὶ et δὲ ταὐτόν in marg. add. A² 28 διὰ τί] διότι Aa 34 γνωριζομένου Aa

ἦν εἶναι καταλαμβάνεται, ἐπειδὴ καὶ ἕτερον τρόπον ὑπάρχειν εἴρηκεν 59
γνώσεως τὸν ἀπὸ συμβεβηκότος προβαίνοντα, καθ' ὃν καὶ αὐτὸ τὸ ὅτι ἢ
δὴ τὸ εἰ ἔστιν ἀμυδρῶς γνωρίζεται, οὔτε δὲ τὸ διότι οὔτε τὸ τί ἐστιν ἐξ 50
αὐτοῦ εὑρίσκειν δυνάμεθα, καὶ τούτου νῦν παράδειγμα τίθησιν, τὰ μὲν ἄκρα
5 τιθεὶς τὰ αὐτά, ἕτερον δὲ παραλαμβάνων τὸν μέσον, ὅστις ἐστὶ τὸ συμ-
βεβηκός, μέσον μὲν ὂν καὶ αἴτιον, ἀλλὰ μόνου τοῦ συμπεράσματος, οὐχὶ
καὶ τοῦ πράγματος. πάλιν γὰρ ἔκλειψις κἀνταῦθα τὸ Α, σελήνη τὸ Γ,
μέσον δὲ τὸ Β τὸ ἐν πανσελήνῳ σκιὰν μὴ δύνασθαι ποιεῖν, μηδενὸς ὄντος
μεταξὺ ἐκείνης τε καὶ ἡμῶν. ὅτι μὲν οὖν ἐκλείπει δῆλον, φησί, διότι |
10 δ' οὔ· ὅσον γὰρ ἀπὸ τοῦ ληφθέντος μέσου, τὸ μὲν ἐκλείπειν δῆλον γίνεται, 60
οὐ μὴν δὲ καὶ ἡ αἰτία δι' ἣν τοῦτο γίνεται. σκιᾶς γὰρ μὴ γινομένης
δῆλον ὅτι οὐκ ἔστι τὸ φῶς, οὗ ὄντος σκιὰ ἐγίνετο ἂν ἡμῶν ἱσταμένων ἐν
τῷ φωτί· διὰ τί δὲ τοῦτο γίνεται, ὅσον ἀπὸ τοῦ ληφθέντος τρόπου τῆς
ἀποδείξεως ἄδηλον διὰ τὸ μέσον ληφθῆναι ὃ μόνου τοῦ συμπεράσματος,
15 οὐκέτι δὲ καὶ τοῦ πράγματος αἴτιον. ὥστε καὶ τὸ μὲν εἶναι τὴν ἔκλειψιν, 5
ἴσμεν ἐκ τούτου, τί δέ ἐστιν ἡ ἔκλειψις οὐκ ἴσμεν, ὅπερ ἡμῖν περιεγένετο
πρότερον ἐκ τοῦ μέσον λαβεῖν τὸ τοῦ πράγματος αἴτιον. τὸ δὲ διότι δ'
οὔπω εἶπεν ἐμφαίνων ὡς ἀτελὴς ἡ γνῶσίς ἐστιν, ἐν ᾧπερ οὐκ εἴληπται
τὸ τοῦ πράγματος αἴτιον, καὶ δεομένη ἔτι προβάσεως, ἄχρις ἂν ἀποκαλυφθείη
20 τὸ αἴτιον.

p. 93b3 Δήλου δ' ὄντος ὅτι τὸ Α τῷ Γ ὑπάρχει.

Διὰ τῶν νῦν λεγομένων ἐπιβεβαιοῖ εἰσέτι τὸ διὰ τῆς τοῦ διὰ τί ἀπο-
δείξεως τὸ τί ἐστιν ἀναφαίνεσθαι· προβαίνει δὲ ὁ λόγος αὐτῷ ἀπὸ τῆς
ζητήσεως τῆς αἰτίας. ὁπόταν γάρ, φησί, δῆλον ᾖ τὸ εἶναι τὸ Α τῷ Γ,
25 τὸν μείζονα τῷ ἐλάττονι οἷον τὴν ἔκλειψιν τῇ σελήνῃ, τότε τὸ ζητεῖν καὶ
λέγειν 'ἀλλὰ διὰ τί ὑπάρχει;' τοῦτό ἐστι τὸ ζητεῖν τί ἐστι τὸ Β, ἤγουν 15
τὸ μέσον τούτου καὶ αἴτιον τί ἐστι, πότερον ἀντίφραξις ἢ στροφὴ τῆς
σελήνης ἢ ἀπόσβεσις; ἀδήλου γὰρ ὄντος ἔτι τοῦ μέσου, πολλὰ παραλαμ-
βάνειν ἐνδέχεται, ὅσαπερ εἰκὸς ὡς αἴτια ὑποπτεύεσθαι, ὡς ἂν ἐκ τούτων
30 τὸ οἰκεῖον ἐκλεξάμενοι ἀποβαλλώμεθα τὰ ἀλλότρια. τοῦτο δὲ τὸ εὑρισκό-
μενον οὐδὲν ἄλλο ἐστὶν ἢ ὁ λόγος καὶ ὁ ὁρισμὸς τοῦ ἑτέρου ἄκρου ἤτοι
τοῦ μείζονος, οἷον ἐν τῷ προκειμένῳ ἦν τὸ Α ἤτοι ἡ ἔκλειψις. εὑρεθέντος
γὰρ τοῦ ἀληθοῦς αἰτίου ὁ ὁρισμὸς ἀναπέφανται· οὐδὲν γάρ ἐστιν ἕτερον ἡ 20
σελήνης ἔκλειψις ἢ ἀντίφραξις γῆς.

---

1. 2 γνώσεως ὑπάρχειν εἴρηκεν coll. Aa 3 δὴ om. E 10 τοῦ] τῆς Aa ἐκλείπει E 12 ἂν om. Aa 13 διότι Aa 15. 16 ὥστε — ἐστιν ἡ ἔκ om. E 18 οὔπω εἶπεν] οὐ εἶπον E 22 et 26 διότι Aa 30 ἀποβαλώμεθα Aa 32 ἦν post οἷον ponunt Aa ἡ om. Aa

p. 93b7 Τί ἐστι βροντή; πυρὸς ἀπόσβεσις ἐν νέφει.

Ἐπιδαψιλεύεται τοῖς παραδείγμασι διὰ πλειόνων πιστώσασθαι τὸ εἰρημένον φιλοτιμούμενος, καὶ τίθησιν ὅρον μείζονα τὴν βροντήν, ὡς ἐκεῖ τὴν ἔκλειψιν, ἐλάττω τὸ νέφος, ὡς ἐκεῖ τὴν σελήνην, μέσον τοῦ πυρὸς τὴν ἀπόσβεσιν, ὡς ἐκεῖ τὴν ἀντίφραξιν, παριστῶν καὶ διὰ τούτων, ὅπως ἀλλήλοιν συντρέχετον ἡ τοῦ διὰ τί ἐστιν ἀπόδοσις καὶ τοῦ τί ἐστιν. ἰδίᾳ μέντοι τὸν ὁρισμὸν τῆς βροντῆς καὶ ἰδίᾳ τὴν ἀπόδειξιν τίθησιν διὰ τὸ γενέσθαι σαφέστερον τὸ λεγόμενον. τί γάρ ἐστι βροντή; ἢ δῆλον ὅτι πυρὸς ἀπόσβεσις ἐν νέφει. λέγοντες δὲ διὰ τί βροντή, ποιούμεθα τὴν ἀπόδειξιν καὶ κατηγοροῦμεν τὸ Β, τὴν τοῦ πυρὸς ἀπόσβεσιν, τοῦ Γ τοῦ νέφους, ὡς ἐν αὐτῷ τοῦ πυρὸς ἀποσβεννυμένου. τούτου δέ, τοῦ Β δηλονότι, ἤτοι τῆς ἀποσβέσεως τοῦ πυρὸς κατηγοροῦμεν τὸ Α, ὅπερ ἐστὶ ψόφος, ὡς εἶναι τὸν συλλογισμὸν οὕτως ἔχοντα 'ἐν τῷ νέφει πῦρ ἀποσβέννυται· ἔνθα πῦρ ἀποσβέννυται, ψόφος ἐστί· ἐν τῷ νέφει ἄρα ψόφος ἐστί.' καὶ ἰδοὺ πάλιν τὸ Β ὁ μέσος ὁρισμός ἐστι τοῦ Α τοῦ πρώτου ἄκρου, ἤγουν τοῦ ψόφου καὶ τῆς βροντῆς ἡ τοῦ πυρὸς ἀπόσβεσις· οὕτω γὰρ ἀποδέδοται, ὅτε ἐλέγομεν τί ἐστι βροντή; πυρὸς ἀπόσβεσις ἐν νέφει. διὰ τοῦτο γὰρ ἐπὶ πράγματος, ἐν ᾧ γνώριμον ὑπῆρξε τὸ τί ἐστι, τὸν λόγον ἐγύμνασε, μετὰ τὸν ὁρισμὸν ἐκθέμενος τὴν ἀπόδειξιν, ὡς ἂν δῆλον ἐντεῦθεν γένηται, πῶς ὁ ὁρισμὸς ἐν τῷ διὰ τί ἐστι καὶ τῇ ἀποδείξει μέσος παραλαμβάνεται· ὥστε καὶ ἐν οἷς ζητεῖται τὸ τί ἐστι τῶν ἐχόντων ἐν ἑτέρῳ τὸ εἶναι, ἀποδιδομένου τοῦ διὰ τί ἐστι καὶ αὐτῷ συναναφαίνεσθαι δύναται.

p. 93b12 Ἂν δὲ πάλιν τούτου ἄλλο μέσον ᾖ.

Ἐντεῦθεν ἐροῦμεν, ὡς ὑπεσχόμεθα, περὶ τούτου ἀκολούθως τῷ Ἀλεξάνδρῳ. οὐ γὰρ παραιτητέον κἀκ τῶν ἄλλων παραλαμβάνειν τὰ συμβαλλόμενα, καὶ ταῦτα φιλοσόφων ἀνδρῶν καὶ ποιησαμένων ἔργον τὸ πρώτιστον τὴν τῶν Ἀριστοτέλους συγγραμμάτων σαφήνειαν, ἀλλ' οὐχ οὕτως ὡς ἡμεῖς ἐν παρέργῳ διὰ τὴν τῶν ἑταίρων ἀξίωσιν ἑαυτοὺς εἰς τὸν παρόντα λόγον καθήκαμεν. πλὴν οὐδὲ τὰ τοῦδε τοῦ ἀνδρὸς εἰς μέσον παρεισαγόμενα ἄμοιρα δέον ἐᾶσαι τῆς ἀφ' ἡμῶν προσθήκης πρὸς ἀκριβεστέραν τοῦ προκειμένου διάγνωσιν. τὸ γὰρ προκείμενον περὶ τοῦ ὁρισμοῦ θεώρημα ἐνταυθοῖ τοῦτο ἦν, πῶς οἷόν τε ὁρισμὸν θηρευθῆναι δι' ἀποδείξεως· καὶ ἔδειξε τοῦτο ἐπὶ τῶν ἐν ἑτέροις ὑφισταμένων, ἅπερ ἀναγκαίως ἕπεται τοῖς ὑποκειμένοις, ἤγουν ὡς καθ' αὑτὸ αὐτοῖς ἐνυπάρχοντα ἢ ἴσως καὶ ὡς πάθη ἀναγκαίως ἐπιγινόμενα, ὥσπερ ἐπὶ τῆς σεληνιακῆς ἐρεῖ τις ἐκλείψεως. ὅταν οὖν τοῦτο

---

5 παραστῶν E 7 ἀπόδειξις E 9 διότι Aa 11 δηλονότι] δῆλον E
15. 16 ἤγουν—ἀπόσβεσις post ἐν νέφει (17) transponunt Aa 24 ὡς ὑπεσχόμεθα] p. 113,21 26 πρώτιστον] πρῶτον Aa 32 θηραθῆναι Aa 34 ἤγουν] ἢ Aa πάθη om. Aa 35 post ὥσπερ add. ἂν Aa σελήνης Aa

γένηται, καθὼς ἡμᾶς ἔναγχος ὁ Ἀριστοτέλης ἐδίδαξε, καὶ τὸ εἰ ἔστιν ἅμα 60
καὶ τὸ τί ἐστι διὰ τῆς ἀποδείξεως γνοίημεν, συμβαίνει ἐν ταὐτῷ τὰ τέσσαρα 50
προβλήματα δείκνυσθαι. εἰ γὰρ τῶν συνθέτων τὸ διὰ τί, ἡ τοῦ διὰ τί
ἀπόδειξις σύνθετός ἐστιν. ὅταν τοίνυν τὸ ὅτι διὰ μέσου αἰτίου γνωρίσωμεν,
5 ἅμα τὸ ὅτι καὶ τὸ διότι γνωρίζομεν, τὸ δὲ διότι διὰ μέσου αἰτίου, ὡς
εἴρηκε· τὸ δ' αἴτιον λόγος ἐστὶ καὶ τοῦ μείζονος ἄκρου, ὥστε καὶ τὸ τί
ἐστιν ἅμα ἐκείνοις ἔχομεν. ἀμήχανον δὲ τὸ τί ἐστιν εἰδέναι, ἀγνοοῦντας
εἰ ἔστι. τὰ τέσσαρα ἄρα ἐν ταὐτῷ συνῆκται προβλήματα ἐν τῇ τοῦ ὅτι
διὰ μέσου αἰτίου γνώσει· ὡς μὲν γὰρ συν|θέτου τοῦ προκειμένου τυγχά- 61
10 νοντος, ὅτι καὶ διὰ τί τὸ δεικνύμενον, ὡς δὲ καθ' ἑαυτὸ θεωρουμένου τοῦ
μείζονος ἄκρου, εἰ ἔστι καὶ τί ἐστιν. οὕτω τοίνυν τοῦ πράγματος ἔχοντος,
ἐπειδὴ κανόνα ἡμῖν παραδιδούς, πότε μὲν ἐκ τῆς τοῦ εἰ ἔστι γνώσεως τὸ
τί ἐστιν ἀναφαίνεται, πότε δ' οὔ, καὶ ὅτι ὅταν μὲν κατὰ συμβεβηκὸς τὸ
εἰ ἔστιν ἔχωμεν, τότε οὐδὲν ἐκ τούτου ἡμῖν πρὸς τὴν γνῶσιν τοῦ τί ἐστι
15 περιγίνεται, ὅταν δέ τι αὐτοῦ τοῦ πράγματος ἔχωμεν ἐν τῇ γνώσει τοῦ εἰ 5
ἔστιν, ἐντεῦθεν ἤδη καὶ πρὸς τὸ τί ἐστι ποδηγούμεθα, καὶ παραδείγματα
τέθεικεν, ἐφ' ὧν μέσοι οἱ ὁρισμοὶ τῶν μειζόνων ἄκρων παρελαμβάνοντο,
ὡς ἐπί τε τῆς σεληνιακῆς ἐκλείψεως ἐθεωρεῖτο καὶ τῆς βροντῆς. οὐκ ἀεὶ
δὲ τοιοῦτοι μέσοι παραλαμβάνονται, ὅθεν τι τοῦ πράγματος ἔχομεν, ἀλλ'
20 ἐνδέχεται εἶναι μέν τι οὐσιῶδες τὸν μέσον, οὐ μέντοι λόγον εὐθὺς ἢ τοῦ
μείζονος τῶν ἄκρων ἢ τοῦ ἐλάττονος, ὥστε οὐδ' ἔσται ἐπὶ τῆς ἐχούσης
τὸν μέσον τοιοῦτον ἀποδείξεως ἅμα γινώσκειν τὸ εἰ ἔστι καὶ τί ἐστιν, ἀλλὰ 10
τὸ μὲν εἰ ἔστιν εἰδέναι, ἀγνοεῖν δὲ εἰσέτι τὸ τί ἐστιν. οἷον εἰ δείκνυται
οὐσία εἶναι ὁ ἄνθρωπος διὰ μέσου τοῦ ζῴου· αἴτιον μὲν γὰρ ἐνταῦθα
25 λαμβάνεται τοῦ εἶναι οὐσίαν τὸν ἄνθρωπον, οὐ μὴν ὁρισμὸς οὐδετέρου
τῶν ἄκρων τὸ ζῷον, ὥστε οὐδ' ἀμέσως οὔθ' ὁ μείζων τῷ μέσῳ οὔθ' ὁ
μέσος λέγεται ὑπάρχειν τῷ ἐλάττονι. ἀλλ' ἔστιν ἐφ' ἑκατέρας τῶν προτάσεων
ζητῆσαι καὶ εὑρεῖν τὸ διὰ τί. διὰ τί γὰρ ἄνθρωπος ζῷον; ὅτι οὐσία ἔμψυχος
αἰσθητική. καὶ διὰ τί τὸ ζῷον οὐσία; ὅτι τῶν ἐναντίων παρὰ μέρος δεκτικόν· 15
30 διὰ τὰ τοιαῦτα τοίνυν μέσα καὶ αἴτια δόξειεν ἂν εἶναι τὸ λεγόμενον. ὥσπερ
γάρ τινος ἐρωτήσαντος ὅτι ἐπειδὴ μὴ πᾶν τὸ οὐσιῶδές τινι ὁρισμὸς αὐτοῦ
ἐστιν, ἀλλ' ἐνδέχεται καὶ μὴ εἶναι, ὅταν ληφθῇ τοιοῦτος μέσος, πῶς ἀπὸ
τούτου πρὸς τὸν ὁρισμὸν ἥξομεν, πρὸς τοῦτο ἀπολογούμενός φησιν ὅτι ἂν
τοιοῦτον ᾖ τὸ μέσον, ὥστε καὶ ἑτέρων δεῖσθαι μέσων, ἐκ τῶν παραλοίπων
35 ἔσται λόγων τὸ τοιοῦτον. τοῦτο δὲ διττῶς νοεῖται· ἢ γὰρ ὅτι τὸ ληφθὲν ἐκ
τῶν λόγων ἐστὶ καὶ τῶν αἰτίων ἐκείνων, ἃ παραλειπόμενά ἐστι τοῦ τελείου 20
καὶ μὴ τὴν οὐσίαν δηλοῦντα τοῦ πράγματος τελείαν, ἀλλά τι μέρος αὐτῆς
παραλαμβάνοντα (μέρος γὰρ τῆς τοῦ ἀνθρώπου οὐσίας τὸ ζῷον) ἢ ὅπερ

3 διὰ τί] διότι bis Aa 6 καὶ (ante τοῦ) om. Aa 9 post μέσου add. τοῦ Aa
15 ὅτε Aa ἔχομεν Aa 19 post ὅθεν add. τὸ Aa 20 μέν τι] μέντοι E
τὸ μέσον Aa 21 ἢ] οὔτε δὴ E 22. 23 ἀλλὰ—τί ἐστι om. E
23 δεικνύοιτο Aa 24 αἰτία Aa 25 εἶναι] εἶδει (sic) E 28 εὑρῆσαι E
30 δόξοιεν Aa 32 post ἀλλ' add. ὡς a 33 ἥξομεν scripsi: ἕξομεν libri

καὶ μᾶλλον, ὅτι ἔσται δῆλον τοῦτο καὶ ἀποδεικνύμενον ἐκ τῶν παραλελειμ- 61
μένων ὁρισμῶν τοῦ μείζονός τε καὶ τοῦ ἐλάττονος. ἐπεὶ γὰρ καὶ ἄμφω
ἔμμεσοι αἱ προτάσεις ἥ τε μείζων καὶ ἡ ἐλάττων, δῆλον ἔσται τὸ συμπέρασμα
ἐκ τῶν ὁρισμῶν τοῦ μέσου τε καὶ τοῦ μείζονος. οἷον ἐν τῷ ληφθέντι 25
5 συλλογισμῷ παρελήφθησαν, ὡς διὰ μὲν τοῦ ὁρισμοῦ τοῦ μέσου τὸ μέσον
κατὰ τοῦ ἐλάττονος ἀποδείκνυσθαι, διὰ δὲ τοῦ ὁρισμοῦ αὖθις τοῦ μείζονος
τὸ μεῖζον κατὰ τοῦ μέσου· ὡς δῆλον ἐκ τούτων καὶ τὸ πρῶτον συμπέρασμα
γίνεσθαι. εἰ δὲ καὶ πλείω εἴη τὰ μέσα, λαμβάνειν τὰ εὑρισκόμενα χρὴ
καὶ μέσα ποιούμενον συλλογίζεσθαι, ἄχρις ἂν εἰς τοὺς ὁρισμοὺς καταν-
10 τήσωμεν. ὅταν μὲν γὰρ ὁρισμὸς ᾖ τὸ εἰλημμένον τοῦ μείζονος ἄκρου,
ἄμεσός τε καὶ ἀναπόδεικτος ἔσται ἡ πρότασις ἐκείνη· οὐ γὰρ ἐνδέχεται 30
μεταξὺ τοῦ ὁρισμοῦ καὶ τοῦ ὁριστοῦ μέσον ὅρον εὑρεῖν, δι' οὗ τὸν ὁρισμόν,
τοῦ ὁριστοῦ ὄντα ὁρισμὸν ἀποδείξομεν, καθὰ καὶ πρότερον δέδεικται ὅτι
ὁρισμοῦ ἀπόδειξις οὐκ ἔστιν. ὅταν δὲ οὐσιῶδες μὲν ᾖ τὸ μέσον, οὔπω δὲ
15 ὁρισμός, δεῖ τὰ ὑπόλοιπα λαμβάνοντας δεικνύναι, ἄχρις ἂν εἰς τοὺς ὁρισμοὺς
καταντήσωμεν, ὧν μεταξὺ καὶ τῶν ὁριστῶν οὐδέν ἐστι μέσον· οὐδὲ ἔστιν
εἰπεῖν ὅτι τι παραλέλειπται. ἢ δείξας, φησὶν ὁ Ἀλέξανδρος, ὅτι ἡ δεῖξις
τοῦ ἄλλο ἄλλῳ ὑπάρχειν δι' αἰτίας τῆς οἰκείας δι' ὁρισμοῦ γίνεται τοῦ 35
μείζονος ἄκρου, ὅς ἐστι κατηγορούμενος ἐν τῷ συμπεράσματι, περὶ τῆς
20 ἐλάττονος προτάσεως εἴρηκε τὸ 'ἂν δὲ τούτου μέσον ᾖ, ἐκ τῶν ὑπολοίπων
ἔσται λόγων', τουτέστιν ὅτι ὁ μὲν μείζων ἀμέσως ἕπεται τῷ οἰκείῳ ὁρισμῷ,
ὡς ὄντος τούτου κἀκεῖνον εἶναι καὶ διὰ μέσου αὐτοῦ συνάγεσθαι κατὰ
τοῦ ἐλάττονος, ἂν δ' ἴσως πάλιν μέσον ᾖ τι τοῦ μέσου τε καὶ ἐλάττονος,
ὡς μὴ ἀμέσως ὑπάρχειν τὸν τοῦ μείζονος ὅρον τῷ ἐλάττονι ἄκρῳ, τὸ
25 μέσον τούτων ἀμφοῖν ἐκ τῶν παραλοίπων ἔσται λόγων, ἐκ τῶν μὴ ληφθέν- 40
των μὲν ἐν τῷ συλλογισμῷ, ὑπαρχόντων δὲ τῷ ἐλάττονι. οἷον εἴ τις δείξει
ζῷον εἶναι τὸν ἄνθρωπον διὰ μέσου τοῦ οὐσία ἔμψυχος αἰσθητική, οὗτος
μὲν λόγος τοῦ μείζονος, οὐ μέντοι ἀμέσως τῷ ἀνθρώπῳ ὑπάρχει· οὐ γάρ
ἐστιν ὁρισμὸς καὶ αὐτοῦ, ὥσπερ τοῦ ζῴου, ὡς εἶναι τὴν μὲν μείζονα πρό-
30 τασιν ἄμεσον, οὐχὶ δὲ καὶ τὴν ἐλάττονα. ἂν οὖν λάβωμεν ζῷον εἶναι τὸν
ἄνθρωπον ἢ οὐσίαν ἔμψυχον αἰσθητικήν, διὰ τοῦ ζῷον λογικὸν θνητὸν εἴη
ἂν ὁ τοῦ ἀνθρώπου λόγος εἰλημμένος εἰς τὴν ἀπόδειξιν. 45

p. 93b 15 Ὡς μὲν τοίνυν λαμβάνεται τὸ τί ἐστι καὶ γίνεται γνώριμον, εἴρηται.

35 Ὥσπερ τις τῶν εἰρημένων εἶναι συμβίβασις τὸ νῦν προκείμενον ἔοικεν.
ἐπειδὴ γὰρ πρότερον μὲν μὴ εἶναι ἀπόδειξιν ὁρισμοῦ διισχυρίσατο ἱκανῶς,
ἔπειτα τρόπον τινὰ παραδέδωκε, δι' οὗ ἐνδέχεται ὁρισμὸν δι' ἀποδείξεως

---

4 ὁρισμοῦ a 5 παρελείφθησαν Aa 10 μὲν om. E τὸ εἰλημμένον post ἄκρου transponunt Aa 14 ᾖ] εἴη E 18 οἰκείας] οἰκίας libri ὁρισμῶν Aa 26 post δὲ add. ἐν Aa 36 διισχυρίσατο ἱκανῶς post μὲν transp. Aa

εὑρίσκεσθαι, νῦν φησιν ὡς οὐδέτερος τῶν λόγων τοῦ ἀληθοῦς διαπέπτωκε. 61
συλλογισμὸς μὲν γὰρ καὶ ἀπόδειξις οὐκ ἔστι τοῦ τί ἐστιν οὕτως, ἵνα τις 50
δεικνύῃ ὅτι οὗτος ὁ ὁρισμὸς τοῦδε τοῦ ὁριστοῦ ὁρισμός ἐστι· γίνεται
μέντοι δῆλον δι' ἀποδείξεως. οὐκ ἐπὶ πάντων δὲ τοῦτο τῶν ὁριστῶν, ἀλλ'
5 ἐφ' ὧν τὸ αἴτιον ἕτερον τοῦ οὗ ἐστιν αἴτιον, καὶ δεῖ ἐξετάσαι τί τὸ λεγό-
μενόν ἐστιν. εἰσὶ γάρ τινα ἅπερ ἡγουμένων ἑτέρων αὐτὰ ἕπεται, οἷον
ἀντιφράξεως γῆς προηγουμένης ἀφώτιστος ἡ σελήνη γίνεται, πυρὸς ἐν νέφει
ἀποσβεννυμένου ψόφος ἀποτελεῖται, ὅπερ ἐστὶ βροντή. ἄλλο οὖν ἀντίφραξις |
καὶ ἄλλο φωτὸς στέρησις, ἄλλο πυρὸς ἀπόσβεσις καὶ ἄλλο ψόφος· ὡς εἶναι 62
10 τὸν λόγον καὶ τὴν αἰτίαν ἑτέραν τοῦ οὗ αἰτία καὶ λόγος ἐστί. ἐπὶ τῶν
τοιούτων μέσος ὅρος ἐν τῇ δι' αἰτίου ἀποδείξει, καὶ τὸ αἴτιον λαμβανόμενον
ἅμα τὸ ὅτι καὶ τὸ διότι παρασκευάζει δείκνυσθαι, καὶ τὸ εἰ ἔστι καὶ τί
ἐστιν, ὡς καὶ πρώην ἔλεγομεν. ἐφ' ὧν δὲ μὴ ἕτερον τὸ αἴτιον τοῦ οὗ
ἐστιν αἴτιον, ἐπὶ τούτων οὐκ ἔστι δυνατὸν τὸ ῥηθέν, οἷον ἐπὶ τοῦ ἀνθρώπου 5
15 καὶ τοῦ ζῴου λογικοῦ θνητοῦ, νοῦ καὶ ἐπιστήμης δεκτικοῦ· οὐ γάρ ἐστι παρὰ
τὸν ἄνθρωπον ὁ ὁρισμὸς αὐτοῦ ἕτερον. δόξειε δ' ἂν ἁπλῶς ἐπὶ τῶν καθ'
αὑτὰ ὑπαρχόντων τοῦτο κρατεῖν. εἰ γάρ καί τις τῶν οὐσιῶν καθ' ὑπο-
κειμένου τινὸς δεικνύοιτο, μέσου ὡς αἰτίου τοῦ τί ἦν εἶναι λαμβανομένου
αὐτῆς, ὥς φησιν ὁ Ἀλέξανδρος, ἀλλ' οὐκ ἂν εἴη τοῦτο κυρίως ἀπόδειξις· οὐ
20 γὰρ ἕτερον ἐνταῦθα τὸ αἴτιον τοῦ οὗ ἐστιν αἴτιον, καὶ τὸ ἐν ἀρχῇ ἂν
αἰτοῖτο ὁ διὰ μέσου τοῦ ὁρισμοῦ ἀποδεικνύειν ἐνταῦθα πειρώμενος. τὸ γὰρ 10
ζῷον κατὰ τοῦ ἀνθρώπου συνάγοιτο ἂν διὰ μέσου τοῦ οὐσία ἔμψυχος αἰ-
σθητική· ἀλλ' οὐχ ἕτερον τοῦτο τοῦ ζῴου, ὥστε αὐτὸ δι' αὑτοῦ τὸ ζῷον
κατὰ τοῦ ἀνθρώπου συνάγεται· τοῦτο δ' ἦν τὸ ἐν ἀρχῇ. ἐφ' ὧν οὖν τὸ
25 αἴτιον ἄλλο παρ' αὐτά, ἐπὶ τούτων οὐκ ἄνευ ἀποδείξεως ὁ ὁρισμὸς λαμ-
βάνεται, οὐχ οὕτως δὲ ὥστε διὰ τῆς ἀποδείξεως συμπεραίνεσθαι, ἀλλ' ὡς
λαμβάνεσθαι μὲν μέσον τὸ αἴτιον ἐν τῇ τοῦ διὰ τί ἀποδείξει, εἶναι δὲ τοῦτο
τὸν λόγον τε καὶ τὸν ὁρισμόν. ζητουμένου γὰρ διὰ τί τόδε τῷδε ὑπάρχει, 15
ὁ λόγος ζητεῖται, κἂν διὰ τί ἐστιν ἀποδώσομεν, τὸν λόγον ἀποδεδώκαμεν.
30 διὰ τί ἐστιν ἔκλειψις; διότι γῆ ἀντέφραξε. τί ἐστιν ἔκλειψις; γῆς ἀντίφραξις.
καλῶς ἄρα πρότερόν τε ἠπόρηται ὅτι ὁρισμοῦ οὐκ ἔστιν ἀπόδειξις, καλῶς τε
καὶ αὖθις εἴρηται ὅτι δι' ἀποδείξεως γνώριμον γίνεται, ἐφ' ὧν ἄλλο τὸ αἴτιον·
τό τε γὰρ διὰ τί ἐν τοῖς τοιούτοις οἰκείως ζητεῖται, καὶ τὰ τοιαῦτά ἐστι τὰ
κυρίως ἀποδεικτά. ἐφ' ὧν δὲ μὴ ἄλλα τὰ αἴτια παρ' αὐτά, οὔτε τὸ διὰ τί
35 προσφυὲς ἐν τούτοις οὔτε κυρίως ἀπόδειξις γίνεται· τὸ μὲν γὰρ διὰ τί αἰτίας 20
ἐστὶ ζήτησις, ἡ δὲ ἀπόδειξις αἰτίας ἀπόδοσις. ἐφ' οὗ δὴ μὴ ἄλλο τὸ
αἴτιον παρ' αὐτὸ εἰ αἰτίαν ἀποδώσομεν, ἢ αὐτὸ περὶ ἑαυτοῦ ἀποδώ-
σομεν καὶ αὐτὸ δι' ἑαυτοῦ δείξομεν ἢ αὐτὸ ἑαυτοῦ διαστήσομεν, ὧν τὸ

---

3 δεικνύησι a ὅτι om. a 4 μέντοι] δὲ E 9 ἄλλο (ante φωτὸς)] ἀλλα E: ἄλλω a 11 δι' αἰτίας Aa καὶ om. E 13 καὶ πρώην] κυπρήνην Aa 14 τὸ ῥηθέν om. E 18 ἦν om. Aa 20 ἐνταυθοῖ E 22 οὐσίαν Aa 27 et 28 διότι, itemque porro Aa 29 ἀποδώσωμεν E 31 τε post πρότερον et τε καὶ (31. 32) om. Aa 37 περὶ αὐτοῦ E

μὲν ἀδύνατον, τὸ δὲ ἀνεπιστῆμον ἢ καὶ ἁπλῶς ἀσυλλόγιστον· ἑτέρων 62
γὰρ τεθέντων ἕτερόν τι τῶν κειμένων ἐξ ἀνάγκης διὰ τὰ κείμενα ἕπεται
ἐν τῷ συλλογίζεσθαι· ὅταν δὲ οὐχ ἕτερον ᾖ τὸ αἴτιον, οὐδὲ συλλογίσασθαι
ὅλως διὰ τούτου ἔστιν. 25

5 Εἰπὼν δὲ τὸν ὁρισμὸν κατά τινα τρόπον δι' ἀποδείξεως γνώριμον
γίνεσθαι, ἐπεὶ μὴ ἐπὶ πάντων τῶν ὁπωσοῦν ὁρισμῷ ὑποβαλλομένων τοῦτο
πέφυκε γίνεσθαι, ἀλλ' ἔστιν ἐφ' ὧν μηδένα ἔστι τρόπον εὑρεῖν, καθ' ὃν ἡ
ἀπόδειξις πρὸς εὕρεσιν τοῦ τί ἐστι συντελεῖ, τούτων τὴν διαφορὰν παρα-
διδόωσιν. ποιεῖται δὲ τὸν λόγον κατὰ διαίρεσιν καὶ φησὶν ὅτι τῶν πραγμά-
10 των τῶν μὲν ἕτερόν τί ἐστιν αἴτιον, τῶν δ' οὐκ ἔστιν ἕτερον, καθὼς καὶ
προλαβὼν εἴρηκέ τι τοῦ λόγου δηλοῦντος ὅτι ὅσα μὲν ἔχει αἴτιον ἕτερον 30
ἑαυτῶν, ταῦτά ἐστι καὶ ἀποδεικτά, ὅσα δὲ μή, ταῦτα οὐκ ἀποδεικτά· αἴτιον
δὲ ἐνταῦθα τὸ προσεχές τε καὶ εἰδικὸν ὀνομάζει. ὥστε καὶ τῶν τί ἐστι
καὶ τῶν ὁρισμῶν ἐντεῦθεν ληψόμεθα τὴν διαφοράν, τίνες τε δι' ἀποδείξεως
15 γνωρίζεσθαι δύνανται, καὶ τίνες οὐχί. ὧν μὲν γὰρ ὁριστῶν ἕτερον τὸ αἴτιον,
ταῦτα ἀποδεικτά· τῶν δὲ ἀποδεικτῶν ὁριστῶν μέσος τὸ αἴτιον παραλαμ-
βάνεται, ὅπερ ἐστὶν ὁ ὁρισμός. ὧν ἄρα ὁριστῶν ἕτερον τὸ αἴτιον, δῆλος
ὁ ὁρισμὸς δι' ἀποδείξεως γίνεται, ἀποδεικνυμένου μὲν τοῦ εἶναι αὐτά, συνα- 35
ναφαινομένου δὲ αὐτῷ καὶ τοῦ τί ἐστιν. ὅτι δέ ἐστί τινα τοιαῦτα, ὧν
20 οὐκ ἔστιν ἕτερον εὑρεῖν αἴτιον, δῆλον ἐκ τοῦ ἀρχὰς εἶναι τῶν ἐπιστημῶν
ὧν οὐκ ἔστιν ἕτερα πρότερα· ὧν καὶ τὸ εἶναι χωρὶς ἀποδείξεως λαμβάνεται
ἢ ὑποτιθέμενον ἢ ἐπαγωγῇ γνωριζόμενον ἢ πίστει παραδεχόμενον ἢ
ἐμπειρίᾳ ἢ ἄλλον τινὰ τρόπον παραγινόμενον, ἀποδείξει δὲ καὶ συλλογισμῷ
οὐδαμῶς. εἰ γὰρ μή, ἢ κύκλῳ ἔσται τὰ πάντα καὶ διὰ ἀλλήλων δεικνύ-
25 μενα καὶ ἀλλήλων αἴτια καὶ αἰτιατὰ καὶ αὐτὰ ἑαυτῶν ῥηθήσεται ἢ εἰς 40
ἄπειρον προήξει· ὧν ἑκάτερον ὅτι ἄτοπον καὶ ἀναιρετικὸν ἐπιστήμης πολ-
λάκις δέδεικται. ἔστιν ἄρα ἐξ ἀνάγκης πρῶτά τινα ὧν οὐκ ἔστιν ἀπό-
δειξις, διὰ τρόπων ἑτέρων ἡμῖν παραγινόμενα, ὧν οὐδέ τι ἕτερον εὑρήσομεν
τούτων αἴτιον, κἂν ὁρισμὸς αὐτῶν τινος ἀποδιδῶται, οὔτε ἕτερος αὐτοῦ
30 ἐστιν, ἵνα μέσος ληφθεὶς εἰς ἀπόδειξιν αὐτὸ θήσει, ἀλλ' ὁ αὐτὸς αὐτῷ,
οὔτε μὴν ἄλλον τρόπον γνώριμος, ἀλλ' ἢ ὡς τὸ ὁριστὸν ἐξ ὑποθέσεως
τυχὸν ἢ πίστεως ἢ ἐπαγωγῆς ἤ τινος τῶν τοιούτων παραγινόμενος. ὁ γὰρ 45
ἀριθμητικὸς τὴν μονάδα εἶναί τε ὑποτίθεται καὶ τὸν ὁρισμὸν αὐτῆς οὐχ
ἕτερον αὐτῆς ἀποδίδωσιν, ἀλλ' αὐτῇ τὸν αὐτόν, μονάδα λέγων εἶναι καθ'
35 ἣν ἕκαστον τῶν ὄντων ἓν λέγεται. καὶ ὅρα ὅτι οὐχ ὑπῆρξέ τι ἕτερον ᾧ
τὸ εἶναι μονάδα ἐπηκολούθησεν, ὥσπερ τυχὸν ἡ τῶν γραμμῶν πρὸς ἀλλήλας
κλίσις κατὰ κάθετον, ἵνα ὀρθὴ γένηται, ὃ καὶ αἴτιον ὂν καὶ λόγος τῆς ὀρθῆς
ἕτερον αὐτῆς ἐστιν. ὀρθὴ γάρ ἐστι γωνία, ὅταν εὐθεῖα ἐπ' εὐθείας σταθεῖσα 50
τὰς ἐφεξῆς γωνίας ἴσας ἀλλήλαις ποιῇ. ἀλλ' οὐκ ἐπὶ τῆς μονάδος οὕτως·

---

1 ἁπλῶς] παντελῶς Aa 8 ἐστι om. Aa 9 δὲ] δὴ Aa 17 ante δῆλος add. τούτων Aa 24. 25 δεικνύμενα post πάντα (24) transp. Aa 28. 29 αἴτιον εὑρήσομεν τούτων ἕτερον Aa 29 τινος om. Aa 30 θήσει E 33 τε εἶναι coll. Aa 34 τὸν αὐτὸν αὐτῇ coll. Aa 38 εὐθεῖαν (sic) E

οὐ γὰρ πρότερον φύσει ὑπάρξαντος τοῦ κατ' αὐτὴν ἓν τῶν ὄντων ἕκαστον λέγεσθαι αὐτὴ ἠκολούθησεν, ἀλλ' ἅμα τε αὕτη ἐστὶ καὶ κατ' αὐτὴν ἓν τῶν ὄντων ἕκαστον λέγεται· διὸ οὐδ' ἔστιν αὐτῆς τὸ τί ἐστιν ἕτερον. ὧν δὲ τὸ τί ἐστιν ἕτερον αὐτῶν ἐστιν, ἔστιν ἀποδεικνύντας αὐτὰ δηλῶσαι αὐτῶν δι' ἀποδείξεως τὸ τί ἐστι, μέσον αὐτὸ ἐν τῇ ἀποδείξει λαμβάνοντας, ὥσπερ εἴρηται. ἐπειδὴ τοίνυν τινὲς μὲν τῶν ὁρι|σμῶν ἀποδείξει καθυποβάλλονται, 63 ὡς δι' αὐτῆς ἀναφαινόμενοι, τινὲς δὲ ταῖς ἀποδείξεσιν οἱ αὐτοί εἰσι τῇ θέσει μόνῃ αὐτῶν διαφέροντες, τινὲς δὲ μηδέτερον τούτων, ἀλλ' ὑπέρκεινται πάσης ἁπλῶς ἀποδείξεως, διάφορα κατ' εἶδος λοιπὸν τὰ τοῦ ὁρισμοῦ σημαινόμενα· ὧν δ' ὀνομάτων διάφορα κατ' εἶδος τὰ σημαινόμενα, τῶν πολλαχῶς ἐκεῖνα λεγομένων ἐστί. δεῖ ἄρα ποσαχῶς τε ὁρισμὸς λέγεται ἐξετάσαι, καὶ τί ἐστιν ἕκαστον τῶν ὑπ' αὐτοῦ σημαινομένων εἰπεῖν, ἵνα καὶ ἐντεῦθεν εἰδῶμεν, τίνες τε δι' ἀποδείξεως ἀναφαίνονται, καὶ τίνες ἀποδείξει ὡμοίωνται, καὶ τίνες ἀποδείξεως ὑπερτέθεινται. διὰ γὰρ τοῦτο καὶ ἐξ ἀρχῆς τί ἐστιν ὁρισμὸς ἀποδοῦναι ὑπέσχετο, ὡς ἀναγκαῖον ὂν μαθεῖν τὰς κατ' εἶδος διαφορὰς τῶν ὁρισμῶν, καὶ ὡς ἔχει πρὸς τὴν ἀπόδειξιν εἶδος ἕκαστον. εἰ δὲ καὶ ὡς γένος εἴποις τὸν ὁρισμὸν εἰς τὰ οὕτως διαιρεῖσθαι κατ' εἶδος διεστηκότα, οὐδὲν ἧττον δεῖ τί ταῦτα διαφέρει πρὸς ἄλληλα γινώσκειν, καὶ πῶς ἕκαστον ἔχει πρὸς τὴν ἀπόδειξιν.

Πρῶτον οὖν λόγον τοῦ ὁρισμοῦ ὁλοσχερέστερον ἀποδίδωσιν, λέγεσθαι εἶναι φάσκων ὁρισμὸν λόγον τοῦ τί ἐστιν· ὡς εἶναι φανερὸν ἐκ τούτου ὅτι ὅσα τῷ τοιούτῳ λόγῳ καθυποβάλλονται, πάντα ταῦτα ὁρισμοὶ ὀνομάζονται, ὡς καὶ αὐτὸν ὀνομάζεσθαι ὁρισμὸν τὸν μόνον δηλοῦντα τί σημαίνει τοὔνομα. καὶ δὴ λεγέσθω ὁ μέν τις εἶναι ὁρισμὸς λόγος τοῦ τί σημαίνει τοὔνομα, ἢ ὃ ἴσον ἐστὶ τούτῳ, λόγος ὀνοματώδης. οὗτος γὰρ ἕτερος μὲν τῇ λέξει τοῦ προλαβόντος, τῷ δὲ πράγματι ὁ αὐτός· οὐδὲν γὰρ διαφέρει κατά γε τὴν ἔννοιαν, λόγον εἰπεῖν τοῦ τί σημαίνει τοὔνομα καὶ λόγον ὀνοματώδη. ὀνοματώδης γὰρ διὰ τοῦτο, ὅτι πρὸς μόνην ἀφορᾷ τὴν τοῦ ὀνόματος ἑρμηνείαν, οὐχὶ δὲ καὶ πρὸς φύσιν σημαινομένου τινὸς πράγματος, οἷον εἴ τις ἐν τῷ τί ἐστι τρίγωνον ἀποδίδωσιν τὸ τί ἐστι τὸ τρίγωνον κατὰ τὴν τοῦ τριγώνου ὀνομασίαν, ὅτι τὸ ἔχον τρεῖς γωνίας. διττῶς γὰρ τὸ τί ἐστι λέγεται, ἢ ἐπὶ τῆς τοῦ πράγματος ὑπάρξεως, ἢ ἐπὶ τῆς τοῦ ὀνόματος σημασίας. ἔχοντες δὴ τὸν ὁρισμὸν τοῦτον καὶ εἰδότες ὅτι τοῦτο σημαίνει τὸ ὄνομα, οὐκ αὐτάρκως ἔχομεν τῆς αἰτίας τοῦ προκειμένου οὐδὲ τίς ἡ αἰτία αὐτοῦ ἐστιν ὅσον ἀπὸ τοῦ λόγου τούτου γινώσκομεν, οὔτε εἰ αἰτία ὅλως αὐτοῦ καὶ λόγος ἐστίν, ἀλλὰ ζητοῦμεν ἔτι αὐτήν, εἴ γε καὶ ἐπὶ μὴ ὄντων ἔστιν εὑρεῖν ὀνόματα κείμενα. εἰς γνῶσιν δὲ καὶ ἐπιστήμην ἐλθεῖν τοῦ εἶναί τι ἀπὸ τοιούτου τρόπου τῶν χαλεπωτάτων ἐστίν. εἴρηται γὰρ καὶ πρότερον ὅτι τὸ ἀπὸ συμβεβηκότων πειρᾶσθαι εἰς ἐπιστήμην ἰέναι τοῦ

---

1 προτέρου Aa ὑπάρξοντος Aa 2 αὐτὴ scripsi: αὐτῇ libri 2. 3 λέγεσθαι—ἕκαστον om. E 3 ἔστιν] ἔσται Aa 11 τε ὁ ὁρισμὸς Aa ἐξετάσαι λέγεται libri 17 κατ' εἶδος om. Aa 22 καθυποβάλλοντα a 27 τοῦ scripsi: τοὺς E: om. Aa 30 post ἀποδίδωσιν τὸ add. τί σημαίνει Aa 31 διττῆ E 36. 37 μὴ ὄντος E 39 συμβεβηκότος E

πράγματος χαλεπόν ἐστι· τὸ γὰρ οὕτως εἰδέναι τὸ πρᾶγμα μηδὲ εἰδέναι 63
ἐστίν, εἴτε ἔστιν εἴτε μή, ἢ μόνον κατὰ συμβεβηκός, κυρίως δὲ καὶ καθ'
αὐτὸ οὐχί· συμβέβηκε γὰρ τῷ πράγματι τὸ ὑπὸ τοιᾶσδε φωνῆς σημαίνεσθαι.
σημεῖον δέ· ἐνδέχεται γὰρ καὶ ὑπὸ ἑτέρας σημαίνεσθαι· ὃ δὲ ἐνδέχεται
5 ὁτῳοῦν ἑνὶ καὶ τῷ αὐτῷ εἶναί τε καὶ μὴ εἶναι, τοῦτο συμβεβηκός. ἐπεὶ
τοίνυν ἐκ τοῦ ὀνοματώδους λόγου οὐδεμίαν ἔστιν αἰτίαν εἰδέναι τοῦ πράγ-
ματος, οὐδὲ εἰ ἔστιν ὅλως αἰτία ἴσμεν αὐτοῦ ὅσον ἐκ τοῦ τοιούτου λόγου, 30
ὥστε οὐδ' εἰ ἔστιν ὅλως. οἷον τὸ κενὸν τί μὲν σημαίνει συνίεμεν, τυχὸν
ἀναφῆ τινα φύσιν ἢ οὕτω πως· οὐκ ἴσμεν δὲ ὅτι ἔστιν οὔτ' ἔτι μᾶλλον
10 διὰ τί ἐστιν. ἐπεὶ δὲ περὶ ὁρισμοῦ λέγομεν, εἷς δὲ λόγος ὁ ὁρισμὸς καὶ εἷς
κυρίως ὡς ἐν δηλῶν, ὡς συντρέχειν τῷ λόγῳ τὸ πρᾶγμα, ἔστι δὲ καὶ ἄλλως
εἷς λόγος, εἴτε ὁ συμβεβηκὸς συμβεβηκότος κατηγορῶν εἴτε καὶ ὁ συμβεβηκὸς
οὐσίας, ὧν οὐδεὶς οὕτως εἷς ὡς ὁρισμός, ὅτι ἀλλήλων ἕτερα τὰ ὑπ' αὐτοῦ
δηλούμενα, ὡς μὴ ἕν τι εἶναι ἐξ αὐτῶν, καὶ πρότασις μὲν μία, πράγματα 35
15 δὲ ἕτερα (πολλοῦ γὰρ δεῖν εἷς ὁ συνδέσμῳ εἷς, ὡς ὁ λέγων τὸ ὂν πᾶν ἢ
ποιεῖν ἢ πάσχειν), ἀναγκαίως παρήχθη ἡ περὶ τοῦ ποσαχῶς ὁ εἷς λόγος
λέγεται ζήτησις. οὐδεὶς οὖν ἕτερος οὕτως εἷς ὡς ὁ ὁρισμός. διὰ τοῦτο
οὐδὲ ὁρισμός τις αὐτῶν, ἐπεὶ μὴ ἕν τι γίνεται ἐκ τῶν συντιθέντων αὐτόν,
ὅπερ ἴδιον ὁρισμοῦ. ὥστ' οὐδὲ ἡ Ἰλιὰς ὁρισμός, εἰ καὶ ὁ λόγος εἷς ἐστιν,
20 ὅτι μὴ ἁπλῶς εἷς ἀλλὰ συνδέσμῳ. οὐδὲν δὲ ἧττον τὰ περὶ τοῦ ἑνὸς
λόγου λεγόμενα καὶ πρὸς τὸ δεῖξαι μὴ ὄντα ὁρισμὸν τὸν ὀνοματώδη λόγον 40
συντελεῖ. εἰ γὰρ δώσομεν τὸν ὀνοματώδη λόγον διὰ τὸ σημαίνειν ταὐτὸν
τῷ ὀνόματι καὶ ἕνα εἶναι, διὰ ταῦτα εἶναι καὶ ὁρισμόν, ἐπεὶ καὶ ἡ Ἰλιάς,
ἤγουν ἡ ποίησις ἅπασα ἡ περὶ τῶν ἐν Ἰλίῳ γεγονότων Ὁμήρῳ συντε-
25 θεῖσα λόγος τε εἷς πώς ἐστι κατὰ τὸν σύνδεσμον (ἔχονται γὰρ ἀλλήλων
αἱ ῥαψῳδίαι πᾶσαι καὶ τοῖς συνδέσμοις συνήνωνται, καὶ προσέτι ταὐτὸν
δηλοῖ τῷ ὀνόματι ὁ λόγος ἅπας· ὃ γὰρ τὸ Ἰλιὰς ὄνομα σημαίνει, τοῦτο
εἷς πλάτος διηγεῖται ἡ ποίησις) ἔσται ὁρισμὸς καὶ ἡ Ἰλιάς. νῦν δὲ οὐκ 45
ἀρκεῖ ταῦτα πρὸς τὸ εἶναι ὁρισμὸν τὸν λόγον, ἀλλ' ὁ ἀληθὴς ὁρισμὸς εἷς
30 τε ἔσται ἁπλῶς καὶ ἓν καθ' ἑνὸς δηλῶν μὴ κατὰ συμβεβηκός. κἂν γὰρ
πολλὰ τυχὸν εἴη ὀνόματα, ἐξ ὧν ὁ ὁρισμὸς σύγκειται, ἀλλ' ἕν τι ἐκ πάντων
ἐστὶν ὃ δηλοῦται κατὰ τοῦ ὁριστοῦ ἑνὸς ὄντος καὶ αὐτοῦ, καὶ οὐ κατὰ
συμβεβηκός· οὐ γὰρ συμβεβηκὸς τὸ τί ἐστι καθ' οὗ ἀποδίδοται. ὧν οὐδέ-
τερον οὔτε ὁ ὀνοματώδης ἔχει λόγος οὔτε ὁ συνδέσμῳ εἷς οὔτε ὁ ἄλλως
35 μὲν εἷς, μὴ ὢν δὲ ὁρισμός. οὔτε γάρ τινα ὕπαρξιν πράγματος καθ' ἑτέρας 50
δηλοῖ ὁ ὀνοματώδης, ἀλλὰ μόνον τὴν λέξιν διασαφεῖ, πόθεν εἴληπται, οὔτε
μὴ κατὰ συμβεβηκός, ἀλλ' ἢ μᾶλλον κατὰ συμβεβηκός· κατὰ συνθήκην
γὰρ τὰ ὀνόματα. ὁ τοίνυν τοιοῦτος λόγος οὐκ ἂν εἴη ὁρισμός, καθὼς

---

3 γάρ] δὲ E 4 σημεῖον—σημαίνεσθαι om. E 8 post ὥστε add. καὶ E
11 ὡς ἕν] ὁ ἓν Aa 13 ὡς ὁ ὁρισμὸς Aa 15 γὰρ scripsi: γε libri
δεῖ E 18 ἕν τι] ἔν τισι Aa 19 ὁ om. Aa 22 συντελεῖ] λυσιτελεῖ Aa
25 ἔστι πῶς (sic) coll. Aa 28 post πλάτος add. πᾶσα Aa 34 ὁ primum om. Aa
ὁ ante συνδέσμῳ om. E 36 ὁ om. Aa 38 post εἴη add. κυρίως Aa

Ἀριστοτέλης πρότερόν τε εἴρηκε καὶ νῦν δὲ ὑπέμνησεν, ἐπεὶ καὶ τοῖς μὴ οὖσι μὲν ὀνομαζομένοις δὲ προσαρμόσειεν ἄν. καὶ ἔστω οὗτος εἷς ὅρος ὁρισμοῦ μὴ κυρίως ἀποδιδόμενος· μεταβῶμεν δ' ἐφ' ἑτέρας ἀποδόσεις αἳ τοὺς | κυρίως ὅρους τοῦ ὅρου κατ' εἶδος ἡμῖν παραστήσουσιν. 64

Ἔστιν ὅρος ὅρου ἕτερος λόγος ὁ δηλῶν διὰ τί ἐστι, τουτέστιν ὁ τὴν αἰτίαν παρέχων, δι' ἣν τὸ πρᾶγμά ἐστιν, ὡς ὁ λέγων 'θυμός ἐστι ζέσις τοῦ περὶ τὴν καρδίαν αἵματος δι' ὄρεξιν ἀντιλυπήσεως'· αἰτία γὰρ δι' ἣν ὁ θυμός ἐστιν ἡ τῆς ἀντιλυπήσεως ὄρεξις. οἷος καὶ ὁ λέγων ἔκλειψιν εἶναι τῆς σελήνης στέρησιν φωτὸς διὰ γῆς ἀντίφραξιν. ὡσαύτως καὶ ὁ βροντὴν λέγων εἶναι ψόφον ἐν νέφεσι διὰ πυρὸς ἀπόσβεσιν. πάντες γὰρ οἱ τοιοῦτοι τὴν αἰτίαν παριστᾶσιν, δι' ἣν τὸ πρᾶγμά ἐστι περὶ οὗ ἕκαστος αὐτῶν ἀποδίδοται. ὁ μὲν οὖν πρότερος σημαίνει μέν, οὐδὲν δὲ δείκνυσιν· οὐ γὰρ οὐσίαν τινὰ ἢ ὕπαρξιν δηλοῖ τοῦ πράγματος· ὁ δὲ μετ' ἐκεῖνον ῥηθεὶς οἷον ἀπόδειξίς τίς ἐστι τοῦ τί ἐστι τὸ ὑποκείμενον πρᾶγμα, τῇ θέσει διαφέρων τῆς ἁπλῶς ἀποδείξεως· ἐν γὰρ τῷ διὰ τί βροντᾷ, καὶ τί ἐστι βροντὴ τὰ ἀποδιδόμενα τὰ αὐτά, ἑτέρως δὲ καὶ ἑτέρως πίπτοντα καὶ ταττόμενα. 'διὰ τί γὰρ βροντᾷ' τινὸς ἐρωτήσαντος 'διὰ τὸ ἀποσβέννυσθαι τὸ πῦρ ἐν τοῖς νέφεσιν' ἀποκρινόμεθα· 'τί δέ ἐστι βροντὴ' ἐρωτήσαντος, λέγομεν 'ψόφος ἀποσβεννυμένου πυρὸς ἐν νέφει.' οὕτως μὲν οὖν, ὡς εἴληπται πρὸς τὴν διὰ τί ἐστιν ἐρώτησιν ἡ τῆς αἰτίας ἀπόδοσις, ἀσαφὲς δοκεῖ, πῶς τῇ θέσει διαφέρουσιν ἀλλήλων ὅ τε τοιοῦτος ὅρος καὶ ἡ ἀπόδειξις· ἀλλ' ἐπεὶ ἡ τῆς αἰτίας ἀπόδοσις παρίστησιν τὴν ἀπόδειξιν, συλλογιστικῶς δεῖ σχηματίζειν αὐτήν, καὶ τηνικαῦτα ἐπιγνωσόμεθα τὸ λεγόμενον. τοῦτο δ' εἴληπται, ὅτι ὁ τοιοῦτος ὅρος αἴτιον ἔχει καὶ αἰτιατόν, καὶ ἐν μὲν τῇ ἀποδείξει τὸ μὲν αἰτιατὸν συμπέρασμα γίνεται, τὸ δ' αἴτιον μέσος ὅρος λαμβάνεται. οἷον ἐν τῷ νέφει πῦρ ἀποσβέννυται· ἔνθα πῦρ ἀποσβέννυται, ψόφος γίνεται· ἐν τῷ νέφει ἄρα ψόφος γίνεται. ἰδοῦ οὖν ἐν τῇ ἀποδείξει, προηγήσατο μὲν τὸ ἀποσβέννυσθαι πῦρ, ἠκολούθησε δὲ ὁ ψόφος· εἰ δὲ ὁρισμὸς ἀποδοθῇ τῆς βροντῆς, ἀνάπαλίν ἐστι. τί ἐστι βροντή; ψόφος ἀποσβεννυμένου πυρὸς ἐν νέφει. ὁ γὰρ ψόφος ἐνταῦθα πρότερος τέθειται, μετ' αὐτὸν δὲ τὸ πυρὸς ἀποσβεννυμένου τέτακται. ὥσθ' ὁ τοιοῦτος ὁρισμὸς θέσει τῆς ἀποδείξεως διενήνοχεν. οὕτως ἐρεῖς καὶ περὶ τῶν ἄλλων, θυμοῦ λέγω καὶ σελήνης ἐκλείψεως. τί ἐστι σελήνης ἔκλειψις; στέρησις φωτὸς διὰ γῆς ἀντίφραξιν. ἡ δὲ ἀπόδειξις ἡ σελήνη ἀντιφράττεται ὑπὸ τῆς γῆς· πᾶν τὸ ἀντιφραττόμενον στερεῖται τοῦ φωτός· ἡ σελήνη ἄρα στερεῖται τοῦ φωτός'. ὡσαύτως καὶ περὶ τοῦ θυμοῦ. 'θυμός ἐστι ζέσις τοῦ περικαρδίου αἵματος δι' ὄρεξιν ἀντιλυπήσεως.' ἡ δὲ ἀπόδειξις 'ὁ δεῖνα ὀρέγεται ἀντιλυπῆσαι· τοῦ ὀρεγομένου ἀντιλυπῆσαι ζέει τὸ περὶ τὴν καρδίαν αἷμα· τοῦ

2. 3 ὅρος ὅρου Aa 5 διότι Aa 6 περιέχων Aa 8 οἷον E
11 παριστῶσιν Aa 14 τοῦ om. Aa 14. 15 διαφέρουσα Aa 15 sqq. διότι Aa
21 διαφέρουσιν scripsi: διαφέρει E: διαφερούσῃ A: διαφερούσει a 24 μὲν om. Aa
τῇ] τῷ E 26 post τῷ add. νῦν E ἔνθα — ἀποσβέννυται om. Aa
30 γὰρ om. Aa 34 τῆς om. Aa 36 τοῦ post περὶ om. E

δεῖνος ἄρα ζέει τὸ περὶ τὴν καρδίαν αἷμα.' καὶ τάχα διὰ τοῦτο καὶ ἀνα- 64
λυτικὸς συλλογισμὸς ἡ τοῦ διὰ τί ἀπόδειξις λέγεται, ὅτι ἀπὸ τοῦ ἐλάττονος
ἄκρου ἐπὶ τὸ μεῖζον πρόεισι, τῷ ἐλάττονι πρώτῳ τὴν αἰτίαν προσάπτουσα
ὡς καὶ πρώτην ἐπιγινομένην ἐκείνῳ· ᾗ ἑπόμενον καὶ τὸ μεῖζον κατὰ τοῦ
5 ἐλάττονος διὰ μέσου αὐτῆς συνάγεται. οὕτω μὲν οὖν ὁ τοιοῦτος λόγος
λαμβανόμενος ἀπόδειξίς ἐστι συνεχής, ἐκείνως δὲ ὁρισμός. συνεχὴς δὲ 30
ἀπόδειξις λέγεται, ὅτι ἐν τῷ πρώτῳ γίνεται σχήματι· καθόλου γὰρ κατα-
φατικὸν ἐν ἑτέρῳ σχήματι οὐ συνάγεται. διὰ τί δὲ οἱ ἐν τῷ πρώτῳ
σχήματι συλλογισμοὶ συνεχεῖς; ὅτι μὴ διῄρηται ὁ μέσος τῶν ἄκρων ὡς ἐν
10 τοῖς ἄλλοις ἔξω αὐτῶν κείμενος, ἀλλ' ἐπ' εὐθείας κατὰ συνέχειαν ἡ κατη-
γορία τῶν ὅρων πρόεισιν. ἢ καὶ διὰ τὸ οὕτως εἰλῆφθαι, ὡς αὐτὸς εἴληφε,
συνεχῆ ταύτην ὁ Ἀριστοτέλης ὠνόμασεν· οὐ γὰρ κατὰ προτάσεις διῄρηται,
ἀλλ' ὑφ' ἓν ἐξενήνεκται. ὁ γὰρ ἐν τῷ διὰ τί βροντᾷ ἀποδιδόμενος λόγος 35
ὅτι πῦρ ἐν τοῖς νέφεσιν ἀποσβέννυται κἀντεῦθεν ἐν αὐτοῖς ψόφος γίνεται,
15 οὐκ ἔστιν εἰς προτάσεις διῃρημένος οὐδὲ δὶς ἔχων τὸν μέσον εἰλημμένον,
ἀλλὰ συνεχεῖς τοὺς τρεῖς ἐξενεχθέντας ὅρους.

Ἕτερος μετὰ τοῦτον τάττεται ὁρισμός, ὅστις ἐστὶ συμπέρασμα τῆς
τοῦ τί ἐστιν ἀποδείξεως, οἷον τί ἐστι βροντή; ψόφος ἐν νέφει· τί ἐστι
σελήνης ἔκλειψις; φωτὸς στέρησις· τί ἐστι θυμός; ζέσις τοῦ περικαρδίου
20 αἵματος. τῆς τοῦ τί ἐστι δὲ ἀποδείξεως συμπεράσματα οἱ τοιοῦτοι ὅροι 40
λέγονται, ὅτι ἡ ἀπόδειξις ἡ διὰ τοῦ τί ἦν εἶναι προϊοῦσα μέσον μὲν ὅρον
ἔχει τὴν αἰτίαν τοῦ πράγματος, τὸ δὲ ταύτῃ ἑπόμενον ὡς αἰτιατὸν κατὰ
τοῦ ἐλάττονος συναγόμενον· ὡς εἶναι μὲν ὁρισμοὺς καὶ ἀμφότερα, ἔχειν
δ' οὕτω πρὸς ἄλληλα, ὡς αἴτιον εἶναι θατέρου θάτερον. ἄμφω μὲν οὖν
25 λαμβανόμενα τέλειος ὁρισμὸς γίνεται, ἰδίᾳ δ' ἑκάτερον ἀτελῆ μὲν ὡς ὁρι-
σμοί. γίνεται δ' ἐν τῇ ἀποδείξει ἧς ὁ τοιοῦτος ὁρισμὸς θέσει διενήνοχε,
τὸ μὲν μέσον τὸ δὲ μεῖζον ἄκρον κατὰ τοῦ ὑποκειμένου συναγόμενον, ὡς 45
εἶναι τὸν ἕτερον τῶν ὅρων μετὰ τοῦ ὑποκειμένου συμπέρασμα ἀποδείξεως.
'ἐν νέφεσι πῦρ ἀποσβέννυται· ἔνθα πῦρ ἀποσβέννυται, ψόφος γίνεται· ἐν
30 νέφεσιν ἄρα ψόφος γίνεται'. τὸ οὖν ψόφος ἐν νέφεσιν, ὁρισμός τις ὂν τῆς
βροντῆς, ἐν τῇ ἀποδείξει τῇ μέσον ἐχούσῃ τὸ τί ἐστι συμπέρασμα γέγονεν.
οὕτω καὶ ἡ τοῦ φωτὸς στέρησις, οὕτω καὶ ὁ θυμός· πολλάκις γὰρ εἴρηται
περὶ τούτων, καὶ οὐ χρὴ ταυτολογεῖν. ὅμοιος τούτοις ἐστὶ καὶ ὁ λέγων
ὁρισμὸς τὴν πρόνοιαν εἶναι τάξιν τῶν ὅλων· καὶ οὗτος γὰρ ἄνευ τῆς αἰτίας 50
35 ἀποδοθεὶς ἀτελής ἐστι, καὶ ἐν τῇ ἀποδείξει τῆς αἰτίας μέσης ληφθείσης
συμπέρασμα γίνεται. ἡ δ' αἰτία ἐστὶν ἡ θεία διοίκησις. 'τὰ ὅλα ὑπὸ θεοῦ
διοικεῖται· τῶν ὑπὸ θεοῦ διοικουμένων τάξις ἐστί· τῶν ὅλων ἄρα τάξις
ἐστίν'. ὁ δὲ ἐξ ἀμφοῖν τῆς προνοίας ὁρισμὸς ὁ τῆς ἀποδείξεως ταύτης θέσει
διαφέρων ἕξει οὕτως· 'τί ἐστι πρόνοια; τάξις τῶν ὅλων διὰ θείαν διοίκησιν.

---

1 καὶ post τοῦτο om. et διὰ τοῦτο post συλλογισμὸς (2) transp. Aa 2 διὰ τί] διότι ἐστὶν Aa 4 ἐπιγενομένην Aa 6 ἐκεῖνος Aa 7. 8 καταφατικὸς E 14 αὐτοῖς scripsi: αὐτῷ libri 15 εἰλημμένων a 32 γὰρ om. E 33 περὶ τούτου E χρὴ] δεῖ Aa

Ἔστι δὲ καὶ ἕτερον ὁρισμοῦ σημαινόμενον, ὃ ταῖς ἀμέσοις ἀρχαῖς ἐφήρμοσεν. εἰσὶ | γὰρ ἀρχαὶ τῶν ἐπιστημῶν πρῶται καὶ ἀναπόδεικτοι, περὶ ὧν 65 οἱ ἀποδιδόμενοι ὁρισμοὶ οὔτε ἀποδείξεις εἰσὶ τῇ θέσει διαφέρουσαι ἀποδείξεως, οὔτε μὴν συμπεράσματα ἀποδείξεων, ἐπεὶ μηδὲ ἀποδείξεις εἰσὶν αὐτῶν μηδὲ αἴτια, ἀλλ' αὐταὶ μᾶλλον ἀρχαὶ ἀποδείξεων καὶ αἴτια ἑτέρων, οὐκ αἰτιατά τινων. καὶ ἔστιν ὁ τοιοῦτος ὁρισμὸς θέσις τοῦ τί ἐστιν ἁπλῆ καὶ χωρὶς ἀποδείξεως, ἐπεὶ καὶ αὐτὰ τὰ ὁριστὰ τῶν τοιούτων ὁρισμῶν χωρὶς πάσης ἀποδείξεως λαμβάνεταί τε καὶ τίθεται. ὡς γὰρ πρὸ ὀλίγου εἴρηται, καὶ τὸ εἶναι καὶ τὸ τί εἶναι τῶν ἀρχῶν ὑποτίθεται. ὅτι γὰρ ἔστι μονὰς καὶ τί ἐστι μονὰς ὁ ἀριθμητικὸς ὑποτίθεται, ὁμοίως καὶ ὁ γεωμέτρης ὅτι ἔστι γραμμὴ καὶ τί ἐστι γραμμή· καὶ οὔτε αἰτίαν ἔχει ὁ λόγος ὁ λέγων 'γραμμή ἐστι μῆκος ἀπλατές', οὔτε συμπέρασμά ἐστιν ἀποδείξεως, ὅτι μηδὲ ἔστιν αἰτία τις δεικτικὴ τοῦ εἶναι τὴν γραμμὴν ἢ τοῦ τόδε εἶναι αὐτήν· ἀλλὰ τοῦτό ἐστιν ἀρχή, κἂν τις βούλοιτο τόδε τι δεῖξαι ὅτι γραμμή ἐστιν, ἐκείνῳ τῷ λόγῳ τῆς γραμμῆς προσχρήσεται. ἐπεὶ δὲ τὸν τὴν αἰτίαν περιλαμβάνοντα ὁρισμὸν σύνθετον ἐλέγομεν ἐξ αἰτίου καὶ αἰτιατοῦ καὶ θέσει διαφέρειν ἀποδείξεως, καὶ θάτερον μέρος τοῦ ἑτέρου χωρίσαντες, λέγω δὴ τὸ αἰτιατὸν τοῦ αἰτίου, ὁρισμοῦ τι σημαινόμενον τοῦ προτέρου ἕτερον ἀπεδίδομεν, συμπέρασμα τοῦτο λέγοντες ἀποδείξεως, τί θάτερον μέρος τούτου τοῦ ὁρισμοῦ, λέγω δὴ τὸ αἴτιον, ὀνομάσομεν καὶ τίνι σημαινομένῳ συντάξομεν; καθ' ἑαυτὸ καὶ τοῦτο χωρίζοντες, ἢ πάντως ταῖς ἀναποδείκτοις τοῦ τί ἐστι θέσεσιν; ὡς γὰρ ἐκείνων οὐδεμία αἰτία ἐστὶν οὐδ' ἀπόδειξις, οὕτω δηλονότι καὶ τούτων. ἡ γὰρ τῆς ἀντιλυπήσεως ὄρεξις οὐδεμίαν ἔχει αἰτίαν ἑτέραν, δι' ἣν ὑπάρξει τῷ θυμῷ, ὥσπερ οὐδὲ ἡ γῆς ἀντίφραξις, δι' ἣν τῇ σελήνῃ ἡ ἔκλειψις, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. τοιοῦτοι καὶ οἱ τῶν οὐσιῶν ὁρισμοί· οὐ γὰρ αὐτοὺς δυνατὸν εἰς αἰτιατὸν διελεῖν καὶ αἴτιον, οὐδ' ἄλλο ἐν ταῖς οὐσίαις τὸ αἴτιον τοῦ οὗ ἐστιν αἴτιον. τὸ γὰρ οὐσία ἔμψυχος αἰσθητικὴ τῷ ζῴῳ ταὐτόν, ὡς καὶ τῷ ἀνθρώπῳ τὸ ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν. διὸ οὐδὲ κυρίως ἀπόδειξις, ὅταν οὐσίαν κατ' οὐσίας συμπεραν̄εῖ τις μέσῳ [αἰτίᾳ] χρησάμενος τῷ τοῦ μείζονος ὁρισμῷ. δόξειε γὰρ ἂν αἰτεῖσθαι τὸ ἐν ἀρχῇ, ὡς καὶ πρότερον εἴρηται.

Δεῖ δὴ ἀναλαβεῖν καὶ ἐξαριθμήσασθαι τὰ εἰρημένα. τὸ μὲν οὖν πρῶτον ληφθὲν τοῦ ὁρισμοῦ σημαινόμενον οὐ χρὴ συναπαριθμεῖν τοῖς λοιποῖς, ὅτι μηδὲ ὁρισμός ἐστι κυρίως ὁ σημαίνων ταὐτὸν τῷ ὀνόματι λόγος· ὑπολείπονται δὴ τρία. καὶ ἔστιν εἷς μὲν ἵν' ἀπὸ πρώτου τοῦ ἔσχατον ῥηθέντος ἀρξώμεθα, ὃς πρότερον μὲν θέσις εἴρηται τοῦ τί ἐστιν ἀναπόδεικτος ἀκο-

2 πρῶται] πρῶτον a 3 διαφέροντες E 4 συμπέρασμα E 5 αὐταὶ] αὐτὰ E 7 τὰ om. E 8 post γὰρ add. καὶ Aa 13 μηδὲ] μὴ Aa τὴν om. Aa τόδε εἶναι] τί ἐστιν εἰδέναι E 17 διαφέροντα Aa δὴ] δὲ Aa 18. 19 ἀποδιδόαμεν E 19 λέγοντας E 20 δὴ scripsi: δὲ libri ὀνομάζομεν E 21 ἀποδείκτοις a 25 ἡ om. Aa 26 οὐδὲ γὰρ Aa διελεῖν] διαιρῆσαι E 29 ὅταν] οὔτε E 30 κατ' οὐσίαν Aa συμπαρανεῖ E αἰτίᾳ delevi 35 ἀπὸ τοῦ πρώτου E

λούθως τοῖς ἐν τῷ πρώτῳ βιβλίῳ τῆσδε τῆς πραγματείας εἰρημένοις. ἐκεῖ γὰρ τὴν ἄμεσον ἀρχὴν εἰς θέσιν διελόντες καὶ ἀξίωμα, τὴν θέσιν αὖθις εἰς ὑπόθεσιν καὶ ὅρον διείλομεν. συμφώνως οὖν ἐκείνοις θέσιν κἀνταῦθα τὸν τοιοῦτον ὁρισμὸν ὠνομάσαμεν, αὖθις δὲ λεγέσθω λόγος τουτέστιν ἀναπόδεικτος. λόγοι μὲν γὰρ καὶ οἱ λοιποὶ δύο τοῦ τί ἐστιν, ἀλλ' οὐχ ἁπλῶς ἀναπόδεικτοι, ἀλλ' ὁ μὲν ἀποδείξει ὁ αὐτὸς μόνῃ τῇ θέσει διαφέρων, ὡς εἴρηται, ὁ δὲ συμπέρασμα ἀποδείξεως. εἷς μὲν δὴ οὗτος, ἕτερος δ' αὖθις εἷς ὁ ἐνεργείᾳ μὲν καὶ κατὰ τὴν λῆψιν ἥνπερ λαμβάνεται ὁρισμός, συλλογισμὸς δὲ ὢν δυνάμει καὶ ἀπόδειξις διὰ τὸ πτώσει μόνῃ διαφέρειν τῆς ἀποδείξεως, τὸ αἴτιον ἐν ἑαυτῷ καὶ τὸ αἰτιατὸν περιέχων, ὡς δύνασθαι αὐτὸν συλλογισμὸν γίνεσθαι ὑπαλλαττομένης τῆς θέσεως. τρίτος δὲ καὶ τελευταῖος ὃς αἰτιατὸν ὢν ἐν τῷ ὁρισμῷ τῷ διαφέροντι θέσει μόνῃ τῆς ἀποδείξεως, συμπέρασμα γίνεται ἐν τῷ τὴν θέσιν τοῦ τοιούτου ὅρου ἀλλάττεσθαι καὶ ἀπόδειξιν γίνεσθαι. ἐπεὶ γὰρ οἱ τοιοῦτοι ὁρισμοὶ ἐξ ὕλης καὶ εἴδους ὑπάρχουσι σύνθετοι, αἴτιόν ἐστι τὸ εἶδος τῆς ὕλης. διὰ γὰρ τὸ τοιόνδε εἶδος τοιάδε ἡ ὕλη πεφυκυῖα δέχεσθαι αὐτό· καὶ ἔστι μέρος μὲν τοῦ ὁρισμοῦ λόγος ἐκ τῆς ὕλης, μέρος δὲ λόγος ἐκ τοῦ εἴδους· καὶ ἐν τῇ ἀποδείξει μέσον τὸ αἴτιον λαμβανόμενον συνάγει τὸ αἰτιατόν, ἤτοι ὁ ἐκ τοῦ εἴδους τὸν ἐκ τῆς ὕλης, εἰ μή τις ἐρεῖ καὶ ὡς ποιητικὸν εἶναι αἴτιον ἀποσβεννύμενον πῦρ τοῦ ψόφου τοῦ ἐν τοῖς νέφεσι, καὶ γῆν ἀντιφράττουσαν τῆς τοῦ φωτὸς τῆς σελήνης στερήσεως, καὶ ἐπ' ἄλλων οὕτω τινῶν. ἅπερ δὲ ἐνταῦθα περὶ τῶν ὅρων λέγεται, καὶ ἐν τῷ πρώτῳ εἴρηται μικρὸν ἐν ταῖς λέξεσιν ὑπαλλάττοντα. ἐκεῖ μὲν γὰρ τὸν μὲν εἴρηκεν ὅρον ἀρχὴν ἀποδείξεως, τὸν δὲ ἀπόδειξιν θέσει διαφέρουσαν ἀποδείξεως, τὸν δὲ συμπέρασμά τι ἀποδείξεως. ἐνταῦθα δὲ τὸν μὲν θέσιν τοῦ τί ἐστιν ἀναπόδεικτον, καὶ αὖθις τὸν αὐτὸν λόγον τοῦ τί ἐστιν ἀναπόδεικτον· ἡ γὰρ ἀρχὴ τῆς ἀποδείξεως ἀναπόδεικτος, ὑφ' ἑαυτὴν ἔχουσα τὴν ἀπόδειξιν, οὐχ ὑποκειμένη δὲ ἀποδείξει· ὅρος δὲ οὖσα καὶ θέσις ἐστὶ καὶ λόγος τοῦ τί ἐστιν. εἶτα τὸν ἕτερον πῇ μὲν λόγον δηλοῦντα τοῦ τί ἐστι πῇ δὲ ἀπόδειξιν τοῦ τί ἐστι, θέσει διαφέροντα τῆς ἀποδείξεως, πῇ δὲ συλλογισμὸν τοῦ τί ἐστι θέσει διαφέροντα τῆς ἀποδείξεως. τὸν δὲ τρίτον τῆς τοῦ τί ἐστιν ἀποδείξεως συμπέρασμα. ἅπερ ταὐτὰ τοῖς ἐν τῷ πρώτῳ εἰρημένοις ἐστί. διελὼν δὲ τὸν τῇ ἀποδείξει ἰσοδυναμοῦντα ὁρισμόν, θάτερον μὲν αὐτοῦ μόριον τὸ ἐκ τῆς ὕλης συμπέρασμα εἴρηκεν ἀποδείξεως, θάτερον δὲ κατέλιπεν· ἢ δῆλον ὡς καὶ αὐτὸν ὄντα θέσιν τοῦ τί ἐστιν ἀναπόδεικτον· ἀμέσως γὰρ καὶ ἀναποδείκτως καὶ αὐτὸς τῷ ὑποκειμένῳ ὑπάρχει.

---

1 ἐν τῷ πρώτῳ βιβλίῳ] cf. Anal. post. A 2 p. 72a 7 sqq. 5 λόγοι μὲν — ἀναπόδεικτοι (6) om. E 9 τῆς om. Aa 19. 20 ἀποσβέννυται E 22 ἐν ante ταῖς om. Aa ἐν τῷ πρώτῳ] Anal. post. A 8 p. 75b 31 23 ἐναλλάττοντα Aa 24 τὸν δὲ — ἀποδείξεως om. E 26 καὶ αὖθις — ἀναπόδεικτον om. E 27 ὑφ' ἑαυτὸν Aa 29 τοῦ scripsi: τὸ libri 29. 30 ἀπόδειξιν E: legi non potest A: lac. ind. a 34 αὐτοῦ ἐκ μόριον τῆς ὕλης E 36 ἀμέσω Aa

Ἐκ τοίνυν τῶν εἰρημένων φανερὸν γέγονεν ὅτι οὐκ ἀποδείκνυται μὲν οὕτως ὁ ὁρισμός, ὥστε δι' ἀποδείξεως συνάγεσθαι αὐτὸν κατὰ τοῦ ὁριστοῦ καὶ δηλοῦσθαι δι' αὐτῆς ὅτι οὗτος ὁ ὁρισμὸς τούτου τοῦ ὁριστοῦ ὁρισμός ἐστι, καὶ κατὰ τοῦτο οὐκ ἂν ῥηθείη | ὁρισμοῦ εἶναι ἀπόδειξιν· ὅτι δὲ ἐν 66
5 ἀποδείξει λαμβάνεται καὶ ὅτι ἐν τῷ ἀποδείκνυσθαι τὸ πρᾶγμα ὅτι ἐστὶ διὰ μέσου αἰτίου ὁ ὁρισμὸς τοῦ πράγματος ἀναφαίνεται, καὶ ὅτι εἰσί τινες ὁρισμοὶ θέσει μόνῃ τῆς ἀποδείξεως διαφέροντες, ὡς καὶ συλλογισμοῖς ἐοικέναι τούτους τρόπον τινά, κατὰ τοῦτο ἔσται ἀπόδειξις ὁρισμοῦ καὶ ὁ ὁρισμὸς ὁ αὐτὸς ἀποδείξει. ἔτι δὲ καί τινές εἰσιν ὁρισμοί, ἐφ' ὧν τὸ εἰρη- 5
10 μένον θεωρεῖται· οὐ γὰρ ἐπὶ πάντων τοῦτό ἐστιν, ἀλλ' ἐπὶ μόνων ἐκείνων, οἳ θέσει μόνῃ τῆς ἀποδείξεως διαφέρουσιν. ἢ καὶ ὅτι εἰσὶν ὁρισμοί τινες, οἳ δι' ἀποδείξεως συμπεραίνονται· τῶν μὲν γὰρ τὴν αἰτίαν περιεχόντων ὁρισμῶν καὶ τῶν ἀναποδείκτων θέσεων, ἔτι δὲ τῶν κατ' εἶδος ἀμέσως καὶ τὴν αἰτίαν λαμβανομένων, οὐκ ἔστιν ἀπόδειξις οὐδὲ δι' ἀποδείξεως συμπεραί-
15 νονται· οἳ δέ γε συμπεράσματά εἰσιν ἀποδείξεων, τούτων ἐστὶν ἀπόδειξις· οἱ γὰρ τοιοῦτοι δι' ἀποδείξεως δείκνυνται. καὶ τοῦτο δὲ δῆλον γέγονε, 10 ποσαχῶς ὁ ὁρισμὸς λέγεται, καὶ πρὸς τούτοις πῶς ὁ ὁρισμὸς καὶ τὸ τί ἐστι δείκνυσι καὶ πῶς οὔ· ὡς μὲν γὰρ ἐν ἀποδείξει μέσος τιθέμενος δείκνυσιν, ὡς δὲ συμπέρασμα γινόμενος ἀποδείξεως οὐ δείκνυσιν, ἀλλὰ δείκνυται. ἢ
20 ὅτι πολλῶν ὄντων σημαινομένων τοῦ ὁρισμοῦ, οὐδεὶς ἄλλος δεικνύναι πέφυκεν ἢ μόνον ὁ θέσει διαφέρων τῆς ἀποδείξεως. καὶ τίνων ἐστὶν ὁρισμὸς καὶ τίνων οὐκ ἔστι· τῶν μὲν γὰρ ἁπλῶν ἐστιν ὁρισμός, τῶν δὲ συνθέτων οὐχί. ὁ γὰρ ὁρισμὸς λόγος ἐστὶν ἓν καθ' ἑνὸς δηλῶν μὴ κατὰ 15 συμβεβηκός· ὥστ' εἴ τι ἓν εἴη καθ' ἑαυτὸ μὴ μεριζόμενον διαφόροις τισίν,
25 ἐξ ὧν οὐκ ἔστι μία τις φύσις, τούτου ἔσται ὁρισμός, τοῦ δὲ μὴ οὕτως ἔχοντος οὐκ ἔσται· τὸ γὰρ ἄνθρωπος περιπατεῖ οὐκ ἔστιν ὁρίσασθαι καθ' αὑτό, ἀλλ' ἢ ὡς πρότασιν. πῶς τε ἔχει πρὸς τὴν ἀπόδειξιν, ὅτι θέσει διαφέρει τῆς ἀποδείξεως ὁ τὴν αἰτίαν περιέχων λόγος· καὶ πῶς ἐνδέχεται τοῦ αὐτοῦ εἶναι ὁρισμὸν καὶ ἀπόδειξιν, καὶ πῶς οὐκ ἐνδέχεται· κατὰ
30 ταὐτὸ μὲν γὰρ εἶναι ὁριστὸν καὶ ἀποδεικτὸν τὸ αὐτὸ οὐκ ἐνδέχεται, ἄλλως 20 δὲ καὶ ἄλλως τὸ αὐτὸ εἶναι ὁριστὸν καὶ ἀποδεικτὸν ἐνδέχοιτ' ἄν, οἷον σελήνης ἔκλειψιν ἄλλως μὲν ὁριζόμεθα, ἄλλως δὲ ἀποδείκνυμεν. 'τί ἐστι σελήνης ἔκλειψις; στέρησις φωτὸς ὑπὸ γῆς ἀντιφράξεως'. 'ἡ σελήνη ἀντιφράττεται· τὸ ἀντιφραττόμενον ἐκλείπει· ἡ σελήνη ἄρα ἐκλείπει'. ὥστε
35 διάφοροι οἱ τρόποι δι' ὧν ὁρίζεταί τε καὶ ἀποδείκνυται, ἀλλ' οὐχ εἷς καὶ ὁ αὐτός.

---

2 ὁ om. Aa 3 τούτου] τοῦδε Aa 5 δείκνυσθαι Aa 8 ὁ om. Aa
12 τῶν μὲν γὰρ — συμπεραίνονται (14. 15) om. E 13 ἀμέσως scripsi: μέσος libri
17 ὁ post ποσαχῶς om. Aa 27 τὴν om. Aa 29 τοῦ αὐτοῦ] κατὰ αὐτοῦ E
30 μὲν om. E 31 καὶ post δὲ om. E 32 ἔκλειψις E post μὲν add. γὰρ E 35 εἷς] οἷς a 36 ὁ om. E

p. 93b 15 Ὡς μὲν τοίνυν λαμβάνεται τὸ τί ἐστι καὶ γνώριμον γίνεται, εἴρηται πρότερον. 66

Δύο λόγους εἰπὼν ἀντικειμένους ἀλλήλοις ὅσον πρὸς τὸ φαινόμενον, ἕνα μὲν ὅτι οὐκ ἔστι τὸ τί ἐστιν ἀποδείκνυσθαι, ἕτερον δ' ὅτι δι' ἀποδείξεως εὑρίσκεται τὸ τί ἐστι, καὶ ἀμφοτέροις συστὰς νῦν ὥσπερ ἀπόφασιν ἐκφέρει τάδε τοῖς λελεγμένοις· τίνα μὲν γάρ, φησί, τρόπον λαμβάνεται τὸ τί ἐστι καὶ γνώριμον γίνεται, εἴρηται πρότερον· καὶ οὐκ εἶπεν 'ἀποδείκνυται τὸ τί ἐστιν', ἀλλὰ 'λαμβάνεται καὶ γνώριμον γίνεται'. οὐ γὰρ περαίνεται διὰ τῆς ἀποδείξεως συναγόμενον, ἀλλὰ τῆς τοῦ διὰ τί ἀποδείξεως προβαινούσης ἀναφαινόμενον αὐτὸ λαμβάνεται καὶ γνωρίζεται ὅτι τούτου ἐστὶν ὁρισμὸς τοῦ ζητουμένου. διὸ καὶ ἐπάγει·

p. 93b 16 Ὥστε συλλογισμὸς μὲν τοῦ τί ἐστιν οὐ γίνεται οὐδ' ἀπόδειξις, δῆλον μέντοι διὰ συλλογισμοῦ καὶ δι' ἀποδείξεως.

Εἰς δύο τοῦ παρόντος λόγου διῃρημένου, θάτερον μὲν αὐτοῦ μέρος τῶν πρότερον εἰρημένων ἐστὶν ἐπίκρισις, θάτερον δὲ τῶν μετ' ἐκεῖνα ὥσπερ κατάθεσις· ὡς μήτ' ἐκεῖνα μήτε ταῦτα διαπίπτειν τοῦ ἀληθοῦς καθ' ὃν τρόπον ἐφ' ἑκατέρων ἐνδέχεται τῶν μερῶν κρατεῖν τὴν ἀλήθειαν. ὡς γάρ, φησίν, ἐκ τῶν εἰρημένων ἀναπέφανται, συλλογισμὸς μὲν τοῦ τί ἐστιν οὐ γίνεται· εἰ δὲ μὴ συλλογισμός, δῆλον ὅτι οὐδὲ ἀπόδειξις· διὰ μέντοι συλλογισμοῦ καὶ δι' ἀποδείξεως δηλοῦται καὶ ἀναφαίνεται· τῆς γὰρ τοῦ διότι ἀποδείξεως προβαινούσης οὕτως ἐκφαίνεται. εἰπὼν δὲ διὰ συλλογισμοῦ ἐπήγαγε καὶ δι' ἀποδείξεως ὥσπερ ἐφερμηνεύων τὸ διὰ συλλογισμοῦ ἤτοι δι' ἀποδείξεως. οὐ γὰρ ὡς ἔτυχε καὶ ἐκ τῶν τυχόντων γινομένου συλλογισμοῦ τὸ τί ἐστιν ἀναφαίνεται, ἀλλ' ἀποδεικτικοῦ καὶ τὸ διὰ τί παριστῶντος τόδε τῷδε ὑπάρχει.

p. 93b 18 Ὥστ' οὔτ' ἄνευ ἀποδείξεως ἔστι γνῶναι.

Γνώριμον, φησί, γέγονεν ὡς τὰ μέγιστα ἡ ἀπόδειξις συντελεῖ πρὸς τὸ τί ἐστι, καὶ τοσοῦτον ὡς μὴ ἄνευ ταύτης εἶναι γνῶναι τὸ τί ἐστι, καὶ αὖθις ὅτι οὐκ ἔστιν ἀπόδειξις τοῦ τί ἐστιν· ὡς τῇ τοῦ τρόπου διαφορᾷ ἀλλήλοις τοὺς λόγους ἀμφοτέρους συνέρχεσθαί τε καὶ συμβιβάζεσθαι. οὐ γὰρ τὸν αὐτὸν τρόπον ἄνευ τῆς ἀποδείξεως οὐκ ἔστι γνῶναι τὸ τί ἐστι

---

1 post καὶ add. ὁρίζεταί τε καὶ Aa 3 ἀλλήλοιν Aa 6 τάδε in lac. om. Aa
τοῖς λεγομένοις a: om. E 7 εἴρηται—γίνεται (8) om. E 9 διότι Aa
10 ὁ ὁρισμὸς a 17 τῶν μερῶν ἐνδέχεται coll. Aa 18 μὲν om. E
20 τῆς γὰρ—ἐκφαίνεται (21) om. E 22 τὸ om. Aa 25 ὑπάρχειν E
27 συντελεῖ πρὸς] ὠφελεῖ εἰς E 28 εἶναι om. E 30 συνέρχεταί τε a
31 τῆς] τε Aa

καὶ οὐκ ἔστιν ἀπόδειξις τοῦ τί ἐστιν· ἀλλ' ὡς μὲν συμπέρασμα δι' ἀποδείξεως 66
συναγόμενον οὐκ ἔστιν ἀποδεῖξαι τὸ τί ἐστιν, ὡς δὲ τῆς ἀποδείξεως προβαινούσης
ἀναφαινόμενον οὐκ ἔστιν ἄνευ ταύτης γνῶναι τὸ τί ἐστιν. ὥστε πρότερόν 50
τε καλῶς ἐλέγετο μὴ εἶναι τὸ τί ἐστιν ἀποδείκνυσθαι, καὶ νῦν δὲ καλῶς
5 τὸ πρὸς τὸν ὁρισμὸν τῆς ἀποδείξεως χρήσιμον παραδίδοται. διαπορήματα
δὲ τοὺς πρώην λόγους ὠνόμασε, διότι παντελῶς ἐδόκουν ἀλλήλων ἀλλο-
τριοῦν ὁρισμὸν καὶ ἀπόδειξιν, καίτοι οἰκείωσιν πλείστην πρὸς ἄλληλα ἔχοντα,
ὡς καὶ ὁρισμὸν ἐνίοτε δι' ἀποδείξεως ἀναφαίνεσθαι καὶ αὖθις εἶναι τὸ τί
ἐστιν ἀρχὴν ἀποδείξεως. εἰπὼν δὲ μὴ ἄνευ ἀποδείξεως εἶναι γνῶναι τὸ
10 τί ἐστι, προσέθηκεν οὗ ἐστιν | αἴτιον ἄλλο· οὐ γὰρ πανταχοῦ καὶ ἐπὶ 67
παντὸς ὁρισμοῦ ἀληθὲς τὸ μὴ ἄνευ ἀποδείξεως τὸ τί ἐστι γινώσκεσθαι,
ἀλλ' ἔνθα ἐστὶν αἴτιον ἄλλο, τουτέστιν ἔνθα μὴ ταὐτὸν τὸ αἴτιον καὶ αἰτιατόν,
ἤτοι ὁ ὁρισμὸς καὶ τὸ ὁριστόν, ἢ ἐν ᾧ ὁρισμῷ ἄλλο μέν ἐστιν αἴτιον
ἄλλο δὲ αἰτιατόν, ὥσπερ ἐπὶ τοῦ θυμοῦ καὶ τῆς βροντῆς καὶ τῆς σεληνιακῆς
15 ἐκλείψεως εἴρηται.

p. 93b21 Ἔστι δὲ τῶν μὲν ἕτερόν τι αἴτιον, τῶν δ' οὐκ ἔστιν. 5

Ταῦτα ἐφερμηνευτικά ἐστι τοῦ οὗ ἐστιν αἴτιον ἄλλο· δεῖ γάρ, φησίν,
εἰδέναι ὅτι τῶν μὲν ἕτερόν τί ἐστιν αἴτιον, τῶν δ' οὐκ ἔστι. τουτέστι
διχῶς ἔστι διελεῖν τὰ αἰτιατὰ καὶ τὰ αἴτια, ὡς εἶναι τῶν αἰτίων τὰ μὲν
20 ταὐτὰ τοῖς αἰτιατοῖς, τὰ δ' ἕτερα. καὶ εἴρηται ἤδη ἱκανῶς περί τε τού-
των καὶ τῶν ἑξῆς. τὸ δὲ λόγος δὲ εἷς ἐστι διχῶς μεσεμβόλημά ἐστιν 10
εἰς τὸν περὶ τοῦ ὅρου λόγον συμβαλλόμενον. ἐπεὶ γὰρ ἕνα μὲν λόγον
εἴρηκε τὸν ὀνοματώδη, εἶτα καὶ ἕνα λόγον ἔμελλε λέγειν τὸν δηλοῦντα τὸ
τί ἐστι καὶ ἐφεξῆς ἑτέρους, ἔστι δὲ καὶ καθ' ἕτερον τρόπον εἷς λόγος ὡς
25 συνδέσμῳ εἷς καὶ μὴ ὡς ὁρισμός, διὰ τοῦτ' ἀναγκαίως καὶ ποσαχῶς εἷς
λόγος λέγεται παραδίδωσι. περὶ δὲ τῶν ἄλλων οἶμαι μὴ πλείονος λόγου δεῖν
ὡς ἱκανῶς εἰρημένων τῶν πρότερον.

p. 94a20 Ἐπεὶ δ' ἐπίστασθαι οἰόμεθα ἕκαστον, ὅταν εἰδῶμεν τὴν 15
αἰτίαν.

30 Περὶ μὲν τοῦ ὅρου ὅτι ἕτερος ἀποδείξεως, καὶ ὅτι ἑτέρα μέθοδος ἡ
ἀποδεικτικὴ τῆς ὁριστικῆς, καὶ ὅτι ὅρος οὐκ ἀποδείκνυται μέν, ἐνδέχεται
δέ ποτε ἀποδείξεως γινομένης ὁρισμὸν τῇ ἀποδείξει συναναφαίνεσθαι, καὶ 20
πότε τοῦτο καὶ ἐπὶ τίνων ἐστίν, εἴρηται ἱκανῶς. ἐπεὶ δὲ διὰ μέσου αἰτίου
ἡ κυρίως ἀπόδειξις πέφυκε γίνεσθαι, οὐ μόνον δὲ ὁ ὁρισμὸς αἴτιον, ἀλλ'

1 καὶ οὐκ—τί ἐστιν om. E 5 παραδέδοται Aa διαπορρήματα E
6 δὲ] γὰρ E ἀλλήλων om. E 9 εἶναι om. E 17 ἐστι] εἰσί Aa
ἄλλο αἴτιον coll. E 20 τε] γε E 21 λόγος δὲ—διχῶς] cf. Arist. p. 93b35
22 γὰρ] δὲ E 23 ὀνοματώδους a 33 αἰτίου om. E 34 γίνεσθαι
πέφυκεν coll. A

ἔστι καὶ ἕτερα, ἀναγκαῖον περὶ πάντων ἐξετάσαι ἀπαριθμησαμένους τε κατὰ 67
γένη ὁπόσα καὶ τίνα τὰ αἴτια κατὰ Ἀριστοτέλην, καὶ εἰπόντας ὅπως
ἔστιν ἕκαστον αὐτῶν μέσον ὅρον θεμένους ποιῆσαι ἀπόδειξιν. αἱ μὲν οὖν
αἰτίαι τέσσαρες κατὰ γένος εἰσί, μία μὲν ἥνπερ εἴπομεν, [ἡ] τὸ τί ἦν
5 εἶναι ἤγουν ὁ ὁρισμὸς καὶ τὸ εἶδος, μία δὲ ἡ ὕλη, ἣν δεῖ προηγήσασθαι, 25
ἵνα τὸ ἔνυλον εἶδος αὐτῇ ἐπιγένηται, ἑτέρα δὲ τὸ ποιητικόν, ὃ καὶ τὴν
ἀρχὴν τῆς ἐπὶ τὸ εἶναι μεταβολῆς ἐπιχορηγεῖ τῷ γινομένῳ, ἢ τὴν ὅλην
μεταβάλλον τὸ δυνάμει αὐτῆς ἐκκαλεῖται πρὸς τὴν ἐνέργειαν, ἢ ὅπερ ἀποξέον
τὸ ὑποκείμενον ἢ ἄλλως πως μεταβάλλον τε καὶ κινοῦν, τὸ εἶδος πρὸς ὃ
10 πέφυκεν ἐν αὐτῷ ποιεῖ ἀναφαίνεσθαι· καὶ ἐπὶ τούτοις τετάρτην τὸ τέλος,
οὗ ἕνεκα ἡ ἐπὶ τὸ εἶναι μεταβολὴ ἢ καὶ αὐτὸ τὸ πρᾶγμα γίνεται ἢ ἔστιν.
αἱ μὲν οὖν αἰτίαι αὗται. ὥσπερ δὲ ὁ ὅρος τῆς τοῦ διὰ τί ἀποδείξεως 30
προβαινούσης ἀνεφαίνετο μέσος ἐν αὐτῇ εὑρισκόμενος, οὕτω καὶ τὰ λοιπὰ
αἴτια. καὶ περὶ μὲν τοῦ τί ἐστιν εἴρηται ἱκανῶς πῶς δι' ἀποδείξεως εὑρί-
15 σκεται· ῥητέον δ' ἤδη καὶ περὶ τῶν λοιπῶν, πῶς καὶ αὗται φανεραί ποτε
γίνονται ἐκ τοῦ λαμβάνεσθαι μέσους ταῖς ἀποδείξεσι. τὸ τοίνυν ὑλικὸν
αἴτιόν ἐστι μὲν καὶ αὐτόθεν ἐξ αὐτῆς δῆλον τῆς ἀποδείξεως. ὁπόταν γὰρ
λέγωμεν ὅτι τούτου ὄντος ἀνάγκη τόδε εἶναι, οὐ διὰ τὰς προτάσεις ἂν
τοῦτο, ἀλλ' ἢ μᾶλλον διὰ τὸν μέσον δόξειε λέγεσθαι, ὅτι προτάσεως μὲν 35
20 μιᾶς οὔσης οὐκ ἂν εἴη ἀπόδειξις (οὐδὲ γὰρ συλλογισμός), τοὐλάχιστον δὲ
δύο εἶναι ταύτας ἀνάγκη, τοῦ μέσου δὲ ὄντος ἑνὸς οὕτως ἐξ ἀνάγκης
ἕπεται τὸ συμπέρασμα. ἐπεὶ οὖν τὸ ἀναγκαῖον ἐν τοῖς αἰτίοις τῷ ὑλικῷ
προσῳκείωται, τοῦτο δὲ ὁ μέσος ἔχει τοῦ συμπεράσματος ὢν αἴτιος καὶ
αὐτῆς τῆς τῶν προτάσεων πρὸς ἀλλήλας κοινωνίας τε καὶ συνδέσεως, εἴη
25 ἂν ὥσπερ ὑλικὸν αἴτιον τοῦ συλλογισμοῦ, ᾗ συλλογισμός ἐστι, κἂν πρὸς τὸ
πρᾶγμα, ᾗ πρᾶγμα, κατ' ἄλλο τι γένος αἰτίας αἴτιός ποτε λέγεται. τὸ γὰρ 40
ἀναγκαῖον διττόν, τὸ μὲν ἁπλῶς τὸ δὲ ἐξ ὑποθέσεως. τὸ μὲν οὖν ἁπλῶς
ὑπάρχει τοῖς ἀεὶ ὡσαύτως ἔχουσι, τὸ δ' ἐξ ὑποθέσεως καὶ τοῖς ἐν γενέσει
τε καὶ φθορᾷ πᾶσι. διὸ καὶ ἐπ' ἐκείνων μὲν ἀντιστρέφει τὸ ἀναγκαῖον ἀπὸ
30 τῶν ἡγουμένων πρὸς τὰ ἑπόμενα, καὶ ἀνάπαλιν (τῶν γὰρ ἡγουμένων κινου-
μένων ἐξ ἀνάγκης κινεῖται καὶ τὰ ἑπόμενα καὶ ἀνάπαλιν) ἐπὶ δὲ τῶν ἐν
γενέσει οὐχί. εἰ γὰρ ἔστιν οἰκία, ἀνάγκη εἶναι τάδε καὶ τάδε ὅσα φέρει 45
γε πρὸς αὐτήν· οὐ μὴν εἰ τάδε καὶ τάδε, ἐξ ἀνάγκης καὶ οἰκία. τὸ τοίνυν
ἐξ ὑποθέσεως ἀναγκαῖον ἔστιν εὑρεῖν κἀν τοῖς συλλογισμοῖς καὶ ταῖς ἀπο-
35 δείξεσι, πλὴν δὲ ἀνάπαλιν. ἐκεῖ μὲν γὰρ εἰ ἔσται τὸ τέλος ἢ τὸ εἶδος,
ἀνάγκη εἶναι τὰ πρὸς αὐτό, οὐ μὴν εἰ ἐκεῖνα, ἐξ ἀνάγκης καὶ τοῦτο· ἐνταῦθα

---

2 γένος Aa ἀριστοτέλει Aa 4 ἡ — εἶναι (5) om. E ἡ delevi
6 ἐπὶ γένηται libri 7 ἐπὶ χορηγεῖ libri post ἢ add. ὃ E 8 τὸ δυνάμει — μεταβάλλον (9) om. E 10 αὐτῇ E 11 εἶναι] ἦν Aa 12 τοῦ διότι Aa τῆς ἀποδείξεως E 19 μὲν om. Aa 26 γένος αἰτίας] γε αἴτιον E 28 ἐν τοῖς γενέσει coll. E 30 τῶν γὰρ — ἀνάπαλιν (31) om. E 32 ἔσται οἰκία E 33 γε om. Aa 34 εὑρεῖν ἐστιν (sic) coll. Aa 35 δὲ om. Aa 36 καὶ τοῦτο — ἐξ ἀνάγκης (138,2) om. E

δὲ εἰ ὁ μέσος ἢ αἱ προτάσεις, ἀνάγκη καὶ τὸ συμπέρασμα, οὐ μὴν εἰ τοῦτο, 67
ἐξ ἀνάγκης κἀκεῖνα· ἐνδέχεται γὰρ ἐκ ψευδῶν ἀληθὲς συναχθῆναι συμ-
πέρασμα. καὶ οὕτω μὲν ὁ μέσος ὡς ὕλη αἴτιον λέγεται ὡς ἐπ' αὐτοῦ τοῦ 50
συλλογισμοῦ καὶ τῆς ἀποδείξεως, διότι καὶ αὐτῷ ἡ ἀνάγκη τοῦ ἕπεσθαι τὸ
5 συμπέρασμα. ἔστι δὲ καὶ ἰδίως ἀποδοῦναι, πῶς ποτε τὸ ὑλικὸν αἴτιον
μέσον ἐν τῇ ἀποδείξει λαμβάνεται. οἷον διὰ τί φθαρτὰ τὰ ἡμέτερα σώματα;
ὅτι ἐξ ἐναντίων σύγκειται· ἐκ γὰρ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ
ὑγροῦ, ταῦτα δ' ἐναντία. 'τὰ ἡμέτερα σώματα ἐξ ἐναντίων σύγκειται· τὰ
ἐξ ἐναντίων συγκείμενα φθαρτά· τὰ ἡμέτερα ἄρα σώματα φθαρτά'. τὸ οὖν
10 μέσον ἐνταῦθα ὑλικόν ἐστιν αἴτιον· ἐξ ὧν γὰρ ὡς | ἐξ ὕλης τὰ ἡμέτερα 68
συνέστηκε σώματα, ταῦτα τἀναντία ἐστί. πάλιν διὰ τί ὁ χαλκὸς εὔηχος;
διότι πολὺ τὸ ἀερῶδες ἔχει· καὶ τοῦτο ἐκ τῆς ὕλης ἀποδέδοται. 'ὁ χαλκὸς
πολὺ τὸ ἀερῶδες ἔχει· πᾶν ὃ ἔχει πολὺ τὸ ἀερῶδες, εὔηχον. ὁ χαλκὸς
ἄρα εὔηχος'. περὶ δὲ τῶν λοιπῶν αἰτίων ἐροῦμεν ἑξῆς τὴν λέξιν ἐπεξιόντες.

15 p. 94ᵃ 20 Ἐπεὶ δ' ἐπίστασθαι οἰόμεθα.

Ἐπειδήπερ εἴρηκεν ἤδη ὅτι ἡ κυρίως ἀπόδειξις μέσον ὅρον τὸν αἴτιον 5
τοῦ πράγματος λαμβάνουσα ἐκ τούτου τὸν ὁρισμὸν ἀναφαίνει, μέσον ἐν
ταύτῃ τιθέμενον ὡς εἶδος ὄντα καὶ αἴτιον, ἵνα μήτις οἰηθείη ὅτι καὶ ἑτέρων
ὄντων αἰτίων μόνος ἐκ τούτων ὁ ὁρισμὸς μέσος λαμβάνεσθαι πέφυκεν ἐν
20 ταῖς ἀποδείξεσι, τῶν δὲ λοιπῶν οὐδὲν ἐν συλλογισμῷ λαμβάνεται μέσον,
ἢ ὁ λαμβάνων παρὰ τὸν ὅρον μέσον ἕτερον αἴτιον συλλογίζεται μέν, οὐκ
ἀποδείκνυσι δέ, διὰ τοῦτο ταῦτα προστίθησι τέτταρα λέγων εἶναι τὰ αἴτια, 10
καθ' ἃ τὸ διὰ τί ἀποδιδόντες πεπαύμεθα. τεσσάρων δή, φησί, τῶν αἰτιῶν
οὐσῶν, τοῦ τί ἦν εἶναι ἤτοι τοῦ εἴδους, τῆς ὕλης, τοῦ ποιητικοῦ, τοῦ
25 τελικοῦ, πᾶσαι αὗται διὰ τοῦ μέσου δείκνυνται, τουτέστι πᾶσαι διὰ τοῦ
μέσον λαμβάνεσθαι ἐν ταῖς ἀποδείξεσιν ἀναφαίνονται. τοῦ μέσου γὰρ ἀπο-
διδομένου πῇ μὲν οὕτως πῇ δ' ἑτέρως, διὰ τί τόδε ἢ τόδε ἐστίν, ἑκάστη
αὐτῶν ἀναφαίνεται. καὶ ὅπως μὲν ἐπὶ τοῦ ὅρου τοῦτο γίνεται, εἴρηται ἱκανῶς·
εἴπομεν δὲ καὶ περὶ τῆς ὕλης σαφῆ παραδείγματα. εἰρήσεται δὲ καὶ περὶ 15
30 τῶν λοιπῶν μετὰ τὴν τῶν προκειμένων σαφήνειαν.

p. 94ᵃ 20 Ἐπεὶ δ' ἐπίστασθαι οἰόμεθα ὅταν εἰδῶμεν.

Κοινή, φησίν, ἐστὶν ἔννοια ὅτι τότε ἐπίσταταί τις, ὅταν τὴν αἰτίαν
εἰδῇ τοῦ πράγματος, ὡς μὴ ἄλλως εἶναι ἐπίστασθαι ἢ τῆς αἰτίας γινωσκο-
μένης. εἰ δὲ τέσσαρες αἱ αἰτίαι, κατὰ τὰς τέσσαρας δεῖ γίνεσθαι καὶ τὰς
35 ἐπιστήμας. εἰσὶ δὲ αὗται ἃς ἀπαριθμεῖται αὐτός. πρῶτον δὲ τὸ εἰδικὸν
καὶ τὸ ὑλικὸν ἔταξεν ὡς συντεταγμένα τῷ πράγματι, καὶ διὰ τοῦτο καὶ

6 διότι Aa 7 et 8 σύγκεινται Aa 7 ἐκ γὰρ — ἐναντία (8) om. E
11 et 23 διότι Aa 21 αἴτιον ἕτερον coll. Aa 23 δή] δὲ E 26 μέσον
scripsi: μέσου libri 27 ἕκαστον E 33 ὡς] καὶ E 35 ἀπαριθμεῖ E

ἡμῖν γνωριμώτερα. τὸ δὲ εἶδος τῆς ὕλης πρῶτον, ὅτι τε κρεῖττον αὐτῆς 68
καὶ ὅτι σαφέστερον καὶ φανότερον· ἐξ ἀφαιρέσεως γὰρ ἥδε καὶ οὐκ αὐτόθεν 20
καταλαμβάνεται. τοῦ δὲ τελικοῦ τὸ ποιητικόν, ὅτι τὸ μὲν πρὸ τοῦ πράγ-
ματος, τὸ δὲ τῇ ὑπάρξει τοῦ πράγματος ἐπί τε τῶν φυσικῶν ἐπί τε τῶν
5 τεχνικῶν ἐπακολουθεῖ, κἂν τῇ ἐννοίᾳ τοῦ ποιοῦντος τοῦ ποιουμένου προτέτα-
κται. τέσσαρας δὲ αἰτίας ταύτας ἀπαριθμεῖται, τὸ ὀργανικὸν καταλιμπάνων 25
καὶ τὸ παραδειγματικὸν διὰ τὸ πανταχοῦ φυσικεύεσθαι, τὴν δὲ φύσιν
προσεχῶς ἐνεργοῦσαν τοῖς κινητοῖς οὐδενὶ ὡς ὀργάνῳ χρῆσθαι οὐδέ γε
πρός τι ἀφορᾶν ὡς πρὸς προκέντημα καὶ προχάραγμα. ὀνομάζει δὲ τὸ
10 μὲν εἰδικὸν τί ἦν εἶναι· τὸ γὰρ τί καὶ ὁ οὐσιώδης λόγος τοῦ πράγματος
τὸ εἶδός ἐστι· τὴν δὲ ὕλην τίνων ὄντων ἀνάγκη τοῦτ' εἶναι, ὡς διὰ τὴν
ἀναγκαίαν χρείαν τῆς τῶν τοιούτων εἰδῶν ὑποστάσεως ὑπαρχούσης αὐτῆς.
ὥσπερ γὰρ εἰ ἔσται οἰκία, ἀνάγκη καὶ ξύλα καὶ λίθους εἶναι, καὶ ἁπλῶς 30
ἐξ ὧν αὕτη κατὰ τέχνην συνέστηκεν, ὡς οὐκ ἂν ὑποστάσης αὐτῆς, εἰ
15 μὴ ἐκεῖνα ἦν, οὕτω καὶ εἰ ὑγεία ἔσται ἢ ἄνθρωπος ἤ τι τῶν φυσικῶν
εἰδῶν ἕτερον, ἀνάγκη τόδε εἶναι ἢ ἔσεσθαι ὡς ὕλην, ἐξ ἧς τὸ εἶδος ἔσται
ἢ ἐν ᾗ ὑποστήσεται. τὸ δὲ ποιητικόν, τί πρῶτον ἐκίνησεν, ὡς ἀκινήτου
τῆς ὕλης οὔσης καὶ ἀνενεργήτου καθ' αὑτήν, ᾗ ὕλη ἐστί, δεομένης δὲ τοῦ
κινοῦντος καὶ τὴν ἐγκειμένην ἐν αὐτῇ δύναμιν ἐκκαλουμένου πρὸς ἐνέργειαν
20 καὶ τοῦ εἶδος παραδοχήν. τοῦτο δέ ἐστι τὸ ποιητικόν· πᾶν γὰρ τὸ εἰς 35
ἔργον ἄγον τὴν δύναμιν καὶ οὐκ εἰς μόνην ἐνέργειαν ποιητικὸν λέγεται,
ὥσπερ καὶ ποιητικαὶ τέχναι αἱ τοιαῦται, αἳ δὴ τῆς τοῦ τεχνίτου ἐνεργείας
πεπαυμένης ἔργον ὑφιστάμενον ἔχουσιν, οἷον τεκτονική, χαλκευτικὴ καὶ αἱ
ταύταις ὅμοιαι, ὡς πρακτικαὶ αὖθις αἱ πρᾶξιν μόνην τέλος, οὐχὶ καὶ ἔργον
25 ἔχουσαι, οἷον μουσικὴ καὶ ἰατρική. ἡ δὲ τετάρτη αἰτία σαφὴς διὰ τί οὗ
ἕνεκα ὀνομάζεται· ἕνεκα γὰρ τοῦ τέλους τὸ δι' αὐτὸ γεγονός. δεῖ δὲ μὴ
λανθάνειν ὅτι ἀνάπαλιν ἐνταῦθα τῆς ὕλης καὶ τοῦ εἴδους τὴν ἀκολούθησιν 40
εἴληφε τοῖς ἐν ταῖς Φυσικαῖς πραγματείαις εἰρημένοις, οἷον ἐν τῇ Περὶ γενέ-
σεως καὶ φθορᾶς, ἐν τῇ Περὶ ζῴων μορίων καὶ ἀλλαχοῦ. ἐκεῖ μὲν γὰρ εἰ τὸ
30 εἶδος ἔσται, φησίν, ἀνάγκη τὴν ὕλην εἶναι ἢ ἔσεσθαι, οἷον εἰ ὑγεία ἢ ἄνθρω-
πος, τὰ ἐξ ὧν ταῦτα ἢ ἐν οἷς· ἐνταῦθα δὲ τὴν ὕλην δηλῶσαι βουλόμενος τίνων
ὄντων ἀνάγκη τοῦτ' εἶναί φησιν, ὡς τῇ ὕλῃ ἐξ ἀνάγκης τοῦ εἴδους ἑπομένου,
ὅπερ οὔτε ἐπὶ τῶν φυσικῶν ἰδεῖν ἔστιν οὔτε μὴν ἐπὶ τῶν τεχναστῶν. ἀλλ'
ἀνάπαλιν ἡ ἀνάγκη ἀπὸ τοῦ εἴδους πρὸς τὴν ὕλην. εἰ γὰρ οἰκία, καὶ λίθοι ἐξ 45
35 ἀνάγκης καὶ ξύλα καὶ ὅσα πρὸς τὸ εἶδός ἐστιν, οὐ μὴν καὶ ἀνάπαλιν, καὶ ἐπὶ
τῆς ὑγείας καὶ τοῦ ἀνθρώπου ὡσαύτως. ἢ ἐνταῦθα κατὰ τὸν προκείμενον
σκοπὸν οὕτως εἴρηκεν, ὡς ἔχει ἐπὶ τῆς ἀποδείξεως· τῶν γὰρ προτάσεων

---

2 οὐκ om. Aa 4. 5 τεχνικῶν ἐπί τε τῶν φυσικῶν coll. E 9 πρὸς κέντημα E
13 καὶ ξύλα] τὰ ξύλα Aa καὶ τοὺς λίθους Aa 14 κατὰ τὴν τέχνην E
18 δεομένης scripsi: δεομένην libri 19 δυνάμει E 21 ἄγον τὴν δύναμιν] τὴν
δύναμιν ἐκκαλούμενον E 25 διότι Aa 26 τὸ] δὲ a 28 ἐν ταῖς Φ. πραγμα-
τείαις] De part. an. A 1 Phys. B 9 all. εἰρημένοις om. E οἷον ἐν τῷ E
29 καὶ (ante φθορᾶς) om. E 37 post ἔχει add. καὶ Aa

οὐσῶν ἀνάγκη εἶναι καὶ τὸ συμπέρασμα, οὐ μὴν καὶ ἀνάπαλιν, ὡς καὶ 68
πρότερον εἴρηται. καὶ τὴν ποιητικὴν δὲ αἰτίαν οὐχ ἁπλῶς εἶπε τί ἐκίνησεν
ἀλλὰ τί πρῶτον ἐκίνησε· τὸ γὰρ καταρξάμενον τῆς κινήσεως ἐκεῖνο τὸ 50
ποιητικόν ἐστιν, ὥσπερ ἐφ' οὗ τε αὐτός φησι παραδείγματος καὶ ἐπὶ πολλῶν
5 ἄλλων εὑρεῖν ἔστιν, ἵνα μὴ ἐπὶ πάντων λέγω. τοῦ γὰρ Μηδικοῦ κατ'
Ἀθηναίων πολέμου πολλὰ ἴσως τὰ κινητικά, ἀλλ' ἐκεῖνο τὸ ποιητικὸν αὐτοῦ,
ὃ καὶ προκατῆρξεν ἐξ ἀρχῆς τῆς κινήσεως· τοῦτο δέ ἐστι τὸ εἰς Σάρδεις
Ἀθηναίους μετ' Ἐρετριέων ἐμβαλεῖν. καὶ ὁ πατὴρ καταβαλὼν ἐξ ἑαυτοῦ
τὴν γονὴν πρῶτος κεκίνηκε καὶ ἀπηλλάγη τοῦ κινουμένου· τὰ δὲ μετ' ἐκεῖνον
10 κινοῦντα ἕτε|ρα, ἀλλ' οὐ ταῦτα ποιητικὰ τοῦ τικτομένου, ἀλλ' ὁ πρῶτος 69
κινήσας πατήρ, καὶ οὕτως ἐπὶ πάντων. διὰ τοῦτο καὶ ἐν ἄλλοις ὅθεν ἡ
ἀρχὴ τῆς κινήσεως τὸ ποιητικὸν εἴρηκεν, ὃ ἴσον ἐστὶ τῷ τί πρῶτον ἐκίνησε.
πᾶσαι οὖν, φησίν, αὗται διὰ τοῦ μέσου δείκνυνται, τουτέστιν ὅτι οὐ μόνος
ὁ ὁρισμὸς καὶ ἡ εἰδικὴ ἀρχὴ ἐκ τοῦ λαμβάνεσθαι μέσον ἐν τῇ ἀποδείξει
15 τὸ αἴτιον ἀναφαίνεται, ἀλλ' ἔστι καὶ τῶν λοιπῶν ἑκάστην τοῦτον τὸν τρό- 5
πον ἐκφαίνεσθαι, ὡς καὶ αὐτῶν ἑκάστης μέσου ἐν ταῖς ἀποδείξεσι λαμβα-
νομένης.

p. 94ᵃ 24 Τό τε γὰρ οὖ ὄντος τόδε ἀνάγκη εἶναι.

Δόξειεν ἂν περὶ τῶν προτάσεων τοῦτο λέγεσθαι, οἰκειότερον δ' ἂν εἴη
20 περὶ τοῦ μέσου νοεῖσθαι. παράδειγμα μὲν γὰρ τοῦτο τοῦ ὁλικοῦ τίθησιν 10
αἰτίου· φησὶ δὲ ὥσπερ ἐφερμηνεύων ἑαυτὸν ὅτι 'ὁπόταν ἀκούῃς λεγόντων
ἡμῶν ὡς τούτου ὄντος ἀνάγκη τόδε τι εἶναι, μὴ διὰ τὰς προτάσεις τοῦτο
νόει οὕτως ἑνικῶς ἐκφερόμενον'. μιᾶς γὰρ οὔσης προτάσεως οὐκ ἔστι γενέ-
σθαι συμπέρασμα, ἀλλὰ τοὐλάχιστον δυοῖν οὐσῶν ἕπεται. περὶ οὗ δὲ
25 λέγομεν ὅτι τούτου ὄντος ἀνάγκη εἶναι τὸ συμπέρασμα τὸ μέσον ἐστίν, ὃ
δεῖ ἓν εἶναι καὶ ἀμφοτέρας ἑνοῦν δι' ἑαυτοῦ τὰς προτάσεις καὶ εἰς κοινωνίαν
ἄγειν αὐτάς. ἑνὸς οὖν τούτου ὄντος καὶ αἰτίου καὶ τὸ συμπέρασμα ἐξ 15
ἀνάγκης ἐστίν· ὡς μὲν γὰρ ἓν τὰς προτάσεις ἑνοῖ, ὡς δὲ αἴτιον ἐξ ἀνάγκης
ἔχει ὡς αἰτιατὸν αὐτῷ ἑπόμενον τὸ συμπέρασμα. ἔοικεν οὖν ἁπλῶς πᾶς
30 μέσος κατὰ τοῦτον τὸν λόγον ὡς ὁλικὸν αἴτιον ὑπάρχειν ἐν τῷ συλλογισμῷ·
τούτῳ γὰρ ἡ πᾶσα ἀνάγκη τοῦ συμπεράσματος πρόσεστιν, ἐπεὶ καὶ ταῖς
προτάσεσιν αὐτός ἐστιν αἴτιος τοῦ πρὸς ἀλλήλας συνδεῖσθαι. ὥστε πρώτως 20
ἡ δύναμις καὶ τὸ ἀναγκαῖον ἐν τούτῳ ἐστίν· ᾧ δὲ τῶν αἰτίων ἡ δύναμις
καὶ τὸ ἀναγκαῖον, τοῦτο ὁλικόν ἐστιν. ἐν τῷ συλλογισμῷ ἄρα ὁ μέσος
35 ὡς ὁλικόν ἐστιν αἴτιον· ὥστε κἂν πρὸς τὸ πρᾶγμα ἢ ὡς εἶδος ἢ ὡς τέλος

5 λέγω] ἐρῶ Aa 6 τὸ om. E 9 et 10 πρῶτον E 13 μόνον Aa
14 εἰδητικὴ E 15. 16 τὸν τρόπον τοῦτον coll. Aa 22 τόδε τι] τὸ δὲ τί ἦν a
26 δι' ἑαυτοῦ om. E 26. 27 καὶ εἰς — ἄγειν] καὶ ἐκ κοινωνίας λέγειν E 27. 28 ἑνὸς
οὖν — ἐκ ἀνάγκης ἐστίν] verba tamquam novum lemma dist. Aa 29. 30 μέσος πᾶς
coll. Aa 30 ὑπάρχει E 31 τούτῳ scripsi: τοῦτο libri 32 τοῦ om. E
συνδέεσθαι Aa 35 ὡς τέλειος E

ἢ καὶ ὡς ποιητικὸν αἴτιον ὁ ληφθεὶς ἐστι μέσος, ἀλλὰ τῷ γε συλλογισμῷ 69
ὡς ὕλη ἐστίν.

p. 94a 27 Δῆλον δὲ καὶ ὧδε· διὰ τί ὀρθὴ ἡ ἐν ἡμικυκλίῳ.

Ὅτι ὁ μέσος ὡς ὕλη ἐστὶ τῷ συμπεράσματι, καὶ διὰ παραδείγματος 25
δείκνυσι τὴν ἐν ἡμικυκλίῳ ἐγγεγραμμένην γωνίαν παραλαμβάνων. τίς μὲν οὖν ἡ ἐν ἡμικυκλίῳ γωνία καὶ ὅπως ὀρθή, ἐν τῷ τρίτῳ τῶν Εὐκλείδου στοιχείων δείκνυται ἀκριβῶς. ἐροῦμεν δὲ ἐπὶ μικρὸν καὶ ἡμεῖς σαφηνείας ἕνεκα τῶν προκειμένων, ταύτης πλέον ἐνταῦθα ἢ τῆς ἀκριβείας φροντίσαντες διὰ τὸ παρ' Εὐκλείδῃ ταύτην εὑρίσκεσθαι, ἡμῖν δὲ εἶναι ἱκανόν, εἰ τὰ
προκείμενα ῥητὰ σαφηνίσομεν. περιγεγράφθω γὰρ κύκλος ὁ ΒΓΔΕ κέντρον 30
ἔχων τὸ Α, διάμετρος δὲ τοῦ κύκλου ἡ ΒΔ. καὶ ἀπὸ τοῦ Γ τῇ ΒΔ πρὸς ὀρθὰς ἤχθω ἡ ΓΑ. ἐν ἡμικυκλίῳ τοίνυν τῷ ΒΓΔ γωνία ἐγγέγραπται ἡ ὑπὸ ΒΑΓ· λέγω ὅτι ὀρθή ἐστιν. ἐπεὶ γὰρ δύο ὀρθαὶ ἥ τε ὑπὸ ΒΑΓ καὶ ἡ ὑπὸ ΓΑΔ, ἡμίσεια δυοῖν ὀρθαῖν τούτων ἑκάτερον. ἀφῃρημένης οὖν
τῆς ὑπὸ ΓΑΔ ὀρθὴ καταλέλειπται ἡ ὑπὸ ΓΑΒ, ἡμίσεια τῶν δύο ὑπάρχουσα, ὃ προέκειτο. τὸ αὐτὸ καὶ ἐπὶ τῆς ἑτέρας ἔσται. οὕτω μὲν δὴ ἡ καταγραφή· ἴδωμεν δὴ καὶ αὐτὸς τί φησιν. 35

p. 94a 28 Ἔστω δὴ ὀρθὴ ἐφ' ἧς Α, ἡμίσεια δυοῖν ὀρθαῖν ἐφ' ἧς Β, ἡ ἐν ἡμικυκλίῳ ἐφ' ἧς Γ.

Τὴν πλοκὴν τῆς ἀποδείξεως ἐν τούτοις συνίστησι μέσον ὅρον λαμβάνων τὸ Β, ὅπερ ἐστὶν ἡ ἡμίσεια δυοῖν ὀρθαῖν, μεῖζονα δὲ τὸ Α, ὅπερ ἐστὶν ἡ ὀρθή, ἐλάττονα δὲ τὸ Γ, ὅπερ ἐστὶν ἡ ἐν ἡμικυκλίῳ γωνία. τὴν γὰρ ὀρθὴν δεῖ συνάγειν κατὰ τῆς ἐν ἡμικυκλίῳ γωνίας διὰ μέσης τῆς ἡμισείας τῶν δύο ὀρθῶν. 40

p. 94a 30 Τοῦ δὴ τὸ Α τὴν ὀρθὴν ὑπάρχειν τῷ Γ τῇ ἐν τῷ ἡμικυκλίῳ αἴτιον τὸ Β.

Τοῦ ὑπάρχειν δή, φησί, τὸ Α τὸν μείζονα, ὅς ἐστιν ἡ ὀρθή, τῷ Γ τῷ ἐλάττονι, ὅς ἐστιν ἡ ἐν ἡμικυκλίῳ γωνία, αἴτιός ἐστιν ὁ μέσος, ὅς ἐστιν ἡ ἡμίσεια δύο ὀρθῶν· αὕτη γάρ, φησίν, ἡ Β ἡ ἡμίσεια δυοῖν ὀρθαῖν
τῇ Α τῇ ὀρθῇ ἴση, ἡ δὲ τὸ Γ ἡ ἐν τῷ ἡμικυκλίῳ γωνία τῇ Β τῇ ἡμισείᾳ δύο ὀρθῶν ἴση. τοῦτο γὰρ δηλοῖ τὸ ἡ δὲ τὸ Γ τῷ Β· δύο γὰρ 45
ὀρθῶν ἡμίσεια.

---

5 ἐγγεγραμμένην om. E 6 εὐκλείδους E 7 ἐροῦμεν—φησιν (17)] καὶ ἐκεῖθεν ληφθείτω (sic) αὐτὸς δέ φησιν E 10 ῥητὸν a 14 ἡ om. a 18 post ἡμίσεια add. δὲ E 21 ὀρθῶν E 22 δὲ om. Aa 23 συναγαγεῖν E 24 δύο om. E 25. 26 Τοῦ δὴ—τὸ B om. E

p. 94a 32 Τοῦ Β οὖν ὄντος ἡμίσεος δυοῖν ὀρθαῖν τὸ Α τῷ Γ ὑπάρχει. 69

Διότι οὖν, φησί, τὸ μέσον τοιοῦτόν ἐστιν, ὡς εἶναι δύο ὀρθῶν ἡμίσεια, τὸ Α τῷ Γ ὑπάρχει. τί δέ ἐστι τὸ τὸ Α τῷ Γ ὑπάρχει ἐφερμηνεύων, ἐπάγει τὸ εἶναι τὴν ἐν ἡμικυκλίῳ γωνίαν ὀρθήν.

p. 94a 34 Τούτῳ δὲ ταὐτόν ἐστι τὸ τί ἦν εἶναι τῷ τοῦτο σημαίνειν τὸν λόγον.

Τῷ ληφθέντι, φησί, μέσῳ ἐν τῇ προκειμένῃ ἀποδείξει ταὐτόν ἐστιν ὁ ὁρισμός. διὰ τί; ὅτι ἓν τῶν τοῦ ὅρου σημαινομένων εἴρηται πρότερον τὸ σημαίνειν τὸν λόγον ταὐτὸν τῷ ὀνόματι. ἐπεὶ οὖν ὄνομα μὲν ἡ ὀρθή, λόγος δὲ ἡ ἡμίσεια δύο ὀρθῶν, σημαίνει δὲ ὁ λόγος οὗτος τῷ ὀρθῇ ὀνόματι ταὐτόν, ὁρισμός ἐστι καὶ τί ἦν εἶναι. ἀλλ' εἰ καὶ οὕτως ἔχει, ὅμως ὡς ὕλη ἐστὶ τῷ συλλογισμῷ, καθὼς εἴρηται. ἔστι καὶ ἑτέρως εἰπεῖν, ὅτι ὁ μέσος ἐνταυθοῖ κατ' ἄλλο μὲν ὡς ὑλικὸν αἴτιον δόξειεν ἂν κατ' ἄλλο δὲ ὡς τί ἦν | εἶναι καὶ εἰδικόν. ὡς μὲν γὰρ ἥμισυ δύο ὀρθῶν ὕλη τῶν δύο 70 ὀρθῶν· τὸ γὰρ ὅλον ἐκ τῶν ἰδίων ὡς ἐξ ὕλης μερῶν. ἐπεὶ τοίνυν δύο ἡμισεύματα εἴληπται, ἐξ ὧν αἱ δύο ὀρθαί, ὕλη ταῦτα πρὸς τὰς ὀρθὰς ὡς ἕν τι λαμβανομένας ἐκ δύο συγκείμενον. αὖθις δὲ ἐπεὶ ἐφεξῆς ἴσαι ἐλήφθησαν, εὐθείας ἐπ' εὐθείας σταθείσης, τοῦτό ἐστι τὸ τί ἦν εἶναι τῆς ὀρθῆς· ὀρθὴ γάρ ἐστι γωνία, ὅταν εὐθεῖα ἐπ' εὐθείας σταθεῖσα τὰς ἐφεξῆς 5 γωνίας ἴσας ἀλλήλαις ποιῇ. καὶ εἰ οὕτως ἐκλάβοιμεν, τὸ ῥητὸν τὸ τῷ τοῦτο σημαίνειν τὸν λόγον διττῶς νοήσομεν· ἢ γὰρ τὸν λόγον τῆς ὀρθῆς τοῦτο σημαίνειν τὸ ἴσας εἶναι τὰς ἐφεξῆς, ἢ τοῦτο σημαίνειν τὸν συλλογισμόν, ἤγουν παριστᾶν τὸν ὁρισμὸν τῆς ὀρθῆς. δύο γὰρ ὀρθῶν ἴσα λαμβάνων ὁ συλλογισμὸς τμήματα τὸ τὰς ἐφεξῆς ἴσας εἶναι παρίστησιν· τοῦτο δέ ἐστι τὸ τί ἦν εἶναι τῆς ὀρθῆς. οὗτος μὲν οὖν οὕτω τὸ παράδειγμα τοῦ ὑλικοῦ αἰτίου ἐξέθετο, ἐπὶ τῆς ἀποδείξεως ἁπλῶς τὸν λόγον 10 γυμνάσας· ἡμῖν δὲ εἴρηται καὶ ἐπὶ τῶν πραγμάτων αὐτῶν παραδείγματα σαφῶς τὴν ὑλικὴν αἰτίαν παριστῶντα.

p. 94a 35 Ἀλλὰ μὴν καὶ τοῦ τί ἦν εἶναι αἴτιον δέδεικται τὸ μέσον.

Ἀναμιμνήσκει τῶν πρότερον περὶ τοῦ ὅρου εἰρημένων ὥσπερεὶ λέγων ἰδοὺ τοίνυν καὶ τὸ ὑλικὸν αἴτιον μέσον λαμβάνομεν ἐν τῇ ἀποδείξει, καὶ τοσοῦτον ὡς καὶ πάντα μέσον ὕλης λόγον ἐπέχειν ἐν τῷ συλλογισμῷ. 15

4 δέ om. a ἐστι τὸ Α E 9 διότι Aa τῶν om. E εἴρηται om. E πρότερον] cf. p. 136,21 12 ταὐτὸν ante τῷ (11) exh. Aa 15. 16 τῶν — ὀρθῶν om. E 16 τὸν γὰρ a 22 νοήσωμεν E 26 οὗτος] οὕτω E 27 ἁπλῶς om. Aa 28 τῶν om. Aa 31 ὥσπερεὶ E

δέδεικται δὲ καὶ πρότερον, πῶς τὸ τί ἦν εἶναι ἐν τῇ ἀποδείξει ἐκφαίνεται, αἰτίου γινομένου τῆς αὐτοῦ γνώσεως τοῦ μέσον αὐτὸ λαμβάνεσθαι. λείπεται δὴ εἰπεῖν τὸν περὶ τῶν λοιπῶν τοῦ τε ποιητικοῦ καὶ τοῦ τελικοῦ.'

p. 94ᵃ 36 Τὸ δὲ διὰ τί ὁ Μηδικὸς πόλεμος ἐγένετο Ἀθηναίοις.

Καὶ τὸ ποιητικὸν δὲ αἴτιον ὁμοίως τοῖς εἰρημένοις μέσον ἐν ἀποδείξει παραλαμβάνεται, παράδειγμά τε τούτου ὁ Μήδων πρὸς Ἀθηναίους πόλεμος αἰτίαν ἔχων τὸ προκατάρξαι τῆς μάχης Ἀθηναίους.

p. 94ᵃ 37 Ὅτι εἰς Σάρδεις μετ' Ἐρετριέων ἐνέβαλον.

Ὑποτελοῦς γὰρ οὔσης πόλεως τοῖς Μήδοις ἐν Ἰωνίᾳ τῶν Σάρδεων, αὐτοὶ μετ' Ἐρετριέων ἐπενεχθέντες αὐτῇ ἀρχὴν ἑαυτοῖς ἐντεῦθεν τοῦ Μηδικοῦ πολέμου πεποιήκασιν. αἰτία οὖν τοῦ πολέμου ἡ πρώτη κινήσασα ἡ εἰς Σάρδεις τῶν Ἀθηναίων μετ' Ἐρετριέων εἰσβολή, ἥτις καὶ ἀποδιδομένη διὰ τί ὁ Μηδικὸς πόλεμος Ἀθηναίοις ἐγένετο, μέσος ὅρος ἐν τῇ ἀποδείξει τοῦδε τοῦ πολέμου γίνεται. ἐλάττων ὅρος Ἀθηναῖοι, μέσος τὸ πρῶτοι ἐνέβαλον, μείζων τὸ πολεμεῖσθαι. κατηγορεῖται οὖν ὁ μέσος τοῦ ἐλάττονος, Ἀθηναῖοι πρῶτοι ἐνέβαλον, ὁ μείζων τοῦ μέσου, οἱ πρῶτοι ἐμβαλόντες πολεμοῦνται· εἶτα συμπέρασμα Ἀθηναῖοι ἄρα πολεμοῦνται. πάλιν διὰ τί κάλλιστος ὁ κόσμος; ὅτι ὁ θεὸς αὐτὸν ἐδημιούργησε. Γ ἐλάττων ὁ κόσμος, Β μέσος τὸ ὁ θεὸς ἐδημιούργησεν, Α μείζων τὸ κάλλιστος. τὸν κόσμον ὁ θεὸς ἐδημιούργησεν· ὁ ὁ θεὸς ἐδημιούργησε, κάλλιστόν ἐστιν· ὁ κόσμος ἄρα κάλλιστός ἐστι. κἀνταῦθα τοίνυν μέσον αἴτιον εἴληπται τὸ πρῶτον κινῆσαν, ὅπερ ἐστὶ τὸ ποιητικόν. ἡ δὲ ῥῆσις σαφὴς καὶ οὐ δεῖταί τινος ἐξηγήσεως.

p. 94ᵇ 8 Ὅσων δὲ αἴτιον τὸ ἕνεκά τινος.

Ῥητέον ἤδη καὶ περὶ τοῦ τελικοῦ, πῶς καὶ αὐτὸ μέσον ἐν ἀποδείξει λαμβανόμενον ὁμοίως τοῖς ἄλλοις ἐκ τῆς ἀποδείξεως ἀναφαίνεται. διὰ τί γὰρ τόδε τῷδέ ἐστιν ἀποδιδόντες, ἐὰν οὗ ἕνεκα ἀποδώσομεν, τὸ τέλος ἀποδώσομεν. οἷον διὰ τί ὁ δεῖνα ἀπὸ τοῦ δείπνου περιπατεῖ; ὅπως ὑγιαίνῃ. τοῦτο τέλος ἐστὶ καὶ οὗ ἕνεκα· ἕνεκα γὰρ τοῦ ὑγιαίνειν περιπατεῖ, καὶ τέλος τὸ ὑγιαίνειν τοῦ περιπάτου ἐστίν. 'ὁ δεῖνα ἀπὸ τοῦ δείπνου περιπατεῖ· ὁ

---

1 ἐμφαίνεται E 2 αἴτιον γινόμενον E αὐτὸν Aa 4 διότι Aa
5 post ἐν add. τῇ E 6 λαμβάνεται Aa 7 τὸ] τοῦ E τοὺς Ἀθηναίους τῆς μάχης E 10 αὐτῇ om. E 13 et 17 διὰ τί] διότι Aa
17 post πολεμοῦνται litteras ΓΒΑ add. Aa itemque p. 144,1 post ἄρα ὑγιαίνει
18. 19 Γ ἐλάττων—ἐδημιούργησεν om. E 21 post τοίνυν add. τὸ E 22 ἡ] ὁ a ῥῆσις] ῆσις Aa 27 post ἐὰν add. τὸ Aa 26 et 28 διότι Aa itemque porro p. 144,1 et 5 30 τὸ om. a

περιπατῶν ἀπὸ τοῦ δείπνου ὑγιαίνει· ὁ δεῖνα ἄρα ὑγιαίνει. πάλιν διὰ τί 70
ἐστιν οἰκία; ὅπως οἱ οἰκοῦντες αὐτὴν τὰς ἐκ τῆς δυσκρασίας τοῦ περιέχοντος
βλάβας ἐκκλίνωσιν, ἢ ὅπως τὰ σκεύη σώζωνται. ἕνεκα γὰρ καὶ τοῦτο
τοῦ μὴ βλάπτεσθαι ἐκ τοῦ περιέχοντος καὶ τοῦ τὰ σκεύη σώζεσθαι. τὸ 40
5 γὰρ λέγειν ὅτι διὰ τί περιπατεῖ ἀπὸ τοῦ δείπνου καὶ ἕνεκα τίνος δεῖ περι-
πατεῖν οὐδὲν κατὰ διάνοιαν διαφέρετον, εἰ καὶ τῇ λέξει διενηνόχατον. ἔστι
δὲ τοιοῦτον ὃ λέγομεν· μετὰ τὴν τροφὴν μηδ' ὁπωσοῦν κινουμένου τοῦ
βεβρωκότος συμβαίνει ἐπιπολάζειν ἐπὶ τοῦ στόματος τῆς γαστρὸς τὰ σιτία,
κἀντεῦθεν μὴ τὴν προσήκουσαν ἀλλοίωσιν δεχόμενα φθείρεσθαί τε καὶ
10 σήπεσθαι, κἀντεῦθεν παρὰ φύσιν διατιθέναι τὸν σιτησάμενον. μετρίως δὲ 45
βαδίσαντος αὐτοῦ, καὶ μᾶλλον ἐν τόπῳ κατάντη τὴν διάθεσιν ἔχοντι, ἐν τῷ
κύτει τῆς γαστρὸς ἐκ τοῦ στόματος αὐτῆς χαλῶνται τὰ σιτία, καὶ ὑπ'
αὐτῆς κατεργαζόμενα γενναιότερον τῷ μετασχόντι σώματι τρόφιμα γίνονται.
ἐλάττων δὴ ὅρος τὸ ἀπὸ δείπνου περιπατεῖν, ὅπερ ἐστὶ τὸ Γ, Β μέσος τὸ
15 μὴ ἐπιπολάζειν τὰ σιτία, Α μείζων τὸ ὑγιαίνειν. 'τὸ περιπατεῖν ἀπὸ δείπνου
ποιεῖ μὴ ἐπιπολάζειν τὰ σιτία· τὸ ποιοῦν μὴ ἐπιπολάζειν τὰ σιτία ὑγιεινόν·
τὸ περιπατεῖν ἄρα ἀπὸ δείπνου ὑγιεινόν'. ἢ οὐκ ἀκολούθως τῷ προκειμένῳ
ἡ τοῦ συλλογισμοῦ γεγένηται ἔκθεσις. τὸ γὰρ τέλος ἡ ὑγεία, καὶ ταύτην 50
ἔδει μέσον ὅρον τεθῆναι· νῦν δὲ μείζων μὲν αὕτη, τὸ δὲ μὴ ἐπιπολάζειν
20 τὰ σιτία μέσος τέτακται. ἢ οὖν τοὺς ὅρους δεῖ μεταθεῖναι ἢ ἕτερον θέσθαι
λόγον, ἐν ᾧ μέσον τὸ ὡς οὗ ἕνεκα τετάξεται αἴτιον, ἢ εἰ ἐγχωρεῖ, καὶ
ἀμφότερα. 'τῷ δεῖνι χρεία τοῦ ὑγιαίνειν· ᾧ χρεία τοῦ ὑγιαίνειν, τοῦτον δεῖ
ἀπὸ | δείπνου περιπατεῖν· τὸν δεῖνα ἄρα δεῖ ἀπὸ δείπνου περιπατεῖν'. διὰ 71
τί δὲ τῷ χρῄζοντι ὑγιαίνειν δεῖ ἀπὸ δείπνου περιπατεῖν; διὰ τὸ μὴ ἐπι-
25 πολάζειν τὰ σιτία τῷ στόματι τῆς γαστρός. 'ᾧ χρεία ὑγιαίνειν, δεῖ μὴ
ἐπιπολάζειν τὰ σιτία τῷ στόματι τῆς γαστρός. ᾧ δεῖ μὴ ἐπιπολάζειν τὰ
σιτία τῷ στόματι τῆς γαστρός, τούτῳ δεῖ περιπατεῖν ἀπὸ δείπνου· ᾧ ἄρα
χρεία ὑγιαίνειν, τούτῳ δεῖ περιπατεῖν ἀπὸ δείπνου.' ὁ μὲν οὖν πρότερος
συλλογισμὸς τὸ τελικὸν αἴτιον μέσον εἴληφεν· ὁ δὲ τὴν μείζονα τούτου
30 πρότασιν κατασκευάσας προσυλλογισμός τί ἦν εἶναι καὶ εἶδος, ὡς αὐτός 5
φησι προϊών. τὸ γὰρ μὴ ἐπιπολάζειν τὰ σιτία λόγον τοῦ ὑγιαίνειν λέγει.
ἔστι δὲ καὶ ἕτερον λόγον εἰπεῖν, οἷον διὰ τί Σωκράτης συνέζευκται γυναικί;
ὅτι παίδων ἐφίεται. 'ὁ Σωκράτης παίδων ἐφίεται· ὁ ἐφιέμενος παίδων
γυναικὶ συνέζευκται. ὁ Σωκράτης ἄρα γυναικὶ συνέζευκται.' τέλος γὰρ καὶ
35 οὗ ἕνεκα ἡ συζυγία τὸ παιδοποιεῖν ἐστιν.

---

2 ἐστὶν ἡ οἰκία Aa 3 ἐκκλινῶσιν Aa 6 εἰ καὶ] κἂν Aa 7 μηδοποσοῦν Aa 8 ἐν τῷ στόματι Aa 10 τὸν scripsi: τὸ libri 11 διάθεσιν] θέσιν E 14 ἀπὸ τοῦ δείπνου E 16 post ποιεῖ add. τὸ E ποιοῦν om. E 21 ὡς om. E εἰ om. Ea 24 δὲ τῷ—δεῖ ἀτὸ] ὦ χρεία τοῦ ὑγιαίνειν τοῦτον ἀπὸ E 25 post γαστρὸς add. τὸ a 25 ᾧ χρεία—γαστρὸς (27) om. Aa 27 et 28 τοῦτον E 28 πρότερον a

p. 94ᵇ8 Ὅσων δὲ αἴτιον τὸ ἕνεκά τινος.

Ἐλλιπῶς τοῦτο εἴρηται· ἔδει γὰρ προσκεῖσθαι τὸ ἔστι τοιαῦτα, ἵν' ᾖ ὁ λόγος οὕτω 'τὰ δὲ ἔχοντα ἐν τῇ ἀποδείξει αἴτιον μέσον τὸ οὗ ἕνεκα καὶ τὸ τέλος τοιαῦτά εἰσιν.'

p. 94ᵇ9 Οἷον διὰ τί περιπατεῖ; ὅπως ὑγιαίνῃ.

Οὕτω γὰρ τὸ μὲν ὑγιαίνειν τὸ μέσον, τὸ περιπατεῖν δὲ τὸ μεῖζον ἄκρον· δεῖ δὲ τούτῳ συνεξακούεσθαι τὸ ἔλαττον, ὅπερ ἐστὶν ὁ ἐν τῷ συμπεράσματι ὑποκείμενος, τυχὸν Σωκράτης ἢ ὁ δεῖνα. 'τῷ Σωκράτει δεῖ τοῦ ὑγιαίνειν· ᾧ δεῖ τοῦ ὑγιαίνειν, δεῖ τοῦτον ἀπὸ δείπνου περιπατεῖν· τὸν Σωκράτην ἄρα δεῖ ἀπὸ δείπνου περιπατεῖν.'

p. 94ᵇ9 Διὰ τί οἰκία ἐστίν; ὅπως σώζηται τὰ σκεύη.

Τὰ μὲν σκεύη ὁ ἐλάττων, τὸ σώζεσθαι μέσος, μείζων ἡ οἰκία. 'τοῖς σκεύεσι δεῖ σωτηρίας· οἷς δεῖ σωτηρίας, τούτοις δεῖ σκέπης. τοῖς σκεύεσιν ἄρα δεῖ σκέπης, ὅπερ ἐστὶν ἡ οἰκία.'

p. 94ᵇ10 Τὸ μὲν ἕνεκα τοῦ ὑγιαίνειν, τὸ δ' ἕνεκα τοῦ σώζεσθαι.

Τοῦτο παραστατικόν ἐστι τοῦ ἀμφοτέρων εἶναι τελικὰ τὰ εἰλημμένα μέσα καὶ αἴτια· τοῦ μὲν γὰρ περιπατεῖν ἀπὸ δείπνου τὸ ὑγιαίνειν οὗ ἕνεκα καὶ τέλος, τῆς δὲ οἰκίας ἡ σωτηρία.

p. 94ᵇ11 Διὰ τί δὲ ἀπὸ δείπνου δεῖ περιπατεῖν;

Ἐπειδὴ τὸ οὗ ἕνεκα παραστῆσαι προθέμενος οὐχ οὕτως ἐπὶ λέξεως ἐν τοῖς παραδείγμασιν εἴρηκεν, ἀλλὰ διὰ τί, διὰ τοῦτο προστίθησι νῦν ὅτι οὐδὲν διαφέρει τίνος ἕνεκα εἰπεῖν τὴν αἰτίαν ζητοῦντας ἐπὶ τῶν τοιούτων καὶ διὰ τί. εἴτε γὰρ διὰ τί ἔροιτό τις ἀπὸ δείπνου Σωκράτης περιπατεῖ εἴτε τίνος ἕνεκα, τὸ ὑγιαίνειν οἰκείως ἀποδοθήσεται· τὸ γὰρ διὰ τί κοινὴ ζήτησις ἐπὶ πάντων τῶν αἰτίων ἐστίν.

p. 94ᵇ12 Περίπατος ἀπὸ δείπνου Γ, τὸ μὴ ἐπιπολάζειν.

Πλατύτερον ἔτι βούλεται εἰπεῖν τὸ αὐτό. λαμβάνει δὴ ἔλαττον μὲν ἄκρον, ὅπερ Γ φησί, τὸν ἀπὸ δείπνου περίπατον, μέσον δ Β λέγει, τὸ μὴ ἐπιπολάζειν τὰ σιτία, καὶ μεῖζον τὸ Α τὸ ὑγιαίνειν.

---

2 προκεῖσθαι E 5 et 11 sqq. διότι Aa lemmata non distinxit E 9. 10 τὸν — περιπατεῖν om. E 17 τὸ] τὸν a 20 παραστῆναι Aa 23 περιπατεῖν Aa 24 τὸ γὰρ] καὶ γὰρ τὸ E 27 λαμβάνει δὴ] λαμβάνων E 29 τὸ Α] ὃ ᾱ Aa

p. 94b14 Ἔστω δὴ τῷ ἀπὸ δείπνου περιπατεῖν ὑπάρχον τὸ ποιεῖν μὴ ἐπιπολάζειν τὰ σιτία ἐν τῷ στόματι τῆς κοιλίας, καὶ τοῦτο ὑγιεινόν. δοκεῖ γάρ. 71

Κατηγορείσθω δή, φησί, τὸ ποιεῖν μὴ ἐπιπολάζειν τὰ σιτία, ὅπερ ἐστὶ τὸ μέσον, τοῦ ἐλάττονος τοῦ ἀπὸ δείπνου περιπατεῖν, τούτου δὲ τὸ ὑγιεινόν. δοκεῖ γάρ, φησί, τουτέστιν ὁμολογεῖται ὅτι ὑγιεινόν ἐστι τὸ μὴ ἐπιπολάζειν τὰ σιτία πρὸς τῷ στόματι τῆς κοιλίας. 35

p. 94b16 Ὑπάρχει δὴ τῷ περιπατεῖν τῷ Γ τὸ Β τὸ μὴ ἐπιπολάζειν τὰ σιτία, τούτῳ δὲ τὸ Α τὸ ὑγιεινόν.

Ἐπειδὴ προσεχῶς ἄνευ τῶν στοιχείων ταῦτα ἐξέθετο, πάλιν ἔτι μετὰ τῶν στοιχείων ἐκτίθεται, διὰ τῆς τῶν στοιχείων λήψεως ἑκάστῳ τὴν οἰκείαν χώραν ἀποδιδούς, ὡς εἶναι τὸ πρὸς τῷ Γ ἐλάσσω, τὸ πρὸς τῷ Β μέσον, τὸ πρὸς τῷ Α μείζω. δοκεῖ δὲ ταῦτα πάντα τοῦ προσυλλογισμοῦ εἶναι· οὐ γὰρ ἐν τούτοις τὸ οὗ ἕνεκα μέσον τέθειται, ὃ προέκειτο. ὥσθ' ὁπότε ἔλεγε 'διὰ τί περιπατεῖ; ὅπως ὑγιαίνῃ', τότε τὸ οὗ ἕνεκα μέσον ἐλάμβανε, καὶ ἦν ὁ συλλογισμὸς οὕτως, ὡς καὶ πρότερον εἴπομεν 'τῷ δεῖνι δεῖ τοῦ ὑγιαίνειν· ᾧ δεῖ τοῦ ὑγιαίνειν, τοῦτον δεῖ ἀπὸ δείπνου περιπατεῖν· τὸν δεῖνα ἄρα δεῖ ἀπὸ δείπνου περιπατεῖν'. πόθεν δὲ ὅτι ᾧ δεῖ ὑγιαίνειν, τοῦτον δεῖ ἀπὸ δείπνου περιπατεῖν; ἐνταῦθα ὁ προσυλλογισμός. 'ᾧ δεῖ ὑγιαίνειν, δεῖ μὴ ἐπιπολάζειν τὰ σιτία πρὸς τῷ στόματι τῆς κοιλίας. ᾧ δεῖ τούτου, τοῦτον χρὴ ἀπὸ δείπνου περιπατεῖν.' οὗτος δὲ ἀνάπαλιν εἴληφε τοὺς ὅρους, ὃ μᾶλλον πεποίηκε τὴν ἀσάφειαν. 40 45 50

p. 94b18 Τί οὖν αἴτιον τῷ Γ τοῦ τὸ Α ὑπάρχειν τὸ οὗ ἕνεκα;

Οὐκ ἀμέσως, φησί, τῷ περιπατεῖν ἀπὸ δείπνου, ὅπερ τὸ Γ ἐστί, τὸ ὑγιαίνειν ὑπάρχει, ὅπερ Α λαμβάνεται καὶ τέλος ἐστὶ καὶ οὗ ἕνεκα τῆς ἀπὸ δείπνου περιπατήσεως, ἀλλ' ἔχει τι αἴτιον μεταξύ, δι' ὃ ὑπάρχει αὐτῷ. τί οὖν ἐστι τοῦτο; τὸ Β, ὅπερ ἐστὶ τὸ μὴ ἐπιπολάζειν τὰ σιτία πρὸς τῷ στόματι τῆς κοιλίας. διὰ τί γὰρ ὑγιεινὸν τὸ ἀπὸ δείπνου περιπατεῖν εἴ τις ἔροιτο, διὰ τὸ ποιεῖν μὴ ἐπιπολάζειν τὰ σιτία πρὸς τῷ στόματι τῆς κοιλίας ἀποκρινούμεθα. δεῖ δὲ κατὰ ταύτην τὴν ἐπιβολὴν στίζειν εἰς τὸ οὗ ἕνεκα. εἶτα ἐπάγειν τὸ ἑξῆς. |

---

1 Ἔστω δὴ — δοκεῖ γὰρ (3)] lemma om. E 7 πρὸς om. E 8 ὑπάρχη E 9 τὸ post A om. Ea 10 ἐπεὶ Aa 12 Γ om. a 15 διὰ τί] ὅτι δίοτι Aa 16 δεῖνι δεῖν a 21 χρὴ τοῦτον coll. E οὗτος] αὐτὸς E 24 post ἀπὸ add. τοῦ E τὸ ante Γ om. E 27. 28 πρὸς τῷ — κοιλίας om. Aa 30 ἀποκρινούμεθα] ἀπὸ κινούμεθα libri

p. 94b 19 Τοῦτο δ' ἐστὶν ὥσπερ ἐκείνου λόγος· τὸ γὰρ Α οὕτως ἀποδοθήσεται. 72

Τὸ μὲν ὑγιαίνειν ὡς τελικὸν αἴτιον ἀποδέδοται τοῦ ἀπὸ δείπνου περιπατεῖν. τὸ δὲ μὴ ἐπιπολάζειν μέσον ληφθὲν τοῦ ὑγιαίνειν καὶ τοῦ περιπατεῖν ἀπὸ δείπνου κατὰ ποῖον γένος τῶν αἰτίων ἀποδίδοται; λέγει δὴ ὅτι κατὰ τὸ εἶδος καὶ τὸ τί ἦν εἶναι. ὥσπερ γάρ τις λόγος ἐστὶ τοῦ ὑγιαίνειν τὸ μὴ ἐπιπολάζειν τὰ σιτία πρὸς τῷ στόματι τῆς κοιλίας· εἰ γὰρ καὶ μὴ καθόλου τῆς ὑγείας οὗτος ὁ λόγος, ἀλλά γε ταύτης τῆς ὑγείας, ἣν δεῖ ἔχειν τὸ σῶμα ἐν τῷ τροφῆς μετασχεῖν, ἔσται οὗτος ὁ λόγος. ὥσπερ γὰρ διάθεσις παρὰ φύσιν, αἴσθησιν βλακὸς ἐνεργείας παρέχουσα ἐκ τοῦ ἀπεπτεῖσθαι τὰ βεβρωμένα καὶ ἄλλα τινὰ παρακολουθεῖν, οἷον ἐρυγὰς δυσώδεις ὀξώδεις κνισσώδεις, φυσήσεις, στενοχωρίας ἀναπνοῆς, τῶν τοιούτων τὸ ἐπιπολάζειν, οὕτω τὸ μὴ ἐπιπολάζειν διάθεσις κατὰ φύσιν, αἴσθησιν κατορθώσεως ἐνεργείας παρέχουσα ἐκ τοῦ μηδὲν τῶν προειρημένων γίνεσθαι, ἀλλὰ κατὰ φύσιν πάντα.

p. 94b 20 Τὸ γὰρ Α οὕτως ἀποδοθήσεται.

Τουτέστιν ἐνδέχεται ταύτην τὴν ὑγείαν οὕτως ὁρισθῆναι, ὡς σημαίνειν ταὐτὸν τῷ ὀνόματι ταύτης τῆς ὑγείας καὶ τὸν ῥηθέντα λόγον. 'τί ἐστιν ἡ κατὰ τὴν τροφὴν ὑγεία τοῦ τρεφομένου; τὸ μὴ ἐπιπολάζειν τὰ σιτία πρὸς τῷ στόματι τῆς κοιλίας'. ἐροῦμεν δὲ καὶ ἑτέρως.

p. 94b 20 Τὸ γὰρ Α οὕτως ἀποδοθήσεται· διὰ τί δὲ τὸ Β τῷ Γ ἐστίν; ὅτι τοῦτ' ἐστὶ τὸ ὑγιαίνειν, τὸ οὕτως ἔχειν. 15

Κατασκευάζει, πῶς λόγος τοῦ ὑγιαίνειν τὸ μὴ ἐπιπολάζειν ἔστι, καὶ φησὶ τὸ γὰρ Α οὕτως ἀποδοθήσεται. ἐρωτήσαντος γάρ τινος ὅτι τὸ δὲ Β, ἤτοι τὸ ⟨μὴ⟩ ἐπιπολάζειν διὰ τί ὑπάρχει τῷ Γ τῷ ἀπὸ δείπνου περιπατεῖν, τοῦτο πρὸς τὴν ἐρώτησιν ἀποδώσομεν, ὅτι τοῦτ' ἐστὶ τὸ ὑγιαίνειν, τὸ οὕτως ἔχειν ὥστε μὴ ἐπιπολάζειν τὰ σιτία πρὸς τῷ στόματι τῆς κοιλίας. ἔτι δὲ ἀσαφὲς τὸ λεγόμενόν ἐστι· δεῖ δὲ τοῦτο εἰπεῖν σαφέστερον. δυνάμει τοῦτο λέγει ὅτι ἀπεδόθη μὲν αἴτιον τῷ Γ τῷ ἀπὸ δείπνου περιπατεῖν τοῦ Α τοῦ ὑγιαίνειν τὸ μὴ ἐπιπολάζειν, ὅπερ ἦν τὸ Β, ὡς λόγος καὶ τί ἐστι· ἀποδοθήσεται δ' αὖθις αἴτιον τοῦ μὴ ἐπιπολάζειν τῷ περιπατεῖν τὸ ὑγιαίνειν. 'τί γὰρ χρεία τοῦ μὴ ἐπιπολάζειν τὰ σιτία τῷ περιπατοῦντι ἀπὸ δείπνου' ἐρωτήσαντός τινος ἐροῦμεν ὅτι ὅπως ὑγιαίνῃ. καὶ

---

10 βλακὸς] βλάκος a: βλάβος A: βλάβης E 12 ὀζώδεις Aa κνισώδεις E ἀναπνοεῖς a 13 διάθεσιν Aa 15 πάντα κατὰ φύσιν coll. Aa 18 ταύτης] τούτων Aa 23 πῶς ὁ λόγος Aa 25 μὴ addidi 28 ἀσαφής E 33 et 148,2 ὅτι om. E

ἐπεὶ δι' ἀλλήλων ἔοικε δείκνυσθαι τὸ ὑγιαίνειν διὰ τοῦ μὴ ἐπιπολάζειν, 72
καὶ ἀνάπαλιν τὸ μὴ ἐπιπολάζειν διὰ τοῦ ὑγιαίνειν, φησὶν ὅτι οὐδὲν ἄτοπον. 25
τοῦτο γάρ ἐστι τὸ ὑγιαίνειν, τὸ οὕτως ἔχειν, ἤγουν λόγος τοῦ ὑγιαίνειν τὸ
μὴ ἐπιπολάζειν ἐστίν· ὡς ἀντιστρέφειν πρὸς ἄλληλα. ἐφ' ὧν οὐδὲν ἄτοπον
5 τὸ δι' ἀλλήλων δείκνυσθαι· διὰ γὰρ τῆς ἀντιφράξεως ἡ ἔκλειψις δείκνυται
καὶ διὰ τῆς ἐκλείψεως ἡ ἀντίφραξις· καὶ διὰ τῆς ἀποσβέσεως τοῦ πυρὸς
ἐν τοῖς νέφεσιν ἡ βροντή, καὶ ἀνάπαλιν, εἰ καὶ τὰ μὲν κατὰ πρῶτα μέτρα,
τὰ δὲ κατὰ δεύτερα ἀποδείξεις εἰσί.

p. 94b21 Δεῖ δὲ μεταλαμβάνειν τοὺς λόγους. 30

10 Ἐπειδὴ ἀσαφῶς καὶ συγκεχυμένως τοὺς λόγους πεποίηται μὴ διελὼν
ἰδίᾳ μὲν τὸν συλλογισμόν, ἰδίᾳ δὲ τὸν προσυλλογισμόν, ἀλλὰ μᾶλλον καὶ
τὸν ἔσχατον ὅρον τοῦ συλλογισμοῦ καταλελοιπώς, ὡς δοκεῖν ὅσον ἐκ τῶν
λεγομένων ἕνα καὶ ἁπλοῦν ὑπάρχειν τὸ ἅπαν συλλογισμόν, καὶ μηδαμῇ
εἶναι δῆλον, ποῦ τὸ ὡς τέλος αἴτιον μέσον εἴληπται, διὰ τοῦτό φησι δέον
15 εἶναι μεταλαβεῖν ἐπὶ τὸ σαφέστερον τὰ εἰρημένα διελόντας ἰδίᾳ, καὶ πρό- 35
τερον μὲν τοὺς τρεῖς ὅρους τοῦ συλλογισμοῦ εἰληφότας, ἐν οἷς μέσον ἔσται
τὸ τελικὸν αἴτιον, ἔπειτα καὶ τὸν προσυλλογισμὸν ἐκθεμένους. ἐντεῦθεν γὰρ
ἂν μᾶλλον ἕκαστα φανερώτερα καὶ σαφέστερα γένοιτο, ὡς εἶναι γνώριμα
πάντα, ἰδίᾳ μὲν τὰς προτάσεις τοῦ συλλογισμοῦ καὶ τὸ ἐκ τούτων συμ-
20 πέρασμα, ἰδίᾳ δὲ τὰς τοῦ προσυλλογισμοῦ καὶ τὸ ταύταις ἐξ ἀναγκης ἑπό-
μενον. ταῦτα δὲ ἤδη ἡμεῖς πεποιήκαμεν· δεῖ δὲ καὶ ἄλλως περὶ τούτων
εἰπεῖν τὴν ἡμῶν αὐτῶν διάνοιαν ἐκπειράζοντας, εἰ δυνατόν ἐστι καὶ τρόπον 40
ἕτερον τὴν τῶν προκειμένων ποιήσασθαι διασάφησιν. καὶ δὴ λέγομεν τί
οὖν αἴτιον τῷ Γ τοῦ τὸ Α ὑπάρχειν τὸ οὗ ἕνεκα; τὸ Β τὸ μὴ
25 ἐπιπολάζειν τὰ σιτία. ἐν μὲν τῇ προλαβούσῃ ἐπιβολῇ μέχρι τοῦ τὸ οὗ
ἕνεκα στίζοντες τὸ ἑξῆς ὡς ἓν ἐπεφέρομεν. δυνατὸν δὲ καὶ εἰς τὸ ὑπάρ-
χειν στίζειν, εἶτ' ἐπιφέρειν ὡς ἓν τὸ ἑξῆς, ἵν' ᾖ οὕτω λεγόμενον 'τί οὖν
αἴτιον τῷ Γ τοῦ τὸ Α ὑπάρχειν;' μέχρι τούτου ἡ στιγμή, εἶτα τὸ ἑξῆς
τὸ οὗ ἕνεκα τὸ Β τὸ μὴ ἐπιπολάζειν τὰ σιτία. καὶ οὕτω τὰ 45
30 στοιχεῖα ἐντεῦθεν ἑτέρως καὶ οὐχ ὡς ἀνωτέρω ληφθήσεται· οὐ γὰρ ὃ
ἐγένετο ἐκεῖ Γ τὸ ἀπὸ δείπνου περιπατεῖν, τοῦτο κἀνταῦθα φήσομεν. ἀλλὰ
τὸ ὑποκείμενον ᾧ δεῖ τοῦ ὑγιαίνειν, οἷον εἰ τύχῃ Σωκράτην ἢ ἄλλον
ὁντινοῦν. ὁμοίως καὶ Α οὐχ ὃ ἔλεγομεν ἀνωτέρω τὸ ὑγιαίνειν, ἀλλὰ τὸ
ἀπὸ δείπνου περιπατεῖν. τί οὖν αἴτιον τῷ Σωκράτει, ὅς ἐστιν ἐφ' ᾧ Γ,
35 τοῦ ὑπάρχειν αὐτῷ τὸ Α τὸ ἀπὸ δείπνου περιπατεῖν; τὸ οὗ ἕνεκα, ὅπερ
ἐστὶ τὸ Β τὸ μὴ ἐπιπολάζειν τὰ σιτία. ἄλλως γὰρ οὐκ ἐνδέχεται οὗ ἕνεκα

5 δείκνυται om. Aa 10 post καὶ add. οὐ E 11 ἰδίᾳ δὲ — προσυλλογισμόν om. Aa
13 τὸν ἅπαν E 18 γένοιτο post φανερώτερα transpos. Aa 22 ἡμῶν αὐτῶν]
ἑαυτῶν Aa 23 δι' ἀσάφησιν a 23. 24 τί οὖν — σιτία (25) om. E
26 ἐπιφέρομεν. E 31 ἐγένετο] λέγων E 32 τύχοι E 33 ὁντιναοῦν E
ἐλέγομεν] ἔλεγεν Aa 36 post σιτία add. τὸ οὗ ἕνεκα E οὐκ om. Aa

εἶναι τὸ μὴ ἐπιπολάζειν, εἰ μὴ οὕτω ληφθείη· οὐ γὰρ ἕνεκα τοῦ μὴ ἐπι- 50
πολάζειν ὑγιαίνει ὁ ἀπὸ δείπνου περιπατῶν, ἀλλ' ἕνεκα τοῦ μὴ ἐπιπολάζειν
περιπατεῖ ἀπὸ δείπνου ὁ τοῦτο ποιῶν.

p. 94b19 Τοῦτο δέ ἐστιν ὥσπερ ἐκείνου λόγος· τὸ γὰρ Α οὕτως
5 ἀποδοθήσεται.

Πάλιν τὸ Α τὴν ὑγείαν ὡς ἀνωτέρω τίθησιν. τεσσάρων γὰρ ὄντων
πραγμάτων, τοῦ τινὸς ὑποκειμένου, τοῦ περιπατεῖν ἀπὸ δείπνου, τοῦ μὴ 73
ἐπιπολάζειν τὰ σιτία, τῆς ὑγείας, ἅτε καὶ δύο λαμβανομένων συλλογισμῶν
οὐχὶ καὶ στοιχεῖα λαμβάνει τέσσαρα, ἀλλὰ τρία μόνα τὸ Α τὸ Β τὸ Γ.
10 ἐξ ἀνάγκης οὖν ἀπὸ ἑτέρου πράγματος μεταβαίνων εἰς ἕτερον καὶ τὰ
στοιχεῖα μετατίθησιν. ὥσπερ οὖν τινὸς εἰπόντος ὅτι 'οὐχὶ τὸ μὴ ἐπιπο- 5
λάζειν ἔλεγες πρότερον μέσον ὡς οὗ ἕνεκα, ἀλλὰ τὴν ὑγείαν· πῶς οὖν
ἀρτίως τὸ μὴ ἐπιπολάζειν οὗ ἕνεκα φῄς'; ὅτι, φησί, τοῦτό ἐστιν ὥσπερ
τις ὁρισμὸς τῆς ὑγείας, ὡς εἶναι ταὐτὸν ὑγείαν εἰπεῖν καὶ τὸ μὴ ἐπιπο-
15 λάζειν τὰ σιτία πρὸς τῷ στόματι τῆς κοιλίας. πῶς δὲ τοῦτό ἐστιν,
εἴρηται πρότερον.

p. 94b20 Διὰ τί δὲ τὸ Β τῷ Γ ἐστίν; ὅτι τοῦτ' ἔστι τὸ ὑγιαίνειν,
τὸ οὕτως ἔχειν.

Τὸ Β πάλιν ἐνταυθοῖ, ὡς καὶ ἀνωτέρω, τὸ μὴ ἐπιπολάζειν φησί, τὸ
δὲ Γ τὸν Σωκράτην ἢ ἄλλον ὁντινοῦν. λέγει τοίνυν ὅτι ἐπεὶ τὴν ὑγείαν 10
20 μέσον ἐλάβομεν ὡς οὗ ἕνεκα κατὰ τοῦ Σωκράτους κατηγορούμενον τοῦ
ἐλάττονος, πόθεν ἕξει τὸ μὴ ἐπιπολάζειν τὰ σιτία πρὸς τῷ στόματι τῆς
γαστρὸς τὸ κατὰ τοῦ Σωκράτους κατηγορεῖσθαι· τοῦτο γὰρ δηλοῖ τὸ διὰ
τί τὸ Β τῷ Γ ἐστί; διὰ τί; φησίν· ὅτι τοῦτ' ἔστι τὸ ὑγιαίνειν,
τὸ οὕτως ἔχειν. τοῦτο γὰρ ὁ λόγος ὁ τοῦ τί ἦν εἶναι τοῦ οὕτως
25 ὑγιαίνειν ἐστί. τῷ μὲν γὰρ γένει καὶ ὑγεία ἐστὶ τὸ οὕτως ἔχειν καὶ διά- 15
θεσις κατὰ φύσιν ἐνεργείας οἱστική, εἰδικῶς δὲ τίς τε ὑγεία καὶ μὴ ἐπι-
πολάζειν τὰ σιτία πρὸς τῷ στόματι τῆς γαστρός.

p. 94b21 Δεῖ δὲ μεταλαμβάνειν τοὺς λόγους.

Ἐπειδὴ ἀλληνάλλως τοὺς λόγους κατά τε τὰ στοιχεῖα καὶ τὰ πράγ-
30 ματα εἰληφότος ἐπήσθετο ἑαυτοῦ, διὰ τοῦτο ταῦτά φησι· δεῖ δὲ τοὺς
λόγους ἄλλως λαμβάνειν, καθὼς ἐνδέχεται μέσον τὸ οὗ ἕνεκα ἐν τῇ ἀπο-
δείξει γίνεσθαι, καὶ οὕτω μᾶλλον φανεῖται, πῶς γίνεται ὃ προέκειτο, ἔν τε
τῷ συλλογισμῷ προσφυῶς τοὺς ὅρους τιθέναι καὶ εὐαρμόστως καὶ ἐν τῷ 20

---

1 εἰ—ληφθείη] ἢ οὕτως ληφθῇ Aa 3 περιπατῶν Aa 9 καὶ om. E
10 post ἀπὸ add. τοῦ E 12 ἔλεγε Aa 19 ἐπεὶ scripsi: ἐπὶ libri
20 μέσην E 29 ἀλληνάλως libri 30 τοῦτο om. E

προσυλλογισμῷ. καὶ οὕτω μᾶλλον φανεῖται ἕκαστα, τουτέστι πῶς 73
τε τὸ οὗ ἕνεκα μέσον λαμβάνεται, καὶ πῶς ἡ δεομένη πρότασις παραμυθίας τινὸς διὰ προσυλλογισμοῦ δειχθήσεται, καὶ πῶς ὁ ἀντὶ τῆς ὑγείας ληφθεὶς λόγος καὶ αὐτὸς λεχθήσεται κατὰ τοῦ ἐν τῷ συλλογισμῷ ἐλάτ-
5 τονος. ταῦτα δὲ ἤδη πάντα γέγονεν. ἴδωμεν δὲ καὶ πῶς ἐνταυθοῖ τῇ τάξει τῶν αἰτίων ὁ Ἀριστοτέλης ἐχρήσατο, τὸ εἰθισμένον αὐτῷ τηρήσας καὶ νῦν· ἀεὶ γὰρ τῷ λόγῳ φυσικώτερον χρώμενος ἀπὸ τῶν χειρόνων τε καὶ ἀτελεστέρων ἐπὶ τὰ κρείττω προβαίνει καὶ τελεώτερα. περὶ τοῦ ὅρου τοίνυν προθέμενος εἰπεῖν ἐξ ἀρχῆς, περὶ ἐκείνου μὲν εἴρηκεν ὅσα εἴρηκεν·
10 εἶτα μεταβὰς ἐπὶ τὴν τῶν λοιπῶν αἰτίων ἀπόδοσιν, περὶ τῆς ὕλης πρότερον ὡς τῶν ἄλλων εἴρηκε χείρονος, μετὰ δ' αὐτὴν περὶ τοῦ ποιητικοῦ. ἐπεὶ δὲ τὸ τέλος τῶν πάντων κρεῖττον ὡς τελεώτερον καὶ τῷ ἐσχάτῳ ὀρεκτῷ καὶ πρώτῳ ἀγαθῷ συγγενέστερον, διὰ τοῦτο καὶ περὶ τούτου τελευταῖον εἴρηκεν.

15 p. 94b23 Αἱ δὲ γενέσεις ἀνάπαλιν ἐνταῦθα.

Ἐπειδήπερ ὁ ἀνθρώπινος νοῦς τῷ γινώσκειν μιμεῖται τὸν τοῦ παντὸς ποιητήν, ὥσπερ ἐκεῖνος παράγων τὰ πράγματα ἐπὶ ταῖς αὐτῶν οὐσίαις προστίθησιν τὰ ἑπόμενα ἐπιμορφάζων ὥσπερ τὰ εἴδη καὶ οἷόν τι ἄνθος καὶ γάνος αὐτοῖς ἐφαπλῶν, ὡς ἂν εἴη μηδὲν τοῦ ἀνήκοντος ἑκάστῳ ἀρίστου
20 καὶ καλλίστου λειπόμενα, δεῖ καὶ ἡμᾶς μετὰ τὸ γνῶναι τὰς τῶν πραγμάτων οὐσίας ἐξερευνᾶν καὶ τὰ τούτοις ἑπόμενα, ἵνα οὕτως ἡμῖν ἀνελλιπὴς ὡς ἓν ὂν ἡ πρὸς τὸν δημιουργὸν ἐξομοίωσις γίγνοιτο, ταὐτὸν δ' εἰπεῖν ἡ ἡμετέρα τελείωσις. ἄλλως γὰρ οὐκ ἔνι τελειοῦσθαι τὰ δεύτερα ἢ τῇ πρὸς τὰ ἐπέκεινα μιμήσει καὶ ὁμοιώσει. ταὐτὸν δὴ καὶ νῦν ἐν τῷ περὶ τῶν
25 αἰτίων γίνεται λόγῳ· μαθόντες γὰρ ὅσα τε καὶ τίνα τὰ αἴτια, καὶ ἤδη κατ' εἶδος ἕκαστον καταλαβόντες αὐτῶν, ἀναγκαῖον ἔχομεν μαθεῖν καὶ περὶ τῶν ἑπομένων αὐτοῖς. ὃ δὴ καὶ ἤδη παραδοῦναι ἡμῖν ὁ Ἀριστοτέλης προτίθεται· καὶ πρότερον τὴν διαφορὰν τοῦ ποιητικοῦ καὶ τοῦ τελικοῦ, πῶς ἔχει τούτων ἑκάτερον πρὸς τὰ αἰτιατὰ κατὰ τὸ τῷ χρόνῳ πρότερόν τε καὶ
30 ὕστερον. φησὶ δὴ ἀνάπαλιν ἔχειν τὰς γενέσεις ἐνταῦθα, τουτέστιν ἐπὶ τῶν τελικῶν (περὶ τούτων γὰρ ἔλεγε προσφάτως) καὶ ἐπὶ τῶν κατὰ κίνησιν αἰτίων, τουτέστι τῶν ποιητικῶν, γένεσιν ὀνομάζων τὴν κατὰ τὸν χρόνον τῶν αἰτίων τάξιν ὡς πρὸς τὸ αἰτιατόν. ὡς ἐπὶ τῶν γινομένων γὰρ τὸν λόγον ποιούμενος διὰ τοῦτο καὶ γένεσιν τὴν τοιαύτην τάξιν ὠνόμασε. φησὶν
35 οὖν ὅτι ἀνάπαλιν αὕτη ἔν τε τοῖς τελικοῖς εὑρίσκεται καὶ τοῖς ποιητικοῖς ἔχουσα· τὰ γὰρ ποιητικὰ ὠνόμασε κατὰ κίνησιν αἴτια, ὡς οὕτως ὀνομασθέντα καὶ ἐξ ἀρχῆς ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως.

---

4 ληφθεὶς] δειχθὴς E 8. 9 τοίνυν περὶ τοῦ ὅρου coll. Aa 10 προτέρας Aa
11 post ὡς add. τῆς Aa 18 εἴδη] ἤδη Aa 19 ἀνήκοντος ἑκάστῳ om. E
22 ἓν ὂν] ἑνὸν E: ἐν Aa 24 δὴ] δὲ E 26 καταλαβόντες] καταλαβόντας Aa
λαβόντες E 27 δὴ om. E 28 ποιητικοῦ τε καὶ E 29 τὸ] τὸν Aa
30 δὴ] δὲ E 31 ἔλεγες a 33 γὰρ om. E

p. 94b24 Ἐκεῖ μὲν γὰρ τὸ μέσον δεῖ γενέσθαι πρῶτον, ἐνταῦθα δὲ τὸ Γ τὸ ἔσχατον· τελευταῖον δὲ τὸ οὗ ἕνεκα. 73

Ἐπὶ μὲν γὰρ τοῦ πρὸ τούτου, φησίν, αἰτίου, ὅπερ ἦν τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως (τοῦτο γὰρ δηλοῖ τὸ ἐκεῖ) δεῖ πρῶτον γενέσθαι τὸ μέσον καὶ αἴτιον, εἶθ' οὕτως ἀκολουθῆσαι τὸ αἰτιατόν· ἐνταῦθα δὲ ἐπὶ τοῦ οὗ ἕνεκα τὸ ἔσχατον, ἤτοι ὁ ἐλάττων ὅρος, ὅπερ τὸ Γ ἐστί, πρῶτον γίνεται, εἶθ' οὕτω τὸ οὗ ἕνεκα, ὃ τὸ μέσον ἐστίν, οἷον ὡς ἐπὶ τῶν εἰρημένων παραδειγμάτων. ἐκεῖ μὲν γὰρ πρῶτον γέγονε τὸ Ἀθηναίους εἰς Σάρδεις μετ' Ἐρετριέων ἐμβαλεῖν, ὅπερ τὸ μέσον ἐστίν, εἶθ' οὕτως αὐτοῖς ὁ Μηδικὸς ἐπηκολούθησε πό|λεμος, ὅπερ τὸ ἔσχατον· ἐνταῦθα δὲ πρῶτον 74 τὸ ἀπὸ δείπνου περιπατεῖν, ὅπερ τὸ Γ ἐστὶ τὸ ἔσχατον ἐν τῇ ἀποδείξει, εἶτα τὸ μὴ ἐπιπολάζειν τὰ σιτία πρὸς τῷ στόματι τῆς κοιλίας ἢ τὸ ὑγιαίνειν, ὅπερ τὸ μέσον ἐστὶν ὡς οὗ ἕνεκα.

p. 94b27 Ἐνδέχεται δὲ τὸ αὐτὸ καὶ ἕνεκά τινος εἶναι καὶ ἐξ ἀνάγκης.

Ἄλλο τοῦτο περὶ τῶν αἰτίων θεώρημα. φησὶ δὲ ὅτι ἐνδέχεται τοῦ αὐτοῦ πράγματος κατ' ἄλλην καὶ ἄλλην ἀπόδειξιν, διάφορα κατ' εἶδος μέσα ληφθῆναι καὶ αἴτια, οἷον τὸ μὲν ἐξ ἀνάγκης τὸ δ' ὡς οὗ ἕνεκα, ἤγουν τὸ μὲν ὑλικὸν τὸ δὲ τελικόν. καὶ τούτου παράδειγμα τίθησιν, τὸ διιέναι διὰ τοῦ λαμπτῆρος τὸ φῶς· ἐξ ἀνάγκης τε γὰρ ἔστιν εἰπεῖν, οἷον διότι μεγα- 10 λομερὴς μὲν ὁ ὕελος ἐξ οὗ ὁ φανὸς ἢ εἰ τύχῃ ἡ δορά, μικρομερὲς δὲ τὸ πῦρ, διὰ τοῦτο δίεισι διὰ τῶν μεγάλων πόρων τοῦ ὑέλου ἢ τῆς δορᾶς ἡ τοῦ πυρὸς λεπτομέρεια. καὶ αὕτη ἐστὶν ἐκ τῆς ὕλης ἀπόδοσις. τὸ δ' ὅπως μὴ πταίωμεν, τοῦτο οὗ ἕνεκα· ἵνα γὰρ μὴ προσκόπτωμεν τοῖς ἐν ποσὶ κειμένοις, τούτου ἕνεκα τοὺς λαμπτῆρας ἐπιτηδεύομεν. ἐν τούτοις τὸ μὲν ἐξ ἀνάγκης ἐκ τῆς φύσεως εἴληπται, τὸ δ' ὡς οὗ ἕνεκα ἐκ τῆς ἡμετέρας ἐπιτεχνήσεως· τῇ γὰρ τῶν ὑλῶν ἰδιότητι πρὸς τὸ λυσιτελὲς ἡμῖν ἐχρησά- 15 μεθα. ὥστε τοῖς μὲν σώμασιν, ᾗ τοιάδε σώματά ἐστι, καθ' αὑτὸ μὲν τὸ ἐκ τῆς ὕλης, κατὰ συμβεβηκὸς δὲ τὸ ἐκ τοῦ τέλους. οὐ γὰρ καθ' αὑτὸ διὰ τοῦτο δίεισι τὸ λεπτομερέστερον διὰ τῶν μειζόνων πόρων, ἵνα ἡμεῖς μὴ προσκόπτωμεν· οὐδαμοῦ γὰρ ἡ φύσις τοῦτον ἔσχε σκοπὸν τῆς τοῦ φωτὸς διελεύσεως, ἀλλ' ἡμεῖς ἑαυτοῖς τοῦτο ἐπετηδεύσαμεν, πρὸς ὃ ἠβουλήθημεν κεχρημένοι τῇ τῶν σωμάτων φυσικῇ ἰδιότητι. τῇ ἡμετέρᾳ δὲ διανοίᾳ καθ' αὐτὸ μὲν τὸ οὗ ἕνεκα, κατὰ συμβεβηκὸς δὲ τὸ ἐκ τῆς ὕλης· καθ' αὐτὸ 20 γὰρ ἡμῖν, ἵνα μὴ προσκόπτωμεν, ἡ τῶν λαμπτήρων χρῆσις ἐπιτετήδευται·

---

1. 2 lemma om. E 6 ὁ] τὸ Aa 7. 8 ὃ τὸ — παραδειγμάτων om. E
9 ἐμβάλλειν E 12 πρὸς] ἐν E 13 post ὡς add. τὸ E 20 οἷον om. E 21. 22 ὕαλος et ὑάλου E 21 μικρομερὴς E 23 μικρομέρεια Aa
27 post γὰρ add. ἐκ E 30 μὴ supra scr. E¹ 31 οὐδαμῆ E 33 διανοίᾳ] ἐπιτηδεύσει E

διότι δὲ συμβέβηκε τοιαῦτα εἶναι σώματα πρὸς τοῦτο ἡμῖν ἐκ φύσεως ἐπι- 74
τήδεια. διὰ τοῦτο αὐτοῖς ἐχρησάμεθα. ὥστ' οὐ κατὰ τὸ αὐτὸ τὸ ἐξ ἀνάγκης
καὶ τὸ οὗ ἕνεκα εἴληπται, ἀλλὰ κατ' ἄλλο καὶ ἄλλο. δυνατὸν δὲ καὶ κατὰ
τὸ αὐτὸ ἄμφω ἀποδοῦναι τὰ αἴτια, οἷον εἰ βούλει κατὰ τὴν φύσιν· διὰ τί
5 οἱ ἐμπρόσθιοι ὀδόντες ὀξεῖς; διότι ἐξ ὀστέου φύονται λεπτοτέρου (τοῦτο 25
ἐξ ἀνάγκης), καὶ ἵνα διαιρῶσιν τὴν τροφήν· τοῦτο οὗ ἕνεκα. καὶ ἐπὶ τῶν
οὐρανίων σωμάτων, διὰ τί κύκλῳ κινεῖται; διότι οὔτε βαρὺ οὔτε κοῦφόν
ἐστι τὸ σῶμα αὐτοῖς (τοῦτο ἐξ ἀνάγκης), καὶ αὖθις διότι νοῦν μιμεῖται·
τοῦτο οὗ ἕνεκα. διὰ τί ἡ βῶλος κάτω φέρεται; ὅτι βαρὺ τὸ σῶμα αὐτῇ
10 (τοῦτο ἐξ ἀνάγκης), καὶ αὖθις ἵνα τὸν οἰκεῖον τόπον ὡς ἑαυτῆς τελειότητα
καταλήψεται· τοῦτο οὗ ἕνεκα. καὶ πλεῖστα ἄν τις εὕροι τὴν φύσιν ἐξ
ἀνάγκης τε καὶ ἕνεκά του ποιοῦσαν. ὅπως δὲ ἀνάγκη ἡ ὕλη ὠνόμασται,
ἐν τοῖς Φυσικοῖς εἴρηται· ἐπί τε γὰρ τῆς φύσεως ἐπί τε τῆς τέχνης ἐξ 30
ἀνάγκης τῆς ὕλης δεῖ. ἵνα τε γὰρ τόδε γένηται φυσικόν, οἷον ὀφθαλμοὶ
15 ἢ ὀδόντες ἤ τι τῶν ἄλλων τῶν ὅσα ποιεῖν ἡ φύσις λέγεται, τοιάσδε δεῖ ἢ
τοιᾶσδε τῆς ὕλης ἐξ ἀνάγκης, καὶ ἵνα τόδε ἢ τόδε τεχνικόν, τοιᾶσδε ἢ
τοιᾶσδε. ὅλως γὰρ διττὴ ἡ φύσις, ἡ μὲν κατὰ τὴν ὕλην καὶ τὴν ἀνάγκην,
ἡ δὲ κατὰ τὸ εἶδος, ὃ τῷ τέλει πολλάκις ταὐτόν· καὶ ταῦτα ἐν τοῖς
Φυσικοῖς εἴρηται. ὀφθαλμοῦ τε γὰρ εἶδος τὸ ὁρᾶν καὶ τέλος ὀφθαλμοῦ
20 τὸ ὁρᾶν (διὰ γὰρ τὸ ὁρᾶν ὁ ὀφθαλμός) καὶ ὥτων τὸ ἀκούειν ὡσαύτως, εἰ 35
μήτις θεῖτο διαφορὰν τοῦ ᾧ καὶ τοῦ οὗ, ὡς καὶ τοῦτο ἐν τοῖς Φυσικοῖς
εἴρηται. διττὸν γὰρ τὸ τέλος, τὸ μὲν οὗ τὸ δὲ ᾧ· διὰ μὲν γὰρ τὸ ὁρᾶν
οἱ ὀφθαλμοί, ἕνεκεν δὲ τῆς σωτηρίας τοῦ ζῴου ὅρασίς τε καὶ πᾶσα αἴσθησις,
ὥσπερ καὶ ἐπὶ τῶν τεχνῶν τέλος ἐστὶ τοῦ εἴδους ἑκάστου τῶν τεχνητῶν
25 σκοπιμώτατον ἡ χρεία τῶν ἀνθρώπων, ἧς ἕνεκα πάντα ἐκεῖνα γίνεται.
ἐπεὶ οὖν ὕλη καὶ εἶδος ἐν τοῖς φυσικοῖς τε καὶ τεχνητοῖς, ἀποδίδοται τὸ
μέσον ποτὲ μὲν ἀπὸ τῆς κατὰ τὴν ὕλην φύσεως, ποτὲ δὲ ἀπὸ τῆς κατὰ 40
τὸ εἶδος ἤτοι τὸ τέλος. τὸ δὲ εἴπερ φῶς γίνεται τῷ διιέναι διὰ τοῦτο
προσέθηκεν, ἐπειδὴ εἴρηκε μὲν αἴτιον τοῦ διὰ τοῦ λαμπτῆρος φαίνειν τὸ
30 πῦρ τὸ διιέναι τὸ λεπτομερέστερον διὰ τῶν μειζόνων πόρων· οὐ προέκειτο
δὲ νῦν ἀκριβολογεῖσθαι περὶ τούτου, εἴτε διὰ τοῦτο εἴτε δι' ἕτερόν τι γίνεται
τὸ φῶς διὰ τῶν λαμπτήρων. διὰ τοῦτο οὕτως εἴρηκεν.

p. 94b 31 Ἆρ' οὖν, εἰ εἶναι ἐνδέχεται, καὶ γίνεσθαι ἐνδέχεται; 45

Τῶν πραγμάτων τὰ μὲν ὡς ὄντα θεωρεῖται, τὰ δὲ ὡς γινόμενα μηδα-
35 μῶς ἄλλως τὸ εἶναι ἢ ἐν τῷ γίνεσθαι ἔχοντα. τοίνυν τὸ περὶ τῶν αἰτίων
τοῦ τε ὑλικοῦ λεγόμενον καὶ τοῦ τελικοῦ, ὡς ἐνδέχεται περὶ τοῦ αὐτοῦ 50

---

1 ἐκ τῆς φύσεως E 7 κοῦφον οὔτε βαρὺ coll. E 8 ἐστὶ om. E
12 τε om. E 13. 18 sqq. ἐν τοῖς Φυσικοῖς] Phys. B 9 15 ἢ τὶ ἄλλο τῶν Aa 21 θεῖτο scripsi: θεῖ τὸ libri 23 ὁ ὀφθαλμός E σωτηρίας] σῴας E 26 ἡ ὕλη καὶ τὸ εἶδος E 29 αἰτίαν Aa τοῦ post διὰ om. Aa
36 τοῦ post καὶ om. E

αἰτιατοῦ ἄμφω ἀποδίδοσθαι ὡς ἐπὶ ὄντων γυμνάσας πρότερον. γυμνάζει νῦν τὸ αὐτὸ καὶ ὡς ἐπὶ γινομένων. εἰ οὖν ἐνδέχεται, φησίν, εἶναι διάφορα αἴτια, ἤγουν ὑλικόν τε καὶ τελικόν, περὶ τοῦ αὐτοῦ ὄντος ἀποδιδόμενα, ἐνδέχεται καὶ περὶ γινομένου τινὸς διάφορα γινόμενα ἀποδίδοσθαι αἴτια, οἷον περὶ τῶν βροντῶν. οὐ γὰρ ὡς ἀπαρτιζομένη ὑφίσταται ἡ βροντὴ καθ' ὁλοκληρίαν τινά, ἀλλὰ κατὰ μικρὸν γινομένη ἅμα τοῦ τε γίνεσθαι καὶ τοῦ εἶναι παύεται, ὡς καὶ ἡμέρα καὶ νύξ, | καὶ ὁ ἐν τῷ θεάτρῳ ἀγών, 75 καὶ πολλὰ ἕτερα κατὰ μέρος οὕτω γινόμενα, ὧν τὸ μὲν φθάσαν παρῆλθεν, ἔπεισι δ' ἕτερον μέχρι τῆς συμπληρώσεως· ὧν οὐδὲν ὅλον θεωρεῖται ὡς ὑφιστάμενον. δυνατὸν οὖν, φησί, καὶ ἐπὶ τῶν τοιούτων τὰς δύο αἰτίας ἀποδιδόναι. διὰ τί βροντᾷ; ὅτι πῦρ ἀποσβεννύμενον ἐν τοῖς νέφεσι σίζει τε καὶ ψοφεῖ. τοῦτο ἐκ τῆς ἀνάγκης, ταὐτὸν δ' εἰπεῖν ἐκ τῆς ὕλης. εἰ γὰρ δεῖ βροντὴν γίνεσθαι, ἀνάγκη πῦρ ἐν τοῖς νέφεσιν εἶναι, καὶ τοῦτο ἀποσβεννύμενον σίζειν τε καὶ ψοφεῖν. καὶ πάλιν διὰ τί βροντᾷ; ἵνα οἱ ἐν τῷ Ταρτάρῳ διὰ τούτων ἀπειλούμενοι φοβῶνται. ταύτην δέ, φησί, τὴν αἰτίαν τῶν βροντῶν οἱ Πυθαγόρειοι ἀπεδίδοσαν, τούτου ἕνεκα λέγοντες τὰς βροντὰς γίνεσθαι παρὰ τῆς προνοίας. δυνατὸν δὲ καὶ ἀπὸ τοῦ ποιητικοῦ καὶ τοῦ τελικοῦ τὸ αὐτὸ ἀποδοῦναι. διὰ τί ὁ κόσμος σφαιρικός; διότι τῶν στερεῶν σχημάτων ἡ σφαῖρα κάλλιστον, ἔδει δὲ τὸ ὑπὸ τοῦ καλλίστου ἀριστοτέχνου πεποιημένον τῶν σχημάτων ἔχειν τὸ κάλλιστον· καὶ αὖθις διότι τῶν ἰσοπεριμέτρων σχημάτων ὁ κύκλος πολυχωρητότερον.

p. 94b34 Πλεῖστα δὲ τοιαῦτά ἐστι, καὶ μάλιστα.

Ἐπειδὴ πολλὰ τοιαῦτα καὶ ἐν τοῖς κατὰ τέχνην καὶ ἐν τοῖς κατὰ φύσιν ἐστί, διὰ τοῦτο οὕτως εἶπεν. ἔστι μὲν γὰρ καὶ ἐν ἀμφοτέροις εὑρεῖν πλεῖστα τοιαῦτα τοῖς γένεσιν, ἀλλὰ μάλιστα ἐν τοῖς κατὰ φύσιν. τὸ γὰρ πρότερον εἰρημένον περὶ τῶν λαμπτήρων παράδειγμα τεχνικὸν ἦν, τῇ τῶν σωμάτων φυσικῇ ἰδιότητι τῆς διανοίας κεχρημένης πρὸς τὸ αὐτῇ βουλητόν. διὸ καὶ τὸ μὲν ἐκ τῆς ἀνάγκης αἴτιον φυσικὸν ἐκεῖ ἀπεδίδοτο, τὸ δὲ ἐκ τοῦ τέλους τεχνικόν· ἐπὶ δὲ τῶν φύσει συνισταμένων καὶ συνεστώτων, ὡς αὐτὸς ἔφη, ἄμφω φυσικά. λέγει δὲ συνιστάμενα μὲν τὰ γινόμενα, ὡς βροντὴ καὶ ὡς ἡμέρα, συνεστῶτα δὲ τὰ ὄντα ἤτοι καθ' ὁλοκληρίαν ὑφεστηκότα, ἀλλ' οὐχ οὕτως ὄντα ὡς ἀεὶ μὲν ὄντα γένεσιν δὲ μὴ ἔχοντα.

---

1 ὡς om. E 2 αὐτὸ om. Aa 4 γινομένου — διάφορα] τοῦ αὐτοῦ E
5 τῶν βροντῶν] τῆς (sic) E 9 ὅλον] ὂν Aa 11 βροντᾷ scripsi: βρονταί libri
12 ἐκ post εἰπεῖν om. E 14 πάλιν — βροντᾷ] διότι βρονταὶ πάλιν Aa
17 τῆς om. E 18 καὶ τοῦ τελικοῦ om. E 21 πολυχωρητότατος Aa
24 ἐστί] εἰσί Aa 26 περὶ — παράδειγμα] παράδειγμα λαμπτήρων Aa
30 ἔφησεν Aa λέγει scripsi: λέγω libri 31 ὡς om. E 32 μὴ] οὐκ E

p. 94b36 Ἡ μὲν γὰρ ἕνεκά του ποιεῖ φύσις. 75

Τὴν αἰτίαν ἀποδιδοὺς διὰ τί ἐξ ἀμφοτέρων πεφύκασιν οἱ μέσοι λαμ- 21
βάνεσθαι, ἔκ τε τῆς ὕλης καὶ τοῦ εἴδους ἤτοι τοῦ τέλους, οὕτω φησίν
'ἐπεὶ γὰρ φύσει ἀμφότερα ἥ τε ὕλη καὶ τὸ εἶδος, δεῖ καὶ ἑκάτερον ἀπό-
5 μοιράν τινα τῆς ποιήσεως ἀποφέρεσθαι, ὡς εἶναι τὰ μὲν ἐξ αἰτίας τῆς
ὕλης τῶν ποιουμένων τὰ δ' ἐκ τοῦ εἴδους ἤτοι τοῦ τέλους.

p. 94b37 Ἡ δ' ἀνάγκη διττή. 25

Διττὴν φησι τὴν ἀνάγκην εἶναι, τὴν μὲν κατ' οὐσίαν τὴν δὲ κατὰ βίαν,
ταὐτὸν δ' εἰπεῖν τὴν μὲν κατὰ φύσιν τὴν δὲ παρὰ φύσιν, ἄλλως ἐνταῦθα
10 ἢ ἐν τοῖς Περὶ γενέσεως καὶ φθορᾶς καὶ ἐν ἄλλοις τῶν Φυσικῶν τὴν
ἀνάγκην διαιρῶν. καὶ ἔοικεν ἐν ἐκείνοις μὲν τὴν κατὰ φύσιν διαιρεῖν
ἀνάγκην εἰς τὴν ἁπλῶς καὶ ἐξ ὑποθέσεως, ἐνταῦθα δὲ τὴν ἁπλῶς εἰς τὴν 30
κατ' οὐσίαν καὶ τὴν κατὰ βίαν. ἡ μὲν οὖν κατ' οὐσίαν ἡ κατὰ φύσιν ἐστιν,
ἥτις καὶ τελειωτικὴ τοῦ ὑποκειμένου ἔστι κατὰ τὴν φυσικὴν οὖσα τοῦ
15 πράγματος ὁρμὴν καὶ ὥσπερεὶ ὄρεξίν τε καὶ ἔφεσιν, ἡ δὲ παρὰ ταύτην ὡς
ταύτῃ ἀντικειμένη. καὶ ἓν ἱκανὸν καὶ ἀμφοῖν παράδειγμα· ὁ γὰρ λίθος
πρὸς τἀναντία φέρεται ἄνω τε καὶ κάτω ὑπὸ ἐναντίων ἀναγκῶν. ἐναντίον
γὰρ τὸ βίᾳ τῷ κατὰ φύσιν· τῷ γὰρ λίθῳ φυσική τις ὁρμὴ καὶ ἔφεσις 35
τὸν οἰκεῖον τόπον καταλαβεῖν ὡς φυσικὴν αὐτοῦ τελειότητα, καὶ δρᾷ ἐν
20 αὐτῷ τὴν πρὸς ἐκεῖνον κίνησιν ἡ κατὰ φύσιν ἀνάγκη, ἣν δὴ καὶ ὕλην
φαμέν, τὴν δὲ πρὸς τὸν παρὰ φύσιν τόπον ἡ βία καὶ παρὰ φύσιν ἀνάγκη.
ὡς γὰρ βαρυτάτῳ τῷ λίθῳ κατὰ φύσιν μὲν ὁ κάτω τόπος, πρὸς ὃν καὶ
κατὰ φύσιν κινεῖται, παρὰ φύσιν δὲ ὁ ἄνω, πρὸς ὃν βίᾳ καὶ παρὰ φύσιν
αὐτῷ ἡ κίνησις γίνεται· ὥστε διττὴ ἡ ἀνάγκη. πῶς δέ γε καὶ λέγεται
25 νῦν ἡ ὕλη δραστική. τὸ παθητικὴ ἴδιον ἔχουσα καὶ εἶναι καὶ ὀνομάζεσθαι; 40
ἢ οὐχ ὡς ἁπλῶς ὕλη δραστικὴ οὐδ' ᾗ ὕλη, ἀλλ' ὡς τοῦδε μὲν ὕλη,
ἔχουσα δέ τι καὶ εἶδος αὐτὴ καθ' ὅ καὶ δρᾶν λέγεται. τὸ γὰρ βαρύτατον
σῶμα ὕλη μὲν τῷ λίθῳ, ἀλλ' οὐκ ἀνείδεος· τὸ γὰρ βαρὺ καὶ ναστὸν καὶ
ξηρὸν καὶ ψυχρὸν εἶδος, οὐχ ὕλη ἁπλῶς. τὰ γὰρ ἀρχοειδέστερα τῶν εἰδῶν
30 ὕλη τοῖς μετ' αὐτὰ καὶ τελειοτέροις μετὰ τοῦ ὑποκειμένου γίνονται, οὐκ ἂν
ὑποστησομένοις ἐν τῷ ὑποκειμένῳ, εἰ μὴ ἐκεῖνα προϋποστήσονται· κἂν
αὐτὰ δὲ τὰ κοσμικὰ στοιχεῖα χωρὶς εἰδῶν ἑτέρων λαβόντες φύσιν δρῶσαν 45
ἐν αὐτοῖς ὡς ὕλην ἐροῦμεν, οὐχ ὡς ὕλης ἡ δρᾶσις ἀλλ' ὡς εἴδους ἔσται.

1 post ποιεῖ add. ἡ E 2 πεφύκασιν post λαμβάνεσθαι transp. Aa 3 ἤτοι τοῦ τέλους om. E 4 φύσις E 5 εἶναι] ἦν Aa αἰτίου E
10 ἐν τοῖς Περὶ γενέσεως καὶ φθορᾶς καὶ ἐν ἄλλοις τῶν Φυσικῶν] cf. de gen. et corr. B 11 Phys. B 9 12 ἁπλῶς ἀνάγκην εἰς E 13 καὶ τὴν] καὶ εἰς τὴν Aa: τὴν om. E
15 ἡ] ὁ E 16 καὶ ἀμφοῖν] ἐν ἀμφοῖν E 26 post ἁπλῶς add. ἡ E
οὐδ' ᾗ scripsi: οὐ δ' ἡ libri post μὲν add. ἐν E 28 ναστὸν] charta corrupta A: νοητὸν a 29 εἰδῶν] ὑλῶν E

τὸ γὰρ κοῦφον κινοῦν πρὸς τὸ ἄνω τὸ πῦρ ἢ τὸ βαρὺ πρὸς τὸ κάτω τὴν γῆν ὡς εἶδος τοῦτο ποιεῖ. ὕλη δὲ πῶς λέγεται; ἴσως ὅτι ὕλη πρὸς τὸν τόπον ἐστί, τὸ μὲν πρὸς τὸν ἄνω τὸ δὲ πρὸς τὸν κάτω, ὅτι τε τούτου ἐφίεται ὡς ἡ ὕλη τοῦ εἴδους, καὶ ὅτι τοῦ οἰκείου τόπου ἐφικνούμενον ἕκαστον τοῦ τέλους ἐφικνεῖται καὶ τὸ οἰκεῖον εὖ ἀπολαμβάνει. ἐν ἐκείνῳ μὲν γὰρ μὴ ὂν δυνάμει ἐν ἐκείνῳ ἐστίν, ὅτι τοῦτο πέφυκε· τοῦτο δὲ ὕλης ἴδιον· ἐν ἐκείνῳ δὲ γεγονὸς τὴν οἰκείαν τελειότητα καὶ εἰδοποίησιν δέχεται. διὰ τοῦτο τὴν τοῦ πυρὸς πρὸς τὸ ἄνω κίνησιν ἐκ τῆς κουφότητος μὲν ἀποδιδοὺς ἐκ τῆς ὕλης ἂν ἀποδώσεις, ἐκ δὲ τοῦ τόπου ὡς οἰκείου ἐφετοῦ ἐκ τοῦ εἴδους τε καὶ τοῦ τέλους. διὸ ἡ μὲν ἐκ τῆς φύσεως ἀνάγκη ἑκάστου αὐτῷ συνουσίωται καὶ οὐδέποτε αὐτοῦ ἀφίσταται, σύμφυτος οὖσα αὐτή τε καὶ ἡ κατ' αὐτὴν ἐνέργεια, εἴπερ ἡ ὕλη ἑκάστῳ σύμφυτος· ὥστ' οὐδὲ παρὰ φύσιν οὐδ' ἔξωθεν οὐδὲ βίαιος, ἀλλ' | οἱονεὶ κατὰ τὴν ὁρμὴν ἑκάστου, καὶ ὡς ἄν τις εἴποι ἑκούσιος, ἅτε ἐκ τῆς οὐσίας οὖσα καὶ τῆς φυσικῆς ἑκάστου κατασκευῆς. ἡ δὲ βίαιος ἔξωθεν καὶ πᾶν τοὐναντίον ἐκείνης. δύναται δὲ οὐ μόνον ἡ κατὰ φύσιν ἀλλὰ καὶ ἡ ἔξωθεν ἀνάγκη ἔχειν τὸ ἕνεκά του. ῥίψαι γὰρ ἄν τις λίθον κατὰ λόγον τινὰ καὶ ἵνα τι αὐτῷ κατ' ὄρεξιν ἀποβήσεται.

p. 95a3 Ἐν δὲ τοῖς ἀπὸ διανοίας τὰ μὲν οὐδέποτε ἀπὸ ταὐτομάτου ὑπάρχει.

Τριῶν τούτων ὄντων ἐφεξῆς ἐξ ὧν τὰ γινόμενα γίνεσθαι λέγεται, φύσεως διανοίας αὐτομάτου, ἡ μὲν φύσις εἴρηται ὅτι ἕνεκά του. ἔστι δὲ καὶ ἡ διάνοια ὡσαύτως ἕνεκά του ποιοῦσα· ἢ γὰρ ὄντος ἕνεκα ἢ φαινομένου ἀγαθοῦ· οὐδὲν δὲ ἀπὸ ταὐτομάτου ἕνεκά του γίνεται, ἐπεὶ καὶ ἐναντίον πως τὸ αὐτομάτως τῷ ἕνεκά του, ὡς δηλοῖ καὶ τοὔνομα. αὐτόματον γάρ ἐστι τὸ αὐτομάτην ὄν· μάτην δὲ λέγεται ἢ εἶναι ἢ γίνεσθαι ὃ μὴ πρὸς τέλος ἀφορᾷ, τὸ δὲ ἕνεκά του οὗ ἡ ὕπαρξις ἢ ἡ γένεσις πρός τι τέλος ἀφορᾷ. πῶς οὖν ἂν εἴη ταὐτὸ πρὸς τέλος τε ἀφορῶν καὶ μὴ πρὸς τέλος ἀφορῶν; ὥστε τὸν κατὰ τὸ οὗ ἕνεκα μέσον ἐπὶ μὲν τῶν ἀπὸ φύσεως καὶ ἐπὶ τῶν ἀπὸ διανοίας ἔστι ζητεῖν καὶ ἀποδιδόναι, ἐπὶ δὲ τῶν ἀπὸ τοῦ αὐτομάτου οὔτε ζητήσομεν οὔτε ἀποδώσομεν. ἔστι μέντοι τὸ αὐτόματον συμπῖπτον πολλάκις ἐν τοῖς ἀπὸ φύσεως καὶ ἐν τοῖς ἀπὸ διανοίας γινομένοις, ὡς ποτὲ μὲν τὴν φύσιν ἔχειν ἀρχήν, ποτὲ δὲ τὴν διάνοιαν. ὅσα μὲν οὖν αὐτομάτως ἐν τοῖς φύσει γινομένοις ἐπισυμβαίνει, αὐτόματα λέγεται ἁπλῶς, οἷον εἰ λίθος ἐξ ὄρους ὑπερκειμένου διὰ τὴν φυσικὴν κατενεχθεὶς βαρύτητα εἰς καθέδραν ἐπιτήδειος γένηται. ὁ μὲν γὰρ φυσικὸς λόγος αὐτῷ, δι' ὃν

---

3 τὸν δὲ libri τούτων E 9 ἀποδώσεις scripsi: ἀποδώσειας libri
12 ἑκάστῳ scripsi: ἑκάστου libri 13 οὐ παρὰ Aa 14 εἴπη Aa 15 πᾶν] πῶς E 16 ἡ (post καὶ) om. Aa 18 ἀποβαίη E 21 τούτων om. E
24 ἐναντία E 26 ἢ (ante εἶναι) om. Aa 28 ταὐτὸν τὸ πρὸς τέλος μὴ ἀφορῶν E
28. 29 καὶ μὴ — ἀφορῶν om. E 30 ἐπὶ τῶν om. E

κατενήνεκται, τὸ εἰς τὸν κάτω τόπον ἐλθεῖν· ἡ δὲ πρὸς καθέδραν ἐπιτη- 76
δειότης παρὰ τὸν σκοπὸν τῆς φύσεως αὐτῷ ἐπιγέγονεν, ἀποθραυσθέντων ἴσως
αὐτῷ τινων ἐξοχῶν ἐν τῷ κατιέναι. ὅσα δὲ τοῦ αὐτομάτου τοῖς ἀπὸ
διανοίας ἐπακολουθεῖ, ταῦτα λέγεται ἀπὸ τύχης, οἷον εἴ τις ἐπὶ τὸ λού-
σασθαι ἀπιὼν περιτύχοι χρεωφειλέτῃ καὶ τὸ δάνειον ἀναλήψοιτο. ὡς
εἶναι διαφορὰν τοῦ αὐτομάτου καὶ τῆς τύχης, ὅτι τὸ μὲν καθολικώτερον
τὸ δὲ μερικώτερον· εἴ τι μὲν γὰρ τύχῃ, τοῦτο καὶ αὐτόματον, οὐ μὴν καὶ
ἀνάπαλιν· ἐπὶ γὰρ μόνοις ἡ τύχη τοῖς κατὰ προαίρεσιν. πολλὰ μέντοι
τῶν κατὰ προαίρεσιν γένοιντ' ἂν καὶ ἀπὸ τύχης, οἷον ὑγεία· αὕτη γὰρ
γίνεται μὲν νοσοῦντί τινι καὶ ἀπὸ τέχνης ἰατρικῆς, διαίτης προσφερομένης
καὶ φαρμάκων τῶν προσηκόντων, καὶ ὅσα ἄλλα τοῖς Ἀσκληπιάδαις ἐπιτε-
τήδευται πρὸς τὴν τῆς σφετέρας τέχνης κατόρθωσιν· γίνεται δὲ αὕτη καὶ
ἀπὸ τύχης, ὅταν παρὰ τὸν σκοπὸν τοῦ κατὰ προαίρεσιν γινομένου ἀκολουθήσῃ,
οἷον εἴ τις νοσῶν εἰς κόρον μεταλάβῃ ψυχροῦ διὰ μόνην ἡδονήν, καὶ
συμβαίνῃ τοῦτον ἐντεῦθεν τῆς νόσου ἀπαλλαγῆναι. ταῦτα δὲ συμβαίνει
οὐκ ἐπὶ πάντων τῶν ἀπὸ διανοίας, ἀλλ' ἐφ' ὅσων ἐνδέχεται τὴν διάνοιαν
ἀποτυγχάνειν, ὥστ' ἐπὶ τἀναντία πολλάκις τοῦ σκοποῦ φέρεσθαι, τοιαῦται
δέ εἰσιν αἱ στοχαστικαὶ πᾶσαι τέχναι, οἷον ἰατρική, κυβερνητική, ῥητορικὴ
καὶ αἱ τοιαῦται· οὐ γὰρ ἐξ ἀνάγκης οὔτε ὁ ἰατρὸς ὑγιάσει, κἂν πάντα τὰ
κατὰ τὴν τέχνην ἐπιτηδεύσῃ, οὔτε ὁ κυβερνήτης σώσει, κἂν μηδὲν παρα-
λίπῃ, οὔτε ὁ ῥήτωρ πείσει, κἂν πάντα ποιήσῃ ὅσα ἡ τέχνη αὐτῷ ὑποτί-
θησι· καὶ οὐ παρὰ τὰς τέχνας ἡ αἰτία τῆς ἀποτεύξεως, ἀλλὰ παρὰ τὸ
ὑποκείμενον. ἔσται δὴ καὶ ὑγεία σώματος καὶ σωτηρία νηὸς ἀπὸ τύχης,
οὐ μὴν οἰκία οὐδὲ ναῦς οὐδέ τι ἕτερον τοιοῦτον. εἰ δὲ καὶ πάσας τὰς
τέχνας κοινωνεῖν τῆς τύχης δοίημεν, ἀλλ' οὐ πᾶσαι ἐπίσης, ἀλλ' αἱ μὲν
μᾶλλον αἱ δ' ἧττον, καὶ τοσοῦτον ἑκάστη, ὅσον ἡ κατ' αὐτὴν ὕλη πταίει
καὶ ἀστατεῖ· πλὴν αἱ στοχαστικαὶ μάλιστα διὰ τὸ μάλιστα αὐταῖς ἀστα-
τεῖσθαι τὰ ὑποκείμενα.

p. 95a 3 Ἐν δὲ τοῖς ἀπὸ διανοίας τὰ μὲν οὐδέποτε ἀπὸ τοῦ
αὐτομάτου ὑπάρχει οἷον οἰκία ἢ ἀνδριάς, οὐδ' ἐξ ἀνάγκης, ἀλλ'
ἕνεκά του.

Τριῶν ὄντων τούτων, ὡς εἴρηται, καθ' ἅ ποτε τὰ γινόμενα γίνεσθαι
λέγεται (ἢ γὰρ κατὰ φύσιν ἢ κατὰ διάνοιαν ἢ κατά τι αὐτόματον) τὰ τῶν
γινομένων κύρια ἡ φύσις ἂν εἴη καὶ ἡ διάνοια. ἐξῃρήσθω γὰρ νῦν τὸ
θεῖον ὡς ἄλλου λόγου καὶ οὐ τοῦ παρόντος δεόμενον. περὶ μὲν δὴ τῆς

4 ἐπὶ τοῦ E 5 περιτύχῃ A: περιτύχῃς a ἀναλήψεται Aa 7 καὶ post μὴν om. E 10 μὲν om. E 13 ἀκολουθήσει Aa 14 μόνον Aa 16 τῶν om. a 18 et 27 στοχαστικαὶ] στομαχικαὶ Aa 19 post ὑγιάσει add. οὔτε ὁ ῥήτωρ πείσει E post πάντα pergit ποιήσῃ καὶ ἐπιτηδεύσῃ τὰ κατὰ τὴν τέχνην E 20. 21 post παραλίπῃ pergit τῶν ὅσα ἡ τέχνη αὐτῷ ὑποτίθησι E 24 τοιοῦτον ἕτερον coll. Aa 35 παρόντος] πράγματος Aa

φύσεως εἰρηκὼς οὐδαμῇ ἐπ' ἐκείνης παρεισήνεγκε τὸ αὐτόματον, ἴσως ὅτι 76
μηδὲν ἐδόξασε τῶν φύσει γινομένων ἐκ ταὐτομάτου γίνεσθαι ἁπλῶς, ἀλλὰ
κατὰ λόγον τινὰ θείας προνοίας καὶ φύσεως. κἂν γὰρ αὐτομάτως ποτὲ
δοκῇ ἢ φυτὰ ἀναδίδοσθαι ἢ ζῷα ἐκ σήψεως ἀναφύεσθαι, ἀλλ' οὐχ ἁπλῶς
5 ἐνταυθοῖ τὸ αὐτόματον, ἀλλ' ὅτι μὴ φανερὸς ἴσως ὁ λόγος ἐστὶ τῆς γενέσεως. 45
ἁπλῶς δὲ καὶ μετὰ λόγου καὶ φύσει γεγένηται, τῶν δημιουργικῶν λόγων
συμπαρομαρτούντων ἀεὶ καὶ δρώντων καὶ παραγόντων ἐν τῇ ὕλῃ τὰ κατάλληλα εἴδη, ὁπηνίκα ἐπιτήδειον τὸ ὑποκείμενον γένηται, μὴ δὲ τῆς τούτου
ἐπιτηδειότητος προνοίας ἄτερ γινομένης καὶ τῆς θείας δυνάμεως, μηδὲ τῶν
10 πηρωμάτων ἢ τεράτων τῆς καθόλου προνοίας ἀποπιπτόντων καὶ φύσεως,
ὡς μιᾶς οὔσης ἁπάντων ἀρχῆς, ἧς ἅπαντα τά τε ὄντα τά τε γινόμενα 50
ἤρτηται, ἀλλὰ μὴ ἐχουσῶν ἑτέραν τῶν ἀποτεύξεων· κἂν γὰρ ἡ ἀπότευξις
τῆσδέ τινος φύσεως ὑπάρχῃ ἀπότευξις, ἀλλ' οὐχὶ καὶ καθόλου τῆς φύσεως.

Περὶ δὲ τῆς διανοίας νῦν φάσκων καὶ τῶν κατ' αὐτὴν γινομένων,
15 χώραν τῷ αὐτομάτῳ παρέσχετο, λέγων ἐν τοῖς ἀπ' αὐτῆς γινομένοις τὰ
μὲν οὐδέποτε ἀπὸ τοῦ αὐτομάτου ὑπάρχειν (οὐδέποτε γὰρ οἰκία ἢ ἀνδριὰς
ἀπὸ ταὐτομάτου γεγένηται) ἀλλ' οὐδ' ἐξ ἀνάγκης τινός, εἴτε τὴν κατὰ
φύσιν φαίης εἴτε τὴν κατὰ βίαν ἀνάγκην. οὐ γὰρ | τῆς ἐν λίθοις ἢ ξύλοις 77
φύσεως, ὥστε τὴν σφῶν κατὰ φύσιν κινούμενα κίνησιν οἰκίαν ἀποτελέσαι,
20 οὔτε μὴν τῆς τοῦ λίθου ἢ τοῦ χαλκοῦ, ἵνα κινηθέντα κατὰ φύσιν ἀνδριάντες
γενήσονται. ἦσαν γὰρ ἂν ἐκ ταὐτομάτου καὶ πάλιν ἀνδριάντες γινόμενοι,
ὡς τῇ φυσικῇ τῶν σωμάτων κινήσει παρὰ τὸν σκοπὸν τῆς φύσεως ἐπακολουθοῦντος τοῦ σχήματος. ἀλλ' οὐδ' ἂν βιασθεὶς ὁ λίθος ἢ ὁ χαλκὸς εἰς
τὴν παρὰ φύσιν αὐτοῦ κίνησιν ἀνδριάντος σχῆμα προσλήψεται, ὡς κἀν- 5
25 ταῦθα εἶναι αὐτόματον παρὰ τὸν σκοπὸν γεγονὸς τοῦ κινήσαντος· τὸ αὐτὸ
δὲ καὶ ἐπὶ τῆς οἰκίας. ἀλλ' ἀεὶ ἕνεκά του, τουτέστι κατὰ σκοπὸν τοῦ
κατασκευάζοντος τὰ τοιαῦτα γίνονται, ὡς τῆς κατὰ διάνοιαν ἀεὶ προθέσεως
τέλος γίνεσθαι καὶ μηδέποτε ἄλλο. ἢ καὶ δεῖ συνεξακούειν τῷ ἀλλ'
ἕνεκά του τὸ δρῶν κατ' αὐτὰ καὶ ἄγον πρὸς αὐτά· ἀπὸ διανοίας γὰρ ἡ
30 ὕλη κινεῖται ἡ τοῦ κατὰ τὴν οἰκίαν εἴδους δεκτική. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ 10
ἀνδριάντος καὶ τῶν τοιούτων.

p. 95a5 Τὰ δὲ καὶ ἀπὸ τύχης.

Εἰσὶ δ' ἅ, φησί, τῶν ἀπὸ διανοίας καὶ ἀπὸ τύχης ποτὲ γίνεται, οἷον
ὑγεία καὶ σωτηρία. ἐπιτηδεύεται μὲν γὰρ καὶ ἰατρὸς τὴν ὑγείαν καὶ
35 κυβερνήτης τὴν σωτηρίαν τῆς νηός, καὶ κατορθοῦσιν ἑκατέραν ἑκάτερος

---

3 ποτὲ om. E 4 δοκῇ] δοκεῖ Aa ἀναφαίνεσθαι E 6 φύσεως E
9 προνοίας ἄτερ] ἅπερ προνοίας Aa μηδὲν Aa 12 ἤρτηνται Aa
ἀλλὰ—ἀποτεύξεων om. E ἀπόταξις E 15 παράσχετο E 17 γένηται Aa
21 γενῶνται (sic) E ἂν om. E 22 κινήσεως Aa 24 ἑαυτοῦ Aa
28 ἄλλως Aa 30 οἰκείαν E 31 καὶ ἐπὶ τῶν Aa 34 γὰρ om. E
35 ἑκάτερος ἑκατέραν coll. Aa

κατὰ τὸ ἐγχωροῦν τῇ τέχνῃ· ἀλλ' ἔστι ταῦτα καὶ ἀπὸ τύχης γίνεσθαι, εἰ 77
δ' ἀπὸ τύχης, καὶ ἀπὸ ταὐτομάτου· τὶ γὰρ ἡ τύχη αὐτόματον. πιών τε 15
γὰρ ὕδωρ τις διὰ μόνην ἡδονὴν ὑγείας παρὰ τὸν σκοπὸν τῆς πόσεως τεύξε-
ται καὶ ναῦς καταλειφθεῖσα κυβερνήσεως χωρὶς σωθείη ἂν εἰς χωρίον
5 φιλάνθρωπον, ἔνθα μηδὲν μήτ' αὐτῇ συμβαίη δεινὸν μήτε τῷ φόρτῳ μήτε
μὴν τοῖς ἐμπλέουσι.

p. 95a 6 Μάλιστα δ' ἐν ὅσοις ἐνδέχεται καὶ ὧδε καὶ ἄλλως ἔχειν.

Τοῦτο ὥσπερ κανών ἐστιν ἐν τίσι τῶν ἀπὸ διανοίας γινομένων, χώραν
ἔχουσαν τὴν τύχην εἰδέναι ὀφείλομεν. ἴσως μὲν γάρ, φησί, καὶ ἐν ἄλλοις 20
10 τούτων ἔσται τὴν τύχην εὑρεῖν παρεισπίπτουσαν, ἀλλ' ἀμυδρῶς καὶ ἐπὶ
βραχύ, ἐφ' ὅσον αὐτοῖς τὸ πταίειν ἔχει τὸ ὑποκείμενον. καὶ τέκτων γὰρ
ἴσως ἄλλο προθέμενος ἄλλο ἂν τελευταῖον ἀποτελέσειε καί σκυτεὺς καὶ
χυτρεύς, ἢ τῆς ὕλης ἢ τοῦ ὀργάνου ἤ τινος ἑτέρου πρὸς τὸ ἐξ ἀρχῆς
προτεθὲν ἀντιπράξαντος, καὶ ἐπ' ἄλλων πολλῶν ἀμυδρῶς πως τὴν τύχην
15 παρεπομένην εὑρήσομεν, ἵνα μὴ πλείω παρατιθέντες τὸν λόγον μηκύνωμεν· 25
μάλιστα δὲ καὶ ἐναργῶς ἐν τοῖς κατὰ τὰς στοχαστικὰς τέχνας τέλεσιν
αὕτη εὑρίσκεται. αὗται δέ εἰσιν ἐν ὅσαις ἐνδέχεται καὶ κατὰ τὸν αὐτῶν
σκοπὸν καὶ ἐναντίως τῷ σκοπῷ τὰς ἀποβάσεις γίνεσθαι· στοχαστικαὶ γὰρ
οὖσαι ἢ εὐστοχοῦσι πρὸς ὅπερ τὴν πρόθεσιν ἔχουσιν, ἢ καὶ ἀστοχοῦσιν
20 ἐνίοτε. τοῦτο γάρ ἐστιν ὃ φησιν ἐν ὅσαις γάρ τέχναις ἢ ἐν ὅσοις ὑπο-
κειμένοις, ὁπόταν μὴ ἀπὸ τύχης, ἀλλ' ὅταν αὐτοὶ οἱ τεχνῖται τὸ τέλος ὡς
αὐτοῖς οἰκεῖον προτίθενται, ἐνδέχεται τότε καὶ ὧδε καὶ ἄλλως, τουτέστι
καὶ κατὰ σκοπὸν καὶ ἐναντίως τῷ σκοπῷ ἀποβαίνειν τὰ τέλη, ἐν τούτοις 30
μάλιστα χώραν ἔχει τὸ ἀπὸ τύχης. τὸ γὰρ ἄλλως ἢ ὡς ὁ σκοπὸς ἔχει
25 τοῦ ἰατροῦ. ᾗ ἰατρός ἐστιν, οὐδέν ἐστιν ἕτερον ἢ τὸ ἐναντίον τῇ ὑγείᾳ.
καὶ τὸ ἄλλως ἢ ὡς ὁ κυβερνήτης ᾗ κυβερνήτης προτίθεται, οὐδέν ἐστιν
ἄλλο ἢ τὸ ἐναντίον τῇ σωτηρίᾳ· καὶ τὸ ἑτέρως ἢ ὡς ὁ ῥήτωρ ᾗ ῥήτωρ
σκοπεῖ, οὐδέν ἐστιν ἄλλο ἢ τὸ ἐναντίον τῷ πεισθῆναι, ὅπερ ἐστὶν ἡ
ἀπειθεία.

30 p. 95a 7 Ὥστε τὸ τέλος ἀγαθὸν ἕνεκά του γίνεται, καὶ ἢ φύσει
ἢ τέχνῃ.

Τὰ μὲν οὕτως ἔχει τῶν ἀντιγράφων, τὰ δὲ οὕτως ὧν δὲ τὸ τέλος 35
ἀγαθόν, τὰ δ' οὕτως ὥστ' εἰ τὸ τέλος ἀγαθόν· φέρει δὲ πάντα πρὸς
τὴν αὐτὴν ἔννοιαν. ἔστι δὲ τοιοῦτον τὸ λεγόμενον, ὅτι ἐν οἷς τῶν γινο-
μένων ἀγαθὸν ἐξ ἀνάγκης τὸ τέλος ἐστὶν ἢ καὶ ὡς ἐπὶ τὸ πολύ, ἕνεκά του

4 κυβερνήτου Aa 5 μήτε τῷ φόρτῳ om. Aa 12 ἂν om. Aa
16 ἐνεργῶς E 17 αὐτῶν] αὐτὸν E 20 ἐν—τέχναις in textu exh. E: in mrg. add. A¹: om. a 21 ὡς om. E 23 τέλης (sic) E 28 σκοπεῖ scripsi: σκοπεῖν libri

τὰ πρὸς αὐτὸ γινόμενα γίνεται, ὡς τὴν τύχην καὶ τὸ αὐτόματον ἐν τούτοις 77
ἢ μηδ' ὅλως ἔχειν χώραν ἢ ἐφ' ὅτι βραχύ, ἀλλὰ φύσιν εἶναι ἢ τέχνην
τὴν πρὸς τὸ ἀγαθὸν τέλος ἄγουσαν. ἐπειδὴ γὰρ ἔλεγεν ἀνωτέρω ὅτι ἐφ'
ὧν τεχνῶν ἐπαμφοτερίζει τὸ τέλος, ὡς τἀναντία πολλάκις ἀποβαίνειν τῆς 40
5 τοῦ τεχνίτου προθέσεως (τοῦτο γὰρ ἦν τὸ ἐνδέχεται καὶ ὧδε καὶ ἄλλως
ἔχειν), ἐπὶ τούτων μάλιστα καὶ ἀπὸ τύχης τὸ τέλος ἐνδέχεται γίνεσθαι,
τὸ πρὸς ἐκεῖνο ἀντικείμενον ἐνταῦθά φησιν, ὅτι ἐν οἷς μὴ ὧδε καὶ ἄλλως
ἐνδέχεται, ἀλλὰ πάντως ἀγαθὸν τὸ τέλος ἐστίν, ἐν τούτοις τὸ αὐτόματον
οὐκ ἔστιν, ἀλλὰ πάντως ἕνεκά του ὁρᾷ τὸ ὁρῶν τὰ πρὸς αὐτὸ πάντα
10 φέροντα· τοῦτο δέ ἐστιν ἢ φύσει ἢ τέχνῃ, ταὐτὸν δὲ εἰπεῖν διανοίᾳ· πᾶσα 45
γὰρ τέχνη καὶ πᾶσα ἐπιστήμη κατὰ διάνοιαν. εἰ μὲν οὖν κατὰ τὴν
πρώτην ῥηθεῖσαν γραφὴν ληψόμεθα τὸ ῥητόν, ἐλλιπέστερον ἔσται, ὡς δεῖσθαι
προσθήκης εὐθύς, ἵν' ᾖ οὕτως 'ὥστε ἐφ' ὧν τὸ τέλος πάντως ἀγαθόν, ἐν
τούτοις ἕνεκά του γίνεται τὰ πρὸς τὸ τέλος γινόμενα.' εἰ δὲ κατὰ τὴν
15 δευτέραν καὶ τρίτην, ἐλάττονος δεήσει προσθήκης· 'ὧν γὰρ τὸ τέλος πάντως
ἀγαθόν,' καὶ 'εἰ τὸ τέλος πάντως ἀγαθόν,' ἕνεκά του γίνεται τὰ πρὸς τὸ
τέλος. ἔστι δὲ καὶ κατ' ἐρώτησιν εἰπεῖν τὸ τέλος ἀγαθόν, ἵν' ᾖ οὕτως 50
'ὥστε τὸ τέλος ἀγαθὸν ἕνεκά του γίνεται.' λέγει τις, φησίν, ὅτι οὐκ
ἐπαμφοτερίζει τὸ τέλος, ἀλλὰ πάντως ἀγαθόν ἐστιν· ἕνεκά του ἄρα τὰ πρὸς
20 τὸ τέλος, εἴτε ἓν εἴτε πλείω ἐστί. δύναται καὶ ὡς πόρισμα λέγεσθαι ἐκ
τῶν εἰρημένων ἀναφαινόμενον. ἐπεὶ γὰρ τὸ αὐτόματον ἐπὶ τῶν ἐπαμφο-
τεριζόντων ἔλεγε μάλιστα χώραν ἔχειν, δῆλον ἐντεῦθεν ὅτι ἐφ' ὧν ἀγαθὸν
πάντως τὸ τέλος, ὡς μὴ τοὐναντίον ἐνδέχεσθαι, ἐπὶ τούτων ἕνεκά του τὰ
πρὸς τὸ τέλος, καὶ ἢ φύσις ἢ τέχνη ἐστὶν ἡ ἄγουσα | πρὸς αὐτό. τὸ δὲ 78
25 τὸ ἀγαθὸν τέλος ἕνεκά του λέγεσθαι λόγον οὐκ ἔχει. τὰ γὰρ πρὸς τὸ τέλος
ἕνεκά του, τὸ δὲ τέλος οὐχί, ἀλλ' οὗ ἕνεκα.

p. 95a 8 Ἀπὸ τύχης δ' οὐδὲν ἕνεκά του γίνεται.

Εἰπὼν ὅτι ἢ φύσει ἢ τέχνῃ τὰ ἕνεκά του λέγει νῦν ὅτι ἀπὸ τύχης
οὐκ ἐνδέχεταί τι ἕνεκά του γίνεσθαι. ἡ γὰρ τύχη αὐτόματον, οὐδὲν δὲ 5
30 ἕνεκά του ἐξ αὐτομάτου· οὐδ' ἀπὸ τύχης ἄρα. πῶς δὲ ἐκ ταὐτομάτου
οὐδὲν ἕνεκά του γίνεται, εἴρηται πρότερον.

p. 95a 10 Τὸ δ' αὐτὸ αἴτιόν ἐστι τοῖς γινομένοις.

Ἐπειδὴ ἐν ταῖς ἀποδείξεσιν ἐκ τοῦ μέσου τοῖς ἄκροις ἡ ἀκολούθησις
γίνεται, πότερον ἀεὶ ὅθεν ἂν τύχῃ ἀρχομένων ἡμῶν ἡ ἀναγκαία τῶν ὅρων 10

---

3 ἐπεὶ Aa 6 ἀπὸ τῆς τύχης Aa 7. 8 ὧδε—ἐνδέχεται] ἥδε ἢ ἄλλως E
10 φέροντες Aa φύσεως ἢ τέχνης Aa διάνοια libri 12 γραμμὴν Aa
13 ἵν' εἴη E 14 εἰ δὲ] εἰ δέ τι E 16 καὶ εἰ—ἀγαθόν om. E
17 δὲ om. E 23 ἐνδέχεται a 28 φύσις ἢ τέχνη Aa 29 γὰρ om. Aa
34 πρότερον E ἀεὶ om. Aa τύχοι E

εὑρίσκεται ἀκολούθησις, λέγω δὴ ὁποίου ἂν εἴδους ᾖ τὸ μέσον καὶ αἴτιον, 78
ἢ ἔστι μὲν οὗ, ἔστι δ' ὅπου οὔ; ὅσα μὲν οὖν ἀναγκαῖα τῶν μέσων, ὡς
ἀναγκαίως αὐτοῖς ἕπεσθαι καὶ τὰ αἰτιατά, ἐπὶ τούτων καὶ ἡ ἀκολούθησις
ἀναγκαία γίνεται ὁποτέρωθεν ἀρχομένων ἡμῶν, εἴτε ἀπὸ τῶν αἰτίων εἴτε
5 ἀπὸ τῶν αἰτιατῶν. ὁποῖόν ἐστι τὸ τί ἦν εἶναι, ὅπερ δὴ καὶ ἅμα ἐστὶ τῷ
αἰτιατῷ, ὡς εἶναι κατὰ τὸν χρόνον ὁμόγονα ἀλλήλοις τὸ αἰτιατὸν καὶ τὸ
αἴτιον, ἤγουν τοῖς γινομένοις γινόμενον, τοῖς γεγενημένοις γεγενημένον, 15
τοῖς ἐσομένοις ἐσόμενον, καὶ τοῖς οὖσιν ὄν. οὐ γὰρ ἐνδέχεταί ποτε τὸ
εἶδος τοῦ οὗ ἐστιν εἶδος χωρίζεσθαι κατὰ τὴν ὑπόστασιν. οἷον ἐπεὶ εἶδος
10 τῆς σεληνιακῆς ἐκλείψεως τὸ ἐν μέσῳ αὐτῆς καὶ τοῦ ἡλίου γεγονέναι τὴν
γῆν, εἰ μὲν τὴν ἔκλειψιν ὡς γεγονυῖαν λάβῃς, καὶ τὸ ἐν μέσῳ γεγονέναι
τὴν γῆν ἐξ ἀνάγκης ἂν ὡς γεγονὸς λήψοιο· οὐ γὰρ ἂν ἄλλως ἐκείνη γέγονεν,
εἰ μὴ αὕτη ἐν μέσῳ γέγονεν. εἰ δ' ὡς γινομένην ἐκείνην, καὶ αὕτη ὡς
γινομένη ληφθήσεται· ἄλλως γὰρ οὐκ ἐνδέχεται γενέσθαι ἔκλειψιν, εἰ μὴ 20
15 καὶ ἡ γῆ ἐν μέσῳ γίνεται. καὶ ἐπὶ τοῦ ἔσεσθαι δὲ καὶ ἐπὶ τοῦ εἶναι
ὡσαύτως. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τοῦ κρυστάλλου. εἰ γάρ ἐστι
κρύσταλλος ὕδωρ πεπηγὸς διὰ παντελῆ θερμοῦ ἔκλειψιν, τὸ ὕδωρ τοῦ
κρυστάλλου ἡ παντελὴς ἐστιν ἔκλειψις τοῦ θερμοῦ. ἔστιν οὖν καὶ τοῦτο
τοῦ οὗ ἐστιν εἴδους ὁμόγονον· γίνεται δὴ κρύσταλλος ἐκλείποντος τοῦ
20 θερμοῦ παντελῶς, καὶ γέγονεν ἐκλελοιπότος, καὶ ἔσται ἐκλείποντος. ἔστι
δέ, ὡς εἴρηται, ἐπὶ τῶν οὕτως αἰτίων καὶ ἀναγκαία ἡ ἀκολούθησις, ὁπο- 25
τέρωθεν ἀρχομένων ἡμῶν, εἴτε ἀπὸ τοῦ αἰτίου εἴτε ἀπὸ τοῦ αἰτιατοῦ.
εἴ τε γὰρ ἐν μέσῳ ἡ γῆ, ἔκλειψις, καὶ εἰ ἔκλειψις, ἡ γῆ ἐν μέσῳ· οὐ
γὰρ ἐνδέχεταί ποτε θάτερον θατέρου εἶναι χωρίς. μόνον δὲ διαφέρει, ὅτι
25 τὸ μὲν ὡς αἴτιον τὸ δ' ὡς αἰτιατὸν ἕπεται ἑκάτερον ἑκατέρῳ, ὡς εἶναι
τὸ μὲν ἀπόδειξιν ἁπλῶς, τὸ δὲ τεκμηριώδη. ὅσα δὲ μὴ ἅμα ἐστὶν ἀλλή-
λοις αἰτιατά τε καὶ αἴτια, ἀλλὰ τῶν αἰτιατῶν κατὰ χρόνον προηγεῖται τὰ
αἴτια, πῶς ἐροῦμεν ἐπὶ τῶν τοιούτων; τοιαῦτα δὲ πολλὰ ποιητικά τε καὶ 30
ὑλικά. ὅτι μὲν γὰρ καὶ τούτων ἄλλα ἄλλων αἴτια δῆλον, γεγονότων
30 γεγενημένα καὶ ἐσομένων ἐσόμενα, καὶ ἐσομένων γεγενημένα, καὶ γινο-
μένων γεγενημένα· οὐ γὰρ ἐνδέχεται τὸ ἀνάπαλιν. ἀλλ' οὐδὲ ὁμόγονα· εἰ
γὰρ καὶ ἐσομένων ἐσόμενα λέγομεν, ἀλλ' εἰ καὶ μήπω τὸ αἴτιον γενόμενον
θείημεν, ὅμως δεῖ πρῶτον γενέσθαι, καὶ μετ' αὐτὸ τὸ αἰτιατόν. γινόμενα
δ' ἔτι γινομένων ἤδη ἐνεργείᾳ εἶναι αἴτια οὐκ ἐνδέχεται, ἐπειδὴ τῶν τοιούτων
35 οὔθ' ὁποτέρωθεν ἀρχομένοις οὔτε μὴν ἀπὸ τῶν προτέρων ἀναγκαία ἡ ἀκο- 35
λούθησις, ἀλλ' ἀπὸ τῶν ὑστέρων ἐπὶ τὰ πρότερα. πλὴν οὐχὶ καὶ τὰ ὕστερα
τῶν προτέρων ἀρχαί, ἀλλ' ἀνάπαλιν· οὐ γὰρ ἐπειδὴ τὸ ἀναγκαῖον τοῖς λόγοις

1 λέγω δὲ libri 6 ἀλλήλοις ὁμόγονα Aa 7 post γεγενημένοις add. γε E
11 εἰ μὲν — τὴν γῆν (12) om. E 12 λήψαιο E 13 post ἐκείνην add. λήψαιο E
16 κρυστάλου A, itemque porro 16 εἰ γάρ — κρυστάλλου (18) om. E
19 εἶδος E 22 ἡμῶν om. E 23 καὶ εἰ] καὶ ἡ Aa 27. 28 ἀλλὰ — αἴτια om. E
28 τῶν τοιούτων] τούτων E 29 γὰρ om. E 30. 31 ἐσόμενα καὶ γινομένων γενόμενα. οὐ γὰρ E 35 ὁποτέρως E 37 et 161,1 ἀρχὴ E

παρέχοντες ἀπὸ τῶν ὑστέρων ἀρχόμεθα, διὰ τοῦτο καὶ ἀρχὴ τῶν προτέρων 78
τὰ ὕστερα· ἀλλ' ἐπειδὴ ἐν τοῖς ἐν γενέσει οὐκ ἀεὶ ἀλλ' ὡς ἐπὶ τὸ πολὺ
μετὰ τὴν τῶν αἰτίων ὕπαρξιν τὰ αἰτιατὰ γίνεται, διὰ τοῦτο ἡ τῶν ὑστέρων
ἀκολούθησις οὐκ ἀναγκαία ἐστὶ πρὸς τὰ πρότερα, καὶ αὖθις ἐπεὶ τὰ ὕστερα
5 τῶν προτέρων μὴ ὑπαρξάντων γενέσθαι οὐ δύναται, διὰ τοῦτο ἐκ τούτων 40
ἐν τοῖς λόγοις ἀρχόμεθα τὸ ἀναγκαῖον τοῖς λόγοις παρέχοντες. εἰ γὰρ
οἰκία, τοῖχοι, καὶ εἰ τοῖχοι, θεμέλιοι, καὶ εἰ θεμέλιοι, ὀρυγή. καὶ εἰ ὁ
Μηδικὸς Ἀθηναίοις ἐπενήνεκται πόλεμος, εἰς Σάρδεις Ἀθηναῖοι μετ'
Ἐρετριέων ἐνέβαλον. καὶ εἰ τὸ Ἴλιον καταβέβληται, ὑπὸ Ἀλεξάνδρου
10 Ἑλένη ἀφήρπασται. οὕτω γὰρ ὁ λόγος ἕξει τὸ ἀναγκαῖον, οὐ μὴν εἰ καὶ
ἀνάπαλιν εἴπωμεν. καὶ ἐπὶ τῶν φυσικῶν δὲ ὁμοίως· εἰ τέτοκε, κατὰ
γαστρὸς ἔσχηκε· καὶ εἰ τοῦτο, ἀνδρὶ πεπλησίακεν. οὐχ οὕτω δ' ἀναγκαῖον, 45
εἰ καὶ ἀνάπαλιν. οὐδὲν δὲ διαφέρει πρὸς τοῦτο, κἂν τε ὡρισμένον χρόνον
κἂν τε ἀόριστον θείημεν, ὥστε λέγειν ὅτι ἐπεὶ τόδε γέγονε, λέγω δὴ τὸ
15 πρότερον, ἀληθὲς ἐξ ἀνάγκης ὅτι καὶ τὸ ὕστερον γέγονε. κἂν τε γὰρ ὁρίσῃς
τὸν χρόνον, ὡς ἕνα ἐνιαυτὸν θέσθαι τυχὸν ἢ δέκα ἢ εἴκοσιν ἢ ὅπως ἂν
βούλοιο, κἂν τε ἁπλῶς λήψοιο, οὐκ ἔσται σοι ὁ λόγος ἀναγκαῖος ἀρχομένῳ
ἀπὸ τοῦ προτέρου. εἰ γὰρ καὶ ὡς ἤδη γεγονὸς τὸ ὕστερον ὑποθώμεθα, 50
οἷον τὸ καταβληθῆναι τὸ Ἴλιον μετὰ τὴν ἁρπαγὴν τῆς Ἑλένης, ἢ τὸ τὴν
20 οἰκίαν γενέσθαι μετὰ τὴν ὀρυγὴν ἢ τὴν τῶν θεμελίων καταβολήν, ἀλλὰ
τὸν μεταξὺ χρόνον ἅπαντα ἐν ὅσῳ τὸ μὲν πρότερον ἦν τὸ δ' ὕστερον οὔπω
γέγονε, ψεῦδος ἦν τὸ εἰπεῖν γεγονέναι τὸ ὕστερον. ἐρεῖ δ' ἄν τις ἴσως
ὅτι εἰ καὶ ὡς ἤδη γεγονὸς οὐκ ἦν ἀληθὲς εἰπεῖν τὸ ἐσόμενον ὕστερον τοῦ
προτέρου γεγονότος, ἀλλά γε ὡς ἐσόμενον ἀληθὲς ἦν λέγειν τὸν μεταξὺ
25 χρόνον ἅπαντα, οἷον Σωφρονίσκου γεγονότος ἀλη|θὲς ἦν λέγειν ὅτι ἔσται 79
Σωκράτης, καὶ τοῦτο δῆλον ὅτι γέγονεν ὕστερον. ἀλλ' οὐδὲ τοῦτο ἀληθές·
δεῖ γὰρ εἶναι τὸ μέσον καὶ αἴτιον ὁμόγονον τοῦ οὗ ἐστιν αἴτιον, ἤτοι κατὰ
τὸ αὐτὸ εἶδος τοῦ χρόνου λαμβανόμενον, ἵν' εἴη τοῦ μὲν ὄντος τὸ αἴτιον
ὄν, τοῦ δὲ ἐσομένου ἐσόμενον, τοῦ δὲ γεγενημένου γεγενημένον, τοῦ δὲ
30 γινομένου γινόμενον, ὥστε ὡσαύτως ἔχειν κατὰ τὸ ἐνεργείᾳ καὶ τὸ δυνάμει.
εἰ δὲ ἤδη γεγονὸς ὑποθῇ τὸ αἴτιον, ἔσεσθαι δὲ φῇς τὸ οὗ ἐστιν αἴτιον, 5
ὡς αἴτιον ἤδη λέγεις τὸ μήπω αἴτιον· τοῦτο δὲ ψεῦδος. τὸ δὲ λέγειν
ὁμόγονον τὸ γεγονός τε καὶ ἐσόμενον ψευδολογεῖν ἐστιν ἄντικρυς, ὡς
ἀδύνατον ὂν ταῦτα εἶναι ὁμόγονα. ὥσπερ δὲ δύο γραμμὰς ἐφεξῆς μὲν
35 ἀλλήλαις καὶ ἀλλήλων ἁπτομένας εἶναι ἐνδέχεται, συνεχεῖς δ' οὐδαμῶς,
οὕτως οὐδὲ κινήσεις οὐδὲ γενέσεις, οὐδὲ κεκινημένα οὐδὲ γεγενημένα· ἀλλ'
ὥσπερ μεταξὺ δύο γραμμῶν ἐφεξῆς οὐσῶν ἢ ἁπτομένων πέρας εἶναι ἀναγ-
καῖον ἢ πέρατα διορίζοντα ταύτας ἀπ' ἀλλήλων, οὕτως ἐπὶ τῶν κινήσεων 10
ἀμερῆ κινήματα πέρατα, καὶ ἐπὶ τῶν γενέσεων ὡς ἄν τις εἴποι γενήματα,

---

3 τὴν om. Aa 4 ἐπεί] ἐπὶ a 7 εἰ (ante θεμέλιοι)] οἱ Aa 8 ἐπενήνεκτο E
12 γαστέρα E τοῦτον E 14 δὴ scripsi: δὲ libri 17 λήψαιο E 18 τῶν
προτέρων E 23 εἴδη a 25 post ἅπαντα add. ἀλλ' οὐδὲ τοῦτο Aa 29 ἐσόμενον
om. E 31 ὑπόθει a 36 κεκινημένα] κινούμενα a 39 εἴπη Aa γεννήματα Aa

ὥστε μετὰ τὸ γεγενημένον εἰ ἕτερον γεγενημένον ἢ γινόμενον ὑποθώμεθα, 79
οὐκ ἔσται τούτων ἡ γένεσις συνεχὴς διὰ τὸ δύο εἶναι καὶ μὴ μίαν. αἱ δὲ
δύο πέρας διορίζονται· ἀδύνατον δὲ τὰ αὐτὰ διωρισμένα εἶναι καὶ συνεχῆ
κατὰ τὸ αὐτό. ἔτι τὸ μὲν γινόμενον ἐν παρατάσει θεωρεῖται, τὸ δὲ
5 γεγενημένον ἐν ἀπαρτισμῷ τε καὶ πέρατι· ἢ μᾶλλον τοῦ γινομένου πέρας 15
τὸ γεγονός ἐστιν, ὡς τὸ γεγονέναι τοῦ γίνεσθαι. ὥσπερ οὖν αἱ στιγμαὶ
πέρατα οὖσαι γραμμῆς οὔκ εἰσιν ἀλλήλων ἐχόμεναι, οὕτω τὰ κινήματα
πέρατα ὄντα κινήσεως οὔκ εἰσιν ἀλλήλων ἐχόμενα· ὡσαύτως οὐδέ τινα
γεγονότα, πέρατα ὄντα γενέσεως. καὶ ὥσπερ ἡ γραμμὴ καὶ στιγμὴ οὔκ
10 εἰσιν ἀλλήλων ἐχόμεναι, οὐδὲ κίνησίς τε καὶ κίνημα, διότι αἱ μὲν διαιρεταί,
τὰ δὲ ἀδιαίρετα, οὕτως οὐδὲ γεγονὸς καὶ γινόμενον διὰ τὸ αὐτό. ἀνάλογον
γὰρ ὡς γραμμὴ πρὸς στιγμήν, οὕτω κίνησις πρὸς τὸ κίνημα ἔχει, καὶ τὸ 20
γινόμενον πρὸς τὸ γεγονός. ὡς γὰρ ἄπειρα σημεῖα ἐν τῇ γραμμῇ, οὕτως
ἄπειρα ἐν τῇ κινήσει κινήματα καὶ ἐν τῷ γινομένῳ γεγενημένα. τί οὖν
15 τὸ ποιοῦν τὰς γενέσεις τῶν πρότερον καὶ τῶν ὕστερον συνεχεῖς φαίνεσθαι,
ὡς τῇ τοῦ Σωφρονίσκου γενέσει τὴν τοῦ Σωκράτους δοκεῖν συνεχῆ, καὶ
τῇ τῶν θεμελίων τὴν τῶν τοίχων, καὶ ἐπὶ τῶν λοιπῶν, καὶ ταῦτα μὴ
ἀναγκαίως οὔσης τῆς τοῦ προτέρου γενέσεως αἰτίας τῆς τοῦ ὑστέρου; ἢ
ἐπειδὴ ἐν χρόνῳ ἡ γένεσις, ὁ δὲ χρόνος συνεχής, ἐντεῦθεν καὶ ταῖς 25
20 γενέσεσι φαντασία τῆς συνεχείας παρέχεται.

p. 95ᵃ 10 Τὸ δ' αὐτὸ αἴτιόν ἐστι τοῖς γινομένοις.

Διαφορὰν καὶ νῦν ἔτι τῶν αἰτίων πρὸς ἄλληλα παραδοῦναι προτίθεται,
ἥν τε κατὰ τὸν χρόνον ἔχουσιν ὡς πρὸς τὰ αἰτιατά, ἢ ἅμα αὐτοῖς ὄντα ἢ
μή, καὶ αὖθις ἑτέραν, ἥτις αὐτοῖς ἐνθεωρεῖται κατὰ τὴν ἀκολούθησιν, ὡς 30
25 ἢ ἀντακολουθεῖν ἀλλήλοις τὰ αἰτιατὰ καὶ τὰ αἴτια ἢ μή. καὶ τίθησι ταύ-
τας ὁμοῦ, ἐπειδὴ ἡ μία τῆς ἑτέρας ὥσπερεί τις αἰτία καθίσταται. πρότερόν
γε μὴν τάττει τὸ αἴτιον, ὃ τῷ αἰτιατῷ κατὰ τὸν χρόνον συντρέχειν πέφυκε·
τοῦτο δέ ἐστι τὸ τί ἦν εἶναι καὶ τὸ εἶδος. διότι δὲ ἐξ ἀρχῆς αὕτη ἡ
ἀρχὴ τῶν ἄλλων προετέτακτο, καὶ περὶ αὐτῆς ὁ πλείων λόγος ἐν τῷδε τῷ
30 βιβλίῳ γεγένηται, ἔστιν ἐν τῷ προκειμένῳ θεωρήματι ὁ μὲν περὶ τούτου
λόγος βραχὺς καὶ εὐσύνοπτος, ὁ δὲ περὶ τῶν ἄλλων ποικίλος τε καὶ εἰς 35
πλεῖον ἐπεκτεινόμενος. ἦν οὖν οἰκονομίας ἐν λόγοις κρείττονος τὸν περὶ
τούτου λόγον διὰ βραχέων ἀποπληρώσαντα τηνικαῦτα περὶ τῶν ἄλλων
εἰπεῖν. φησὶν οὖν ὅτι ὅταν ᾖ μὲν τὰ αὐτὰ κατ' εἶδος πράγματα, διαφέρῃ

1 post ἢ add. καὶ Aa 2 μὴ μίαν] μηδεμίαν a 3 διηρισμένα a
7 ἐχόμενα Aa 10 ἐχόμενα Ea 12 κίνησιν libri ἔχειν Aa 15 πρότερον
corr. A¹: προτέρων Ea 16 Σωκράτους scripsi: σωμάτους libri 18 οὖσαις E
22 ἔτι καὶ νῦν coll. Aa 25 τὰ αἴτια καὶ τὰ αἰτιατά coll. E 26 ἐπεὶ Aa
30 γεγένηται om. Aa ἔστιν] ἔτι δὲ Aa 31 λόγου Aa ἀσύνοπτος E
περὶ om. E 32 ἀπεκτεινάμενος E ἦν οὖν—κρείττονος om. a
32. 33 περὶ τούτου λόγον] περὶ τοῦ λόγου Aa 34 πράγματα—κατ' εἶδος (163,2)
om. a

δ' ἀλλήλων κατὰ τὰ εἴδη τοῦ χρόνου, ἕξει ταῦτα τὸ ὡς τί ἦν εἶναι μέσον 79
αὐτῶν κατ' εἶδος μὲν τὸ αὐτὸ κἀκεῖνο, τῷ χρόνῳ δὲ ὁμοίως αὐτοῖς ὑπάρχον
διάφορον. ἀσάφειαν δὲ τῷ λόγῳ ἐνεποίησε μὴ διαστείλας ὁποῖον κατ'
εἶδος τὸ μέσον λαμβάνει, ὅ φησι τὸ αὐτὸ τοῖς τῷ χρόνῳ διαφέρουσι.
5 δῆλον δὲ ἐκ τῶν ἑξῆς γίνεται ὅτι περὶ τοῦ τῷ χρόνῳ τοῖς ὧν ἐστι μέσον
συντρέχοντος ὁ λόγος αὐτῷ πρῶτον, πρὸς ὃ καὶ τὴν ἀντιδιαστολὴν ποιού- 40
μενος ἐφεξῆς 'ἐπὶ δὲ τῶν μὴ ἅμα' φησὶν καὶ τὰ ἑξῆς. ὡς εἶναι δῆλον
ὅτι περὶ τῶν ἅμα τοῖς αἰτιατοῖς καὶ κατὰ τὸν χρόνον αὐτοῖς συντρεχόντων
αἰτίων πρῶτον διδάσκει. λέγει τοιγαροῦν ὅτι ὁπόταν ἐν ἀποδείξει προκει-
10 μένου τινὸς προβλήματος τὸ τί ἦν εἶναι μέσον ἀποδιδῶμεν ὡς ἐνεστὼς
τὸ πρόβλημα λαμβάνοντες, τοῦτο οὐκ ἐξαλλάσσεται κατ' εἶδος τοῦ χρόνου
τῷ προβλήματι μεταπίπτοντος, ἀλλὰ τὸ αὐτὸ πάλιν ἐστὶ καὶ τὸ μέσον
κατ' εἶδος, ὥσπερ τὸ πρόβλημα. μόνον δὲ καὶ τὸ μέσον κατὰ τὸν χρόνον 45
ὁμοίως τῷ προβλήματι ἐξαλλάσσεται, ὡς εἶναι ὥσπερ τοῖς οὖσιν ὄν, οὕτω
15 καὶ τοῖς γινομένοις γινόμενον, καὶ τοῖς γεγενημένοις γεγενημένον, καὶ τοῖς
ἐσομένοις ἐσόμενον. ἢ εἰ βούλει, οὕτω· τὸ μὲν εἶναι ταὐτὸ κατ' εἶδος
μέσον τοῖς τῷ χρόνῳ μεταβάλλουσιν ἔστω ὁμολογούμενον· παραδιδότω δ'
ὁ λόγος τὸ καὶ τὸ μέσον συμμεταβάλλεσθαι κατὰ τὸν χρόνον τοῖς ὧν ἐστι
μέσον, ὡς μὴ εἶναι τῶν γινομένων γεγονὸς ἢ ἀνάπαλιν, ἢ τῶν ἐσομένων
20 γινόμενον ἢ ἀνάπαλιν, ἀλλ' ὑπάρχειν ἀλλήλοις ὁμόγονα καὶ ὁμόχρονα. λόγος 50
δὲ τούτου ὅτι οὐδέποτε τὸ τοιοῦτον εἶδος τοῦ οὗ ἐστιν εἶδος χωρίζεται,
συντεταγμένον ὂν ἀεὶ καὶ οἱονεὶ μέρος καὶ στοιχεῖον αὐτοῦ. ἐντεῦθεν καὶ
αὐτοῖς ἡ ἀντακολούθησις γίνεται. καὶ ὁ μὲν λόγος οὗτος καθόλου, κανών
τις ὧν τοῦ πῶς ἔχει ἐπὶ τῶν τοιούτων μέσων πρὸς ἄλληλα τό τε μέσον
25 καὶ οὗ μέσον κατὰ τὸν χρόνον ἅμα καὶ τὴν ἀντακολούθησιν. παρατίθησιν
δὲ τούτου καὶ ἐναργῆ παραδείγματα, ἃ διὰ τὸ σαφῆ εἶναι παραλέλειπται. |

p. 95ᵃ 22 Τὸ μὲν οὖν οὕτως αἴτιον καὶ οὗ αἴτιον. 80

Συμπεραίνει τὰ εἰρημένα καί φησιν ὅτι τὸ μὲν οὖν οὕτως αἴτιον ὡς
εἰδικὸν ἅμα τῷ αἰτιατῷ ἢ γίνεται ἢ ἔστιν ἢ γέγονεν ἢ ἔσται μηδαμῶς
30 αὐτοῦ κατὰ τὸν χρόνον ἐξαλλαττόμενον.

p. 95ᵃ 24 Ἐπὶ δὲ τῶν μὴ ἅμα ἄρ' ἔστιν ἐν τῷ συνεχεῖ χρόνῳ, 5
ὥσπερ δοκεῖ ἡμῖν, ἄλλα ἄλλων αἴτια εἶναι τοῦ τόδε γενέσθαι
ἕτερον γενόμενον, καὶ τοῦ ἔσεσθαι ἕτερον ἐσόμενον, καὶ τοῦ
γίνεσθαι δὲ εἴ τι ἔμπροσθεν ἐγένετο.

35 Τὰ μὲν τοῖς αἰτιατοῖς κατὰ τὸν χρόνον συντρέχοντά φησιν οὕτω· τί
δ' ἂν ἐπὶ τῶν μὴ συντρεχόντων, ἀλλὰ κατὰ τὸν χρόνον προλαμβανόντων

---

2 ὑπάρχων Aa 3 ἐποίησε E 3. 4 τὸ μέσον κατ' εἶδος coll. E 6 διαστολὴν E
7 ἐπὶ δὲ τῶν μὴ ἅμα] v. Arist. p. 95ᵃ 24 10 ἀποδιδόαμεν libri 11 οὐκ om. Aa
13 δὲ om. Aa 15 καὶ τοῖς γεγενημένοις γεγενημένον om. E 19 post ἐσομένων
add. γινομένων E 23 οὗτος] οὕτω Aa 25 ἀνακολούθησιν A: ἀκολούθησιν a
27 οὖν om. E 29 μηδαμοῦ E 31 lemma om. E 35 ante τὰ add. καὶ E τὸν om. a

εἴποι τις, ὅπερ ἐπὶ τῶν ποιητικῶν τις εὑρήσει καὶ τῶν ὑλικῶν; οἷον πρὸ 80
τοῦ Σωκράτους ὁ Σωφρονίσκος, καὶ πρὸ τῆς οἰκίας λίθοι καὶ ξύλα. ἆρα 10
συνεχοῦς ὄντος τοῦ χρόνου ἔστιν ἐν τούτῳ εἶναι ἄλλα ἄλλων αἴτια, λέγω
δὴ τοῦ τόδε γενέσθαι ἕτερον γενόμενον, οἷον γενόμενον τὸν Σωφρονίσκον
5 αἴτιον εἶναι τοῦ Σωκράτους, καὶ γενόμενον τὸ εἰς Σάρδεις Ἀθηναίους μετ'
Ἐρετριέων ἐμβαλεῖν τοῦ γενέσθαι Ἀθηναίοις τὸν Μηδικὸν πόλεμον, καὶ
γενόμενα λίθους καὶ ξύλα τοῦ γενέσθαι οἰκίαν. λαμβάνεται δὲ ταῦτα
ἀμφότερα, τό τε αἴτιόν φημι καὶ τὸ αἰτιατόν, ἐπὶ τοῦ παρεληλυθότος, 15
ὥσπερ ὅτι ἐγένετο ἀμφότερα, τό τε εἰς Σάρδεις Ἀθηναίους μετ' Ἐρετριέων
10 ἐμβαλεῖν καὶ ὁ κατ' αὐτῶν πόλεμος τῶν Μήδων· ἀλλὰ θάτερον θατέρου
αἴτιον λέγομεν, τὸ πρὸ τοῦ γεγονὸς τοῦ μετ' ἐκεῖνο. ὁμοίως Σωφρονίσκον
τε καὶ Σωκράτην ἄμφω γεγονότας φαμέν, ἀλλ' ἐκεῖνον τούτου αἴτιον. καὶ
ἐπὶ τοῦ μέλλοντος δὲ ἔστιν ἄμφω λαβεῖν, πλὴν δεῖ προλαβεῖν θάτερον·
οἷον ἔδει Σωφρονίσκον ἔσεσθαι, ἵνα Σωκράτης, καὶ τὴν ἁρπαγὴν Ἑλένης,
15 ἵνα ἡ τοῦ Ἰλίου κατασκαφή. ὁμοίως ὑπό τινος ἤδη γεγονότος γινόμενον 20
ἕτερον, οἷον γεγονυίας τῆς ἁρπαγῆς Ἑλένης πολιορκεῖσθαι τὸ Ἴλιον. τῆς
γὰρ κατασκαφῆς γένεσις ἡ πολιορκία πρὸς αὐτὴν τελευταῖον φέρουσα. ἢ
γεγονότος Φειδίου ἀνδριάντα τῆς Ἀθηνᾶς παρ' αὐτοῦ γίνεσθαι. εἶπε δὲ
ὡς ἡμῖν δοκεῖ· οὕτω γὰρ ὁμολογεῖται ὅτι οὐ μόνα ἐστὶ τὰ συνυπάρχοντα
20 αἴτια, ἀλλ' ἔστι καὶ αἴτια τῶν αἰτιατῶν προϋπάρχοντα κατὰ χρόνον.
προήνεγκε δὲ κατ' ἐρώτησιν τὸν λόγον ὡς ἔχοντά τι ζητήσεως ἄξιον. ὁ
μὲν γὰρ χρόνος συνεχής, αἱ δὲ γενέσεις τῶν τοιούτων αἰτίων καὶ αἰτιατῶν 25
οὐ συνεχεῖς εἶναι δόξαιεν ἄν, εἴπερ οὐ μία καὶ ἡ αὐτὴ γένεσις τοῦ αἰτίου
καὶ οὗ ἐστιν αἴτιον. πῶς οὖν ἡ τοῦδε γένεσις αἰτία τῆς τοῦδε, εἴπερ μὴ
25 ἀλλήλων ἔχονται τὸ ποιοῦν τε καὶ τὸ γινόμενον; ὅτι δὲ οὐκ ἔχονται,
προϊὼν ἐρεῖ.

p. 95ᵃ27 Ἔστι δὴ ἀπὸ τοῦ ὕστερον γεγονότος ὁ συλλογισμός.

Ἐφ' ὧν τὰ αἴτια πρότερα κατὰ χρόνον τῶν αἰτιατῶν ἐστιν, ἐπὶ τούτων ἡ ἀναγκαία τοῦ συλλογισμοῦ ἀκολούθησις οὐ δύναται εἶναι ἀπὸ τῶν 30
30 πρότερον ἀλλ' ἀπὸ τῶν ὕστερον γεγονότων· οἷον εἰ κατεσκάφη τὸ Ἴλιον,
ἡρπάγη ἡ Ἑλένη, καὶ εἰ οἰκία ὑπῆρξε, καὶ τοῖχοι, καὶ εἰ τοῦτο, θεμέλια,
καὶ εἰ τοῦτο, ὀρυγή· οὐ μὴν ἀνάπαλιν.

p. 95ᵃ28 Ἀρχὴ δὲ καὶ τούτων τὰ γεγονότα.

Εἰ καὶ τῷ συλλογισμῷ τὴν ἀνάγκην ἡ ἐκ τῶν ὑστέρων ἐπὶ τὰ πρό-
35 τερα λῆψις παρέχεται, ἀλλ' οὖν κἀνταῦθα τὰ πρῶτά ἐστιν αἴτια κατά γε

1 ὑλικῶν τις εὑρήσει καὶ τῶν ποιητικῶν coll. E 10 εἰσβαλεῖν E 11 τοῦ post πρὸ om. E ἐκείνων E 14 ἵνα] εἰ ἔσται E 15 Ἰλίου] ἡλίου Aa 17 πρὸς αὐτὸν a 18 ἀνδριάντες a γίνεσθαι τῆς ἀθηνᾶς παρ' αὐτοῦ coll. Aa 30 προτέρων E 31 ἡ om. Aa 31 εἰ] ambiguus E τοῖχον E 31. 32 θεμέλια — τοῦτο om. Aa 35 λεῖψις E εἰσὶν Aa

τὰ πράγματα, ὥσπερ καὶ ἐπὶ τῶν τί ἦν εἶναι τὰ αἴτια ἦν τῶν αἰτιατῶν φύσει πρότερα, κἂν τῷ χρόνῳ συνέτρεχον· γεγονότα γὰρ ὀνομάζει τὰ προγενέστερα.

p. 95ᵃ29 Διὸ καὶ ἐπὶ τῶν γινομένων ὡσαύτως.

Ἐπειδὴ ὡς ἐπὶ γεγονότων ἀμφοῖν τὸν λόγον ἐγύμνασε, φησὶν ὅτι διὰ τὸ οὕτως ἔχειν ἐπὶ τῶν γεγονότων, ὡσαύτως ἔχει καὶ ἐπὶ τῶν γινομένων. τὰ μὲν γὰρ γεγονότα διὰ τὸ ἐκβεβηκέναι φανερά ἐστιν ὡς ἔχει ἀκολουθήσεως, καὶ ὡς αἴτια μὲν τὰ πρότερα· τῷ δὲ συλλογισμῷ τὸ ἀναγκαῖον ἐπὶ τῶν τοιούτων ἡ ἀπὸ τῶν ὑστέρων ἐπὶ τὰ πρότερα λῆψις παρέχεται. διότι οὖν οὕτως ἐπὶ τῶν ἐναργεστέρων ἔχει, διὰ τοῦτο ὡσαύτως καὶ ἐπὶ τῶν μήπω οὕτως ὄντων φανερωτάτων.

p. 95ᵃ30 Ἀπὸ δὲ τοῦ προτέρου οὐκ ἔστιν.

Οὐκ ἔστι, φησί, καὶ ἀπὸ τοῦ προτέρου ἀρχομένους ἐπὶ τῶν τοιούτων ἀναγκαίαν ποιῆσαι τὴν ἀκολούθησιν, ἵνα τις εἴτῃ ὅτι γέγονε καὶ τόδε τὸ ὕστερον ἐξ ἀνάγκης, ἐπεὶ τὸ πρότερον γέγονε. ποιεῖται δὲ τὴν ἐπιχείρησιν ἐκ τοῦ μᾶλλον δοκοῦντος, λέγω δὴ ἐκ τοῦ γεγονότος. εἰ γὰρ ἄμφω γέγονε καὶ τὸ πρότερον καὶ τὸ ὕστερον, οὐχ ἕξει τις εἰπεῖν ὡς οὐ γέγονε τὸ ὕστερον. πῶς οὖν οὐκ ἀληθὲς εἰπεῖν ὅτι ἐπεὶ τὸ πρότερον γέγονεν, ἐξ ἀνάγκης γέγονε καὶ τὸ ὕστερον; ὅτι τὸ ἀναγκαῖον οὐ κατὰ τὸν χρόνον, ἀλλὰ κατὰ τὴν φύσιν ἐστὶ τοῦ πράγματος. εἰ οὖν κατὰ φύσιν ἦν τοῖς τοιούτοις αἰτίοις ἐξ ἀνάγκης αὐτοῖς τὰ μετ' αὐτὰ ἕπεσθαι, ἐπὶ παντὸς ἂν ἦν τοῦτο τοῦ χρόνου· νῦν δ' οὐκ ἔστιν· οὐκ ἄρα κατὰ φύσιν αὐτοῖς. ὥστε καὶ ὅταν δοκῇ διὰ τὸ ἤδη γεγονέναι τὰ ὕστερα, οὐδὲ τότε ἔστιν, ἀλλ' εἰ ἄρα, ἡ κατὰ τὸν χρόνον ἀπόβασις φαντασίαν ἀκολουθίας τινὰ καὶ τῶν ὑστέρων παρέχεται πρὸς τὰ πρότερα.

p. 95ᵃ31 Καὶ ἐπὶ τοῦ ἔσεσθαι ὡσαύτως.

Ὥσπερ ἐπὶ τῶν γεγονότων καὶ γινομένων ἀπὸ τῶν ὑστέρων, οὐκ ἀπὸ τῶν προτέρων ἡ ἀκολούθησις, οὕτως ἕξει καὶ ἐπὶ τῶν ἐσομένων. εἰ γὰρ ἐπὶ τῶν ἤδη γεγονότων αἰτιατῶν οὐκ ἀληθὲς ἦν λαβεῖν ἀπὸ | τῶν προ- 81
τέρων τὴν ἀκολούθησιν, κἂν ἴσως ἐδόκει διὰ τὴν ἐκείνων ἀπόβασιν, πολλοῦ γε δεῖ δόξαι τοῦτο ἐπὶ τῶν μήπω ἀποβεβηκότων.

---

5 Ἐπεὶ Aa ὡς om. E 7 τὸ om. Aa 10 ἐνεργεστέρων E
12 πρότερον E 13 τῶν προτέρων E ἀρχομένην E ἐπὶ — τοιούτων om. Aa 14 καὶ τόδε γέγονε coll. E 16 λέγω — γεγονότος om. E
δὴ scripsi: δὲ Aa 17. 18 οὐχ — τὸ ὕστερον om. E 20 εἰ scripsi: ἢ libri
27 ante οὐκ add. καὶ Aa 29 λαβὼν Aa 31 γε] γ' ἂν Aa

p. 95a 31 Οὔτε γὰρ ἀορίστου οὔθ' ὁρισθέντος ἔσται τοῦ χρόνου. 81

Πρότερον ἁπλῶς εἰπὼν καὶ χωρὶς τοῦ τι περὶ τοῦ χρόνου διορίσασθαι, εἴτε ὡρισμένος οὗτος ληφθῇ εἴτε ἀόριστος, καὶ ἐπὶ τῶν κατὰ τοὺς τρεῖς χρόνους γενέσεων διδάξας μὴ δυνατὴν εἶναι ἀπὸ τῶν προτέρων τὴν ἀκολούθησιν ἐπὶ τὰ ὕστερα, ἔνθα μὴ ἅμα τὰ αἴτια, νῦν καὶ τοῦτο ποιεῖ καὶ διαιρεῖ τὸν χρόνον, ἐν ᾧ αἱ γενέσεις, εἰς ὡρισμένον καὶ ἀόριστον καί φησιν ὅτι κἂν τε οὕτω κἂν τε ἐκείνως τὸν χρόνον λήψοιο, οὐκ ἔσται γενέσθαι ἐκ τῶν προτέρων τὴν ἀκολούθησιν. πάλιν δὲ ἐπὶ τοῦ γεγονότος πρώτου τοῦτό φησιν, ὡς καὶ πρότερον. ἄν τε γάρ, φησίν, ἀόριστον ἄν θ' ὡρισμένον θεῖο τὸν χρόνον, τὸ αὐτό σοι φανήσεται. τὸ δ' ἑξῆς τῆς λέξεως οὕτως· εἴτε γὰρ ἀόριστον λήψῃ τὸν χρόνον εἴθ' ὡρισμένον, οὐκ ἔσται σοι τοῦτο, ἵν' ἐπεὶ τοῦτο ἤγουν τὸ αἴτιον ἀληθὲς ἦν εἰπεῖν γεγονέναι, ᾗ καὶ τοῦτο ἀληθὲς εἰπεῖν γεγονέναι τὸ αἰτιατόν τε καὶ ὕστερον. οἷον ἐπεὶ καὶ ὁ Σωφρονίσκος καὶ ὁ Σωκράτης γεγονότες ἤδη ἦσαν κατὰ τόνδε τὸν χρόνον, καὶ δῆλόν ἐστιν ὅτι τοῦ προτέρου γεγονότος καὶ ὁ ὕστερος γέγονεν, οὐκ ἔχει καλῶς λέγειν ὅτι εἰ ὁ Σωφρονίσκος γέγονε, καὶ ὁ Σωκράτης γέγονεν· εἰ γὰρ ἦν ἀληθὲς τοῦτο ἁπλῶς, ἔδει καὶ τὸν μεταξὺ χρόνον τῆς τοῦ Σωφρονίσκου καὶ τοῦ Σωκράτους γενέσεως εἶναι ἀληθῆ, ὡς γεγονότος τοῦ Σωφρονίσκου ἀληθὲς εἶναι λέγειν γεγονέναι καὶ τὸν Σωκράτην. ἀλλὰ τοῦτο οὐκ ἔστι λέγειν, πρὸ τοῦ γεγονέναι τὸν Σωκράτην γεγονέναι τὸν Σωκράτην. ὥστε οὐδ' ὅταν ἀπέβη ἡ γένεσις τοῦ Σωκράτους, καθ' αὑτὸ ἀληθές, ἀλλ' ἢ κατὰ συμβεβηκὸς ὅτι ἀποβέβηκεν· οὐδ' ἁπλῶς ἄρα ἀναγκαῖον ἐπὶ τῶν τοιούτων, εἰ τὸ πρότερον γέγονε, καὶ τὸ ὕστερον γεγονέναι, κἂν γέγονεν· ἀλλ' εἴπερ ἄρα, καθ' ὑπόθεσιν.

p. 95a 35 Ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τοῦ ἐσομένου.

Ὥσπερ, φησίν, ἐπὶ τοῦ ἤδη γεγονότος αἰτιατοῦ οὐκ ἔχει καλῶς ἀπὸ τῶν προτέρων ποιεῖσθαι τὴν ἀκολούθησιν ἐν τοῖς τοιούτοις, οὕτω κἂν ὡς μήπω γεγονὸς αὐτὸ θήσομεν, ἀλλ' ὡς ἐσόμενον· καὶ μᾶλλον ἐπὶ τούτου.

p. 95a 36 Οὐδ' ἐπεὶ τόδε γέγονε, τόδ' ἔσται.

Κατασκευάζει διὰ τούτων τὸ εἰρημένον, λέγω δὴ τὸ μὴ ἐπὶ μέλλοντος τοῦ αἰτιατοῦ, γεγονότος δὲ ἤδη τοῦ αἰτίου ἐνδέχεσθαι ἀπὸ τοῦ προτέρου ἄρχεσθαι· οὐ γὰρ ἐπεὶ τόδε γέγονεν ἤγουν τὸ αἴτιον, εὔλογον λέγειν ὅτι ἔσται καὶ τόδε, τουτέστι τὸ αἰτιατόν. τὸ γὰρ κυρίως αἴτιον ὁμόγονον δεῖ

7 λήψαιο E 14 ἦσαν ἤδη coll. E 15 πρότερον E 15. 16 οὐκ ἔχει—Σωκράτης γέγονεν om. E 17 γὰρ om. E 18 ἀληθῶς E 20 alterum τὸν om. Aa 25 αὐτὸς δὲ coll. E 26 τοῦ om. Aa 28 θήσωμεν E 30 τούτου Aa λέγω δὲ Aa 31 δὲ om. E 33 τουτέστι] ἤγουν E ὁμόγονον] ὁμόλογον E

εἶναι τοῦ οὗ ἐστιν αἴτιον, τουτέστι τοῦ κατὰ τὴν γένεσιν χρόνου τοῦ αὐτοῦ. 81
τὸ γὰρ αἴτιον καὶ αἰτιατὸν πρός τι, τὰ δὲ πρός τι ἅμα τῇ φύσει· ὥστε
τῶν γενομένων αἴτιον γενόμενον, τῶν ἐσομένων ἐσόμενον, καὶ ἑξῆς ὁμοίως.
τοῦ δὲ γεγονότος χρόνου παρῳχηκότος ὄντος καὶ τοῦ ἔσται μέλλοντος πῶς
5 ἔσται τι ἐν ταὐτῷ κατ' ἀμφοτέρους τούτους ὁμόγονον; ὁμόγονον γάρ τί τινι
τὸ ταὐτὸν ἐκείνῳ κατὰ τὸν χρόνον τῆς γενέσεως· γεγονὸς δὲ καὶ ἐσόμενον 35
ἀδύνατον εἶναι κατὰ τὸν χρόνον ταὐτόν, εἴπερ μηδὲ παρῳχηκότα καὶ μέλ-
λοντα τὸν αὐτὸν εἶναι ἐνδέχεται κατ' ἀριθμὸν ἢ κατ' εἶδος.

Ἀλλὰ πῶς ὁμόγονα τὰ αἴτια, φησί, τοῖς ὧν ἐστιν αἴτια; πρὸ γὰρ τῆς
10 οἰκίας οἱ λίθοι καὶ τὰ ξύλα, καὶ πρὸ τοῦ ἀνδριάντος ὁ χαλκός, πῦρ τε καὶ
γῆ καὶ τὰ μεταξὺ πρότερα τῶν ἐξ αὐτῶν. καὶ ἐπὶ τῶν ποιητικῶν ὡσαύ-
τως· πρὸ γὰρ τοῦ Σωκράτους ὁ Σωφρονίσκος, καὶ πρὸ τῆς οἰκίας ὁ οἰκο-
δόμος. ἢ οὐχ ὡς αἴτια πρὸ τῶν αἰτιατῶν τὰ αἴτια, ἀλλ' εἰ ἄρα, ὡς ὄντα 40
τινά, ὡς δὲ αἴτια ἅμα· τὸ γὰρ αἴτιον αἰτιατοῦ αἴτιον. μήπω οὖν ὄντος
15 αἰτιατοῦ, οὐδὲ τὸ αἴτιον αἴτιον, κἂν ἴσως ὄν τι οἷον ἄνθρωπος ἢ χαλκὸς
ἢ λίθοι καὶ ξύλα εἴη δυνάμει, ἐνεργείᾳ δ' οὐχί, εἰ μὴ καὶ τὸ οὗ ἐστιν
αἴτιον. κἂν οὖν γίνηται αἴτιον, καὶ τὸ αἰτιατὸν γίνεται, κἂν γέγονε, γέγονε,
κἂν ἔσοιτο, ἔσται, κἂν ᾖ γε, ἐστίν· ὥστε δὴ ὁμόγονα. μήποτε δὲ καὶ ὡς
ἀδύνατον τοῦτό φησιν ἑπόμενον τῇ λεγούσῃ ὑποθέσει καὶ ἐκ τοῦ πρότερον
20 γεγονότος, ἤγουν τοῦ αἰτίου, τὴν ἀκολούθησιν γίνεσθαι, λέγω δὴ τὸ ὁμό- 45
γονα εἶναι τὰ αἴτια τοῖς αἰτιατοῖς, ὡς εἶναι οὕτωσὶ τὸ λεγόμενον· 'εἰ γὰρ
δοίημεν ὡσαύτως καὶ ἀπὸ τῶν προτέρων ἀρχομένοις ὥσπερ καὶ ἀπὸ τῶν
ὑστέρων ἀναγκαίαν τὴν ἀκολούθησιν γίνεσθαι, ὁμόγονα ἔσται τὰ μέσα καὶ
αἴτια τῶν ὧν ἐστι μέσα καὶ αἴτια, ὡς μηδὲ εἶναί τινα τῶν αἰτίων καὶ
25 αἰτιατῶν ἃ μὴ ἅμα ἔστιν. ἀλλὰ τοῦτο ἀδύνατον· πολλὰ γὰρ τῶν αἰτίων
πολλῷ τῷ μέσῳ προλαμβάνει κατὰ τὴν γένεσίν τε καὶ ὕπαρξιν τὰ ὧν ἐστιν
αἴτια. τοιαῦτα δέ ἐστι τὰ ὑλικὰ καὶ ποιητικά· πολλῷ γὰρ πρὸ τοῦ ἀνδριάν- 50
τος ὁ χαλκὸς καὶ τὰ ξύλα πρὸ τῆς νηός, ἀλλὰ καὶ ὁ ἀνδριαντοποιὸς καὶ
ὁ ναυπηγός. ὡσαύτως τὰ στοιχεῖα ἐξ ὧν τὸ ζῷον πρὸ τοῦ ζῴου, καὶ ὁ
30 φιτύσας πατήρ. οὐκ ἄρα ὁμόγονα τὰ τοιαῦτα αἴτια τῶν ὧν ἐστιν αἴτια.'
τοῦτο δὲ δῆλον μάλιστα γίνεται ἐφ' ὧν ἤδη τῶν αἰτίων γεγονότων τὰ
αἰτιατὰ μέλλει ἔτι, καὶ οὕτω γέγονεν. εἰ γὰρ ὁμόγονα τοῖς αἰτιατοῖς
ὑπάρχειν τὰ αἴτια δοίημεν, ἔσται ὁμόγονά τινα κατὰ τὸ γεγονέναι τε καὶ
τὸ ἔσεσθαι, ὅπερ ἀδύνατον. οὐκ ἄρα ὁμόγονα πάντα τὰ αἴτια τοῖς αἰ|τιατοῖς 82
35 ἔσονται. ὅτι δὲ τοῖς λέγουσιν ἕπεται καὶ ἐκ τῶν προτέρων ὡσαύτως ἀεὶ
τὴν ἀκολούθησιν γίνεσθαι κατὰ τὰς τοῦ χρόνου διαφοράς, δῆλον ἐντεῦθεν·
εἰ γὰρ ἐξ ἀνάγκης ἀεὶ τῷ αἰτίῳ τὸ αἰτιατὸν ἕπεται, ὁμοχρόνως ἕξουσιν

5 ἀμφότερα καὶ τούτους E 7. 8 ante μέλλοντα add. τὸν a 10 καὶ ante πρὸ om. Aa 13 οὐδ' ὡς Aa 16 ξύλων E εἴη scripsi: εἰ μὴ libri οὐχ[] οὐ E 17 γέγονε semel exh. E 18 δὲ om. E 19 προτέρου E 20 λέγω—γίνεσθαι (23) om. E δὴ] δὲ Aa 23 post ὁμόγονα add. γὰρ E 29 ante τὰ add. καὶ E 30 φιτεύσας E 31 δῆλα E 33 ὑπάρχει Aa τινα] τινπάντα E 34 τὸ om. Aa

ἀλλήλοις ταῦτα κατὰ τὴν γένεσίν τε καὶ ὕπαρξιν, ὡς γινομένων τῶν αἰτίων 82
καὶ τὰ αἰτιατὰ γίνεσθαι, γεγονότων τε γεγονέναι καὶ ἐσομένων ἔσεσθαι
καὶ ὄντων εἶναι· καὶ οὕτως ἔσται ἀλλήλοις ὁμόγονα. ἅπερ ὡς ἀληθῶς 5
παρὰ τὴν ἐνάργειαν, πολλῶν ὁρωμένων αἰτίων ὑλικῶν καὶ ποιητικῶν, ἃ τὴν
5 τῶν αἰτιατῶν ἐξ ἀνάγκης προείληφε γένεσίν τε καὶ ὕπαρξιν. οὐκ ἄρα δεῖ
λέγειν ὡς ἐπὶ τῶν τοιούτων αἰτίων ἐστὶ καὶ ἐκ τῶν προτέρων ἡ ἀκολούθησις.

p. 95ᵃ39 Ἔτι οὔτε ἀόριστον ἐνδέχεται εἶναι τὸν χρόνον.

Οἷόν τι πρότερον ἐπὶ τοῦ γεγονότος αἰτιατοῦ περὶ τοῦ χρόνου εἴρηκε, 10
τοιοῦτό τι καὶ νῦν περὶ τοῦ ἐσομένου φησί. κἄν τε γάρ, φησίν, ἀόριστον
10 θήσομεν τὸν μεταξὺ χρόνον, δι' ὅσου τὸ ἐσόμενον μέλλει, κἄν τε ὡρισμένον,
δέκα τυχὸν ἢ εἴκοσιν ἐνιαυτοὺς ἢ ὁποσουσοῦν, ψεῦδος ἔσται λέγειν ὡς
ἕπεται ἐξ ἀνάγκης τῷ γεγονότι αἰτίῳ τὸ μήπω γεγονὸς αἰτιατόν. οὔτε γὰρ
ἀναγκαία ἀλλ' ὡς ἐπὶ τὸ πολὺ ἡ τῶν τοιούτων ἐστὶν ἀκολούθησις, καὶ ὁ
μεταξὺ χρόνος, δι' ὅσου τὸ ὕστερον οὔπω γέγονε, μὴ ἔχων τὸ ὕστερον
15 ψευδῆ ἕξει τὴν τούτου πρὸς τὸ πρότερον ἀκολούθησιν. ἐξ ὅτου γὰρ ἡρπάγη 15
ἡ Ἑλένη, τοὺς μεταξὺ ἐνιαυτοὺς τῆς τε ἁρπαγῆς αὐτῆς καὶ τῆς καταβολῆς
τοῦ Ἰλίου ψεῦδος ἦν λέγειν ἔσεσθαι ταύτην, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως
τῶν ὡς ἐπὶ τὸ πολύ, περὶ ὧν καὶ οὗτός φησιν· ἐπὶ γὰρ τῶν ἀναγκαίων κἂν
ἐν τῷ μεταξὺ ψεῦδος διὰ τὸ μήπω ἀποβαίνειν τὸ ὕστερον, ἀλλὰ διὰ τὸ
20 ἀναγκαίως ἀποβαίνειν ὅτε δὴ ἀποβαίνει, ἀντιστρέφει πρὸς ἄλληλα τὰ πρό-
τερα καὶ τὰ ὕστερα. εἰ γὰρ ἐν κριῷ γέγονεν ὁ ἥλιος, καὶ ἐν ταύρῳ ἔσται
ἐξ ἀνάγκης, καὶ εἰ ἐν ταύρῳ γέγονε, δῆλον ὅτι ἐν κριῷ πρότερον. 20

p. 95ᵇ1 Ἐπισκεπτέον δὲ τί τὸ συνέχον.

Τὸ προκείμενον ζήτημα τοῖς Περὶ κινήσεως λόγοις ἐστὶν οἰκειότερον,
25 ἔνθα καὶ τελειότερον αὐτῷ ἡ ἐπὶ τούτου παραδίδοται θεωρία. ἐνταῦθα
δ' ἐπὶ μικρὸν τοῦ προκειμένου παρεκβαίνων σκοποῦ, τὸν περὶ τούτου ποι-
εῖται λόγον, καὶ τοῦτο διότι τὴν τῶν αἰτίων καὶ αἰτιατῶν παραδιδοὺς ἀκο-
λούθησιν χρόνων διαφορὰν θεωρουμένην ἐν αὐτοῖς εἰσήγαγεν, ὡς εἰπεῖν ἐν 25
αὐτοῖς ὄντα καὶ γεγονότα καὶ γινόμενα καὶ ἐσόμενα, καὶ ὑστέρων γένεσιν
30 διαδεχομένην τὴν τῶν προτέρων. φησὶν οὖν, ἐπειδὴ μετὰ τὴν τῶν τοιού-
των αἰτίων γένεσιν τὰ αἰτιατὰ ὁρῶμεν γινόμενα, πρότερον συνεχεῖς αἱ
γενέσεις τῶν προτέρων καὶ τῶν ὑστέρων, ὡς ἔχειν ὅρον τινὰ κοινὸν καθ'
ὃν πρὸς ἀλλήλας συνάπτουσιν, καὶ τίς οὗτος ὁ συνέχων ὅρος ἐστί, τουτέστιν
ὁ συνεχεῖς ἀλλήλαις τὰς γενέσεις εἶναι ποιῶν τῇ ἑαυτοῦ μεσιτείᾳ τε καὶ

---

1 post γινομένων add. μὲν Aa 2 αἰτιατὰ] αἴτια Aa post τε add. καὶ E
4 καὶ] τε καὶ E 5. 6 οὐκ ἄρα — λέγειν] ὥστε μὴ λέγειν E 6 αἰτίων om. Aa
ἐκ] ἐπὶ Aa 10 θείημεν Aa 11 δέκα] δὲ καὶ E ὁποσουσοῦν scripsi:
ὁπόσους Aa: om. E ἔσται] ἐστὶ E 12 γινομένῳ E 16 ἡ om. Aa
17 λέγειν om. E 21 ἐν κρινῷ E 24 τοῖς Περὶ κινήσεως λόγοις] Phys. E sqq.
27 τοῦτο om. E 30 διαδεχομένων E τὴν om. Aa

κοινότητι, ὥστε καὶ ὑπάρχειν ἐν τοῖς γενητοῖς πράγμασι μετὰ τὸ γεγονέναι 82
εὐθὺς τὸ γίνεσθαι, μηδεμιᾶς μεταξὺ παρεμπιπτούσης διακοπῆς. 30

p. 95b 3 Ἢ δῆλον ὅτι οὐκ ἔστιν ἐχόμενον γεγονότος γινόμενον.

Σφοδροτάτως πρὸς τὴν ζήτησιν ἀπαντᾷ, οὐ χρὴ λέγων ὅλως ζητεῖν,
5 τί τὸ συνέχον τὰς γενέσεις ἐστὶ τῶν προτέρων τε καὶ τῶν ὑστέρων· οὐ 35
γάρ εἰσι συνεχεῖς. καὶ πῶς ἄν τι εἴη τὸ συνέχον αὐτάς; δῆλον γάρ, φησίν,
ὅτι οὐκ ἔστιν ἐχόμενον γεγονότος γινόμενον. καὶ τοῦτο ἐκ τοῦ μᾶλλον
κατασκευάζει· εἰ γὰρ ἔδει, φησίν, ἐχόμενα εἶναι ἀλλήλων, μᾶλλον ἔδει
ἔχεσθαι τὰ γινόμενα ὡς συγγενῆ ἀλλήλοις. νῦν δὲ οὐδὲ ταῦτα· πολλοῦ
10 ἄρα δεῖ τὸ γεγονός τε καὶ τὸ γινόμενον. δείκνυσιν οὖν τοῦτο, πῶς οὐκ
ἔστιν ἀλλήλων ἐχόμενα τὰ γεγονότα. πέρατα γάρ, φησί, καὶ ἄτομα· ταῦτα
δ' οὐκ ἔστιν ἐχόμενα, ἵνα μὴ καὶ περάτων γένοιτο πέρατα, καὶ τοῦτο εἰς 40
ἄπειρον.

p. 95b 5 Ὥσπερ οὖν οὐδὲ στιγμαί εἰσιν ἀλλήλων ἐχόμεναι, οὐδὲ
15 γενόμενα· ἄμφω γὰρ ἀδιαίρετα.

Ἐκ τοῦ ὁμοίου ἡ ἐπιχείρησις. ὥσπερ γάρ, φησί, τὰ σημεῖα οὐκ
ἔχονται ἀλλήλων, οὕτως οὐδὲ τὰ γεγονότα. ὅτι δὲ τὰ σημεῖα οὐκ ἔχονται,
δῆλον ἐκ τοῦ ἀμερῆ εἶναι. ἐχόμενα γάρ ἐστι ὧν τὰ πέρατα ἕν· εἰ οὖν
ἕξονται ἀλλήλων αἱ στιγμαί, δεῖ ταύτας ἔχειν καὶ πέρατα. ἀλλ' οὐκ ἔχουσιν·
20 οὐκ ἄρα ἔχονται. τὸ αὐτὸ καὶ ἐπὶ τῶν γεγονότων· ὡς γὰρ ἡ στιγμὴ πέρας 45
γραμμῆς, οὕτω τὸ γεγονὸς πέρας ἐστὶ τῆς γενέσεως. τὸ δὲ πέρας, ᾗ
πέρας, ἀμερές. ἀμερῆ ἄρα καὶ αἱ στιγμαὶ καὶ τὰ γενόμενα, ὥστ' οὐδ'
ἀλλήλων ἐχόμενα.

p. 95b 6 Οὐδὲ δὴ γινόμενον γεγενημένου διὰ τὸ αὐτό.

25 Δείξας πῶς ἀλλήλων οὐκ εἰσιν ἐχόμενα τὰ γενόμενα, τούτῳ πάλιν
χρώμενος δείκνυσι, πῶς οὐδὲ γινόμενον γεγενημένου, ὅπερ προέκειτο. τὸ
αὐτὸ δέ, φησίν, αἴτιον τοῦ μηδὲ ταῦτα ἔχεσθαι. τὸ γὰρ ἀμερὲς τὸ γεγενη- 50
μένον εἶναι αἴτιον κἀκεῖ τοῦ μὴ ἀλλήλων δύο γεγενημένα ἔχεσθαι κἀνταῦθα
τοῦ μὴ ἔχεσθαι τὸ γεγενημένον καὶ τὸ γινόμενον.

30 p. 95b 7 Τὸ μὲν γὰρ γινόμενον διαιρετόν, τὸ δὲ γεγονὸς ἀδιαίρετον.

Τὸ μὲν γὰρ γινόμενον ἐν ἐκτάσει καὶ διαστήματι θεωρούμενον ἐπι-
δέχεται διαίρεσιν, τὸ δὲ γεγονὸς πέρας ὂν διαιρέσεως οὔτε διάστασιν ἔχει

---

1 γεγονέναι] γενέσθαι E 5 πρότερον καὶ τῶν ὕστερον Aa 5. 6 οὐδὲ γάρ Aa
9 γενόμενα Aa post συγγενῆ add. ἡ Aa 11 ταῦτα — ἄπειρον (13) om. E
14. 15 lemma om. E 15 γενόμεναι Aa 20 ἡ om. Aa 26 ὅπερ] ὅπως E
27. 28 τὸ γενόμενον εἶναι Aa 31 θεωρούμενον] θεωρεῖται καὶ Aa

οὔτε διαίρεσιν ἐπιδέχεται, ἀλλ' ἀμερές ἐστι πάντῃ καὶ πέρας, οὐχὶ αὐτὸ 83
περατούμενον· τῶν δὲ περατουμένων ἅπαντα τὰ ἐχόμενα.

p. 95b 8 Ὥσπερ οὖν γραμμὴ πρὸς στιγμὴν ἔχει.

Ἔτι καὶ τοῦτο κατασκευαστικόν ἐστι τοῦ μὴ ἀλλήλων ἔχεσθαι τὸ
5 γεγονός τε καὶ τὸ γινόμενον ἐκ τῆς ἀναλογίας τῆς πρὸς τὴν στιγμὴν καὶ
τὴν γραμμήν. ὃν γὰρ λόγον ἔχει ἡ γραμμὴ πρὸς τὴν στιγμήν, τὸν αὐτὸν 5
τὸ γινόμενον πρὸς τὸ γεγονός. καὶ ὥσπερ ἐν τῇ γραμμῇ ἀπείρους ἄν τις
στιγμὰς λήψοιτο διὰ τὸ ἐπ' ἄπειρον διαιρετὸν ὑπάρχειν τὸ συνεχὲς καὶ
εἶναι στιγμὴν λαμβάνειν καθ' ἑκάστην διαίρεσιν, οὕτω καὶ ἄπειρα ὑπάρχει
10 γεγονότα ἐν τῷ γινομένῳ. ὥσπερ οὖν γραμμῆς στιγμὴν ἔχεσθαι οὐκ
ἐνδέχεται, οὕτως οὐδὲ γεγονὸς γινομένου.

p. 95b 10 Μᾶλλον δὲ φανερῶς ἐν τοῖς καθόλου. 10

Ἐνταῦθα μέν, φησί, ταῦτα ἀμυδρῶς εἴρηται καὶ περὶ μόνης ἰδικῶς
τῆς γενέσεως· ἐν δὲ τοῖς τελευταίοις τέσσαρσι τῆς Φυσικῆς ἀκροάσεως
15 καθόλου ἐπὶ κινήσεως λέγοντες φανερῶς καὶ ἐπὶ τούτων ἐροῦμεν, καθαρὰν
καὶ ἀρίδηλον τὴν περὶ τούτων θεωρίαν παραδιδόντες ὡς καὶ τὴν περὶ
τούτων διδασκαλίαν προὔργου πάντως ἐκεῖσε ποιούμενοι, ὅτι γε νῦν κρυφίως
καὶ ἀφανῶς ὁ περὶ τούτων λόγος ἡμῖν παραδέδοται ὡς μηδὲ τοῦ προκει- 15
μένου ὑπάρχων σκοποῦ οἰκειότατος. ἢ γοῦν οὕτω δεῖ νοεῖν, ὡς εἴπομεν,
20 τὸ 'ἐπισκεπτέον δὲ τί τὸ συνέχον' καὶ τὰ ἑξῆς, ἢ ἐπειδὴ εἴρηκεν ὡς οὐκ
ἐξ ἀνάγκης ἐν τοῖς τοιούτοις ἕπεται τοῖς προτέροις τὰ ὕστερα, ἀπορεῖ πρὸς
τοῦτον τὸν λόγον ὅτι εἰ οὕτως ἔχει, τί λοιπόν ἐστιν αἴτιον τοῦ τὴν γένεσιν
ἀδιάκοπον εἶναι, καὶ ἀεὶ μετὰ τὸ πρῶτον γινόμενον ἄλλο γίνεσθαι μετ'
αὐτὸ καὶ ἑξῆς οὕτω καὶ μηδέποτε διαλείπειν, μηδεμιᾶς οὔσης ἀνάγκης
25 ἕπεσθαι τοῖς προλαβοῦσι τὰ μετ' αὐτά. καὶ πρὸς τοῦτο μηδὲν εἰς λόγον 20
ἐπενεγκὼν λύσεως προστίθησι τὰ ἑξῆς, ἐξ ὧν μᾶλλον ἔστιν εἰπεῖν μὴ
συνεχῆ εἶναι τὴν γένεσιν, διὰ τὸ τὸ πέρας τοῦ προτέρου μήτε τῇ ἀρχῇ
συνάπτειν τοῦ μετ' αὐτὸ μήτε τινὶ μορίῳ αὐτοῦ. τὸ μὲν οὖν πρότερόν
τινα γίνεσθαι καὶ μετὰ ταῦθ' ἕτερα οὐ συνεχὲς διὰ τὰ εἰρημένα· δόξειε δ'
30 ἂν συνεχῆ εἶναι καὶ συνείρειν τὴν γένεσιν διὰ τὸ ἐν χρόνῳ ταύτην γίνεσθαι
καὶ ὑπὸ τῆς περιφορᾶς τοῦ παντός, ἅπερ ἄμφω συνεχῆ ὄντα φαντασίαν,
ὡς εἴρηται, συνεχείας καὶ τῇ γενέσει παρέχει. καίτοι ἐκείνοις μὲν διακοπὴ 25
οὐδαμῶς, διὸ καὶ συνείρει καὶ συνεχῆ ἐστι· τοῖς δὲ προτέροις τῶν γινομένων

1 post οὐχὶ add. τὸ E 4 καὶ om. E 5 καὶ post τε om. a 5. 6 γραμμὴν καὶ τὴν στιγμήν coll. E 8 λήψαιτο E ὑπάρχειν] εἶναι E 9. 10 γεγονότα ὑπάρχει coll. E 13 εἰδικῶς E 15 καθόλου — κινήσεως bis exh. E τούτου E 17 νῦν om. E 18 ἀφανῶς] φανερῶς Aa 19 οἰκειότητος Aa ὡς εἴπομεν hic om. et post ἑξῆς (20) add. Aa 20 ἐπισκεπτέον κτλ.] Arist. p. 95b 1 sqq. 25 λόγος Aa 28 μορίου ἑαυτοῦ E 32 παρέχεται Aa

καὶ τοῖς μετέπειτα τὰ μεταξὺ διαλείμματα ἐναργῆ ἐστι. διὸ οὐδὲ ἡ γένεσις 83
αὐτῶν συνεχής ἐστι.

p. 95b 13 Περὶ μὲν οὖν τοῦ πῶς ἂν ἐφεξῆς.

Ὅσον οὖν ἐκ τῶν εἰρημένων, συνεχῆ μὲν οὐκ ἄν τις εἴποι τὴν γένεσιν, 30
5 ἐφεξῆς δέ γε διὰ τὸ μηδὲν μεταξὺ συγγενὲς τοῦ αἰτίου θεωρεῖσθαι καὶ τοῦ
μετ' αὐτὸ αἰτιατοῦ, ἐπεὶ καὶ ἐν τούτοις ἀνάγκη ἀμέσως ἀλλήλοις ἑνοῦσθαι
τὸ μέσον καὶ τὸ πρῶτον τῶν ἄκρων. καὶ ἴδωμεν τοῦτο ἐπὶ τῶν στοιχείων
πρότερον ὅπως γίνεται· ἔπειτα δὲ καὶ ἐπὶ τῶν πραγμάτων γυμνάσομεν,
ὅπως τε ἐκ τῶν ὑστέρων ἀρχομένοις ἀναγκαία ἡ ἀκολούθησις γίνεται ἐπὶ
10 τῶν ὡς ἐπὶ τὸ πολὺ καὶ ἐφ' ὧν τὸ πρότερον καὶ τὸ ὕστερον, καὶ ὅτι ἀνάγκη
καὶ ἐπὶ τούτων ἄμεσα εὑρίσκεσθαι, ἐξ ὧν ποιήσομεν τὴν ἀπόδειξιν. ἔστω 35
δὴ τὸ Δ αἰτιατὸν ἔσχατον, καὶ τούτου πρότερον τὸ Γ, αἴτιον ὂν αὐτοῦ
προσεχές, καὶ τούτου αὖθις τὸ Α. ἐὰν οὖν τὸ Γ γεγονὸς ὑποθώμεθα,
ἀνάγκη τὸ Α πρὸ τούτου γεγονέναι. καὶ εἰ τὸ Δ γέγονεν, ἀνάγκη τὸ Γ.
15 ὥστε εἰ τὸ Δ γέγονεν, ἀνάγκη τὸ Α. αὕτη μὲν ἡ πρόθεσις τῶν εἰρημένων·
ἴδωμεν δὲ καὶ κατὰ μέρος τὴν λέξιν. περὶ μὲν οὖν τοῦ πῶς ἂν ἐφεξῆς
γινομένης τῆς γενέσεως ἔχοι τὸ μέσον αἴτιον ἐπὶ τοσοῦτον
εἰλήφθω. τὰ εἰρημένα προσεχῶς ἀποκαθίστησιν καί φησιν ὅτι ὁ μὲν περὶ 40
τῆς γενέσεως πλατύτερος λόγος καὶ ἀκριβέστερος ἐν τοῖς τελευταίοις τέσσαρσι
20 τῆς Φυσικῆς ἀκροάσεως βιβλίοις παραδίδοται. πρὸς δὲ τὴν παροῦσαν πραγμα-
τείαν εἰλήφθω ἐπὶ τοσοῦτον ὅσον ἀρκεῖ πρὸς τὸ δεῖξαι πῶς ἂν ἔχοι τὸ μέσον,
τουτέστι τὸ αἴτιον τοῦ τε συμπεράσματος καὶ τοῦ πράγματος ἐπὶ τῶν
τοιούτων ἐφ' ὧν ἡ γένεσις ἐφεξῆς, τουτέστιν ἐπὶ τῶν ἐχόντων τὸ πρότερον
καὶ τὸ ὕστερον αἰτίων καὶ αἰτιατῶν. οὐ γὰρ περὶ τῆς γενέσεως νῦν, ἀλλὰ
25 περὶ τῆς ἀποδείξεως προέκειτο πῶς ἔχει τὸ ἀναγκαῖον, προβαινούσης τῆς 45
γενέσεως κατὰ τὴν τάξιν τοῦ προτέρου καὶ τοῦ ὑστέρου, ἃ καὶ ἐφεξῆς
λέγεται, ὁπόταν μηδὲν αὐτῶν ᾖ ὁμογενὲς μεταξύ.

p. 95b 14 Ἀνάγκη γὰρ καὶ ἐν τούτοις τὸ μέσον καὶ τὸ πρῶτον
ἄμεσα εἶναι.

30 Ὃ λέγει τοιοῦτόν ἐστιν, ὅτι ἐπὶ μὲν τῶν ἅμα διὰ τὸ συνεῖναι ἀλλήλοις
τὸ αἰτιατὸν καὶ τὸ αἴτιον δῆλον γέγονεν ὅτι ἄμεσά ἐστι τὰ εἰς τὴν ἀπό-
δειξιν λαμβανόμενα. μήποτε δὲ ἐπὶ τῶν μὴ ἅμα ἄλλως ἔχει, καὶ οὐκ 50
ἐνδέχεται ἀμέσως ἔχοντας ὅρους εὑρεῖν. ἴσως γὰρ διὰ τὸ ἐν χρόνῳ τὴν
γένεσιν εἶναι καὶ τὸν χρόνον εἶναι συνεχῆ, οἰήσαιτ' ἄν τις ὡς οὐκ ἐνδέ-
35 χεται ἄμεσα ἐπὶ τῶν τοιούτων εὑρεῖν, συνεχῶν ὄντων καὶ τοῦ χρόνου καὶ

---

4 εἴπη Aa 9 ἀναγκαίως E 10 τὸ post καὶ om. E 15 εἰρημένων] προκειμένων E 16 περὶ—εἰλήφθω (18) om. E 20 δὲ om. Aa 21 ἐπὶ om. E 26 τοῦ post καὶ om. Aa 33 εὑρεῖν ὅρους coll. E 34 οἰήσαιτ' ἄν] πιστεύσειεν ἂν E

τῆς γενέσεως ἐπ' ἄπειρόν τε διαιρετῶν, ὡς ἄπειρα νῦν ἐξὸν εἶναι λαβεῖν ἐν ὁτῳοῦν χρονικῷ διαστήματι, καὶ μεταξὺ δύο νῦν διάστημά τι χρονικόν, ὡς μὴ ἐχομένων τῶν νῦν, καὶ αὖθις ἄπειρα γεγονότα ἐν ἡτινιοῦν γενέσει, καὶ μεταξὺ δυοῖν γεγονότων γένεσιν, κἀντεῦθεν ἐξ ἀνάγκης ἄπειρα εἶναι τὰ μέσα, καὶ μὴ ἐνδέχεσθαί τι ἄμεσον | ἐν τοῖς τοιούτοις λαμβάνεσθαι· 84 καὶ διὰ τοῦτο μηδ' εἶναι ἀπόδειξιν ἐπὶ τῶν μὴ ἅμα ὄντων αἰτίων καὶ αἰτιατῶν, ἀλλ' ἐπὶ μόνων γίνεσθαι αὐτὴν ἐφ' ὧν μέσον τὸ τί ἦν εἶναι λαμβάνεται. οἷον ἐπειδὴ συνεχὴς ὁ χρόνος, ἐν ᾧ ἡ γυνὴ ἀνδρὶ πεπλησίακε, τῷ χρόνῳ ἐν ᾧ κατὰ γαστρὸς ἔσχηκε, καὶ ἡ γένεσις ἐκείνη τῇ γενέσει ταύτῃ, οὐκ ἔσται ἄμεσα ταῦτα ἀλλήλοις, ἀλλ' ἀεὶ ἔστι μεταξύ τι λαβεῖν, διὰ τὸ ἐπ' ἄπειρον διαιρετὸν εἶναι τὸ συνεχές, ὡς εἴρηται, καὶ ἀεὶ δύνασθαί τι λαβεῖν μεταξὺ δύο νῦν καὶ μεταξὺ δύο γεγονότων. καὶ εἰ ταῦθ' οὕτως ἔχει, μάτην αὐτῷ ὁ περὶ τῶν τριῶν αἰτίων λόγος εἰς μέσον εἰσενήνεκται, ὡς καὶ τούτων ἕκαστον ἐνδέχεσθαι λαμβάνεσθαι μέσον, καὶ ἀπόδειξιν γίνεσθαι μεσάζοντος ἐν αὐτῇ ὡς τοῦ τί ἦν εἶναι, οὕτω καὶ τῶν λοιπῶν ἑκάστου αἰτίων. εἰ γὰρ μὴ ἔστιν ἄμεσον πρότασιν ἐπὶ τούτων λαβεῖν, πῶς ἔσται ἀπόδειξις, εἴ γε ἐκ πρώτων καὶ ἀμέσων ἡ ἀπόδειξις συνίστασθαι πέφυκεν, ἄμεσος δέ ἐστιν, ἧς μὴ ἔστιν ἄλλη προτέρα πρότασις; πῶς δ' οὐκ ἔσται προτέρα προτάσεως ἧς τῶν ὅρων ἔστι τι λαβεῖν μεταξύ; διὰ ταῦτα πρῶτον μὲν τὴν γένεσιν μὴ οὖσαν ἔδειξε συνεχῆ· τοῦτο γὰρ αἴτιον ἐδόκει τοῦ ἀεί τι μέσον λαμβάνεσθαι· νῦν δ' αὖθις αὐτόθεν δείκνυσι τὸ καὶ ἐν τοῖς τοιούτοις ἀμέσους προτάσεις λαμβάνεσθαι. φησὶ τοίνυν ὅτι ἀνάγκη καὶ ἐν τοῖς τοιούτοις, τουτέστιν ἐν οἷς τὸ πρότερον καὶ τὸ ὕστερον, τὸ μέσον καὶ τὸ πρῶτον ἄμεσα εἶναι, μέσον λέγων τὸ τοῦ ἐσχάτου προσεχὲς αἴτιον, καὶ πρῶτον τὸ τοῦ μέσου αἴτιον· ὡς ἐκ τοῦ ἐσχάτου ἀρχομένων ἕπεσθαι τὸ μέσον, καὶ τούτῳ αὖθις τὸ πρῶτον, ὅτε τὸν λόγον ἐπὶ τριῶν ὅρων γυμνάζομεν· κἂν ἐπὶ πλειόνων δέ, ὡσαύτως ἐκ τῶν ὑστέρων ἀρχομένοις ἀεὶ τὰ πρότερα ἕπεται.

p. 95b 16 Οἷον τὸ Α γέγονεν, ἐπεὶ τὸ Γ γέγονεν. ὕστερον δὲ τὸ Γ.

Εἰπὼν ὅτι καὶ ἐν τούτοις ἄμεσοι αἱ προτάσεις ἐξ ἀνάγκης εἰσίν, ὡς μηδενὸς ἄλλου ὄντος μεταξὺ τοῦ μέσου καὶ τοῦ πρώτου, ἀλλ' αὐτοῦ ὄντος ἑπομένου ἀμέσως ἐξ ἀνάγκης τοῦ πρώτου τῷ μέσῳ, ἂν ἀπὸ τοῦ μέσου τις ἄρχηται, ἐπὶ τῶν στοιχείων τὸν λόγον γυμνάζει, τὸ Α γεγονέναι λέγων, ἐπεὶ τὸ Γ γέγονε. τὸ μὲν γὰρ Γ τοῦ Α ὕστερον, ἐπεὶ καὶ αἰτιατόν, τὸ δὲ Α τοῦ Γ πρότερον, ἐπεὶ καὶ αἴτιον· ἀλλ' ἐν τῷ λόγῳ πρότερον εἶναι τὸ Γ τίθεται, ἵν' ἐξ ἀνάγκης τὸ Α ἀκολουθήσῃ.

---

1 λαβεῖν] legi non potest E 12 καὶ (ante εἰ) om. Aa 13 ἔχει ex corr. E: εἶχε Aa ὁ om. a 14 ἑκάστων E 18 ἄμεσα E 19 προτέρα scripsi: πρότερα libri λαβεῖν ante προτέρα exh. E 21 αὐτόθι E 22 φησὶν οὖν E 24 τοῦ] τῷ Aa ἐσχάτου E: ᾱ A: εἶναι a 26 τούτῳ] ἐκ τούτου E 32 ἀπὸ τῶν μέσων Aa 33 ἄρχηται] ἄρχοιτο Aa

p. 95b17 Ἀρχὴ δὲ τὸ Γ διὰ τὸ ἐγγύτερον τοῦ νῦν εἶναι. 84

Εἰ καὶ τὸ Α αἴτιον καὶ διὰ τοῦτο φύσει πρότερον τοῦ Γ, καὶ τὸ Γ αἰτιατὸν καὶ διὰ τοῦτο φύσει ὕστερον τοῦ Α, ἀλλ' ἐν τῇ τῆς προτάσεως λήψει ἀρχὴ τὸ Γ λαμβάνεται, ἵνα ἡ τοῦ προτέρου ὕπαρξις ἐξ ἀνάγκης ἀκολουθήσῃ· καὶ ὃ ἄν τις ὑπέλαβεν αἴτιον αὐτῷ εἶναι ὑστερήσεως, τοῦτο μᾶλλον αὐτῷ αἴτιον τοῦ προτάττεσθαι γίνεται, τοῦτο δέ ἐστι τὸ ἐγγὺς εἶναι τοῦ νῦν, ὅπερ ἀρχὴ τοῦ μέλλοντος χρόνου ἐστίν, ἤγουν τοῦ μετὰ τὴν γένεσιν τοῦ Γ. τὸ γὰρ Γ ἐγγύτερον ὂν τοῦ νῦν τούτου, διὰ τοῦτο πρὸ τοῦ Α λαμβάνεται ὄντος πορρώτερον τοῦ νῦν.

p. 95b18 Τὸ δὲ Γ γέγονεν, εἰ τὸ Δ γέγονεν.

Ὥσπερ δὲ τὸ Γ ὕστερον ὂν τοῦ Α πρότερον ἐλήφθη αὐτοῦ, ἵν' αὐτῷ τὸ Α ἀκολουθήσῃ, οὕτω πάλιν τοῦ Δ ληφθέντος ἀκολουθεῖ τὸ Γ. οὕτω γὰρ ἔσται τὸ ἀναγκαῖον κἀνταῦθα, τοῦ Δ τεθέντος ἀκολουθεῖν τὸ Γ, ὡς ἤδη συνάγεσθαι καὶ συμπέρασμα τοῦ Δ γενομένου τὸ Α γεγονέναι. καὶ ἔστιν ὁ ἅπας συλλογισμὸς οὕτως· τοῦ Δ γενομένου τὸ Γ γέγονε· τοῦ Γ γενομένου τὸ Α γέγονε· τοῦ δὴ Δ γενομένου τὸ Α γέγονεν. αἴτιον δὲ τῆς συναγωγῆς τοῦδε τοῦ συμπεράσματος τὸ Γ. διὰ γὰρ μέσου τούτου τὸ Α τῷ Δ ἠκολούθησεν.

p. 95b22 Οὕτω δὲ λαμβάνοντι τὸ μέσον στήσεταί που.

Ἡμεῖς μέν, φησίν, οὕτως ἐλάβομεν ὡς ἀμέσως ἑπομένων τῶν προτέρων τοῖς ὑστέροις· κἂν εἰ μὴ ἀμέσως δὲ οὗτοι εὐθὺς οἱ ὅροι, ἀλλ' οὕτω λαμβάνοντί τινι τὸ μέσον καὶ παρεμβάλλοντι ἀεὶ τὸ εὑρισκόμενον στήσεταί που ἡ λῆψις εἰς ἄμεσον, ὡς μηκέτι εὑρίσκεσθαι ἕτερον ὃ παρεμβληθήσεται.

p. 95b22 Ἢ ἀεὶ παρεμπεσεῖται διὰ τὸ ἄπειρον. οὐ γάρ ἐστιν ἐχόμενον γεγονὸς γεγονότος.

Τοῦτο ἐπιδιόρθωσίς ἐστι τοῦ ῥηθέντος, τὴν ἀκρίβειαν παραδιδοῦσα τοῦ προκειμένου θεωρήματος, πῶς ἐνδέχεται τὴν τοῦ μέσου ἵστασθαι λῆψιν, καὶ πῶς οὐκ ἐνδέχεται. εἰπὼν γὰρ ὅτι στήσεταί που εἰς ἄμεσον, φησὶ νῦν διορθούμενος 'ἢ οὐ στήσεται ἁπλῶς, ἀλλὰ κατά τι μέν, κατά τι δὲ οὔ'. κατὰ μὲν γὰρ τὸν χρόνον ἀεὶ παρεμπεσεῖταί τι μέσον καὶ οὐδέποτε στήσεται εἰς ἄμεσον. ἐπεὶ γὰρ συνεχὴς ὁ χρόνος, καὶ οὐκ ἔστι δύο νῦν

---

5 ὑστερήσει a 7 ἐστὶ χρόνου coll. E 10 εἰ] ἢ E 13 τῷ Γ Aa
15 οὕτος E 21 δὲ om. a 25. 26 lemma om. E 28 λῆψιν ἵστασθαι coll. E

ἐφεξῆς ἀλλήλων ἐχόμενα, ἀλλ' ἀεὶ δύο νῦν μεταξὺ ἔστι λαβεῖν διάστημα, 84
ὑπάρχει δὲ οὗτος συνεχὴς καὶ ἐπ' ἄπειρον διαιρετός, διὰ τὸ ἄπειρον τοῦτο 45
ἔσται ἀεί τι παρεμπῖπτον μεταξὺ ὧν ἄν τις λήψοιτο. τῶν δὲ πραγμάτων
οὐχ οὕτως ἐχόντων, ἀλλὰ διισταμένων ἀπ' ἀλλήλων τῶν αἰτιατῶν καὶ
5 αἰτίων, ἀνάγκη κατά γε ταῦτα στῆναι τὴν λῆψιν καὶ ἄμεσόν τι εὑρεῖν αἴτιον
καὶ αἰτιατόν.

p. 95b24 Ἀλλ' ἄρξασθαί γε ὅμως ἀνάγκη ἀπὸ τοῦ μέσου.

Τουτέστιν εἰ καὶ διὰ τὴν ἀπειρίαν τῆς τοῦ συνεχοῦς διαιρέσεως ἀεί
τι παρεμπίπτει, ἀλλ' ἡ τῶν αἰτίων καὶ αἰτιατῶν φύσις ἀναγκάζει καὶ κατὰ 50
10 χρόνον ἀρχήν τινα θέσθαι, καὶ τὴν μείζονα πρότασιν λαμβάνοντας ἄμεσον
οὖσαν κατὰ τὰ πράγματα, μὴ ἀπὸ τοῦ μείζονος ὅρου ἄρχεσθαι, ἵν' αὐτῷ
τὸ μέσον ἕποιτο (οὐ γὰρ ἀναγκαία οὕτως ἡ ἀκολούθησις) ἀλλ' ἀπὸ τοῦ
μέσου· τούτῳ γὰρ ἀναγκαίως ἀκολουθήσει τὸ πρῶτον. λαμβανομένου δὲ
τοῦ ὑστέρου πρῶτον, ἐπεὶ ἐν χρόνῳ τὸ λαμβανόμενον, καὶ χρόνος αὐτῷ
15 συλληφθήσεται· ὥστε εἶναι τὸ νῦν τοῦ παρελθόντος προλαμβανόμενον. οἷον
εἰ θεμέλιοι γίνονται, ἀνάγκη πρότερον ὀρυγὴν γεγονέναι. ἰδοὺ τὸ πρῶτον 85
ληφθὲν πρᾶγμα μὲν ὁ θεμέλιός ἐστι, χρόνος δὲ τὸ νῦν γίνεσθαι τῷ λαμ-
βανομένῳ συσσημαινόμενος ῥήματι. ἔστι δὲ τούτων πρότερα τό τε γεγο-
νέναι καὶ ἡ ὀρυγή, ἃ ἐκείνοις ληφθεῖσιν ἐπηκολούθησεν. ἐρεῖ τις οὖν οὕτως·
20 εἰ οἰκία γέγονε, θεμέλιοι γεγόνασιν· εἰ δὲ θεμέλιοι γεγόνασι, λίθοι ἐτμή-
θησαν· εἰ οἰκία ἄρα γέγονε λίθοι ἐτμήθησαν. ἀναγκαῖον δὴ τὸ συνημμένον,
ἀλλ' οὐκ ἐξ ἀμέσων ἀμφοῖν. δεῖ τοίνυν τινὸς μέσου τῶν θεμελίων καὶ τῆς 5
οἰκίας, ὅπερ ἐστὶ τὸ τοίχους γεγονέναι, οὗ ληφθέντος ἔστη ὁ λόγος εἰς
ἄμεσα, καὶ οὐκέτι ἑτέρου δεῖ. ὥστε εἰ καὶ ἐπὶ τοῦ χρόνου ἀεὶ παρεμ-
25 πίπτει διὰ τὸ ἄπειρον τῆς τοῦ συνεχοῦς διαιρέσεως, ἀλλ' ἐπὶ τῶν πραγμά-
των οὐκ ἀεί· ἀλλ' ἐπὶ τούτων στήσεταί που ἡ λῆψις εἰς ἄμεσον. καὶ ἡ
λῆψις ἀεὶ ἐν τοῖς τοιούτοις ἀπὸ τῶν ὑστέρων πρῶτον λαμβανομένων ἐν τῷ
λόγῳ, ἵν' ἕξει τὸ ἀναγκαῖον ἡ ἀκολούθησις. τινὰ δὲ τῶν ἀντιγράφων 'ἀπὸ
μέσου' ἔχει, ἀλλ' οὐχὶ 'ἀπὸ τοῦ μέσου,' καὶ τὸ ἀπὸ τοῦ νῦν πρώτου 10
30 διχῶς ἔστι νοῆσαι· ἢ γὰρ τῷ μέσῳ τὸ νῦν προσάπτεται ἢ τῷ ἐσχάτῳ.
καὶ ἔστι τὸ λεγόμενον τοιοῦτον· δεῖ μέσον εὑρεῖν τινα ὡρισμένον καὶ ἀρχι-
κώτερον τοῦτον θεῖναι καὶ προηγούμενον τοῦ μείζονος, μὴ ὡς ὁ χρόνος
τὴν ἀπειρίαν ἔχει, οὕτω καὶ τῶν πραγμάτων ἐχόντων αὐτήν, καὶ ἔτι τὸ
ἔσχατον ἀρχικώτερον θεῖναι καὶ πρότερον, ὡς ἐν τῷ λόγῳ τοῦ μέσου μὲν
35 προηγουμένου τοῦ μείζονος, τοῦ ἐσχάτου δὲ προηγουμένου τοῦ μέσου, ὃ
νῦν ὠνόμασεν· τὸ γὰρ νῦν ἔσχατον τῶν πρὸ αὐτοῦ ἐστιν, ἢ καὶ τὸ νῦν 15
πρᾶγμα ἐπὶ τῶν ἔργων τὸ ἀποβάν ἐστι τέλος, οὗ ἕνεκα τὰ πρὸ αὐτοῦ, ὃ

---

3 λήψαιτο E 13 τούτῳ] τοῦτο Aa 16 ὀρυγὸν a 18 πρότερα scripsi: προτέρα Aa: πρότερον E 19 ἡ om. Aa 20 δὲ om. Aa 21 οἰκία—ἐτμήθησαν om. Aa συνοιγμένον Aa 25 ἐπὶ] ἐπεὶ a 30 νοῆσαι] νοεῖσθαι E 37 οὗ] ὃ E

καὶ μένει τε καὶ ἔστι παρελθόντων ἴσως τῶν πρὸ αὐτοῦ, οἷον ἡ οἰκία· ἐκ θεμελίων μὲν γὰρ καὶ τοίχων καὶ στέγης ἄλλο τί ἐστιν ἡ οἰκία, ἀλλ' οὐχὶ θεμέλιοι καὶ στέγη καὶ τοῖχοι. διὸ ἐκεῖνα μὲν τρόπον τινὰ γέγονέ τε καὶ παρελήλυθεν, ἡ δὲ οἰκία νῦν ἔστιν, ἀφ' ἧς ἄρξασθαι πρώτης δεῖ τὸν λόγον, ἵν' ἀνατρεχόντων ἡμῶν τὸ γεγονέναι τὰ πρὸ αὐτῆς ἕψεται. οὕτω καὶ εἰ Σωκράτης ἐστίν, ἡ μήτηρ αὐτοῦ τέτοκεν· εἰ τοῦτο, κατὰ γαστρὸς ἔσχηκεν· εἰ τοῦτο, Σωφρονίσκῳ πεπλησίακεν· εἰ τοῦτο, Σωφρονίσκος ὑπῆρξεν. εἰ Σωκράτης ἄρα ἐστί, Σωφρονίσκος ὑπῆρξε. καὶ οὕτως ἀπὸ τοῦ νῦν ὄντος ἀρξάμενοι τὰ πρὸ αὐτοῦ πάντα ἑπόμενα ἔσχομεν.

p. 95ᵇ25 Ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ἔσται. εἰ γὰρ ἀληθὲς εἰπεῖν.

Ἐπειδὴ ὡς ἐπὶ γεγονότων καὶ ὄντων τὸν λόγον ἐποίησε, λέγω δὴ τὸ ἐκ τῶν ὑστέρων γίνεσθαι ἀναγκαίαν τὴν ἀκολούθησιν ἐπὶ τῶν ὡς ἐπὶ τὸ πολὺ γινομένων, νῦν παραδίδωσι τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἐσομένων. φησὶν οὖν ὅτι καὶ ἐπὶ τοῦ ἔσται ὁμοίως ἔχει ὡς δὴ καὶ ἐπὶ τοῦ γέγονεν εἶχε. ποιεῖται δὲ πάλιν ἐπὶ τῶν στοιχείων τὴν μεταχείρισιν. καὶ λαμβάνει τὸ Δ ὡς πάντων ἔσχατον, τὸ δὲ Α πάντων πρῶτον, καὶ μέσον τὸ Γ, τῷ μὲν Α ὀφεῖλον ἕπεσθαι, τοῦ δὲ Δ προηγεῖσθαι κατὰ τὴν ὀφειλομένην λῆψιν τῇ ἀναγκαίᾳ ἀκολουθήσει τῶν ὡς ἐπὶ τὸ πολύ, καθὰ δὴ καὶ ἐπὶ τοῦ γεγονότος πεποίηκε. λέγει δὴ ὅτι εἰ ἀληθὲς εἰπεῖν ὅτι τὸ Δ ἔσται, ἀνάγκη πρότερον ἀληθὲς εἰπεῖν ὅτι τὸ Α ἔσται. ἐπεὶ γὰρ ἐξ ἀνάγκης δεῖ τῆς τοῦ Α ὑπάρξεως, ἵνα τὸ Δ ὑπάρξῃ, ἂν τὸ Δ ἔσεσθαι ὑποθώμεθα καὶ ἔστιν ἀληθές, ἀναγκαῖον ἔσεσθαι τὸ Α πρότερον. τοῦ δὲ ἀναγκαίως οὕτως ἀκολουθεῖν τῇ μελλούσῃ ὑπάρξει τοῦ Δ τὴν τοῦ Α ὕπαρξιν τὸ Γ ἐστὶν αἴτιον· τούτου γὰρ δεῖ προσεχῶς τῷ Δ πρὸς τὸ ὑπάρξαι, διὰ δὲ τοῦτο καὶ τοῦ Α, ὡς μὴ δυναμένου τοῦ Γ ὑπάρξαι, εἰ μὴ τὸ Α ὑπάρξει πρότερον. ὥστε εἰ τὸ Δ, τὸ Γ· εἰ τὸ Γ, τὸ Α· εἰ τὸ Δ ἄρα, τὸ Α.

p. 95ᵇ29 Ὁμοίως δ' ἄπειρος ἡ τομὴ καὶ ἐν τούτοις.

Ὥσπερ, φησίν, ἐπὶ τῶν γεγονότων ἐλέγομεν ὅτι ἐπὶ μὲν τοῦ χρόνου ἐπ' ἄπειρον ἡ διαίρεσις καὶ ἀεί τι παρεμπίπτει μέσον, εἰ καθ' ἑαυτόν τις τὸν χρόνον δίχα τῶν πραγμάτων λήψοιτο, κατὰ δὲ τῶν πραγμάτων λαμβανόμενος, ἐπεὶ μὴ καὶ ταῦτα ἀλλήλων ἔχονται, λέγω δὴ τὰ γενόμενα, αἱ δὲ τούτων γενέσεις κατά τινα κοινὸν ὅρον ἀλλήλαις συνάπτουσιν, ἐξ ἀνάγκης ἔστιν ἄμεσα ἐπὶ τούτων λαβεῖν, τὸ μὲν ἡγούμενον τὸ δ' ἑπόμενον, καὶ τούτοις ὁ χρόνος συνὼν ἐνδίδωσιν ὥσπερ ἑαυτόν, ἵνα τι καὶ ἐπ' αὐτοῦ

---

2 ἡ om. Aa 3 θεμέλια E 6 τέτοκεν] ἕνεκεν E 9 ἀρξάμενον E 11 λέγω δὲ libri 15 μεταχείρησιν E 17 μὲν A et δὲ Δ scripsi: μὲν δ et δὲ α libri 19 prius ὅτι om. Aa 21 ἂν τὸ] αὐτὸ Aa 23 τοῦ post τὴν om. E 30 δίχα πραγμάτων τὸν χρόνον coll. E δὲ post πραγμάτων exh. Aa

τρόπον τινὰ ἀμέσως ἡγούμενον καὶ ἑπόμενον λαμβάνηται, τὸ αὐτὸ καὶ ἐπὶ 85
τῶν ἐσομένων φαμέν. ὡς γὰρ ταῖς γενέσεσι μὴ οὔσαις συνεχέσι, φαντασίαν 45
ὁ χρόνος συνεχείας ἐκ τοῦ αὐταῖς παρέπεσθαι δίδωσιν, οὕτως αὐτὸς φαν-
τασίαν ἀμεσότητος ἐξ αὐτῶν ἀναδέχεται. ἀμέσων γὰρ γενέσεων πρὸς
5 ἀλλήλας λαμβανομένων τοῖς ὕστερον καὶ τοῖς πρότερον, φαντασίαν ἀμεσό-
τητος καὶ ὁ ὕστερος χρόνος πρὸς τὴν πρὸ αὐτοῦ ἀναδέχεται· καὶ οὐδὲν
τοῦτο τῇ ἀποδείξει λυμαίνεται, εἰ μὴ κυρίως ὁ χρόνος ἄμεσος· οὐ γὰρ
κατὰ τὸν χρόνον ἀλλὰ κατὰ τὰ ἐν αὐτῷ γινόμενα ἡ ἀπόδειξις.

p. 95b31 Ἔχει δ' οὕτως ἐπὶ τῶν ἔργων. 50

10 Ὅπερ ἐπὶ τῶν στοιχείων πρότερον πεποίηκε καθολικὴν ποιούμενος
τὴν παράδοσιν, τοῦτο νῦν καὶ ἐπὶ τῶν πραγμάτων οὕτως ἔχον παρίστησιν.
καὶ πρότερον ὡς περὶ γεγονότων φησίν, ἔπειτα ὡς | περὶ ἐσομένων, ὅπερ 86
καὶ ἐν τοῖς στοιχείοις πεποίηκε· τὰ γὰρ γεγονότα σαφῆ ὄντα, ἐπείπερ ἤδη
ἀποβεβήκασι, καὶ τοῖς ἐσομένοις τὴν πίστιν παρέχεται. ὃ οὖν ἐπὶ τῶν
15 στοιχείων ἐλέγομεν, φησίν, οὕτως ἔχει καὶ ἐπὶ τῶν πραγμάτων. καὶ δῆλον
ἐκ τῶν κατὰ τὰς τέχνας ἐργαζομένων καὶ ἀποτελουμένων. ἔστω δὴ οἰκία
ἐφ' οὗ Δ, τετμῆσθαι λίθους ἐφ' οὗ Α, μέσον τὸ Γ ὁ θεμέλιος. εἰ οὖν
οἰκία γέγονε, λίθοι τέτμηνται· οὗτοι οἱ δύο ἄκροι, ἐλάττων οἰκία, μείζων 5
τὸ τετμῆσθαι λίθους. διότι δὴ εἰ οἰκία γέγονεν, ἐξ ἀνάγκης λίθοι τέτμην-
20 ται, τῇ γενέσει τῆς οἰκίας καὶ ἡ γένεσις τῆς τῶν λίθων ἐπηκολούθησε
τμήσεως, ἢ μᾶλλον εἰπεῖν προηγήσατο, ὅτι θεμέλιοι γεγόνασιν, εἰ δὲ τοῦτο,
καὶ λίθοι τέτμηνται. ὡς τοῖς μὲν πράγμασιν προηγεῖσθαι τῆς γενέσεως
τῆς οἰκίας τὴν τῶν θεμελίων γένεσιν, ταύτης δ' αὖθις τὴν γένεσιν τῆς
τῶν λίθων τομῆς, διὰ δὲ τὸ ἀναγκαῖον τοῦ λόγου λαμβάνεσθαι τὰ ὕστερα 10
25 προηγούμενα καὶ τὰ πρότερα ὡς ἑπόμενα. καὶ οὕτως ἡ ἀπόδειξις· εἰ οἰκία,
θεμέλιος· εἰ τοῦτο, λίθοι τέτμηνται· εἰ οἰκία ἄρα γέγονε, λίθοι τέτμηνται.
καὶ ἠρξάμεθα ἀπὸ τοῦ ἐσχάτου καὶ ἐγγύτερον ὄντος τοῦ νῦν, τουτέστιν ἀπὸ
τοῦ κατὰ τὸν χρόνον ὑστέρου, καὶ οὕτω προϊόντες ἀναγκαίαν εἴδομεν γινο-
μένην τὴν ἀκολούθησιν. καὶ ἐπὶ τοῦ ἐσομένου ὡσαύτως· οὐ δεῖ γὰρ
30 πλείω προσθεῖναι, τῆς ἑξῆς περὶ τοῦ ἐσομένου λέξεως ὑπαρχούσης σαφοῦς.

p. 95b38 Ἐπεὶ δ' ὁρῶμεν ἐν τοῖς γινομένοις κύκλῳ τινὰ γένεσιν. 15

Περὶ ἀκολουθήσεως τῶν ὅρων παραδιδοὺς ἐπειδήπερ προλαβὼν ἔλεγεν
ὅτι ἐπὶ τῶν μὴ ἅμα ἐκ τῶν ὑστέρων ἡ ἀκολούθησις ἀναγκαία, οὐκ ἐκ τῶν
προτέρων ἐστί, καὶ ἐν τούτοις προεχείριζε τὰ γινόμενα ἑώρα τε ἐπὶ τούτων
35 τινὰ ἀλλήλων ὑπάρχοντα αἴτια, ἀλλήλων τε προηγούμενα καὶ ἀλλήλοις
ἑπόμενα, νῦν περὶ τούτων φησὶν ὅτι ἐν τοῖς φύσει γινομένοις εἰσί τινα 20

---

1 ἄμεσος a 4 ἀναδέχεσθαι a 13 γὰρ om. Aa ἐπειδὴ E
20 ante τῇ add. καὶ Aa 21 μᾶλλον om. Aa 25 πρότερον E εἰ] εἰς E
29 γὰρ] δὲ E 32 τῶν om. E 34 ἐπεὶ Aa 36 φύσει om. E

κύκλον μιμούμενα ἐν τῷ γίνεσθαι. ὡς γὰρ ἐν τῷ κύκλῳ τὸ αὐτὸ σημεῖον 86
τέλος τε καὶ ἀρχή ἐστιν, οὕτως ἐν τοῖς τοιούτοις τὸ αὐτὸ τέλος καὶ ἀρχή,
καὶ αἴτιον τοῦ αὐτοῦ καὶ αἰτιατὸν γίνεται, εἰ καὶ μὴ κατ' ἀριθμόν, ἀλλά
γε κατ' εἶδος, ὡς καὶ τὴν ἀπόδειξιν ἐπεισκυκλεῖσθαι καὶ ἐνταῦθα κἀκεῖσε
5 στρέφεσθαι ἀπὸ τῶν αἰτίων ἐπὶ τὰ αἰτιατὰ καὶ ἀπὸ τῶν αἰτιατῶν ἐπὶ
τὰ αἴτια. τότε οὖν, φησίν, ἡ κύκλῳ γένεσίς ἐστιν, ὅταν ἀλλήλοις οἱ ὅροι
ἕπωνται, οἵ τε ἄκροι καὶ ὁ μέσος· ἐν γὰρ τοῖς οὕτως ἔχουσιν ἔσται καὶ 25
τὸ ἀντακολουθεῖν ἀλλήλοις καὶ τὸ ἀντιστρέφειν πρὸς ἀλλήλους ὡς ἐν κύκλῳ.

p. 95b40 Δέδεικται δὲ τοῦτο ἐν τοῖς πρώτοις.

10 Ἐν τῷ δευτέρῳ τῶν Προτέρων ἀναλυτικῶν περὶ τῆς κύκλῳ παραδέδωκε
δείξεως ὅπως γίνεται, καὶ ἔλεγε ταύτην ἐπὶ τῶν ἐξισαζόντων καὶ ἀντικατη-
γορουμένων γίνεσθαι, ὡς ἔχει τὰ ἴδια καὶ τὰ εἴδη, ὧν ἐστιν ἴδια τὰ ἴδια. 30
τὸ αὐτὸ δέ ἐστι καὶ ἐπὶ τῶν τοιούτων, ἃ ἀλλήλοις ἐστὶν αἴτια. ὡς γὰρ
ἐπ' ἐκείνων ἀντιστρέφει τὰ συμπεράσματα, ὡς ἀντικατηγορεῖσθαι ἀλλήλων
15 τοὺς ὅρους, οὕτω καὶ ἐπὶ τῶν ἀλλήλοις ὄντων αἰτίων ἡ ἀντιστροφὴ γίνεται,
ὡς ἀλλήλοις ἀνθέπεσθαι.

p. 96a2 Τὸ δὲ κύκλῳ τοῦτό ἐστιν.

Τοῦτο δέ, φησίν, ἐστὶ τὸ κύκλῳ. τὸ δέ ἐνταῦθα ἀντὶ τοῦ γάρ, τουτέστι
τὸ γὰρ κύκλῳ καὶ ἐξ ἀλλήλων δείκνυσθαι τοῦτό ἐστι τὸ ἀντιστρέφειν πρὸς 35
20 ἀλλήλους τοὺς ὅρους· ἀντιστρεφόντων γὰρ τούτων ἡ κύκλῳ δεῖξις ἀπο-
τελεῖται. ἔσται δὲ δῆλον κἀκ τῶν παραδειγμάτων.

p. 96a2 Ἐπὶ δὲ τῶν ἔργων φαίνεται ὧδε. βεβρεγμένης τῆς γῆς.

Σαφὲς τὸ λεγόμενον ἐπὶ παραδείγματος ποιεῖται, καὶ φησὶν ὅτι ἐπὶ 40
τῶν ἔργων τῆς φύσεως οὕτω γίνεται φανερόν. ἐπὶ μὲν οὖν τῶν Προτέρων
25 ἀναλυτικῶν τὴν κύκλῳ δεῖξιν διδάσκων λογικώτερον ἐτίθει τὰ παραδείγματα,
ἐννοηματικὰ λαμβάνων εἴδη καὶ ἴδια· ἐνταῦθα δὲ ὡς εἶδος ἀποδείξεως
ταύτην εἰς μέσον ἄγων, πραγματικώτερον ἐκ τῶν γινομένων αὐτὴν παρί-
στησιν, πράγματα παρεισάγων ἀλλήλοις ἑπόμενα ἐκ τοῦ ἐξ ἀλλήλων γίνε-
σθαι καὶ ἀλλήλων εἶναι αἰτιατά τε καὶ αἴτια. γῆς γὰρ βραχείσης ἐξ ὑετοῦ, 45
30 ἀτμὶς γίνεται, καὶ ταύτης ἀναχθείσης ἐπέκεινα τῆς τῶν ἀκτίνων τοῦ ἡλίου
ἀνταναχλάσεως νέφος γίνεται, τοῦ δὲ νέφους παχυνομένου ὕδωρ· τούτου
δὲ γενομένου ἀνάγκη βεβρέχθαι τὴν γῆν, βαρέος ὄντος τοῦ ὕδατος καὶ ἄνω
μένειν μὴ δυναμένου. τὸ γοῦν βεβρέχθαι τὴν γῆν, πρότερον ληφθὲν ὡς

---

4 κατανακυκλεῖσθαι E 7 ἐστὶ E 10 ἐν τῷ δευτέρῳ τῶν Προτέρων ἀναλυτικῶν] Anal. pr. B 5—7 παρέδωκε E 15 ἡ om. E 16 post ὡς add. μὴ E, κἂν a 17 Τὸ δὲ — ἐστιν om. Aa 21 κἀκ] κἀπὶ E 26 ἴδια] fort. μὴ ἴδια 27 μέσην E 30 ταύτης] τ' αὖθις Aa 31 ἀνακλάσεως E

αἴτιον, νῦν αἰτιατὸν γέγονε, καὶ πάλιν αἰτιατὸν ὂν αἴτιον γίνεται, ὡς ἕπε- 86
σθαι τῷ μὲν τὴν γῆν βεβρέχθαι τὴν ἀτμίδα, ταύτῃ δὲ τὸ νέφος, καὶ τούτῳ
τὸ ὕδωρ, καὶ τούτῳ τὸ βραχῆναι τὴν γῆν· καὶ ὃ ἦν πρῶτον, ἔσχατον 50
γέγονε, καὶ οὕτω κύκλῳ, ὡς γίνεσθαι ἀρχὴν καὶ τέλος τὸ αὐτό.

5 p. 96ᵃ6 Ἑνὸς γὰρ αὐτῶν ὁτουοῦν ὄντος ἕτερόν ἐστιν.

Ὅπερ ἄν, φησί, λάβῃς ἐκ τούτων ἤδη ὄν, ἕπεται ἕτερον, καὶ τούτου πάλιν ληφθέντος ἄλλο, καὶ αὖθις τούτου ὄντος ἀκολουθεῖ τὸ πρῶτον ληφθέν, ὡς δῆλον ἐπὶ τοῦ παραδείγματος γέγονε. γίνεται | δὴ ἐπὶ τῶν 87
τοιούτων καὶ ἡ ἀπόδειξις ἑκατέρωθεν διὰ τὴν εἰρημένην ἀντακολούθησιν·
10 μάλιστα δὲ ἐπὶ τῶν οὐρανίων σωμάτων, ἐφ' ὧν καὶ ἀναγκαῖά ἐστι τὰ γινόμενα καὶ οἰκειότερον ἐπ' ἐκείνων· ἥ τε γὰρ κίνησις κύκλῳ ἐπ' ἐκείνων καὶ ἀναγκαία καὶ ἡ δεῖξις κύκλῳ ὡσαύτως καὶ ἀναγκαία.

p. 96ᵃ8 Ἔστι δ' ἔνια μὲν γινόμενα καθόλου.

Πάλιν ἄλλην τοῦ μέσου διαφορὰν παραδίδωσιν ἐκ τῶν ὑποκειμένων 5
15 πραγμάτων προσγινομένην αὐτῷ. ὡς γὰρ τῶν πραγμάτων, ἃ τῇ ἀποδείξει ὑπόκειται, τὰ μὲν ἀεὶ ὡσαύτως ἐστὶν ἢ γίνεται, τὰ δ' ὡς ἐπὶ τὸ πολὺ μὲν οὕτως, ἐνδέχεται δέ ποτε καὶ ἄλλως, οὕτω καὶ οἱ μέσοι τῶν μὲν ἀεὶ ἀεί, τῶν δ' ὡς ἐπὶ τὸ πολὺ ὡς ἐπὶ τὸ πολύ, καὶ οὐκ ἐνδέχεται ἀεὶ ὄντος οὕτως ἢ οὕτως ἀεὶ γινομένου τινὸς συμπεράσματος, τὸν τούτου μέσον ὡς
20 ἐπὶ τὸ πολὺ οὕτως ἔχειν ἢ γίνεσθαι, ἢ αὖθις ὡς ἐπὶ τὸ πολὺ τοῦ πράγματος οὕτως γινομένου ἢ ἔχοντος τὸ μέσον ἀεὶ ἔχειν τοιῶσδε ἢ 10
γίνεσθαι. οἷον τὸ οὐράνιον σῶμα ἀεὶ κύκλῳ κινεῖται. διὰ τί; ὅτι νοῦν μιμεῖται· τοῦτο ὁ μέσος. καὶ ἔστιν ὡσαύτως ἀεὶ τοῦτο τοῦ ἀεὶ ὄντος παράδειγμα, ὡς καὶ ὁ μέσος ἀεί ἐστι. τοῦ δὲ ἀεὶ γινομένου 'ἀεὶ μετὰ τὸ
25 θέρος μετόπωρον'. διὰ τί; διότι ὁ ἥλιος ἐπὶ τὰ ἀντικείμενα τότε τῆς καθ' ἡμᾶς οἰκουμένης τρέπεται. τοῦτο οὐδέποτε ἄλλως ἔχει. τοῦ δὲ ὡς ἐπὶ τὸ πολὺ 'πᾶς ἄνθρωπος ἄρρην τὸ γένειον τριχοῦται'. διὰ τί; ὅτι τυχὸν ξηροτέρας κράσεως γινομένης ἐν τῇ ἡλικίᾳ καθ' ἣν τὸ τριχοῦσθαι 15
τὸ γένειον πέφυκε γίνεσθαι, πλείων καὶ ἡ λιγνυώδης ἀναθυμίασις γίνεται.
30 τό τε οὖν πρᾶγμα ὡς ἐπὶ τὸ πολὺ καὶ ὁ τούτου μέσος ὡς ἐπὶ τὸ πολὺ καὶ αἱ ἀποδείξεις τοιαῦται.

Ἔστι δ' ἔνια μὲν γινόμενα καθόλου· ἀεί τε γὰρ καὶ ἐπὶ παντὸς ἢ ἔχει ἢ γίνεται. τῶν γινομένων, φησί, τὰ μὲν ἀεὶ οὕτως ἔχει, τὰ δ' ἀεὶ οὕτως γίνεται. ἡ γὰρ οὐρανία κίνησις ἡ αὐτὴ μὲν οὖσα
35 κατ' εἶδος ἀεί ἐστιν ἡ αὐτή, τὸ δὲ εἶναι ἔχουσα ἐν τῷ γίνεσθαι ἀεὶ γίνεται·

---

2 τούτῳ] ταύτῃ Aa 5 αὐτῶν om. E ὄντος ὁτουοῦν coll. E 8. 9 ἐπὶ τούτων E 24 ὡς scripsi: ᾧ libri 25 φθινόπωρον E 26 οἰκουμένης] οἰκήσεως Aa 30 καὶ ὁ — πολὺ om. Aa 31 τοιαῦται] ποιοῦνται a 32 ἔνιοι a 35 ἡ αὐτή ἐστιν ἀεί coll. Aa

ἀκατάπαυστος γάρ ἐστιν. ἐπεὶ γάρ ἐστιν ἐν αὐτῇ τὸ πρότερον καὶ τὸ 87
ὕστερον, καὶ οὐ ταὐτὸν ἐν αὐτῇ τὸ ἦν καὶ τὸ ἔσται, ἀλλ' ἄλλο καὶ ἄλλο, 20
γινομένη ἐστὶ καὶ οὐδέποτε οὖσα, ἀλλὰ συμπορευομένη τῷ χρόνῳ, ὑφ' οὗ
καὶ μετρεῖται ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχουσα. διὰ τοῦτο καὶ γένεσις ἀλλ'
5 οὐκ ὀντότης ἐστίν. ἐπὶ τῶν ἐν κινήσει τοίνυν, ταὐτὸν δὲ εἰπεῖν ἐπὶ τῶν
ἐνύλων καὶ φυσικῶν τοὺς περὶ τοῦ μέσου λόγους γυμνάζων κατὰ τὸ ἴδιον
τῆς αὐτοῦ διδασκαλίας, οὐκ ἀξιοῖ λέγειν τὸ ἀεὶ καὶ ἐπὶ παντὸς εἶναι, ἀλλ'
ἢ ἔχειν ἢ γίνεσθαι. τὸ μὲν οὖν κύκλῳ κινεῖσθαι, ὡς εἴρηται, ἀεὶ οὕτως 25
ἔχει ἐπὶ παντὸς οὐρανίου σώματος· αἵ τε γὰρ σφαῖραι πᾶσαι καὶ οἱ ἀστέρες
10 ἅπαντες οὕτως ἔχουσιν ἀεί· τὸ δὲ μετὰ χειμῶνα γίνεσθαι ἔαρ καὶ μετὰ
ἔαρ θέρος, καὶ μετὰ τοῦτο μετόπωρον καὶ αὖθις χειμῶνα μετὰ τοῦτο
ἀεὶ γίνεται. ὁμοίως καὶ τὸ ἀλλήλας νύκτα διαδέχεσθαι καὶ ἡμέραν, καὶ
ἀντιπαραχωρεῖν ἀλλήλαις τῆς αὐξήσεως ἐπίσης κατὰ τοὺς πλησιασμοὺς καὶ
τὰς ἀποστάσεις τοῦ ἡλίου καὶ τὰ τοιαῦτα ἀεὶ γίνεται. καὶ ἔστι τὸ μὲν
15 ἔχειν ἀεὶ οἰκεῖον ἐπὶ τῆς οὐρανίας κινήσεως διὰ τὸ συνεχὲς αὐτῆς καὶ 30
ἀδιάκοπον, τὸ δὲ γίνεσθαι ἀεὶ ἐπὶ τῶν λοιπῶν τῶν εἰρημένων διὰ τὸ δια-
κόπτεσθαι μὲν διαδέχεσθαι δ' ἄλληλα. ἐπεὶ τοιγαροῦν τὸ μὲν εἶναι κυρίως
ἐπὶ τῶν νοητῶν, ἅτε μηδὲν ἐχόντων δυνάμει, ἀλλ' αὐτοενεργειῶν ὑπαρ-
χόντων, τὸ δὲ γίνεσθαι ἐπὶ τῶν ἀεὶ ἐν δυνάμει, ἅτινά ἐστι τὰ ἐν γενέσει
20 τε καὶ φθορᾷ καὶ ἐν διηνεκεῖ ῥύσει τυγχάνοντα καὶ μεταβολῇ, τιθέμενος
οὗτος ὥσπερεὶ μεταξὺ τούτων φύσιν τινὰ τὰ οὐράνια σώματα, κατὰ μὲν
τὸ εἶναι ἀεὶ ὡσαύτως ἔχοντα, κατὰ δὲ τὸ κινεῖσθαι τὸ δυνάμει τε ἔχοντα 35
καὶ μεταβάλλοντα, εὗρε καὶ μεταξύ τινα ῥῆσιν τοῦ ἀεὶ εἶναι καὶ ἀεὶ
γίνεσθαι, τὸ ἀεὶ ἔχειν, ἵν' ᾖ δῆλον ὡς κατὰ μέθεξιν αὐτῇ, οὐ καθ' ὕπαρξιν
25 τὸ ἀεί, τῷ ὑπ' ἄλλου ἔχεσθαι ὂν καὶ οὐ καθ' αὑτὸ ὄν.

p. 96ᵃ9 Τὰ δὲ ἀεὶ μὲν οὔ, ὡς ἐπὶ πολύ δέ.

Εἰς δύο διελὼν τὰ ἀποδεικτά, εἴς τε τὰ καθόλου καὶ τὰ ὡς ἐπὶ τὸ 40
πολύ, ἐπὶ μὲν τῶν καθόλου οὔτε παραδείγματα τέθεικεν οὔτε περὶ μέσου
τι εἴρηκεν, ὡς δῆλον ὂν ὅτι ἀναγκαῖόν τε καὶ ἀεὶ ὡσαύτως ἔχον τὸ μέσον
30 ἐπὶ πάντων. ἐπὶ δὲ τῶν ὡς ἐπὶ τὸ πολὺ καὶ παράδειγμα τέθεικε καὶ
περὶ τοῦ μέσου ἱκανῶς εἴρηκε δεικνύων ὡς καὶ οὗτος ὡς ἐπὶ τὸ πολύ·
ᾠήθη γὰρ ἄν τις ὡς ἀποδεικτικὸς ὢν καὶ ἐπιστημονικὸς ὁ μέσος ἕξει
ὡσαύτως ἀεί. διὰ τοῦτο δι' ἀδυνάτου δείκνυσιν ὡς ἐπὶ τὸ πολὺ ὄντα καὶ
αὐτὸν ἐπὶ τῶν τοιούτων, καὶ τοῦτο ἐπὶ στοιχείων ἐμφαίνων ὡς καθόλου 45
35 τοῦτο, ἀλλ' οὐκ ἐπί τινων μὲν ἐπί τινων δ' οὔ. παράδειγμα μὲν γὰρ
εἴληφε πρὸς μόνην σαφήνειαν, τὴν δέ γε δεῖξιν καθόλου πεποίηται.

---

4 ante γένεσις add. τὸ γίνεσθαι E 6 ἐνύλων] ἐν κινήσει iterum E 11 post χειμῶνα add. καὶ Aa 12 διαδέχεσθαι νύκτα τε καὶ E 15 ἔχει Aa 18 αὐτὸ ἐνεργειῶν libri 24 αὐτῇ] ambiguus E 27 καὶ εἰς τὰ E 34 ante στοιχείων add. τῶν Aa

p. 96ᵃ 12 Εἰ γὰρ τὸ Α κατὰ τοῦ Β καθόλου κατηγορεῖται. 87

Τὸ καθόλου ἐνταῦθα οὐχ ὡς ἐν τοῖς Πρώτοις ἀναλυτικοῖς φησιν, ἀλλ' ὡς ἐν τῷ πρὸ τούτου βιβλίῳ παραδέδωκεν· οὐ γὰρ μόνον τὸ κατὰ πάντων τῶν μερῶν τοῦ ὑποκειμένου τὸ κατηγορούμενον λέγεσθαι, ἀλλὰ καὶ τὸ καθ' αὐτὸ καὶ ἀεί. ἔστω οὖν, φησί, τὸ ΑΓ συμπέρασμα ὡς ἐπὶ τὸ πολύ· λέγω ὅτι καὶ ὁ μέσος ὡς ἐπὶ τὸ πολύ ἐστιν, ὡς εἶναι καὶ τὰς προτάσεις ὡς ἐπὶ τὸ πολύ· κατὰ γὰρ τὴν τοῦ μέσου πρὸς τὰ ἄκρα σχέσιν καὶ αἱ προτάσεις. εἰ γὰρ μή, ἔστω καθόλου ὁ μέσος καὶ αἱ προτάσεις ὡσαύτως, καὶ λε|γέσθω τὸ Α ὁ μείζων ὅρος καθόλου τοῦ Β τοῦ μέσου, καὶ τὸ Β 88 καθόλου τοῦ Γ. ὅμοιον δὴ ἔσται καὶ τὸ συμπέρασμα ταῖς προτάσεσιν, οὐ κατὰ τὸ ποιὸν τῶν προτάσεων μόνον, ἀλλὰ δὴ καὶ κατὰ τὴν ὕλην· ὥστε καὶ τὸ Α καθόλου τοῦ Γ. ἀλλ' ὑπέκειτο ὡς ἐπὶ τὸ πολύ. πῶς οὖν τὸ αὐτὸ καὶ ὡς ἐπὶ τὸ πολὺ καὶ καθ' αὐτὸ καὶ ἀεί; τοῦτο γὰρ ἀδύνατον. ὥστε κἀκεῖνο ἀδύνατον ᾧ τεθέντι τὸ ἀδύνατον ἠκολούθησεν. ἦν δὲ τοῦτο τὸ λέγειν τὸ μέσον καθόλου εἶναι, τοῦ συμπεράσματος ὄντος ὡς ἐπὶ τὸ πολύ. ἔσται ἄρα τῶν ὡς ἐπὶ τὸ πολὺ καὶ ὁ μέσος τοιοῦτος.

p. 96ᵃ 17 Ἔσονται τοίνυν καὶ τῶν ὡς ἐπὶ τὸ πολὺ ἀρχαὶ ἄμεσοι.

Εἰ ὁ μέσος οὕτως ἔχει, φησί, δι' οὗ αἱ προτάσεις διαρθροῦνται καὶ ἀπαρτίζονται, δῆλον ὅτι καὶ αἱ προτάσεις αἱ εἰς ἀπόδειξιν τοῦ ὡς ἐπὶ πολὺ προβλήματος παραλαμβανόμεναι τοιαῦται ἔσονται· ὡς καὶ ταύτας ἢ ὡς ἐπὶ τὸ πολὺ εἶναι ἢ ὡς ἐπὶ τὸ πολὺ γίνεσθαι. ἀρχὰς δὲ λέγει τὰς προτάσεις ὡς ἀμέσους τε καὶ ἀναποδείκτους. εἰ γὰρ μὴ ἐπ' ἄπειρον ἡ λῆψις τοῦ μέσου, ἀλλ' ἵσταταί που, δῆλον ὅτι ἔσονται ἄμεσοι ἐφ' ὧν ἡ λῆψις τοῦ μέσου ἵσταται.

p. 96ᵃ 20 Πῶς μὲν οὖν τὸ τί ἐστιν εἰς τοὺς ὅρους ἀποδίδοται.

Τῶν αἰτίων τετραχῇ διαιρουμένων εἰς ὑλικόν, εἰδικὸν ποιητικόν τε καὶ τελικόν, καὶ τούτων ἑκάστου μέσου λαμβανομένου καὶ τὴν ἀπόδειξιν ἀπαρτίζοντος, ἐπεὶ ὁ ὅρος τῶν λοιπῶν μέσων τῇ ἀποδείξει ἐστὶν ἁρμοδιώτατος μάλιστα, ὡς ἐξ ἀρχῆς εἴρηται, τούτου ἕνεκα καὶ τὸν περὶ τούτου λόγον πλείονα ἐν τῷ παρόντι βιβλίῳ πεποίηται, πρό τε τῶν λοιπῶν αἰτίων πολλὰ περὶ αὐτοῦ εἰρηκὼς καὶ νῦν αὖθις μετὰ τὸ εἰπεῖν περὶ τῶν αἰτίων ἁπάντων ἰδίως περὶ αὐτοῦ προστιθεὶς ἕτερα. ἐπειδὴ τοίνυν ἔλεγε πρότερον μήτε δι' ἀποδείξεως τὸν ὅρον μήτε μὴν ὅλως διὰ συλλογισμοῦ, ἀλλ' ἐν ἀποδείξει εὑρίσκεσθαι μέσον ἐν αὐτῇ λαμβανόμενον, ἔδει δέ τινος μεθόδου

---

3 ἐν τῷ πρὸ τούτου βιβλίῳ] Anal. post. A 31 p. 87ᵇ32 7 γὰρ] γοῦν Aa
τὰ om. Aa 9 ὁ A E 11 ποιῶν E δὴ om. E 14 ἀκολούθησιν a
20. 21 ἢ ὡς—εἶναι ἢ om. E 30 πρό τε] πρότερον E

ἡμῖν, δι' ἧς τὸν ὅρον εὑρήσομεν τῇ ἀποδείξει τὰ μάλιστα χρησιμεύοντα 88
καὶ ὑπὲρ τὰ λοιπὰ τῶν αἰτίων εἴδη οἰκειότατόν τε καὶ ἀναγκαιότατον αὐτῇ
ὑπάρχοντα, ταύτην νῦν ἡμῖν τὴν μέθοδον παραδίδωσιν, ἁπλῶς τε τὰ ἐν τῷ
τί ἐστι κατηγορούμενα πάντα πῶς θηρεύεται διδάσκων, κἀκ τῆς τούτων
5 ποιᾶς συνθέσεως τὸν ὅρον ἀποτελῶν, ἓν μὲν καὶ αὐτὸν τῶν ἐν τῷ τί ἐστι 25
κατηγορουμένων ὑπάρχοντα, ἔχοντα δέ τι ἴδιον παρὰ τὰ ἄλλα τὸ πρὸς τὸ
ὑποκείμενον ἀντιστρέφειν, μηδενὶ ἑτέρῳ ἢ ἐκείνῳ ἐφαρμόζοντα καὶ τὴν
οὐσίαν ἐκείνου δηλοῦντα. φησὶ τοίνυν ὅτι τῶν ἐν τῷ τί ἐστι κατηγορου-
μένων τὰ μὲν οὕτως ἔχει, ὡς καὶ τὸ γένος ὑπερτείνειν, εἰς ὃ τὸ ὑποκεί-
10 μενον ἀναφέρεται, τὰ δ' οὕτως, ὡς αὐτοῦ ὑπάρχειν ἐντός. οἷον εἰ τριὰς
τὸ προκείμενον εἴη, οὐ δεῖ τὸν ὅρον εὑρεῖν, ταύτης ἐν τῷ τί ἐστι τὸ ὄν
τε καὶ τὸ περιττὸν κατηγορεῖται· ἀλλὰ τὸ μὲν ὂν ὑπάρχει καὶ ἄλλοις ἃ 30
μὴ ἀριθμοί εἰσιν, ὥστε καὶ ὑπερτείνει τὸν ἀριθμόν, ὑφ' ὃν ὡς γένος ἀνα-
φέρεται ἡ τριάς, τὸ δὲ περιττὸν οὐδενὶ ὃ μὴ ἀριθμός ἐστιν. ἐκεῖνα μὲν
15 οὖν οὐκ ἐκλεκτέον, ὅσα τὸ γένος ὑπερβαίνει, ταῦτα δέ γε ὅσα τοῦ γένους
ὄντα ἐντὸς ἐν τῷ τί ἐστι τοῦ προκειμένου κατηγορεῖται, αὐτοῦ μὲν ἐπὶ
πλέον ὑπάρχοντα, ἀλλ' οὐχὶ καὶ τοῦ γένους. ληπτέον δὴ τὰ τοιαῦτα ἐπὶ
τοσοῦτον, ἕως ἂν πρώτη γένηται σύνθεσις, ἧς ἕκαστον μὲν μόριον ἐπὶ
πλέον ἔσται τοῦ προκειμένου, οὐ μὴν καὶ τὸ ἅπαν σύνθημα. πρώτην δὲ 35
20 λέγει σύνθεσιν, εἰς ἣν προϊόντες λόγον ἤδη ἔσχομεν πρὸς τὸ ὁριστὸν ἀντι-
στρέφοντα, ὡς εἶναι τὰ ἐπέκεινα ταύτης παρέλκοντα, αὐτάρκους οὔσης αὐτῆς
πρὸς ἀποπλήρωσιν ὁρισμοῦ· οἷον ἐπὶ τοῦ ἀνθρώπου ἐκλεγόμεθα τὰ μὴ τὸ
ζῷον ὑπερβαίνοντα τῶν κατηγορουμένων, τὸ λογικόν, τὸ θνητόν, τὸ νοῦ
καὶ ἐπιστήμης δεκτικόν· καὶ ταῦτα τῷ γένει συντιθέντες ὅταν πάντα
25 ἐπεξέλθωμεν, παραγινόμεθα πρώτως εἰς σύνθεσιν, ἥτις πρὸς τὸ ὁριστὸν
ἀντιστρέφει. οὐκέτι οὖν ἑτέρας προσθήκης δεόμεθα, ἵνα τυχὸν τὸ γελαστι- 40
κὸν ἢ τὸ δίπουν ἤ τι ἄλλο τῶν κατηγορουμένων ἐν τῷ τί ἐστι προστεθῇ.

Ἀπορήσειε δ' ἄν τις, πῶς τὰς διαφορὰς ἐν τῷ τί ἐστι κατηγορεῖσθαί
φαμεν, καίτοι διαφερούσας τοῦ γένους μάλιστα, τῷ ἐκεῖνο μὲν ἐν τῷ τί
30 ἐστι, ταύτας δὲ ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορεῖσθαι. ἢ αἱ διαφοραὶ καθ'
ἑαυτὰς μὲν ὡς ποιότητες λαμβάνονται καὶ ἐν τῷ ὁποῖόν τί ἐστι κατηγο-
ροῦνται, μετὰ δὲ τοῦ γένους συνειλημμέναι γένη τέ εἰσι, καὶ ἐν τῷ τί ἐστι
λέγονται. τὸ οὖν λογικὸν ὡς μὲν λογικότης ποιότης ἐστὶ καὶ ἐν τῷ ὁποῖόν 45
τί ἐστι τοῦ ἀνθρώπου κατηγορεῖται· λογικὸν γὰρ ὁ ἄνθρωπος ὡς μετέχων
35 λογικότητος, ὡς καὶ λευκὸν ὁ κύκνος ὅτι μετέχει λευκότητος· ὡς δέ γε
ζῷον τὸ λογικὸν γένος ἐστὶ καὶ ἐν τῷ τί ἐστι λέγεται. 'τί ἐστι' γὰρ 'ἄν-
θρωπος;' τινὸς ἐρωτήσαντος, ὁ ζῷον εἰπὼν λογικὸν οὐκ ἀπροσφυῶς ἀπο-
κέκριται. καὶ ἑκάστη τῶν διαφορῶν οὕτως, ἐπεὶ καὶ ὁ ὁρισμὸς τὸ γένος
ἔχων καὶ τὰς διαφορὰς ἐξ ὧν σύγκειται, οὐ πῇ μὲν ἐν τῷ τί ἐστι διὰ τὸ

---

1 δι' οὗ E 3 τὴν μέθοδον ἡμῖν coll. E 5 ἓν μὲν] ἕνα E 10 post ὡς add. καὶ E 13 καὶ om. E 18 ἂν om. Aa 22 ἀναπλήρωσιν E 27 ἢ τὸ ἄλλο E προστεθείη Aa 31 ἐν om. Aa 34 post γὰρ add. ζῷον E 35 ὅτι μετέχει] ὡς μετέχων E post γε add. τὸ E

γένος πῇ δ' ἐν τῷ ὁποῖόν τί ἐστι διὰ τὰς διαφορὰς ἀποδίδοται, ἀλλ' ὅλος ἐν τῷ τί ἐστιν, ὡς γένους οὔσης ἑκάστης διαφορᾶς, ἐπεὶ τῷ γένει συνείληπται, πασῶν δὲ μετὰ τοῦ γένους ὁρισμοῦ, ὡς τούτου ὄντος τοῦ εἴδους, ὃ τὸ ἅπαν δηλοῖ πρῶτον σύνθημα. τοῦτο τοίνυν τὸ πρῶτον σύνθημα, ὃ κατὰ πρόοδον γίνεται τὴν ἀπὸ τοῦ περιεκτικωτέρου ἐπὶ τὰ μερικώτερα, ἡ οὐσία ἐστὶν ἐξ ἀνάγκης τοῦ πράγματος. ἐπεὶ γὰρ ἐκ τῶν ἐν τῷ τί ἐστι κατηγορουμένων συνέστηκε μόνῳ τε ἁρμόζει τῷ πράγματι πρώτως, οὐδὲν | ἄλλο ἐστὶν ἢ οὐσία τοῦ πράγματος, ᾧ μόνῳ ἐφαρμόζον ἐν τῷ τί ἐστι περὶ αὐτοῦ λόγος ὢν ἀποδίδοται· ταῦτα γὰρ ἴδια τοῦ τί ἦν εἶναι.

Πῶς μὲν οὖν τὸ τί ἐστιν εἰς τοὺς ὅρους ἀποδίδοται, καὶ τίνα τρόπον ἀπόδειξις ἢ ὁρισμός ἐστιν αὐτοῦ ἢ οὐκ ἔστιν, εἴρηται πρότερον. μετὰ τὸν περὶ τῶν αἰτίων λόγον ἐπανελθεῖν αὖθις βουλόμενος εἰς τὸν ὁρισμὸν ἕτερά τε προσθεῖναι περὶ αὐτοῦ ἐφ' οἷς πρότερον εἴρηκε, μέθοδόν τε παραδοῦναι πῶς δεῖ εὑρίσκειν τοὺς ὁρισμούς, ἐπαναλαμβάνει κεφαλαιωδῶς ὅσα περὶ αὐτοῦ φθάσας ἔδειξεν, ὅτι τε μέσος ὅρος οὗτος τίθεται ἐν ταῖς ἀποδείξεσι, καὶ ὅτι ἀπόδειξις μὲν οὐκ ἔστιν αὐτοῦ, ὥστε δείκνυσθαι δι' αὐτῆς ὅτι οὗτος ὁ λόγος τοῦδε τοῦ πράγματος ὁρισμός ἐστι, κατὰ συμβεβηκὸς δὲ ἀναφαίνεται ἐν τῇ ἀποδείξει μέσον ὅρον λαμβανούσῃ τὸ ὡς εἶδος τοῦ πράγματος αἴτιον. καὶ ὅτι ὁρισμὸς αὐτοῦ ὁ μὲν κατὰ τοὔνομα λαμβανόμενος εἰ καὶ δόξει ἴσως τινὶ εἶναι ὁρισμός, ἀλλά γε οὐκ ἔστι κατὰ ἀλήθειαν, ὁ δὲ κατὰ τοὺς ἑτέρους τρεῖς τρόπους ἐστίν, ὅ τε λέγων λόγος τοῦ τί ἐστιν ἀναπόδεικτος, καὶ ὁ λέγων συλλογισμὸς τοῦ τί ἐστι πτώσει διαφέρων τῆς ἀποδείξεως, καὶ ὁ λέγων τῆς τοῦ τί ἐστιν ἀποδείξεως συμπέρασμα. τὸ δὲ πῶς τὸ τί ἐστιν εἰς τοὺς ὅρους ἀποδίδοται διττῶς ἔστιν ἐκλαβεῖν· ἢ γὰρ ὅτι ποῦ ἐν τοῖς ὅροις τῆς ἀποδείξεως τὸ τί ἐστι καὶ ὁ ὁρισμὸς τάττεται, καὶ ποῖος τόπος αὐτῷ ἀπονέμεται (καὶ εἴρηται ὅτι ἐν μέσῳ τάττεται), ἢ ὅτι πῶς τοὺς ὁρισμοὺς ὁριζόμεθα. τὸ γὰρ τί ἐστιν ὁ ὁρισμός ἐστι, καὶ τὸ ἀποδίδοσθαι τὸ τί ἐστιν εἰς τοὺς ὁρισμοὺς οὐκ ἔστιν ἄλλο ἢ τὸ ὁρίζεσθαι τοὺς ὁρισμούς. καὶ δόξειεν ἂν κατὰ ταύτην τὴν ἐκδοχὴν ὁ Ἀριστοτέλης ταυτολογεῖν, διότι καὶ ἑξῆς τὸ αὐτὸ λέγων φαίνεται· τὸ γὰρ ἢ ὁρισμός ἐστιν αὐτοῦ ἢ οὐκ ἔστι ταὐτὸν δύναται τούτῳ. ἀλλ' ἔστιν εἰπεῖν ὡς πρῶτον ἀθρόον εἰπών, πῶς τὸ τί ἐστιν εἰς τοὺς ὅρους ἀποδίδοται, ἐφερμηνεύει διὰ τῶν ἑξῆς τὸ ῥηθέν, ἤγουν τίνα τρόπον ἀπόδειξις ἢ ὁρισμός ἐστιν αὐτοῦ ἢ οὐκ ἔστιν, ἵν' ἡ μὲν ἀπόδειξις διὰ τοὺς συλλογιστικοὺς ὅρους λέγοιτο ὡς ἔστιν αὐτοῦ ἀπόδειξις, μέσου τιθεμένου τοῦ ὁρισμοῦ ἐν τοῖς ὅροις τῆς ἀποδείξεως, ὁρισμὸς δὲ αὐτοῦ ὡς ἔστι μὲν κατὰ τοὺς τρεῖς τρόπους, κατὰ δὲ τὸν ἕνα οὐκ ἔστι.

---

1 ὅλως Aa 2 γένους] γένος E 5 τοῦ] τῶν E 8 ἐφαρμόζων Aa
12 λόγων E 13 post οἷς add. τὸ Aa 16 τίθεται transp. post ἀποδείξεσι
21 ἑτέρους om. E 26 καὶ ποῖος — ἀπονέμεται om. E 32 ὡς πρῶτον] ὥσπερ τῷ Aa εἰπεῖν E 33 ὅρους] ὁρισμοὺς E 35 μέσων E

p. 96ᵃ22 Πῶς δὲ δεῖ θηρεύειν τὰ ἐν τῷ τί ἐστι κατηγορούμενα, νῦν λέγωμεν. 89

Ἐντεῦθεν ἡ πρόθεσις αὐτῷ τοῦ πῶς δεῖ ὁρισμὸν εὑρίσκειν ἀναγκαῖον τὰ μάλιστα τῇ ἀποδείξει τυγχάνοντα. ἡ μὲν γὰρ ὁριστικὴ μιμεῖται τὴν φύσιν τὰς οὐσίας τῶν πραγμάτων ἀποτελοῦσαν, ἡ δὲ ἀποδεικτικὴ μιμεῖται τὴν φύσιν τὰ συμβεβηκότα ταῖς οὐσίαις περιτιθεῖσαν εἰς ἐπικόσμησιν. ὥσπερ οὖν πρότεραι φύσει τῶν συμβεβηκότων αἱ οὐσίαι ὑπάρχουσιν, οὕτω δεῖ προηγεῖσθαι τοὺς ὁρισμοὺς τῶν ἀποδείξεων. διὰ τοῦτο καὶ κυρίως καὶ κατὰ πρῶτον λόγον ἀπόδειξις ἡ διὰ μέσου τοῦ ὅρου τὸ καθ' αὑτὸ συμβεβηκὸς συμπεραίνουσα, ἡ δὲ ταύτης ἀνάπαλιν κατὰ δεύτερα μέτρα καὶ οὐ κυρίως ἀπόδειξις. προσφυῶς δὲ ἄγαν τὸ θηρεύειν τέθειται. ὡς γὰρ ἐν συγκεχυμένῃ τινὶ καὶ ἀφωτίστῳ ὕλῃ τε καὶ δασύτητι τῇ ἐκ τῆς γενέσεως ἀγνοίᾳ τὰ πράγματα συγκεκρύφαται· ἰχνηλατῶν δὲ ὁ νοῦς ἐκ τῶν τῇ αἰσθήσει ἢ καὶ ἄλλως ληπτῶν ὡς ἰχνῶν, πρὸς τὴν τῶν οὐσιῶν κατάληψιν ἔρχεται. περὶ τοῦ ὁρισμοῦ δὲ εἰπεῖν προθέμενος, περὶ τῶν ἐν τῷ τί ἐστι κατηγορουμένων ἁπλῶς ποιεῖται τὸν λόγον. τῶν μὲν γὰρ ἐν τῷ τί ἐστι καὶ ὁ ὁρισμὸς καὶ τὸ γένος καθ' ἑαυτὸ καὶ ἡ διαφορὰ μετὰ τοῦ γένους, ἀλλ' ὁ μὲν ἐξισάζει, τὰ δ' οὔ. ἐκεῖνα μὲν οὖν μέρη τοῦ ὁρισμοῦ, ὁ δ' ἔστι συγκείμενος ἐξ αὐτῶν. θηρεύοντες οὖν τὰ γένη πρότερον, οὕτως ἐξ αὐτῶν κατὰ πρόοδον τὸ ὅλον εὑρίσκομεν συντιθέμενον. καὶ μιμεῖται οὕτω τὴν φύσιν ἡ ἐπιστήμη ἐκ τῶν ἀτελῶν τε καὶ κοινοτέρων ἐπὶ τὰ τελειότερα προϊοῦσαν καὶ εἰδικώτερα. αὐτή τε γὰρ ἡ φύσις ἐν ταῖς γενέσεσι τὸ ὡς ὅλην ἀεὶ πρότερον τοῦ μετ' αὐτὸ ὑποτίθησιν, ἐπιφέρει δὲ κατὰ προκοπὴν τὰ εἰδητικώτερα, ἔστ' ἂν εἰς αὐτὸ τέλειον καταντήσῃ τὸ προτεθέν, ἥ τε ἐπιστήμη τὰ γενικώτερα πρότερον εὑρίσκουσα ἐπὶ τὰ εἰδικώτερα πρόεισιν, ἔστ' ἂν τελευταῖον τὸ τέλειον εἶδος καὶ τὸν λόγον ἀποδώσει τοῦ προκειμένου. 90 91 92 93 94 95

p. 96ᵃ24 Τῶν δὴ ὑπαρχόντων ἀεὶ ἑκάστῳ ἔνια ἐπεκτείνει ἐπὶ πλέον.

Τὸ ἀεί ἐνταῦθα ὡς τὸ ἐξ ἀνάγκης δεῖ νοεῖν. ἐξ ἀνάγκης δὲ κυρίως ὑπάρχουσι τὰ μήτε ἐνεργείᾳ μήτε ἐπινοίᾳ χωρίζεσθαι δυνάμενα· ταῦτα δέ ἐστι τὰ οὐσιωδῶς ὑπάρχοντα, ταὐτὸν δὲ εἰπεῖν τὰ εἰς τὴν τῆς οὐσίας συμπλήρωσιν συμβαλλόμενα ἢ καὶ αὐτὸ τὸ εἶδος τοῦ πράγματος· τῶν γὰρ ἀεὶ καὶ τοῦτό ἐστιν. οὐ πάντα οὖν, φησί, τὰ οὕτως ὑπάρχοντα ἐξισάζοντά 96 97 98 99

---

2 λέγομεν Aa: om. E 4 ὁριστικοὺς a 7 δεῖ] δὴ a 17 ὁ om. E
18 ante ἐκεῖνα add. καὶ E οὖν om. E 19 γένη] μέρη E 22 εἰδικώτερον Aa αὐτούς τε a 22. 23 τὸ ὡς ὅλην] τῷ ὡς ὕλη προϋποτίθησιν Aa
23 τὸ μετ' αὐτὸ Aa ὑποτίθησιν] ὑποκείμενον Aa 24 τὸ εἰδικώτερον Aa
25 πρότερα E 30 ὡς τὸ] ὡς καὶ E 32 τὰ ante εἰς om. E

ἐστι πρὸς τὸ ὑποκείμενον, ἀλλ' ἔστιν ἃ καὶ ὑπερτείνει καὶ ἐπὶ πλέον 89
αὐτοῦ ἐστι.

p. 96ᵃ25 Λέγω δὲ ἐπὶ πλέον ὑπάρχειν.

Ἑρμηνεύει τὸ ἐπὶ πλέον. ἐκεῖνα, φησί, λέγω ἐπὶ πλέον, ὅσα ὑπάρχει
5 μὲν καθόλου τισίν, οὐ μόνοις δὲ αὐτοῖς, ἀλλὰ καὶ ἑτέροις ἔξωθεν οὖσιν
αὐτῶν. εἰπὼν δὲ ταῦτα διαίρεσιν τῶν ἐπὶ πλέον ποιεῖται τιθεὶς καὶ τῶν 50
λεγομένων σαφῆ παραδείγματα.

p. 96ᵃ27 Οἷον ἔστι τι ὃ πάσῃ τριάδι ὑπάρχει, ἀλλὰ καὶ μὴ τριάδι, ὥσπερ τὸ ὂν ὑπάρχει τῇ τριάδι, ἀλλὰ καὶ μὴ ἀριθμῷ.

10 Διαιρεῖ δὴ τὰ ὑπάρχοντα ἐπὶ πλέον εἰς τὰ ἔξω τοῦ γένους καὶ εἰς
τὰ μὴ ἔξω. πρότερον μὲν γὰρ εἰς τὰ ὑπερτείνοντα καὶ μὴ ὑπερτείνοντα τὴν
διαίρεσιν ἐνέφαινε, νῦν δὲ ὑποδιαιρεῖ τὰ ὑπερτείνοντα | εἰς τὰ ἔξω τοῦ 90
γένους καὶ μή. λαβὼν γὰρ τὴν τριάδα ὡς ὑποκείμενόν φησιν αὐτῇ ὑπάρχειν
τὸ ὄν· τοῦτο δὲ ὑπερτείνει οὐ μόνον τὴν τριάδα, ἀλλὰ καὶ τὸ γένος αὐτῆς
15 τὸν ἀριθμόν. πολλὰ γὰρ ὄντα μέν, ἀλλ' οὐχὶ καὶ ἀριθμοί, οἷον ἄνθρωπος,
ἵππος, ψυχή, νοῦς, τρίπηχυ καὶ πλεῖσθ' ἕτερα.

p. 96ᵃ29 Ἀλλὰ καὶ τὸ περιττὸν ὑπάρχει τε πάσῃ τριάδι.

Τοῦτο παράδειγμα τῶν ἐπὶ πλέον μὲν τοῦ ὑποκειμένου ἀλλ' οὐχὶ καὶ
ἔξω τοῦ γένους· εἰ γὰρ καὶ ἄλλοις ὑπάρχει μὴ τριάσιν οὖσι τὸ περιττόν,
20 οἷον πεντάδι, ἑβδομάδι, ἐννεάδι καὶ πολλοῖς ἄλλοις, ὅσοι οὐδέποτ' εἰς ἴσα
τὸν ἀριθμὸν ἀλλ' εἰς ἄνισα διαιρεῖσθαι πάντως πεφύκασιν, ἀλλὰ πάντα
ἀριθμοὶ ταῦτα, καὶ οὐδὲν περιττόν, ὃ μὴ ἀριθμός ἐστιν. ἔχει δὲ ἀπορίαν,
εἰ καὶ μὴ πρὸς τὸ προκείμενον ἴσως ἀλλ' αὐτὴν καθ' αὑτήν, πῶς τὸ ὂν 10
ὑπάρχειν τινὶ ἢ κατηγορεῖσθαί τινος λέγεται, ἢ δὴ καὶ τὸ ἐστίν· οὐ γὰρ
25 διαφέρει ταῦτα ἀλλήλων ἀλλ' ἢ μόνῳ τῷ τῆς λέξεως σχήματι. δῆλον δέ·
καὶ γὰρ ὅταν λέγωμεν 'ὄν ἐστιν ὁ ἄνθρωπος', εἶτα τὸ ὂν ἀφελόντες 'ἔστιν
ὁ ἄνθρωπος' εἴπωμεν, οὐδὲν διοίσει. ὅπερ ἐπ' οὐδενὸς ἰδεῖν ἔστι τῶν
λοιπῶν κατηγορημάτων· οὐ γὰρ ταὐτὸν ποσόν τε εἶναι εἰπεῖν καὶ εἶναι
ἁπλῶς, οὐδὲ ποιὸν οὐδέ τι τῶν ἄλλων. ὅταν οὖν 'ἄνθρωπός ἐστι' φῶμεν
30 μηδὲν προσθέμενοι ἕτερον, πῶς τὸ ἔστι κατὰ τοῦ ἀνθρώπου λέγεται; 15
οὐσιωδῶς ἢ κατὰ συμβεβηκός; εἰ μὲν κατὰ συμβεβηκός, ἐνδέχεται καὶ μὴ
εἶναι, καὶ οὐδὲν ἀφαιρούμενον τῷ ὑποκειμένῳ λυμαίνεται, ὥσπερ καὶ τὸν
περιπατοῦντα μὴ περιπατεῖν ἐνδέχεται, καὶ εἰ μὴ περιπατεῖ, οὐ διὰ τοῦτο

---

1 ἐστι] εἰσι Aa 6 δὲ] δὴ Aa καὶ] ἐκ Aa 8. 9 lemma om. E
10 δὴ om. Aa 17 post πάσῃ add. τῇ E 20 ἄλλοις om. E εἰς om. a
21 τῷ ἀριθμῷ E πάντως διαιρεῖσθαι coll. E 24 ἢ (post τινὶ)] ἀεὶ Aa
30 προθέμενος Aa ἕτερον] ὕστερον a

οὐκ ἔστιν ὃ κατ' οὐσίαν ἐστίν. ἀλλ' εἰ τοῦτο, ἔσται καὶ μὴ ὄν, καὶ ἡ ἀντίφασις ἀληθὴς ἐν ταὐτῷ κατ' ἄμφω τὰ μόρια. εἰ δὲ ταῦτα ἀδύνατα, ἢ ὡς γένος ἔσται ἢ ὡς διαφορὰ ἢ ὡς εἶδος τὸ εἶναι καὶ τὸ ὂν καὶ τὸ ἐστὶ κατὰ πάντων κατηγορούμενον· ταῦτα γὰρ τὰ οὐσιωδῶς κατηγορούμενα παραδέδοται. ἀλλ' εἰ μὲν ὡς γένος, κοινὸν ἔσται γένος ἁπάντων, καὶ οὐ δέκα αἱ πρῶται ἀρχαί, ἀλλὰ μία. ἀλλ' εἴρηται ὅτι δέκα, καὶ οὐδὲν ἁπάσαις κοινὸν ἢ τοὔνομα μόνον, τὸ ὂν τυχὸν ἢ τὸ ἓν ἤ τι τοιοῦτον ἕτερον. εἰ δὲ μὴ γένος κοινόν, πολλοῦ γε δεῖ διαφορὰ ἢ εἶδος· ἐλάττω γὰρ ταῦτα καὶ ἐπ' ἔλαττον τοῦ γένους ἀμφότερα. πῶς οὖν ἂν εἴη τοῦτο πάντων ἅμα κατηγορούμενον;

Λέγεται μὲν οὖν ὡς οὔτε γένος οὔτε τι τῶν τοιούτων τὸ ὂν ἢ τὸ ἐστίν, ἀλλ' οἰκείως κατηγορούμενον. καὶ ἔστι μὲν ἴσως ἀληθές, μέχρι δὲ τοσούτου λεγόμενον ἔοικεν ὥσπερεὶ τῷ ἀμβλώματι, μὴ τελείαν παριστῶν τοῦ θεωρουμένου τὴν διάπλασιν καὶ τὴν μόρφωσιν. δεῖ δὴ προσθεῖναί τι τῷ λόγῳ πρὸς τὴν τελείωσιν. τὸ μὲν οὖν ἁπλῶς ὂν καὶ οὐχ ὡς τόδε τι ὂν κυρίως ταύτην τὴν κλῆσιν ἔσχηκε, τῶν δὲ δέκα ἕκαστον οὐχ ὡς ἁπλῶς ὂν ἀλλ' ὡς τόδε τι ὄν, ἤγουν ποιὸν ἢ ποσὸν ἢ πρός τι ἤ τις ἄλλη τῶν κατηγοριῶν, καὶ οὐδὲν μᾶλλον ὂν ἢ μὴ ὂν τούτων ἕκαστον· καθ' ἓν γὰρ ὄν, ὅ ἐστι, κατὰ τὰ λοιπὰ οὐκ ἔστιν. τὸ γὰρ τὶ ὡς οὐσία μέν ἐστιν, οὐχὶ δὲ καὶ ὡς ποσὸν καθ' αὑτό, οὐδ' ὡς ποιὸν ἤ τι ἄλλο, εἰ μήπου κατὰ συμβεβηκός, τῷ τι ἐκείνων ἐν ταὐτῷ συνελθεῖν αὐτῷ. πάντα γὰρ δὴ ταῦτα ἐκ τοῦ πρώτως ὄντος μετεσχηκότα τοῦ τε εἶναι καὶ τοῦ ὄντα λέγεσθαι οἰκείως ἑαυτῷ ἕκαστον αὐτῶν τὴν κλῆσιν ταύτην ἀπομερίζεται, τὸ μὲν ὡς οὐσία, τὸ δ' ὡς ποσόν, τὸ δ' ἄλλο τι· πᾶν γὰρ τὸ μετέχον οἰκείως ἑαυτῷ μετέχει τῆς τοῦ μετεχομένου φύσεως. οἰκείως οὖν ἑκάστῳ ἐφαρμοζόμενον τὸ ὂν καὶ τὸ εἶναι καὶ τὸ ἐστὶν οἰκείως κατηγορούμενον λέγεται, καὶ οὔτε γένος οὔτε εἶδος οὔτε διαφορὰ οὔτε ἴδιον οὔτε συμβεβηκός· ἀναιρουμένου δὲ τοῦ εἶναι ἀπό τινος αὐτῶν ἀναιρεῖται ἡ οἰκεία αὐτοῦ μετοχή, καθ' ἣν τοῦ ὄντος μετέσχηκεν, ὥστε καὶ αὐτὸ ἐξ ἀνάγκης ἀνῄρηται τὸ εἶναι ἔχον ἐν τῷ μετέχειν τοῦ ὄντος, οὗ ἀναιρουμένου καὶ αὐτὸ ἐξ ἀνάγκης συναναιρεῖται. λέγεται δὲ ὁμώνυμος φωνὴ οὐχ ὡς ἔτυχεν, ἀλλ' ὡς τὰ ἀφ' ἑνός, οἷς μετουσία οὐ μόνον φωνῆς τῆς αὐτῆς ἀλλά γε καὶ πράγματος. τὸ γὰρ ἰατρικὸν βιβλίον καὶ φάρμακον καὶ ὄργανον καὶ διαίτημα καὶ γυμνάσιον, ἐκ τοῦ αὐτοῦ λεγόμενα τῆς ἰατρικῆς τέχνης καὶ πρὸς τὸ αὐτὸ τέλος τὴν ὑγείαν συντείνοντα, οὐκ ὀνόματος μόνον ἀλλήλοις, ἀλλὰ καὶ πράγματος κεκοινώνηκεν, οἰκείως ἕκαστον ἑαυτῷ μετέχοντα τῆς ἰατρικῆς. ὅρα δὲ ὅτι καὶ ὁ Ἀριστοτέλης ἐνταῦθα μετὰ τῶν ὑπαρχόντων τοῖς πράγμασι τὸ ὂν συνέταξε, δηλῶν ὅτι οὐκ ὀνόματος μόνου κατὰ τὸ ὂν ἀλλὰ καὶ πράγματος κεκοινώνηκε.

---

4 πάντων κατηγορούμενα Aa 6 αἱ om. E 16 ante κυρίως add. καὶ Aa
17 post ἤγουν add. τί. ἢ Aa 18 γὰρ om. Aa 19 post οὐκ ἔστι add. ἅπερ οὐκ ἔστι Aa 20 εἰ] ἢ a 21 γὰρ om. Aa 22 πρώτου E
25. 26 ἐφαρμόζον E 29 ἀνῃρημένον E 34 τέχνης om. Aa

p. 96a 32 Τὰ δὴ τοιαῦτα ληπτέον μέχρι τούτου. 45

Οὐ πάντα, φησί, τὰ ὑπάρχοντα δεῖ λαμβάνειν πρὸς τὴν τοῦ ὁρισμοῦ εὕρεσιν· οὐ γὰρ δὴ καὶ τὰ τοῦ γένους ἐπέκεινα, ἀλλ' ἢ ὅσα τοῦ γένους ἐντός, καὶ οὐδὲ πάντα ταῦτα, ἀλλὰ μέχρι τοσούτου, ἕως οὗ τοσαῦτα ληφθῇ ὅσα αὐτάρκη ἐστὶ πρὸς τὸ ἐξισάσαι τῷ ὁριστῷ ὡς ἓν ὁμοῦ πάντα λαμβανόμενα, εἰ καὶ καθ' ἑαυτὸ ἕκαστον αὐτῶν ἐπὶ πλέον αὐτοῦ ἐστι. πλὴν 50 κατὰ τὴν προσήκουσαν τάξιν δεῖ ποιεῖσθαι τὴν λῆψιν ἐκ τῶν προτέρων ἀεὶ ἐπὶ τὰ ἐφεξῆς προϊόντας καὶ μηδὲν παραλείποντας, μέχρι δὲ τούτου προϊέναι, ἕως οὗ πρῶτον γένηται σύνθημα πρὸς τὸ ὑποκείμενον ἐξισάζον. ἐνδέχεται γὰρ καὶ προσθήκης γενομένης εἰσέτι ἐξισάζειν τὸ συντεθέν, ἀλλὰ περιττόν ἐστιν εὑρόντας ἅπαξ τὸν λόγον ἐξισάζοντα εἰσέτι προστιθέναι. |

p. 96a 34 Ταύτην γὰρ ἀνάγκη οὐσίαν εἶναι τοῦ πράγματος. 91

Τοῦ γένους γὰρ ληφθέντος καὶ τῶν ἄλλων κατὰ τάξιν, ὅσα τούτῳ συνειλημμένα ἐν τῷ τί ἐστι τοῦ ὑποκειμένου λέγεται οὐσιωδῶς αὐτῷ ὑπάρχοντα, ὡς εἶναι τὸ ἅπαν σύνθημα ἐξισάζον τῷ ὁριστῷ, τί ἄλλο τοῦτο ἢ ὁρισμὸς ἐξ ἀνάγκης ἔσται;

p. 96a 35 Οἷον τριάδι ὑπάρχει πάσῃ ἀριθμός, τὸ περιττόν. 5

Ἔστω δή, φησί, πάλιν ἡ τριὰς εἴς τι παράδειγμα. ταύτης γένος ὁ ἀριθμός, καὶ τὰ ἐντὸς τοῦ γένους ἐφεξῆς λαμβανόμενα τῶν καθ' αὑτὸ ὑπαρχόντων αὐτῇ τὸ περιττόν, τὸ πρῶτον ἀμφοτέρως. οἱ μὲν γὰρ ἄρτιοι 10 πάντες ἀριθμοὶ εἰς ἴσα δύνανται τέμνεσθαι καὶ μετρεῖσθαι δύνανται ὑπὸ τῶν ἴσων εἰς ἃ διαιροῦνται, ἢ δὶς ὧν ἕκαστος αὐτῶν τόδε ἢ τόδε, ἢ τρὶς ἢ τετράκις ἢ ὅπως ἑτέρως, καὶ διὰ τοῦτο δεύτερός ἐστιν ἕκαστος τοῦ μετροῦντος αὐτόν. τῶν δὲ περιττῶν πάντως εἰς ἄνισα διαιρουμένων κατὰ τὴν εἰς δύο τὰ μέγιστα πηλικότητι τομήν, οἱ μὲν καθ' ἑτέραν τομὴν εἰς ἴσα τέμνεσθαι δύνανται, ὡς ὁ ἐννέα, ὁ δέκα πέντε, ὁ κα, ὁ κε· τοὺς δὲ ἀδύνατον ὅλως τέμνεσθαι εἰς ἴσα, οἷός ἐστιν ὁ πέντε, ὁ ἑπτά, ὁ δέκα τρία. ἐκεῖνοι μὲν οὖν δεύτεροι καὶ σύνθετοί εἰσι κατ' ἄμφω, καὶ ὡς ἐξ 15 ἀριθμοῦ ἢ ἀριθμῶν συγκείμενοι καὶ ὡς ὑπ' ἀριθμοῦ ἢ ἀριθμῶν μετρεῖσθαι δυνάμενοι· οἱ δὲ ὡς μὲν ἐξ ἀριθμῶν συγκείμενοι δεύτεροι, ὡς δὲ μὴ ὑπ' ἀριθμοῦ ἢ ἀριθμῶν μετρεῖσθαι δυνάμενοι πρῶτοί εἰσιν. ὁ δὲ τρία πρῶτος κατ' ἄμφω ὡς μήτε ἐξ ἀριθμοῦ ἢ ἀριθμῶν συγκείμενος μήτε ὑπ' ἀριθμοῦ ἢ ἀριθμῶν μετρούμενος, ἀλλὰ μόνον ἔχων μέτρον τὸ κοινὸν τὴν μονάδα.

---

2 Οὐ πάντα] Ἅπαντα E 5 εἰσὶ E 8 ἑξῆς E 11 ἅπαξ εὑρόντας coll. E
12 lemma om. E 17 ἀριθμός om. E 20 αὐτῇ] αὐτῷ E 21 δύνανται (post ἴσα)] δυνάμενοι Aa 23 ὅπως] ὅσως Aa 25 μέγιστα κατὰ πηλικότητα E
27 εἰς ἴσα τέμνεσθαι coll. E 30 δὲ μὴ] μηδὲ E 31 πρῶτον E

ἐπεὶ δὲ τοῦτο πρόσεστι καὶ τῇ δυάδι, τῆς μὲν τῷ περιττὸς εἶναι, ἐκείνων 91
δὲ πάντων τῷ κατ' ἄμφω πρῶτος εἶναι διήνεγκε.

p. 96a37 Τοῦτο τοίνυν ἤδη ἐστὶν ἡ τριάς.

Ἕκαστον ἰδίᾳ τῶν οὐσιωδῶς κατηγορουμένων τῆς τριάδος λαβὼν
5 ἐπειδὴ μέχρι τοσούτου διῆλθεν, ὡς δύνασθαι πάντων ἡνωμένων ἐξισάζειν
τῇ τριάδι τὸ πᾶν κατηγόρημα, ἑνοῖ τε τὰ πάντα καὶ τοῦτο εἶναι τὴν 25
τριάδα φησίν, ἀριθμὸν περιττὸν πρῶτον καὶ ὡδὶ πρῶτον, ἤγουν κατ' ἄμφω
τοὺς τρόπους καθ' οὓς πρῶτος ἀριθμὸς λέγεται, κατά τε τὸ μὴ μετρεῖσθαι
ἀριθμῷ καὶ μὴ συγκεῖσθαι ἐξ ἀριθμοῦ. ὅτι δὲ τοῦτό ἐστιν ἡ τριὰς κατα-
10 σκευάζει φάσκων ὅτι οὐδενὶ ἑτέρῳ ὁ λόγος οὗτος ἢ μόνῃ τῇ τριάδι ἐφαρ-
μόττει. ἕκαστον γὰρ τῶν ληφθέντων, φησίν, ἰδίᾳ μὲν καὶ καθ' ἑαυτὸ
λαμβανόμενον τὰ μὲν καὶ τοῖς περιττοῖς πᾶσιν ὑπάρχει, οἷον ὁ ἀριθμός, τὸ
περιττόν· πάντες γὰρ οὗτοι ἀριθμοί τέ εἰσι καὶ περιττοί, τινὲς δὲ καὶ 30
πρῶτοι, ἀλλὰ καθ' ἓν τὸ μὴ μετρεῖσθαι ὑπ' ἀριθμοῦ, ὡς ὁ πέντε, ὁ ἑπτά,
15 ὁ ἕνδεκα καὶ οἱ τούτοις ὅμοιοι, κατὰ δὲ τὸ μὴ συγκεῖσθαι ἐξ ἀριθμῶν
οὐχί· σύγκεινται γὰρ ὁ μὲν ἐκ τοῦ δύο καὶ τρία, ὁ δὲ ἐκ τοῦ τρία καὶ
τέσσαρα ἢ δύο καὶ πέντε, ὁ δὲ ἐκ τοῦ πέντε καὶ ἓξ ἢ ἄλλως πως, καὶ οἱ
ἑξῆς ὁμοίως. τὸ δὲ πρῶτον οὕτως, ὡς μήτε μετρεῖσθαι ἀριθμῷ μήτε
συγκεῖσθαι ἐξ ἀριθμοῦ ἢ ἀριθμῶν, τοῖς μὲν περιττοῖς οὐχ ὑπάρχει (οὐδεὶς
20 γὰρ αὐτῶν ἄμφω ἔχει ταῦτα) ὑπάρχει δὲ τῇ δυάδι· περιττὴ μὲν γὰρ οὐχ 35
ὑπάρχει, ὡς ἐκεῖνοί τε καὶ ὁ τρία αὐτός, πρώτη δὲ κατ' ἄμφω ἐστίν, ὡς
ἐκ μονάδος τε συγκειμένη μόνης, καὶ ὑπ' αὐτῆς μόνης μετρουμένη. τοῦτο
δὲ ἴδιον ὁρισμοῦ, τὸ ἐκ τῶν οὐσιωδῶν συγκείμενον μηδενὶ ἑτέρῳ ἢ ἐκείνῳ
ἐφαρμόζειν περὶ οὗ ἀποδίδοται.

25 p. 96b1 Ἐπεὶ δὲ δεδήλωται ἡμῖν ἐν τοῖς ἄνω.

Μέθοδον ἡμῖν παραδούς, δι' ἧς τὰ ἐν τῷ τί ἐστι θηρεύσομεν καὶ
τὸν ἐξ αὐτῶν συγκείμενον λόγον εὑρήσομεν, ἐπειδὴ μὴ ἱκανὸν τῷ εὑρισκο- 40
μένῳ λόγῳ πρὸς τὸ εἶναι αὐτὸν ὁρισμὸν τὸ ἐν τῷ τί ἐστι μόνον κατη-
γορεῖσθαι (οὐ γὰρ πᾶν τὸ ἐν τῷ τί ἐστι κατηγορούμενον ὁρισμός, ἀλλ' ἐστὶ
30 καὶ τὸ γένος ἐν τῷ τί ἐστι) κανόνα ἡμῖν ἐνταῦθα παραδίδωσι, δι' οὗ δια-
κρινοῦμεν τοῦ γένους τὸν ὁρισμόν. καὶ πρῶτον μέν φησιν ὅτι τὰ οὕτως
εὑρισκόμενα ἀναγκαῖά ἐστι, καὶ ταῦτα ὑπάρχει τὸ προκείμενον. ἐν τῷ τί
ἐστι γὰρ κατηγοροῦνται, τὰ δὲ ἐν τῷ τί ἐστι καθόλου, τὰ καθόλου δὲ καθ'
αὑτὸ καὶ ᾗ αὐτό, ὃν τρόπον ἐν τῷ πρὸ τούτου βιβλίῳ τὸ καθόλου ἀπεδίδοτο, 45
35 τὰ δὲ καθ' αὑτὸ καὶ ᾗ αὐτὸ ἀναγκαῖα· τὰ ἐν τῷ τί ἐστιν ἄρα ἀναγκαῖα.
ἐπεὶ τοίνυν εἴτε ἐπὶ τῆς τριάδος εἴτε ἐπ' ἄλλου ὁτουοῦν τὰ οὕτως λαμβα-

---

1 πρόσεστι om. Aa 5 προῆλθεν Aa 9 ἀριθμῷ—συγκεῖσθαι om. E
10 ἑτέρῳ om. E 12 ὁ om. E 14 τὸ om. Aa 20 post δυάδι add. ἡ E
γὰρ om. E 23 ἑτέρῳ om. E 34 ἐν τῷ πρὸ τούτου βιβλίῳ] Anal. post. A 4
p. 73b26 36 τῆς om. Aa

νόμενα, ὥστε ἐν τῷ τί ἐστι κατηγορεῖσθαι, ἀναγκαῖά ἐστιν, εἴη ἂν ἐξ 91
ἀνάγκης ταῦτα τὸ ὑποκείμενον, καὶ τέως ἔχομεν ἤδη ὅτι ἐξ ἀνάγκης ταῦτα
τοῦ ὑποκειμένου κατηγορεῖται. ὅτι δὲ καὶ ἡ οὐσία καὶ ὁ ὁρισμὸς τοῦ ὑπο-
κειμένου ταῦτά ἐστιν, ἐκ διαιρέσεως δείκνυται. πᾶν τὸ ἐν τῷ τί ἐστι
5 κατηγορούμενον ἢ ὁρισμὸς ἢ γένος ἐστίν· οὔτε γὰρ διαφορὰ οὔτε ἴδιον οὔτε 50
μὴν συμβεβηκὸς ἐν τῷ τί ἐστι κατηγορεῖται, ἀλλ' ἢ μόνον γένος καὶ εἶδος.
τὸ δὲ εἶδος καὶ ὁ ὅρος ταὐτόν. ἐν τῷ τί ἐστιν ἄρα τὸ εὑρημένον κατη-
γορούμενον ἢ γένος ἂν εἴη ἢ ὁρισμός· καὶ εἰ γένος, ἢ ὠνομασμένον ἢ
ἀνώνυμον. ὠνομασμένον δὲ λέγεται γένος τὸ ὀνόματι δηλούμενον, ἤτοι
10 φωνῇ ἐνάρθρῳ καὶ σημαντικῇ μιᾷ καὶ ἁπλῇ. λεγέσθω γὰρ νῦν κοινῶς
ὀνόματα πάντα τὰ τοιαῦτα, ὡς ζῷον, ἀριθμός, κινεῖν, ἐνεργεῖν. ἀνώνυμον
δὲ λέγεται τὸ λόγῳ, οἷον | ζῷον λογικόν, ἀριθμὸς περιττός· καὶ τὰ τοιαῦτα 92
γὰρ ἐν τῷ τί ἐστι μὲν λεγόμενα κατά τινων, ἐπὶ πλέον δὲ ὄντα αὐτῶν,
γένη αὐτῶν ἐστιν. εἰ τοίνυν ὁ εὑρεθεὶς λόγος μὴ ἐφ' ἑτέρου τινός ἐστιν
15 ἀλλ' ἢ ἐπὶ μόνων τῶν ὑπὸ τὸ προκείμενον ἀτόμων, ὁρισμὸς ἂν εἴη τοῦτο
καὶ οὐκ ἄλλο τι.

p. 96b 1 Ἐπεὶ δὲ δεδήλωται ἡμῖν ἐν τοῖς ἄνω.

Ἐν τῷ πρὸ τούτου βιβλίῳ ἐλέγετο ὅτι τὰ καθ' αὑτὰ ὑπάρχοντα ἀναγκαῖα
τοῖς πράγμασιν, καὶ μᾶλλον τὰ ἐν τῷ τί ἐστι κατηγορούμενα· ταῦτα γὰρ
20 ἦν τοῦ πρώτου τρόπου τῶν καθ' αὑτό. ὁμοίως δὲ καὶ ὅτι τὰ καθόλου
καθ' αὑτὰ καὶ ᾗ αὐτά· οὐ γὰρ ἀρκεῖ τὸ κατὰ παντὸς τῷ ἐν ταῖς ἀποδείξεσι
καθόλου, ἀλλὰ δεῖ καὶ καθ' αὑτὸ εἶναι καὶ ᾗ αὐτό. τὰ ἐν τῷ τί ἐστι
λοιπὸν κατηγορούμενα ἀναγκαῖά ἐστι· καὶ ἔστι τοῦ ἀναγκαῖα εἶναι κατα- 10
σκευαστικὸν τὸ τὰ καθόλου δ' ἀναγκαῖα· ὡς εἶναι τὸ δέ ἀντὶ τοῦ γάρ.
25 καὶ ἔστιν ἐν πρώτῳ σχήματι ὁ συλλογισμός 'τὰ ἐν τῷ τί ἐστι καθόλου,
τὰ καθόλου ἀναγκαῖα· τὰ ἐν τῷ τί ἐστιν ἄρα ἀναγκαῖα'.

p. 96b 3 Τῇ δὲ τριάδι καὶ ἐφ' οὗ ἄλλου οὕτως.

Ἐπεὶ οὖν, φησίν, ἀναγκαῖα τὰ ἐν τῷ τί ἐστι λαμβανόμενα, ὡς εἶναι 15
ταῦτα ἀναγκαῖα τὰ ὑποκείμενα, ὡς ἡ τριὰς ἀριθμὸς καὶ περιττός, ὁμοίως
30 δὲ καὶ ἐπὶ τῶν ἄλλων, εἴη μὲν ἂν ἡ τριὰς ταῦτα ἐξ ἀνάγκης, τουτέστι
κατηγοροῖτο ἂν ταῦτα τῆς τριάδος ἐξ ἀνάγκης. καὶ τέως ἔχομεν ὅτι
ἀναγκαῖα ταῦτα, καὶ οὐκ ἐνδέχεται μὴ εἶναι ταῦτα τὸ ὑποκείμενον, τουτέστι
μὴ κατηγορεῖσθαι ταῦτα τοῦ ὑποκειμένου. τοῦ δὲ οὕτω λαμβάνεται
ἑφερμηνευτικὸν τὸ ἐν τῷ τί ἐστι, τουτέστιν οὕτω λαμβάνεται, ὡς ἐν τῷ 20
35 τί ἐστι κατηγορεῖσθαι. καὶ τῶν οὕτω λαμβανομένων περὶ τῆς τριάδος ἐξ
ἀνάγκης μὲν ἂν ἐπιδέχοιτο τὴν κατηγορίαν ἡ τριάς. ὅτι δὲ καὶ οὐσία
ταῦτα καὶ ὁρισμὸς τοῦ ὑποκειμένου, δῆλον γίνεται διαιροῦσιν ὧδε.

---

2 ταῦτα (ante τὸ) om. E 11 post ἐνεργεῖν add. καὶ τὰ τοιαῦτα E 18 ἐν τῷ πρὸ τούτου βιβλίῳ] Anal. post A 4 28 ἀναγκαῖα] ἀνάγκη Aa

p. 96b6 Ἀνάγκη γὰρ εἰ μὴ τοῦτο ἦν τριάδι εἶναι. 92

Ἐπεὶ γάρ, φησίν, ἐν τῷ τί ἐστι κατηγορεῖται, εἰ μὴ ὁρισμός ἐστι τοῦτο τῆς τριάδος, ἔσται γένος, καὶ εἰ γένος, ἢ ὠνομασμένον ἢ ἀνώνυμον, τουτέστιν ἢ δι' ὀνόματος ἢ διὰ λόγου δηλούμενον. ἀλλ' ὠνομασμένον οὐκ ἔστι· λόγος γὰρ τὸ ἀριθμὸς περιττὸς πρῶτος κατ' ἄμφω· εἴη ἂν οὖν ἀνώνυμον.

p. 96b8 Ἔσται τοίνυν ἐπὶ πλέον ἢ τῇ τριάδι ὑπάρχον.

Εἰ γένος, φησίν, ἐστὶν οὗτος ὁ λόγος τῆς τριάδος, ἐπὶ πλέον ἔσται αὐτῆς. ὁμολογείσθω γὰρ οὕτως ἔχειν τὸ γένος, ὡς ἐπὶ πλέον εἶναι ἐκείνου οὗ γένος εἶναι λέγεται· οὐ γὰρ δεῖ νῦν πολυπραγμονεῖν περὶ τούτου. τὸ δὲ κατὰ δύναμιν, ὅτι δυνάμει τὸ γένος τὰ ὑπ' αὐτό.

p. 96b10 Εἰ τοίνυν μηδενὶ ἄλλῳ ὑπάρχει ἢ ταῖς ἀτόμοις τριάσι.

Ἐπεί, φησί, μηδενὶ ἄλλῳ ὑπάρχει οὗτος ὁ λόγος ὁ ἐπὶ τῆς τριάδος ἀποδεδομένος ἢ μόναις ταῖς ἀτόμοις τριάσιν, ὧν ἡ τριὰς ὡς εἶδος κατηγορεῖται, ὁρισμὸς ἂν εἴη ὁ λόγος οὗτος τῆς τριάδος. ληφθήτω δὴ καὶ τοῦτο νῦν ὡς ὁμολογούμενον, τὸ εἶναι τὴν ἑκάστου τῶν ἀτόμων εἰδῶν οὐσίαν τὴν ἐπὶ τοῖς ὑπ' αὐτὸ ἀτόμοις ἐσχάτοις τοιαύτην κατηγορίαν. τοιαύτην δὲ λέγει τὴν ἐν τῷ τί ἐστιν αὐτῶν κατηγορουμένην κατὰ τὴν τοῦ περιέχοντος εἴδους μετοχήν. καθὸ γὰρ τριὰς ἑκάστη τῶν τριάδων, ἀριθμός ἐστι περιττὸς πρῶτος κατ' ἄμφω. πιστοῦται οὖν κἀνταῦθα τὸν λόγον ἐκ τῶν ὑστέρων μὲν τῇ φύσει, ἡμῖν δὲ γνωριμωτέρων καὶ σαφεστέρων· τὰ γὰρ καθ' ἕκαστα τῶν καθόλου ἡμῖν γνωριμώτερα.

p. 96b13 Ὥστε ὁμοίως καὶ ἄλλῳ.

Οὐκ ἐπὶ τῆς τριάδος μόνης ὁ κανὼν οὗτος, φησίν, ἀλλὰ καὶ ἐπὶ παντὸς οὑτινοσοῦν τοῦτο ἔσται αὐτῷ τὸ εἶναι καὶ ὁ ὁρισμός, ὅπερ ἐν τῷ τί ἐστι κατηγορεῖται ἐπὶ μόνων τῶν ὑπ' αὐτὸ ἀτόμων κατὰ τὴν αὐτοῦ μετοχήν, ἐπ' ἄλλου δὲ οὐδενός, ὥσπερ καὶ ἐπὶ τοῦ ἀνθρώπου τὸ ζῷον λογικὸν θνητὸν ἢ ζῷον πεζὸν δίπουν, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ἄλλως τε ἐπεὶ τοῖς λογικοῖς ἅπασιν εἴδεσί τε καὶ γένεσιν ἐκ τῶν καθ' ἕκαστα ἡ ἀρχή, καὶ ἐν τούτοις τὸ εἶναι ἐκείνοις ἐστὶ καὶ ἡ σύστασις, ὥσπερ τὸ εἶναι ἐκ τῶν καθ' ἕκαστα ἔχουσιν, οὕτω καὶ τὸ ὁρίζεσθαι, καὶ τῶν ὁρισμῶν αὐτῶν ἡ ἐνέργεια ἐν τοῖς καθ' ἕκαστά ἐστι, δυνάμει μόνον ὄντων τῶν καθόλου καθ' ἑαυτὰ καὶ οὐδὲν ἄλλο.

---

5 ἂν οὖν] οὖν ἄρα Aa 7 ὑπάρχοι Aa 8 post εἰ add. γὰρ a 15 οὗτος ὁ λόγος coll. E δὴ] γὰρ Aa 16 τὸ] τοῦτο E 17 οὐσίαν ante ἑκάστου (16) transp. E

p. 96b15 Χρὴ δ' ὅταν ὅλον τι πραγματεύηται. 92

Τὰ περὶ τῆς διαιρέσεως τοῦ ὁρισμοῦ παραδεδομένα μέχρι τοῦ νῦν τοῖς 50
εἰδικωτάτοις ἐφήρμοσεν εἴδεσιν, ὡς δῆλόν ἐστιν ἔκ τε τῆς τριάδος, ἥτις
παράδειγμα εἴληπται εἰδικώτατον εἶδος οὖσα τοῦ ἀριθμοῦ, καὶ ἐξ ὧν ἐκ
5 τῶν καθ' ἕκαστα τὸν ὁρισμὸν τοῦ καθόλου ἐπιστωσάμεθα· τὸ γὰρ προσεχῶς
τὰ καθ' ἕκαστα περιέχον τὸ εἶδος ὑπάρχει τὸ εἰδικώτατον. ἐπεὶ δὲ τὰ
ὁριστὰ τὰ εἰδικώτατά ἐστι καὶ τὰ ὑπάλληλα, μήτε τῶν καθ' ἕκαστα μήτε
τῶν γενικωτάτων ὁριζομένων, τῶν μὲν ὅτι μὴ ἔχει γένος αὐτῶν | ἐπέκεινα, 93
τῶν δ' ὅτι μήτε ὑπὸ γένους προσεχῶς περιέχεται, ἀλλὰ διὰ μέσων εἰδῶν,
10 μήτε μήν ἐστιν ἀεὶ τὰ αὐτά, ἵνα καὶ ἐπιστήμη ὑποβάλλεσθαι δύνηται,
κἂν ᾖ ἴσως, οὐκ ἔχει ἴδιον ὁρισμὸν διὰ τὸ κοινὸν εἶναι τὸν ἀποδιδόμενον
οὐσιώδη λόγον τοῖς ὁμοειδέσιν ἅπασι, κἂν τῶν μοναδικῶν ᾖ τι, οὕτως ὁ
περὶ αὐτοῦ ὁρισμὸς ἀποδίδοται, ὡς κἂν πλείω ὑπῆρχον, πᾶσιν ἁρμόζειν,
εἰπόντες οὖν πῶς ἐπὶ τῶν εἰδικωτάτων θηρευτέον τὸν ὅρον, λέγωμεν ἤδη, 5
15 πῶς τοῦτο καὶ ἐπὶ τῶν ὑπαλλήλων γενήσεται. ὅταν δή τις τοιοῦτο γένος
πραγματεύσασθαι προθῆται, τὸν ὁρισμὸν αὐτοῦ βουληθεὶς ἐφευρεῖν, ἐπειδὴ
τὸ γένος ὅλον ἐστὶ τῶν εἰδῶν, χρὴ αὐτὸν διελεῖν εἰς τὰ μέρη τὸ προτεθέν,
τουτέστιν εἰς τὰ εἰδικώτατα, ἅπερ καὶ ἄτομά ἐστι διὰ τὸ μὴ εἰς εἴδη
τέμνεσθαι δύνασθαι, καὶ πρῶτα ἐν τοῖς καθόλου διὰ τὸ ταῦτα πρῶτον τὴν
20 ἐκ τῶν καθ' ἕκαστα δέχεσθαι κατὰ τὴν ἡμετέραν ἔννοιαν σύστασιν, καὶ
θεωρεῖν τὰ ἴδια πάθη τοῦ γένους, τουτέστι τὰ καθ' αὑτὸ ἰδίως τῷ γένει 10
ὑπάρχοντα, ἀπὸ τῶν κοινῶς πᾶσιν ἐνθεωρουμένων τοῖς εἴδεσι. τὰ γὰρ
ἴδια τοῦ γένους κοινὰ τῶν ὑπ' αὐτὸ εἰδῶν ἁπάντων ἐστί. τὰ γὰρ συμ-
βαίνοντα τοῖς γένεσιν, ἅπερ ὡς ὅλα ἐκ τῶν εἰδῶν ὡς ἐκ μερῶν σύγκειται,
25 ἐκ τῶν ὁρισμῶν τῶν εἰδῶν δῆλα γίνεται· οἷον γὰρ ἀρχαί εἰσι τοῦ γένους
οἱ ὁρισμοὶ τῶν εἰδῶν, ἐπειδὴ καὶ ἁπλοῦν ὡς πρὸς τὸ γένος τὸ εἶδος καὶ
ἐκ τῶν εἰδῶν ἔοικε τὸ γένος συγκεῖσθαι, μερῶν ὄντων αὐτοῦ ὅλου ὄντος,
ὥσπερ καὶ τὸ εἶδος τῶν ἀτόμων ὅλον ἐστὶ καὶ ἐξ ἐκείνων λαμβάνει τὴν 15
σύστασιν. καὶ ὃν λόγον ἔχει πρὸς τὸ εἶδος τὰ ἄτομα, τὸν αὐτὸν τὰ εἴδη
30 πρὸς τὸ γένος. καὶ ὥσπερ ἐκεῖ ἐκ τῶν ἀτόμων ὁ τοῦ εἴδους ὁρισμὸς ὅτι
ὁρισμὸς αὐτοῦ ἐστιν ἐγνωρίζετο, τὰ κοινῶς ὑπάρχοντα πᾶσι καὶ ἐν τῷ τί
ἐστι λεγόμενα κατὰ πάντων λαμβανόντων ἡμῶν, οὕτω κἀνταῦθα τὰ κοινῶς
πᾶσι τοῖς ὁμογενέσιν εἴδεσιν ἐνυπάρχοντα οὐσιώδη καὶ ἐν τῷ τί ἐστι τοῦ
γένους ταῦθ' ὁρισμὸς ἂν εἴη. καὶ ὥσπερ ἐκείνων ἁπλῶν ὄντων ὡς πρὸς 20
35 τὰ εἴδη τὰ ὑπάρχοντα πᾶσιν ἐκείνοις μὲν καθ' αὑτὰ ὑπῆρχε, δι' ἐκεῖνα δὲ
καὶ τῷ εἴδει, οὕτω κἀνταῦθα τὰ πᾶσι κοινῶς τοῖς εἰδικωτάτοις ὑπάρχοντα,

---

2 διαιρέσεως] εὑρέσεως E 4 οὖσα γένος Aa 8 ἔχει] ἔστι E 10 ἐστιν om. Aa 11 ᾖ scripsi: ἢ libri ἔχη Aa 12 οὐσιώδης a 14 οὖν om. Aa 16 ἐπεὶ Aa 22 ὑπάρχοντα] προσόντα E 23 ἁπάντων εἰδῶν coll. E 26. 27 εἶδος—ἔοικε τὸ γένος om. E 28 ὅλων a 31 ἀγνωρίζετο a 33 καὶ ἐν τῷ τί ἐστι—ὑπάρχοντα (35) om. et pro iis repetit καὶ ἐν τῷ τί ἐστι λεγόμενα κατὰ πάντων λαμβανόντων ἡμῶν (31. 32) E

ἁπλοῖς οὖσιν ὡς πρὸς τὸ ὅλον γένος ἅτε καὶ μέρεσιν αὐτοῦ, καθ' αὑτὰ 93
ὑπάρχει, διὰ δὲ ταῦτα καὶ τῷ γένει.

p. 96b15 Χρὴ δ' ὅταν ὅλον τι πραγματεύηταί τις.

Περὶ μὲν τοῦ εἴδους, φησίν, ὅπως περὶ αὐτοῦ θηρευτέον τὸν ὁρισμόν,
5 ἤδη εἴρηται· ὅταν δὲ ὅλον τι πραγματεύηταί τις, τουτέστιν ὅταν γένους 25
ὁρισμὸν ἀποδοῦναι προθῆται (τοῦτο γάρ ἐστι τὸ ὡς πρὸς τὸ εἶδος ὅλον· τὸ
γὰρ γένος ὅλον εἶναι ἐμάθομεν, τὸ δὲ εἶδος καὶ ὅλον καὶ μέρος, τὸ δὲ
ἄτομον μέρος) ὥσπερ οὖν ἐκεῖ τὰ μέρη σαφέστερα ὑπῆρχεν ἡμῖν, καὶ δι'
αὐτῶν εἰς τὸν ὁρισμὸν τοῦ ὅλου ἐποδηγούμεθα, οὕτω κἀνταῦθα τὰ εἴδη
10 σαφέστερα τῶν γενῶν, ὡς εὐθὺς ὄντα μετὰ τὰ ἄτομα. ἐπεὶ καὶ ἐπὶ τῶν
οὐσιῶν μᾶλλον οὐσία τὸ εἶδος τοῦ γένους· εἰ γὰρ καὶ δεύτερα τῶν ἀτόμων
πάντα τὰ καθόλου, ὡς δυνάμει πάντα καὶ μέχρις ἐννοίας, ᾗ καθόλου ἐστί, 30
τὸ δ' ἐνεργείᾳ εἶναι ἐν τοῖς καθ' ἕκαστα λαμβανόμενα δέχεται, ἀλλὰ καὶ
τὰ εἴδη τῶν γενῶν πρότερα, οὐ μόνον ὅτι αὐτοῖς ὑπόκειται καὶ ἀνάλογον
15 ἔχει πρὸς ταῦτα ὡς πρὸς τὰ εἴδη τὰ ἄτομα, ἀλλ' ὅτι καὶ ἐνεργέστερα τοῦ
γένους τὰ εἴδη, τουτέστιν ἐγγύτερα τοῦ ἐνεργείᾳ εἶναι. ὅταν οὖν γένος τις
ὁρίσασθαι προθῆται, ὅπερ ὅλον ἐστί, χρὴ διελεῖν αὐτὸ εἰς τὰ ἄτομα τῷ
εἴδει. ἔστι γὰρ καὶ ἄτομα τῷ ἀριθμῷ, ἅ ἐστι τὰ καθ' ἕκαστα· εἰπὼν οὖν
ἄτομα ἐπήνεγκε τῷ εἴδει, ἀντιδιαστέλλων ταῦτα πρὸς τὰ καθ' ἕκαστα, ὡς 35
20 καὶ ἐν Κατηγορίαις πεποίηκε λέγων "ἁπλῶς δὲ τὰ ἄτομα καὶ ἓν ἀριθμῷ
κατ' οὐδενὸς ὑποκειμένου λέγεται". προσέθηκε δὲ τὰ πρῶτα ἐκ παραλλήλου
λέγων τὸ αὐτὸ 'ἄτομα τῷ εἴδει ἤτοι τὰ πρῶτα'. λέγεται δὲ πρῶτα, ὅτι
ἐκ τῶν καθ' ἕκαστα ἐπὶ τὰ καθόλου ἀνιοῦσι πρῶτα εὐθύς ἐστι τὰ εἰδικώτατα·
τοῖς γὰρ ἐννοηματικοῖς καθόλου ἐκ τῶν καθ' ἕκαστα ἡ γένεσις, καὶ εὐθὺς
25 μετὰ τὰ καθ' ἕκαστα τὰ ὡς εἰδικώτατα καθόλου ἐστὶ γινόμενα· ὥστε καὶ 40
πρῶτα ἐν τοῖς καθόλου τὰ εἰδικώτατά ἐστι. καὶ ὅτι πάντων ὄντων εἰδῶν
τῶν καθόλου, ταῦτα πρῶτα εἴδη· διὸ καὶ εἰδικώτατα λέγεται. ὅτι δὲ
πάντα εἴδη τὰ καθόλου, δῆλον· οὐ γὰρ ἂν τῶν καθ' ἕκαστα ἐν τῷ τί ἐστι
κατηγορεῖτο. λόγοι γὰρ ἅπαντα ἐννοηματικοὶ τὰ τοιαῦτα· τὰ δὲ οὕτως
30 ἔχοντα εἴδη, κἂν τὸ μεῖζον ἐν αὐτοῖς καὶ ὑπερκείμενον γένος ᾗ τοῦ ὑπ'
αὐτὸ καὶ ἐλάττονος.

p. 96b16 Οἷον ἀριθμὸν εἰς τριάδα καὶ δυάδα. 45

Τοῦτο παράδειγμά ἐστι πρὸς σαφήνειαν τοῦ πῶς χρὴ λαβόντας τὸ
γένος διελεῖν εἰς τὰ ὑπ' αὐτὸ εἰδικώτατα· γένος γὰρ ὁ ἀριθμός, ἡ δὲ τριὰς
35 καὶ ἡ δυὰς εἴδη αὐτοῦ εἰδικώτατα.

---

1 post ὅλον add. καὶ E καθ' αὐτὸ E 6 ὡς om. Aa 8 ὑπῆρχον Aa
13 εἶναι om. E λαμβανόμενα δέχεται] καὶ μέχρις ἐννοίας ἡ E καὶ om. E
15 ἐνεργέστερον Aa 18 καὶ ἄτομα ἐν τῷ E 19 ἐπήγαγε E 20 ἐν Κατηγορίαις] 2 p. 1b6 29 ἐννοηματικά Aa 32 ἀριθμῶν Aa 35 καὶ ἡ δυὰς om. Aa

p. 96b17 Εἶθ' οὕτως ἐκείνων ὁρισμοὺς πειρᾶσθαι λαμβάνειν. 93

Εἰπὼν ὡς χρὴ ποιεῖν τὴν διαίρεσιν καὶ διὰ τοῦ παραδείγματος παρα- 50
στήσας λέγει καὶ τὸ ἑξῆς, ὅτι μετὰ τὸ οὕτως διελεῖν ἔκτοτε δεῖ πειρᾶσθαι
λαμβάνειν τοὺς ὁρισμοὺς τῶν γενῶν, ἀπὸ τῶν ὑπ' αὐτὰ ποδηγουμένους
5 εἰδῶν. τὰ δὲ ἑξῆς λεγόμενα οὐχ ὡς περὶ εἰδῶν δεῖ ὁμογενῶν δέχεσθαι,
ἀλλὰ γραμμῆς μὲν εἴδη εὐθεῖαν καὶ κύκλον τίθεσθαι, γωνίας δὲ ὀρθὴν
καὶ ὀξεῖαν καὶ ἀμβλεῖαν, εἰ καὶ οὗτος συγχέας ἐπίτηδες ἀσάφειαν ἐνεποίησε. |

p. 96b19 Μετὰ δὲ ταῦτα λαμβάνοντα τί τὸ γένος. 94

Ἐπειδή, φησί, πᾶς ὁρισμὸς ἐκ γένους καὶ διαφορῶν σύγκειται, μετὰ
10 τὸ διελεῖν τὸ γένος εἰς τὰ ὑπ' αὐτὸ εἰδικώτατα προϊόντας εἰς τὸ τοῦτο
ὁρίσασθαι δεῖ ἀνατρέχειν ἐπὶ τὸ γένος ἤτοι τὴν κατηγορίαν ὑφ' ἣν ἀνά- 5
γεται τὸ προκείμενον, καὶ ζητεῖν εἰ ποσόν ἐστιν ἢ ποιὸν ἢ ἄλλο τι τῶν
δέκα πρώτων ἀρχῶν, καὶ τοῦτο λαβόντα κοινὸν ὂν πᾶσι τοῖς ὑπ' αὐτὸ
ζητεῖν καὶ τὰς ἰδίας διαφορὰς τοῦ προκειμένου, ἃς πάθη ὠνόμασε διὰ τὸ
15 ἐοικυίας πάθεσι τὰς τῶν εἰδῶν συστατικὰς διαφορὰς τοῖς γένεσιν ἐπιγίνε-
σθαι καὶ τὰ εἴδη μετ' αὐτῶν συμπληροῦν. τὰ δὲ ἴδια τῶν γενῶν πάθη,
τουτέστι τὰ καθ' αὑτὰ αὐτοῖς ὑπάρχοντα, πῶς ἂν εὕροιμεν ἄλλως ἢ διὰ
τῶν κοινῶς ὑπαρχόντων τοῖς ὑπ' αὐτὰ εἴδεσι; τὰ γὰρ ἰδίως τοῖς γένεσιν 10
ὑπάρχοντα οὐκ ἂν ἄλλως γένοιτο εὑρεῖν ἢ διὰ τοῦ θεωρεῖν τὰ κοινῶς τοῖς
20 εἴδεσιν αὐτῶν ἐνυπάρχοντα. τὰ γὰρ κοινὰ τοῖς ὑπὸ τὸ γένος ἴδια τῷ
γένει ὡς διὰ τὸ κοινὸν τοῖς τοῦ κοινοῦ μετέχουσιν ἐνυπάρχοντα. δεῖ δὴ
πρῶτον ἐν τοῖς εἴδεσι ταῦτα θεωρεῖν, κἀκεῖθεν ἐκλεγομένους τῷ γενικωτάτῳ
προστιθέναι αὐτά· καὶ οὕτως ἐκ τούτου κἀκείνων ὁ τοῦ προκειμένου γένους
ὁρισμὸς εὑρεθήσεται συμπληρούμενος. οἷον εἰ γραμμὴ εἴη τὸ γένος τὸ εἰς
25 τὸ ὁρισθῆναι προκείμενον, ταύτην δεῖ διελεῖν εἰς τὰ ὑπ' αὐτὴν εἰδικώτατα, 15
ἅτινά ἐστιν εὐθεῖα καὶ περιφερὴς καὶ ἕλιξ, εἶτα τὸ γένος λαβεῖν, εἰς ὃ
ἀνάγεται ἡ γραμμή· τοῦτο δέ ἐστι τὸ ποσόν. μετὰ δὲ ταῦτα τοὺς τῶν
εἰδῶν τούτων ὁρισμοὺς θεωρήσαντα ἰδεῖν τί τούτοις πᾶσι κοινὸν ἐν τοῖς
ὁρισμοῖς ἔγκειται. οἷον τί ἐστιν εὐθεῖα γραμμή; μῆκος ἁπλατὲς οὗ τὰ
30 μέσα τοῖς ἄκροις ἐπιπροσθεῖ. τί ἐστι περιφερὴς γραμμή; μῆκος ἁπλατές,
πρὸς ὅπερ ἀφ' ἑνὸς σημείου τῶν ἐντὸς αὐτοῦ κειμένων πᾶσαι αἱ προσπί-
πτουσαι εὐθεῖαι ἴσαι ἀλλήλαις εἰσίν· ἢ ἵνα εἴη κοινότερον, μῆκος ἁπλατές, 20
οὗ τὰ μόρια ὑπ' ἀλλήλων ἀνεπιπρόσθητα, ἢ ὅπως ἄλλως. τί κεκλασμένη
γραμμή; μῆκος ἁπλατὲς ἐξ εὐθείας καὶ περιφεροῦς συγκείμενον. ἰδοὺ οὖν
35 ἐν πᾶσι τοῖς τῶν εἰδῶν τούτων ὁρισμοῖς κοινὸν κεῖται τὸ μῆκος ἁπλατές·

---

1 ὁρισμοὺς ἐκείνων coll. Aa 3 ἔκτοτε om. E 11 ἐπὶ] εἰς Aa
14 τῶν προκειμένων E 15 ἐοικυίας] εἰκότως Aa συστατικὰς om. E
16 δὲ] γὰρ E 19 διὰ τὸ a 20 εἴδεσιν αὐτῶν] ὑπ' αὐτὰ E 24 εἰ] ἡ E
26 εἰς ὃ] ὑφ' ὃν Aa 30 ἐστι om. Aa 34 περιφερείας libri

τοῦτο τῷ γενικωτάτῳ προσθέντες τὸν ὁρισμὸν τῆς γραμμῆς ἕξομεν ποσὸν 94
μῆκος ἀπλατὲς τὴν γραμμὴν εἶναι λέγοντες.

p. 96b 21 Τοῖς γὰρ συντιθεμένοις ἐκ τῶν ἀτόμων.

Συντιθέμενα τὰ γένη φησίν, ἄτομα δὲ τὰ εἰδικώτατα, ἃ οὐκ ἔστιν
5 ἔτι εἰς εἴδη τεμεῖν. λέγει οὖν ἐκ τῶν εἰδῶν ὡς μερῶν τὰ γένη ὡς ὅλα
συντίθεσθαι. τὰ οὖν συμβαίνοντα, φησί, τοῖς ὅλοις ἤτοι τοῖς γένεσι τοῖς
ἐκ τῶν ἀτόμων εἰδῶν συντιθεμένοις, ἐκ τῶν μερῶν ἤτοι τῶν εἰδῶν ἔσται
δῆλα. τοῦτο δὲ κατασκευαστικόν ἐστι τοῦ διὰ τῶν κοινῶν τοῖς εἴδεσι τὰ
ἴδια τοῖς γένεσι καθ' αὑτὰ ὑπάρχοντα θεωρεῖσθαι. τούτου δὲ αὖθις αἰτία
10 τὸ πανταχοῦ τοὺς ὁρισμοὺς τῶν εἰδῶν ἀρχὰς καὶ αἰτίας εἶναι τοῖς γένεσι,
καὶ τὰ ἁπλᾶ, τουτέστι τὰ εἴδη, αἴτια εἶναι τῆς συστάσεως ἢ γνωρίσεως
τῶν γενῶν. ἅπαξ γὰρ μέρη τὰ εἴδη εἰπὼν τῶν γενῶν καὶ ἐκ τῶν εἰδῶν
ὡς μερῶν τὰ γένη ὡς ὅλα συνίστασθαι, διὰ τέλους τοῦτο τηρεῖ, αἴτια τὰ
εἴδη ὡς ἁπλούστερα τῶν γενῶν ὡς ἐξ αὐτῶν συγκειμένων παραδιδούς.
15 πλειόνων δὲ τῶν εἰδῶν ὄντων τῶν ὑφ' ἓν γένος ἀναγομένων, καὶ πλειόνων
ὁρισμῶν λαμβανομένων εἰς γένους ἑνὸς χαρακτήρισιν, τὸν ἀριθμὸν οὗτος
ἀντέστρεψε δι' ἀσάφειαν, ἀρχὴν εἶναι τὸν ὁρισμὸν τοῦ εἴδους εἰπὼν πάντων
τῶν γενῶν, τὸν μὲν ὁρισμὸν ἑνικῶς τὰ δὲ γένη πληθυντικῶς προσενέγκας
διὰ τοῦ εἰπεῖν πάντων. σὺ δὲ οὕτω νόει ὅτι πανταχοῦ οἱ ὁρισμοὶ τῶν
20 εἰδῶν ἀρχαί εἰσι καὶ αἰτίαι τοῖς γένεσι, καθὼς εἴρηται, καὶ τὰ ἁπλᾶ
ἤτοι τὰ εἴδη γνωριστικὰ καὶ ἀπογεννητικὰ τῶν γενῶν ὡς μέρη ὅλων, ἢ
καὶ ἐπὶ τὸ καθολικώτερον τὸν λόγον ἀνάγει, καὶ αἰτίαν κοινὴν ἀποδίδωσι
τοῦ τὰ συμβαίνοντα τοῖς γένεσιν ἐκ τῶν ὁρισμῶν τῶν εἰδῶν δῆλα γίνεσθαι·
ἡ δὲ αἰτία τὸ ἐπὶ πάντων ἀρχὴν εἶναι τὸν ὁρισμὸν καὶ τὸ ἁπλοῦν τῶν
25 συνθέτων ἀρχήν. ἐπεὶ οὖν τὰ εἴδη καὶ ὁρισμοὶ καὶ ἁπλοῦν ἕκαστον αὐτῶν
ὡς πρὸς τὸ γένος, διὰ τοῦτο καὶ τὰ εἴδη τοῦ γένους ἀρχαί. τί δὲ καὶ τὸ
γένος; οὐ λόγος καὶ ὁρισμός; λόγος μὲν ἀλλ' οὐχὶ καὶ ἁπλοῦν ὡς πρὸς τὸ
εἶδος· τὸ δὲ εἶδος καὶ ὁρισμὸς καὶ ἁπλοῦν ὡς πρὸς τὸ γένος. διὰ τοῦτο
καὶ τὸ εἶδος τοῦ γένους ἀρχή, ἀλλ' οὐχὶ καὶ ἀνάπαλιν. ἢ καὶ τὸ γένος
30 ὕλη ἀναλογοῦν ἔχει τὸ εἶδος ὡς ἀρχὴν δραστικὴν ἄγουσαν αὐτὸ πρὸς
ἐνέργειαν.

p. 96b 23 Καὶ τοῖς ἁπλοῖς καθ' αὑτὰ ὑπάρχειν τὰ συμβαίνοντα μόνοις, τοῖς δ' ἄλλοις κατ' ἐκεῖνα.

Ἄλλη τις αὕτη αἰτία τοῦ εἰρημένου. λέγει δὲ ὅτι καὶ διὰ τοῦτο ἐκ
35 τῶν ὁρισμῶν τῶν εἰδῶν τὰ καθ' αὑτὰ τοῖς γένεσιν ὑπάρχοντα γνωρίζεται,
διότι τὰ συμβαίνοντα τοῖς εἴδεσι καθ' ἑαυτὰ ἔχει τὰ εἴδη, τοῖς δὲ γένεσι

---

5 ἔτι] ἤδη E οὖν] δὲ E ὡς post γένη om. Aa 13 συνίστασθαι] συντίθεσθαι E 18 τῶν μὲν E προενέγκας Aa 21 ἢ] εἰ a
24. 25 ἀρχὴν τοῦ συνθέτου Aa 36 τοῖς (ante δὲ)] τῆς a

διὰ τὰ εἴδη ταῦτα ὑπάρχει. τοῦτο δὲ ἔοικε τῷ λεγομένῳ ἐν τῷ πρώτῳ τῷ Περὶ ψυχῆς "τὸ γὰρ ζῷον τὸ καθόλου ἢ οὐδέν ἐστιν ἢ ὕστερον". τὰ γὰρ καθ' ἕκαστα ἐνεργείᾳ ὄντα ταῦτά ἐστι καὶ κυρίως ὅπερ εἶναι λέγεται· τὰ δὲ καθόλου πάντα δυνάμει ὄντα δευτέρως ἔχει τὸ εἶναι. διὸ καὶ ἐν
5 ταῖς οὐσίαις πρῶται οὐσίαι καὶ κυρίως καὶ μάλιστα τὰ καθ' ἕκαστα ἐν Κατηγορίαις εἴρηται, δεύτεραι δὲ τὰ περιεκτικὰ τούτων εἴδη καὶ γένη πάντα· ὅμως ἐπεὶ μετ' αὐτὰ εὐθὺς τὰ εἴδη ἐστί, πρῶτά | τέ ἐστι τῶν 95
γενῶν καὶ μᾶλλον τῶν γενῶν εἶναι λέγεται. τὸ δὲ γένος πόρρω ὂν τῶν καθ' ἕκαστα, ἐννόημά πως εἶναι δοκεῖ ἀνυπόστατον, ἀμυδράν τινα ὁμοιό-
10 τητα σῶζον πρὸς τὰ καθ' ἕκαστα. καὶ τὸ μὲν εἶδος ἐκ προσεχοῦς ἀφαιρέσεως τῶν καθ' ἕκαστα ἐννοούμενον ὁ λόγος ἐστὶν ὁ ἐν τούτοις ἐνθεωρούμενος, ὃς καθ' ἑαυτὸν ληφθεὶς χωρὶς τῆς ὕλης ἐπινοεῖται· ὕλην δὲ προσλαβὼν εὐθύς ἐστι τὸ καθ' ἕκαστον. οἷον ὁ τοῦ ἀνθρώπου λόγος τὸ ζῷον 5
λογικὸν θνητὸν καθ' ἑαυτὸν ἐννοούμενος ἅμα τῷ μετὰ ὕλης θεωρηθῆναι
15 Σωκράτης ἐστὶν εὐθὺς ἢ Θεαίτητος ἢ Δίων ἢ ἄλλος τις, τῶν καθ' ἕκαστον εὐθὺς αὐτῷ καὶ τῶν ὁλικῶν συμπτωμάτων ἑφεπομένων, οἷον μεγέθους, σχήματος, χρώματος καὶ τῶν τοιούτων ἰδιωμάτων. τὸ δὲ γένος οἷον τὸ ζῷον οὐ δύναται τοῦτο ἔχειν καθ' ἑαυτό, εἰ μὴ καὶ τῶν εἰδῶν τι προσλήψοιτο· εἰ μὴ γὰρ αἱ τοῦ ἀνθρώπου ἢ αἱ τοῦ ἵππου ἤ τινος ἄλλου τῶν
20 εἰδῶν ἰδιότητες αὐτῷ προσγένωνται, ἐν ὑποστάσει καὶ ἐνεργείᾳ γενέσθαι 10
οὐ δύναται. διὰ τοῦτο καθ' ἑαυτὸ λαμβανόμενον ἢ παντελῶς ἐστιν ἀνυπόστατον ἢ ὕστερον ὡς πόρρω ὂν τῶν καθ' ἕκαστα. συμφώνως ἄρα κἀνταῦθα εἴρηκε καθ' αὑτὰ εἶναι τοῖς εἴδεσι τὰ συμβαίνοντα, κατὰ τὰ εἴδη δὲ καὶ τοῖς γένεσιν, ὁπότε καὶ αὐτὰ τὰ ἄτομα εἴδη καθ' ἑαυτὰ ψιλῶς θεω-
25 ρούμενα ἀνυπόστατά ἐστιν· οὐ γάρ που ὁ καθόλου ὑφέστηκεν ἄνθρωπος, ἢ ἐν τοῖς καθ' ἕκαστα, καθ' ἑαυτόν δ' οὐδαμῶς. τριχῶς γὰρ εἶδος ἕκαστον λαμβάνεται. ἢ γὰρ κατὰ ψιλὴν ἔννοιαν χωρὶς τῶν καθ' ἕκαστα ἢ ὡς ἐν 15
πᾶσι τοῖς ὁμοειδέσι καθ' ἕκαστα θεωρούμενον καὶ εἰς ἓν ἄγον αὐτά, ἢ ὡς συμβεβηκότα προσειληφὸς καὶ ἐν ἑνὶ τῶν καθ' ἕκαστα ὁλικῶς ὑφισταμένον,
30 ἐν Σωκράτει τυχὸν ἢ Δίωνι. τὸ μὲν οὖν πρῶτον ἐξ ἀφαιρέσεώς τε λέγεται, καὶ καθ' ἑαυτὸ ἐννοεῖται μέν, οὐχ ὑφίσταται δέ. τὸ δὲ δεύτερον ὑφίσταται μέν, ἀλλ' οὐ καθ' ἑαυτό, ἐν δὲ τῷ πλήθει τῶν καθ' ἕκαστα τεθεώρηται ἀορίστως τὴν ἐν αὐτοῖς δεχόμενον ὕπαρξιν. τὸ δὲ τελευταῖον ὡρισμένως ὑπάρχει ἐν ὁτῳοῦν τῶν καθ' ἕκαστον.

35 Τίνων δ' ἂν εἶεν οἱ ὁρισμοί, τῶν καθόλου ἢ τῶν καθ' ἕκαστα; τῶν 20
ἐννοηματικῶς λαμβανομένων ἢ τῶν ἐνεργείᾳ ὑφεστηκότων; εἰ μὲν τῶν καθ' ἕκαστα, πῶς ὧν μὴ ἐπιστήμη ἐστί, τούτων ἔσται ὁρισμός; εἰ γὰρ ἔσται, ἕξει πέρας τὰ ἄπειρα, καὶ τὰ ἀόριστα ὁρισθήσεται. εἰ δὲ τῶν καθόλου καὶ κατὰ ἔννοιαν, πῶς ὁ τοῦ εἶναι δηλωτικὸς λόγος ἔσται τῶν μὴ ὄντων

1. 2 ἐν τῷ πρώτῳ τῷ Περὶ ψυχῆς] cf. A 1 p. 402 b 7 3 καὶ om. Aa 5. 6 ἐν Κατηγορίαις] c. 5 p. 2 a 11 7 εὐθὺς om. E 8 καὶ—γενῶν om. Aa 10. 11 ἀφαιρέσεως] ἀφαιρέσθαι E 11. 12 θεωρούμενος E 15 ἕκαστα E 18. 19 προσλήψαιτο E 25 που] πω Aa 33 ἐν αὐτοῖς] ἑαυτοῦ E 37 ὧν] οὖν Aa ἔσται (post γάρ) om. Aa

καθ' ἑαυτά; ἢ τῶν καθόλου μὲν ἐπιστήμη πᾶσα, ἡ δὲ ταύτης ἐνέργεια καὶ προχείρισις προβαίνει εἰς τὰ καθ' ἕκαστα. ἐννοηματικῶς μὲν οὖν λαμβάνειν τοὺς ὁρισμοὺς διὰ τὸ τοῦ λόγου καὶ τῆς ἐπιστήμης ταὐτόν τε καὶ ἀμετάπτωτον, οὐδὲν ἄτοπον, θεωρεῖν δέ γε τὴν τούτων ἐνέργειαν οὐκ ἔστιν ἐν ἄλλοις ἢ τοῖς καθ' ἕκαστα. ἔχει δὲ ἀπορίαν, πῶς ποτε τὸ γένος ὅλον τῶν εἰδῶν καὶ ἐκ τῶν εἰδῶν συγκείμενον εἴρηται, ἁπλᾶ δὲ τὰ εἴδη καὶ τῶν γενῶν μέρη. δοκεῖ γὰρ ἀνάπαλιν· ἐκ γένους γὰρ τὸ εἶδος καὶ τῶν διαφορῶν, καὶ ἵνα εἶδος συσταίη, δεῖ συνδραμεῖν ἀλλήλοις γένος τε καὶ διαφοράς. καὶ ὡς ὁ λόγος ὁ τὸ τί ἦν εἶναι δηλῶν ἐκ τῶν ἁπλῶν σύγκειται φωνῶν, αἳ τὸ γένος δηλοῦσι καὶ τὰς διαφοράς, οὕτω τὸ ὑπὸ τοῦ λόγου σημαινόμενον εἶδος ἐκ τῶν ὑπὸ τῶν ἁπλῶν ἐκείνων φωνῶν. καὶ ἐνταῦθα μὲν τὰ ἁπλᾶ συνιόντα πρὸς ἄλληλα ἀποτελοῦσι τὸ σύνθετον, ἀλλ' οὐχὶ καὶ τὰ εἴδη τὸ γένος· οὐ γὰρ ἐξ ἀνθρώπου καὶ βοὸς καὶ ἵππου καὶ τῶν ὑπὸ τὸ ζῷον εἰδῶν ἁπλῶς ἀλλήλοις συνερχομένων τὸ ζῷον συνίσταται. ἢ ἐκεῖ μὲν πραγματικῶς ἐκ τοῦ γένους τε καὶ τῶν διαφορῶν τὰ εἴδη συνίσταται, ὡς καὶ τὰ καθ' ἕκαστα ἐκ τοῦ εἴδους καὶ τῆς ὕλης, λογικῶς δ' αὖθις καὶ κατὰ ἔννοιαν τό τε εἶδος ὅλον τῶν καθ' ἕκαστα, καὶ τὸ γένος τῶν εἰδῶν, καὶ τρόπον τινὰ τὸ εἶδος ἐκ τῶν καθ' ἕκαστα καὶ τὸ γένος ἐκ τῶν εἰδῶν. ὡς γὰρ τὸ ἐκ μερῶν ὅλον ἐν τοῖς μέρεσι τεθεώρηται, οὕτω τὸ γένος ἐν τοῖς εἴδεσι, καὶ τὸ εἶδος ἐν τοῖς ἀτόμοις, εἰ καὶ μὴ ὡς τὰ μέρη τῶν καθ' ἕκαστα, οὕτως ἔχει τὸ εἶναι μέρη τῶν εἰδῶν τὰ καθ' ἕκαστα, καὶ τὰ εἴδη τῶν γενῶν. ἕκαστον γὰρ τῶν μερῶν τῶν καθ' ἕκαστα οὐκ ἐπιδέχεται ἐξ ἀνάγκης τὸν τοῦ ὅλου λόγον καὶ τοὔνομα, τὰ δὲ ἄτομα τῶν εἰδῶν καὶ τὰ εἴδη τῶν γενῶν ἐξ ἀνάγκης ἐπιδέχονται τοὺς λόγους καὶ τὰ ὀνόματα ὡς μετεχομένης καὶ τῆς ὁλότητος. ἔτι δὲ ὡς τὸ ὅλον συναγωγὸν τῶν μερῶν, οὕτω τὸ γένος τῶν εἰδῶν καὶ τὸ εἶδος τῶν καθ' ἕκαστα. λέγεται δὲ καὶ τὸ ὅλον τριχῶς, ἢ ὡς πρὸ τῶν μερῶν ἢ ὡς ἐκ τῶν μερῶν ἢ ὡς ἐν τῷ μέρει. αἱ μὲν οὖν πρὸ τῶν μερῶν ὁλότητες, ὡς οἱ περὶ Πλάτωνα λέγουσιν, αἱ ἀρχικαὶ μονάδες εἰσίν, ἐξ ὧν ἑκάστης ὁ σύστοιχος αὐτῇ ἀριθμὸς ἀπογεννᾶται, μονάδος μὲν οὔσης αὐτῆς ἀμεθέκτου, πολλῶν δ' ἐξ αὐτῆς κατὰ πρόοδον γεννωμένων, αἳ καὶ μέρη ἐκείνης λέγονται, ὡς ἐκείνης μὲν οὔσης αἰτίας πρὸ αὐτῶν, τούτων δὲ πασῶν μεριζομένων τὴν ἐξ αὐτῆς ὕπαρξιν διὰ τὸ εἰς πλῆθος ἐκτείνεσθαι, καὶ πασῶν ἀναφερομένων εἰς ἐκείνην ὡς εἰς μοναδικήν τε καὶ ἀρχικὴν καὶ ὑπερκειμένην τῶν ἐξ αὐτῆς. τὸ δὲ ἐκ πάντων ἄθροισμα ὅλον ἐστὶν ὡς ἐκ μερῶν τῶν κατὰ μέρος τούτων μονάδων συντεθειμένον. ἑκάστη δὲ τῶν μονάδων τούτων, ἐξ ὧν τὸ πλῆθος, ὅλον ἐν τῷ μέρει ἐστίν· ὁ γάρ τις ἄνθρωπος, μέρος ὢν τοῦ ἁπλῶς ἀνθρώ-

---

2 προχείρισις Ea μὲν οὖν] μέντοι E 3 καὶ—ἐπιστήμης om. E
5 ἐν ἄλλω E 9 διαφοράν E 10 αἳ om. Aa 11 εἶδος om. E
ἐκ τῶν σημαινομένων φωνῶν E 15 τε καὶ om. Aa 16 καὶ ante κατὰ om. E
18 τὸ ante εἶδος om. E 21 καὶ τὰ εἴδη—μερῶν (22)] τὰ μὲν γὰρ μέρη E
25 ὅλων a τῶν μερῶν om. E 28 μερῶν] πολλῶν E 29 μονάδες] δυνάμεις E 30 δ' om. Aa

που, ὅλον ἐν ἑαυτῷ καὶ ἀνελλιπῆ τὸν ἐκείνου περιφέρει λόγον, καὶ ὅλον ἐν τῷ μέρει ἐστίν ὡς ἐν τῷ μέρει τοῦ ὅλου ὅλον ἔχων τὸ ὅλον κατὰ τὸν λόγον. τὸ δὲ εἶδος ὅλον ὡς ἐκ μερῶν τῶν ὑπ' αὐτὸ συγκείμενον, καὶ τὸ γένος αὖθις ἐκ τῶν εἰδῶν· ὡς εἰ εἶδος ἐπιλείπει, κολοβοῦσθαι τὸ ὡς γένος ὅλον, καὶ εἰ τῶν καθ' ἕκαστά τι, κολοβοῦσθαι τὸ ὡς εἶδος ὅλον οὐ κατὰ τοὺς οἰκείους λόγους (οὐ γὰρ καθ' οὐσία ἔμψυχος αἰσθητικὴ τὸ ζῷον κολοβωθήσεται, | εἰ ἵππος ἐπιλείποι ἢ βοῦς ἤ τι τῶν ὑπ' αὐτὸ εἰδῶν ἕτερον, 96 ὥσπερ οὐδὲ ἡ ζῷον πεζὸν δίπουν ὁ ἄνθρωπος, Σωκράτους ἐπιλείποντος ἢ Πλάτωνος). ἀλλ' ἐπεὶ τὰ οὕτω καθόλου ὡς ἐννοηματικὰ ἐν τούτῳ ἔχει τὸ εἶναι καὶ ἐνεργεῖν, ἐν τῷ περιέχειν τὰ ὑπ' αὐτὸ καὶ κατηγορεῖσθαι αὐτῶν, εἴ τι ἐπιλείποι τῶν ὑπ' αὐτά, κεκολόβωται κατὰ τὸ λεῖψαν, ἐκεῖνο μὴ περιέχοντα μήτε μὴν ἐκείνου κατηγορούμενα. λέγονται δὲ τὰ τοιαῦτα ὅλα καὶ ἐν τοῖς μέρεσιν ὡς ἐν τοῖς ὑπ' αὐτὰ θεωρούμενα ὅλα κατὰ τοὺς οἰκείους αὐτῶν λόγους· οὐ γὰρ ὡς ποὺς ἢ χείρ, οὕτω τὸ γένος ὅλον πρὸς τὸ εἶδος, ἢ τὸ εἶδος πρὸς τὰ καθ' ἕκαστα, ἀλλ' ὡς ὅλων ἑαυτῶν μεταδιδόντα τοῖς ὑπ' αὐτὰ καὶ ὅλα ἐν αὐτοῖς θεωρούμενα.

p. 96b25 Αἱ δὲ διαιρέσεις αἱ κατὰ τὰς διαφορὰς χρήσιμοί εἰσιν.

Ἡ μὲν τῆς θήρας τῶν ὁρισμῶν μέθοδος παραδέδοται ἱκανῶς ὡς πρὸς τὴν παροῦσαν χρείαν. ἐπεὶ δὲ οἱ περὶ Πλάτωνα τὴν διαίρεσιν ἀναγκαίαν ἐτίθεντο μέθοδον τῆς τῶν ὁρισμῶν εὑρέσεως, δέον ἰδεῖν ἐστιν ἐν τίσιν ἡ διαίρεσις συντελεῖ. αἱ τοίνυν τῶν γενῶν διὰ τῶν διαφορῶν γινόμεναι διαιρέσεις οὕτω δεικνύουσιν ὡς μηδὲν συλλογιστικῶς συμπεραίνουσαι, ἀλλὰ τὰ μὲν γένη λαμβάνουσαι ὡς ὁμολογούμενα, τῶν δέ γε ἀντικειμένων διαφορῶν τὴν μὲν ἀποφάσκουσαι, τὴν δὲ ταύτῃ ἀντικειμένην ἐκ τῆς ἀναιρέσεως ἐκείνης εἰσάγουσαι, καθὰ καὶ ἐν τοῖς Προτέροις εἴρηται ἀναλυτικοῖς, ἀλλὰ δὴ κἀν τῷ παρόντι βιβλίῳ. μόνον δὲ χρησιμεύουσι πρὸς τὸ συλλέγειν τὰ καθ' αὑτὰ ὑπάρχοντα τῷ προκειμένῳ πράγματι, οὗ ζητοῦμεν ἀποδοῦναι τὸν ὁρισμόν, ἐξ ὧν ὁ τοῦ εἶναι λόγος συντέθειται. οὐ μέντοι γε ἀποδεικτικῶς, ἀλλ' ὡς εἴρηται, ὡς εἶναι τὴν δοκοῦσαν δεῖξιν ἐκ τῆς διαιρέσεως γίνεσθαι τοιαύτην οἵαν καὶ εὐθὺς λαμβάνειν ἅπαντα τὰ δοκοῦντα δείκνυσθαι· ὡς ἀδιάφορον δοκεῖν, εἴτε καὶ πρὸ τῆς διαιρέσεως ἐξ ἀρχῆς ἐλαμβάνετο ταῦτα, εἴτε δὴ καὶ μετὰ τὴν διαίρεσιν. ἀλλὰ καὶ τὸ κατιέναι ἡμᾶς διὰ τῶν διὰ μέσου, μηδὲν παραλείποντας ἐν ταῖς διαιρέσεσιν, οὐ σμικρόν τι συντελεῖ πρὸς τοὺς ὁρισμούς. εὑρίσκομεν γὰρ ἐντεῦθεν, τίνα πρῶτα καὶ τίνα δεύτερα, τίνα περιέχοντα καὶ τίνα περιεχόμενα· ὅπερ ἡμῖν εἰς τὴν

3 αὐτὰ E post αὐτὸ add. τινῶν Aa 4 ἐπιλείποι E 5 καὶ εἰ—ὅλον om. E 7 ἐπιλίπῃ Aa 8 ἐπιλιπόντος Aa 9 τούτοις E 10 καὶ post εἶναι om. Aa 15 πρὸς τὸ Aa ὅλον ἑαυτὸ E 20 ἐτίθετο Aa τίσιν] τοῖσιν Aa 21 διαίρεσιν Aa 25 ἐν τοῖς Προτέροις—ἀναλυτικοῖς] cf. Anal. pr. A 31 26 ἐν τῷ παρόντι βιβλίῳ] Anal. post. B 5 27 καθ' αὑτὸ E 28 συντίθεται Aa 31 ἐλάμβανε Aa 33 διὰ μέσον a

εὐταξίαν λυσιτελεῖ τῶν εἰς τὴν σύνθεσιν παραλαμβανομένων τῶν ὁρισμῶν. 96
οὐ γὰρ μικρὸν διαφέρει τὸ οὕτως ἢ ἐκείνως τάξαι, ἀλλὰ χρὴ προτάττειν
τὰ περιεκτικώτερα καὶ ὑποτάττειν τὰ ἐλάττονα· εἰ δὲ μή, ἀδιανόητα λέξομεν.
ἔστω γὰρ ὁρισμὸς ἀνθρώπου τὸ ζῷον ἥμερον δίπουν. οὐ μικρὸν δὴ διαφέρει οὕτως εἰπεῖν τάξαντας ἢ ὑπαλλάξαντας δίπουν ζῷον ἥμερον εἰπεῖν· ὁ γὰρ μετὰ τὸ δίπουν τὸ ζῷον ἐπενεγκὼν ἀδιανόητόν τι εἴρηκε, πρόφασιν δοὺς ὑπονοεῖν, ὡς ἔστι τι δίπουν ὃ μὴ ζῷόν ἐστιν. ἔτι δέ ἐστι καὶ ἕτερον εἰπεῖν, πρὸς ὃ τοῖς ὁρισμοῖς αἱ διαιρέσεις συμβάλλονται· τοῦτο δέ ἐστι τὸ μηδὲν παραλιπεῖν τῶν ἐν τῷ τί ἐστιν, ἤγουν τῶν διαφορῶν τῶν συμπληρουσῶν τὸν ὁρισμόν. κατὰ τὴν προσήκουσαν γὰρ τάξιν τὰς διαιρέσεις ποιούμενοι τὰς διαφορὰς ἁπάσας εὑρήσομεν ἀνελλιπῶς, ἐξ ὧν ὁ ὁρισμὸς συντεθήσεται· ἄλλως δὲ οὐ δυνάμεθα τοῦτο κατορθοῦν ἢ διὰ μόνης τῆς διαιρέσεως. πῶς δὲ τοῦτο γίνεται, διὰ τοῦ παραδείγματος ἔσται σαφέστερον. ὅταν γὰρ τὸ τῶν διαφορῶν ὑπερκείμενον ληφθῇ γένος οἷον τὸ ζῷον, καὶ μέλλῃς τοῦτο διελεῖν, οὐ χρή σε λαμβάνειν τὰς τυχούσας διαφοράς, ἀλλὰ τὰς τούτῳ προσεχεῖς καὶ ἑξῆς οὕτως, καὶ τοῦτον τὸν τρόπον πάντα εὑρήσεις ἀνελλιπῶς τὰ ἐν τῷ τί ἐστι τοῦ γένους κατηγορούμενα. καὶ ὅταν οὕτω προβαίνων ὁδῷ εἰς τὴν ἐσχάτην καταντήσῃς διαφοράν, τηνικαῦτα τὰ ἐκλελεγμένα τῷ γένει συνθεὶς ἕξεις σῶον τὸν ὁρισμόν. οἷον ζητουμένου ὁρισμοῦ τοῦ ἀνθρώπου τὸ προσεχὲς αὐτοῦ λήψῃ γένος, ὅπερ τὸ ζῷόν ἐστι. τοῦτο διαιρήσεις εἰς πτηνόν, νηκτὸν καὶ πεζόν· τὸ πεζὸν εἰς ὑπόπουν καὶ ἄπουν, τὸ ὑπόπουν εἰς δίπουν, τετράπουν καὶ πολύπουν· τοῦτο ἡ ἐσχάτη διαφορά. συντεθέντων δὴ τῶν εὑρημένων ὅσα τῷ ἀνθρώπῳ ὑπάρχει μετὰ τοῦ γένους, ἔσται σοι σῶος ὁ ὁρισμὸς ἄνθρωπον εἶναι λέγοντι ζῷον πεζὸν ὑπόπουν δίπουν. πόθεν δὲ ἡμῖν διελοῦσι τὸ γένος περιέσται γινώσκειν, εἴτε τὰς τῷ γένει προσεχεῖς διαφορὰς εἰλήφαμεν εἴτε μή; ὅταν αὐτὸ διαιρῶμεν, χρὴ σκοπεῖν τὰς ἀντικειμένας διαφοράς· καὶ εἰ μὲν ἅπαν διαιροῦσι τὸ γένος, ὡς μηδὲν ἔξω αὐτοῦ καταλείπεσθαι, αἱ προσεχεῖς αὐτῷ εἰσιν· εἰ δέ τι τοῦ γένους ἐκτός ἐστι τῶν εἰλημμένων διαφορῶν πασῶν τῶν ἀντιδιῃρημένων παρειλημμένων, δῆλον ὡς οὐχ αἱ προσεχεῖς ἐλήφθησαν, ἀλλὰ τῶν ὑπ' αὐτό τινος αἱ ληφθεῖσαί εἰσι διαιρετικαί. τὸ γὰρ ζῷον διελόντες εἰς τὸ ὁλόπτερον καὶ σχιζόπτερον οὐ πᾶν περιλαμβάνομεν, εἰς δὲ τὸ πτηνὸν καὶ νηκτὸν καὶ πεζὸν οὐδὲν ἔξω αὐτοῦ καταλείπομεν. ὥστε ἐκεῖναι μὲν οὐ τοῦ ζῴου διαιρετικαὶ ἀλλὰ τῶν ὑπ' αὐτό τινος, δηλονότι τοῦ πτηνοῦ, αἱ δὲ τοῦ ζῴου ὡς πᾶν αὐτὸ ἀνελλιπῶς διερχόμεναι.

p. 96b25 Αἱ δὲ διαιρέσεις αἱ κατὰ τὰς διαφοράς.

Μέθοδον παραδοὺς τῆς τῶν ὁρισμῶν εὑρέσεως ἀντιλέγει νῦν τοῖς ἄλλως ἢ ὡς αὐτὸς εἴρηκεν εὑρίσκεσθαι τοὺς ὁρισμοὺς λέγουσιν· ἐκ γὰρ διαιρέσεως

---

1 συντελεῖ Aa 4 ἔστω] ἔστι E 7 τι om. Aa 15 τοῦτο] τοῦτον E διαιρεῖν Aa 16 ἑξῆς οὕτως] ἐξ αὐτῆς οὕτω E 17 γένους] προκειμένου E 18 προβαίνην ὅλω E 19 ἐκλεγομένα a 22 τὸ ὑπόπουν] καὶ ὑπόπουν a 26 προσεχεῖς] πεχεῖς (sic) E εἰλήφαμεν om. E post μὴ add. ἐλάβομεν E ὅταν — καὶ (27) om. E

οἱ περὶ Πλάτωνα συνιστᾶν ἐπειρῶντο τοὺς ὁρισμούς. πλὴν οὐχὶ καὶ νῦν, ὡς πρότερον ἐδόκει ποιεῖν, ἀχρήστους πάντῃ τὰς διαιρέσεις πρὸς τοὺς ὁρισμοὺς τίθησιν, ἀλλὰ λέγει μέχρι τίνος αὐτοῖς εἰσι χρήσιμοι. ἡμεῖς μὲν οὖν, φησί, ταῦτα περὶ τῆς τῶν ὁρισμῶν εὑρέσεως λέγομεν· αἱ δὲ διαιρέσεις τῶν γενῶν αἱ διὰ τῶν διαφορῶν εἰς τὰ εἴδη γινόμεναι (τοῦτο γάρ ἐστι τὸ κατὰ τὰς διαφορὰς τὰ γένη διαιρεῖσθαι, καθὼς καὶ Πορφύριος ἐν Εἰσαγωγαῖς "καθ' | ἃς διαιρούμεθα τὰ γένη εἰς τὰ εἴδη") χρήσιμοι οὖν εἰσιν 97 αὗται, φησίν, εἰς τὸ οὕτως αὐτὰς μετέρχεσθαι, ὡς προϊὼν ἐρεῖ.

p. 96ᵇ26 Ὡς μέντοι δεικνύουσιν, εἴρηται ἐν τοῖς πρότερον.

Εἴρηκε μὲν γὰρ ἐν τοῖς Προτέροις ἀναλυτικοῖς, εἴρηκε δὲ καὶ ἐνταῦθα ὅτι δεικνύουσι μέν, ἀλλ' ἀναγκαῖον οὐδέν, ἀλλ' ἐκ τοῦ λαμβάνειν καὶ ὑποτίθεσθαι.

p. 96ᵇ27 Χρήσιμοι δ' ἂν εἶεν ὧδε.

Τὸ χρήσιμον ἐντεῦθεν τῆς διαιρέσεως παρίστησιν. πρὸς τὸ συλλέγειν, φησί, τὸ τί ἐστιν ἤγουν τὸν ὁρισμόν, χρησιμεύουσιν ἐκ διαφόρων μερῶν συνιστάμενοι· τοῦτο γάρ ἐστι τὸ συλλογίζεσθαι δηλοῦν ἐνταῦθα, ἀλλ' οὐχὶ τὸ διὰ συλλογισμοῦ δεικνύναι. εἴρηκε γὰρ προλαβὼν ὅτι οὐ δείκνυται ὁ ὅρος διὰ συλλογισμοῦ, καὶ ὅτι αἱ διαιρέσεις οὐ συλλογίζονται ἀλλ' ἢ ἀσθενῶς, λαμβάνουσαι τὸ ζητούμενον. συνάγουσι δὲ τὸ τί ἐστιν αἱ διαιρέσεις τὸ γένος λαμβάνουσαι καὶ διαιροῦσαι εἰς τὰς διαφοράς, ἄχρις οὗ εἰς τὰς ἐσχάτας διαφορὰς καταντήσωσι, καὶ τηνικαῦτα συντιθεμένων πασῶν μετὰ τοῦ γένους ἀποτελοῦσαι τὸν ὁρισμόν, ὡς καὶ αὐτὸς ἐν ἄλλοις τε ποιεῖ, καὶ δὴ καὶ ἐν τοῖς Νικομαχείοις ἠθικοῖς τῆς ἀρετῆς εὑρίσκων τὸν ὁρισμόν.

p. 96ᵇ28 Καίτοι δόξειεν ἂν οὐθέν.

Εἰ καὶ δοκεῖ, φησίν, ἴσως δεικνύναι τι ἡ διαίρεσις, ἀλλ' εἰ ἀληθῶς ἐξετάσει τις, οὐδὲν ἄλλο ποιεῖν φανήσεται ἢ λαμβάνειν ἅπαντα ὡς ὁμολογούμενα, καὶ οὕτως ὥσπερ εἰ καὶ ἄνευ τοῦ διαιρεῖν ἐξ ἀρχῆς εὐθὺς μηδὲν πραγματευσάμενός τις ἐλάμβανε ταῦτα.

p. 96ᵇ30 Διαφέρει δέ τι τὸ πρῶτον.

Πεφεισμένως ἔοικε τὸ τῶν διαιρέσεων ὁμολογεῖν χρήσιμον φυλαττόμενος ὥσπερ αὐτὸς ἑαυτῷ ἀντιπεσεῖν, διασύρας μὲν πρότερον ὡς ἀχρή-

---

6 Πορφύριος ἐν Εἰσαγωγαῖς] Brandis Scholia in Arist. p. 3ᵇ5 10 ἐν τοῖς Προτέροις ἀναλυτικοῖς] A 31 14 παρέστησε E 15 χρήσιμοι εἰσὶν E 16 συνιστάμενον libri 17 τὸ om. E 19 αἱ om. Aa 20 οὗ] ἂν E 22 ἀποτελοῦσι Aa 23 καὶ om. Aa ἐν τοῖς Νικομαχείοις ἠθικοῖς] B 4—6 τῆς ἀρετῆς om. Aa εὑρίσκον Aa 30 τῶν om. a 31 ἑαυτῶν a

στους αὐτάς, νῦν δὲ αὖθις δηλῶν ὅτι χρησιμεύουσι. καὶ αὐτὸ γὰρ ὁ πει- 97
ρᾶται αὐτῶν εἰπεῖν χρήσιμον, ἐστενωμένως τε καὶ ἐλλιπῶς παρεισάγει, καὶ
τὴν αὐτῶν μεταξὺ διασπείρων διαβολήν. βουλόμενος οὖν εἰπεῖν ὅτι πρὸς 25
τὸ εὐτάκτως λαμβάνεσθαι τὰ μέρη τῶν ὁρισμῶν λυσιτελοῦσιν αἱ διαιρέσεις,
5 οὐκ ἀνέχεται τοῦτο εἰπεῖν φανερώτερον, ἀλλὰ τὴν διαφορὰν λέγει τῆς ἀταξίας
καὶ τῆς εὐταξίας τῶν ὁρισμῶν, καὶ ταύτην μετ' εὐτελισμοῦ τινος καὶ ὑποστο-
λῆς, διαφέρει δέ τι φάσκων τὸ πρῶτον καὶ ὕστερον τῶν κατηγορου-
μένων κατηγορεῖσθαι. καίτοι οὐ σμικρὰ αὕτη ἀλλὰ καὶ μεγάλη δια-
φορὰ τὸ οὕτως ἢ ἐκείνως λαβεῖν, καὶ μεγάλη τις ἐν τοῖς ὁρισμοῖς ἁμαρτία 30
10 τὸ ἀτάκτως αὐτῶν τὰ μέρη συντίθεσθαι. ὅπως δὲ ἁμαρτάνουσιν οἱ ἀτάκ-
τως τὰ ἐν τῷ τί ἐστι κατηγορούμενα συντιθέντες, ἱκανῶς εἴρηται πρότερον.

p. 96ᵇ32 Εἰ γὰρ ἅπαν ἐκ δύο ἐστί καὶ ἕν τι τὸ ζῷον.

Πάλιν μεταξὺ τοῦ χρησίμου τῶν διαιρέσεων τὴν αὐτῶν διαβολὴν τίθησιν,
πανταχόσε ταύτην ἀναμιγνὺς καὶ κυκεῶνά τινα ἐργαζόμενος, ὅπως συγχέῃ 35
15 αὐτῶν τὸ χρήσιμον. οὐ μόνον γάρ, φησί, πολυμερῶν ὄντων τῶν ὁρισμῶν
τῷ πλείους τοῖς γένεσι συντίθεσθαι διαφορὰς ἐκ τοῦ αἰτεῖσθαι τὰ σύμ-
παντα τοὺς ὁρισμοὺς αἱ διαιρέσεις ἀποτελοῦσιν, ἀλλὰ κἂν ὡς ὅτι ἐλάχιστα
μέρη τὰ τὸν ὁρισμὸν ἀποτελοῦντα θήσομεν, οὐδὲ ταῦτα δύναται ἡ διαί-
ρεσις ἄνευ τοῦ αἰτεῖσθαι συστήσασθαι. οἷον εἰ ἐκ δύο μερῶν τὸν ὁρισμὸν
20 ἐροῦμεν συγκεῖσθαι (ἐλάττω γὰρ τούτων εἰπεῖν οὐκ ἐνδέχεται) ὡς ἕν τι 40
λαβόντες τὸ ζῷον ἥμερον καὶ γένος ἀνώνυμον τοῦτο εἶναι θέμενοι, εἶτα
ἐκ διαιρέσεως καὶ διαφοράς τινας εἰληφότες ἢ τὸ δίπουν ἤ τι ἕτερον, ἐξ
ἧς καὶ τοῦ γένους ἕν τι ποιοῦμεν εἴτε ἄνθρωπον εἴτε ἄλλο τι, ἀναγκαῖόν
ἐστιν ἐν τῷ διελεῖν αἰτεῖσθαι, ὡς τῆς διαιρέσεως ἄνευ τοῦ αἰτεῖσθαι μηδὲν
25 ἐπιχορηγούσης τῶν συμβαλλομένων εἰς ὁρισμόν. οἷον εἰ ζῷον ἥμερον εἴη
τὸ γένος, ὃ τὸν ἄνθρωπον βουλόμενοι ὁρίσασθαι λαμβάνομεν, διαιρήσομεν
τοῦτο εἰς πεζόν, νηκτὸν καὶ πτηνόν· ἄμφω δὲ καταλιπόντες τὸ νηκτὸν καὶ 45
πτηνόν, τὸ πεζὸν ληψόμεθα, μηδὲν ἢ ὅτι πεζὸν ὁ ἄνθρωπος εἰς τὸ δεῖξαι
πραγματευσάμενοι πρὸς τῷ καὶ τὸ γένος ἐκ τοῦ αἰτεῖσθαι λαβεῖν. τὸ δὲ
30 εἰ γὰρ ἅπαν ἐκ δύο ἐστὶ περὶ τοῦ ὁριστοῦ φησιν 'εἰ τὸ ὅλον ἐκ δύο
καὶ οὐ πλειόνων σύγκειται, γένους τε καὶ μιᾶς διαφορᾶς'. δεῖ δὲ ὡς δύο
ταῦτα λαβεῖν, ἰδίᾳ μὲν τὸ εἰ γὰρ ἅπαν ἐκ δύο ἐστί, ἰδίᾳ δὲ τὸ καὶ ἕν τι τὸ
ζῷον ἥμερον, ὡς ἐξακούεσθαι καὶ ἐπὶ τούτου τὸν εἰ σύνδεσμον, εἶτα πρὸς
ἀμ|φότερα ἀποδίδοσθαι τὸ ἀναγκαῖον διελόμενον αἰτεῖσθαι· ὡς εἶναι 98
35 τὸ λεγόμενον τοιοῦτον ὅτι κἂν ἐκ δύο μόνων ὁ ὁρισμὸς ἀπαρτίζοιτο ὡς ὅτι

---

3 αὐτῶν om. E 4 ὁρισμῶν] συλλογισμῶν E 6 τῆς om. E εὐτελισμοῦ] εὐρισμοῦ E 14 πανταχόθεν a ταῦτα E 17 αἱ διαιρέσεις τοὺς ὁρισμοὺς coll. E 18 τὰ om. E 21 εἶναι om. Aa 22 καὶ om. Aa διαφοράν τινα Aa ἢ τὸ ἕτερον Aa 24 διαιρεῖν E 25 ἐπὶ χορηγούσης libri 27 εἰς πτηνὸν νηκτὸν καὶ πεζὸν coll. E 27. 28 πτηνὸν καὶ νηκτὸν coll. E 28 ἢ om. Aa 31 συγκέοιτο E 34 ἀποδίδωσθαι a

ἐλαχίστων, κἂν τὰ δύο ὡς γένος ἀνώνυμον ᾖ καὶ δεῖ προσθεῖναι τούτοις 98
ἕτερον εἰς ἀπαρτισμὸν τοῦ ὁρισμοῦ, οὐδαμῶς ἂν ἄλλως προβῆναι τῇ διαιρέσει γένοιτο, εἰ μή γε αἰτήσεται.

p. 96b35 Ἔτι πρὸς τὸ μηδὲν παραλιπεῖν.

Τοῦτο ἕτερόν ἐστι τῆς διαιρέσεως χρήσιμον. ἐπεὶ γὰρ ἐκλεγομένους τὰ μέρη τοῦ ὁρισμοῦ δεῖ πάντα εὑρεῖν ἀνελλιπῶς τὰ ἐν τῷ τί ἐστι κατηγορούμενα καὶ ἐκ τούτων συνθεῖναι τὸν ὁρισμόν, φησὶ τοῦτον μὴ ἂν ἄλλως γενέσθαι ἢ διὰ τῆς διαιρέσεως. εἶτα καὶ κανόνα τινὰ διαιρετικὸν παραδίδωσιν πρὸς τὸ μηδὲν ἡμᾶς ἐκφυγεῖν τῶν ἐν τῷ τί ἐστι κατηγορουμένων· οὐ γὰρ ὡς ἔτυχε διαιροῦντες τοῦτο δυνάμεθα κατορθοῦν.

p. 96b36 Ὅταν γὰρ τὸ πρῶτον ληφθῇ γένος.

Πρῶτον γένος φησὶ τὸ τῶν διαφορῶν πασῶν τῶν μετ' αὐτὸ ὑποκείμενον, ἐπεὶ γένος καὶ τῶν ἐφεξῆς ἕκαστον μετὰ τοῦ πρώτου συγκείμενον, ἕως οὗ τῷ ἀτόμῳ εἴδει ἐξισάσῃ τὰ συντιθέμενα. τὸ γὰρ ζῷον πεζὸν ἢ ζῷον πτηνὸν γένος ἐστίν, ἀλλ' οὐ τὸ πρῶτον ἀνθρώπου ἢ κόρακος, ἀλλὰ τὸ ζῷόν ἐστι τὸ πρῶτον. ὅταν οὖν, φησί, τὸ πρῶτον γένος λάβωμεν τὸν ὁρισμόν τινος τῶν ὑπ' αὐτὸ εἰδῶν συστῆσαι βουλόμενοι, πῶς ἐπιγνωσόμεθα, εἰ μηδὲν παραλιμπάνομεν, τουτέστιν εἰ τὰ μετ' αὐτὸ εὐθὺς παραλαμβάνομεν καὶ οὐχὶ τὰ τούτων κάτωθεν; ἐκ τοῦ πᾶν τὸ διαιρούμενον ἐμπίπτειν ἢ μὴ εἰς τὰ ὡς διαιρετικὰ αὐτοῦ λαμβανόμενα. εἰ γὰρ μὴ τὰ εὐθὺς μετ' αὐτό τις λαμβάνει ἀλλὰ τὰ κάτωθεν, οὐκ ἐμπεσεῖται ἅπαν εἰς τὰ εἰλημμένα τὸ διαιρούμενον. οἷον εἴ τις τὸ ζῷον εἰς ὁλόπτερον διαιρήσει καὶ σχιζόπτερον· οὐ γὰρ πᾶν ἢ τοῦτο ἢ ἐκεῖνο ζῷον, ἀλλ' ἔστιν ἔξω τούτων τοῦ ζῴου ὅπερ τούτων μηδέτερον, ὥστ' οὐ τῶν ἐφεξῆς τὰ εἰλημμένα, ἀλλὰ τῶν κάτωθεν. τοῦτο τοίνυν ἐστὶν ὃ εἴρηκεν, ὅτι ἂν τῶν κάτωθέν τινα διαιρέσεων λαμβάνῃ, οὐκ ἐμπεσεῖται ἅπαν εἰς τοῦτο, κάτωθεν διαιρέσεις λέγων τὰς μετὰ τὴν προσεχῆ τῷ γένει καὶ αὐτῇ μᾶλλον ἁρμοζούσας ἀλλ' οὐχὶ τῷ γένει. πῶς δὲ ἐνικῶς εἶπε τὸ μὴ ἐμπεσεῖσθαι εἰς τοῦτο, μὴ εἰς ἓν γινομένης τῆς διαιρέσεως, ἀλλ' εἰς δύο τοὐλάχιστον; ἢ κατὰ τὸν τρόπον τῆς διαιρέσεως τὸ ἐνικὸν εἴληφεν· εἰ γὰρ καὶ πλείω ἢ ἓν τὰ εἰς ἃ διαιρεῖται τὸ διαιρούμενον, ἀλλ' ὁ τρόπος εἷς, καθ' ὃν ἡ διαίρεσις εἴληπται. οἷον ὡς εἴ τις τὸ ζῷον κατὰ τὰ μόρια διαιρήσει τῶν ὑπ' αὐτὸ εἰδῶν εἰς ὑπόπουν καὶ ἄπουν, ἢ κατὰ τὴν τῶν τόπων διαφοράν, ἐν οἷς διατρίβουσιν, ὡς ἀέρια λέγομεν καὶ χερσαῖα καὶ ἔνυδρα, ἢ κατὰ τὸν τρόπον τῆς μετα-

---

1 ἐλάχιστα E 2 οὐδαμῶς] οὐκ E 7 τοῦτον] τοῦτο Ea 10 διαιροῦντες om. Aa 19 τούτου E 23 πᾶν ἢ] πᾶν ἐστι Aa τούτων] τοῦτο E 27 προσεχῶς E ἀλλ' om. Aa 30 ἀνικὸν E 34 ἄρια Aa ἄνυδρα E

βάσεως, ὡς πτηνόν φαμεν καὶ πεζὸν καὶ νηκτόν· ἢ καὶ ὅτι μία ἡ ἀντί- 98
θεσις, κἂν οἱ ὅροι διάφοροι. 30

p. 96ᵇ39 Ἀλλὰ πτηνὸν ζῷον ἅπαν.

Ὁλόπτερον μέν, φησίν, ἢ σχιζόπτερον οὐχὶ πᾶν ζῷον ἁπλῶς, πτηνὸν
5 δὲ ζῷον ἅπαν ἢ ὁλόπτερον ἢ σχιζόπτερον, ὡς τοῦ πτηνοῦ ζῴου τῆς διαφορᾶς ταύτης οὔσης, ἀλλ' οὐχὶ τοῦ ἁπλῶς.

p. 97ᵃ1 Πρώτη δὲ διαφορά ἐστι ζῴου.

Ἡ μὲν ῥηθεῖσα, φησί, διαφορὰ οὐ τοῦ ζῴου ἐστίν, ἀλλὰ τοῦ πτηνοῦ, 35
ὅπερ ὑπὸ τὸ ζῷόν ἐστιν· ἐκείνη δέ ἐστι προηγουμένως καὶ κυρίως διαφορὰ
10 τοῦ ζῴου, εἰς ἣν ἅπαν αὐτὸ διαιρεῖται, ὡς μηδὲν αὐτοῦ εἶναι ταύτης ἐκτός, εἴτε κατὰ τοὺς τόπους ἐστίν, ὡς εἴρηται πρότερον, εἴτε κατὰ τὰ μόρια τῶν εἰδῶν, εἴτε κατά τι ἄλλο, ὅπερ ἡ μὲν τοῦ πτηνοῦ μετὰ τῶν αὐτῷ ἀντιδιῃρημένων, ἤτοι τοῦ νηκτοῦ καὶ πεζοῦ ἔχει, παντὸς εἰς αὐτὴν τοῦ ζῴου ἐμπίπτοντος, ἡ δὲ τοῦ ὁλοπτέρου καὶ σχιζοπτέρου οὐχί. αἱ δὲ τὰ ὑπὸ 40
15 τὸ ζῷον διαιροῦσαι εἰς ἕτερά εἰσι μέν πως καὶ αὗται τοῦ ζῴου διαφοραί (διαφέρει γὰρ ζῷον ζῴου τῷ τὸ μὲν ὁλόπτερον εἶναι τὸ δὲ σχιζόπτερον· τῶν γὰρ ὑπ' ἄλληλα τεταγμένων οὐδὲν κωλύει τὰς αὐτὰς εἶναι διαφοράς) ἀλλὰ δευτέρως καὶ διὰ μέσων τῶν ὑπ' αὐτὸ εἰδῶν.

p. 97ᵃ2 Ὁμοίως δὲ καὶ τῶν ἄλλων ἑκάστου.

20 Ὥσπερ ἐπὶ τοῦ ζῴου, φησίν, ἔχει ὅτι χρὴ τὰς πρώτας αὐτοῦ λαμ- 45
βάνειν διαφοράς, καὶ ταύτας τοιαύτας οὔσας ἐπιγινώσκομεν ἐκ τοῦ πᾶν εἰς αὐτὰς ἐμπίπτειν τὸ διαιρούμενον, οὕτω καὶ τῶν ἄλλων ἑκάστου ἔχουσιν αἱ διαφοραί, εἴτε τῶν ἔξω τοῦ ζῴου εἴτε τῶν ὑπ' αὐτό· οἷον ἔξω τοῦ ζῴου τά τε ὑπὲρ αὐτό, ὡς τὸ ἔμψυχον, καὶ τὰ ἀντιδιῃρημένα αὐτῷ ὡς
25 τὸ φυτόν. ἔξω δὲ λέγεται ταῦτα τοῦ ζῴου ὡς μὴ περιεχόμενα ὑπ' αὐτοῦ, ὥσπερ αὖθις ἐντὸς τὰ περιεχόμενα. ἐμψύχου τε γὰρ διαφορὰ εἰς ἣν ἅπαν ἐμπίπτει τὸ ἔμψυχον, καὶ φυτοῦ ὡσαύτως, καὶ πάλιν ὄρνιθος καὶ 50
ἰχθύος ὁμοίως.

p. 97ᵃ4 Οὕτως μὲν οὖν βαδίζοντι ἔστιν εἰδέναι. |

30 Ἐὰν οὕτω, φησί, γίνηται καὶ τὰς πρώτας ἀεὶ διαφορὰς τοῦ διαιρου- 99
μένου λαμβάνῃ τις ὁδῷ βαδίζων εἰς εὕρεσιν τοῦ ὁρισμοῦ, δυνήσεται εἰδέναι

---

1 νυκτόν a 5. 6 τῆς διαφορᾶς ταύτης τοῦ πτηνοῦ ζῴου coll. Aa 14. 15 ὑπὸ τοῦ ζώου E 18 δευτέρου a 22 τὸ] τὸν Aa 24 τὰ post καὶ om. Aa 25 ἔξω δὲ—ὑπ' αὐτοῦ om. Aa

ὡς οὐδὲν τῶν ἐν τῷ τί ἐστι παραλέλειπται. εἰ δὲ μὴ οὕτως ἀλλ' ἄλλως 99
ποιήσει, ἀναγκαῖόν ἐστι καὶ παραλιπεῖν τι τῶν ἐν τῷ τί ἐστι καὶ μὴ εἰδέναι
ὅτι παραλέλοιπεν. εἰ γὰρ ᾔδει ὅτι παραλέλειπται, ἐγνώκει ἂν ὅτι οὐδὲ τὰς 5
οἰκείας καὶ πρώτας εἴληφε τοῦ διαιρουμένου διαφοράς. τὰς δὲ μὴ πρώτας
5 ὡς πρώτας λαβὼν καὶ τὰς μὴ οἰκείας ὡς οἰκείας δῆλον ὅτι καὶ ὅτι παρα-
λέλειπται ἠγνόηκε. μήποτε δὲ τοῦτο οὐκ ἐκ τοῦ εὐθέος εἰς παράστασιν
παρέλαβε τοῦ χρησίμου τῆς διαιρέσεως, ἀλλ' ἵνα δείξῃ ὅτι οὐδ' εἰς τοῦτο
ἁπλῶς συντελεῖ ἡ διαίρεσις, λέγω δὴ τὸ μηδὲν παραλιπεῖν τῶν ἀνηκόντων
τῷ ὁρισμῷ, ἀλλ' ὁ τρόπος τῆς τῶν διαφορῶν λήψεως. καίτοι εἰ τὰς ἁμαρ-
10 τίας τῶν μετιόντων κακῶς ταῖς ἐπιστήμαις προσάψομεν, πᾶσαι διαβληθή- 10
σονται· εἰσὶ γὰρ ἐν πάσαις οἱ ἀνεπιστημόνως αὐτὰς μετερχόμενοι, ὥσπερ
καὶ ἐπ' αὐτῶν τῶν συλλογισμῶν οἱ ἀσυλλογίστως συλλογιζόμενοι. καθόλου
γὰρ τὸ κατὰ τρόπον μετιέναι τῆς ἐπιστήμης, τὸ δὲ παρὰ τρόπον παράλογόν
τε καὶ ἀνεπίστημον.

15 p. 97a 6 Οὐδὲν δὲ δεῖ τὸν ὁριζόμενον καὶ διαιρούμενον.

Περὶ μὲν ὅρου πῶς τε θηρεύεται καὶ ὅπως αὐτῷ ἡ διαίρεσις συντελεῖ,
εἴρηται. ἐπεὶ δὲ Σπεύσιππος πιθανόν τινα λόγον εἰσαγαγεῖν ἔοικε, δι' οὗ
τὴν ὁριστικὴν ἐπειρᾶτο ἀνελεῖν καὶ δεῖξαι ἀδύνατον τὸ ὁρίζεσθαι, χρὴ μὴ
παρελθεῖν τὸν λόγον ἀνεπισκόπητον, ὥσπερ τι πρόσκομμα κείμενον εἰς
20 ἐμποδισμὸν τῆς κατὰ τὴν ἐπιστήμην προόδου, ἀλλ' ἐξελεῖν ἐκ μέσου τοῖς
ἐκ τῆς ἀληθείας ἐλέγχοις. ὁ σκοπός, φησί, τοῦ ὁρίζεσθαι τὴν ἰδίαν οὐσίαν 20
παραστῆσαι τοῦ ὁριστοῦ· τοῦτο δ' οὐκ ἂν ἄλλως γένοιτο, εἰ μή τις αὐτὸ
τῷ λόγῳ τῶν λοιπῶν διαστήσειεν. οὐκ ἂν δὲ διαστήσοι μὴ τὰς διαφορὰς
εἰδὼς τὰς πρὸς ἕκαστα· οὐκ ἂν δὲ τὰς διαφορὰς εἰδείη τὰς πρὸς ἕκαστα,
25 εἰ μὴ εἰδείη ἕκαστον. ὥσθ' ἵν' ἕν τι ὁρίσαιτό τις, εἰδέναι αὐτὸν δέον
ἕκαστον. ὅτι δ' ἀναγκαῖον εἰδέναι τὰς διαφορὰς τὰς πρὸς ἕκαστον τοῦ
προκειμένου τὸν διὰ τοῦ ὁρισμοῦ διιστᾶν αὐτὸ τῶν ἄλλων ἐθέλοντα, δῆλον.
εἰ γὰρ μή ἐστι διαφορὰ πρὸς ἕκαστον, οὐδὲν διαφέρει πρὸς ἕκαστον· δια- 25
φορᾷ γὰρ διαφέρει τὸ διαφέρον· εἰ δὲ μὴ διαφέρει πρὸς ἕκαστον, ταὐτὸν
30 ἑκάστῳ. ἀλλὰ μὴν ἕτερον· ἔστιν ἄρα διαφορά. εἰ δὲ ἔστι, δεῖ ταύτην
εἰδέναι· ἄλλως γὰρ οὐδ' ὅτι διοίσει ἑκάστου εἴσεται, οὐδ' ἄρα λόγον
ἀποδώσει τὸν αὐτὸ τῶν ἄλλων χωρίζοντα. ἵνα ἄρα ὁρισθῇ τι, δεῖ πάντα
εἰδέναι. οὗτος μὲν ὁ λόγος Σπευσίππου, δι' οὗ ἐδόκει ἀναιρεῖν τὸ ὁρίζεσθαι.
καὶ πρῶτον μὲν τοῦτο σεσοφισμένον ὅτι ὁμώνυμον οὖσαν τὴν τοῦ διαφέρειν
35 φωνὴν ἁπλῶς ἐλάμβανεν. οὔτε γὰρ τὸ κατά τι ἀδιάφορον εὐθὺς τῷ εἴδει 30
ταὐτὸν οὔτε τὸ κατά τι διαφέρον ἐξ ἀνάγκης τῷ εἴδει ἕτερον. τοῖς γὰρ

3 παραλέλειπεν a 5 ὡς οἰκείας om. a καὶ ὅτι om. E 6 τοῦτο οὐκ] οὐδὲ τοῦτο Aa 7 παρέλαβε] ἔλαβε Aa 8 λέγω δὲ libri 10 προσγράψομεν E πᾶσι E 18 δεικνύειν E 19. 20 εἰς ἐμποδισμὸν om. E 23 διαστήσοι] διαστήσῃ Aa μὴ scripsi: ἢ libri 24 πρὸς ἕκαστον (bis) E εἰδῇ Aa 25 αὐτῶν Aa 27 διιστάναι E 35 κατά τινος a ἀδιάφορον a

αὐτοῖς τῷ εἴδει πολλὰς ὁρῶμεν οὔσας διαφορὰς πρὸς ἄλληλα, δηλαδὴ τὰς 99
μὴ καθ' αὑτὸ ἀλλά γε κατὰ συμβεβηκός, ὥσπερ καὶ τοῖς ἑτέροις τῷ εἴδει
κοινωνίας τοιαύτας πολλάς. οὐ μόνον δέ, ἀλλὰ καὶ τοῖς τῷ γένει ἐνίοτε·
λευκὸς γὰρ ἔσται καὶ λίθος καὶ ἄνθρωπος, καὶ ἄλλα πολλὰ τοιαῦτα τοῖς
5 ἑτερογενέσι ταὐτὰ εὑρεθήσεται.

Πρῶτον δὴ Σπευσίππου τοῦτο ἁμάρτημα· ἔπειτα μὴ ἀναγκαῖον ὂν ὃ 35
παρεισάγει ἐντεῦθεν ἐλέγχεται. ὅταν γὰρ ὁ τὰ ἐν τῷ τί ἐστιν ἐκλεγόμενος
διαιρῶν τὸ γένος τὰς ἀντικειμένας διαφορὰς λήψοιτο, καὶ ὅτι πᾶν τὸ προ-
κείμενον ἢ εἰς τήνδε τῶν ἀντικειμένων ἐμπίπτει ἢ εἰς τήνδε, καὶ τοῦτο
10 γινώσκει, οὐδὲν διαφέρει πρὸς τοῦτο, εἴτε οἶδεν εἴτε μὴ οἶδεν, ἐφ' ὅσων
ἄλλων ἢ αὕτη ἡ διαφορὰ ἢ ἡ αὐτῇ ἀντικειμένη λέγεται. οἷον ζητουμένου
τοῦ ὁρισμοῦ τοῦ ἀνθρώπου, διελών τις τὸ ζῷον εἰς λογικὸν καὶ ἄλογον,
καὶ λαβὼν ὅτι ὑπὸ τὸ λογικὸν ἅπας ὁ ἄνθρωπος καὶ γνοὺς τοῦτο, οὐδὲν 40
διαφέρει εἴτε οἶδεν εἴτε μή, ἐφ' ὅσων ἄλλων παρὰ τὸν ἄνθρωπον ἢ τὸ
15 λογικὸν ἢ τὸ ἄλογον λέγεται· ἀρκεῖ γὰρ αὐτῷ πρὸς τὸ προκείμενον εἰδέναι
τέως ὡς ὑπὸ τὸ λογικὸν ἅπας ἄνθρωπος. φανερὸν γάρ ἐστι καὶ οὐδεμιᾶς
δεόμενον ἀποδείξεως ὅτι ἐάν τις οὕτω προϊὼν καταντήσῃ εἰς τοιαῦτα, ἃ τὸ
ἅπαν σύστημα τῶν ἐκλεχθεισῶν διαφορῶν ἐπιδέχονται μετὰ τοῦ γένους,
καὶ οὐδεμία διαφορὰ κατ' εἶδος αὐτοῖς ἐστιν, εὗρε τὸν οἰκεῖον τοῦ ζητου-
20 μένου ὁρισμόν· ταῦτα δέ εἰσι τὰ ὑπὸ τὸν ὁρισμὸν ἄτομα. ἢ δὴ οὕτως 45
ἢ ὁπόταν ὁδῷ βαδίζων ἐν τῷ τὰς διαφορὰς συλλέγειν καταντήσῃ εἰς τοι-
οῦτον, ὥστε τὸ ἅπαν ἀντιστρέφειν πρὸς τὸ προκείμενον, ἕξει ἤδη τὸν
ὁρισμὸν αὐτοῦ. ἀλλ' οὐδὲ τοῦτο λέγειν οἱ περὶ Σπεύσιππον ἕξουσιν ὅτι τὸ
ἀντικειμένων οὐσῶν τῶν κατὰ τὴν διαίρεσιν λαμβανομένων διαφορῶν λέγειν
25 ὅτι εἰς θάτερον τῶν ἀντικειμένων ἐμπίπτει τὸ ζητούμενον, αἴτημά ἐστιν.
ἐξ ἀνάγκης γὰρ τοῦτό ἐστιν· εἰ γὰρ αἱ προσεχεῖς τοῦ διαιρουμένου καὶ 50
οἰκεῖαι διαφοραὶ λαμβάνονται, οὐκ ἐνδέχεται μὴ εἰς θάτερον τῶν ἀντικει-
μένων ἐμπίπτειν τὸ προκείμενον. καὶ ἔστι τοῦτο οὐκ αἴτημα ἀλλ' ἀξίωμα,
εἴπερ μὴ καὶ τὸ θάτερον μέρος ἐξ ἀνάγκης ἀληθεύειν τῆς ἀντιφάσεως
30 αἴτημα φαίη τις, ὅτι γε καὶ τῶν διαιρέσεων αἱ ἀκριβέστεραι κατὰ ἀντί-
φασιν γίνονται, ὡς τῆς οὐσίας εἰς σῶμά τε καὶ ἀσώματον καὶ τοῦ σώματος 100
αὖθις εἰς ἔμψυχόν τε καὶ ἄψυχον, καὶ ἑξῆς ὁμοίως· αἱ γὰρ λαμβανόμεναι
στερήσεις ἰσοδυναμοῦσι ταῖς ἀποφάσεσιν.

p. 97a 6 Οὐδὲν δὲ δεῖ τὸν ὁριζόμενον.

35 Παραδοὺς ἡμῖν τὴν περὶ τῆς θήρας τοῦ ὁρισμοῦ μέθοδον, ἔτι τε
διδάξας ὅπως εἰς αὐτὸν ἡ διαίρεσις συντελεῖ, ζήτησίν τινα λύει κατά τε
τῆς διαιρέσεως καὶ τοῦ ὅρου κεκινημένην, ἣν δὴ κεκίνηκε Σπεύσιππος 5
ἀνελεῖν καὶ ἄμφω βουλόμενος. ἵνα γάρ τις, φησὶν ἐκεῖνος, διαιρῶν τὸν
ὅρον συστήσεται, δεῖ τοῦτον πάντα εἰδέναι· τοῦτο δὲ ἀδύνατον, ὥστε καὶ

---

6 ante δὴ add. γὰρ Aa 8 λήψαιτο E 12 διελών τις] διελόντες Aa
18 πᾶν Aa 30 γε om. E αἱ τῶν διαιρέσεων coll. Aa 34 δεῖ om. E

τὸ διαιρεῖν καὶ ὁρίζεσθαι. πρὸς ὅπερ ὁ φιλόσοφος ἀντιτίθησιν ὅτι οὐκ ἔστι χρεία τῆς ἁπάντων γνώσεως τῷ ὁριζομένῳ ἢ διαιρουμένῳ. καὶ τοῦτο δείκνυσιν ἐφεξῆς, πρότερον τὸν λόγον ἐκθέμενος, δι' οὗ ἀναιρεῖν ὁ Σπεύσιππος ἐπειρᾶτο καὶ ὁρισμὸν καὶ διαίρεσιν.

p. 97a 7 Καίτοι ἀδύνατόν φασί τινες εἶναι.

Ἡμεῖς μὲν οὖν, φησίν, οὕτω λέγομεν· ἀλλ' εἰσί τινες, οἵ φασιν ἀδύνατον εἶναι εἰδέναι τὰς διαφοράς, ἃς ἔχει τὸ προκείμενον εἰς τὸ ὁρισθῆναι πρὸς ἕκαστον τῶν παρ' αὐτὸ ὄντων ἄνευ τοῦ εἰδέναι ἕκαστον. πᾶν γὰρ τὸ διαφέρον τινὸς διαφορᾷ τινι διαφέρει· εἰ οὖν ὁ ὁρισμὸς διίστησι τὸ ὁριστὸν τῶν ἄλλων ἁπάντων τῶν παρ' αὐτό, δεῖ αὐτὸ διαφέρειν ἐκείνων ἑκάστου. καὶ ἐπεὶ τὸ διαφέρον διαφέροντος διαφέρει, διαφέρει καὶ τοῦ ὁριστοῦ τῶν ἁπάντων ἕκαστον. τὸ δὲ διαφέρον διαφορᾷ διαφέρει. δεῖ ἄρα εἰδέναι καὶ τὰς ἑκάστου τῶν ὄντων διαφοράς, καθ' ἃς ἕκαστον τοῦ ὁριστοῦ διαφέρει. ὁ δὲ τὰς διαφοράς τινος εἰδὼς οἶδε καὶ τὴν οὐσίαν ἐκείνου. ὁ ἄρα τι ὁριζόμενος οἶδε καὶ τὰς διαφορὰς αὐτοῦ τὰς πρὸς ἕκαστον τῶν ἄλλων καὶ ἑκάστου τὰς πρὸς αὐτὸ καὶ ἕκαστον ἐκείνων.

p. 97a 9 Ἄνευ δὲ τῶν διαφορῶν οὐκ εἶναι ἕκαστον εἰδέναι.

Τοῦτο κατασκευαστικόν ἐστι τοῦ ἀναγκαῖον εἶναι τὰς διαφορὰς εἰδέναι τὰς πρὸς ἕκαστον, αἷς διαφέρει ἑκάστου τὸ προκείμενον ὁριστόν. τὸ δὲ ἕκαστον ἀνωτέρω μὲν τῶν παρὰ τὸ ὁριστὸν εἶπεν, ἐνταῦθα δὲ τὸ ὁριστὸν αὐτὸ λέγει. ἕκαστον γάρ, φησίν, ὁριστὸν οὐκ ἔστιν εἰδέναι μὴ εἰδότα τὰς διαφοράς, καθ' ἃς τῶν ἄλλων διαφέρει. πρὸς ὃ γὰρ μὴ ἔχει διαφοράν τινα καθ' ἣν διαφέρει ἐκείνου, ταὐτὸν ἐκείνῳ ἔστιν, ὥσπερ αὖθις πρὸς ὃ διαφορὰν ἔχει τινά, καθ' ἣν διαφέρει ἐκείνου, ἕτερόν ἐστιν ἐκείνου. ἣν δεῖ εἰδέναι, ἵν' εἰδῶμεν ὅτι διαφέρει· εἰ δὲ μὴ ἐκείνην ἴσμεν, οὐδ' ὅτι διαφέρει εἰσόμεθα, ἀλλὰ ταὐτὸν ἐκείνῳ εἶναι ὑποληψόμεθα. ῥητέον δὲ καὶ ἑτέρως. καίτοι ἀδύνατόν φασί τινες εἶναι τὰς διαφορὰς εἰδέναι τὰς πρὸς ἕκαστον μὴ εἰδότα ἕκαστον. φασὶν οἱ περὶ Σπεύσιππον ὅτι ἀδύνατον τὰς πρὸς ἕκαστον τῶν ὄντων εἰδέναι διαφορὰς τοῦ ὁριστοῦ, εἰ μὴ καὶ ἕκαστον ἐκείνων εἰδείη τις. οὐ γὰρ δυνατὸν εἰδέναι, εἰ διαφέρει τόδε τοῦδε, εἰ μὴ καὶ ἄμφω γινώσκει τις. εἰ γὰρ τόδε μὲν οἶδε, τόδε δὲ ἀγνοεῖ, οὐκ εἴσεται εἰ ἀλλήλων διαφέρουσιν. ἴσως μὲν γὰρ διαφέρουσιν, ἀλλ' ἐκεῖνος ἀγνοεῖ τὸ διάφορον μὴ εἰδὼς καὶ ἀμφότερα. εἰ γὰρ Δίωνα μὲν οἶδα, Σωκράτην δὲ ἀγνοῶ, οὐκ οἶδα, εἰ ἄμφω οὗτοι ἀλλήλων διενηνό-

1. 2 ἀντιτίθησιν—ὁριζομένῳ om. E 3 ὁ Σπ. ἀναιρεῖν coll. Aa 4 ὁρισμῶν a
5 ante καίτοι add. οὐδὲν δὲ δεῖ E 6 οὖν om. Aa 7 εἰδέναι om. E
11 διαφέρει καὶ—ὁριστοῦ διαφέρει (13) om. E 19 οἷς Aa 20 τῶν] τῷ E
21 μὴ εἰδότας E 22 μὴ—διαφορὰν] διαφορὰν οὐκ ἔχει E 26 εἶναι om. E
32 διαφέρει utrobique E

χατον, εἰ μὴ κατά τινα στοχασμόν, κατὰ ἀκρίβειαν δ' οὔ. ἄνευ δὲ 100
τῶν διαφορῶν οὐκ εἶναι ἕκαστον εἰδέναι· οὐ γὰρ μὴ διαφέρει, 35
ταὐτὸν εἶναι τούτῳ, οὗ δὲ διαφέρει, ἕτερον τούτου. ἀλλ' εἰ οἶδε,
φησίν, ἕκαστον, οἶδε καὶ τὰς προσούσας αὐτῷ διαφοράς· εἰ γὰρ μὴ οἶδε
5 τὰς ἑκάστου τῶν ὄντων διαφοράς, καθ' ἃς τοῦ ὁριστοῦ διαφέρει, οὐδ' εἰ
διαφέρει οἶδεν· ἀγνοῶν δὲ εἰ διαφέρει, οἰήσεται εἶναι ταὐτόν. οὐ γὰρ μὴ
διαφέρει τι, ταὐτὸν τούτῳ ἐστίν, ὥσπερ καὶ οὗ διαφέρει, ἕτερον τούτου·
πᾶσα γὰρ διαφορὰ ἑτερότης ἐστίν. ἐπεὶ τοίνυν ἀγνοεῖ τὴν διαφοράν, οὐκ
οἶδεν εἰ διαφέρει· εἰ δὲ μὴ οἶδεν εἰ διαφέρει, ὅσον τὸ κατ' αὐτὸν οὐκ 40
10 ἔσονται ἕτερα ἀλλήλων· εἰ δὲ μὴ ἕτερα, ταὐτά. ἵνα οὖν τὸ ὁριστὸν ᾖ
ὁριστὸν εἴσεται, τουτέστιν ᾗ τῶν ἄλλων διέστηκε καὶ διάφορόν ἐστιν, ὃ τῷ
ὁρισμῷ δηλῶσαι σκοπός ἐστι, δεῖ τῶν ἄλλων εἰδέναι ἕκαστον καὶ τὰς
ἑκάστου διαφοράς. ἀλλὰ τοῦτο ἀδύνατον· ἀδύνατον ἄρα καὶ ὁρίσασθαί τι.

p. 97a 11 Πρῶτον μὲν οὖν τοῦτο ψεῦδος.

15 Πρότερον πρὸς τὸ προσεχὲς ἀπαντᾷ ὡς κακῶς εἰπόντος Σπευσίππου
ἕτερον εἶναι τῇ φύσει τὸ διαφέρον ἁπλῶς. ἔστι γὰρ πολλὰ ἀλλήλοις τῷ
εἴδει ταὐτὰ διαφορὰς ἔχοντα, ἀλλ' οὐ διὰ ταύτας ἀλλήλων τῷ εἴδει ἕτερά
εἰσι, διὰ τὸ μὴ οὐσιώδεις εἶναι τὰς διαφοράς, ἀλλὰ συμβεβηκότα. ὥστε
τοῦτο πρῶτον τῷ λόγῳ μέμψεως ἄξιον, ὡς τὴν διάφορον φωνὴν ὁμώνυμον
20 οὖσαν ἁπλῶς παρεισάγοντι. 50

p. 97a 14 Εἶτα ὅταν λάβῃ τὰ ἀντικείμενα καὶ τὴν διαφοράν. |

Τὸ μὲν προλαβὸν μικρὸν τοῦ λόγου καθίκετο παρὰ τὴν ἀκρίβειαν 101
ἔχοντα παραστῆσαν αὐτόν· τὸ δὲ νῦν τελείως αὐτὸν ἐπιλύεται. συνίστησιν
δὲ τὸ ἐξ ἀρχῆς εἰρημένον, ὅτι οὐδὲν δεῖ τὸν ὁριζόμενον καὶ διαιρούμενον
25 ἅπαντα εἰδέναι τὰ ὄντα. ὅταν γάρ, φησίν, ὁ διὰ τῆς διαιρέσεως ὁριζό-
μενος λάβῃ τὰ ἀντιδιῃρημένα ἀλλήλοις ἀπὸ τοῦ γένους κατιὼν καὶ ἐφερ-
μηνεύῃ τίνα φησὶν ἀντικείμενα, ἤγουν τὴν διαφοράν (πάλιν γὰρ ἐνταυθοῖ 5
ἑνικῷ ὀνόματι διαφορὰν εἴρηκεν οὕτως, ὥσπερ ἀντίφασιν λέγομεν ἑνικῶς
τοὺς μαχομένους δύο ἀποφαντικοὺς λόγους κατὰ τὴν διαίρεσιν τοῦ ψεύδους
30 τε καὶ τῆς ἀληθείας· οὕτω κἀνταῦθα διαφορὰ οἱ δύο ὀνομάζονται ὅροι,
καθ' οὓς ἀλλήλων τὰ ἐκ τοῦ αὐτοῦ γένους εἴδη διαιρούμενα διαφέρει,
μάλισθ' ὅτι καὶ κατ' ἀντίφασιν αἱ ἀκριβέστεραι τῶν διαιρέσεων γίνονται·
καὶ εὔλογον ὡς τὰ ἀντιφατικῶς ἀντικείμενα εἰς ἓν συναιροῦντες ἀντίφασιν
λέγομεν, οὕτω καὶ διαφορὰν ὡς ἓν τὰ ἐν τῇ διαιρέσει ἀντιδιαιρούμενα) 10
35 ὅταν οὖν ταύτην λάβῃ, λήψεται δὲ καὶ τοῦτο ὅτι πᾶν τὸ ὑπὸ τὸ προκεί-

---

2. 3 οὗ γάρ—ἕτερον τούτου om. E 11 εἴσεται] εἰδείη E ᾗ scripsi: ἢ libri
12 δηλῶσαι om. Aa 15 προσεχῶς E 16 διαφέρειν E 17 ταύτης E
24 εἰλημμένον E 26. 27 ἐφερμηνεύῃ scripsi: ἐφερμηνεύει libri 31 διαφέρουσι Aa

μενον ὁριστὸν ἢ ἐν τούτῳ τῷ μέρει ἢ ἐν ἐκείνῳ ἐμπίπτει, τουτέστιν ὅτι 101
οὐκ ἐνδέχεται ἐν μηδετέρῳ τῶν ληφθέντων ὅρων τὸ ζητούμενον εἶναι, ἀλλ'
ἀναγκαῖον ὁποκεῖσθαι θατέρῳ, εἶθ' ὡρισμένως ὅτι ἐν τῷδε ἔστι, καὶ τοῦτο
οἶδεν ἀκριβῶς ἐκ τῆς ἐναργείας, τότε οὐκ ἔχει οὐδεμίαν ἀνάγκην κἀκεῖνο
5 εἰδέναι, ὅσων καὶ ἄλλων αἱ διαφοραὶ κατηγοροῦνται αἱ ἀντιδιῃρημέναι
ἐκείναις, ἃς εἴληφεν, ἀλλ' ἀδιάφορόν ἐστιν αὐτῷ ὡς πρὸς τὸ προκείμενον, 15
εἴτε οἶδε τοῦτο εἴτε μή. ἀρκεῖ γὰρ αὐτῷ πρὸς τὴν πρόθεσιν τοῦ ὁρίσα-
σθαι τὸ ζητούμενον εἰδέναι ὅτι ἐν τῇδε τῇ διαφορᾷ καὶ οὐκ ἐν τῇ ἀντι-
κειμένῃ αὐτῇ πᾶν αὐτὸ περιέχεται. οἷον ὅταν ἄνθρωπον προθεί τις ὁρί-
10 σασθαι, καὶ θέμενος τὸ γένος, λέγω δὴ τὸ ζῷον, λάβῃ τὸ λογικὸν καὶ τὸ
ἄλογον ἀντικειμένας ἀλλήλαις διαφοράς, καθ' ἃς τὸ γένος τοῦτο διαιρεῖται,
καὶ ὅτι πᾶς ἄνθρωπος ἢ ἐν τῷ λογικῷ ἢ ἐν τῷ ἀλόγῳ ὑπάρχει, εἶτα ὅτι
ἅπας ἐν τῷ λογικῷ, καὶ τοῦτο γινώσκῃ ἀκριβῶς ἐκ τοῦ κατὰ λόγον αὐτὸν 20
ἐνεργεῖν τέχνας καὶ ἐπιστήμας ἐπιτηδεύοντα, οὐδὲν διαφέρει αὐτῷ πρὸς τὸ
15 τὸν ἄνθρωπον ὁρίσασθαι, εἴτε οἶδεν εἴτε μή, ἐφ' ὅσων καὶ ἄλλων εἰσὶν
αὗται αἱ διαφοραὶ τὸ λογικὸν καὶ τὸ ἄλογον. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

p. 97a 18 Φανερὸν γὰρ ὅτι ἂν οὕτω βαδίζων ἔλθῃ.

Ὅρον τῇ διαιρέσει ἐκ τούτου τίθησιν, μέχρι πόσου προβαίνειν ὀφείλει. 25
καὶ οὕτως ἀπαρτίζειν τὸν ὁρισμόν. ὡς μηδενὸς δεῖσθαι περαιτέρω εἰς
20 γνῶσιν τοῦ τί ἐστι τὸ προκείμενον. οὕτω γὰρ βαδίζων, φησίν, ὁ προθέ-
μενός τι ὁρίσασθαι, ἂν εἰς ἐσχάτην ἔλθῃ διαφοράν, ἧς προστεθείσης τοῖς
ἄλλοις οὐκέτι εἰς εἶδει διαφέροντα ἡ διαίρεσις γίνεσθαι δύναται. ἕξει ἤδη
τὸν ὁρισμὸν τοῦ προκειμένου. οἷον ἐπεὶ ὁ ἄνθρωπος ζῷον, πᾶν δὲ ζῷον
ἢ λογικὸν ἢ ἄλογον, ὁ ἄνθρωπος ἄρα ἢ λογικὸν ἢ ἄλογον. ἀλλὰ μὴν
25 ἄλογον οὐκ ἔστι· λογικὸν ἄρα. τοῦτο δὲ δῆλον ἐκ τοῦ τέχναις αὐτὸν 30
χρῆσθαι καὶ ἐπιστήμαις. πᾶν δὲ λογικὸν ἢ θνητὸν ἢ ἀθάνατον. ὁ ἄν-
θρωπος ἄρα ἢ θνητὸν ἢ ἀθάνατον. ἀλλὰ μὴν ἀθάνατον οὐκ ἔστι· θνητὸν
ἄρα. τὸ δὴ ἅπαν διελεῖν πειρατέον, λέγω δὴ τὸ ζῷον λογικὸν θνητόν·
καὶ εἰ μὲν εἰς διαφέροντα κατ' εἶδος διαιρεῖται, οὔπω ἐσχάτη διαφορὰ τὸ
30 θνητόν, οἷον ὥσπερ φασί τινες τὸ νοῦ καὶ ἐπιστήμης δεκτικὸν καὶ τὸ
αὐτομαθές, οἷας παρεισάγουσι δαιμονίας φύσεις τινὰς θνητάς. Πᾶνας τυχὸν
καὶ Ἱπποκενταύρους καὶ τοιαῦθ' ἕτερα, καὶ φασὶ καὶ τὸν Πλάτωνα Νηρηΐδος 35
σῶμα εὑρηκέναι νεκρὸν ἐρριμμένον. καὶ εἰ μὲν ταῦτά ἐστιν, ἐσχάτη ἔσται
διαφορὰ τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν, ὡς κἀκείνων ὄντων ζῴων λογικῶν
35 τε καὶ θνητῶν, αὐτομαθῶν δὲ καὶ τούτῳ τῆς ἀνθρώπων φύσεως διαφερόντων·
εἰ δὲ μή, ἐσχάτη ἔσται τὸ θνητὸν διαφορά. τὸ γὰρ περὶ τούτων ἐξακρι-

---

5 καὶ om. E 7 et 15 post μὴ add. οἶδεν E 10 λέγω δὲ libri 13 γινώσκει E
18 ὀφείλην a 21 ἔσχατον E 23 ὁ om. a πᾶν δὲ ζῷον] πεζόν Aa
24 ἄλογον ἄρα ἢ λογικὸν ὁ ἄνθρωπος coll. Aa 25 αὐτὸν scripsi: αὐτῶν libri
26. 27 ὁ ἄνθρωπος—ἢ ἀθάνατον om. Aa 28 πειρατέον] πειράσῃ Aa
31 τινὰ libri 32 Νηρηΐδος] τηριΐδος E 35 τε καὶ om. Aa 36 περὶ
τῶν τοιούτων E

βοῦν οὐ τοῦ παρόντος λόγου ἐστίν. ἀλλὰ τοῦτο μὲν ἐπὶ τῶν εἰδικωτάτων 101
ἔσται μόνων, κοινὸν δὲ καὶ τοῖς ὑπὲρ ταῦτα γένεσι τὸ ἀντιστρέφειν τὸν
λόγον. ὅταν γὰρ εἰς τοιαύτην καταντήσῃ διαφορὰν ἡ διὰ τῆς διαιρέσεως 40
πρόοδος, ὥστε τὸ πᾶν ἀντιστρέφειν πρὸς τὸν ζητούμενον, ἐσχάτη αὕτη, καὶ
5 ὁ λόγος τῆς οὐσίας ὁ εὑρημένος· τὸ γὰρ ἐπέκεινα περιττὸν καὶ ἀδόλεσχον,
ἴσως δὲ καὶ ἀδιανόητον.

p. 97a 19 Τὸ δ' ἅπαν ἐμπίπτειν εἰς τὴν διαίρεσιν, ἂν ᾖ ἀντικείμενα.

Ἐπεὶ ἐν ταῖς διαιρέσεσιν ἀναποδείκτως θάτερον μὲν τῶν ἀντικειμένων
10 ἀπαγορεύομεν τοῦ ζητουμένου, κατηγοροῦμεν δὲ αὐτοῦ θάτερον, εἰκὸς ἦν 45
ὑπολαβεῖν τινα, ὡς αἴτημά ἐστιν ἡ λῆψις αὕτη τῆς κατηγορίας ἡ ἀναπόδεικτος καθ' ὃ καὶ αὐτὸς ἐῴκει λέγειν ἀνωτέρω. διὰ τοῦτό φησιν ὅτι ὅταν οὕτως ἀντίκεινται αἱ τὸ γένος διαιροῦσαι διαφοραί, ὡς μὴ εἶναί τι αὐτῶν μεταξύ, ἀλλ' ἰσοδυναμεῖν ἀντιφάσει τὰ λαμβανόμενα, τὸ λέγειν ὅτι πᾶν τὸ
15 προκείμενον εἶδος εἰς τὴν διαίρεσιν ταύτην ἐμπίπτει ὡς θατέρῳ μορίῳ ταύτης ὑποκεῖσθαι καὶ μὴ ἐκφεύγειν ἀμφότερα, οὐκ ἔστιν αἴτημα, εἴ γε τὸ μὲν αἴτημα ἐπὶ τῷ αἰτουμένῳ ἔστιν ἢ δοῦναι ἢ μὴ δοῦναι, ἐνταῦθα δ' ἐπὶ τῆς 50
διαιρέσεως ἀναγκαῖόν ἐστιν ἢ ἐν τῷδε εἶναι ἢ ἐν τῷδε τὸ ζητούμενον εἶδος, εἴπερ ἐκείνου, τουτέστι τοῦ διῃρημένου γένους προσεχεῖς εἰσιν αἱ ληφθεῖσαι
20 διαφοραὶ καὶ μὴ τῶν ὑπ' αὐτό τινος, ὥσπερ ἦσαν ἐπὶ τοῦ ζῴου τὸ ὁλόπτερον καὶ σχιζόπτερον. εἰ γὰρ τοιαύτας διαφορὰς λήψοιτό τις, οὐκ ἀνάγκη πᾶν τὸ ὑπὸ τὸ γένος εἶδος ἢ ὑπὸ ταύτην εἶναι ἢ ὑπὸ ταύτην· εἰ δὲ τὰς προσεχεῖς, ἀνάγκη. δῆλος γάρ ἐστιν ὁ Ἀριστοτέλης ἐν τούτοις ἐνδεδωκὼς τῆς διαφορᾶς, ἣν κατὰ τῆς διαιρέσεως πολλάκις πρότερον ἐπεδείξατο, καὶ
25 σπεισάμενος πρὸς αὐτήν, ὅς γε δὴ οὐ μόνον ὅπως ἐστὶ χρήσιμος πρὸς 102
τὴν ὁριστικὴν παραδίδωσιν, ἀλλὰ καὶ τὰς κατ' αὐτῆς ἀντιθέσεις γενναιότατα διαλύεται.

p. 97a 23 Εἰς δὲ τὸ κατασκευάζειν ὅρον διὰ τῶν διαιρέσεων.

Ὅπως μὲν δὴ διὰ τῶν διαιρέσεων ἐκλεκτέον τὰ ἐν τῷ τί ἐστι κατη-
30 γορούμενα καὶ μέχρι πόσου δεῖ προϊέναι ἐκλεγομένους, εἴρηται· πόσα δὲ 5
δεῖ παρατηρεῖν ἐν τῷ κατασκευάζειν ὅρον διὰ διαιρέσεως, λελέξεται νῦν. ἔστι δὲ τρία ταῦτα, τὸ πάντα τὰ ἐκλεγόμενα οὐσιώδη εἶναι καὶ ἐν τῷ τί ἐστι κατηγορούμενα, ἀλλὰ μηδέν τι συμβεβηκός, τὸ τάξαι ταῦτα δεόντως, ὡς εἶναι πρότερα τὰ φύσει προτατόμενα καὶ μετ' αὐτὰ τὰ δεύτερα, καὶ

---

2 ἔσται om. Aa 10 ἐκ τοῦ ζητουμένου ἀπαγορεύομεν E 11 ἡ post κατηγορίας om. Aa 12 ὅταν] ἂν Aa 16 εἴγε] εἴτε Aa 17 pr. ἐπὶ] ἐπεὶ Aa ἢ δοῦναι om. Aa 18 εἶναι—τῷδε om. Aa 21 λήψαιτο E 23 γάρ om. Aa 24 διαφορᾶς] καταφορᾶς Aa ἐπιδέξατο a 25. 26 πρὸς τὸν ὁρισμὸν χρήσιμος E 28 ὅρων a 31 λέξεται a 34 τὰ φύσει πρότερα coll. E

ἔτι τὸ πάντα εἶναι ταῦτα τὸ ὁριστόν, ὡς μήτε ὑπερβάλλειν τὸν ὅρον μήτε 102
ἐλλείπειν ἐκείνου, περὶ οὗ ἀποδέδοται. τὸ μὲν οὖν πρῶτον, ἵνα μήτε ἀντὶ
τῶν οὐσιωδῶν τινος συμβεβηκός τι παραληψόμεθα ἐν τῷ ὅρῳ μήτε πάντα 10
παρειληφότες τὰ ἐν τῷ τί ἐστι καὶ συμβεβηκός τι προσθήσομεν. τὸ μὲν
5 γὰρ οὐ μόνον ἀνοίκειον. ἀλλὰ καὶ ψεῦδος· οὐδὲν γὰρ ἐν τῷ τί ἐστιν, ὃ μὴ
τοῦ προκειμένου συστατικόν ἐστι καὶ συμπληρωτικὸν τῆς οὐσίας αὐτοῦ,
οὐδὲν δὲ τοιοῦτον, ὃ ἐνδέχεται ὁτῳοῦν ἑνὶ καὶ τῷ αὐτῷ ὑπάρχειν καὶ μὴ
ὑπάρχειν. τὸ δὲ ἵνα μὴ ὁ ὅρος οὐκ ἐξισάζων εἴη τῷ ὁριστῷ, ἀλλ' ἐπ'
ἔλαττον τῷ πράγματι, κἂν ὑπερβάλλει ταῖς λέξεσι. τὸ δὲ δεύτερον, ἵνα μὴ
10 ᾖ ἀδιανόητα τὰ λεγόμενα. τὸ δὲ τρίτον, ἵνα μὴ ὁ ὅρος οὐκ ἐξισάζων ᾖ 15
πρὸς τὸ ὁριστόν, πλείω περιλαμβάνων αὐτοῦ, κἂν ἐνδεῖ τοῖς ὀνόμασιν, καὶ
οὐχ ὅρος μᾶλλον, ἀλλὰ γένος ὑπάρχῃ ἀνώνυμον. πῶς δὲ τούτων ἕκαστον
συστησόμεθα; τὸ μὲν πρῶτον διὰ τῶν τόπων τῶν πρὸς τὸ γένος, οὓς ἐν
τοῖς Τοπικοῖς ὁ Ἀριστοτέλης ἡμῖν παραδέδωκεν. ὡς γὰρ πρὸς τὸ συμβεβη-
15 κὸς ἔχομεν διὰ τῶν τόπων τῶν πρὸς αὐτὸ συλλογίσασθαι ὅτι ὑπάρχει
ἁπλῶς, οὕτω καὶ διὰ τῶν πρὸς τὸ γένος κατασκευάζειν τῶν ἐν τῷ τί ἐστιν
ἕκαστον, ὅτι ἐν τῷ τί ἐστι τοῦ ὑποκειμένου κατηγορεῖται. καὶ τῶν δια- 20
φορῶν γὰρ ἑκάστη τῷ γένει συνειλημμένη ἀνώνυμόν τε γένος ἐστὶ καὶ ἐν
τῷ τί ἐστι λέγεται. διὸ καὶ τὰς διαφορὰς ὁμοῦ τῷ γένει τακτέον, ὡς ἐν
20 τοῖς Τοπικοῖς εἴρηται. ἡ δὲ δέουσα τάξις ἔσται (τοῦτο γὰρ ἦν τῶν παρα-
τηρημάτων τὸ δεύτερον), ἐὰν τὸ πρῶτον τῶν λαμβανομένων πρῶτον ληφθῇ.
πῶς δὲ τοῦτο ἔσται; ἂν ἐκεῖνο λάβωμεν ὃ πᾶσιν ἀκολουθεῖ. τὰ γὰρ
φύσει πρότερα καὶ καθολικώτερα τοῖς μετ' αὐτὰ ἕπεται, ὡς τῷ πεζῷ τὸ
ζῷον ἁπλῶς, καὶ τοῦτο τῷ δίποδι, ἀλλ' οὐκ ἀνάπαλιν. ἐν γὰρ τοῖς ἐκλε- 25
25 γομένοις εἰς ἀποτέλεσιν ὁρισμοῦ ἀναγκαῖον εἶναί τι ὃ πᾶσιν μὲν ἀκολουθεῖ,
ἐκείνῳ δὲ μὴ πάντα· τούτου δὲ ληφθέντος ῥᾴων ἤδη ἡ τῶν λοιπῶν ἔσται
τάξις. τὸ αὐτὸ γὰρ ἐφεξῆς ποιοῦντες, τὴν προσήκουσαν τάξιν εὑρήσομεν
ἀεὶ προτάττοντες τὸ ἑπόμενον. ὡς γὰρ τὸ ζῷον τῷ πεζῷ ἀκολουθοῦν
καὶ τῷ δίποδι τούτων προτέτακται, οὕτω τὸ ζῷον πεζὸν ἀκολουθοῦν τῷ
30 δίποδι τούτου προταχθήσεται, καὶ οὕτω τὸ ζῷον πεζὸν δίπουν εὐτάκτως 30
ληφθέν, εἰ μηδὲν ἐνδεῖ ἔτι, λόγος ἔσται τοῦ ἀνθρώπου. ὅτι δὲ μηδὲν ἐν-
δεῖ, ἀλλὰ πάντα εἴληπται, πῶς ἐπιγνωσόμεθα; εἰ τὸ πρῶτον λάβωμεν,
εἶτα διαιρήσομεν, οἷον εἰ τύχῃ τὸ ζῷον ἢ τόδε εἶναι ἢ τόδε λέγοντες, οἷον
ἢ ἄπουν ἢ ὑπόπουν (ὑπάρχει δὲ τὸ ὁριστὸν οὐ τόδε ἀλλὰ τόδε, τουτέστιν
35 οὐκ ἄπουν, ἀλλ' ὑπόπουν) καὶ αὖθις τοῦτο διέλωμεν ὡς ὅλον τι καὶ γένος
εἰς τὰς οἰκείας διαφοράς, τὸ ὑπόπουν λέγοντες ἢ δίπουν ἢ πολύπουν, τὸ δὲ
προκείμενον οὐ πολύπουν ἀλλὰ δίπουν. καὶ ὅταν οὕτω προβαίνοντες εἰς 35
τοιαύτην διαφορὰν καταντήσωμεν, ὡς μὴ δύνασθαι διελεῖν εἰς εἴδη, ἔχομεν

1 τὸν ὁριστόν a 4 προσθήσωμεν E 6 τοῦ om. a 7 καὶ μὴ] ἢ μὴ Aa
8 οὐκ om. Aa 9 ὑπερβάλληται Aa 10 ᾖ (ante πρὸς)] εἴη E 11 παρα-
λαμβάνων E 13 τόπων] τρόπων Aa πρὸς] πρὸ a 13. 14 ἐν τοῖς Τοπικοῖς]
A 1 sqq. 19. 20 ἐν τοῖς Τοπικοῖς] A 4 p. 101b 18 20 ἦν om. Aa 23 πρότερον
καὶ καθολικώτερον a 30 δίπουν om. E 31 εἰ] ἂν E 33 διαιρήσωμεν E

ἤδη τὸν ὁρισμὸν ἀνελλιπῆ, μήτε μεταξύ τι παραλιπόντες ὡς χωρίς τινος 102
ὑπερβάσεως τῇ διαιρέσει πάσῃ χρησάμενοι, μήτε ἐν τῷ τέλει ὡς μηκέτι
κάτωθεν ἀπολιπόντες διαφοράν. ἢ γὰρ ἂν ἠδύνατο καὶ ἔτι διαιρεῖσθαι εἰς
διάφορα τῷ εἴδει, ἀλλὰ τοῦτο μὲν ἐπὶ τῶν εἰδικωτάτων, μεθ' ἃ οὐκ ἔστιν
5 εἴδη, ἀλλ' εὐθὺς τὰ καθ' ἕκαστα· ὃ δὲ κοινὸν ἔσται πᾶσιν τοῖς ὁριστοῖς
πρὸς τὸ μηδὲν ὑπολείπεσθαι, τοῦτ' ἔστιν. εἰ γὰρ τῆς τελευταίας προστε- 40
θείσης διαφορᾶς μετὰ τὴν πᾶσαν διαίρεσιν ἀνυπερβάτως γεγενημένην μηδὲν
τοῦ σύμπαντος ὁρισμοῦ διαφέρει τὸ ὁριστόν. ἤγουν μηδεμία τις οὐσιώδης
αὐτῷ διαφορά ἐστιν, ἥτις οὐκ εἴληπται, ἀλλ' ἐξισάζει ὁ λόγος πρὸς αὐτὸ
10 καὶ ἀντιστρέφει, δῆλον ὅτι οὐ πλεῖόν τι τοῦ δέοντος τῷ ὁρισμῷ πρόσκειται,
ἀλλ' ἐκεῖνα μόνα εἴληπται, ὅσα ἐν τῷ τί ἐστιν, οὔτε τι παραλέλειπται.
πάντως γὰρ τὸ παραλειφθὲν ἢ γένος ἔσται ἢ διαφορά. ἀλλὰ τὸ μὲν γένος 45
εἴληπται εὐθὺς ἐξ ἀρχῆς, ἐχόμενα δὲ τούτου ἐφεξῆς αἱ διαφοραί, ὡς μηδὲν
μεταξὺ παραλείπεσθαι. τελευταῖον δὲ αὖθις δῆλον ὡς οὐδὲν ὑπολέλειπται,
15 ἐπειδὴ τὸ τελευταῖον οὐ διαφέρει εἴδει τοῦ προκειμένου ὁριστοῦ. τί δὲ
λέγω τελευταῖον; τὴν ἐσχάτην διαφοράν, ἥτις συνταττομένη τοῖς πρὸ αὐτῆς
οὐδαμῇ διαφέρει κατ' εἶδος τοῦ προκειμένου. οἷον εἰ ζῷόν ἐστι τὸ προ-
κείμενον, λαμβάνομεν τὸ γένος, τοῦτο δέ ἐστιν ἡ οὐσία, εἶτα διαιροῦμεν·
πᾶσα οὐσία ἢ σωματική ἐστιν ἢ ἀσώματος, τὸ ζῷον ἄρα ἢ σωματικὴ ἢ 50
20 ἀσώματος οὐσία· ἔστι δὲ σωματική. πᾶσα δὲ αὕτη ἢ ἔμψυχος ἢ ἄψυχος,
ἔστι δὲ ἔμψυχος. αὕτη ἢ αἰσθητικὴ ἢ ἀναίσθητος. τὸ οὖν ζῷον, οὐσία
σωματικὴ ἔμψυχος ὄν, ἢ αἰσθητικὴ ἔσται ἢ ἀναίσθητος· ἀλλ' ἔστιν αἰσθη-
τική. τὸ ζῷον ἄρα οὐσία σωματικὴ ἔμψυχος αἰσθητική. μεταξὺ τοίνυν
οὐδὲν παραλέλειπται, διότι μηδ' ὑπερβέβαται. ὅτι δὲ μηδ' ἐν τῷ τέλει,
25 δῆλον, ὅτι μὴ εἴδει διαφέρει τοῦ ζῴου ὁ λέγων λόγος 'οὐσία σωματικὴ
ἔμψυχος αἰσθητική', ἀλλ' ἀντιστρέφει πρὸς αὐτὸ καὶ ἐξισάζει. |

p. 97ᵃ23 Εἰς δὲ τὸ κατασκευάζειν ὅρον διὰ τῶν διαιρέσεων. 103

Παραδοὺς ἡμῖν τὰς πρὸς τὴν θήραν τοῦ ὁρισμοῦ μεθόδους καὶ ἐφ'
ὅσον εἰς αὐτὸν ἡ διαίρεσις συντελεῖ, καὶ τὰς πρὸς αὐτὴν λελυκὼς ἀντι-
30 θέσεις, πρόνοιαν νῦν ποιεῖται τῆς ἀκριβείας τῶν ὁρισμῶν, καί τινα ἡμῖν 5
τρία παρατηρήματα παραδίδωσιν, ἅτινα παραφυλάττεσθαι χρὴ ἐν τῷ διὰ
τῶν διαιρέσεων εὑρίσκειν τοὺς ὁρισμούς. ταῦτα δέ ἐστι τὸ λαβεῖν τὰ
κατηγορούμενα ἐν τῷ τί ἐστι, τουτέστι τὸ ἐκεῖνα λαμβάνειν εἰς σύνθεσιν
τοῦ ὁρισμοῦ, ὅσα ἐν τῷ τί ἐστι κατηγορεῖται, ἤγουν ὅσα οὐσιώδη ἐστίν,
35 ἅπερ εἰσὶ τὸ γένος καὶ αἱ διαφοραί, ὡς μηδὲν ὅλως συμβεβηκὸς ἐν τῷ
ὅρῳ παραλαμβάνεσθαι· εἶτα εὐτάκτως ἐκθέσθαι αὐτὰ καὶ μὴ συγχέαι

---

6 τουτέστιν libri 8 post τις add. ἤν E 9 ἐστιν om. E 11 ἐκεῖναι E
16 post ἐσχάτην add. τὴν E 19 ἐστιν om. Aa 20 ἔστι δὴ Aa
21 post αἰσθητικὴ add. ἔσται E τὸ οὖν—ἀναίσθητος (22) om. E 24 ὑπερβέβαται scripsi: ὑπερβέβασται E: ὑπερβίβασθαι Aa 28 ὁρισμοῦ] ἀριθμοῦ E
32 λαβεῖν E

τὴν τούτων εὔτακτον θέσιν. τὰ πρότερα ὕστερα τάττοντας καὶ τὰ ὕστερα 103
πρότερα· καὶ τρίτον ὅτι ταῦτά ἐστι πάντα τὸ ὁριστόν, ὡς μήτε τι ἐλλε- 10
λεῖφθαι μήτε ἐγκεῖσθαι περιττόν. κατασκευάζειν δὲ ὅρον εἶπεν, οὐκ ἀπο-
δεικνύναι ἢ συλλογίζεσθαι· ἔδειξε γὰρ ὅτι ὁ ὅρος οὔτε δι' ἀποδείξεως οὔτε
5 διὰ συλλογισμοῦ κατασκευάζεται. ἐπεὶ δὲ καὶ χωρὶς συλλογισμοῦ ἔστι
κατασκευὴν δι' ἑτέρων τρόπων γίνεσθαι, ὥσπερ καὶ τὴν τοῦ ὅρου διὰ διαι-
ρέσεως ἢ ἀναλύσεως, ἀλλ' οὐ δι' ἀποδείξεως ἢ συλλογισμοῦ, διὰ τοῦτο
οὕτως εἴρηκεν.

p. 97a 26 Ἔστι δὲ τούτων ἓν πρῶτον διὰ τοῦ δύνασθαι. 15

10 Διδάσκει διὰ τούτων ἡμᾶς, πῶς δυνησόμεθα ἑκάστην κατορθῶσαι του-
τωνὶ τῶν παρατηρήσεων, καὶ τέως τὴν πρώτην. ὥσπερ γάρ, φησί, τὸ
συμβεβηκὸς ὅτι ὑπάρχει κατεσκευάζομεν διὰ τῶν πρὸς αὐτὸ παραδοθέντων
τόπων ἐν τῇ Τοπικῇ πραγματείᾳ, οὕτω καὶ διὰ τοῦ γένους, τουτέστι διὰ
τῶν γενικῶν τόπων, ταὐτὸν δὲ εἰπεῖν τῶν πρὸς τὸ γένος, τό τε γένος κατα- 20
15 σκευάσομεν καὶ πάντα τὰ ἐν τῷ τί ἐστι. διὰ γὰρ τῶν αὐτῶν καὶ τὸ γένος
καὶ αἱ διαφοραὶ κατασκευάζονται, ἐπεὶ καὶ ἐν τοῖς Τοπικοῖς οὕτως εἴρηκεν,
ὅτι τὰς διαφορὰς ὁμοῦ τῷ γένει τακτέον. ἐπεὶ γὰρ συμβεβηκός ἐστιν ὃ
οὔτε γένος οὔτε εἶδος οὔτε διαφορὰ οὔτε ἴδιόν ἐστιν, ὑπάρχει δὲ τῷ πράγ-
ματι, ὁ μὲν τὸ συμβεβηκὸς κατασκευάζων ὅτι ὑπάρχει μόνον ὀφείλει
20 κατασκευάσαι, ὁ δὲ τὸ γένος, ὅτι ὡς γένος ὑπάρχει, ὡσαύτως καὶ τῶν
λοιπῶν ἕκαστον οὐ μόνον ὅτι ὑπάρχει, ἀλλ' ὅτι καὶ οὕτως ὑπάρχει ᾧ ἂν 25
ὑπάρχῃ.

p. 97a 28 Τὸ δὲ τάξαι ὡς δεῖ ἔσται.

Ἡ δευτέρα αὕτη ἐστὶ παρατήρησις, ἧς καὶ αὐτῆς τὴν κατόρθωσιν
25 παραδίδωσιν. ἵνα γὰρ εὐτάκτως ληφθῇ τὰ μέρη τοῦ ὁρισμοῦ, δεῖ, φησί,
τὸ πρῶτον ληφθῆναι τῶν ἐν τῷ τί ἐστι κατηγορουμένων τοῦ προκειμένου 30
ὁριστοῦ. τὸ πρῶτον δὲ ληφθήσεται, ἐὰν ἐκεῖνο λάβωμεν, ὃ πᾶσιν ἀκολου-
θεῖ, ἐκείνῳ δὲ πάντα τἆλλα οὐχί. πρότερον γὰρ τῇ φύσει εἶναι ἐμάθομεν
τὸ συνεισφερόμενον καὶ μὴ συνεισφέρον, ᾧ ταὐτόν ἐστι τὸ ἕπεσθαι μὲν
30 αὐτὸ τοῖς ἄλλοις, αὐτῷ δὲ τἆλλα οὐχί. ἐν γὰρ τοῖς ἐν τῷ τί ἐστι κατη-
γορουμένοις ἀνάγκη τοιοῦτόν τι εὑρίσκεσθαι, ἐξ οὗ τὰ ἄλλα προϊόντα κατὰ
διαίρεσιν ἀναφαίνεται, ὅπερ ἐστὶ τὸ γένος, φύσει ὂν πρότερον τῶν ἐξ αὐτοῦ
προϊόντων. ἂν μὴ γὰρ τὸ γένος ᾖ, πῶς ἔσται ἡ ἐκ τοῦ γένους διὰ τῶν 35
διαφορῶν εἰς τὰ εἴδη διαίρεσις;

1 εὔτακτον θέσιν] ἔκθεσιν E ὕστερον τάττοντας Aa 2 πρῶτα E 3 post μήτε add. τι Aa εἶπεν ὅρον coll. E 6 δι'] δὲ a 7 ἀλλ' οὐ] οὐχὶ E 8 εἶπεν E 13 ἐν τῇ Τοπικῇ] A 4sqq. 14 τρόπων E 16 ἐν τοῖς Τοπικοῖς] cf. p. 208,19. 20 18 οὔτε γένος om. a ἐστιν om. Aa 28 εἶναι om. E 31 ἀναγκαῖον Aa 33 εἰ μὴ Aa

p. 97a 31 Ληφθέντος δὲ τούτου ἤδη καὶ ἐπὶ τῶν κάτω. 103

Μετὰ τὸ λαβεῖν τὸ πρῶτον, φησί, ἡ τῶν λοιπῶν τάξις ῥᾴων ἤδη ἔσται. ὃ γὰρ ἐν τῷ πρώτῳ πεποιήκαμεν, καὶ τοῦτο πρῶτον τῶν ἄλλων ἔγνωμεν εἶναι ἐκ τοῦ αὐτὸ μὲν πᾶσιν ἀκολουθεῖν, ἐκείνῳ δὲ οὐχὶ πάντα τὰ ἄλλα, τούτῳ τῷ τρόπῳ ἕξομεν γνωρίσαι καὶ τὸ μετὰ τὸ πρῶτον ὀφεῖλον ταχθῆναι. ὃ γὰρ μετὰ τὸ πρῶτον τοῖς ἄλλοις ἕπεται, αὐτῷ δὲ τἆλλα οὐχί, τοῦτο τάξομεν δεύτερον, καὶ τρίτον ἀναλόγως τὸ πρῶτον τῶν ἐχομένων· καὶ οὕτως ἐπὶ πάντων, εἰ ἔτι πλείω ὑπάρχει τὰ ὁρισμοῦ μόρια.

p. 97a 33 Ἀφαιρεθέντος γὰρ τοῦ ἄνωθεν τὸ ἐχόμενον τῶν ἄλλων πρῶτον ἔσται· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων.

Εἰ γὰρ τὸ πρῶτον ἀφέλῃς, ὃ πᾶσιν ἕπεται, τὸ μετ' αὐτὸ τῶν λοιπῶν ἔσται πρῶτον, καὶ τούτου πάλιν ἀφαιρεθέντος τὸ μετ' αὐτὸ τῶν ἑξῆς, καὶ μέχρι τοῦ ἐσχάτου ὁ αὐτὸς λόγος.

p. 97a 35 Ὅτι δὲ πάντα ταῦτα, φανερόν.

Περὶ τοῦ τρίτου καὶ τελευταίου παρατηρήματος ἡμῖν παραδίδωσιν, ὅπως, εἰ κατορθοῦμεν, ἕξομεν γνώριμον. τὸ δὲ πάντα διττῶς δεῖ ἐκλαμβάνεσθαι, ὅτι τε πάντα ταῦτα ἐν τῷ τί ἐστι τοῦ προκειμένου κατηγορεῖται, καὶ ὅτι ταῦτά εἰσι τὰ πάντα, ἃ ἐν τῷ τί ἐστι, καὶ οὐδὲν πλέον τούτων, ὡς μήτε ὑπερβάλλειν μήτε ἐλλείπειν. καὶ ἰδία μὲν ἐπὶ τῶν εἰδικωτάτων τῆς γνώσεως μέθοδος αὕτη, κοινὴ δὲ αὖθις ἑτέρα, ἣ καὶ τοῖς μὴ εἰδικωτάτοις ἁρμόσει. καὶ τέως περὶ τῆς ἰδίας φησὶν ὅτι φανερὸν ἔσται, εἰ πάντα ταῦτα, ἐὰν τὸ πρῶτον λάβωμεν διαιρετικῶς, ἤγουν διαιροῦντες αὐτὸ ταῖς εἰδοποιοῖς | διαφοραῖς, καὶ τιθέντες τὸ προκείμενον ὑπὸ τὴν ἐν αὐτῷ 104 θεωρουμένην διαφοράν. τὰ γὰρ τοῦ γένους διαιρετικὰ τῶν εἰδῶν συστατικά, καὶ ἐφεξῆς ὁμοίως, ἕως ἂν εἰς τελευταίαν διαφορὰν καταντήσωμεν. ἡ δὲ τελευταία ἐστὶ διαφορὰ μεθ' ἣν οὐκ ἔστιν εἰς εἴδη τὸ πᾶν σύνθημα διελεῖν· τηνικαῦτα γὰρ ὁ τοῦ εἰδικωτάτου ἔσται ὁρισμὸς ὃ ἡμῖν προτέθειται. παραδείγματα δὲ τούτου τε καὶ τοῦ ἐφεξῆς εἴρηται πρότερον.

p. 97a 38 Ἢ καὶ εὐθὺς μετὰ τῆς τελευταίας διαφορᾶς τοῦ συνόλου.

Τοῦτό ἐστιν ὃ ἐλέγομεν καὶ τοῖς μὴ εἰδικωτάτοις ἁρμόττειν. τελευταία γὰρ διαφορὰ διττῶς λέγεται, ἡ μὲν ἁπλῶς, ἡ δὲ πρός τι. καὶ ἁπλῶς

---

2 ἔστιν E 4 εἶναι om. E 5 καὶ τὰ E μετὰ om. E 8 τὰ] τοῦ E
9 post γὰρ add. φησι E 12 ἑξῆς] ἐξ ἧς libri 16 διχῶς E 19 ἐλλείπει E
20 γνωρίσεως E ἡ scripsi: ἢ libri 20. 21 ἰδικωτάτοις E 21 τῆς ἰδίας] τῶν εἰδικωτάτων E 22 ἤγουν] οἷον E 30 λέγομεν E

μὲν μεθ' ἣν οὐκ ἔστι διαφορά, καὶ ἣν οὐκ ἔστι διελεῖν, ὥσπερ ἐστὶ τὸ 104
νοῦ καὶ ἐπιστήμης δεκτικὸν τούτῳ διαφέρον τοῦ γελαστικοῦ, ὅτι τοῦτο μὲν
ἐκ τῆς ὕλης, ἐκεῖνο δὲ ἐκ τοῦ εἴδους λαμβάνεται. τοιοῦτον ἐπὶ τοῦ τρι- 10
γώνου τὸ ἔχειν δύο ὀρθάς, καὶ ἄλλα τοιαῦτα πολλὰ ἐπὶ ἄλλων καὶ ἄλλων
5 εὕρηται εἰδῶν, διαφοραὶ ὄντα εἰδοποιοί, ὅτι ἐκ τοῦ εἴδους λαμβάνονται,
καὶ ἰδίᾳ ἴσως ἀλλ' οὐχ ἁπλῶς, ἀλλ' ὡς διαφοραὶ ἔσχατοι καὶ μόνῳ εἴδει
ἑνὶ ἑκάστη αὐτῶν ὑπάρχουσαι. πρός τι δὲ τελευταία διαφορά, ἣ δύναται
μὲν διαιρεῖσθαι ὡς ἔχουσα μετ' αὐτὴν διαφοράν, τελευταία δὲ λέγεται ὡς
πρὸς τὸ ὁριστόν. ἐφ' ᾧ μετὰ τῶν πρὸ αὐτῆς λαμβάνεται, τὸν τοῦ τί ἦν
10 εἶναι λόγον αὐτῷ συμπληροῦσα καὶ τέλειον ποιοῦσα αὐτόν, ὡς μηκέτι δεῖ- 15
σθαι μετ' αὐτὴν προσθήκης τινὸς εἰς τὸ ἀντιστρέφειν πρὸς τὸ προκείμενον.
καὶ ἡ μὲν ἁπλῶς τελευταία διαφορὰ ἐν μόνοις ἂν εὑρεθείη εἰδικωτάτοις,
ἡ δὲ πρός τι τελευταία καὶ ἐν μὴ εἰδικωτάτοις. τὸ γὰρ αἰσθητικὸν ἢ ὥς
τινές φασι τὸ κατὰ τόπον μεταβατικόν, διαφορὰ ὂν τῷ ζῴῳ συστατική,
15 αὐτῷ μὲν τελευταία ἐστίν, ὡς μηκέτι μετ' αὐτὴν προσθήκης δεομένου τοῦ
λόγου εἰς παράστασιν τῆς οὐσίας τοῦ ζῴου· ἔχει γε μὴν ἑτέρας διαφορὰς 20
μετ' αὐτήν, δι' ὧν διαιρεῖσθαι δύναται. ἢ οὖν ἐκείνως, ὡς πρότερον εἴρηται.
τὸ τέλειον εἶναι τὸν ὁρισμὸν εἰσόμεθα, ὅπερ ἐπὶ τῶν εἰδικωτάτων ἁρμόσει,
ἢ τῷ ληφθείσης τῆς τελευταίας πρὸς τὸ ὁριστὸν διαφορᾶς εὐθὺς τοῦ ὅλου
20 λόγου μηδὲν διαφέρειν κατ' εἶδος τὸ ὁριστόν, ἀλλ' ἐξισάζειν τῷ λόγῳ καὶ
ἀντιστρέφειν πρὸς αὐτόν. εἰ γὰρ τά τε ληφθέντα πάντα ἐν τῷ τί ἐστι
κατὰ τοῦ προκειμένου λέγονται καὶ εὐτάκτως τέθειται, καὶ ὁ συντεθεὶς
λόγος οὐδὲν διαφέρει τοῦ ζητουμένου τῷ εἴδει. δῆλόν ἐστιν ὅτι τέλειος ὁ 25
λόγος ἐστίν, εἴτε εἰδικώτατον εἴη τὸ προκείμενον εἴτε μή.

25 p. 97b1 Δῆλον γὰρ ὅτι οὔτε πλεῖον πρόσκειται.

[7]Ὅτι τέλειος ὁ ὁρισμός ἐστιν ὁ οὕτως ἔχων, ὡς εἴρηκεν, ὥστε τῆς 30
τελευταίας διαφορᾶς συνειλημμένης τοῖς πρὸ αὐτῆς, μηδὲν τὸ προκείμενον
διαφέρειν τοῦ συνόλου συνθήματος, δῆλόν ἐστιν ἐκ τούτου ὅτι οὔτε πλεῖον
τοῦ δέοντος ἐν αὐτῷ πρόσκειται (καὶ τοῦτο αὖθις δῆλον ἐκ τοῦ πάντα τὰ
30 εἰλημμένα ἐν τῷ τί ἐστιν εἶναι· τότε γὰρ περιττόν τι καὶ παρέλκον τῷ
λόγῳ πρόσκειται, ὅταν τοῖς ἐν τῷ τί ἐστι καί τι μὴ τοιοῦτον συμπαραλαμ-
βάνηται· ἐπεὶ δὲ τοῦτο οὐ γέγονε, δῆλον ὅτι πάντα τούτων, ταὐτὸν δὲ εἰπεῖν 35
ἕκαστον τούτων ἐν τῷ τί ἐστιν εἴληπται) οὔτε πάλιν τι τῶν ἐν τῷ τί ἐστι
παραλέλειπται. καὶ τοῦτο δῆλον ἐκ τοῦ κατὰ τὴν διαίρεσιν ὑποθετικοῦ.
35 εἰ γάρ τι παραλέλειπται, ἢ γένος ἂν εἴη τοῦτο ἢ διαφορά· οὐδὲν γὰρ ἀλλοῖον

2 τοῦτο] τὸ E 7 αὐτῶν ἑκάστη coll. E ἢ scripsi: ἡ libri 8 μετ' αὐτὸν διαφορᾶς Aa 10 εἶναι om. E 13 τελευταία] διαφορὰ E 14 τοῦ ζῴου συστατικὸν E 18 τὸ] τὸν Aa 24 εἴτε μὴ τὸ προκείμενον coll. E 25 πλεῖω E ut Arist. D 26 prius ὁ om. E τῆς] τὴν a 27 συνειλημμένης EA¹: συνειλημμένην a: συνειλημμένοις ex corr. A 31. 32 συμπεριλαμβάνεται E 32 ἐπὶ a 33 τι om. Aa 34 τὴν om. E

ἐν τῷ τοῦ τί ἦν εἶναι λόγῳ ὀφείλει παραλαμβάνεσθαι. εἰ οὖν οὐδὲν τοι- 104
οῦτον παραλέλειπται, φανερὸν ὅτι οὐθὲν ἐλλείπει τῷ ὁρισμῷ. γένος μὲν
οὖν ὅτι οὐ παραλέλειπται, δῆλον· τὸ γὰρ πρῶτον τεθὲν καὶ μετὰ τῶν δια-
φορῶν προσληφθέν, τοῦτο τὸ γένος ἐστίν. ὅτι δὲ οὐδὲ διαφορά, φανερὸν 40
5 καὶ τοῦτο· πᾶσαι γὰρ ἔχονται, τουτέστι κατέχονται καὶ εἰλημμέναι εἰσί.
καὶ τοῦτο δῆλον ἐκ τοῦ μὴ εἶναι ὑστέραν διαφορὰν μετὰ τὰ ληφθέντα. εἰ
γὰρ ἦν τις διαφορὰ τοῦ προκειμένου ὑπάρχουσα τῶν εἰλημμένων ἐπέκεινα,
διέφερεν ἄν τι κατ' εἶδος ὁ λόγος πρὸς τὸ προκείμενον, ὥσπερ εἴ τις τὸν
ἄνθρωπον ἀποδιδοὺς τί ἐστι ζῷον εἴποι λογικόν (τὸ γὰρ ζῷον λογικὸν
10 χωρὶς τοῦ θνητοῦ, εἴδει τοῦ καὶ θνητοῦ διενήνοχεν) ὡς δὴ καὶ τὸ ζῷον
εἴ τις ἀποδίδωσιν οὐσίαν ἔμψυχον· ἡ γὰρ οὐσία ἔμψυχος χωρὶς τοῦ αἰσθη- 45
τικοῦ εἴδει διοίσει τῆς καὶ αἰσθητικῆς. ἐπεὶ δὲ τὸ τελευταῖον, ἤγουν ἡ
ἐσχάτη διαφορά, τῷ λοιπῷ συντιθεμένη λόγῳ ἢ τὸ ἐσχάτως ληφθέν,
ὅπερ ἐστὶ τὸ σύνολον, οὐδὲν διαφέρειν εἴρηται τοῦ ζητουμένου, οὐδέν τι
15 ἀπολείπει τῷ λόγῳ.

p. 97b 7 Ζητεῖν δὲ δεῖ ἐπιβλέποντα ἐπὶ τὰ ὅμοια.

Ἐπειδὴ περὶ τῆς τῶν ὁρισμῶν θηρεύσεως πρότερον λέγοντες εὐμεθο- 50
δώτερόν τινα τῆς διαιρέσεως καὶ ἀσφαλέστερον τρόπον τὸν διὰ τῆς ἀνα-
λύσεως εἴπομεν, τὰ κοινῶς ἐν πᾶσι τοῖς ὁμοειδέσι καθ' ἕκαστα εὑρισκό-
20 μενα λόγους εἶναι τῶν ταῦτα περιεχόντων εἰδῶν λέγοντες, καὶ τὰ κοινῶς
τοῖς ὁμογενέσιν ἀτόμοις εἴδεσιν ὁρισμοὺς τῶν ταῦτα περιεχόντων γενῶν, δεῖ
σκοπεῖν ἐν ταῖς τοιαύταις ζητήσεσι, μήποτε τὸ κοινὸν οὐ τὰ ἄτομα εἴδη
μετέσχηκεν, οὐ γένος ἐστὶν ἀλλὰ φωνή τις ὁμώνυμος. δεῖ γὰρ | καὶ τού- 105
του εἰδέναι διαφορὰν καὶ κανόνα ἔχειν τῆς διακρίσεως. οὐ γὰρ ἡ τυχοῦσα
25 πλάνη ἢ τὸ γένος φωνὴν ἡγεῖσθαι ὁμώνυμον ἢ ἀνάπαλιν γένος οἴεσθαι,
ὅταν ᾖ ὁμωνύμως τι κατά τινων λεγόμενον. ἡ δὲ σκέψις ἔσται τοῦτον
τὸν τρόπον· ἀπὸ τῶν ὑπὸ τὰ ἄτομα εἴδη καθ' ἕκαστα ὄντων δεῖ κἀνταῦθα
ποιήσασθαι τὴν ἀρχὴν καὶ ἰδεῖν τί τὰ ὑφ' ἓν ὁτιοῦν εἶδος τῶν ⟨τοῦ⟩ αὐτοῦ
κοινωνούντων ὀνόματος καθ' ἕκαστα κοινὸν ἔχουσι, τὸ αὐτὸ δὲ ποιῆσαι καὶ 5
30 ἐφ' ἑτέρων ὁμοειδῶν καθ' ἕκαστα, ἃ τὸ περιέχον εἶδος καὶ αὐτὸ τοῦ
αὐτοῦ κεκοινώνηκεν ὀνόματος. οὗ δὴ καὶ τὸ περιέχον εἶδος τὰ πρότερον
ἐκτεθέντα ὁμοειδῆ καθ' ἕκαστα, ὡς εἶναι καὶ ταῦτα πρὸς ἄλληλα μὲν κατ'
εἶδος ταὐτά, ἐκείνων δ' ἕτερα. ἰδεῖν τε κἀπὶ τούτων τί κοινὸν ἔχουσι. κἂν
ἕτερον εἶδος τύχῃ τοῦ αὐτοῦ τοῖς προλαβοῦσιν ὀνόματος μετέχον, σκοπεῖν
35 ὁμοίως καὶ τὰ ὑπὸ τοῦτο καθ' ἕκαστα, τί ταὐτὸν ἔχουσι. τούτων δὴ γινο- 10
μένων ὁ τοῦ τί ἦν εἶναι λόγος ἑκάστου τῶν εἰδῶν εὑρηται. καὶτὰ δὴ
καὶ πρότερον ποιεῖν ὑποτέθειται ἤδη. τοιγαροῦν δεῖ σκοπεῖν περὶ τῶν εἰδῶν
εἰ καὶ αὐτοῖς τι ὑπάρχει ταὐτὸν καὶ πάλιν, ἕως ἂν εἰς ἕνα τινὰ ὁρισμὸν

---

1 οὖν] δὲ E 3 τῶν] τὸν E 8 τι om. E 10 τοῦ καὶ] καὶ τοῦ Aa δὴ] εἰ E
11 εἴ τις om. E 26 post ᾖ add. τὸ E τι om. E 27 καθ' ἕκαστον Aa
28 τοῦ addidi 31 πρότερα Aa 34 τύχῃ] τύχοι Aa 37 ὑποτέθηται a

τοῖς ληφθεῖσιν ἅπασιν εἴδεσι κοινὸν καταντήσωμεν. εἰ μὲν οὖν οὕτω ποιοῦσι λόγος τις κοινὸς εὑρεθῇ τοῖς ληφθεῖσιν εἴδεσιν, οὗτός τε ὁρισμὸς ἔσται τοῦ γένους, οὗ καὶ τοῦ ὀνόματος καὶ τοῦ λόγου τάδε τὰ εἴδη μετέσχηκε, κἀκεῖνο τῶν εἰδῶν ἔσται γένος. εἰ δὲ μὴ εἰς ἕνα λόγον τὰ εἴδη καταντᾷ κοινὸν αὐτοῖς ἅπασιν ἀλλ' εἰς πλείονας καὶ διαφόρους, οὐκ ἔστι γένος ἓν εἶναι τὸ κοινὸν τοῖς εἴδεσιν, οὐδὲ ταῦτα τῷ γένει ἕν, ἀλλὰ πλείω. οὕτως οὖν ποιοῦντες οὐ μόνον τῶν τε ἀτόμων εἰδῶν καὶ τῶν ὑπὲρ ταῦτα γενῶν τοὺς λόγους ῥᾷον εὑρήσομεν ἀρχόμενοι κάτωθεν καὶ ἀπὸ τῶν γνωριμωτέρων ἡμῖν, ἀλλὰ κἂν φωνὴ εἴη ὁμώνυμος καὶ οὐ γένος τὸ κοινόν, ῥᾷον οὕτως ἢ διαιροῦντες τὸ γένος ἄνωθεν γνώριμον ἕξομεν. ἔστω δὴ ἡ μεγαλοψυχία τοῦ προκειμένου παράδειγμα, καὶ ληπτέον μεγαλοψύχους τινὰς καθ' ἕκαστα, οἳ ταὐτόν τι ἀλλήλοις ἕξουσιν, οἷον Ἀλκιβιάδην καὶ Ἀχιλλέα καὶ Αἴαντα. οὗτοι τοίνυν μεγαλόψυχοι ὡμολόγηνται εἶναι, ὅτι μὴ ἠνέσχοντο ὑβριζόμενοι· ἀλλ' Ἀλκιβιάδης μὲν ὕβριν ἀποσειόμενος ἐπολέμησεν, Ἀχιλλεὺς δὲ ὕβριν ἀμυνόμενος ἐμήνισε καὶ Ἀχαιῶν καταπονουμένων οὐ προεμάχησεν, Αἴας δὲ ὕβριν μὴ φέρων ἑαυτὸν ἀπέκτεινε. πάλιν ἐφ' ἑτέρων καθ' ἕκαστα ἐξετάζω, οἳ δὴ καὶ αὐτοὶ μεγαλόψυχοι εἶναι λέγονται, οἷον Λύσανδρος Σωκράτης καὶ Διογένης. τὸ κοινὸν καὶ οὗτοι ἧ μεγαλόψυχοι ἔχουσιν· ἔστι δὴ τὸ ἀδιαφόρως ἔχειν αὐτοὺς εὐτυχοῦντας καὶ δυστυχοῦντας. ταῦτα μὲν τῶν εἰδῶν ὁρισμοὶ πεπορισμένοι ἐκ τῶν καθ' ἕκαστα. τό τε ἀπαθῶς ἔχειν περὶ τὰς κατὰ τὰς τύχας διαφορὰς καὶ τὸ μὴ φέρειν ὑβριζομένους. λαβὼν οὖν ταῦτα τὰ δύο σκοπῶ τί κοινὸν ἔχουσι, καὶ ἐπεὶ μηδὲν τούτοις κοινόν, εἴη ἂν εἴδη μεγαλοψυχίας δύο ἀλλήλων καὶ κατὰ γένος ἕτερα, καὶ ἡ μεγαλοψυχία κοινὸν τούτοις ὡς ὄνομα, καὶ τούτοις ὀνόματι μόνον τὸ ταὐτόν, ἀλλ' οὐχὶ καὶ τῷ τῆς οὐσίας λόγῳ τῷ κατὰ τοὔνομα. δεῖ δὲ μὴ λανθάνειν ὅτι τὸ ταὐτὸν κατ' εἶδος καὶ ἕτερον οὐ κατὰ τὰ ὑποκείμενα ἐν τῷ παραδείγματι εἴληπται, ἀλλὰ κατὰ τὸ ζητούμενον. Ἀλκιβιάδης γὰρ καὶ Ἀχιλλεὺς καὶ Αἴας Λυσάνδρῳ καὶ Σωκράτει καὶ Διογένει, ἡ μὲν ἄνθρωποι, κατ' εἶδος οἱ αὐτοί, ἧ δὲ μεγαλόψυχοι, ἕτεροι· ὃ δὴ καὶ ἦν τὸ ζητούμενον. μηδεὶς δὲ οἰέσθω τῶν καθ' ἕκαστα εἶναι τοὺς ὁρισμούς, ὅτι ἐκ τῶν καθ' ἕκαστα τούτους θηρεύομεν· οὐδὲ γὰρ ἔστι τῶν καθ' ἕκαστα εἶναι ὁρισμόν, ᾗ καθ' ἕκαστα, διότι ἄπειρα, τοῦ δὲ ἀπείρου ἐπιστήμη οὐκ ἔστιν, ὥστ' οὐδὲ ὁρισμός· εἶδος γὰρ οὗτος ἐπιστήμης ἐστίν. ἄπειρα δὲ οὐκ ἐνεργείᾳ, ἀλλὰ τῷ φθείρεσθαι ταῦτα καὶ γίνεσθαι ἕτερα. ἄλλως τε ἐπεὶ οὐχὶ τῶν ἁπλῶν καὶ ἀύλων εἰδῶν ὁρισμοὶ ἐνταῦθα παραδίδονται, ἀλλὰ τῶν συνθέτων τε καὶ ἐνύλων, ταῦτα δὲ ἐν τοῖς καθ' ἕκαστα θεωρούμενα ἐν διηνεκεῖ ῥύσει καὶ μεταβολῇ γίνεται, πῶς τὰ ἐν τούτοις ὅρῳ ὑποβληθήσεται; ἀλλὰ ταῦτα

2 εὑρεθῇ post εἴδεσιν transponit E 3 τὰ εἴδη τάδε coll. E 4 καταντῇ E
7 τε om. E 11 τινὰς om. Aa 12 οἳ] οἷον Aa 14 ὑβριζόμενος a
17 καθ' ἑκάστων E 17. 18 εἶναι λέγονται—μεγαλόψυχοι E: om. Aa 19 ἀδιαφόρως] διάφορος a 20 πεπορισμένος a 21 περὶ om. E 23 εἴδη] ἤδη A
26 τὸ om. Aa 34 οὐχὶ om. E 35 ἁπλῶς E ἐνταυθοῖ E
37 τὰ om. Aa

μὲν φυσικώτερον εἴρηται· ἔστι δ' εἰπεῖν τι καὶ θεολογικώτερον. ὁ ἀνθρώ- 105
πινος νοῦς τῇ γνώσει τῶν εἰδῶν τελειοῦσθαι πέφυκε, μιμούμενος ταύτῃ
τὸν τὰ εἴδη παράγοντα· τῶν γὰρ καταδεεστέρων τελείωσις ἡ πρὸς τὰ 40
κρείττονά ἐστι μίμησις. δεῖ δὲ τὰ γνωστὰ κατάλληλα εἶναι καὶ προσφυῆ
5 τῷ γινώσκοντι, ἵν' αὐτοῖς προσαρμόζοιτο. ὡς οὖν ἐνόλῳ οὔσῃ τῇ αἰσθήσει
τὰ καθ' ἕκαστα γνώριμα ὅτι ἔνυλα, οὕτως ἀύλῳ ὄντι τῷ νῷ τὰ καθόλου
γνώριμα καθ' αὑτό, ὅτι ἄυλα. τῇ μὲν οὖν δημιουργικῇ γνώσει ἡ τῶν πραγμά-
των ὀντότης ἕπεται, διὸ καὶ τῷ θελῆσαι μόνον παράγειν τὰ πάντα ὁ δημιουρ-
γὸς λέγεται, τῇ δὲ καθ' ἡμᾶς γνώσει τὸ ὁρίζεσθαι. εἴποι δ' ἄν τις ὧδε καὶ 45
10 λογικώτερον· οἱ ὁρισμοὶ ἐκ τῶν ἀρχῶν τοῦ ὁριστοῦ, αἱ δ' ἀρχαὶ τῶν καθ'
ἕκαστα, ᾗ καθ' ἕκαστα, συμβεβηκότα. ἃ γὰρ ἐν τοῖς ὁμοειδέσι κοινῶς
εὑρίσκεται ἅπασιν, οὐ τοῦ καθ' ἕκαστα ταῦτα, ἀλλὰ τοῦ κοινοῦ ἰδιότητες·
ὧν δὲ τὸ ἄθροισμα οὐκ ἂν ἐπ' ἄλλου τινὸς εὑρεθείη, ταῦτα τουδὶ τῶν
καθ' ἕκαστα· τὰ δὲ τοιαῦτα ἀβέβαια καὶ οὐκ ἀναγκαῖα. πῶς οὖν ἔσται
15 τῶν τοιούτων ἐπιστήμη; ἀλλ' εἰ καὶ τῶν καθόλου οἱ ὁρισμοί, οὐ διὰ τοῦτο
καὶ τὰ καθολικώτερα ἔσται εὐοριστότερα· τὸ γὰρ ἄτομον εἶδος ῥᾷον ὁρί-
σασθαι ἢ τὸ κατὰ πλειόνων εἰδῶν λεγόμενον. τὰ γὰρ κοινῶς ὑπάρχοντα 50
πᾶσι τοῖς ὑπὸ τὸ ἄτομον εἶδος καθ' ἕκαστα, ἐκ τῆς ἐναργείας ὑπάρχοντα
γνώριμα, τὸν τοῦ περιέχοντος αὐτὰ εἴδους λόγον δῆλον παρίστησιν. ὡς
20 γὰρ καὶ πρότερον εἴρηται, ἐκ μὲν τῶν καθ' ἕκαστα τὸν τοῦ ἀτόμου εἴδους
ὅρον συντίθεμεν, ἐκ δὲ τῶν εἰδῶν τὸν τοῦ γένους. ὡς οὖν εὐδηλότερα
τῶν εἰδῶν τὰ καθ' ἕκαστα, οὕτω τὰ εἴδη τῶν γενῶν, ὅτι εὐθὺς μετὰ τὰ
καθ' ἕκαστα. ὥστε τὸν ὁρισμὸν θηρεύειν βουλόμενον ἀναλυτικῇ μᾶλλον
χρηστέον ἀπὸ τῶν καθ' ἕκαστα πρὸς τὰ καθόλου ἀνιόντα ἢ διαιρετικῇ 106
25 ἀπὸ τῶν καθόλου ἐπὶ τὰ καθ' ἕκαστα κατιόντα. ἀλλὰ καὶ αἱ ὁμωνυμίαι
πολλῆς αἴτιαι πλάνης γινόμεναι τοῖς προτιθεμένοις ὁρίζεσθαι, ἧττον ἂν δια-
λάθοιεν ἀπὸ τῶν καθ' ἕκαστα ἀνιόντων ἡμῶν ἢ κατιόντων ἄνωθεν ἐπ'
αὐτά. εἰ γάρ τι κοινὸν εἴη κατ' οὐσίαν ἢ μή, τοῖς καθ' ἕκαστα δῆλον ἐκ
τῆς ἐναργείας ἐστί. καὶ εἰ μὲν εἴη τι κοινόν, οὐχ ὁμώνυμον τὸ κατ'
30 αὐτῶν λεγόμενον, ἀλλ' εἶδος ἢ γένος ταὐτόν· εἰ δὲ μηδέν, ὀνόματος αὐτοῖς 5
κοινωνία, ἀλλ' οὐχὶ καὶ τῆς φύσεως. ὅτι δ' ἡ ὁμωνυμία λανθάνουσα
πλάνης αἰτία γίνεται, δῆλον· εἰ γάρ τις τὸ ὁμώνυμον ὡς ἕν τι σημαίνειν
οἰόμενος ἐπιχειροίη ὁρίζεσθαι, ἀδυνάτοις πάντως ἐπιχειρεῖ. ὁ δὲ ἀδυνάτοις
ἐπιχειρῶν ματαιοπονεῖ, ὁ δὲ ματαιοπονῶν ἢ βιάζεται ἢ πλανᾶται· εἰ
35 μὲν ἀκουσίως, βιάζεται, εἰ δὲ ἑκουσίως, πλανᾶται. ὅτι δ' οὐκ ἐνδέχεται
τὸ ὁμώνυμον ὁρίζεσθαι, δῆλον καὶ τοῦτο· ὁ γὰρ εἷς ὁρισμὸς μίαν
φύσιν δηλοῖ, τὰ δὲ ὑπὸ τῆς ὁμωνύμου φωνῆς δηλούμενα οὐ μία ἐστὶ 10

1 τι καὶ θεολογικώτερον E: καὶ om. A: τίθετο λογικώτερον a 3 ἡ scripsi: εἰ libri
4 ἐστι om. Aa 6 post ὅτι add. ἔστιν E 8 πάντα παράγειν Aa 10. 11 τοῦ καθ'
ἕκαστα E 12 ἅπασιν] ἅπαντα E 13 ὧν] ᾧ Aa post εὑρεθείη add. ποτὲ E
20 ἀτόμω E 21 ὅρων E ἀδηλότερα E 23 βουλόμενος A¹ 25 ἀπὸ τῶν
καθόλου—κατιόντα om. Aa 26. 27 ἂν λάθοιεν E 29 εἴη om. Aa 31 post τῆς
add. αὐτῆς E 34 ἢ ante βιάζεται om. Aa 37 οὐ μία—δηλούμενα (216,1) om. E

φύσις· τὰ ὑπὸ τῆς ὁμωνύμου ἄρα φωνῆς δηλούμενα ἑνὶ ὁρισμῷ οὐχ 106
ὁρίζεται.

p. 97b7 Ζητεῖν δὲ δεῖ ἐπιβλέποντα ἐπὶ τὰ ὅμοια.

Χρησιμωτέραν θέμενος πρότερον πρὸς τὴν τῶν ὁρισμῶν εὕρεσιν τὴν
5 ἀναλυτικὴν τῆς διαιρετικῆς, εἶτα δὲ καὶ τὴν διαίρεσιν εἰς ὅσα χρήσιμός
ἐστιν ἐπειπών, καὶ μεταξύ τινας παραδοὺς παρατηρήσεις ἃς δεῖ παραφυ- 15
λάττεσθαι τοὺς βουλομένους ὁρίζεσθαι διὰ τῶν διαιρέσεων, νῦν καὶ περὶ
τῶν ὁμωνυμιῶν φησιν, ἃς δεῖ εὐλαβεῖσθαι τὸν ὁριζόμενον ὡς πλάνην
ἐμποιούσας οὐ μικράν. παρίστησιν δὲ ὡς καὶ πρὸς τὸ ταύτας μὴ λανθάνειν
10 ῥᾷον ἕξομεν ἀναλύοντες ἥπερ διαιρούμενοι. λέγει τοίνυν ὅτι δεῖ ζητεῖν
τὸν περὶ τοῦ ὅρου σκοποῦντα καὶ τοῦτο μετὰ τῶν λοιπῶν τῶν εἰρημένων·
εἴη γὰρ ἂν καὶ τοῦτο τετάρτη τις παρατήρησις ἀπὸ τῶν καθ' ἕκαστα τὴν
ἀρχὴν ἔχουσα διὰ τὸ ἐντεῦθεν ἔχειν τὸ ῥᾷον καὶ εὐκατόρθωτον. δεῖ γάρ, 20
φησίν, ἐπιβλέπειν μήποτε τὸ κοινὸν φωνή τις εἴη ὁμώνυμος. τοῦτο δ'
15 ἂν ἀκριβωσόμεθα ἀπὸ τῶν ὁμοίων καὶ ἀδιαφόρων ὁρμώμενοι, λαμβάνοντες
μέν τινα τῶν καθ' ἕκαστα, ὁμοειδῆ δὲ ἀλλήλοις εἶναι ὁμολογούμενα πρῶτον,
σκοποῦντες δὲ τί ἅπαντα ταῦτα κοινὸν ἔχουσι. ταῦτα γὰρ λέγει ὅμοια
καὶ ἀδιάφορα, ἤγουν τὰ μηδὲν ἀλλήλων διενηνοχότα κατ' εἶδος. ἡ δὲ
σκέψις ὡς περὶ γένους, ἥτις καὶ μάλιστα δυσχερής ἐστι, τὸ εὐχερὲς προσ-
20 λαμβάνουσα, εἰ ἀπὸ τῶν καθ' ἕκαστα δέχοιτο τὴν ἀρχήν. εἰ γὰρ μὴ εἶδος 25
τὸ κοινὸν τοῖς καθ' ἕκαστα, εὐθὺς εὐδιάγνωστον· οἷον εἴ τις θεῖτο ὄνομα
ἱμάτιον ἀνθρώπῳ καὶ ἵππῳ, ὅτι μὴ ἔστιν ὡς εἶδος κοινὸν τὸ ἱμάτιον τῷδε
τῷ ἵππῳ καὶ τῷδε τῷ ἀνθρώπῳ, δῆλον αὐτόθεν διὰ τὸ δῆλον εἶναι καὶ
ὅτι ὅδε ὁ ἵππος καὶ ὅδε ὁ ἄνθρωπος οὐδὲν κατ' εἶδος ἀλλήλοις κεκοινωνή-
25 κασιν, καὶ ἡ γνῶσις ἐξ αὐτῆς τῆς αἰσθήσεως. δεῖ δὴ πρῶτον θεῖναί τινα
τῶν καθ' ἕκαστα, ἀλλήλων ὄντα κατ' εἶδος ἀδιάφορα.

p. 97b8 Εἶτα πάλιν ἐφ' ἑτέροις, ἃ ἐν ταὐτῷ μὲν γένει ἐκείνοις. 30

Μεθ' ὅ, φησί, λάβωμέν τινα ὁμοειδῆ, καὶ τί τὸ κοινὸν ἐκείνοις εὑρή-
σομεν, καθ' ὃ καὶ ὁμοειδῆ ἀλλήλοις λέγονται. πάλιν τὸ αὐτὸ καὶ ἐφ'
30 ἑτέροις ποιητέον, ἅπερ τὰ δεύτερα δηλονότι ἔχουσι μὲν τὸ αὐτὸ ἑαυτῶν
κατηγορούμενον, ὅπερ δὴ κἀκεῖνα εἶχον τὰ πρότερα, ὃ καὶ ζητεῖται εἴτε
ὡς γένος ἐστὶ κατηγορούμενον εἴτε ὡς ὁμώνυμος φωνὴ καὶ τούτοις κἀκείνοις 35
κοινόν ἐστιν, ὡς εἶναι τὰ δεύτερα ταῦτα ἀλλήλοις μὲν κατ' εἶδος τὰ αὐτά,
τῶν δὲ προτέρων ἐκείνων ἕτερα.

---

2 ὁρίζονται E 5 δὲ om. E 7 περὶ] παρὰ Aa 9 οὐχὶ E
10 τοίνυν] τοιγαροῦν Aa 11 τὸν om. Aa τῶν post λοιπῶν om. E
13 ἀκατόρθωτον E 15 ἀκριβωσόμεθα scripsi: ἀκριβωσώμεθα libri ὁρμόμενοι a
λαμβάνοντας E 16 δὲ om. Aa 19 σκέψεις a 22 ἀνθρώπῳ — ἱμάτιον
om. E 23 αὐτόθι E 29 ἀλλήλοις om. Aa 33 μὲν — αὐτά] μὲν ταῦτα
κατ' εἶδος Aa

p. 97b10 Ὅταν δ' ἐπὶ τούτων ληφθῇ τι πάντῃ ταὐτὸν καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, ἐπὶ τῶν εἰλημμένων πάλιν σκοπεῖν, εἰ ταὐτόν, ἕως ἂν εἰς ἕνα ἔλθῃ λόγον· οὗτος γάρ ἐστι τοῦ πράγματος ὁρισμός. 106

Εἰπὼν ἐπὶ μιᾶς καὶ δευτέρας τῶν ὁμοειδῶν συστοιχίας τοῦ αὐτοῦ κοινωνίαν ὀνόματος περὶ οὗ ζητεῖται, εἴτε ὡς ὄνομα μόνον κοινόν ἐστιν εἴτε καὶ ὡς φύσις τις, τὸ αὐτό, φησί, δεῖ ποιεῖν καὶ ἐπὶ τρίτης τινός, εἰ καὶ ἄλλ' ἄττα εἴη ὁμοειδῆ μὲν πρὸς ἄλληλα καὶ κατ' εἶδος ἀδιάφορα, ἐκείνων δὲ ἕτερα, κοινωνοῦντα μέντοι καὶ ταῦτα τοῦ κοινοῦ ἐκείνου τοῖς προτέροις ὀνόματος. ὅταν γάρ, φησί, καὶ ἐπὶ τούτων τῶν δευτέρων ληφθῇ τι ταὐτὸν κατὰ πάντα, ὡς κατ' ἐκεῖνο εἶναι καὶ ταῦτα πρὸς ἄλληλα ἀδιάφορα, καὶ ἐπὶ τῶν ἄλλων τὸ αὐτό, τουτέστι τῶν πρότερον εἰλημμένων, ὡς εἶναι τά τε πρότερα πρὸς ἄλληλα κατ' εἶδος ταὐτά τά τε δεύτερα ὡσαύτως, πάλιν δεῖ καὶ ἐπὶ τῶν κατὰ τρίτην τάξιν εἰλημμένων σκοπεῖν τὸ αὐτό, εἰ ταὐτὸν ἐν τούτοις τε καὶ ἐν ἐκείνοις πρᾶγμά ἐστιν ἐννοούμενον, ἀλλ' οὐχὶ ὄνομα μόνον κοινὸν ἔχουσι πρὸς ἄλληλα. καὶ ταῦτα δεῖ ποιεῖν, ἕως ἂν τὰ ληφθέντα πάντα εἰς ἕνα καταντήσῃ ὁρισμὸν κοινὸν τοῖς πᾶσιν ὑπάρχοντα. εἰ γάρ τις εὑρεθείη λόγος κοινὸς τοῖς ἅπασι κατὰ τὸ κοινὸν ὄνομα, ὃ κατὰ πάντων ἐπιφέρεται ἀποδιδόμενος τοῖς πᾶσιν, οὗτος ἔσται τοῦ πράγματος ὁρισμός, οὗ τὰ πάντα κεκοινωνήκασιν. ὡς εἶναι γένος ἐκεῖνο συνωνύμως κατὰ πάντων τῶν εἰλημμένων λεγόμενον, κἂν εἶδος ἄλλο μὲν τὸ ἐπὶ τῶν πρώτων, ἄλλο δὲ τὸ ἐπὶ τῶν δευτέρων, ἕτερον δὲ τὸ ἐπὶ τῶν τρίτων ᾗ θεωρούμενον.

p. 97b13 Ἐὰν δὲ μὴ βαδίζῃ εἰς ἕνα, ἀλλ' εἰς δύο ἢ πλείω, δῆλον ὅτι οὐκ ἂν εἴη ἕν τι εἶναι τὸ ζητούμενον, ἀλλὰ πλείω.

Ἐὰν δέ, φησί, τὰ λαμβανόμενα μὴ εἰς ἕνα προΐῃ λόγον ἐν τῷ λαμβάνεσθαι, ἀλλ' εἰς δύο, εἰ δύο αἱ λήψεις | τῶν συστοιχιῶν εἴησαν, ἢ καὶ εἰς πλείους, εἰ πλείους, οἷον τυχὸν εἰς τρεῖς ἢ τέτταρας, εἰ καὶ αἱ συστοιχίαι τοσαῦται, δῆλον ἐντεῦθέν ἐστιν ὅτι οὐχ ἕν τι πρᾶγμά ἐστι τὸ ζητούμενον ὡς κοινόν τί ἐστιν, εἴτε γένος εἴτε μή, ἀλλὰ πλείω μὲν πράγματα, φωνὴ δὲ μία κοινὴ τοῖς πλείοσιν. 107

p. 97b15 Οἷον λέγω, εἰ τί ἐστι μεγαλοψυχία.

Προτίθησι τοῦ εἰρημένου παράδειγμα τὴν μεγαλοψυχίαν. καὶ ἔστω, φησί, τὸ ἐπὶ πλειόνων κοινὸν αὕτη, καὶ ζητητέον τί ἐστιν αὕτη τοῖς ἐφ'

---

1 lemma spatio relicto om. E 3 λόγον Arist.: λαβών Aa 15 ἠνοούμενον E
17 ἂν om. Aa 19 ἔσται] ἐστὶ E 20 τά] κατὰ Aa 22 pr. τὸ om. E
23 ᾗ] ἣν Aa 24 lemma non distinxit E 25 ἕν τι εἴη coll. Aa
27 ἦσαν E 28 εἰ πλείους om. E 29 ἐστὶ om. E

ὧν λέγεται, ἤτοι πῶς αὐτῶν κατηγορεῖται, ἵνα εἰ μὲν κοινὸν λόγον εὕροιμεν 107
ἁρμόζοντα πᾶσι τοῖς μετέχουσι τοῦ τῆς μεγαλοψυχίας ὀνόματος, τοῖς μὲν
ὑπ' ἄλλο τελοῦσιν εἶδος τοῖς δὲ ὑφ' ἕτερον γένος αὐτὴν εἴπωμεν κοινόν, εἰ 10
δ' οὔ, γνοίημεν αὐτὴν ὄνομα μόνον οὖσαν κοινὸν τοῖς ἅπασι, καὶ τὴν κοι-
5 νωνίαν αὐτῶν κατὰ τοὔνομα μόνον, οὐ μὴν καὶ κατὰ τὸν λόγον τὸν κατὰ
τοὔνομα. ἀρκτέον δὲ ἀπὸ τῶν καθ' ἕκαστα, καθὼς παραδέδοται, καὶ ληπτέον
τινὰς οὓς ἴσμεν μεγαλοψύχους, τί ἔχουσι πάντες, καθ' ὃ μεγαλόψυχοι, οἷον
Ἀλκιβιάδην καὶ Ἀχιλλέα καὶ Αἴαντα· οὗτοι γὰρ καθ' ἕκαστα ὄντες
μεγαλόψυχοι εἶναι παραδέδονται. τί τοίνυν ἅπαντες οὗτοι ἓν ἔχουσι, καθ' ὃ 15
10 μεγαλόψυχοι; ἔχουσι δὲ τὸ μὴ ἀνέχεσθαι ὑβριζόμενοι. ὁ μὲν γὰρ Ἀλκι-
βιάδης ὑβρισθεὶς καὶ μὴ ἀνασχόμενος ἐπολέμησε τοῖς ὑβρίσασιν, ὁ δὲ
Ἀχιλλεὺς τὸ αὐτὸ παθὼν κατὰ τοῦ ὑβρικότος ἐμήνισε καὶ τῶν ὁμοφύλων
οὐ προεμάχησεν, ὁ δὲ Αἴας τῆς ὕβρεως μὴ ἀνασχόμενος ἑαυτὸν ἀπέκτεινεν.
εἰσὶ τοιγαροῦν ἀδιάφοροι κατὰ τὸ μὴ ἀνέχεσθαι ὑβριζόμενοι. καὶ τούτῳ
15 τῷ τρόπῳ τῆς μεγαλοψυχίας ὥσπερ ὁμοειδεῖς. σκοπῶμεν δὴ πάλιν καὶ
ἐφ' ἑτέρων, οἷον Λυσάνδρου καὶ Σωκράτους καὶ Διογένους· καὶ οὗτοι γὰρ 20
μεγαλόψυχοι παραδέδονται, ἀλλ' οὐχὶ κατὰ τὸ αὐτὸ ὅτι μὴ ἠνείχοντο ὑβρι-
ζόμενοι, ἀλλὰ τὸ ἀδιαφόρως ἔχειν περὶ τὰς τύχας, ὡς μήτε ταῖς εὐπρα-
γίαις ἐπαίρεσθαι μήτε καταπίπτειν ταῖς δυσπραγίαις.

20 p. 97b 22 Ταῦτα δύο λαβὼν σκοπῶ τί τὸ αὐτὸ ἔχουσιν.

Λαβών, φησίν, ἀπὸ τῶν καθ' ἕκαστα δύο τῆς μεγαλοψυχίας εἴδη 25
ταῦτα, τό τε περὶ τὰς τύχας ἀδιάφορόν τε καὶ ἀπαθὲς καὶ τὸ περὶ τὰς
ὕβρεις ἀνυπομόνητον, σκοπῶ τί κοινὸν ἔχουσιν. εὑρίσκω τοίνυν ὅτι οὐδέν,
οὐ μόνον κατ' εἶδος καὶ γένος, ἀλλ' οὐδὲ κατὰ τὰς δυνάμεις ἐξ ὧν
25 προβαίνουσιν· ἡ μὲν γὰρ κατὰ τὴν τοῦ λόγου ἐστὶν ἡ δὲ κατὰ τὴν τοῦ
θυμοειδοῦς ἐπικράτειαν. ἀποφαίνομαι οὖν ὅτι δύο εἴδη τῆς μεγαλοψυχίας
ἐστὶν ἀλλήλων ἕτερα πάντῃ, μὴ γένους κοινωνοῦντα ἑνός· ἦν γὰρ ἂν καὶ 30
λόγος αὐτοῖς ὁ τοῦ γένους κοινός, νῦν δ' οὐκ ἔστιν. ὥσθ' ὁμώνυμον κατ'
αὐτῶν τὸ τῆς μεγαλοψυχίας ὄνομα λέγεται.

30 p. 97b 26 Ἀεὶ δ' ἐστὶ πᾶς ὅρος καθόλου· οὐ γάρ τινι ὀφθαλμῷ
λέγει τὸ ὑγιεινὸν ὁ ἰατρός.

Ἐπειδὴ πρώην ἔλεγεν ὡς ἐκ τῶν καθ' ἕκαστα τοὺς ὅρους τοῖς
καθόλου ἀποδίδομεν, εἰκὸς ἦν ὑπολαβεῖν τινα, μήποτε προηγουμένως τῶν 35
καθ' ἕκαστα οἱ ὅροι εἰσὶ καὶ δι' αὐτὰ καὶ τοῖς αὐτὰ περιέχουσιν ἐφαρμό-
35 ζουσι. διὰ τοῦτο ταύτην ἀναιρῶν τὴν ὑπόνοιαν προστίθησιν τὰ ἐνταῦθα

4 οὔ] οὖν Aa οὖσαν scripsi: οὖσα libri 7 οὓς] ἃς a πάντας E
12 τῶν om. E 14 τοιγαροῦν] γοῦν E ἀδιάφοροι] αἱ διαφοραὶ E
14 et 17. 18 ὑβριζόμενος a 22 τε (ante καὶ) et τὸ (post καὶ) om. E
23 ἂν ὑπομόνητον libri 26 οὖν] τοίνυν E 31 ὑγιαίνειν a 32 ἐπεὶ Aa

λεγόμενα 'οὐ χρὴ' φάσκων 'ὑπονοεῖν διὰ τὰ εἰρημένα ὅτι τῶν καθ' ἕκαστά 107
ποτε οἱ ὅροι εἰσίν· ἀεὶ γὰρ πᾶς ὅρος καθόλου'. καὶ τοῦτο δείκνυσιν ἀπὸ
τῶν τεχνῶν· τὸ γὰρ ὀφθαλμῷ ὑγιεινὸν ὁ ἰατρὸς ὁριζόμενος οὐ τὸ τινὶ
ὀφθαλμῷ ὑγιεινὸν ὁρίζεται, ἀλλ' ἢ παντὶ ἢ εἴδει ἀφορίσας. ἐπεὶ γὰρ τὸ
5 καθόλου διττόν ἐστιν, ἢ τὸ κατατεταγμένον καὶ ἐν πᾶσι τοῖς καθ' ἕκαστα 40
θεωρούμενον ἢ τὸ ἐξ ἀφαιρέσεως καὶ κατ' ἔννοιαν λαμβανόμενον, ὁ ὁριζό-
μενος ἢ ἐκεῖνο λαμβάνει ὃ ἐν παντὶ θεωρεῖται τῷ καθ' ἕκαστα, ἢ ὃ κατὰ
τὴν ἔννοιαν λαμβάνεται, ἀλλ' οὐχὶ τὸ ἕν τινι τῶν καθ' ἕκαστα. περὶ γὰρ
τοῦ πρὸ τῶν πολλῶν ἑνὸς καὶ καθόλου οὐκ οἰκεῖον νῦν λέγειν· οὐδὲ γὰρ
10 Ἀριστοτέλει περὶ τοῦ τοιούτου καθόλου ὁ λόγος πρόκειται. ἔστι καὶ ἄλλως
εἰπεῖν τὸ παντὶ ἢ εἴδει ἀφορίσας. εἰ μὲν γὰρ μὴ ὁμώνυμός ἐστι φωνὴ
τὸ προκείμενον, ἀλλ' ἕν τι σημαινόμενον τῆς φωνῆς, ὃ ἐν πᾶσιν ὑπάρχει 45
τοῖς μετέχουσι τοῦ ὀνόματος, παντὶ ἁπλῶς ἀφορίζεται· εἰ δὲ ἔστιν ὁμώνυμον
τὸ ληφθέν, ἓν εἶδος ἀφορίσας τούτου καθόλου τὸν ὁρισμὸν ἀποδίδωσιν.

15 p. 97b28 Ῥᾷόν τε τὸ καθ' ἕκαστον ὁρίσασθαι ἢ τὸ καθόλου.

Καθ' ἕκαστον ἐνταῦθα οὐ τὸ ἓν τῷ ἀριθμῷ ἔοικε λέγειν, ἀλλὰ τὸ 50
εἶδος τὸ εἰδικώτατον· φησὶ τοίνυν ὅπερ καὶ πρότερον εἴρηκεν, ὅτι τὸ εἰδι-
κώτατον ὁρίσασθαι ῥᾷόν ἐστιν ἤπερ τὸ γένος· ὡς εἶναι τοιαύτην τοῦ λόγου
τὴν ἔννοιαν ὅτι εἴ σοι πρόκειταί τι τῶν ὑπαλλήλων ὁρίσασθαι, τὴν ῥᾴονα
20 ὁδὸν καὶ εὐανυστοτέραν πρὸς τοῦτο ἑλοῦ ἕκαστον τῶν ὑπ' αὐτὸ εἰδικωτά-
των εἰδῶν ὁριζόμενος πρότερον, καὶ οὕτως ἕξεις ἐξ αὐτῶν τὸν ὁρισμὸν τοῦ
καθόλου καὶ ὑπὲρ αὐτὰ γένους· ὃ γὰρ κοινὸν τούτοις ἅπασι, λόγος | ἔσται 108
τοῦτο τοῦ γένους. καὶ ἐπεὶ ῥᾴων αὕτη ἡ ὁδός ἐστι, δεῖ ἀπὸ τῶν καθ'
ἕκαστα ἐπὶ τὰ καθόλου μεταβαίνειν. τὸ δεύτερον τοῦτο καθ' ἕκαστα
25 νοεῖται μὲν καὶ ὡς περὶ τῶν εἰδῶν λεγόμενον, ὅτι δεῖ τῶν εἰδῶν ἕκαστον
τῶν ὑπὸ τὰ γένη ὁριζομένους μεταβαίνειν ἐκ τούτων ἐπὶ τὰ γένη, νοεῖται
δὲ καὶ περὶ τῶν ἓν τῷ ἀριθμῷ. καὶ γὰρ καὶ ἀπὸ τούτων, καθὼς καὶ
πρότερον εἴρηκεν, ἐπὶ τὰ εἴδη κατὰ ἀνάλυσιν ἀνερχόμεθα τοὺς ὁρισμοὺς 5
αὐτῶν θηρεύοντες, καὶ ἀπὸ τῶν εἰδῶν αὖθις ἐπὶ τὰ γένη. λέγει δὲ
30 ταῦτα, διότι ἀνωτέρω εἴρηκε καθόλου πάντα εἶναι ἀεὶ ὁρισμόν. ἵνα γὰρ
μὴ δόξῃ σαλεύειν ὁ λόγος τὸ τῆς ἀναλύσεως χρήσιμον, διὰ τοῦτο πάλιν
ταύτην ἐπισυνίστησιν, ὅτι εἰ καὶ καθόλου οἱ ὁρισμοί, ἀλλά γε ῥᾴων αὐτοῖς
ἐκ τῶν κάτωθεν ἡ εὕρεσις γίνεται.

p. 97b29 Καὶ γὰρ αἱ ὁμωνυμίαι λανθάνουσι μᾶλλον ἐν τοῖς καθόλου.

35 Καὶ κατὰ ἄλλο δέ, φησίν, ἀνυσιμώτερόν ἐστιν εἰς τοὺς ὁρισμοὺς ἡ 10
ἀνάλυσις. ἐπεὶ γὰρ αἱ ὁμωνυμίαι πλάνην ἐμποιοῦσαι λίαν τοῖς ὁρισμοῖς

---

4 ἢ παντὶ] ὃ παντὶ A: ὃ παντὸς a 15 ἕκαστα E 19 εἴ σοι] ὅσοι Aa 25 post δεῖ add. ἀπὸ E 26 ἐκ τούτων om. E 27 δὲ om. Aa καὶ post γὰρ om. Aa 30 καθόλου εἴρηκε coll. E 35 κατὰ τὰ ἄλλα E

ἐμποδίζουσιν, εὐλαβητέον ἂν εἴη ταύτας ὡς μάλιστα. αὗται δὲ μᾶλλον ἂν 108
διαλάθοιεν ἐν τοῖς γένεσιν ἢ ἐν τοῖς εἴδεσι καὶ ἐν τοῖς καθόλου ἢ τοῖς
καθ' ἕκαστα. πῶς καὶ τίνι τρόπῳ; ὅτι τὰ καθ' ἕκαστα αἰσθήσει ὄντα
ληπτὰ δῆλα ἐκ τῆς ἐναργείας ἐστίν, εἴτε μιᾶς τινος κοινωνοῦσιν φύσεως,
5 καθ' ἧς τὸ ὄνομα φέρεται, εἴτε διάφορα κατὰ τὰς φύσεις ἐστίν. ὥστε καὶ
τὰ εἰδικώτατα εὐθὺς ὑπάρχοντα μετὰ τὰ καθ' ἕκαστα τῶν γενῶν ἐστιν 15
εὐδηλότερα, ὡς ἔχει περὶ τὸ ὁμώνυμα εἶναι ἢ μή. ἰδὲ γὰρ ὅτι καὶ ἐν
τοῖς γένεσιν ὁμωνυμία ἐκ τῆς πρὸς τὰ εἴδη ἀναφορᾶς γνωρίζεται· διὰ τοῦτο
γὰρ ὁμωνύμως ζῷον ὅ τε ἄνθρωπος καὶ τὸ γεγραμμένον, διότι καὶ ἄνθρωπος
10 ὁμωνύμως. ὥστε καὶ κατὰ τοῦτο κρεῖττόν ἐστι καὶ ἀσφαλέστερον ἀπὸ τῶν
καθ' ἕκαστα μεταβαίνειν ἐπὶ τὰ καθόλου τοὺς τὴν θήραν ποιουμένους τῶν
ὁρισμῶν. κἂν μὴ αἰσθητὸν δὲ ᾖ τὸ καθ' ἕκαστον, τοῦ περιέχοντος αὐτὸ 20
καθόλου σαφέστερόν τε καὶ γνωριμώτερον διὰ τὸ συγκεχύσθαι μὲν τὸ καθόλου
πλείοσιν ἁρμόζον καὶ τούτοις πᾶσιν ἑπόμενον, τὸ δὲ καθ' ἕκαστον ἑαυτῷ
15 περιορίζεσθαι μόνῳ κἀντεῦθεν εἶναι ἀσύγχυτον. ἀδιάφορα δὲ ὀνομάζει
κἀνταῦθα ἢ τὰ κατ' εἶδος ταὐτὰ καθ' ἕκαστα ἢ τὰ κατὰ γένος ταὐτὰ εἰδι-
κώτατα, ὡς τὴν ταυτότητα ἔχοντα καὶ ἀδιαφορίαν κατὰ τὸ πρᾶγμα καθ'
ὃ ἀλλήλοις κεκοινωνήκασιν.

p. 97b31 Ὥσπερ δὲ ἐν ταῖς ἀποδείξεσι δεῖ τό γε συλλελογίσθαι 25
20 ὑπάρχειν.

Δεῖ δὲ τοῖς ὅροις καὶ τοῦτο παρατηρεῖν ἵν' ἐνυπάρχῃ αὐτοῖς σαφήνεια.
ὥσπερ γὰρ τῇ ἀποδείξει ἀνάγκη προσεῖναι τὸ συλλογίζεσθαι, ὡς μὴ ἂν
ἄλλως ἐνδέχεσθαι ἀπόδειξιν εἶναι, εἰ μὴ συλλογισμός ἐστιν, οὕτως οὐδὲ
ὅρον δεῖ λέγειν, εἰ μὴ σαφής ἐστι. τῆς τε γὰρ ἀποδείξεως γένος ὁ συλλο-
25 γισμός, τοῦ δὲ γένους μὴ ὄντος οὐδὲ τὸ εἶδός ἐστιν, ὥστε μὴ ὄντος τοῦ 30
συλλογίζεσθαι οὐδὲ τὸ ἀποδεικνύειν εἶναι ἐνδέχεται, τῷ τε ὁρισμῷ συμ-
πληρωτικὸν τοῦ εἶναι τὸ δηλωτικὸν εἴθ' ὡς γένος εἴθ' ὡς διαφορά. πῶς
δ' ἂν δηλώσοι σαφηνείας χωρίς; ὡς γὰρ ἀδηλία ἡ ἀσάφεια, οὕτως ἡ
σαφήνεια δήλωσις. δεῖ ἄρα τῷ ὅρῳ ἐξ ἀνάγκης προσεῖναι τὸ σαφές. ὅταν
30 οὖν τι τῶν ἐν ἑτέροις θεωρουμένων πρόκειται ὁρίσασθαι, τούτου δ' ἢ διά-
φορα εἴδη ἐν ἄλλοις καὶ ἄλλοις ὑποκειμένοις θεωρούμενα, οὐ χρὴ εὐθὺς
τὸ κοινὸν λαβεῖν καὶ ὁρίσασθαι· ἀσάφεια γὰρ οὕτως ἔσται διὰ τὸ συγκεχυ- 35
μένον εἶναι καὶ ἄδηλον τὸ κοινόν· ἀλλὰ χωρὶς ἕκαστον ἀπολαβόντα ἰδίᾳ
μὲν τὸ ἐν τῷδε τῷ ὑποκειμένῳ, ἰδίᾳ δὲ τὸ ἐν τῷδε, καὶ ἕκαστον ὁρισα-
35 μένους καθ' ἑαυτό, οὕτως ἤδη μεταβαίνειν καὶ ἐπὶ τὸ κοινόν. οἷον ἔστω τὸ
ὅμοιον, ὅπερ εἰς τὸ ὁρισθῆναι προτέθειται· ἔστι δὴ τοῦτο καὶ ἐν χρώμασι

2 διαλάθοιεν] λάβοιεν Aa 4 τινος om. E 6 εἰσὶν E 12 κἂν om. E
ᾖ] ὂν E 13 μὲν om. E 14. 15 τὸ δὲ — ἀσύγχυτον om. E 15 δὲ]
οὖν E 19 δὲ] τὲ Aa ante ἐν add. καὶ a 21 ἐνυπάρχοι Aa
28 δηλώσει A γὰρ] τὸ Aa 30 πρόκειται θεωρουμένων coll. Aa
33 ἕκαστον om. E 33 et 34 ἴδια utrobique libri 36 δὴ] δὲ E

καὶ ἐν σχήμασι καὶ ἐν ἀρεταῖς καὶ ἐν ἐπιστήμαις. δεῖ τοιγαροῦν μὴ τὸ 108
ὅμοιον εὐθὺς ἐπιχειρεῖν καθόλου ὁρίζεσθαι, ἀλλ' ἰδίᾳ μὲν τὸ ἐν χρώμασιν, 40
ἰδίᾳ δὲ τὸ ἐν σχήμασιν, ἰδίᾳ δὲ τὸ ἐν ἀρεταῖς καὶ τὸ ἐν ἐπιστήμαις ἰδίᾳ. καὶ τὸ ὀξὺ πάλιν ἔστι μὲν ἐν ὄγκοις, ἔστι δὲ καὶ ἐν φωναῖς, καὶ δεῖ τὸν
5 ὁρίσασθαι προθέμενον τὸ ὀξὺ μὴ εὐθὺς ἐπιχειρεῖν καθόλου τοῦτο ποιεῖν, ἀλλ' ἰδίᾳ τὸ ἐν φωνῇ καὶ τὸ ἐν ὄγκῳ καὶ εἴ πῃ ἄλλως τὸ ὀξὺ λέγεται ἀποδοῦναι καὶ οὕτως ἐπὶ τὸ κοινὸν ἀνιέναι. ταῦτα δ' οὕτω ποιητέον δι' εὐλάβειαν τοῦ μήποτε εἴη ὁμώνυμον τὸ κοινόν· ἀσαφὲς γὰρ ὂν ἄδηλον εἰ οὕτως ἢ ἄλλως ἔχει. ἐκ τῶν εἰδῶν δέ τις ποιούμενος τὴν ἐξέτασιν, ῥᾷον
10 ἕξει γνῶναι ὡς ἔχει τὸ κοινόν, καὶ εἰ μὲν κοινός τις λόγος φανείη τοῖς 45
ἰδίᾳ λαμβανομένοις ὑπάρχων κατὰ τὸ ὄνομα οὐ ἀλλήλοις ταῦτα κεκοινωνήκασιν, δῆλον ὅτι ὅρος οὗτος ὁ λόγος τοῦ κοινοῦ καὶ γένος ἐκεῖνο τούτων ἐστίν· εἰ δὲ μηδέν, ὀνόματι μόνῳ ἡ κοινωνία τοῖς ἅπασι, καὶ οὐ γένος ἀλλ' ὁμώνυμος φωνὴ τὸ κοινόν. οὐδὲν δὲ ἧττον εὐλαβεῖσθαι δεῖ ἐν τοῖς
15 ὅροις καὶ τὸ μεταφορικῶς τι λέγειν ἢ τροπικῶς. εἰ γὰρ τοὺς ὀρθῶς διαλεγομένους καὶ φιλαλήθως οὐ χρεών ἐστι τοιοῦτόν τι ποιεῖν ἐν ταῖς διαλέξεσι, πολλοῦ γε δεῖ τοὺς ὁριζομένους· πρὸς γὰρ τῇ ἀσαφείᾳ ἔτι καὶ σύγ- 50
χυσις ἂν ἐκ τῶν τοιούτων τοῖς ὅροις προσγίγνοιτο, περὶ ἄλλου του τυχὸν οἰομένου τοῦ ἀκούοντος ἢ περὶ τοῦ προκειμένου τὸν ἀποδιδόμενον ὅρον
20 γίγνεσθαι. καίτοι διαλεγομένῳ μὲν συγγνοίη ἄν τις ἐνίοτε, μεταφοραῖς χρησαμένῳ καὶ τροπαῖς, στενουμένῳ πολλάκις ταῖς τοῦ προσδιαλεγομένου περὶ τοὺς λόγους στροφαῖς καὶ πυκνότησι καὶ ζητοῦντι ἐξάλυξιν· τῷ δὲ τὰς τῶν πραγμάτων οὐσίας διὰ τῶν ὅρων προτιθεμένῳ παρι|στᾶν οὐδεὶς 109
ἂν συγγνώσεται τροπικῶς τε καὶ μεταφορικῶς τοὺς λόγους προφέροντι, ὅτι
25 μὴ πρὸς ἄλλο τί ποτε τὸν ὁριζόμενον ἀποβλέπειν δεῖ ἢ πρὸς μόνην ἀεὶ τὴν ἀκριβῆ τῆς οὐσίας τοῦ ὁριστοῦ παράστασιν.

p. 97b31 Ὥσπερ δὲ ἐν ταῖς ἀποδείξεσι δεῖ τό γε συλλελογίσθαι ὑπάρχειν, οὕτω καὶ ἐν τοῖς ὅροις τὸ σαφές.

Ὥσπερ τοῖς ἐξ ὕλης καὶ εἴδους συνεστηκόσιν ἀδύνατόν ἐστιν ὑπάρξαι
30 μὴ τῆς ὕλης ὑποκειμένης καὶ τῷ εἴδει συνερχομένης, οὕτω τοῖς ἐκ γένους 5
καὶ διαφορᾶς ἀδύνατον συστῆναί ποτε μὴ τοῦ γένους ὑπάρχοντος· ἀνάλογον γὰρ ὕλῃ μὲν τὸ γένος, εἴδει δὲ αἱ διαφοραί. γένος δὲ τῆς ἀποδείξεως ὁ συλλογισμός· πῶς ἂν οὖν συσταίη ἀπόδειξις δίχα συλλογισμοῦ; ἀναγκαῖον ἄρα τὸ συλλογίζεσθαι ταῖς ἀποδείξεσιν. ὥσπερ οὖν ἐπὶ τούτων, οὕτω δὴ
35 καὶ ἐπὶ τῶν ὅρων ἀναγκαῖον τὸ σαφές, ὡς μὴ δύνασθαι ὅρον εἶναι σαφη-

---

1 ἐν ante ἐπιστήμαις om. a 6 φωναῖς E ἄλλως] ἄλλη Aa 7 ἀποδοῦναι καὶ] ἀποδόμενον Aa 9 ῥαότερον Aa 15 τι] τε E 18 προσγένοιτο E 19 οἰσμένου a 20 συγγενοίη E 22 ἐξάλλυσιν Aa 24 συγγνοίη E 25 ποτε om. E δεῖ] χρεὼν ἐστὶν E 30 τῆς] τοῖς Aa 31 διαφορῶν E ὑπάρξαντος E 33 ἂν om. E 34 τούτων] τούτου Aa δὴ om. E 35 ὡς μὴ—εἶναι σαφές (222,2) om. E

νείας χωρίς. δηλωτικὸν γὰρ ὁ ὅρος, ὥσπερ συλλογιστικὸν ἡ ἀπόδειξις, τὸ 109
δὲ δηλωτικὸν ἀναγκαῖον εἶναι σαφές· ὡς γὰρ τὸ ἄδηλον ἀσαφές, οὕτω τὸ 10
δῆλον σαφές, καὶ ἀνάπαλιν. εἰ οὖν ἄδηλον ὁ ὁρισμός, πῶς τὴν οὐσίαν
δηλώσει; οὐδὲν γὰρ δι' ἀδήλου δηλοῦσθαι πέφυκε, καὶ ἀνεπίστημον πάντῃ
5 τὸ δι' ἀδήλου δεικνύειν τι, εἴτε δῆλόν ἐστιν εἴτε ἄδηλον τὸ δεικνύμενον.
δεῖ ἄρα δῆλον εἶναι τὸν ὁρισμόν, εἰ δὲ δῆλον, πάντως καὶ σαφῆ. ἐκ γοῦν
τῆς ἀναλογίας ἡ ἐπιχείρησις· ἀνάλογον γὰρ ὡς πρὸς τὸ ἀποδεικνύναι τὸ
συλλογίζεσθαι, οὕτω τὸ δηλοῦν πρὸς τὸ ὁρίζεσθαι.

p. 97b33 Τοῦτο δ' ἔσται, ἐὰν διὰ τῶν καθ' ἕκαστον. 15

10 Ἀναγκαιότατον, εἴπερ τι ἕτερον, ὑπάρχειν τοῖς ὅροις εἰρηκὼς τὴν
σαφήνειαν, δείκνυσι καὶ πρὸς ταύτην λυσιτελεστάτην οὖσαν τὴν ἀνάλυσιν.
τὸ σαφὲς γὰρ ἔσται τοῖς ὅροις ἐνόν, εἰ τὸ ἐν ἑκάστῳ γένει ὑπάρχον ὁρίζε-
σθαι βουλόμενοι μὴ καθόλου αὐτὸ λαμβάνομεν ὡς ἐν τῷ γένει ὄν, ἀλλὰ
καθ' ἕκαστον εἶδος αὐτὸ λαμβάνομεν. τίθησι δὲ τούτου καὶ παράδειγμα.
15 τὸ γὰρ ὅμοιον ὑπάρχει ἐν χρώμασι καὶ σχήμασι, καὶ ἕτερα κατ' εἶδος 20
ἀλλήλων σχῆμα καὶ χρῶμα, καὶ κοινόν τι τὸ ὅμοιον ἁπλῶς τοῖς τε ἐν
σχήμασιν ὁμοίοις καὶ τοῖς ἐν χρώμασιν. οὐ χρὴ οὖν ὁρίζεσθαι βουλομένους
ἁπλῶς λαμβάνειν τὸ ὅμοιον καὶ οὕτω πειρᾶσθαι ἀποδιδόναι τὸ ὅμοιον τί
ἐστιν, ἀλλ' ἰδίᾳ μὲν τὸ ἐν χρώμασιν, ἰδίᾳ δὲ τὸ ἐν σχήμασιν. ἐκεῖνως
20 μὲν γὰρ συγκεχυμένος ἔσται ὁ λόγος καὶ ἀσαφής, οὕτω δὲ διευκρινημένος
τε καὶ σαφής· ὁλοσχερὴς γὰρ ἡ λῆψις τοῦ καθόλου, ἡ δὲ τοῦ καθ' ἕκαστα
λελεπτολογημένη. καὶ δεύτερον δὲ παράδειγμα τίθησι τὸ ὀξύ, ὅπερ ἔν τε 25
φωναῖς ἐστι καὶ ἐν ὄγκοις καὶ ἐν χυμοῖς· ὃ καὶ αὐτὸ οὐχ ἁπλῶς κατὰ τὸ
κοινὸν ἀλλὰ κατ' εἶδος ὁρίζεσθαι χρή, ἰδίᾳ μὲν τὸ ἐν φωναῖς, ἰδίᾳ δὲ τὸ
25 ἐν ὄγκοις καὶ ἰδίᾳ τὸ ἐν χυμοῖς λαμβάνοντα. οἷον τί ἐστι τὸ ἐν χρώμασιν
ὅμοιον; τὸ τοῦ αὐτοῦ κατ' εἶδος μετέχειν χρώματος, ὡς ἡ χιὼν καὶ τὸ
ψιμύθιον. καὶ τί τὸ ἐν σχήμασιν ὅμοιον; τὸ τοῦ αὐτοῦ κατ' εἶδος μετέχειν
σχήματος, ὡς τὰ δύο τρίγωνα ἢ τετράγωνα, ἢ ὡς ἐπὶ τῶν πολυγώνων τὸ
τὰς γωνίας ἴσας ἔχειν καὶ τὰς πλευρὰς ἀνάλογον. καὶ τὸ ὀξὺ πάλιν τί 30
30 μὲν ἐν φωναῖς ἐστιν ἀποδιδόντες ᾧ τὸ βαρὺ ἀντίκειται φήσομεν, τὸ δὲ
ἐν ὄγκῳ ᾧ τὸ ἀμβλύ, ἢ ὅπως ἂν ἄλλως ἐνδέχηται. ἔστι δὲ τὸ μὲν πρό-
τερον παράδειγμα γένους, τὸ δὲ δεύτερον ὁμωνύμου φωνῆς. ἐπὶ μὲν γὰρ
τῶν κατ' εἶδος ὁμοίων ἔστι τι καὶ κατὰ τοὺς ἀποδιδομένους λόγους κοινόν·
ἐπὶ δὲ τῶν ὀξέων οὐχί. δεῖ δὲ μὴ λανθάνειν ὅτι δύο γένη λαμβάνει, ἓν
35 μὲν ὡς ὑποκείμενον, ἕτερον δὲ ὡς τούτῳ ἑπόμενον, καὶ παραγγέλλει μὴ
κατὰ τὸ ὅλον γένος τὸ ὑποκείμενον τὸν τοῦ ἑπομένου λαμβάνειν ὁρισμόν, 35

---

4 ἂν ἐπίστημον libri 9 ἔσται] ἐστὶν Aa 12 ἐνόν] φησὶν E ὑπάρχον om. E 16 χρῶμα καὶ σχῆμα coll. E τι om. E 17 καὶ τοῖς] τοῖς τε E 18 ἁπλῶς om. Aa 18. 19 ἀποδιδόναι τί ἐστιν ὅμοιον E 21 τε om. E 25 λαμβάνοντος Aa 28 ἢ τὰ τετράγωνα E 30 ἐστιν om. E 31 ἐνδέχοιτο E: ἐνδέχεται a 35 μὴ om. Aa

ἀλλὰ κατὰ τὰ εἴδη τοῦ γένους, ἵνα καὶ κατὰ τὰ εἴδη τοῦ ἑπομένου εὐδη- 109
λότερον καὶ σαφέστερον ὁ ὁρισμὸς ἀποδιδῶται. τὸ γὰρ ὅμοιον καὶ ἀνόμοιον
τῆς ποιότητος ἴδιον· εἴπερ οὖν ἀποδιδόναι τις τὸν τοῦ ὁμοίου ὁρισμὸν βού-
λεται, σαφέστερον ἂν ἀποδώσει κατὰ τὰ εἴδη ἀποδιδοὺς τῆς ποιότητος ἢ
5 κατ' αὐτὴν ἁπλῶς τὴν ποιότητα. εἰ δὲ καὶ ὁμώνυμον ᾗ τὸ κοινόν,
ἀνάγκη πάντως καὶ καθ' ἕκαστον τῶν σημαινομένων ἴδιον ἀποδιδόναι καὶ
τὸν λόγον τὸν κατὰ τοὔνομα. 40

p. 97b35 Καὶ οὕτως ἐπὶ τὸ κοινὸν βαδίζειν.

Μετὰ τὴν τῶν εἰδῶν, φησί, λῆψιν καὶ ἀπόδοσιν τῶν ἰδίων ἑκάστου
10 λόγων χρὴ βαδίζειν ἐπὶ τὸ κοινόν. τὸ δὲ εὐλαβούμενον μὴ ὁμωνύμῳ
ἐντύχῃ διττῶς ἔστι νοῆσαι· ἢ γὰρ ὅτι οὕτω ποιητέον, ὡς εἴπομεν, δι'
εὐλάβειαν τοῦ μὴ ὁμωνύμῳ ἐμπεσεῖν (εἴτε γὰρ γένος εἴτε ὁμώνυμος φωνὴ
τὸ κοινόν, οὕτω ῥᾷον ἐπιγνωσόμεθα, εἰ ἕκαστον ἰδίᾳ τῶν εἰδῶν ἀπολαβόντες 45
ὁρισόμεθα, καὶ οὕτω διαγνόντες ὡς ἔχει τὸ κοινὸν οὐκ ἂν ὡς γένει τῇ
15 ὁμωνύμῳ φωνῇ ἐντευξοίμεθα) ἢ οὖν οὕτως, ἢ ὅτι ὁπόταν διὰ τῶν εἰδῶν
τὸν τοῦ κοινοῦ λόγον ὡς γένους εὑρεῖν πειρώμεθα, εὐλαβητέον μήποτε εἴη
ὁμώνυμος ἐκεῖνο φωνή, καὶ πλανᾷ ἡμᾶς ὡς ὂν γένος ἐκ τοῦ κοινῶς κατὰ
πάντων λέγεσθαι τῶν εἰδῶν. εἰ γὰρ οὕτως ἔχον τοῦτο γνωσόμεθα, χρὴ
ἀπαλλάττεσθαι καὶ μὴ μάτην ἐπιχειρεῖν ὁρισμὸν εὑρίσκειν αὐτῶν. ὅρα δὲ
20 ὅτι καὶ γένους παράδειγμα καὶ ὁμωνύμου φωνῆς τέθεικε· τὸ μὲν γὰρ 50
ἁπλῶς ὅμοιον ὡς γένος τῶν κατ' εἶδος ὁμοίων εἴληπται, τὸ δὲ ὀξὺ ὡς
ὁμωνύμως κατὰ τῶν εἰδικῶς λαμβανομένων ὀξέων λεγόμενον.

p. 97b37 Εἰ δὲ μὴ διαλέγεσθαι δεῖ μεταφοραῖς. |

Καὶ τοῦτο πρὸς σαφήνειάν ἐστι συντελοῦν τὸ παράγγελμα. αἱ γὰρ 110
25 μεταφοραὶ καὶ τὰ μεταφορικῶς λεγόμενα πάντα ἀσάφειαν ἐμποιεῖν τοῖς
λόγοις πεφύκασιν, οἷον αἱ τροπικαὶ λέξεις καὶ καθ' ὁμοιότητά τινα καὶ
ἀναλόγως λεγόμεναι, ὥσπερ ἐκνεύρισιν λέγομεν τὴν ἀφροντιστίαν καὶ ἄνεσιν
τῆς ψυχῆς ἐκ μεταφορᾶς τῶν ζῴων, οἷς τῶν νεύρων ἐκκοπέντων ἢ
ἐξαιρεθέντων πάρεσις ἐπιγίνεται· καὶ κεραίαν τοῦ πλοίου φαμὲν διὰ τὸ 5
30 ἐοικέναι κέρατι ζῴου· καὶ πόδας σκεύους λέγομεν τὰ ἔσχατα καὶ ἀνέχοντα
τὰ ἄνωθεν, διὰ τὸ ἀναλογεῖν τοῖς ποσὶν ἐσχάτοις οὖσι τοῦ ζῴου καὶ
ἀνέχουσι τὰ λοιπά. εἶθ' ὥσπερ εἰπόντος τινὸς ὅτι 'καὶ μὴν ἐνίοτε ἐν ταῖς
διαλέξεσι παραλαμβάνομεν μεταφοράς', διὰ τοῦτ' ἐπήνεγκεν ὅτι ἀνάγκης

---

3 ἀποδίδοται Aa 3. 4 βούλοιτο et ἀποδώσοι E 10 et 12 ὁμωνυμίᾳ E
14 εὑρισόμεθα E 15 ἐντευξόμεθα E 16 τὸν om. E 17 ἐκεῖνο ὁμώνυμος
coll. E 18 ἔχον οὕτως coll. E 24 παράδειγμα E 26 post pr. καὶ
add. αἱ E 27 ἀναλογίαν E ἀφροντιστίαν scripsi: ἀφροντησίαν Aa: ἀφροντισίαν E
30 σκεύους] κλίνης E λέγομεν] φαμὲν E

τινὸς ἐπιγινομένης διαλεγόμεθα μεταφοραῖς. ἡ δὲ ἀνάγκη ἐστίν, ὁπόταν 110
ὑπὸ τοῦ προσδιαλεγομένου στενούμενοι τὴν ἧτταν οὐ φέρωμεν, ἥτις
ἀνάγκη τοῖς ὁριζομένοις οὐ πρόσεστιν. οὐ γὰρ νίκης οὗτοι ἀλλὰ τῆς 10
ἀληθείας ἀντιπεποίηνται· ἐκεῖ μὲν γὰρ πάλη καὶ μάχη καὶ νίκης ἔφεσις,
5 ἐνταῦθα δὲ τὸ τέλος οὐσίας καὶ ἀληθείας εὕρεσις.

p. 98a 1 Πρὸς δὲ τὸ ἔχειν τὰ προβλήματα ἐκλέγειν.

Οἰκεῖον καὶ τοῦτο τῇ περὶ τῆς ἀποδεικτικῆς ἐπιστήμης διδασκαλίᾳ τὸ
τρόπους παραδοῦναί τινας, δι' ὧν εὐπορήσομεν ἀποδιδόναι τὰ αἴτια ἐν οἷς 15
προβλήμασι φυσικοῖς τὸ διὰ τί ἀπαιτούμεθα περὶ τῶν πλειόνων. περὶ γὰρ
10 τῶν μαθηματικῶν ὀλίγαι ἴσως αἱ πεύσεις προσφέρονται, διὰ τὸ μηδ' εἶναι
πολλούς, οἳ περὶ αὐτὰ καταγίνονται, τῶν πολλῶν μηδ' εἰς ἔννοιαν ἐρχο-
μένων αὐτῶν μηδ' εἴπερ ὅλως τοιαῦτ' ἐστί τινα γινωσκόντων· πλὴν εἰ
μήπου τι τῶν φυσικῶς ἑπομένων τισὶ μαθηματικῆς θεωρίας συμβῇ τινος
ἔχεσθαι, περὶ ὧν ἐρωτώμενοι ἀνάγκην ἕξομεν συμμίκτους τινὰς ποιεῖσθαι
15 τὰς ἀποκρίσεις, οἷον περὶ ἴριδος, διὰ τί οὕτωσὶ σχηματίζεται ἢ χρωματί- 20
ζεται, περὶ ὄψεως καὶ ἑτέρων τοιούτων. τὰ δὲ πλείω τῶν φυσικῶν φυσικὰς
ἔχει καὶ τὰς τῶν αἰτίων ἀποδόσεις, περὶ ὧν καθ' ἑκάστην τὰς πεύσεις
ποιούμεθα, τῆς ψυχῆς ὡς οἰκεῖον αὐτῆς καὶ συγγενῆ τὸν λόγον ζητούσης,
δι' ὃν ἕκαστα γίνεται. πρὸς οὖν τὸ ἔχειν λόγους ἀποδιδόναι, ὅτε τὸ διὰ τί
20 περί τινος τῶν φυσικῶν ἐρωτώμεθα, χρήσιμοι ὅτι μάλιστα αἱ διαιρέσεις τε
καὶ ἀνατομαί. ἔνθα μὲν γὰρ ἐμφανῆ τὰ πράγματα πρόκειται, αἱ διαι- 25
ρέσεις ἱκαναὶ πρὸς τὸ εὑρίσκειν τε καὶ ἀποδιδόναι τοὺς μέσους· ἔνθα δὲ
εἰς βάθος ἀποκεκρύφαται, ὡς ἐν τοῖς ζῴοις ἔστιν ἰδεῖν πολλὰ τῶν μορίων
ἔνδον κρυπτόμενα, ἐνταῦθα ἀναγκαῖόν ἐστιν ἐν πείρᾳ τῶν ἀνατομῶν εἶναι
25 τὸν τὰς αἰτίας ἀποδιδόναι βουλόμενον. δεῖ δὴ οὕτω ποιεῖν ἑαυτοὺς πρὸς
τὰ τοιαῦτα προβλήματα ἑτοιμάζοντας· τὸ γένος πρῶτον τὸ κοινὸν ὑποτίθε-
σθαι, ὃ πᾶσιν ὑπάρχει τοῖς εἴδεσιν, ἐφ' ὧν ζητοῦμεν αἰτίας ἀποδιδόναι
τινῶν ἐνθεωρουμένων αὐτοῖς, καὶ ὁρᾶν τί παντὶ τῷ γένει ἐκείνῳ ἕπεται. 30
οἷον εἰ ζῷα εἴη, ἐν οἷς ζητοῦμεν τὰς αἰτίας ἀποδοῦναι τῶν ὑπαρχόντων
30 αὐτοῖς, τὸ ζῷον ὑποθεμένους ζητεῖν τί παντὶ ζῴῳ ὑπάρχει. κἀντεῦθεν
ἑτοίμους εἶναι, εἴ τις περὶ τῶν εἰδῶν τινος πύθοιτο, διὰ τί τόδε ὑπάρχει
αὐτῷ, μέσον ὅρον τὸ γένος τιθέναι, δι' αὐτὸ λέγοντας ὑπάρχειν τῷ εἴδει
τὸ κατηγορούμενον. οἷον ἐπεὶ παντὶ ζῴῳ ὑπάρχει τὸ αἰσθάνεσθαι φύσει,
τὸ ἐκ τόπου εἰς τόπον μεταβαίνειν, εἴ τις ἔροιτο διὰ τί ὁ ἄνθρωπος αἰσθά-
35 νεται, 'διότι ζῷόν ἐστιν' ἀποκρινούμεθα, καὶ διὰ τί ἀπὸ τόπου εἰς τόπον 35
μεταβαίνει, ὡσαύτως. καὶ ἐφεξῆς πάλιν τοῦ γένους τὸ αὐτὸ ποιήσομεν τὸ
προσεχὲς αὐτῷ λαβόντες εἶδος καὶ τί αὐτῷ παντὶ ζητήσαντες ἕπεται.

---

1 ἐπιγενομένης E διαφοραῖς E 7 τὸ om. Aa 9 διὰ τί] διότι Aa,
itemque porro 15. 19. 31 sqq. περὶ (ante τῶν)] παρὰ E 14 ἔχομεν E
τινὰς om. Aa 15 σχηματίζεσθαι A 19 δι' ὧν a 29 τὰς om. Aa
32 ὅρος Aa 34 ὁ om. Aa

κἂν τις περὶ αὐτοῦ ἔρηται, διὰ τί τῷδέ τινι τῶν ὑπ' ἐκεῖνο εἰδῶν τὸ ἑπό- 110
μενον ὑπάρχει, τὸ γένος αἴτιον ἀποδώσομεν· οἷον ἐπεὶ ὄρνιθι παντὶ τὸ
σχιζόπτερον ἕπεται, εἴ τις ἔροιτο διὰ τί ἀλεκτρυὼν σχιζόπτερον 'διότι ὄρνις'
ἀποκρινούμεθα. καὶ οὕτως ἐπὶ πάντων ποιήσομεν μηδὲν ἐν τῷ διαιρεῖν
5 ὑπερβαίνοντες, ἀλλὰ πάντα λαμβάνοντες καθ' εἱρμόν, καὶ ἐφ' ἑνὸς ἑκάστου 40
τὴν διάνοιαν οὕτω γυμνάζοντες. οὕτω γὰρ ἕξομεν ἤδη λέγειν διὰ τί
ὑπάρχει τοῖς ὑπὸ τὸ γένος τὰ τῷ γένει ἑπόμενα καὶ ἁπλῶς διὰ τί τοῖς
ὑπὸ τὸ κοινὸν τὰ ἑπόμενα τῷ κοινῷ. καὶ ταῦτα μὲν ἐκ τῶν διαιρέσεων·
ἐκ δὲ τῶν ἀνατομῶν οἷον ὅτι πᾶν ζῷον ἐξ ὑγροῦ καὶ ξηροῦ· ἐπεὶ οὖν
10 τοῦτο παντὶ ζῴῳ ἕπεται, τοῦ ὑπάρχειν τινὶ τῶν τοῦ ζῴου εἰδῶν τὸ παντὶ
ζῴῳ ἑπόμενον μέσον καὶ αἴτιον τὸ ζῷον ληψόμεθα. καὶ ἐπεὶ παντὶ ἰχθύϊ
τὸ μὴ ἔχειν πνεύμονα ἕπεται, τοῦ ὑπάρχειν τινὶ ἰχθύϊ οἷον γλάνιδι τὸ μὴ 45
ἔχειν πνεύμονα μέσον ἐστὶ καὶ αἴτιον ὁ ἰχθύς. διὰ τί ὁ ἄνθρωπος ἐκ
ξηροῦ καὶ ὑγροῦ; διότι ζῷον. καὶ διὰ τί γλάνις οὐκ ἔχει πνεύμονα;
15 διότι ἰχθύς ἐστι. ταῦτα μὲν οὖν εἰρήκαμεν σαφὲς παράδειγμα καὶ ἅπασι
γνώριμον τὸ ζῷον λαβόντες, οὗ καὶ τὸ ὄνομα καὶ ὁ λόγος δῆλα τοῖς
ἅπασιν, ὡς δὴ καὶ πάντων τῶν ὑπ' αὐτό. ἀλλὰ κἂν ἄλλο τι ᾖ τῶν
ἀσυνήθων ἢ καὶ μηδ' ὅλως ὠνομασμένον, ἐφ' οὗ ἴσως καὶ ὀνοματοθετῆσαι
δεήσει, ἢ καὶ μὴ ὀνόματι ἀλλὰ λόγῳ δηλούμενον, ἢ καὶ μὴ γένος ἀλλά τι 50
20 πάθος πλείοσιν ἐκ φύσεως ὑπάρχον κοινόν, τῇ διαιρέσει καὶ τῇ ἀνατομῇ
χρώμενοι, ὡς εἴρηται, καὶ ἀεὶ τὰ ἑπόμενα πάντα τῷ κοινῷ ζητοῦντες, καὶ
τοῦ ὑπάρχειν ταῦτα τοῖς ὑπ' ἐκεῖνο μέσον ἐκεῖνο καὶ αἴτιον θήσομεν,
οἷον τὸ κέρατα ἔχειν· τοῦτο γὰρ καὶ ἐλάφῳ καὶ αἰγὶ καὶ βοῒ καὶ προ-
βάτῳ ὑπάρχει. δεῖ γὰρ καὶ τούτῳ λαβεῖν τὰ ἑπόμενα καὶ τίσι τοῦτο
25 ἕπεται, καὶ τοῦτο μέσον ἀποδιδόναι τοῦ ὑπάρχειν τὰ αὐτῷ καθόλου ἑπό-
μενα τοῖς οἷς αὐτὸ ἕπε|ται. τῷ μὲν γὰρ κερασφόρῳ ἕπεται τὸ ἔχειν 111
ἐχῖνον καὶ τὸ μὴ εἶναι ἀμφόδουν, τὸ δὲ ἔχειν κέρατα τοῖς εἰρημένοις.
διὰ τί οὖν βοῒ ἢ τῶν ἄλλων τῶν εἰρημένων τινὶ τὸ ἔχειν ἐχῖνον ἢ τὸ μὴ
ἀμφόδουν; διότι κέρατα ἔχει. πάλιν τῷ ἀχόλῳ ἕπεται τὸ μακρόβιον, τῷ
30 δὲ ἀνθρώπῳ τὸ ἄχολον. διὰ τί τοίνυν μακρόβιον ἄνθρωπος; διότι ἄχολον.
τοῦτο δὲ λέγομεν οὐχ ὅτι πάντῃ χολῆς ἐστέρηται, ἀλλ' ὡς ὀλιγόχολον. 5
ἔστι γὰρ οὗ τὸ πρῶτόν τινι προστιθέμενον τὸ ὀλίγον δηλοῖ, ὡς γραμματι-
κῶν παισὶ παραδέδοται. πρὸς γὰρ τοὺς ἑτέρους χυμοὺς ἐν ἀνθρώπῳ τὸ
χολῶδες παρατιθέμενον πλεῖστον ὅσον ἠλάττωται. ἔστι καὶ τρίτος τρόπος
35 τῆς τοῦ μέσου εὑρέσεως, οὗτος δέ ἐστι τὸ ἀνάλογον· ἄλλο γάρ ἐστι τὸ ὡς
γένος κοινόν, ἄλλο τὸ ὡς συμβεβηκός τε καὶ πάθος, καὶ ἕτερον τὸ ἀνά-
λογον, οἷον τῇ σηπίᾳ τὸ σήπιον, τῷ ἰχθύϊ ἡ ἄκανθα, ἵππῳ καὶ βοῒ καὶ

---

3 ἕπεται om. Aa ἀλεκτριῶν Aa 4 ποιήσωμεν E 10 post τὸ παντὶ add. τῷ E 11 καὶ post μέσον om. E παντὸς Aa 12 γλανίδι et 14 γανὶς (sic) libri 16 καὶ post οὗ om. E 18 ὠνομασμένων Aa 21 χρωμένους Aa ζητοῦντας libri 22 μέσον καὶ αἴτιον ἐκεῖνο coll. E θήσομεν] τιθεμένους Aa 24 ὑπάρχει om. Aa γὰρ] δὴ E 27 post δὲ add. μὴ Aa 33 παιδὶ Aa 34 ἐλάττωται a

τοῖς τοιούτοις τὸ ὀστοῦν. ἀνάλογον γὰρ ὡς τὸ ὀστοῦν ἐν τοῖς ὀστᾶ 111
ἔχουσιν, οὕτω τὸ σήπιον ἐν τῇ σηπίᾳ καὶ ἐν τοῖς ἰχθύσιν ἡ ἄκανθα· 10
ἐρειστικὸν γὰρ τῇ τῆς σαρκὸς μαλακότητι τούτων ἕκαστον. ἐπεὶ οὖν ὡς
γένος τι ὀνομάσαι κοινὸν τούτοις ἑπόμενον οὐκ ἔχομεν, τὸ ἀνάλογον
5 τίθεμεν καὶ ὥσπερ κατὰ τὸ γένος ἓν τὰ ὁμογενῆ λέγομεν, οὕτω καὶ ταῦτα
ἕν φαμεν κατὰ τὸ ἀνάλογον· καὶ ὥσπερ ἐκεῖ τὸ γένος μέσον τίθεμεν
τοῦ εἶναι τῷ ὑποκειμένῳ τὸ κατηγορούμενον, οὕτως ἐνταῦθα τὸ ἀνάλογον·
καὶ ὥσπερ ἐκεῖ τὸ μὲν γένος τοῖς εἴδεσιν ἕπεται, τὸ δὲ παντὶ τῷ γένει 15
ὑπάρχον τῷ γένει ἑπόμενον διὰ μέσου αὐτοῦ ὑπάρχει τῶν εἰδῶν ἑκάστῳ,
10 οὕτω κἀνταῦθα τὸ μὲν ἀνάλογον τοῖς ἐν οἷς θεωρεῖται εἴδεσιν ἕπεται, τὸ
δὲ ὑπάρχον παντὶ τῷ ἀνάλογον διὰ μέσου τοῦ ἀνάλογον πᾶσιν ὑπάρχει
τοῖς εἴδεσιν. ἔστι δὲ τὸ ἐν τοῖς εἰρημένοις ἑπόμενον παντὶ τῷ ἀνάλογον
τὸ τὴν σάρκα ἐρείδεσθαι· παντὶ γὰρ τῷ ἔχοντί τι τοιοῦτον, ἤγουν ἢ σήπιον
ἢ ἄκανθαν ἢ ὀστοῦν, ἡ σὰρξ ἐρείδεται διὰ τοῦτο αὐτὸ τὸ ἀνάλογον. διὰ
15 τί τῇ σηπίᾳ ἡ σὰρξ ἐρείδεται; διότι τὸ σήπιον αὐτῇ πρόσεστι τὸ ἀνα- 20
λογοῦν ὀστῷ καὶ ἀκάνθῃ. καὶ ἐπὶ τῶν λοιπῶν οὕτως. ἐν μὲν τοίνυν
τοῖς κατὰ γένος κοινωνοῦσιν αἱ διαιρέσεις ἔσονται οἰκειότεραι, ἐν δὲ τοῖς
κατὰ πάθος καὶ τὸ ἀνάλογον αἱ ἀνατομαί.

p. 98ᵃ 1 Πρὸς δὲ τὸ ἔχειν τὰ προβλήματα ἐκλέγειν δεῖ.

20 Ἐπειδὴ συχνῶς οἱ ἄνθρωποι πρὸς ἀλλήλους προβλήματα φυσικὰ
προτιθέασιν αἰτίας ζητοῦντες τοῦ τόδε τῷδε ὑπάρχειν, ὧν ἀποδιδομένων 25
ἀπόδειξις γίνεται, μέθοδον ἡμῖν ἐνταῦθα παραδίδωσι τοῦ εὐπορεῖν μέσων
ἐν ταῖς τοιαύταις τοῦ διὰ τί ἐρωτήσεσιν. ἔστι δὲ ἡ μέθοδος τριττή· ἢ
γὰρ ἀπὸ γένους ἢ ἀπὸ πάθους ἢ ἀπὸ τοῦ ἀνάλογον, ἢ ὡς γένους λαμβα-
25 νομένου αἰτίου καὶ μέσου τοῦ τόδε τῷδε ὑπάρχειν, ἢ πάθους ἢ τοῦ ἀνά-
λογον. πῶς δὲ τούτων ἕκαστον ἔσται, ὁ λόγος δηλώσει. λέγει τοίνυν ὅτι
πρὸς τὸ ἔχειν τὰ προβλήματα δεῖ ἐκλέγειν, τουτέστι πρὸς τὸ ἐκφράζειν
καὶ αἰτιολογεῖν τὰ προτιθέμενα προβλήματα δεῖ διαλέγειν, τουτέστιν ἀνε- 30
ρευνᾶν τάς τε ἀνατομὰς καὶ τὰς διαιρέσεις ὡς εὐπορίαν ἐχούσας ἡμῖν τῆς
30 τοῦ μέσου ἀποδόσεως.

p. 98ᵃ 2 Οὕτω δὲ ἐκλέγειν ὑποθέμενον τὸ γένος τὸ κοινόν.

Εἰπὼν ὅτι αἱ ἀνατομαὶ καὶ αἱ διαιρέσεις εἰς εὐπορίαν τοῦ μέσου συμ-
βάλλονται ἐν τοῖς προτιθεμένοις προβλήμασι, τοῦτό τε διδάσκει πῶς ἔσται. 35

---

4 ὀνομάσαι] ὀνόματι E ἑπόμενον] ἐσόμενον Aa 6 τιθέαμεν libri 9 εἰδῶν] ὀδῶν E 13 τι om. E 14 ἄκανθαν scripsi: ἄκανθα libri 15 τὸ ante σήπιον om. Aa 15. 16 ἀνάλογον E 16 τοίνυν ἐν μὲν coll. Aa 17 οἰκειότερον Aa 19 ἐκλέγειν post τὸ transp. Aa 22 ἐνταυθοῖ E 24 ὡς ἢ coll. Aa 25 αἰτίου καὶ μέσου om. Aa 26 ἔσται om. E 27. 28 ἔχειν—δεῖ om. Aa 27 τουτέστι—διαλέγειν (28) om. E 29 ἀνατολὰς E 32. 33 συμβάλλοντο a

καὶ ἅμα τοὺς εἰρημένους τρόπους παραδίδωσι, καὶ πρῶτον τὸν ἀπὸ τοῦ 111
γένους, εἰς ὃν καὶ μάλιστα ἡ διαίρεσις συντελεῖ· σαφέστερος γὰρ οὗτος
ἡμῖν καὶ τῶν λοιπῶν εὐμαθέστερος. καὶ δεῖ ἀπὸ τῶν τοιούτων ἀπάρχε-
σθαι τὸν διδάσκοντα, προοδοποιεῖν δυναμένων καὶ τοῖς ἑξῆς γίνεσθαι. προ-
5 τιθεμένου τοίνυν προβλήματος, ἐν ᾧ ζητεῖται διὰ τί τόδε τῷδε ὑπάρχει,
δεῖ τὸ γένος ὑποθέσθαι τὸ κοινὸν αὐτῷ τε τῷ ὑποκειμένῳ ἐν τῷ προ-
βλήματι καὶ τοῖς ὁμογενέσιν αὐτῷ εἴδεσι, καὶ ἐξεταζέσθω ποῖα καθόλου 40
τούτῳ τῷ γένει ὑπάρχει, ὡς τοῦ τῷ προκειμένῳ εἴδει καὶ πᾶσι τοῖς ὁμο-
γενέσιν αὐτῷ ὑπάρχοντος διὰ μέσου τοῦ γένους αὐτοῖς ὑπάρχοντος. εἶτα
10 τίθησι καὶ παράδειγμα.

p. 98a 3 Οἷον εἰ ζῷα εἴη τὰ τεθεωρημένα, ποῖα παντὶ ζῴῳ ὑπάρχει.

Εἰ ζῷα εἴη, φησί, τά τε ἐν τῷ προβλήματι ὑποκείμενα καὶ τὰ τού-
τοις ὁμογενῆ. ἐπεὶ γὰρ ὡς ἐπὶ εἴδους τὸν λόγον παραδίδωσιν, οὐκ ἔστι 45
15 δέ ποτε ἓν εἶδος ὑπὸ τὸ γένος, ἀλλὰ πλείω ἀεί, διὰ τοῦτο καὶ οὕτω πλη-
θυντικῶς παρεισάγει τὰ εἴδη, οἷον φάσκων 'εἰ ὡς ἐπὶ ζῴων τὴν θεωρίαν
ποιούμεθα, καὶ εἶδος τοῦ ζῴου παραλαμβάνομεν ὑποκείμενον ἐν τῷ προ-
βλήματι καὶ ζητοῦμεν διὰ τί ὑπάρχει αὐτῷ τι, ὃ καὶ τοῖς ὁμοειδέσιν ὂν
θεωρεῖται'. ἐν γὰρ τοῖς τοιούτοις προβλήμασι δεῖ τὸ γένος ὑποθέσθαι καὶ
20 εὑρεῖν ἐκ τῆς διαιρέσεως, ποῖα τῷ γένει παντὶ ἕπεται, ὡς εἶναι καὶ τὸ ἐν
τῷ προκειμένῳ προβλήματι κατηγορούμενον ἓν ἐξ ἐκείνων, ὃ ἑπόμενον τῷ 50
γένει παντὶ ἐξ ἀνάγκης καὶ τῶν εἰδῶν ἑκάστῳ ὑπάρξει διὰ μέσου τοῦ
γένους. εὑρόντες γὰρ ἐκ τῆς διαιρέσεως ὅτι τὸ αἰσθητικὸν ἢ τὸ κατὰ τόπον
οἴκοθεν μεταβατικὸν ἢ κατὰ ὄρεξιν κινητικὸν παντὶ ζῴῳ ἕπεται, ἕξομεν
25 πρὸς τὸν ἐρωτῶντα διὰ τί τούτων τί τινι τῶν ὑπὸ τὸ ζῷον εἰδῶν ὑπάρχει,
τὴν αἰτίαν ἀποδοῦναι τὸ γένος μέσον τιθέμενοι. |

p. 98a 4 Ληφθέντων δὲ τούτων πάλιν τῶν λοιπῶν τῷ πρώτῳ. 112

Εἰ μὴ εὐθύς, φησίν, εἰς εἰδικώτατα τὸ γένος διαιρεῖται, ἀλλ' ἔστι
τινὰ μεταξὺ αὐτοῦ καὶ τῶν εἰδικωτάτων, αὐτοῦ μὲν ὄντα εἴδη, ἐκείνων δὲ
30 γένη, δεῖ κατὰ διαίρεσιν προβαίνοντα τὰ προσεχῆ αὐτοῦ εἴδη λαμβάνειν 5
καὶ εὑρίσκειν καὶ τὰ τούτοις καθόλου ἑπόμενα, ἃ καὶ αὐτὰ αἴτια ἕξει τὰ
γένη τοῦ ὑπάρχειν τοῖς αὐτῶν εἴδεσι. λαβόντες γὰρ τὸ ζῷον καὶ εὑρόντες
τὰ τούτῳ ἑπόμενα πάντα, διαιροῦμεν τοῦτο εἰς τὰ αὐτῷ προσεχέστατα, καὶ
ἐπεὶ καὶ ταῦτα γένη ἑτέρων, ὥσπερ ἐπ' ἐκείνου πεποιήκαμεν, ζητοῦμεν

---

4 προοδοποιῶν E τοῖς] τῆς Aa 11. 12 lemma om. E 13 καὶ om. E
13. 14 τούτοις] τούτῳ Aa 24 post παντὶ add. τῷ Aa 26 τιθέμενος Aa
33 post τούτῳ add. παντὶ E αὐτοῦ προσεχέστερα E καὶ om. Aa
34 post ἑτέρων add. καὶ Aa

καὶ ἐπὶ τούτων, ποῖα τούτων ἑκάστῳ παντὶ ἕπεται. καὶ ἔσται ἡμῖν τούτων 112
ἕκαστον μέσον καὶ αἴτιον τοῦ καὶ τῶν ὑπ' αὐτὸ εἰδῶν ἑκάστῳ ὑπάρχειν
τῶν αὐτῷ ἑπομένων ἕκαστον. οἷον εἰ ὄρνις ἐστὶ τὸ τῷ ζῴῳ προσεχὲς 10
εἶδος, ποῖα τῷ ὄρνιθι παντὶ ἕπεται; ὧν ἕκαστον διὰ μέσου τοῦ ὄρνιθος
5 ἀετῷ τε ὑπάρξει καὶ ἱέρακι καὶ κορώνῃ καὶ τῶν λοιπῶν εἰδῶν ἑκάστῳ
τοῦ ὄρνιθος.

p. 98ª7 Δῆλον γὰρ ὅτι ἕξομεν ἤδη λέγειν.

Ἐὰν οὕτω, φησί, ποιῶμεν καὶ κατὰ διαίρεσιν προϊόντες ἐκλεγώμεθα
ἀεὶ τὰ τοῖς γένεσιν ἑπόμενα, δῆλόν ἐστιν ὅτι εὐπορήσομεν αἰτίων καὶ 15
10 μέσων, δι' οὓς τοῖς εἴδεσιν ὑπάρχει τὰ τοῖς γένεσι καθόλου ἑπόμενα.
κοινὸν δὲ λέγει τὸ γένος, καὶ τὰ ὑπὸ τὸ κοινὸν τὰ εἴδη. διὰ τί γὰρ τοῖς
εἴδεσιν ὑπάρχει τὰ τῷ γένει ἑπόμενα, λέγειν ἕξομεν ἐκ τῆς εἰρημένης
μεθόδου, τὸ γένος μέσον τιθέμενοι τῶν τε εἰδῶν καὶ τῶν ἑπομένων αὐτῷ.
διὰ τί γὰρ ἀνθρώπῳ ἢ ἵππῳ καὶ τοῖς ὑπὸ τὸ ζῷον ἁπλῶς ὑπάρχει τὰ τῷ
15 ζῴῳ ἑπόμενα, λέγειν ἕξομεν τὸ ζῷον μέσον λαμβάνοντες.

p. 98ª9 Ἔστω δὴ ζῷον ἐφ' οὗ Α. 20

Παραδίδωσι καὶ ἐπὶ στοιχείων τὸ εἰρημένον δηλῶν καὶ ἐντεῦθεν τὸ
καθολικὴν εἶναι τὴν παραδεδομένην ταυτηνὶ μέθοδον. καὶ ἔστω, φησί, τὸ
γένος οἷον τὸ ζῷον ἐφ' οὗ Α, τὰ δὲ ἑπόμενα τῷ ζῴῳ, ἃ ζητοῦνται διὰ τί
20 τοῖς αὐτοῦ ὑπάρχουσιν εἴδεσι, τὸ Β, τὰ δὲ εἴδη τοῦ ζῴου, τὰ ΓΔΕ. διὰ
τί οὖν τῷ Δ, ἤτοι τῷ εἴδει τῷδε τοῦ ζῴου, ὑπάρχει τὸ Β, τὰ ἑπόμενα 25
τῷ ζῴῳ; φανερὸν γάρ ἐστιν ὅτι διὰ τὸ Α, τουτέστι τὸ ζῷον. ἔστι δὴ
μέσον τὸ Α, μεῖζον ἄκρον τὸ Β, ἔλαττον τὸ Δ.

p. 98ª11 Ὁμοίως δὲ καὶ τοῖς ἄλλοις.

25 Ἐπειδὴ τὸ Δ λαβὼν ἐπὶ τῆς τοῦ διὰ τί ἀποδόσεως ὡς ἐφ' ἑνὸς
εἴδους τὸν λόγον πεποίηκε, διὰ τοῦτο οὕτως ἐπήνεγκεν· ὡς γὰρ ἐπὶ τοῦ Δ,
φησίν, ὁμοίως καὶ ἐπὶ τοῦ Γ καὶ τοῦ Ε.

p. 98ª12 Καὶ ἀεὶ ἐπὶ τῶν ἄλλων ὁ αὐτὸς λόγος. 30

Τὸ αὐτό, φησίν, ἁρμόσει καὶ ἐπὶ τῶν ἄλλων γενῶν καὶ εἰδῶν καὶ
30 τῶν ἑπομένων· ἀεὶ γὰρ τὸ γένος μέσον τιθέντες τὰ τούτῳ ἑπόμενα κατὰ
τῶν αὐτοῦ εἰδῶν συνάξομεν. διὰ τί δὲ ὡς περὶ εἴδους ὑποκειμένου ἐν τῷ

3 τῷ om. Aa 8 ἐκλεγόμεθα Aa 9 post τὰ add. ἐν Aa εὐπορήσωμεν E 11 λέγω E 17 εἰρημένων a καὶ post δηλῶν om. E 18 μέθοδον ταυτηνὶ coll. E 21 ἤτοι] ἤγουν E 25 ἐπεὶ Aa 27 ante τοῦ E add. ἐπὶ Aa 28 post καὶ add. εἰ Aa 31 αὐτοῦ] αὐτῶν A

προβλήματι καὶ οὔθ' ὡς περὶ γένους οὔτε μὴν ὡς ἀτόμου τὸν λόγον 112
πεποίηκεν; ἢ ὅτι οὐ περὶ ἀτόμου μέν, ἐπειδὴ τῶν καθόλου ἡ ἐπιστήμη,
οὐ τῶν καθ' ἕκαστα· περὶ δὲ γένους οὐχί· περιείχετο γὰρ ἂν καὶ τὸ γενι- 35
κώτατον, τοῦτο δὲ ἀρχὴ καὶ κατηγορούμενον καὶ οὔτε ὑφ' ἕτερον οὔτε
5 διαιροῦν, ἀλλὰ διαιρούμενον, ὥστ' οὐδ' ἑπόμενόν τι μετὰ πολλῶν ἑτέρων
ἔχον ἐνυπάρχον αὐτῷ οὔτε κοινόν τι αὐτῷ καὶ ἑτέροις, δι' οὗ μέσου
ὑπάρξει αὐτῷ τὸ ἑπόμενον. οὕτω δὲ ἐκ τῆς διαιρέσεως τὰ κοινὰ τῷ
γένει εὑρήσομεν. εἰ γὰρ εἴη τυχὸν περὶ ζῴων ἡ θεωρία, τὴν οὐσίαν
διέλωμεν εἰς ἔμψυχον καὶ ἄψυχον, καὶ τὸ ζῷον εὑρήσομεν εἰς τὸ ἔμψυχον·
10 εἶτα τὴν οὐσίαν τὴν ἔμψυχον εἰς τὸ αἰσθητικὸν καὶ τὸ ἀναίσθητον, καὶ
ἐν τῷ αἰσθητικῷ τὸ ζῷον εὑρήσομεν· εἶτα τὸ αἰσθητικὸν ἢ εἰς τὸ καθ' 40
ὁρμὴν καὶ ὄρεξιν κινητὸν καὶ εἰς τὸ μή, κἂν τῷ οὕτω κινητῷ τὸ ζῷον
ἔσται. καὶ οὕτως εὑρόντες τὰ παντὶ τῷ προκειμένῳ γένει ἑπόμενα δι'
αὐτοῦ μέσου καὶ τοῖς ὑπ' αὐτὸ εἴδεσιν ὑπάρχειν ταυτὶ φήσομεν. ταὐτὸ δὲ
15 καὶ ἐπὶ τῶν προσεχῶν εἰδῶν τοῦ γένους ποιεῖν δεῖ.

p. 98a 13 Νῦν μὲν οὖν κατὰ τὰ παραδεδομένα κοινά.

Τοῦτο διττῶς ἔστιν ἐκλαβεῖν· ἢ γὰρ ὡς τῷ ἄνω συνεχὲς μόνον, οὐ 45
μὴν δὲ καὶ τοῦ κάτωθεν ἐχόμενον, ἀλλ' εἶναι ἄλλην ἀρχὴν ἀπὸ τοῦ 'δεῖ
δὲ μὴ μόνον ἐπὶ τούτων σκοπεῖν'. καὶ ἔσται οὕτω νοούμενον ὅτι ταῦτα
20 δὴ λέγομεν ὡς ἐπὶ γενῶν, ὧν ὀνόματα παρὰ τῶν πρὸ ἡμῶν εὑρίσκομεν
παραδεδομένα. κοινὰ γὰρ ὀνόματα τὰ γενικά φησιν. ὡς ἐλλείπειν τῷ
λόγῳ ὅτι τὸ αὐτὸ λέγομεν, κἂν μὴ ᾖ ὀνόματα τοῖς γένεσιν κείμενα, ἀλλ'
ἡμᾶς δέῃ ὀνοματοθετεῖν, ἢν ἴσως λόγοι ὦσιν ἀντ' ὀνομάτων τοῖς γένεσι
κείμενοι, ὡς δεῖν καὶ ἐπὶ τῶν τοιούτων ἐκ διαιρέσεων ἢ ἀνατομῶν ἴσως 50
25 εὑρίσκειν τὰ παντὶ τῷ γένει ἑπόμενα, καὶ διὰ μέσου τοῦ γένους ταῦτα
κατὰ τῶν ὑπ' αὐτὸ συνάγειν εἰδῶν. ἢ οὖν οὕτως ἢ ὅτι μέχρι μὲν τούτου
περὶ τῶν παραδεδομένων εἴρηται κοινῶν ὡς γενῶν, ἃ καὶ συνήθη ἐστὶ τοῖς
πᾶσιν, ὅτι κοινά ἐστι, καὶ τὴν περὶ αὐτῶν ἔννοιαν ὡς κοινῶν τοῖς ὑπ'
αὐτὰ πᾶσιν εἴδεσιν ἔχουσιν ἅπαντες, οἷς λογικῆς θεωρίας ὁπωσοῦν ἐν ἕξει
30 ἐλθεῖν ἐξεγένετο, καὶ ἐφεξῆς εἶναι τὸν δεύτερον τρόπον τῆς τοῦ αἰτίου καὶ
μέσου εὑρέσεως. |

p. 98a 14 Δεῖ δὲ μὴ μόνον ἐπὶ τούτων σκοπεῖν. 113

Ὅπερ, φησί, ἐπὶ τῶν γενῶν πεποιήκαμεν μέσα τιθέντες αὐτὰ τῶν τε καθόλου ἑπομένων αὐτοῖς καὶ τῶν ὑπ' αὐτὰ εἰδῶν, οὐ μόνον ἐπὶ τούτων

---

6 ἐνυπάρχον] ὑπάρχον Aa 7 ὑπάρξει om. E 9 καὶ ἄψυχον om. E
11 εἶτα τὸ αἰσθητικὸν om. Aa 12 κινητὸν] κινητικὸν Aa εἰς τὸ om. Aa
κινητικῷ Aa 14 ὑπάρχει Aa 15 δεῖ om. Aa 16 post οὖν add. οὕτω E
18 καὶ om. E κάτω E 20 δὴ] δὲ Aa εὑρήσομεν E 21 ἐλλίπειν
(sic) Aa 22 λέγομεν om. Aa 23 δέῃ] δεῖ libri ἢν] ἢ Aa
24 ἀνατομῆς E 27 εἰσὶ τοῖς Aa 30 ἐγένετο Aa 34 αὐτοῖς scripsi: αὐτῷ libri

δεῖ ποιεῖν, ἀλλὰ κἂν τι κοινὸν ἕτερον φανῇ πλείοσιν ὑπάρχον εἴδεσιν, 113
ὅπερ οὐχ ὡς γένος ἔχει τὸ εἶναι κοινόν, ἀλλ' ὡς συμβεβηκός τι καὶ 5
πάθος, δεῖ καὶ τοῦτο ἐκλαμβάνοντα ἤτοι ἐκτιθέμενον, ὥσπερ καὶ τὸ γένος
ἐκτέθειται, ζητεῖν καὶ ἐπὶ τούτου, τίσι τοῦτο ἀκολουθεῖ καὶ τίνα τούτῳ
5 ἕπεται· ὡς εἶναι καὶ τοῦτο μέσον τῶν οἷς τε ἕπεται καὶ τῶν ἑπομένων
αὐτῷ. τίθησιν δὲ καὶ παράδειγμα

p. 98a 16 Οἷον τοῖς κέρατα ἔχουσι τὸ ἔχειν ἐχῖνον.

Ἔστω, φησί, τὸ ὑπάρχον πλείοσιν οὐχ ὡς γένος, ἀλλ' ὡς συμβεβηκός 10
τι καὶ πάθος, τὸ ἔχειν κέρατα. ὑπάρχει δὲ τοῦτο βουσὶ καὶ αἰξὶ καὶ προ-
10 βάτοις. τούτῳ δὴ ἕπεται τὸ ἔχειν ἐχῖνον ἢ τὸ μὴ ἀμφόδουν εἶναι. εἰ
οὖν τις ἔροιτο, διότι βουσὶ καὶ προβάτοις καὶ αἰξὶν ὑπάρχει τὸ ἔχειν
ἐχῖνον ἢ τὸ μὴ ἀμφόδοντα εἶναι, διὰ τὸ ἔχειν κέρατα φήσομεν.

p. 98a 20 Ἔτι δ' ἄλλος τρόπος ἐστὶ κατὰ τὸ ἀνάλογον.

Ἔστι, φησί, καὶ τρίτος τις τρόπος τοῦ ἐκφέρειν καὶ αἰτιολογεῖν τὰ 15
15 προβλήματα ἕτερος παρὰ τοὺς προειρημένους· οὗτος δέ ἐστιν ὁ κατὰ τὸ
ἀνάλογον. ἔστι δὲ ὁ τρόπος οὗτος, ὁπόταν ᾖ τι ἓν τισι διαφόροις κατ'
εἶδος θεωρούμενον· καὶ ἓν μὲν οὐκ ἔστι κατά τι ὄνομα καὶ λόγον τὸν
κατὰ τοὔνομα, ἵν' εἴη καὶ ὡς γένος κοινὸν τοῖς αὐτοῦ μετέχουσιν εἴδεσιν,
ἔχει δὲ τὸ ἓν καὶ τὸ κοινὸν κατὰ ἀναλογίαν τινά, ὥσπερ τὸ σήπιον καὶ 20
20 τὸ ὀστοῦν καὶ ἡ ἄκανθα. τούτων γὰρ τὸ μὲν σηπίᾳ τὸ δ' ἰχθύσι, τὸ δ'
ἵπποις καὶ βουσὶ καὶ ὄνοις καὶ πολλοῖς ζῴοις ἑτέροις ὑπάρχον κατὰ ἀνα-
λογίαν τὸ κοινὸν ἔχουσιν. ὃν γὰρ λόγον ἔχει ἐν σηπίᾳ τὸ σήπιον, τὸν αὐτὸν
ἡ ἄκανθα ἐν ἰχθύϊ καὶ ἐν ἵππῳ καὶ βοῒ τὸ ὀστοῦν· ἐρειστικὸν γὰρ ἕκαστον
τῇ τῆς σαρκὸς μαλακότητι.

25 p. 98a 22 Ἔστι δὲ ἑπόμενον καὶ τούτοις.

Ἕπεται δέ, φησί, τοῖς ζῴοις τι διὰ μέσου τοῦ ἀνάλογον, ὥσπερ μιᾶς 25
τινος φύσεως τούτου ὄντος τοῦ πράγματος, λέγω δὴ τοῦ ἀνάλογον. ὡς
γὰρ ἐν ἐκείνοις τὸ γένος ἢ τὸ πάθος ἕν τι κοινὸν ὑπάρχον τοῖς αὐτοῦ
μετέχουσιν εἴδεσιν τὰ αὐτῷ ἑπόμενα διὰ μέσου ἑαυτοῦ ἐπεχωρήγει, οὕτω

---

3 ἐκθέμενον E 4 ἀκολουθῇ a 5 οἷς] εἴς E 9 δὲ om. Aa
10 δὴ] δὲ E ἢ om. Aa ἀμφόδοντα E 10. 11 εἰ οὖν—ἀμφόδοντα εἶναι (12)] τοῖς δὴ οὖν βουσὶ καὶ τοῖς ἄλλοις ὑπάρχειν ταῦτα E 14 ἐκφέρειν] ἐκλέγειν Arist.
ἀντιολογεῖν a 16 post ἀνάλογον add. lemma ἓν γὰρ λαβεῖν οὐκ ἔστι τὸ αὐτό, ὃ δεῖ καλέσαι σήπιον καὶ ἀκάνθης (sic) καὶ ὀστοῦν Aa ἔστι δὲ—οὗτος] ὁποῖος δὲ ὁ τρόπος ἐστὶ οὗτος Aa 18 κατ' ὄνομα Aa 20 ἡ om. A 21 καὶ ὄνοις—
ἑτέροις om. E 22 κοινὸν] ταὐτὸν E post αὐτὸν add. καὶ E 25 ἔστι δὲ] ἔσται δὴ Aa 26 δέ scripsi: δὴ libri 29 τὰ αὐτῷ—ἑαυτοῦ om. Aa
ἐπεχορήγει] ἐπεχορήσει a

κἀνταῦθα τὸ ἀνάλογον τὰ αὐτῷ ἑπόμενα χορηγεῖ τοῖς αὐτοῦ μετέχουσι· κἂν 113
τις ἔρηται, διὰ τί τῇ σηπίᾳ ἡ σὰρξ ἐρείδεται ἢ τῷ ἰχθύϊ ἢ τῷ ἵππῳ, διὰ τὸ σήπιον, διὰ τὴν ἄκανθαν, διὰ τὸ ὀστοῦν ἐροῦμεν.

p. 98ᵃ24 Τὰ δ' αὐτὰ προβλήματά ἐστι. 30

Ἐπειδὴ ὁ μέσος ἐστὶν ὁ τὰ προβλήματα συνιστῶν ὡς αἴτιος αὐτοῖς τῆς ὑπάρξεως, καὶ τὸ ταὐτὰ εἶναι ταῦτα καὶ ἕτερα αὐτὸς ἂν συστήσειεν ὡς αὐτῷ ἑπομένων αὐτῶν κατὰ τὸ ταὐτόν τε καὶ ἕτερον, ὡς αὐτὸς ἔχει κατὰ τοῦτο, οὕτως ἐχόντων καὶ αὐτῶν. ταὐτὰ τοίνυν τὰ προβλήματα τριχῶς, ἢ τῷ τὸ αὐτὸ ἔχειν μέσον καὶ αἴτιον, καὶ τοῦτο διχῶς· ἢ γὰρ καὶ εἶδει ταὐτὸν τὸ μέσον ἢ γένει· καὶ τρίτη ταυτότης, ὅταν τὸ αὐτὸ 35 μέσον ἔχοντά τινα προβλήματα μὴ ὡσαύτως ἔχῃ πρὸς αὐτό, ἀλλὰ τὸ μὲν προσεχῶς ἔχῃ μέσον καὶ αἴτιον αὐτό, τὸ δὲ πόρρω, ἤτοι τὸ μὲν ἀμέσως, τὸ δὲ διὰ μέσου ἑτέρου τινός. εἴπωμεν δὲ τούτων καὶ παραδείγματα. διὰ τί ἐν χειμῶνι ῥᾷον πέττομεν; διὰ τί κοιμώμενοι πυκνὸν ἀναπνέομεν; διὰ τί χειμῶνος αἱ πηγαὶ θερμότεραι; ταῦτα γὰρ ἀλλήλων διαφέροντα τῷ ἕτερα ἔχειν τὰ κατηγορούμενα καὶ τὰ ὑποκείμενα, τὸ ταὐτὰ ἀλλήλοις εἶναι ἔχει τῷ τὸ αὐτὸ μέσον ἔχειν. πάντων γὰρ τούτων μέσον καὶ 40 αἴτιον ἡ τοῦ θερμοῦ ἀντιπερίστασις, ὅπερ ταὐτὸν τῷ εἴδει ὂν ταὐτὰ τῷ εἴδει ποιεῖ καὶ τὰ προβλήματα, ὧν ἐστι μέσον καὶ αἴτιον. πάλιν διὰ τί ἠχώ; καὶ διὰ τί ἔμφασις ἐν τοῖς κατόπτροις γίνεται; καὶ διὰ τί ἶρις; καὶ ταῦτα γὰρ πάντα δι' ἀνανάκλασιν. ἀλλ' ἐκεῖ μὲν ἡ ἀντιπερίστασις τοῦ αὐτοῦ ἦν εἴδους (τοῦ γὰρ θερμοῦ), ἐνταῦθα δ' ἡ ἀνανάκλασις ἑτέρων τῷ εἴδει· τοῦ γὰρ ἀέρος καὶ τῆς ὄψεως καὶ τῶν ἀκτίνων, ὥστ' οὐ τῷ εἴδει ἀλλὰ τῷ γένει ἡ αὐτή, καὶ τὰ προβλήματα ὡσαύτως. τοῦ δὲ τρίτου 45 τρόπου τῆς τῶν προβλημάτων ταυτότητος ὁ Νεῖλος παράδειγμα μᾶλλον ῥέων τοῦ μηνὸς φθίνοντος. ἔστι δὴ τὸ πρόβλημα διὰ τί ὁ Νεῖλος μᾶλλον ῥεῖ τοῦ μηνὸς φθίνοντος; διότι χειμεριώτερος φθίνων ὁ μήν· τοῦτο τὸ προσεχὲς μέσον τοῦ τὸν Νεῖλον μᾶλλον ῥεῖν τοῦ μηνὸς φθίνοντος. τούτου δ' ἔστι πάλιν ἕτερον αἴτιον· διὰ τί δὲ χειμεριώτερος φθίνων ὁ μήν; διότι ἐκλείπει. δύο τοίνυν προβλήματα τὸ διὰ τί ὁ Νεῖλος ῥεῖ μᾶλλον φθίνοντος τοῦ μηνός, καὶ τὸ διὰ τί χειμεριώτερος φθίνων ὁ μήν; ὧν 50 θάτερον τοῦ ἑτέρου μέσον ὂν ὑφ' ἕτερόν ἐστι μέσον καὶ αἴτιον, τὸ τὴν σελήνην ἀπολείπειν φθίνουσαν. ἕτερα δὴ ἀλλήλων καὶ ταῦτα τῷ ἕτερα ἔχειν τὰ κατηγορούμενα καὶ τὰ ὑποκείμενα· ταὐτὰ δ' ἂν εἴη, ὅτι ὑφ' ἕνα τὸν πρῶτον μέσον ἀνάγεται, καὶ τὸ μὲν προσεχῶς, τὸ δὲ διὰ μέσου.

---

2 σὰρξ] γὰρ Aa 4 ταῦτα τάδ' αὐτὰ E 5 Ἐπεὶ δὲ Aa συνιστὰς E
7 κατὰ τὸ ταὐτὸν — καὶ αὐτῶν (8) om. E 10 καὶ ante εἴδει om. Aa
ταυτότης scripsi: ταυτό τις libri 12 αὐτὸ καὶ αἴτιον coll. E 13 post καὶ add. τὰ Aa 20 ἔκφασις Aa 29 ἕτερον om. E 31 τὸ om. Aa

p. 98a 24 Τὰ δ' αὐτὰ προβλήματά ἐστι.

Τοῦτο ἕτερον περὶ τοῦ μέσου θεώρημα· κἂν γὰρ περὶ τῶν προβλη-
μάτων δοκεῖ ζητεῖν, κατὰ πόσους τρόπους | ταὐτά ἐστιν, ἀλλά γε περὶ 114
τοῦ μέσου μᾶλλον ἂν εὔλογον εἴη ταῦτα ἐκδέχεσθαι, πῶς ἐκ τῆς τούτου
5 ταυτότητος ἡ ταυτότης καὶ τοῖς προβλήμασι γίνεται· οὕτω γὰρ ἂν καὶ ὁ
λόγος συνεχὴς φαίνοιτο. φησὶ τοίνυν ὅτι τὰ αὐτὰ προβλήματα λέγονται
καθ' ἕνα μὲν τρόπον, ὅταν τὸ αὐτὸ μέσον ἔχωσιν· ἕτερα γὰρ ὄντα ἀλλήλων
τοῖς ὅροις, ἐξ ὧνπερ σύγκεινται, τῇ τοῦ μέσου ταυτότητι εἰς ταὐτὸν ἔρχον- 5
ται. καὶ παράδειγμα τίθησιν τὴν ἀντιπερίστασιν· πολλὰ γάρ ἐστι προβλή-
10 ματα ὑπὸ ταύτην ὡς αἰτίαν ἀναφερόμενα, οἷον διὰ τί ἡ Μαγνῆτις λίθος
ἕλκει ἢ τὸ ἤλεκτρον ἢ ἡ σικύα· ἀντιπερίστασιν γὰρ ἀέρος αἰτίαν τούτων
ἁπάντων ὁ Πλάτων ἀποδίδωσιν. καὶ ἔστι τὸ μέσον ἁπάντων τούτων τῷ
εἴδει ταὐτόν, ἡ τοῦ ἀέρος ἀντιπερίστασις, διὸ καὶ αὐτὰ τῷ εἴδει ταὐτά.

p. 98a 25 Τούτων δὲ ἔνια τῷ γένει ταὐτά.

15 Τοῦτο ὑποδιαίρεσίς ἐστι τοῦ εἰρημένου ἑνὸς τρόπου τῆς τῶν προβλη-
μάτων ταυτότητος. τὸ γὰρ αὐτὸ μέσον ἢ εἴδει ἐστὶν ἢ γένει ταὐτόν, εἴδει
μὲν ὡς τὸ εἰρημένον, γένει δὲ ὡς τὸ λεχθησόμενον. λέγει τοίνυν ὅτι τού-
των τῶν προβλημάτων τῶν ἐχόντων τὸ αὐτὸ μέσον ἔνια οὐ τῷ εἴδει,
ἀλλὰ τῷ γένει ταὐτόν ἐστι· ταῦτα δέ ἐστιν ὅσων ἢ ἄλλων ἐστὶ καὶ ἄλλων 15
20 πάθος τι τὸ μέσον, ἢ τρόπος τις ὅπεστι παρηλλαγμένος. ἄλλων μὲν ὥσπερ
ἐπὶ τῆς ἠχοῦς καὶ τῆς ἐμφάσεως τῶν κατόπτρων καὶ τῆς ἴριδος· ἅπαντα
γὰρ ταῦτα δι' ἀντανάκλασιν γίνεται, καὶ ἀντανάκλασις τούτων τὸ μέσον,
ἀλλ' οὐ τοῦ αὐτοῦ, ἀλλὰ διαφόρων τῷ εἴδει. ἐπὶ μὲν γὰρ τῆς ἠχοῦς ὁ
ἀὴρ ἀνακλᾶται πληττόμενος πρότερον ὑπὸ τοῦ φωνοῦντος, εἶτα στερεοῖς
25 προσπίπτων σώμασι καὶ ἀνακλώμενος, οἷον λίθοις ἢ ἄλλοις τισίν. ἐπὶ δὲ
τῶν ἐμφάσεων αἱ ἐκπεμπόμεναι τῶν ὄψεων ἀκτῖνες, αἵτινες ἀπὸ τῶν 20
λείων σωμάτων ἀνακλώμεναι ἑαυτούς τε ὁρᾶν ποιοῦσι καὶ τὰ παρακείμενα
σώματα τοὺς τὰς ὄψεις τοῖς κατόπτροις προσβάλλοντας· ἐπὶ δὲ τῆς ἴριδος
τῶν τοῦ ἡλίου ἀκτίνων ἡ ἀντανάκλασις· ἀνακλώμεναι γὰρ καὶ ἐφεξῆς κατὰ
30 κύκλον δροσιζούσαις ἢ καὶ ὑετιζούσαις νεφέλαις προσπίπτουσαι τὴν τῆς
ἴριδος ἔμφασιν ἀποτελοῦσιν. ἐπεὶ οὖν ὧν ἡ ἀνάκλασις εἴδει ἕτερα, δόξειεν
ἂν καὶ ἡ ἀνάκλασις οὐ τῷ εἴδει πᾶσα ἡ αὐτή, ἀλλὰ τῷ μὲν γένει αἱ
αὐταί, τῷ δὲ εἴδει ἕτεραι. καὶ τὰ προβλήματα τοίνυν, ὧν τοιοῦτος ὁ 25
μέσος, τῷ μὲν γένει ἕξουσι τὸ ταὐτόν, τῷ δὲ εἴδει ἔσονται ἕτερα, ὥσπερ
35 δὴ καὶ τὰ εἰρημένα. πάντα μὲν γὰρ ἀνάκλασις ὡς δι' ἀνάκλασιν γινόμενα,

3 εἰσιν Aa 4 ἄλογον E τῆς τούτων E 11 ἡ om. Aa σικυΐα Aa
12 ὁ Πλάτων] cf. Tim. c. 37 p. 79 E sq. 16 αὐτὸ] ταυτὸ E 17 τοίνυν] γοῦν τοίνυν Aa 18 τῶν ante ἐχόντων om. E 19 ταὐτόν] τὰ αὐτά E
22 ἀνάκλασιν et ἀνάκλασις E 28 ἐμβάλλοντας E 32 πᾶσα] πάλιν E
35 μὲν om. E

ἀλλ' ἐπεὶ κατ' εἶδος ἕτερα ὧν ἡ ἀνάκλασις, διὰ τοῦτο καὶ τὰ προβλήματα 114
οὕτως ἕτερα. εἰπὼν δὲ τῷ ἄλλων ἢ ἄλλως εἶναι τοῦ μὲν ἄλλων εἶναι
παράδειγμα τέθεικε, τοῦ δὲ ἄλλως οὐχί. ἢ ἴσως ὡς πρὸς ἄμφω ἀρκοῦν
τοῦτο τέθεικε, τό τε ἄλλων καὶ τὸ ἄλλως· ἄλλως γὰρ ὄψεων, ἄλλως φωτὸς
5 καὶ ἄλλως ἀκτίνων ἡλίου ἀνάκλασις.

p. 98a 29 Τὰ δὲ τῷ τὸ μέσον ὑπὸ τὸ ἕτερον μέσον εἶναι. 30

Δοκεῖ ἀνακόλουθον εἶναι τὸ λεγόμενον πρὸς τὸ προτεθέν. περὶ γὰρ
ταυτότητος προβλημάτων ῥηθῆναι προέκειτο· πῶς οὖν τινι διαφέρειν ἀλλή-
λων φησί τινα προβλήματα, ἐν οἷς ἀπαριθμῆσαι προτέθειται τρόπους προ-
10 βλημάτων ταυτότητος; ἢ διὰ τὸ σφοδρὸν τῆς ταυτότητος, διὰ τοῦτο τὴν
διαφορὰν εἴρηκεν· ὡς γὰρ ὑπὸ τὸ αὐτὸ οὐ μόνον κατ' εἶδος, ἀλλὰ δὴ καὶ
κατ' ἀριθμὸν ἀναγόμενα αἴτιον ὑπερβολὴν ταυτότητος ἔχει, διαφέροντα 35
μόνον τῷ τὸ μὲν προσεχῶς, τὸ δὲ διὰ μέσου εἰς ταὐτὸ ἀναφέρεσθαι. τοῦ
γὰρ ἑτέρου τὸ μέσον ὑπὸ τὸ ἑτέρου ἀναφερόμενον διὰ μέσου ἑαυτοῦ κἀκείνῳ
15 τὴν πρὸς τὸ πρῶτον μέσον ἀναφορὰν δίδωσιν. ἢ ὅτι καὶ ὁ τρόπος τῆς
τοιαύτης διαφορᾶς ταυτότητα μᾶλλον τῶν προβλημάτων παρίστησιν.

p. 98a 31 Οἷον διὰ τί ὁ Νεῖλος φθίνοντος τοῦ μηνὸς μᾶλλον ῥεῖ; διότι χειμεριώτερος φθίνων ὁ μήν. διὰ τί δὲ χειμεριώτερος φθίνων; διότι ἡ σελήνη ἀπολείπει. ταῦτα γὰρ οὕτως ἔχει πρὸς
20 ἄλληλα.

Παράδειγμα τοῦτο τοῦ τρίτου τρόπου τῆς τῶν προβλημάτων ταυτότητος. 40
μῆνα δέ φησι τὸ χρονικὸν διάστημα, δι' ὅσου ἡ σελήνη αὔξει τε καὶ μει-
οῦται. ἔστι δὲ φθίνων ὁ μὴν μετὰ τὴν πανσέληνον, ἐλαττουμένου τοῦ
φωτὸς τῆς σελήνης. τοῦ μὲν οὖν τὸν Νεῖλον μᾶλλον ῥεῖν τοῦ μηνὸς
25 φθίνοντος τὸ χειμεριώτερον εἶναι τὸν μῆνα φθίνοντα μέσον καὶ αἴτιον,
τούτου δὲ αὖθις τὸ τὴν σελήνην ἀπολείπειν. οὕτω γὰρ ἔχει ταῦτα πρὸς
ἄλληλα, ὡς τὸ μέσον τοῦ προτέρου προβλήματος ὑπὸ τὸ μέσον εἶναι τοῦ
δευτέρου. τῆς γὰρ σελήνης ἐκλειπούσης ψυχρότερον νυκτὸς τὸ τοῦ ἀέρος 45
κατάστημα γίνεται καὶ διὰ τοῦτο ὑγρότερον· διὸ τῆς ὑγρότητος πλεονα-
30 ζούσης ἕπεται μᾶλλον ῥεῖν καὶ τὸν ποταμόν. μήποτε δὲ καὶ τρία εἴη
ταῦτα προβλήματα ἐφεξῆς ὑπάλληλα. διὰ τί ὁ Νεῖλος μᾶλλον ῥεῖ τοῦ
μηνὸς φθίνοντος; διότι χειμεριώτερος φθίνων ὁ μήν. καὶ διὰ τί τοῦτο;
διὰ τὸ τὴν σελήνην ἐκλείπειν. καὶ διὰ τί τοῦτο; διότι τῷ ἡλίῳ συνοδεύει.
καὶ εἰσὶ πάντα εἰς ἓν τὸ πρῶτον ἀναγόμενα μέσον καὶ αἴτιον, καὶ δι' ἐκεῖνο
35 ἀλλήλοις σύνεστιν. ἡ γὰρ σελήνη τῷ ἡλίῳ συνοδεύουσα τὸ μὲν πρὸς αὐτὸν 50

---

3 ἀρκοῦν] οὐκοῦν Aa 8 ῥηθεῖναι E τίνι διαφέρει libri 12 αἴτιον] αἴτια Aa
13 εἰς αὐτὸ E 14 ὑπὸ τοῦ ἑτέρου Aa 17 lemma om. E 23 πασέληνον AE¹
33 ἀπολείπειν Aa 34 καὶ post μέσον om. E καὶ δι' ἐκεῖνο — μέρος (234,1)]
διὸ ἐκείνη τὸ πρὸς τὸν ἥλιον ἡμισφαίριον E

μέρος φωτίζεται, τὸ δὲ πρὸς ἡμᾶς ἀφώτιστος γίνεται καὶ διὰ τοῦτο ἐκλείπει. ἐκλειπούσης δὲ ταύτης χειμεριώτερος ὁ μὴν γίνεται. ἐκ τούτου δὲ πάλιν ῥεῖ τότε μᾶλλον ὁ Νεῖλος.

p. 98ᵃ 35 Περὶ δὲ αἰτίου καὶ οὗ αἴτιον.

Ἄξιον δὲ ζητῆσαι περὶ αἰτίου καὶ οὗ ἐστιν αἴτιον, πῶς πρὸς ἄλληλα περὶ τὸ ἕπεσθαι ἔχουσι. λέγει δὲ | αἴτιον μὲν τὸ μέσον, οὗ δὲ αἴτιον τὸ 115 μεῖζον ἄκρον. πότερον δὴ ἕπεται ταῦτα ἀλλήλοις, ὡς θατέρου ὄντος εἶναι τὸ ἕτερον καὶ ἀνάπαλιν, ἢ τοῦ μέσου μὲν ὄντος ἐστὶ τὸ μεῖζον, τοῦ δὲ μείζονος ὄντος οὐκ ἀνάγκη καὶ τὸ μέσον εἶναι; οἷον εἰ πήγνυται ὁ ὀπός, φυλλορροεῖ τὰ δένδρα, καὶ εἰ φυλλορροεῖ, πήγνυται, καὶ εἰ ἡ γῆ ἐν μέσῳ, ἐκλείπει ἡ σελήνη, καὶ εἰ ἐκλείπει, ἐν μέσῳ ἡ γῆ; ἢ θάτερον μὲν τῷ ἑτέρῳ ἕπεται, τῷ μέσῳ τὸ ἄκρον, ἀνάπαλιν δ' οὔ; ἔχει γὰρ ἀπορίαν ὁ λόγος· εἰ μὲν γὰρ ὄντος τοῦ αἰτιατοῦ οὐκ ἔστι καὶ τὸ αἴτιον ἐξ ἀνάγκης, ἔσται ἕτερον αἴτιον· εἰ γὰρ ἄμεσον, οὐ πρόβλημα, εἰ δὲ πρόβλημα, ἕξει μέσον ἀεί, καὶ ἢ τοῦτο ἢ ἕτερον. εἰ μὲν οὖν τοῦτο ἀεί, ἔσται ἐξ ἀνάγκης ὄντος τοῦ αἰτιατοῦ καὶ τὸ αἴτιον· εἰ δὲ μή, οὐ τὸ αὐτὸ ἕξει ἀεί, ὥστ' οὐχ ἁπλῶς τὸ αἴτιον, ἀλλά πῃ· τοῦτο δ' οὐκ ἐπιστήμη. τὸ γὰρ πῇ μὲν οὕτω, πῇ δ' ἄλλως, οὐ στάσις οὐδ' ὅρος. εἰ δ' ἔστιν ὄντος τοῦ αἰτιατοῦ καὶ τὸ αἴτιον, ἅμα ἂν εἴη ἄμφω ταὐτί, καὶ δεικνύοιτ' ἂν δι' ἀλλήλων· καὶ οὐδὲ τοῦτ' ἂν ἐπιστήμη δόξειεν εἶναι, τῷ τὸ αὐτὸ τοῦ αὐτοῦ αἴτιον ἅμα εἶναι καὶ αἰτιατόν, καὶ πρῶτον καὶ ὕστερον, καὶ δεικνύον καὶ δεικνύμενον. ἢ οὐχ ὡσαύτως ἑκάτερος τῶν συλλογισμῶν, ἀλλ' ὁ μὲν διὰ προτέρου καὶ αἰτίου, καὶ διὰ τοῦτο ἀπόδειξις τοῦ διὰ τί, ὁ δὲ διὰ τοῦ ὑστέρου καὶ αἰτιατοῦ καὶ διὰ τοῦτο τοῦ ὅτι, οὐ τοῦ διότι. καὶ τοῦτο δῆλον ἐκ τοῦ τὸ μὲν ἐν τῷ λόγῳ τοῦ τί ἦν εἶναι θατέρου λαμβάνεσθαι, τὸ δ' ἐν τῷ τοῦ ἑτέρου οὐχί· τὸ μὲν γὰρ ἐν μέσῳ εἶναι τὴν γῆν ἐν τῷ λόγῳ τῆς ἐκλείψεως, ἀνάπαλιν δ' οὔ, ὡς καὶ ἐν τῷ λόγῳ τοῦ φυλλορροεῖν τὸ πήγνυσθαι τὸν ὀπόν, οὐχὶ δ' ἐν τῷ τούτου ἐκεῖνο. μήποτε δὲ ἐνδέχεται τοῦ αὐτοῦ πλείονα εἶναι τὰ μέσα καὶ αἴτια· πλὴν οὐχὶ τῷ αὐτῷ, ἄλλῳ γε μὴν καὶ ἄλλῳ ὑποκειμένῳ. εἰ γάρ τι εἴη πλειόνων πρώτως, τουτέστιν ἀμέσως κατηγορούμενον, δύναιτ' ἂν διὰ μέσων τούτων κατὰ πλειόνων περαίνεσθαι, πῇ μὲν διὰ τοῦδε κατὰ τοῦδε, πῇ δὲ διὰ τοῦ ἑτέρου καθ' ἑτέρου. εἰ γὰρ τὸ Α τῷ Β καὶ τῷ Γ πρώτοις ὑπάρχει, εἶτα τὸ Β πρώτῳ τῷ Δ καὶ τὸ Γ τῷ Ε, ἔσται τὸ Α διὰ μὲν τοῦ Β τῷ Δ, διὰ δὲ τοῦ Γ τῷ Ε, ὥσπερ τὸ ζῷον ὑπάρχει πρώτοις τῷ λογικῷ καὶ ἀλόγῳ, τούτων δὲ τὸ μὲν τῷ ἀνθρώπῳ, τὸ δὲ τῷ ἵππῳ. ὑπάρξει οὖν τὸ ζῷον διὰ μὲν τοῦ λογικοῦ τῷ

---

1 καὶ διὰ τοῦτο—γίνεται (2) om. E 6 οὗ δὲ scripsi: οὐδὲ libri 7 ἄλληλα ταῦτα E 11 καὶ ἡ ἐκλείπει a 16 ὥστ' om. E 17 αἴτιον bis exh. Aa οὐκ om. E 18 στάσης Aa 28 τῷ τούτου] τούτῳ E 33 πρώτῳ (sic) ὑπάρχει post τὸ Λ transp. E 36 ἀνθρώπῳ] ἀνθρωπίνῳ E

ἀνθρώπῳ, διὰ δὲ τοῦ ἀλόγου τῷ ἵππῳ. τοῦ μὲν αἰτιατοῦ τοίνυν ὑπάρ- 115
χοντος ὑπάρχει τὸ πρᾶγμα ἐξ ἀνάγκης, τοῦ δὲ πράγματος ὑπάρχοντος
εἶναι μὲν ἀνάγκη αἴτιον, οὐ μὴν δὲ ἅπαν. τοῦ γὰρ λογικοῦ ὑπάρχοντος
τῷ ἀνθρώπῳ ἀνάγκη καὶ τὸ ζῷον ὑπάρχειν αὐτῷ· τοῦ δὲ ζῴου ὑπάρ- 25
5 χοντος τῷ ἀνθρώπῳ τὸ λογικὸν μὲν ὑπάρξει αὐτῷ, οὐ μὴν δὲ καὶ τὸ
ἄλογον· ταῦτα δ' ἦν ἄμφω αἴτια, δι' ὧν ὑπάρχειν ἐλέγετο πλείοσιν. ἀλλ'
οὐχ οὕτως αἱ ἐπιστῆμαι· τό τε γὰρ μεῖζον ἄκρον καθόλου καὶ τὸ ἔλαττον
ὡσαύτως, ὥστε δὴ καὶ τὸ μέσον ἴσον δεῖ εἶναι καὶ τούτοις συνεπεκτείνε-
σθαι. κἂν εἴδει ᾖ διαφέροντα τὰ ὑπὸ τὸ μεῖζον, πᾶσι τούτοις χρὴ καὶ
10 τὸ μέσον συνεπεκτείνεσθαι· οὐ γὰρ πῇ μὲν κατὰ τοῦδε, πῇ δὲ κατὰ τοῦδε 30
τῶν ὑπὸ τὸ μεῖζον ἡ ἀπόδειξις γίνεται, ἀλλὰ κατὰ πάντων ἁπλῶς. οὐ
γὰρ πῇ μὲν κατὰ τοῦ ἰσοπλεύρου αἱ δύο ὀρθαί, πῇ δὲ κατὰ τοῦ σκαληνοῦ,
πῇ δὲ κατὰ τοῦ ἰσοσκελοῦς ἀποδείκνυνται, ἀλλὰ κατὰ τοῦ τριγώνου ἁπλῶς,
καὶ οὐχ ᾗ ἄλλο τι, ἀλλ' ᾗ γε τρίγωνον. ὥστε καὶ τὸ μέσον τοιοῦτον
15 εἶναι δεῖ, ᾗ τρίγωνον ὑπάρχον τῷ τριγώνῳ, καὶ καθόλου κατὰ τοῦ τρι-
γώνου τὰς δύο περαῖνον ὀρθάς, κἂν εἴδη τοῦ τριγώνου ὑπάρχῃ πλείονα,
καὶ κατὰ τούτων πάντων κατηγορεῖσθαι, ᾗ τρίγωνόν ἐστιν. εἰ γὰρ μὴ τὸ
μέσον ἴσον τῷ πρώτῳ ἐστίν, ὡς ἐκείνῳ εἰς τὰ εἴδη πάντα τὰ ὑπ' ἐκεῖνο 35
συνεπεκτείνεσθαι, οὐκ ἔσται καθόλου παντὶ τῷ ὑπ' ἐκεῖνο ἐκείνου αἴτιον.
20 εἰ δὲ τοῦτο, οὐκ ἐπιστήμη οὐδὲ ἀπόδειξις· καθόλου γὰρ ἡ ἐπιστήμη,
καὶ ᾗ τόδε τι τὸ ὑποκείμενον, κατ' αὐτοῦ τὸ μεῖζον διὰ τοῦ μέσου συν-
άγουσα, οἷον τοῦ τριγώνου, ᾗ τρίγωνον, τὰς δύο ὀρθάς, τῶν φυτῶν, ᾗ φυτὰ
ἢ ἁπλῶς ἢ τοιάδε, οἷον πλατυφύλλων τὸ φυλλορροεῖν. ὥστε καὶ ἀντι-
στρέψει τὸ αἴτιον πρὸς τὸ αἰτιατόν, καὶ τοῖς ὑπ' ἐκεῖνο πᾶσιν ἐπίσης
25 ἐκείνῳ ὑπάρξει. εἰ γὰρ ἐφεξῆς δύο ὀρθαί, καὶ εἰ δύο ὀρθαί, ἐφεξῆς· καὶ 40
εἰ φυλλορροεῖ, πήγνυται ὁ ὀπός, καὶ εἰ πήγνυται, φυλλορροεῖ. πλὴν μὴ ἐπὶ
τῶν τυχόντων τὸ πήγνυσθαι, ἀλλ' ὡς ἐπὶ δένδρων· οὐ γὰρ εἰ καὶ τὸ ἐν τῷ
ποταμῷ ὑγρὸν πήγνυται, τὸ φυλλορροεῖν ἔσται, ἀλλ' εἰ τὸ ἐν τοῖς δένδροις.
ἐπεὶ δὲ πρότερον μὲν ἐνδέχεσθαι εἴρηται μὴ εἶναι τὸ αὐτὸ πᾶσιν αἴτιον
30 τοῦ αὐτοῦ, καὶ ὅρους πορίσασθαι προσεγένετο, ἐν οἷς τοῦτο τεθεωρήκαμεν,
ὡς ἐπὶ ζῴου καὶ ἀνθρώπου καὶ ἵππου (τῷ μὲν γὰρ ἀνθρώπῳ τοῦ ζῴου
τὸ λογικὸν αἴτιον, τῷ δὲ ἵππῳ τὸ ἄλογον) αὖθις δὲ εἴπομεν ὅτι τὸ αὐτὸ 45
δεῖ εἶναι τὸ μέσον, διὰ τὸ καὶ τὸ μεῖζον ὅλον τι εἶναι καὶ τὸ ἔλαττον
ὡσαύτως, καὶ συμπαρεκτείνεσθαι μὲν τὸ μεῖζον καὶ ἐξισοῦσθαι πᾶσι τοῖς
35 ὑπ' αὐτό, ὁμοίως δ' ἔχειν καὶ τὸ μέσον, λόγον τε ὂν καὶ ὅρον τοῦ μείζονος,
καὶ αὐτῷ τε ἐξισάζον τῷ μείζονι καὶ τοῖς ὑπ' ἐκεῖνο πᾶσιν, ἐπεὶ οὖν
οὕτως εἴρηται καὶ δοκεῖ ἰσχὺν ἔχειν τῶν λόγων ἑκάτερος, αὐτὸ τοῦτο

---

1 τοῦ μὲν—τοίνυν] τοίνυν τοῦ μὲν αἰτίου Aa 2 ὑπάρχει—ὑπάρχοντος om. E
8 δὴ] δεῖ E δεῖ om. E 9 τὸ] τῷ E 10 πῇ δὲ—τοῦδε om. Aa
11 ὑπὸ τοῦ E 11. 12 οὐ γὰρ—ἁπλῶς (13) om. E 15 τοῦ et τὰς (16)
om. E 20 οὐκ] οὐδ' Aa 23 πλατύφυλλον Aa 25 καὶ—ὀρθαί om. Aa
26 ἐπὶ] ἀπὸ E 27 τῷ om. E 35 λόγον—ὅρον] καὶ λόγον εἶναι E
37 λόγον E ἑκάτερον Aa ante αὐτὸ add. τὸ Aa

ζητητέον, εἰ ἐνδέχεταί ποτε ἄλλο καὶ ἄλλο εἶναι αἴτιον τοῦ αὐτοῦ πᾶσι 115
τοῖς ὑπ' αὐτό, καὶ πότε ἐνδέχεται καὶ πότε οὔ. οὕτως γὰρ τῶν εἰρημένων 50
λόγων ἑκάτερος τὸ οἰκεῖον ἀπολαβὼν οὐδεμίαν ἡμῖν παρέξει ἀμφιβολίαν.
εἰ μὲν τοίνυν κατὰ τὸν ἀκριβῆ λόγον τῆς ἀποδεικτικῆς ἐπιστήμης ὁ λόγος
προβαίνοι, ὡς καθ' αὑτὸ τὴν ἀπόδειξιν γίνεσθαι αἰτίου λαμβανομένου μὴ
μόνον τοῦ συμπεράσματος, ἀλλὰ δὴ καὶ τοῦ πράγματος, οὐκ ἐνδέχεται
ὅλως ἄλλο | καὶ ἄλλο εἶναι τὸ αἴτιον, ἀλλ' ὁ δεύτερος κρατήσει τῶν 116
λόγων· εἰ δ' οὐ καθ' αὑτὸ ἀλλὰ κατά τι σημεῖον ἢ συμβεβηκὸς ἡ δεῖξις
γένοιτο, ἐνδέχεται ἄλλο καὶ ἄλλο λαμβάνεσθαι αἴτιον, ὥσπερ τῆς τοῦ
πυρὸς ὑπάρξεως ἑτέρῳ μὲν τέφραν, ἄλλῳ δὲ καπνόν. καὶ τοῦ φυλλορροεῖν
ἄλλῳ μὲν τῶν δένδρων τὸ ῥυτιδοῦσθαι, ἄλλῳ δὲ τὸ λευκαίνεσθαι. ἔστι
γὰρ καὶ κατὰ συμβεβηκὸς θεωρεῖν ἄλλο ἄλλῳ ὑπάρχειν, ἀλλ' οὐκ ἔστιν 5
ἀποδεικτικὰ προβλήματα τὰ τοιαῦτα. εἰ δὲ καὶ τοῦτο δοίημεν, ὁμοίως
ἕξει τὸ μέσον τῷ μείζονι, τουτέστιν εἰ μὲν τὸ μεῖζον ἄκρον ὡς γένος
τινὸς κατηγορεῖται τῶν ὑπ' αὐτό, καὶ τὸ μέσον ὡς γένος ἔσται κατὰ τοῦ
αὐτοῦ· εἰ δὲ ὁμωνύμως κατὰ τῶν ὑπ' αὐτὸ λέγεται, καὶ τὸ μέσον ὁμοίως
ἕξει. οἷον ἔστω πρόβλημα τὸ διὰ τί ὁ ἄνθρωπος ζῷον, καὶ διὰ τί, ἐὰν
τέσσαρά τινα ἀνάλογον ᾖ Α πρὸς Β καὶ Γ πρὸς Δ, καὶ ἐναλλὰξ ἀνάλογον·
ἀποδοθήσεται γὰρ αἴτιον τὸ ἰσάκις εἶναι πολλαπλάσιον τὸ Α πρὸς τὸ Β καὶ
τὸ Γ πρὸς τὸ Δ. τοῦτο γὰρ καὶ ἐν γραμμαῖς καὶ ἐν ἀριθμοῖς θεωρούμενον 10
ἄλλο τε ἔσται καὶ τὸ αὐτό. ᾗ μὲν γὰρ ἐν ἑτέρῳ κατ' εἶδος, ἕτερον κατ'
εἶδος· ᾗ δὲ ἐν τῷ αὐτῷ τῷ γένει, κατὰ γένος ταὐτόν. καὶ ὡς ἔχει τὸ
ἐναλλὰξ ἀνάλογον, ὅπερ ἐστὶ τὸ μεῖζον, οὕτω καὶ τὸ ἰσάκις πολλαπλάσιον,
ὅπερ ἐστὶ τὸ μέσον. τοιοῦτόν ἐστι καὶ τὸ ζῷον καὶ τὸ λογικὸν ζῷον, δι'
οὗ μέσου κατὰ τοῦ ἀνθρώπου τὸ ζῷον συνήγομεν· γένος τε γὰρ ἀνθρώπου
τὸ ζῷον, καὶ τὸ λογικὸν ζῷον ὡσαύτως γένος τοῦ αὐτοῦ. ὁμωνύμου δὲ
μείζονός τε καὶ μέσου παράδειγμα τὸ ὅμοιον. τὸ γὰρ ὅμοιον σχήματί τε 15
ὑπάρχον καὶ χρώματι ὁμωνύμως ὑπάρχον καὶ μέσον ἕξει ὁμώνυμον· ἔστι
γὰρ ὅμοιον σχήματί τε σχῆμα καὶ χρώματι χρῶμα. ἀλλ' ἄλλο ἄλλῳ· ἄλλο
γὰρ ὅμοιον τὸ ἐν σχήματι καὶ ἄλλο τὸ ἐν χρώματι, ἐπεὶ καὶ γένει ἀλλήλων
ἕτερα χρῶμα καὶ σχῆμα. καὶ ἴδιον μὲν ποιότητος τὸ ὅμοιον καὶ ἀνόμοιον,
καὶ ἔσται διὰ τοῦτο ταῦτα καὶ τῷ σχήματι καὶ τῷ χρώματι, ἀλλ' ὁμω-
νύμως. καὶ δῆλον ὅτι ἐπὶ μὲν σχήματος ἡ ὁμοιότης κατὰ τὸ ἔχειν τὰς 20
πλευρὰς ἀνάλογον καὶ τὰς γωνίας ἴσας, ἐπὶ δὲ χρώματος τὸ ὑπὸ τῆς
αὐτῆς αἰσθήσεως γινώσκεσθαι. κἂν κατὰ ἄλλα δὲ θείη τις τὴν ἐν σχήμασι
καὶ χρώμασιν ὁμοιότητα, τέως οὐδέποτε κατὰ τὸ αὐτὸ ἡ ὁμοιότης ἔσται

---

4 τοίνυν εἰ μὲν coll. Aa 8 δ' οὐ] δὲ Aa 13 δὲ] δὴ E 14 μὲν om. E
15 ὡς γένος ἔσται—ζῷον (17)] ὅμοίως ἕξει· εἰ δὲ ὁμωνύσθαι ὁμώνυμον. οἷον ἔστω πρόβλημα, διατί ὁ ἄνθρωπος ζῷον E 18 Α—Δ] ὡς τὸ πρῶτον πρὸς τὸ δεύτερον καὶ τὸ τρίτον πρὸς τὸ τέταρτον E 20 καὶ ἀριθμοῖς E 22 τῷ ante γένει om. Aa
25 τὸ ζῷον κατὰ τοῦ ἀνθρώπου coll. E 27 μέσον a 28 pr. ὑπάρχον] ὑπάρχει Aa 30 ὅμοιόν τε ἐν E γένη Aa 32 καὶ post ταῦτα om. E χρώματι καὶ τῷ σχήματι coll. E 32. 33 ὁμώνυμα E

ἐν σχήματί τε καὶ χρώματι, ὥστε ὄνομα μόνον ἔσται κοινὸν τῆς ὁμοιό- 116
τητος ἐν ἀμφοῖν, καὶ ὃ ἂν εἴποι τις μέσον τοῦ ὅμοιον εἶναι χρώματι
χρῶμα καὶ σχήματι σχῆμα, ὁμώνυμον ἔσται. καλῶς ἄρα εἴρηται ὅτι ὡς
ἔχει τὸ μεῖζον, ὁμοίως ἕξει καὶ τὸ μέσον· εἰ μὲν ὁμώνυμον, ὁμώνυμον
5 καὶ τὸ μέσον, εἰ δὲ γένος ἐκεῖνο, γένος ἔσται καὶ τὸ μέσον, καὶ εἰ ἴσον 25
ἐκεῖνο, καὶ τὸ μέσον ἴσον, ὅτε καὶ μέσον τὸ μέσον καὶ αἴτιον οὐ μόνον
τοῦ συμπεράσματος, ἀλλὰ δὴ καὶ τοῦ πράγματος.

p. 98ᵃ35 Περὶ δ' αἰτίου καὶ οὗ αἴτιον.

Ἀπορίαν τινὰ κινεῖ τοῖς περὶ τοῦ αἰτίου καὶ αἰτιατοῦ εἰρημένοις ἀκο-
10 λουθοῦσαν. φησὶ γὰρ ὅτι ἐπειδὴ ὁ μέσος αἴτιός ἐστι τοῦ πρώτου τῷ 30
ἐσχάτῳ, ἆρ' ὥσπερ ὄντος τοῦ αἰτίου ἐξ ἀνάγκης ἐστὶ τὸ αἰτιατόν, οὕτω
καὶ τοῦ αἰτιατοῦ ὄντος ἐξ ἀνάγκης ἔσται καὶ τὸ αἴτιον, ὡς ἀντακολουθεῖν
ἀλλήλοις ταῦτα; οἷον εἰ τὸ πλατέα ἔχειν φύλλα αἴτιον τοῦ φυλλορροεῖν
εἴπωμεν, ἆρα ὥσπερ ὄντος τοῦ πλατέα ἔχειν φύλλα ἐστὶ τὸ φυλλορροεῖν,
15 οὕτω καὶ ὄντος τοῦ φυλλορροεῖν ἔσται τὸ πλατέα ἔχειν φύλλα; καὶ ἐπὶ
τῆς σεληνιακῆς ἐκλείψεως, ἐπειδὴ αἴτιον ταύτης ἐστὶ τὸ τὴν γῆν ἐν μέσῳ
εἶναι τῆς σελήνης καὶ τοῦ ἡλίου, ἆρ' ὥσπερ ὄντος τοῦ ἐν μέσῳ εἶναι 35
τὴν γῆν ἔστιν ἡ ἔκλειψις, οὕτω καὶ οὔσης τῆς ἐκλείψεως ἔσται τὸ ἐν
μέσῳ εἶναι τὴν γῆν;

20 p. 98ᵇ1 Εἰ γὰρ μὴ ὑπάρχει, ἄλλο τι ἔσται τὸ αἴτιον αὐτῶν.

Ἑκατέρωθεν ὥσπερ τι ἄτοπον ἑπόμενον δείκνυσιν, εἴτε τις ἀλλήλοις 40
ἀκολουθεῖν ἐρεῖ εἴτε μὴ τὸ αἰτιατὸν καὶ τὸ αἴτιον. εἰ μὲν γὰρ μὴ ὥσπερ
ὄντος τοῦ αἰτίου ἔστι καὶ τὸ αἰτιατόν, οὕτως ὄντος τοῦ αἰτιατοῦ ἔστι καὶ
τὸ αἴτιον, οὐκ ἔσται ἁπλῶς αἴτιον τὸ αἴτιον, ἀλλ' ἔσται τι ἄλλο ἐνίοτε.
25 ἐπεὶ γὰρ αἰτιατὸν τὸ αἰτιατόν, ἄλλο τι ἕξει τὸ αἴτιον τότε, ὅτε ὄντος
αὐτοῦ μὴ ἔστι τὸ αἴτιον· τοῦτο δ' οὐκ ἐπιστήμη τὸ πῇ μὲν ἄλλο ἔχειν
τοῦ αὐτοῦ πῇ δὲ ἄλλο τὸ αἴτιον. εἰ δὲ ἅμα ὑπάρχει τὸ αἰτιατὸν καὶ τὸ
αἴτιον, ὡς ἐπὶ τοῦ πλατυφύλλου καὶ τοῦ φυλλορροεῖν, καὶ τοῦ ἐν μέσῳ 45
εἶναι τὴν γῆν καὶ τῆς ἐκλείψεως, εἰ οὕτως ἐστίν, ἅμα τε ἔσται καὶ δι'
30 ἀλλήλων δεικνύοιτο, καὶ κύκλῳ ἂν εἴη δεῖξις, ἀλλ' οὐκ ἀπόδειξις· ὡς
ἀλλήλων εἶναι ταῦτα αἰτιατά τε καὶ αἴτια.

p. 98ᵇ5 Ἔστω γὰρ τὸ φυλλορροεῖν ἐφ' οὗ Α.

Δείκνυσι τὸ εἰρημένον καὶ ἐπὶ παραδείγματος, μείζονα ὅρον τὸ φυλ- 50
λορροεῖν λαμβάνων, μέσον τὸ πλατύφυλλον, ἐλάττω τὴν ἄμπελον, ὡς εἶναι

---

2 ὃ] ὂν E 3 ὁμώνυμος E 4 ὁμώνυμον semel exh. E 12 ἔσται] ἔστι E
14 εἴπωμεν om. E φύλλα ἔχειν πλατέα coll. E 16 αἴτιον] ἐπὶ E
21 ἄτομον Aa 22 καὶ αἴτιον Aa 25. 26 τότε — αὐτοῦ] εἴπερ αὐτοῦ ὄντος E
26 et 27 ἄλλως E 33 ἐπὶ] διὰ E

αἴτιον τὸ πλατύφυλλον τοῦ φυλλορροεῖν τῇ ἀμπέλῳ· εἶτ' ἀντιστρέφει [καὶ] μέσον τιθεὶς τὸ φυλλορροεῖν, μεῖζον τὸ πλατύφυλλον, ἔσχατον ἄκρον τὴν ἄμπελον, ὡς γίνεσθαι αἴτιον τὸ φυλλορροεῖν τοῦ πλατυφύλλου τῇ ἀμπέλῳ. καὶ οὕτως ἀλλήλων αἴτια καὶ δι' | ἀλλήλων δεικνύμενα τὸ πλατύφυλλον, 117
5 καὶ τὸ φυλλορροεῖν. τὰ δὲ κατὰ μέρος σαφῆ.

p. 98b16 Εἰ δὲ μὴ ἐνδέχεται αἴτια εἶναι ἀλλήλων.

Ὡς μὲν οὖν εἴρηται, δι' ἀλλήλων ἂν δόξειε δείκνυσθαι καὶ ἀλλήλων εἶναι τὰ αὐτὰ αἰτιατά τε καὶ αἴτια. εἰ δὲ τοῦτο, φησί, μὴ ἐνδέχεται, ἵν' εἴη ταὐτὸ τοῦ αὐτοῦ αἰτιατόν τε καὶ αἴτιον· τὸ γὰρ αἴτιον πρότερον τοῦ 5
10 οὗ ἐστιν αἴτιον, εἰ καὶ μὴ τῷ χρόνῳ, ἀλλά γε τῇ ἐπινοίᾳ ἢ καὶ τῇ φύσει. προηγούμενον γὰρ ἐπινοεῖται τὸ ἐν μέσῳ εἶναι τὴν γῆν, ἑπομένη δὲ ἡ ἔκλειψίς ἐστι· καὶ τῇ φύσει πρότερον τὸ αἴτιον ἢ αἴτιον τοῦ οὗ ἐστιν αἴτιον, οὐδέποτε δ' ἄν τις ἐπινοήσαιτο ἀνάπαλιν, ἵνα προηγοῖτο μὲν ἡ ἔκλειψις, ἕποιτο δ' ἡ ἀντίφραξις. ταῦτα οὕτως εἰπών, πρὶν ἀποδοῦναι τὸν
15 εἰ σύνδεσμον, αὖθις ἐπήνεγκεν ἕτερον. 10

p. 98b19 Εἰ οὖν ἡ μὲν διὰ τοῦ αἰτίου ἀπόδειξις τοῦ διὰ τί.

Τοῦτο λύσις ἐστὶ τοῦ ἠπορημένου. εἰ μὲν γὰρ μὴ ἀπέδει κατὰ μέτρα τινὰ ἀποδείξεως ἡ ἑτέρα τῆς ἑτέρας ἀπόδειξις, τότ' ἂν ἦν ἄτοπον ὡς ὁμοίως ὄντων ἀμφοῖν αἰτίων ἀλλήλων καὶ πρώτων καὶ ὑστέρων· ἐπεὶ 15
20 δ' ἡ μὲν διὰ τοῦ αἰτίου κατὰ πρῶτα μέτρα καὶ κυρίως ἀπόδειξις, ἡ δὲ διὰ τοῦ αἰτιατοῦ κατὰ δεύτερα, κἀκείνη μὲν τοῦ διὰ τί, ἡ δὲ τοῦ ὅτι, κἀκεῖ μὲν τὸ αἴτιον οὐ τοῦ συμπεράσματος μόνον, ἀλλὰ δὴ καὶ τοῦ πράγματος, ἐνταῦθα δὲ μόνου τοῦ συμπεράσματος, ἄτοπον οὐδέν. οὐδὲ γὰρ διότι τὸ ἐκλείπειν, διὰ τοῦτο ἐν μέσῳ, ἀλλ' ὡς οὐκ ἂν ἐκλειποῦσης, εἰ μὴ
25 ἐν μέσῳ, διὰ τοῦτο διὰ τοῦ ἐκλείπειν τὸ ἐν μέσῳ εἶναι περαίνεται. κἀκεῖνο μὲν ἀπόδειξις κυρίως, ὅτι διὰ τοῦ αἰτίου, τοῦτο δὲ οὐ κυρίως, ἀλλ' ἢ τεκμηριώδης συλλογισμός. ὥστε ὁ διὰ τοῦ αἰτιατοῦ γινώσκων τὸ 20 αἴτιον οὐ διότι οἶδεν, ὅτι οὐ δι' αἰτίου οἶδεν, ἀλλ' ὅτι μόνον διὰ τοῦ ὑστέρου τὸ πρότερον τεκμαιρόμενος.

30 p. 98b21 Ὅτι δ' οὐ τὸ ἐκλείπειν αἴτιον.

Ὅτι, φησίν, οὐκ ἔστι τὸ ἐκλείπειν αἴτιον τοῦ ἐν μέσῳ, ἀλλὰ τοῦτο 25 ἐκείνου, δῆλόν ἐστιν ἐκ τοῦ τὸ μὲν ἐν μέσῳ εἶναι ἐν τῷ ὁρισμῷ τοῦ

---

1 καὶ delevi 8 αἰτιατά] αἴτια Aa 14 δ' οὕτως E post πρὶν add. ἢ E
15 ἕτερα E 16 ἀπόδοσις E 17 ἀπέδειξεν E 19 ἀλλήλων αἰτίων coll. E
21 pr. διὰ om. E 22 μόνον om. Aa 25 εἶναι om. E 26 κἀκείνη E
ὅταν Aa 27 ἐκμηριώδης Aa 32 ἐκείνου] τοῦ ἐκλείπειν, φανερόν· ἐν γὰρ τῷ λόγῳ τῷ τοῦ ἐκλείπειν ὑπάρχει τὸ ἐν μέσῳ· τουτέστι (v. Arist. p. 98b22. 23) εἶναι om. E

ἐκλείπειν παραλαμβάνεσθαι, ἐκεῖνο δὲ ἐν τῷ τούτου οὐχί. ἔκλειψις γὰρ 117
σελήνης ἐστὶ φωτὸς στέρησις διὰ γῆς ἀντίφραξιν, ταὐτὸν δὲ εἰπεῖν διὰ τὸ
ἐν μέσῳ τὴν γῆν εἶναι αὐτῆς καὶ τοῦ ἡλίου. ἐπεὶ οὖν ὁ ὁρισμὸς λόγος
ἐστὶ δηλωτικὸς τῆς τοῦ ὁριστοῦ φύσεως, διὰ τοῦ ἐν μέσῳ ἡ ἔκλειψις
5 γνωρίζεται, διὰ δὲ ἐκείνης τὸ ἐν μέσῳ οὐχί. εἰ δὲ καὶ γνῶναι συμβαίη
διὰ τοῦ ὑστέρου τὸ πρότερον, οὐκ ἐπιστημονικῶς ἔσται τοῦτο, ἀλλὰ 30
τεκμηριωδῶς.

p. 98b25 Ἢ ἐνδέχεται ἑνὸς πλείω αἴτια εἶναι.

Μήποτε, φησίν, ἔστι καὶ ἄλλως ἀπαντῆσαι πρὸς τὴν εἰρημένην ἀπο-
10 ρίαν. εἰ γάρ ἐστί τι πλειόνων μὲν ἢ ἑνὸς πρώτως, τουτέστιν ἀμέσως 35
κατηγορούμενον, κατὰ πλειόνων δὲ ἢ ἑνὸς διὰ μέσων ἐκείνων συναγόμενον,
ἕξει μὲν αἴτιον ἀεὶ καὶ μέσον ἓν ὧν πρώτως κατηγορεῖται, δι' οὗ μέσου
κατά τινος τῶν δευτέρων συναχθήσεται, οὐ μὴν ἀεὶ τὸ αὐτό, ἀλλὰ πῇ
μὲν τοῦτο πῇ δ' ἐκεῖνο· ἀλλ' αἰτίου μὲν ὄντος ἔσται τὸ αἰτιατόν, τοῦ δὲ
15 αἰτιατοῦ ὄντος οὐκ ἔσται πᾶν ἐξ ἀνάγκης τὸ αἴτιον, ἀλλ' ἔσται μέν, οὐ
μὴν δὲ πᾶν. οἷον ἔστω ζῷον ἐφ' οὗ Α, ὧν δὲ πρώτων κατηγορεῖται ἐφ'
ὧν ΒΓ, ἤτοι τὸ λογικὸν καὶ τὸ ἄλογον, καὶ ταῦθ' ὑπάρχοντα τοῖς ΔΕ,
ἤτοι ἀνθρώπῳ καὶ ἵππῳ. τοίνυν τῷ μὲν Δ τῷ ἀνθρώπῳ αἴτιον ἔσται
τοῦ Α τοῦ ζῴου τὸ λογικόν, τῷ δὲ Ε τῷ ἵππῳ τὸ ἄλογον.

20 p. 98b29 Ὥστε τοῦ μὲν αἰτίου ὑπάρχοντος.

Ὥστε, φησίν, εἰ οὕτως ἔχον ληφθείη πρῶτον πρὸς μέσον καὶ ἔσχατον,
ὄντος μὲν τῶν μέσων τινὸς ἔσται καὶ αὐτὸ ἐξ ἀνάγκης, ὥσπερ ὄντος τοῦ 45
λογικοῦ ζῴου ἔσται καὶ τὸ ζῷον ἁπλῶς, καὶ τοῦ ἀλόγου ὁμοίως· ὄντος
δὲ αἰτιατοῦ πράγματος οἷον τοῦ ζῴου, οὐκ ἀνάγκη καὶ πᾶν εἶναι τὸ μέσον
25 καὶ αἴτιον, ἀλλ' ἔσται μέν τι αἴτιον ἐξ ἀνάγκης, οὐ μέντοι πᾶν ἐξ ἀνάγκης.
καὶ ἕξει ταύτην διαφορὰν ἡ ἀντακολούθησις, ὡς τοῦ μὲν αἰτίου καὶ ἐν
μέσῳ ὄντος εἶναι ἐξ ἀνάγκης ἁπλῶς τὸ αἰτιατόν, τοῦ δὲ αἰτιατοῦ ὄντος
οὐκ ἐξ ἀνάγκης ἁπλῶς τὸ αἴτιον, ἀλλ' ἐνδέχεσθαι καὶ ἐν μέρει εἶναι.

p. 98b32 Ἢ εἰ ἀεὶ καθόλου τὸ πρόβλημά ἐστιν. 50

30 Οὐ κατ' ἐπιστήμην, φησίν, ἡ δευτέρα ἀπάντησις· καθόλου γὰρ ἀεὶ τὸ
ἀποδεικτόν ἐστι πρόβλημα, καὶ οὐ ποτὲ | μὲν κατὰ τοῦδε ποτὲ δὲ κατὰ 118
τοῦδε τῶν ὑπ' αὐτὸ ἐν τοῖς κατὰ τὰς ἐπιστήμας προβλήμασι τὸ μεῖζον
ἄκρον παραλαμβάνεται, ἀλλὰ κατὰ πάντων ἁπλῶς. οἷον εἰ τὸ φυλλορροεῖν

---

3. 4 δηλωτικὸς λόγος ἐστί coll. E 5 συμβαίνει E 9 καὶ ἄλλως ἐστὶν E
12 ἑνὶ Aa πρῶτον E 17 ΒΓ] ΓΕ Aa 25 οὐ μέντοι—ἁπλῶς τὸ
αἰτιατόν (27)] ἁπλῶς δὲ τὸ αἴτιον οὔ E 27 δὴ E 28 εἶναι om. E
30 οὐκ ἐπιστήμην Aa ἀπάντησιν a 33 ἀλλὰ—παραλαμβάνεται (240,2) om. E

εἴη τὸ μεῖζον, οὐ ποτὲ μὲν κατὰ τοῦδε τῶν φυλλορροεῖν πεφυκότων 118
δένδρων, ποτὲ δὲ κατὰ τοῦδε παραλαμβάνεται, ἀλλ' ἁπλῶς κατὰ παντὸς
τοῦ τοιοῦδε δένδρου. κἂν εἴδη δὲ ᾗ τοῦ τοιοῦδε δένδρου διάφορα, καὶ
κατὰ τούτων καθόλου λαμβάνεται, ἢ καθὸ δένδρον, εἰ ἐπὶ πάντων δένδρων 5
5 ὑπάρχει, ἢ καθὸ τοιάδε δένδρα, εἰ μὴ ἐπὶ πάντων ἀλλ' ἐπὶ τῶν τοιῶνδε,
οἷον τῶν πλατυφύλλων· ὥστε καὶ τὸ αἴτιον οὐκ ἐν μέρει ληφθήσεται, ἀλλὰ
καθόλου καὶ ὡς πᾶσιν ἁρμόσει καθ' ὧν τὸ μεῖζον καὶ αἰτιατὸν διὰ μέσου
αὐτοῦ περαίνεται. ἴσον ἄρα ἔσται τὸ μέσον καὶ αἴτιον τῷ αἰτιατῷ τε καὶ
μείζονι, ὡς ἀντιστρέφειν πρὸς αὐτό· ἄλλως γὰρ οὐχ ὑπάρξει πᾶσι τοῖς ὑπ'
10 αὐτὸ οὐδ' ἔσται καθόλου οὐδ' ἐπιστημονικῶς αἴτιον. 10

p. 98b36 Οἷον διὰ τί τὰ δένδρα φυλλορροεῖ.

Παράδειγμα τίθησιν τοῦ ἐξισάζειν καὶ ἀντιστρέφειν πρὸς ἄλληλα τὸ
αἰτιατὸν καὶ τὸ αἴτιον· εἰ γὰρ τοῦ φυλλορροεῖν τὰ δένδρα, φησίν, αἰτία
ἀποδίδοται ἡ πῆξις τοῦ ἐν αὐτοῖς ὑγροῦ, ἀναγκαῖόν ἐστιν ὑπάρχοντος
15 θατέρου ὑπάρχειν καὶ θάτερον, καὶ θατέρου θάτερον, τοῦ φυλλορροεῖν
δένδρον τὴν πῆξιν καὶ τῆς πήξεως τὸ φυλλορροεῖν. τὸ δὲ μὴ ὁτῳοῦν 15
ἀλλὰ δένδρῳ εἴρηκε διὰ τὴν ἀκρίβειαν· οὐ γὰρ τῷ τυχόντι ὑπαρχούσης
πήξεως τὸ φυλλορροεῖν ὑπάρχει, ἀλλὰ τῷ δένδρῳ, καὶ τούτῳ οὐ τῷ
τυχόντι, ὥσπερ καὶ μὴ ὑπάρχοντος θατέρου ὁτῳοῦν, οὐδὲ θάτερον. καὶ
20 τῶν δένδρων γὰρ οἷς οὐχ ὑπάρχει πῆξις τοῦ ὑγροῦ, οὐδὲ τὸ φυλλορροεῖν,
καὶ οἷς οὐχὶ τὸ φυλλορροεῖν, οὐδὲ πῆξις. ἐλαίᾳ γὰρ καὶ δάφνῃ καὶ τοῖς
τοιούτοις ἐπεὶ μὴ θάτερον, οὐδὲ θάτερον, καὶ ἀνάπαλιν· τὸ γὰρ ἐν τούτοις
ὑγρὸν ἐπεὶ διὰ τὸ λιπῶδες εἶναι οὐ τελέως πήγνυται, οὐδὲ φυλλορροοῦσι, 20
καὶ ἐπεὶ μὴ τοῦτο, οὐδ' ἐκεῖνο· πλὴν ἐκεῖνο μὲν ὡς ἡγούμενόν τε καὶ
25 αἴτιον, τοῦτο δὲ ὡς αἰτιατὸν καὶ ἑπόμενον. καὶ ἀπ' ἐκείνου μὲν ὁ λόγος
ἀπόδειξις, ἀπὸ δὲ τούτου τεκμηριώδης συλλογισμὸς καὶ οὐ πρώτως ἀλλὰ
δευτέρως ἀπόδειξις. καλῶς ἄρα ἔχει ἡ προτέρα ἀπάντησις.

p. 99a1 Πότερον δὲ ἐνδέχεται μὴ τὸ αὐτό.

Ἐπειδὴ ἐναργῶς ἐν τοῖς πράγμασι φαίνεται, καθὰ πρότερον εἴρηται, 25
30 τὸ αὐτὸ διὰ μέσου ἄλλου καὶ ἄλλου κατὰ ἄλλου συναγόμενον, αὐτὸ τοῦτο
νῦν ζητεῖ εἰ ἐνδέχεται ἐν ταῖς ἐπιστήμαις γίνεσθαι, τουτέστι κατὰ τὸν
ἀκριβῆ λόγον προβαίνει τῆς ἀποδείξεως τὸ τοιοῦτον. πότερον οὖν, φησίν,
ἐνδέχεται μὴ τὸ αὐτὸ ἀλλὰ καὶ ἄλλο μέσον αἴτιον εἶναι τοῦ αὐτοῦ αἰτιατοῦ τε καὶ μείζονος τοῖς ὑπὸ τὸ μεῖζον πᾶσιν, ἀλλ' ἕτερον μὲν τούτῳ,
35 ἕτερον δ' ἑτέρῳ, ὡς ἐπὶ τοῦ ζῴου ἐλέγετο πῇ μὲν διὰ μέσου τοῦ λογικοῦ 30

3 δὲ om. Aa 5 ἀλλ' ἐπὶ] ἀλλ' ἢ E 8 αὐτοῦ περαίνεται om. Aa
τε om. E 13 αἰτία] αἴτιον E 16 δένδρα E 21 οὐχὶ] οὐδὲ E
τῇ γὰρ ἐλαίᾳ E 25 ἐπ' ἐκείνου E 30 κατὰ ἄλλου om. E 31 ζητεῖ
νῦν coll. Aa 32 ἀκριβεῖ a 34 πᾶσιν post μείζονος transp. Aa

κατὰ τοῦ ἀνθρώπου περαινομένου, πῇ δὲ διὰ μέσου τοῦ ἀλόγου κατὰ τοῦ 118
ἵππου ἢ κυνὸς ἤ τινος ἄλλου τῶν τοιούτων, ἢ οὔ; ὅτι μὲν οὖν τοῦτο
ἐνδέχεται γίνεσθαι κατὰ τὸν ἁπλῶς συλλογισμόν, εἴρηται καὶ ἀληθές
ἐστιν· ὅτι δὲ οὐκ ἔστι κατὰ τὸν ἀκριβῆ λόγον τῆς ἀποδείξεως, δεί-
5 κνυσι νῦν.

p. 99a 2 Ἢ εἰ μὲν καθ' αὑτὸ ἀποδέδεικται.

Ἀπορρίνεται πρὸς τὴν πεῦσιν ὡς εἰ μὲν κατὰ τὸν ἀκριβῆ λόγον προβέβηκεν ἡ ἀπόδειξις, ἀλλ' οὐ τεκμηριώδης τις συλλογισμὸς γέγονεν ἐκ τῶν ὑστέρων δεικνύων τὸ πρότερον, ἢ συμβεβηκός τι μέσον παρείληπται, οὐχ
10 οἷόν τε τοῦτο γενέσθαι, ἵνα πολλοί τε ὦσι μέσοι καὶ πολλὰ συμπεράσματα συνάγωνται κατὰ διαφόρων ἐλαττόνων περαινομένου τοῦ μείζονος, ἀλλ' εἷς τε ἐξ ἀνάγκης ὁ μέσος καὶ εἷς ὁ ἐλάττων ὥσπερ ὁ μείζων, καὶ ἓν ἀεὶ 40
τὸ συναγόμενον συμπέρασμα. τούτου δὲ αἴτιον ὅτι τὸ μέσον λόγος ἐστὶ τοῦ ἄκρου, ὁ δὲ λόγος ἑκάστου εἷς ἐστι καὶ ὁ αὐτός. εἰ δὲ μὴ καθ' αὑτὸ
15 ἡ ἀπόδειξις γέγονεν, ἀλλὰ κατὰ σημεῖον ἢ συμβεβηκός, ἐνδέχεται καὶ διαφόρους μέσους λαβεῖν καὶ διαφόρους ἐλάττονας, κἀντεῦθεν συναγαγεῖν καὶ διάφορα συμπεράσματα. κατὰ σημεῖον μέν, εἴ τις πῦρ ὑπάρξαι τεκμήραιτο, ὅτι τέφρα, ἢ ὑπάρχειν, ὅτι καπνός. τά τε γὰρ μέσα διάφορα, τέφρα τε
καὶ καπνός, καὶ τὸ συναγόμενον διαφόρως συνάγεται· τὸ μὲν γὰρ ὑπάρξαι 45
20 τὸ δ' ὑπάρχειν. κατὰ συμβεβηκὸς δὲ ὡς εἰ διὰ μὲν τοῦ πλατυωνύχου κατὰ τοῦ ἀνθρώπου τὸ ζῷον, διὰ δὲ τοῦ μονωνύχου κατὰ τοῦ ἵππου συνάξομεν, ἢ διὰ τοῦ γελαστικοῦ κατὰ τοῦ ἀνθρώπου, διὰ δὲ τοῦ χρεμετιστικοῦ κατὰ τοῦ ἵππου. ἀλλὰ πῶς διὰ τοῦ λογικοῦ καὶ ἀλόγου κατὰ διαφόρων τὸ ζῷον συνάγεται; ἢ οὐδὲ ταῦτα οὐσία τῷ ζῴῳ ἁπλῶς, ἀλλὰ τοῖς ὑπ' αὐτὰ
25 ἐν τοῖς λόγοις αὐτῶν λαμβανόμενα· τῷ δ' ἁπλῶς ζῴῳ τὸ λογικὸν ζῷον εἰ 50
καθ' αὑτό τις ἐρεῖ, ἀλλ' οὐ κατὰ τὸν πρῶτον τρόπον τοῦ καθ' αὑτό, ἀλλὰ κατὰ τὸν δεύτερον ὡς γρυπότης καὶ σιμότης ἐν ῥινὶ καὶ ὡς ἐν ἀριθμῷ τὸ περιττὸν καὶ τὸ ἄρτιον· ὡς ἐνδέχεσθαι τῷ ζῴῳ τούτων ἑκάτερον καὶ ὑπάρχειν καὶ μὴ ὑπάρχειν, ὃ περὶ τοῦ συμβεβηκότος λεγόμενον ἀπο-
30 δέδοται. ὥστ' οὐδ' ἀπόδειξις, ἐν ᾗ μέσον τοιοῦτον παραλαμβάνεται.

p. 99a 4 Ἔστι δὲ καὶ οὗ αἴτιον καὶ ᾧ σκοπεῖν. |

Εἰ καὶ ἐπὶ τῶν ἀποδεικτικῶν, φησί, προβλημάτων καθ' αὑτό τε ὁ 119
μείζων τῷ ἐλάττονι ὑπάρχει καὶ ὁ μέσος λόγος τοῦ μείζονος, ἀλλ' ἔστι τινὰ προβλήματα, ἐν οἷς ἔστι κατανοεῖν καὶ τὸ οὗ αἴτιον τὸ μέσον, τουτέστι
35 τὸ μεῖζον ἄκρον, καὶ τὸ ᾧ αἴτιον τὸ μέσον ἐστὶ τοῦ μείζονος, τουτέστι τὸ ἔλαττον, κατὰ συμβεβηκὸς ἀλλήλοις συνόντα· ἀλλ' οὐ δοκεῖ τὰ τοιαῦτα προ- 5

---

2 τοιοῦτον a ὅτι] ὅταν Aa 7 ὡς ἡ μὲν a 11 συνάγοντες E
12 τε om. E 13 τὸ μέσων E 14 καὶ ἑαυτός a 20 εἰ om. E
24. 25 ἁπλῶς—ζῴῳ om. Aa 27 ἐν utrobique om. Aa

βλήματα εἶναι. εἰ δὲ μὴ οὐ δοκεῖ, ταὐτὸν δὲ εἰπεῖν εἰ δὲ δοκεῖ, ὁμοίως 119
ἕξει καὶ ὁ μέσος ὡς ἔχει ὁ μείζων πρὸς τὸν ἐλάττονα· εἰ μὲν ὡς γένος
ὢν τοῦ ἐλάττονος οὕτως οὐκ ἔστι καθ' αὑτό, καὶ ὁ μέσος ὡς γένος ἔσται,
εἰ δ' ὡς ὁμώνυμος φωνή, καὶ ὁ μέσος ὡσαύτως. ἀλλὰ ῥητέον ἔτι σαφέ-
5 στερον· ὅταν ἐρωτωμένου τοῦ διὰ τί μὴ τὸ κυρίως αἴτιον ἀποδοίη τις,
ἀλλά τι τῶν κατὰ συμβεβηκός, οὐ δοκεῖ τὰ τοιαῦτα προβλήματα εἶναι ἀπο-
δεικτά· τότε γὰρ ἀποδεικτὸν τὸ πρόβλημα γίνεται, ὅταν ὁ λόγος τοῦ μεί- 10
ζονος μέσος παραλαμβάνηται. κατὰ συμβεβηκὸς δὲ τὰ τοιαῦτα λέγει, ὡς
μὴ καθ' αὑτὸ τῆς αἰτίας ἀποδιδομένης, οἷον εἴ τις φαίη διὰ τί ἡ σελήνη
10 ἐκλείπει; ὅτι ἄσκιος ἐν πανσελήνῳ ἐστί. τοῦτο γὰρ οὐ λόγος τοῦ ἐκλείπειν
ἐστίν, ἀλλά τι συμβεβηκός, οὐδὲ αἴτιον ἀλλὰ σημεῖόν τι καὶ παρακολούθημα.
ἢ ὅτι διὰ τί ἡ πλάτανος φυλλορροεῖ; ὅτι λευκή ἐστιν. οὐ γὰρ τὸ λευκὸν
λόγος ἐστὶ τοῦ φυλλορροεῖν οὐδέ τι τῶν τοιούτων οὐδέν. εἰ δὲ καὶ δόξει,
φησί, τὰ τοιαῦτα εἶναι προβλήματα, ὁμοίως ἕξει τὸ μέσον τοῖς ἄκροις· εἰ 15
15 μὲν ὁμώνυμα, τουτέστι καθ' ὁμωνυμίαν ἀλλήλοις συνόντα, ὁμώνυμον καὶ
τὸ μέσον· εἰ δ' ὡς γένη, τουτέστι κατὰ γενικὴν σχέσιν κοινωνοῦντα, γένος
ἔσται καὶ τὸ μέσον τοῦ ἐλάττονος. οὐ γὰρ ἔσται πάντως ἄμφω γένη πρὸς
ἄλληλα τὸ μεῖζον καὶ τοὔλαττον. τοῦτο δὲ λέγει ὡς πρὸς τὸ εἰρημένον τὸν
λόγον ἀποτεινόμενος, ἐν ᾧ ἔλεγε διαφόρους εἶναι μέσους ἄλλῳ καὶ ἄλλῳ
20 ἐλάττονι τὸν αὐτὸν συνάγοντας μείζονα.

p. 99a8 Οἷον διὰ τί καὶ ἐναλλὰξ ἀνάλογα; 20

Τοῦτο τοῦ ὡς γένος ἐστὶ παράδειγμα· γενικῶς γὰρ ἐν διαφόροις κατ'
εἶδός ἐστι θεωρούμενον ἔν τε γραμμαῖς καὶ ἐν ἀριθμοῖς τὸ ἐὰν τέσσαρ' ἄττα
ἀνάλογον ᾖ, πρῶτον πρὸς δεύτερον καὶ τρίτον πρὸς τέταρτον, καὶ ἐναλλὰξ
25 ἀνάλογον ὡς πρῶτον πρὸς τρίτον, οὕτω δεύτερον πρὸς τέταρτον. τοίνυν τὸ
ἐναλλὰξ ἀνάλογον τὸ μεῖζόν ἐστι, τὸ δὲ ἔλαττον γραμμαὶ ἢ ἀριθμοί, τὸ 25
δὲ μέσον δεῖ εὑρεῖν. ἔστι δὲ τὸ ἰσάκις πολλαπλάσιον. ὡς οὖν τὸ ἐναλλὰξ
ἀνάλογον γένος ἦν διαφόροις κατ' εἶδος ὑπάρχον γραμμαῖς τε καὶ ἀριθμοῖς,
οὕτω καὶ τὸ ἰσάκις πολλαπλάσιον. τοῦτο τοιγαροῦν ἄλλο τέ ἐστι καὶ τὸ
30 αὐτό, ᾗ μὲν γραμμαὶ καὶ ἀριθμοί, ἄλλο καὶ ἄλλο, ᾗ δὲ ἰσάκις πολλαπλάσιον,
τὸ αὐτό. τοῦτο γάρ ἐστι τὸ ᾗ δ' ἔχον αὔξησιν τοιανδί, τουτέστιν ᾗ
οὕτως ὑπερέχον, ἤγουν ἰσάκις· ποιότης γὰρ ὑπεροχῆς ἐστι τὸ ἰσάκις πολλα- 30
πλασιάζεσθαι. ἔστι γὰρ καὶ ἀνισάκις τὰς ὑπεροχὰς γίνεσθαι· τὸ δὲ ἰσάκις
ἐστίν, ὅταν αἱ ὑπεροχαὶ τῶν προλόγων πρὸς τοὺς ὑπολόγους κατὰ τὸν αὐτὸν
35 λόγον γίνωνται, ὥσπερ ὁ $\bar{\eta}$ πρὸς τὸν δ καὶ ὁ ιβ πρὸς τὸν $\bar{\varsigma}$, καὶ ἐναλλὰξ
ὡς ὁ $\bar{\eta}$ πρὸς τὸν ιβ, οὕτως ὁ δ πρὸς τὸν $\bar{\varsigma}$· ἡμιόλιος γὰρ ὁ λόγος ἐν

---

1 οὐ om. a 3 γένος ἐστίν Aa 4 δ' ὡς] δ' ἡ A: δ' ὁ a 7 ἀποδεικτικὸν E
τὸ om. E 8 λέγεται τὰ τοιαῦτα E 13 καὶ om. E 15 ὁμώνυμα scripsi:
ὁμώνυμον libri 16 ὡς γένος Aa 17 καὶ τὸ μεῖζον E 19 ἀποτεινάμενος Aa
διάφορα εἶναι μέσα E καὶ ἄλλῳ om. Aa 23 τέσσαρ' ἄττα] τέσσαρα E
35 τὰ $\bar{\delta}$ a ιβ] $\overline{\iota\eta}$ utrobique Aa

ἀμφοτέροις, ὡς ὁ πρότερος διπλάσιος. ἐναλλὰξ δὲ λόγος ἐστὶ λόγος τοῦ 119
ἡγουμένου ὡς ἡγουμένου πρὸς τὸν ἡγούμενον ὡς ἑπόμενον, καὶ τοῦ ἑπο-
μένου ὡς ἡγουμένου πρὸς τὸ ἑπόμενον ὡς ἑπόμενον. διὰ τί ἐὰν ἀριθμοὶ 35
τέσσαρες ἀνάλογον ὦσι, καὶ ἐναλλὰξ ἀνάλογόν εἰσι; διότι ἰσάκις εἰσὶ πολλα-
5 πλάσιοι ὁ Α πρὸς τὸν Β καὶ ὁ Γ πρὸς τὸν Δ, ἢ ἰσάκις ἐπιμόριοι ἤ τινα
ἄλλον λόγον. διότι γὰρ ἰσάκις εἰσὶν ὑπερέχοντες τῶν ὑπολόγων οἱ πρόλογοι,
διὰ τοῦτο καὶ ἐναλλὰξ ἀνάλογόν εἰσιν. ἔστι τοίνυν καὶ τὸ μέσον ὡς γένος·
τὸ γὰρ ἰσάκις πολλαπλάσιον ἐπί τε ἀριθμῶν καὶ μεγεθῶν ἐστιν, ἃ ὁμογενῆ
ὄντα κατ' εἶδος ἀλλήλων διενήνοχεν. οὕτω καὶ ἐφ' ὧν ἐλέγομεν πρότερον
10 τὸ λογικὸν ζῷον καὶ τὸ ἄλογον ζῷον, δι' ὧν μέσων τὸ ἁπλῶς ζῷον κατὰ 40
τοῦ ἀνθρώπου καὶ κατὰ τοῦ ἵππου συνήγετο. τὸ γὰρ λογικὸν ζῷον γένος
τοῦ ἀνθρώπου, ἐπεὶ καὶ τὸ μεῖζον ὅπερ ἦν τὸ ζῷον, καὶ τὸ ἄλογον τοῦ
ἵππου ὡσαύτως. τὸ δὲ οὕτως ἐπὶ πάντων τοῦτο δηλοῖ ὅτι ὥσπερ ἐπὶ
τούτων γένους ὄντος τοῦ μείζονος γένος καὶ τὸ μέσον ἐστίν, οὕτως ἐπὶ
15 πάντων.

p. 99a 11 Τοῦ δ' ὅμοιον εἶναι χρῶμα χρώματι.

Σαφηνίσας ἤδη διὰ τοῦ παραδείγματος τὸ εἰ ὡς γένος τὸ μεῖζον, καὶ
τὸ μέσον ὡς γένος ὑπάρχει, ποιεῖ τὸ αὐτὸ καὶ ἐπὶ τοῦ εἰ ὁμώνυμον τὸ
μεῖζον, καὶ τὸ μέσον ὁμοίως. καὶ ἔστι τοῦτο τὸ ὅμοιον· τὸ γὰρ ὅμοιον
20 καὶ ἐν σχήμασιν ὑπάρχει καὶ ἐν χρώμασιν, ἀλλ' οὐχ ἕξει λόγον ἕνα τὸ
ὅμοιον, ὃς ἐν ἀμφοτέροις ἁρμόσει τοῖς γένεσιν, ὡς ἐκεῖ τὸ ἐναλλὰξ ἀνά- 50
λογον. ὁ γὰρ λόγος τούτου ὁ αὐτός, κἂν ἐπὶ μεγεθῶν ληφθῇ κἂν ἐπ'
ἀριθμῶν κἂν ἐπ' ἄλλων ὡντινωνοῦν, τοῦ δὲ ὁμοίου οὐχί· ἄλλο γὰρ ὅμοιον
τὸ ἐν σχήμασι καὶ ἄλλο τὸ ἐν χρώμασι. διὰ τοῦτο καὶ οὗτός φησιν ὅτι
25 τοῦ δὲ λέγεσθαι ὅμοιον εἶναι χρῶμα χρώματι καὶ σχῆμα σχήματι ἄλλο
ἐστὶ καὶ ἄλλο σημαινόμενον ἐν ἄλλῳ καὶ ἄλλῳ ὑποκειμένῳ· ἄλλο γὰρ ἐν
τῷ γένει τοῦ | σχήματος σημαινόμενον τοῦ ὁμοίου, καὶ ἄλλο ἐν τῷ γένει 120
τοῦ χρώματος, καὶ οὐκ ἔστι τὸν αὐτὸν ἀποδοῦναι λόγον, ὃς ἐφαρμόσει ἐν
ἀμφοτέροις τοῖς ὁμοίοις, ὥστε ὁμώνυμον ἐπὶ τούτων τὸ ὅμοιον. ἐπὶ μὲν
30 γὰρ τῶν σχημάτων ἡ ὁμοιότης ἐστίν, ὅταν ἀνάλογον ᾖ τῶν πλευρῶν πρὸς
ἀλλήλας καὶ τῶν γωνιῶν ἰσότης τοῦδε τοῦ σχήματος πρὸς τόδε· ἐπὶ δὲ
τῶν χρωμάτων ὁμοιότης ἐστὶ τὸ ὑπὸ μιᾶς αἰσθήσεως κρίνεσθαι. προσ- 5
έθηκε δὲ ἐκεῖ μὲν τὸ ἴσως, ἐνταῦθα δὲ τὸ ἤ τι ἄλλο, ὅτι οὐ προέκειτο
νῦν περὶ τούτων ἀκριβολογεῖσθαι. ἐπεὶ οὖν τὸ μεῖζον ἐν τούτῳ ὁμώνυμον,
35 εἴ τις ἐρωτώμενος διὰ τί ὅμοιον χρῶμα χρώματι καὶ σχῆμα σχήματι
ἀποκρίνοιτο, ἢ οὐχ ἕξει λόγον ὃν ὡς μέσον καὶ αἴτιον ἀποδώσει, ἢ εἰ

---

1 ὁ πρότερος] τρόπος a: ὁ om. A δὲ] γὰρ Aa 4 ἀνάλογόν ἐστι Aa
7 ἀνάλογόν ἐστιν Aa 11 κατὰ om. E 18 μέσον] μεῖζον Aa καὶ om. Aa
20 σχήμασιν scripsi: σχήματι libri ὑπάρχει] τυγχάνει E 24 ὅτι om. E
25 καὶ σχῆμα σχήματι om. E 29 ἐπὶ τούτοις E 30 ᾖ] εἴη Aa
36 ἀποκρίνοι τὸ a εἰ om. Ea

ἕξει, ὁμώνυμος ἔσται φωνὴ τὸ ἀποδιδόμενον. ὡς εἶναι ἔνθα μὲν γένος τὸ 120
μεῖζον, τὸ μέσον οὐχ ἕν τε καὶ ἕν, οὐχ ἓν μὲν τῷ εἴδει, ἓν δὲ αὖθις τῷ
γένει, ἔνθα δὲ ὁμώνυμον τὸ μεῖζον, πάντως οὐχ ἓν τὸ μέσον.

p. 99ᵃ15 Τὰ δὲ κατὰ ἀναλογίαν τὰ αὐτά. 10

Τῶν κατηγορουμένων τινά ἐστι κατὰ ἀναλογίαν τοῖς ὑποκειμένοις
ὑπάρχοντα, ὥσπερ ἀνθρώπῳ καὶ ἵππῳ καὶ ἰχθύϊ καὶ σηπίᾳ τὸ μὴ λυγίζε-
σθαι. τὰ δὴ τοιαῦτα κατὰ ἀναλογίαν ἕξει καὶ τὸ μέσον. καθόλου μὲν
οὖν λαμβανόμενα καὶ καθόλου ἕξει τοῦ μέσου τὴν ἀπόδοσιν, κατὰ μέρος
δὲ καὶ τὸ μέσον ἕξει κατὰ μέρος. οἷον διὰ τί τὰ μὴ λυγιζόμενα τῶν
ζῴων οὐ λυγίζεται; διότι ἐρείσματα ἔχει. κατὰ μέρος δὲ διὰ τί ἄνθρωπος 15
καὶ ἵππος καὶ τὰ τοιαῦτα οὐ λυγίζεται; διότι ὀστᾶ ἔχει. διὰ τί ἰχθύς; διότι
ἄκανθαν ἔχει. διὰ τί σηπία; διότι σηπίον ἔχει. ταῦτα δὲ πάντα ἀνάλογον.
τὸ αὐτὸ γὰρ ἐν πᾶσιν τὸ μὴ λυγίζεσθαι οὐ γένει οὐδ' εἴδει, ἀλλὰ κατὰ
ἀναλογίαν· καὶ τὸ αἴτιον τούτου ἀνάλογον. ὅλως τοίνυν τὸ μεῖζον ἢ καθ'
αὑτὸ ὑπάρχει τῷ ἐλάττονι ἢ κατὰ συμβεβηκός, καὶ εἰ καθ' αὑτό, ἢ προσ-
εχὲς ἢ πόρρω· καὶ τὸ κατὰ συμβεβηκὸς ἢ κατὰ πάθος ἢ κατὰ ἀναλογίαν.
εἰ μὲν οὖν καθ' αὑτὸ καὶ προσεχῶς, καὶ τὸ μέσον ἕξει τοιοῦτον, λόγον ὂν 20
τοῦ μείζονος καὶ ἀντιστρέφον πρὸς αὐτό, καὶ οὐδέποτε ἄλλο καὶ ἄλλο, ἀλλ'
ἀεὶ τὸ αὐτό. διὰ τί ἡ σελήνη ἐκλείπει; ὅτι ἡ γῆ ἐν μέσῳ· οὐδέποτε γὰρ
ἄλλο ἔσται τὸ αἴτιον. τὸ γὰρ εἶναι τὴν σελήνην ἐν μέσῳ οὐ τῆς αὐτῆς αἴτιον
ἐκλείψεως, ἀλλ' ἑτέρας. καὶ ἔσται ἴσως τοῦτο τοῦ ὁμωνύμου παράδειγμα·
ὁμωνύμως γὰρ ἡ ἔκλειψις καὶ ἐν ἡλίῳ καὶ ἐν σελήνῃ. διὸ καὶ τὸ μέσον
τούτοις ὁμώνυμον ἡ ἀντίφραξις· ἄλλος γὰρ ἔσται λόγος σελήνης ἐκλείψεως
καὶ ἄλλος ἡλίου. ἐκεῖ μὲν γὰρ τὸ γῆν ἐν μέσῳ γίνεσθαι αὐτῆς τε καὶ 25
ἡλίου, ἐνταῦθα δὲ τὸ σελήνην μέσην γίνεσθαι ἡλίου τε καὶ τῶν ἡμετέρων
ὄψεων. εἰ δὲ καθ' αὑτὸ μὲν τὸ μεῖζον τῷ ἐλάττονι, οὐ προσεχὲς δέ,
ἐνδέχεται πλείω εἶναι τὰ μέσα, ὥσπερ τὸ ζῷον οὐ προσεχὲς ὂν ἀνθρώπῳ
καὶ ἵππῳ τὸ λογικὸν ἕξει αἴτιον καὶ τὸ ἄλογον. ὁμοίως δὲ καὶ εἰ κατὰ
συμβεβηκός. διὰ τί βοῦς καὶ κριὸς καὶ χίμαρος ἐχῖνον ἔχει; διότι κέρατα
ἔχει, καὶ διότι μονόδοντά ἐστι. συμβεβηκὸς δέ φαμεν ἐνταῦθα τὸ ἀχώρι-
στον καὶ καθόλου ἑπόμενον· καὶ τοῦτο μὲν κατὰ πάθος, τὸ δὲ κατὰ 30
σχέσιν ἐστὶ τὸ κατὰ ἀναλογίαν, περὶ οὗ ἤδη εἴρηται. ὁ μέντοι Ἀριστοτέλης
ἐνταῦθα τὸ προσεχὲς καθ' αὑτὸ μόνον ὠνόμασε καθ' αὑτό, τὰ δ' ἄλλα κατὰ
συμβεβηκός· ἢ ἴσως τὸ εἰ δὲ μὴ οὐ πρὸς τὸ προσεχὲς τὸ οὐ μήν, ἀλλὰ
πρὸς τὸ ἀνωτέρω τὸ ὁ γὰρ λόγος τοῦ ἄκρου.

9 καὶ τὸ μέσον om. E 12 ἀκάνθης a 14 ἢ] καὶ Aa 15. 16 καὶ εἰ — συμβεβηκὸς om. E 16 ἀναλογίαν] σχέσιν E 17 μέσον] αἴτιον Aa λόγος E 19 ἐν μέσῳ] σῶμα E 22 ἔκλειψις ἐν ἡλίῳ τε καὶ σελήνῃ E 23 ἄλλος scripsi: ἄλλο libri ἐκλείψεως σελήνης coll. Aa 24 pr. καὶ om. Aa γίνεσθαι μέσον Aa 25 τῶν om. Aa 29 χίμερος E 30 μονόδοντα a 31 τὸ δὲ] τοῦτο δὲ Aa 34. 35 ἢ ἴσως — ἄκρου] cf. Arist. p. 99ᵃ 3. 4

p. 99a 16 Ἔχει δ' οὕτω τὸ παρακολουθεῖν ἀλλήλοις τὸ αἴτιον. 120

Πῶς δ' ἂν εἴποιμι ἀκολουθεῖν ἀλλήλοις τοὺς τρεῖς ὅρους τοῦ ἀποδεικτικοῦ συλλογισμοῦ; ἤγουν τὸν μέσον, ὃς δὴ καὶ αἴτιός ἐστι, καὶ τὸν μείζονα, οὗ ἐστιν αἴτιον τὸ μέσον, καὶ τὸν ἐλάττω, ᾧ δὴ αἴτιον τοῦ κατη-
5 γορουμένου ἤτοι τοῦ μείζονος τὸ μέσον ἐστίν. ἐπεὶ γὰρ πῶς μὲν λαμβανόμενα ἀνακολουθεῖ ταῦτα ἀλλήλοις ὡς ἐξισάζοντα. πῶς δ' αὖθις λείπεται ὁ ἐλάττων τοῦ μέσου τε καὶ τοῦ μείζονος, κἀντεῦθεν εἴργεται τῷ λειπομένῳ 40 ἡ πρὸς τοὺς ὑπερέχοντας ὅρους ἀνακολούθησις, δεῖ μηδὲ τοῦτο παραλιπεῖν, ἀλλ' εἰπεῖν πότε τούτων ἑκάτερον γίνεται. ἐπειδὴ γὰρ καὶ τὸ ἔλαττον
10 ἄκρον καθόλου ἐστίν, ὥσπερ καὶ τὸ μεῖζον καὶ τὸ μέσον αὐτό, εἰ μὲν καθ' ἕκαστον λαμβάνεις τὰ ὑπ' αὐτό, λειφθήσεται τῶν δύο, τοῦ μέσου τε λέγω καὶ τοῦ μείζονος, εἰ δὲ πάντα ὁμοῦ, ἐξισάζει αὐτοῖς καὶ ἀνακολουθήσει ὡς ἐξισάζον. οἷον ἔστω μεῖζον ἄκρον τὸ εἶναι τὰς ἔξω γωνίας τέτταρσιν ὀρθαῖς ἴσας, ἔλαττον τρίγωνον καὶ τετράγωνον· εἰ δὴ κατὰ μόνου
15 τριγώνου συντάξεις τὸ ἔχειν τὰς ἔξω γωνίας τέτταρσιν ὀρθαῖς ἴσας, ἐπ' ἐλαττόν τέ ἐστι, καὶ ἀνακολουθεῖν οὐ δυνήσεται· εἰ δ' ὁμοῦ κατὰ τοῦ 45 τριγώνου καὶ τετραγώνου, ἐξισάζουσί τε ἀλλήλοις οἱ ὅροι, καὶ ἀντιστρέφουσι. τί δέ ἐστιν ὅ φαμεν; ὅτι τὸ τέτταρσιν ὀρθαῖς ἴσας τὰς ἔξω γωνίας ἔχειν ἐστὶν ἐπὶ μὲν τοῦ τριγώνου, ἐπειδὴ προσεκβαλλομένης μιᾶς πλευρᾶς
20 ἡ ἐκτὸς γωνία τοῦ τριγώνου δυσὶ ταῖς ἐντὸς καὶ ἀπ' ἐναντίου ἴση ἐστί, καὶ αὖθις τοῦ τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, ἐὰν τοῦ τριγώνου τὰς τρεῖς παρεκβάλῃς πλευράς, ἑκάστη τῶν ἐκτὸς γωνιῶν δυσὶ ταῖς ἐντὸς καὶ ἀπ' ἐναντίου ἴση ἐστίν· ὥστε αἱ ἐκτὸς γωνίαι διπλάσιαι τῶν 50 ἐντὸς ἔσονται. καὶ ἐπεὶ αἱ ἐντὸς τοῦ τριγώνου γωνίαι δυσὶν ὀρθαῖς ἴσαι
25 εἰσίν, αἱ ἐκτὸς ἄρα τέτταρσιν ὀρθαῖς ἴσαι ἔσονται. ἐπὶ δὲ τοῦ τετραγώνου ἐπεὶ τὸ τετράγωνον ἰσόπλευρόν τέ ἐστι καὶ ὀρθογώνιον, ἐκβαλλομένης ἑκάστης πλευρᾶς δύο ὀρθαὶ ἐφεξῆς ἔσονται καθ' ἑκάστην ἐκβολήν, ὡς εἶναι πάσας τὰς ὀρθὰς γωνίας ὀκτώ, ἐντὸς μὲν τέτταρας, ἐκτὸς δὲ ἑτέρας | τέτταρας. ἐξισάσει δὴ καὶ ὁ μέσος τοῖς ἄκροις ἐξ ἀνάγκης· λόγος γάρ 121
30 ἐστιν, ὡς καὶ πρώην εἴρηται, τοῦ πρώτου ἄκρου· διὰ τοῦτο δὴ καὶ δι' ὁρισμοῦ τὰς ἐπιστήμας ἁπάσας γινομένας εὑρίσκομεν. ἔστω δὴ καὶ παράδειγμα ἐναργέστερον, δι' οὗ τὸ εἰρημένον περὶ τῶν ὅρων ἐπιγνωσόμεθα καθαρώτερον. τὸ γὰρ φυλλορροεῖν ἀμπέλῳ μὲν ἀκολουθοῦν ὑπερέχει, καὶ συκῇ ὁμοίως καὶ ἑκάστῳ τῶν φυλλορροεῖν πεφυκότων δένδρων· πρὸς πάντα 5

---

4 οὗ αἴτιόν ἐστι coll. E 6 ὡς om. E 8 ὑπερέχοντος Aa 9 ἐπεὶ Aa
11 ληφθήσεται Aa 12 αὐτοῖς] αὐτῶν Aa 13 ἐξισάζων Aa 14 ὀρθῆς E
14. 15 ἔλαττον—ἴσας om. Aa 16 τοῦ om. Aa 18 ὅ] τοῦτο E
τὸ om. Aa 19 ἔχειν ἐστὶν om. Aa προεκβαλλομένης a 20 τοῦ
τριγώνου om. E ἀπεναντίον libri 22 παρεκβάλλῃς a δυσὶ—
γωνίαι (24) om. E 23 διπλάσιαι] διπλασίους Aa: διπλασία E 24 ἔσται E
τοῦ τριγώνου om. E 26 τέ om. E 29 ἐξισάζει E 31 ἁπάσας om. a
32 ἐνεργέστερον E

δὲ ὁμοῦ λαμβανόμενον οὐχ ὑπερέχει, ἀλλ' ἐξισάζει. ὡσαύτως καὶ τὸ μέσον, 121
τοῦτο δέ ἐστι τὸ πήγνυσθαι τὸν ὀπόν· τοῖς γὰρ πλατυφύλλοις πᾶσι πήγνυται
ὁ ὀπός, καὶ οἷς πήγνυται ὁ ὀπός, πάντα πλατύφυλλα. τά τε φυλλορροοῦντα
πάντα πλατύφυλλά ἐστι καὶ τὰ πλατύφυλλα πάντα φυλλορροεῖ. ὅταν οὖν
5 τι καθ' ἕκαστον λάβῃς, τέσσαρες ὅροι ἔσονται, δύο μέσοι καὶ δύο ἄκροι.
οἷον εἰ συκῆν λάβοις, ἡ συκῆ πλατύφυλλος, τῷ πλατυφύλλῳ πήγνυται ὁ
ὀπός, ᾧ πήγνυται ὁ ὀπός. τοῦτο φυλλορροεῖ· ἡ συκῆ ἄρα φυλλορροεῖ. 10
τούτων τῶν δύο μέσων ὁ μὲν τῷ ἐλάττονί ἐστιν ὁ δὲ τῷ μείζονι προσ-
εχής. εἰ λάβῃς οὖν τὸν πρῶτον μέσον, ὃς τῷ μείζονι προσεχής ἐστι,
10 λόγος ἔσται αὐτοῦ· τὸ γὰρ πήγνυσθαι τὸν ὀπὸν λόγος ἐστὶ τοῦ φυλλορροεῖν.
οὐδὲν γὰρ ἄλλο τὸ φυλλορροεῖν ἐστιν ἢ τὸ πήγνυσθαι τὸν ἐν τῇ συνάψει
τοῦ σπέρματος ὀπόν. ὡς γὰρ τῆς σεληνιακῆς ἐκλείψεως λόγος ἐστὶν ἡ τῆς
γῆς ἀντίφραξις, οὕτως καὶ τοῦ φυλλορροεῖν τὸ πήγνυσθαι τὸν ὀπόν. σπέρμα
δὲ λέγω τὸ ἔσχατον μόριον τοῦ ὀχάνου ἐξ οὗ τὸ φύλλον ἀναδίδοται τὴν 15
15 ἀρχήν. σπέρμα δὲ τοῦτο ὠνόμασται, διότι καὶ δυνάμει ἐν αὐτῷ σπερμα-
τικῶς τὴν ἀρχὴν τὸ φύλλον ἅπαν ἔγκειται καὶ πρὸ τοῦ φυῆναι. καὶ ἄλλως
δὲ τὰ ἐμφυλλιζόμενα τῶν δένδρων περιτεμνομένου τοῦ ὄμματος, ἐξ οὗ ἡ
βλάστη μέλλει ἀναδίδοσθαι καὶ ἐντιθεμένου εἰς ἕτερον δένδρον, ἐξ οὗ ἴσον
ἕτερον τοιοῦτον ἀποτέτμηται, ὅμοιον ἐκφύεται τῷ ἐξ οὗ τὸ ἐντεθὲν ἀπο-
20 τέτμηται. καὶ καρπὸν φέρει οἷον δὴ κἀκεῖνο, ὡς σπέρματος ἐνεργοῦντος 20
τοῦ ἐντιθεμένου.

p. 99a 16 Ἔχει δ' οὕτω τὸ παρακολουθεῖν.

Ἕτερον ἔτι θεώρημα παραδίδωσι περὶ τῶν τριῶν ὅρων τῆς ἀποδόσεως,
τοῦ τε μέσου, ὅ φησιν αἴτιον, τοῦ τε μείζονος ὃ οὐ αἴτιον, καὶ τοῦ ἐλάτ-
25 τονος, ὅπερ ᾧ αἴτιον. ὃ δὲ παραδίδωσιν, ἔστι περὶ τῆς τούτων πρὸς
ἄλληλα ἀκολουθήσεως. ἐπεὶ γὰρ καθόλου πᾶσα ἐπιστήμη, δῆλον ὅτι καὶ
οἱ ὅροι καθόλου πάντες. πότερον δὴ ἐξισάζουσιν ἀλλήλοις ἢ ὁ μὲν ἐλλείπει
ὁ δ' ὑπερτείνει: ὁ μὲν οὖν πρῶτος καὶ ὁ μέσος, ὁ μὲν λόγος ὢν ὁ μέσος, 25
ὁ δ' οὐ ὁ λόγος, ἐξ ἀνάγκης ἐπ' ἴσον ἀλλήλοις· τὸν δ' ἐλάττω εἰ μὲν
30 κατὰ μέρος λαμβάνεις, ἑκάστου τῶν αὐτοῦ μερῶν ὑπερτείνει τὸ οὐ αἴτιον
τὸ μέσον, τουτέστι τὸ μεῖζον (εἰ δὲ τὸ μεῖζον, καὶ τὸ μέσον· ἐξισάζει γὰρ
ταῦτα πρὸς ἄλληλα), εἰ δ' ὁμοῦ πᾶν, ἐπ' ἴσον καὶ τοῦτο. οὕτως οὖν ἔχει,
φησίν, ἡ παρακολούθησις τῶν τριῶν ὅρων πρὸς ἄλληλα, τοῦ αἰτίου, τοῦ

---

3 οἷς — πλατύφυλλα om. E τε om. E 10 ἔσται] ἔστιν Aa 14 λέγων a
ὀχάνου] cf. p. 248,17 15 καὶ δυνάμει] ἔνεστιν E 17 ἡ om. Aa
19 τοιοῦτον ἕτερον coll. E 19. 20 ὅμοιον — ἀποτέτμηται καὶ om. E 22 τὸ om. a
25 post ᾧ αἴτιον add. ἤγουν ὁ μέσος ὁ μείζων καὶ ὁ ἐλάσσων ὅρος. καὶ εἰ μὲν ἐν μέρει ὁ
ἐλάσσων ληφθῇ, τούτω μὲν τοὺς ἄλλους ἀκολουθεῖν, αὐτὸν δὲ τοῖς ἄλλοις μὴ ἀντιστρέφειν· εἰ
δὲ καθόλου καὶ οὗτος, ἀκολουθεῖν ἀλλήλοις ἅπαντα cf. p. 247,1 sqq. ἔστι post τούτων
transp. E 25. 26 πρὸς ἄλληλα om. E 26 πᾶσα] πᾶσιν Aa 28 ὢν om. Aa
29 ὁ ante λόγος om. E 32 εἰ δ' ὁμοῦ πᾶν — ἅπαντας (247,4)] εἰ δὲ καθόλου ἐξισά-
ζουσιν ἀλλήλοις ἅπαντα, τὸ αἴτιον τὸ οὐ αἴτιον καὶ τὸ ᾧ αἴτιον E

οὗ αἴτιον καὶ τοῦ ᾧ αἴτιον, ἤγουν τοῦ μέσου, τοῦ μείζονος καὶ τοῦ ἐλάτ- 121
τονος, ὡς εἰ μὲν ἐν μέρει ὁ ἐλάττων ληφθῇ, τούτῳ μὲν τοὺς ἄλλους
ἀκολουθεῖν, αὐτὸν δὲ τοῖς ἄλλοις μὴ ἀντιστρέφειν, εἰ δὲ καθόλου καὶ
οὗτος, ἀκολουθεῖν ἀλλήλοις ἅπαντας.

p. 99ª19 Οἷον τὸ τέτταρσιν ἴσας τὰς ἔξω.

Παράδειγμα τίθησι τοῦ εἰρημένου. ἔστω γάρ, φησί, μεῖζον μὲν τὸ ἔχειν τὰς ἔξω γωνίας τέτταρσιν ὀρθαῖς ἴσας, ἔλαττον δὲ καθ' ὧν τοῦτο λέγεται, οἷον τρίγωνον καὶ τετράγωνον. τοῦ μὲν οὖν τριγώνου μόνου ἰδίᾳ ἢ τοῦ τετραγώνου ἐπὶ πλέον· πρὸς πάντα δ' ὁμοῦ ἐξισάζει. τί δέ ἐστι τὸ ἔχειν τὰς ἔξω γωνίας τέτταρσιν ἴσας, καὶ πῶς τοῦτο ἐπὶ τριγώνου καὶ ἐπὶ τετραγώνου, εἴρηται πρότερον· εἰ γὰρ λάβῃς ἅπαντα, καθ' ὧν τοῦτό ἐστιν, ἐξισάζει πρὸς αὐτὸ τὸ κατηγορούμενον καὶ οὐχ ὑπερτείνει. καὶ τὸ μέσον ὁμοίως, τουτέστιν ὡς τὸ μεῖζον, καὶ τὸ μέσον. ἐπεὶ γὰρ λόγος τὸ μέσον τοῦ μείζονος, ἀντιστρέφει πρὸς αὐτό. ὥστε ὧν ἐπὶ πλέον ἐκεῖνο, καὶ τοῦτο, οἷς δ' ἐκεῖνο ἐπ' ἴσον, καὶ τοῦτο ἐπ' ἴσον.

p. 99ª21 Ἔστι δὲ τὸ μέσον λόγος τοῦ πρώτου ἄκρου.

Τὸ μέσον, φησίν, ὃ καὶ αἴτιον, λόγος ἐστὶ τοῦ πρώτου ἄκρου τουτέστι τοῦ μείζονος, ἤγουν ὁρισμός· ὥστε καὶ πᾶσα γνῶσις ἐπιστημονικὴ διὰ μέσου ὁρισμοῦ γίνεται.

p. 99ª23 Οἷον τὸ φυλλορροεῖν.

Διὰ παραδείγματος σαφηνίζει τὸ εἰρημένον, τουτέστι τὸ λόγον εἶναι τὸ μέσον τοῦ μείζονος· ἐν ταὐτῷ δὲ καὶ ὃ πρότερον ἔφησε περὶ τοῦ μείζονος· τοῦτο δὲ ἦν τὸ εἰ μὲν καθ' ἕκαστον ληφθῇ τὰ μέρη τοῦ ἐλάττονος, ὑπερέχει αὐτοῦ τὸ μεῖζον, εἰ δ' ὁμοῦ πᾶν τοὔλαττον, ἐξισάζει τὸ μεῖζον πρὸς αὐτό. ἔστω γὰρ τὸ φυλλορροεῖν τὸ μεῖζον· τοῦτο πρὸς μὲν τὴν ἄμπελον ἰδίᾳ ληφθὲν ἀκολουθεῖ τε ἅμα καὶ ὑπερέχει, καὶ πρὸς τὴν συκῆν ὡσαύτως· ἁπλῶς δὲ πρὸς πᾶν τὸ φυλλορροοῦν οὐχ ὑπερέχει, ἀλλ' ἴσον αὐτῷ ἐστι. καὶ εἰ ὄνομά τις θείη τὸ κοινόν, ὃ πᾶσιν ἐφαρμόσει τοῖς φυλλορροοῦσιν, ἴσον ἐκείνῳ ἔσται τὸ φυλλορροεῖν.

p. 99ª25 Εἰ δὴ λάβοις τὸ πρῶτον μέσον, λόγος τοῦ φυλλορροεῖν ἐστίν. ἔσται γὰρ πρῶτον μὲν ἐπὶ θατέρου | μέρους, ὅτι τοιαδὶ 122
ἅπαντα, εἶτα τούτου μέσον, ὅτι ὁ ὀπὸς πήγνυται ἤ τι ἄλλο τοι-

---

8 λέγεται] φέρεται Aa 10. 11 ἐπὶ τριγώνου — καθ' ὧν τοῦτο om. E 14 ἐκεῖνο scripsi: ἐκεῖνοι libri 17 ὃ] τὸ E τουτέστι om. E 18 ἤγουν] τουτέστιν Aa 19 γίνεται om. E 22 ἔφη E 24 ἅπαν E 27 φυλλορροεῖν E 28 θείη] θεῖ Aa 30 lemma om. E

οὗτον. τί δ' ἐστὶ τὸ φυλλορροεῖν; τὸ πήγνυσθαι τὸν ἐν τῇ συν- 122
ἄψει τοῦ σπέρματος ὀπόν.

Εἰ καθ' ἕκαστον τοίνυν λαμβάνοι τις τὰ μέρη τοῦ ἐλάττονος, τέτταρες ὅροι γίνονται, δύο ἄκροι καὶ δύο μέσοι. οἷον εἰ ἄμπελον λάβοις ἔλαττον ἄκρον καὶ μεῖζον τὸ φυλλορροεῖν, μέσοι ἔσονται προσεχὴς μὲν τῷ φυλλορροεῖν τὸ πήγνυσθαι τὸν ὀπόν, προσεχὴς δὲ τῇ ἀμπέλῳ τὸ πλατύφυλλον. πρῶτον οὖν μέσον ἐστὶ τὸ τῷ μείζονι προσεχές, δεύτερον δὲ μέσον τὸ τῷ ἐλάττονι. τὸ οὖν πρῶτον μέσον, φησί, λόγος ἐστί τοῦ φυλλορροεῖν. ἀρχομένῳ μὲν γάρ σοι ἀπὸ τοῦ ἐλάττονος πρῶτον ἔσται μέσον ὡς πρὸς τὸ ἔλαττον, ὅτι τοιαδὶ ἅπαντα, τουτέστι πλατύφυλλα ἢ ἄλλο τι, ὃ κοινὸν ἔσται τοῖς κατὰ μέρος φυλλορροοῦσι· τούτου δὲ αὖθις καὶ τοῦ μείζονος μέσον τὸ πήγνυσθαι τὸν ὀπὸν ἢ ἄλλο τι τοιοῦτον αἰτίαν δηλοῦν καὶ λόγον τοῦ φυλλορροεῖν. ὡς εἶναι τὸν συλλογισμὸν οὕτως· ἡ ἄμπελος πλατύφυλλος, παντὸς πλατυφύλλου πήγνυται ὁ ὀπός, πᾶν ᾧ πήγνυται ὁ ὀπὸς φυλλορροεῖ· πᾶσα ἄρα ἄμπελος φυλλορροεῖ. εἰ δή τις ἔροιτο τί ἐστι τὸ φυλλορροεῖν, τὸ πήγνυσθαι ἀποκρινούμεθα τὸν ἐν τῇ συνάψει τοῦ σπέρματος ὀπόν· ὁ γὰρ ὀπὸς οὗτος ἅμα μὲν τρέφει τὸ φύλλον διὰ τοῦ ὀχάνου καὶ θάλλειν ποιεῖ, ἅμα καὶ τῷ δένδρῳ αὐτὸ προσκολλᾷ. τούτου δὲ πηγνυμένου οὐδέτερον τούτων γίνεσθαι δύναται, διὸ καὶ ἀπορρέει τὸ φύλλον.

p. 99a 30 Ἐπὶ δὲ τῶν σχημάτων ὧδε ἀποδώσει.

Ἀλλὰ ῥητέον ἔτι καθολικώτερον περὶ τούτων ἐπὶ στοιχείων τὸν λόγον γυμνάζοντας, πῶς ἢ οὐκ ἐνδέχεται δύο τοῦ αὐτοῦ εὑρίσκεσθαι αἴτια, ἢ εἰ καὶ εὑρίσκονται, ἢ οὐ τῷ αὐτῷ αἴτια τοῦ αὐτοῦ, ἀλλὰ τοῦ αὐτοῦ ἄλλῳ καὶ ἄλλῳ, ἢ θάτερον τῶν αἰτίων ὑπὸ θάτερον ἔσται. εἰ μὲν γὰρ εἴη λόγος τὸ αἴτιον τοῦ οὗ αἴτιον, ὃς δὴ καὶ κυρίως αἴτιον, ὡς μὴ μόνον εἶναι τοῦ συμπεράσματος, ἀλλὰ δὴ καὶ τοῦ πράγματος, ἀντιστρέφει τε πρὸς ἐκεῖνο καὶ ἐξισάζει, καὶ ἓν ἔσται τότε τὸ αἴτιον ἢ εἰ καὶ δύο, θάτερον ὑπὸ θάτερον. τοῦτο δὲ γίνεται, ὅταν μὴ καθόλου ληφθῇ τὸ ᾧ αἴτιον τὸ αἴτιον ἤγουν τὸ ἔλαττον, ἀλλὰ τῶν ὑπ' αὐτὸ λαμβανομένου τινὸς ὡς ἐλάττονος, ἔσται μέσον αὐτό τε τὸ περιεκτικὸν αὐτοῦ προσεχῶς καὶ τὸ προσεχῶς ὂν ὑπὸ τὸ μεῖζον. οἷον εἰ τὸ Α εἴη τὸ οὗ αἴτιον, ὃ δὲ αἴτιον τὸ Β, ᾧ δὲ αἴτιον τὸ Δ· τὸ οὖν Α παντὶ τῷ Β, τὸ δὲ Β εἰ ληφθείη τῶν ὑπὸ τὸ Δ τινί, διὰ μέσου ἔσται τοῦ Δ ἁπλῶς, ὥσπερ τὸ πήγνυσθαι τὸν ὀπὸν κατὰ τῆς συκῆς· διὰ γὰρ μέσου τοῦ ἁπλῶς πλατυφύλλου ὑπάρχει τῇ συκῇ οὔσῃ τινὶ πλατυφύλλῳ τὸ πήγνυσθαι τὸν ὀπόν· καὶ οὕτως ἔσονται μὲν δύο αἴτια τῇ συκῇ τοῦ φυλλορροεῖν, ἀλλὰ θάτερον ὑπὸ θάτερον. ὑπὸ γὰρ τὸ πήγνυ-

3 τοίνυν om. Aa λαμβάνοι τις scripsi: λαμβάνοντες Aa: λαμβάνον τις E
4 μέσοι καὶ δύο ἄκροι coll. E 5 μέσον a 7 τὸ πρὸς τῷ μείζωνι (sic) E
13 πλατύφυλλον E 14 παντὶ πλατυφύλλῳ E 20 ἐπεὶ A 21 περὶ τούτων om. E 22 τοῦ αὐτοῦ δύο coll. E 23 εὑρίσκονται] εὑρίσκοιτο Aa
24 τῶν αἰτίων] τοῦ αἰτίου E 32 εἰ] ἡ Aa 34. 35 τινὶ οὔσῃ Aa

σθαι τὸν ὀπὸν τὸ πλατύφυλλον. τὸ γὰρ Β ἑκάστῳ τῶν Δ ὑπάρχον ἐπὶ 122
πλεῖον ὑπάρχει, καὶ καθόλου ἂν εἴη τὸ Β τοῖς Δ, τοιοῦτον δὲ καθόλου, 30
οἷον μὴ ἀντιστρέφειν. διττὸν γὰρ τὸ καθόλου, ἢ τὸ ἀντιστρέφον ὡς τῷ
ζῴῳ τὸ καθ' ὁρμὴν καὶ ὄρεξιν κινητικόν, ἢ τὸ μὴ ἀντιστρέφον ὡς τῷ
5 ἀνθρώπῳ τὸ ζῷον, τὸ δὲ προσεχές τινι καθόλου, τουτέστιν πρὸς ὃ ἕκαστον
μὲν τῶν ὑπὸ τὸ ὑποκείμενον οὐκ ἀντιστρέφει, ἅπαντα δὲ ἀντιστρέφει καὶ
ἐξισάζει. πᾶσι τοίνυν ταῖς ὑπὸ τὸ Δ, ὅπερ ἐστὶ τὸ ἔλαττον ἄκρον, τὸ Β
ἐστὶν αἴτιον τοῦ Α, οἷον τοῦ φυλλορροεῖν πᾶσι τοῖς πλατυφύλλοις αἴτιον τὸ
πήγνυσθαι τὸν ὀπόν. οὕτω μὲν εἰ λόγος εἴη τὸ αἴτιον τοῦ οὗ αἴτιον. ἀλλὰ 35
10 τέως μὴ ἔστω λόγος μηδ' ἀντιστρεφέτω, ἀλλ' ἔστω ἐπὶ πλέον τὸ Α τοῦ Β
διὰ τὸν λέγοντα λόγον ὅτι εἰ ἀντιστρέφουσιν, ἀλλήλων ἔσονται αἴτια καὶ δι'
ἀλλήλων δεικνύμενα. καίτοι ἡ διαφορὰ τῶν ἀποδείξεων εἴρηται πρότερον,
ὡς ἡ μὲν αἴτιον ἕξει τὸ αἴτιον καὶ τοῦ πράγματος, ἡ δὲ μόνου τοῦ συμ-
περάσματος· ὅμως δεδόσθω καὶ ἔστω ἐπὶ πλέον τὸ Α τοῦ Β. ὑπαρχέτω
15 δὴ τὸ Α πᾶσι τοῖς Ε, οἷς τὸ Β οὐχ ὑπάρχει. πῶς γὰρ ἄλλως ἔσται
εἰπεῖν τὸ Α ἐπὶ πλέον ὑπάρχειν τοῦ Β, εἰ μὴ εἰέν τινα οἷς τὸ μὲν Α 40
ὑπάρχει, τὸ δὲ Β μή; ἔσται οὖν καὶ τὰ Ε τὶ ἕν, ὥσπερ ἦν καὶ τὰ Δ. διὰ
τί δὲ οὐκ ἔσται τι αἴτιον τοῦ Α τοῖς Ε; ἐπεὶ γὰρ πλείω τὰ Ε καὶ πάντων
τούτων ὡς ἑνὸς τὸ Α κατηγορεῖται, ἀναγκαῖον εἶναί τι μέσον, δι' οὗ κατ'
20 αὐτῶν περαίνεται, καὶ ὃ αὐτοῖς ἐστιν αἴτιον αὐτοῦ. ἴδωμεν δὴ τοῦτο, καὶ
ἔστω τὸ Γ. ἀποπέφανται γοῦν ὅτι πλείω τοῦ αὐτοῦ εἶναι ἐνδέχεται αἴτια,
ἀλλ' οὐ τοῖς αὐτοῖς τῷ εἴδει, ἀλλὰ τῷ μὲν Δ τὸ Β, τῷ δὲ Ε τὸ Γ· οἷον
τοῦ μακρόβια εἶναι τοῖς μὲν τετράποσι τὸ μὴ ἔχειν χολὴν αἴτιον, τοῖς δὲ 45
πτηνοῖς τὸ ξηρὰ εἶναι ἤ τι ἕτερον. εἰ δὲ καὶ τοιοῦτον εἴη τὸ μέσον, οἷον
25 ἀντιστρέφειν πρὸς τὸ μεῖζον, οὐ μέντοι γε εὐθὺς εἰς τὸ ἄτομον εἶδος ἡ τοῦ
μέσου πρόοδος, ἀλλ' ἔστι μεταξὺ τοῦ τε μέσου καὶ τοῦ ἀτόμου εἴδους ἄλλο
τι ὃ περιέχει αὐτό τε τὸ λαμβανόμενον εἶδος καὶ ὅσα τούτῳ ἀντιδιῄρηται,
κἀντεῦθεν ἀνάγκη πλείονας εἶναι τοὺς μέσους καὶ οὐχ ἕνα, δῆλον ὅτι πλείω
καὶ τὰ αἴτια ἔσονται. οὐ γὰρ τὸ μὲν τῶν μέσων αἴτιον εἴποις, τὸ δ' οὐχί,
30 ἀλλ' ἄμφω αἴτια ὡς δὴ καὶ μέσα. ἀλλὰ τὸ μὲν τῷ μείζονι προσεχές, τὸ 50
δὲ τῷ ἐλάττονι· καὶ ἔσται τὸ μὲν πρῶτον μέσον τοῦ μείζονος αἴτιον τῷ
δευτέρῳ, τὸ δὲ δεύτερον μέσον τοῦ μείζονος αἴτιον τῷ ἐσχάτῳ, ὡς τοῦ
φυλλορροεῖν καὶ τῆς συκῆς μέσα τὸ πήγνυσθαι τὸν ὀπὸν καὶ τὸ πλατύ-
φυλλον, ὧν τὸ μὲν πήγνυσθαι τὸν ὀπὸν αἴτιον τῷ πλατυφύλλῳ τοῦ φυλλορ-
35 ροεῖν, τῇ δὲ συκῇ τούτου αὐτοῦ τὸ πλατύφυλλον. καὶ τοσοῦτον αἴτιον τῷ |
ἐσχάτῳ καὶ ἑκάστῳ τῶν ἀντιδιῃρημένων αὐτῷ τὸ δεύτερον μέσον, ὡς 123
καὶ μᾶλλον τοῦτο εἶναι τούτοις τοῦ μείζονος αἴτιον ἢ τὸ τῷ μείζονι προσ-
εχές. τοῦ γὰρ τὴν ἀρχὴν ὑπὸ τὸ πρῶτον εἶναι τὰ καθ' ἕκαστα τοῦτό

---

5 πρὸς ὃ ἕκαστον] ᾧ καθ' ἕκαστον Aa 9 τὸ οὗ αἴτιον Aa 10 μὴ ἔστω] μὴ οὕτω Aa 11 διὰ τὸν λέγοντα — τὸ Α τοῦ Β (14) om. E 26 τε μέσου] αἰτίου E 27 τε om. E 28 καὶ οὐχ ἕνα post πλείονας transp. E 32 αἰσχάτῳ Aa 33 μέσα] μέσον Aa 35. 36 τὸ ἔσχατον Aa 37 τῷ om. E

ἐστιν αἴτιον τὸ προσεχὲς τοῖς καθ' ἕκαστον. οἷον εἰ τὸ Α εἴη τὸ μεῖζον, 123
τὸ Δ τὸ ἔσχατον, τὸ δὲ Β καὶ Γ τὸ μὲν τὸ πρὸς τῷ μείζονι μέσον τὸ
δὲ τὸ πρὸς τῷ ἐσχάτῳ, τὸ Γ ἂν εἴη αἴτιον τῷ Δ τοῦ Α.

p. 99a30 Ἐπὶ δὲ τῶν σχημάτων ὧδε.

Ἐπεὶ διὰ τῶν παραδειγμάτων μερικωτέραν τὴν παράδοσιν ποιήσασθαι
ἔδοξε τὴν περὶ τῆς ἀκολουθήσεως τῶν ὅρων τῆς ἀποδείξεως, κἀντεῦθεν
παραβῆναι τὸ ἴδιον τῆς λογικῆς θεωρίας, διὰ τοῦτο νῦν αὐτὴν ποιεῖται
καθολικὴν τὰ κοινὰ στοιχεῖα παραλαμβάνων. τῶν γὰρ λογικῶν ἁπασῶν
μεθόδων ἴδιον, διαιρετικῆς λέγω καὶ ἀναλυτικῆς ὁριστικῆς τε καὶ ἀποδει-
κτικῆς, καθολικὰς ποιεῖσθαι τὰς παραδόσεις, μηδὲν ἐχουσῶν ἴδιον ὑποκεί-
μενον, ἀλλὰ τὰ ὄντα ἁπλῶς. διὸ καὶ τῆς λογικῆς πραγματείας ἀρχόμενος
τὰ πρῶτα γένη τοῦ ὄντος ἡμῖν ὑπέθετο ἄλλον τρόπον ἢ ἐν τῇ Μετὰ τὰ
φυσικὰ πραγματείᾳ. ἐκεῖ μὲν γὰρ τὰς φύσεις τῶν γενῶν παραδίδωσιν,
ἐνταῦθα δὲ μόνας τὰς ἰδιότητας, ὡς τοῦτο ὂν ἱκανὸν τῇ λογικῇ θεωρίᾳ ἢ
ὡς ἂν ἐντεῦθεν ἕκαστον χαρακτηρίζοντες τῶν γενῶν ἔχοιμεν τοὺς παραδε-
δομένους κανόνας τῶν λογικῶν μεθόδων διασαφεῖν τῶν γενῶν τι προχει-
ριζόμενοι. δεόμεθα γὰρ ἐν τούτοις οὐ τῆς οὐσίας μόνον, ἀλλὰ καὶ τῶν
συμβεβηκότων, ἐπεὶ οὐ μόνον ὁριζόμεθα ἀλλὰ καὶ ὑπογράφομεν, καὶ ἀπο-
δεικνύομεν οὐ μόνον τὸ διότι, ἀλλὰ καὶ τὸ ὅτι. λέγει τοίνυν ὅτι πραγμα-
τικῶς μὲν οὕτως ἡ ἀκολούθησις παραδέδοται, λογικῶς δὲ καὶ ἐπὶ τῶν
σχημάτων τῶν λογικῶν οὕτως ἀποδώσει τις τοῖς ζητοῦσι τὴν ἀκολούθησιν
τῶν ὅρων τοῦ τε αἰτίου καὶ οὗ ἐστιν αἴτιον.

p. 99a31 Ἔστω τὸ Α τῷ Β ὑπάρχον παντί.

Μεῖζον ἄκρον τὸ Α τίθησιν, ὃ παντί, φησίν, ὑπάρχει τῷ Β, ὅπερ
ἐστὶ τὸ μέσον καὶ αἴτιον· Δ δὲ τίθησι καθ' ἕκαστα εἴδη ἃ τῷ ἐλάττονι
περιέχεται, ὡς εἶναι τὸ Γ μὲν τὸ ἔλαττον, τὰ δὲ Δ τὰ ὑπ' αὐτὸ εἴδη,
ὥσπερ εἰ τὸ πλατύφυλλον εἴποι τις ἔλαττον, ἕκαστον δὲ πλατύφυλλον τὰ
εἴδη τὰ ὑπὸ τὸ πλατύφυλλον. διὰ τοῦτο καὶ οὕτως εἴρηκε τὸ δὲ Β
ἑκάστῳ τῶν Δ, τουτέστιν ὁ δὲ μέσος ἑκάστῳ εἴδει τῶν ὑπὸ τὸ ἔλαττον,
ὡς εἶναι καὶ ἐπὶ πλεῖον πρὸς ἕκαστον αὐτῶν λαμβανόμενον.

p. 99a32 Τὸ μὲν δὴ Β καθόλου ἂν εἴη τοῖς Δ.

Τὸ μὲν δὴ Β, ὅπερ τὸ μέσον ἐστίν, εἴη ἂν τοῖς Δ, ἅπερ ἐστὶ τὰ ὑπὸ
τὸ ἔλαττον εἴδη, καθόλου. λαμβάνει δὲ ταῦτα ὡς πρὸς ἕκαστον αὐτῶν

2 τὸ ante ἔσχατον om. Aa 3 τῷ Δ] τὸ δ Aa 14 ἢ om. Aa 15 ἕκαστα E
γενῶν] εἰδῶν E 16. 17 προχειριζόμενος a 17 μόνον post οὐ transp. E
19 λέγει scripsi: λέγοι libri 20 οὕτως om. E 26 τὸ δὲ Δ E 27 ὥσπερ εἰ] τὰ
ὑπὸ E εἴπη Aa 28 post καὶ add. ὡς E 29 εἴδη Aa 30 λαμβανομένων a

τοῦ μέσου λεγομένου, ὡς εἶναι καὶ καθόλου, καὶ οὕτω καθόλου, ὡς μὴ 123
ἐξισάζειν μηδ' ἀντιστρέφειν. τὸ γὰρ ἰσαζόντως κατὰ τοῦ περιέχοντος λεγό- 30
μενον ἑκάστου τῶν περιεχομένων ὑπερτείνει. οἷον εἰ τὸ πήγνυσθαι τὸν ὀπὸν
τοῦ πλατυφύλλου ἐστὶν ἐπ' ἴσον κατηγορούμενον, ἑκάστου τῶν περιεχομένων
5 ὑπὸ τοῦ πλατυφύλλου ὑπερτείνει, ἤτοι ἑκάστου τῶν ὑπ' αὐτὸ δένδρων ἐπὶ
πλέον ἐστίν. ἐκεῖνο δέ, φησίν, ἐστὶ πρῶτον καθόλου, ἤτοι προσεχῶς καὶ
ἀμέσως οὗ κατηγορεῖται κατηγορούμενον, πρὸς ὃ ἕκαστον μὲν τῶν ὑπὸ τὸ
ὑποκείμενον εἰδῶν μὴ ἀντιστρέφει, ἅπαντα δὲ ὁμοῦ ληφθέντα καὶ ἀντι-
στρέφει καὶ συνεπεκτείνεται ἤτοι ἐξισοῦται· τοῦτο γάρ ἐστι τὸ παρεκτείνειν. 35
10 ἕκαστον γὰρ τῶν ὑπὸ τὸ πλατύφυλλον οἷον συκῆ καὶ ἄμπελος καὶ πλάτανος
καὶ ἕκαστον λείπεται τοῦ πήγνυσθαι τὸν ὀπόν, παντὶ δὲ ὁμοῦ ἐξισοῦται.

p. 99ᵃ35 Τοῖς δὴ Δ αἴτιον τοῦ Α τὸ Β.

Μέχρι μὲν οὖν τούτου τὴν ἀκολούθησιν παραδέδωκε τοῦ μέσου καὶ
τοῦ ἐλάττονος εἰπὼν ὅτι εἰ μὲν κατὰ μέρος ὁ ἐλάττων λαμβάνεται, ἀκο- 40
15 λουθεῖ τῶν μερῶν αὐτοῦ ἑκάστῳ ὁ μέσος καὶ ἔστιν ἐπὶ πλέον, καὶ διὰ
τοῦτο οὐδ' ἀντιστρέφει πρὸς αὐτὸν ἕκαστον τῶν οἷς ἕπεται, εἰ δ' ὁμοῦ
πάντα καὶ καθόλου ληφθῇ, τὸ ἔλαττον ἀντιστρέφει τῷ μέσῳ. περὶ δὲ τοῦ
μείζονος οὐδὲν εἶπεν ἕτερον ἢ μόνον ὅτι παντὶ ὑπάρχει τῷ μέσῳ. νῦν δὲ
βούλεται τούτου τε καὶ τοῦ μέσου παραδοῦναι τὴν ἀκολούθησιν, καὶ ζητεῖ
20 εἰ ἐπὶ πλέον ὁ μείζων τοῦ μέσου, ἢ ἐξισάζουσιν ἀλλήλοις καὶ ἀντιστρέ- 45
φουσι, καὶ εἰ πλείω αἴτια τοῦ αὐτοῦ εἶναι ἐνδέχεται. καὶ ἐπεὶ καὶ πρό-
τερον εἴρηται ὅτι λαμβάνεται μέσον ποτὲ ἐπ' ἔλαττον ὂν τοῦ μείζονος καὶ
μὴ ἀντιστρέφον, λαμβάνεται καὶ ἐπ' ἴσης καὶ ἀντιστρέφον, παραδίδωσι πῶς
ἐπ' ἀμφοῖν ἐνδέχεται δύο μέσα καὶ αἴτια εἶναι. ὅταν μὲν γὰρ μέσον λαμ-
25 βάνηται μὴ ὂν λόγος τοῦ μείζονος, οὔτε ἀντιστρέφει καὶ δύο αἴτια τοῦ
αὐτοῦ εὑρίσκονται ἐκτὸς ἀλλήλων ὄντα, ὡς μηδέτερον εἶναι ὑπὸ τὸ ἕτερον·
ὅταν δὲ τὸ μέσον λόγος ᾖ τοῦ μείζονος καὶ ἀντιστρέφῃ τῷ μείζονι, κἂν
δύο μέσα ληφθῇ, θάτερον ὑπὸ θάτερόν ἐστι. τέως δὲ πρῶτον τοῦτο 50
παραδίδωσιν, ὅταν ὁ μέσος μὴ λόγος ᾖ τοῦ μείζονος. φησὶ τοίνυν ὅτι τὸ
30 Β αἴτιόν ἐστι τοῦ Α τοῖς Δ. ἀλλ' εἰ τοῦτο, δεῖ τὸ Α ἐπὶ πλέον τοῦ Β
παρεκτείνειν· εἰ γὰρ μή, οὐδὲν ἧττον ἔσται τοῦ Α τὸ Β αἴτιον ἢ τοῦ Β
τὸ Α. εἰ γὰρ ἐξισάζουσιν ἀλλήλοις καὶ ἀντιστρέφουσι, καὶ ἀλλήλοις ὑπο-
τεθήσονται καὶ ἄλληλα μεσιτεύσουσι καὶ ἀλλήλων | ἔσονται αἴτια, καὶ οὐκ 124
ἔσται τοῦτο ἀπόδειξις, ἀλλὰ δεῖξις διάλληλος. καὶ εἴρηται μὲν πρότερον
35 ὅπως ἔσται τοῦτο, καὶ τί ἐπὶ τῶν ἀντιστρεφόντων αἱ ἀποδείξεις ἑκατέρωθεν

---

4 ἐστὶν om. Aa 4. 5 τῶν περιεχομένων — ἑκάστου om. Aa 6 προσεχὲς Aa
13 οὖν om. Aa 14. 15 ἀκολουθεῖ — μέσος] ἑκάστου ὁ μέσος ὑπερτείνει E
22 ante μέσον add. καὶ Aa 23 λαμβάνεται om. E καὶ ἀντιστρέφει Aa
24 μέσους Aa 26 ὡς μὴ δεύτερον a 27 ἀντιστρέφει E 28 δὲ] δὴ E
31 τὸ β̄ τοῦ ᾱ E 31. 32 ἢ τὸ ᾱ τοῦ β̄ E 32 ἐξισάζουσα E ἀντιστρέφει E
καὶ ἀλλήλαις Aa 34 ἔστι Aa

γινόμεναι διαφέρουσι, καὶ ὅτι ἡ μὲν τοῦ διότι ἡ δὲ τοῦ ὅτι· ἀλλὰ νῦν γε 124
περὶ τῶν μὴ ἀντιστρεφόντων ὁ λόγος, καὶ ὅπως τοιούτων ληφθέντων ὅρων
δύο αἴτια τοῦ αὐτοῦ εὑρίσκεται.

p. 99a 37 Εἰ δὴ πᾶσιν ὑπάρχει τοῖς Ε τὸ Α.

Ἐπεί, φησί, πᾶσι τοῖς Ε τὸ Α ὑπάρχει, ὥσπερ τὰ Δ καὶ πολλὰ ἦν καὶ εἰς ἓν συνήγετο, καὶ τὸ Α αὐτοῖς ὑπῆρχε διὰ τοῦ Β, οὕτω κἀνταῦθα τὰ Ε πολλά τε ἔσται καὶ ἕν, καὶ ὑπάρχει αὐτοῖς τὸ Α, καὶ τὸ ἓν τοῦτο ἄλλο ἐστὶ τοῦ Β καὶ ἔδει εἰπεῖν ὅτι εἰ δὲ μή, πῶς ἐπὶ πλέον ἔσται τὸ Α τοῦ Β, ὅπερ ἀποδέδεικται διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς· τοῦτο γὰρ ἔοικε προκεῖσθαι. οὐ μήν φησιν οὕτως, ἀλλ' ὅτι εἰ δὲ μή, πῶς ἔσται εἰπεῖν ὅτι ἐπὶ πλέον τοῦ Ε τὸ Α; τοῦτο γάρ ἐστιν ὅ φησιν, ὅτι πῶς ἔσται εἰπεῖν ὅτι ᾧ τὸ Ε, τὸ Α παντί, ᾧ δὲ τὸ Α, οὐ παντὶ τὸ Ε. ἀλλ' εἰ καὶ ἕτερόν ἐστι τοῦτο ἐκείνου, ὅμως εἰς ταὐτὸν φέρει. εἰ γὰρ μὴ ἕτερά ἐστιν ἀλλήλων, οὔτε τοῦ Β οὔτε τοῦ Ε ἐπὶ πλέον ἔσται τὸ Α. τὸ δὲ διὰ τί γὰρ οὐκ ἔσται τι αἴτιον ἀσαφές τι διὰ τὸν γάρ σύνδεσμον μὴ καταλλήλως τεθέντα· οὐ γὰρ εἰς κατασκευήν τινος τὸ ῥητὸν ἐπενήνεκται. ἔστω οὖν ἀντὶ τοῦ δέ, πολλάκις οὕτω παρὰ τῷ Ἀριστοτέλει λαμβανόμενον. πῶς οὖν, φησίν, οὐκ ἔσται τι αἴτιον τοῦ Α τῷ Ε; εἰ μὲν γὰρ ταὐτὸν ἦν τῷ Β τὸ Ε, ὥσπερ ἀμέσως τῷ Β τὸ Α ὑπάρχει, ὑπῆρχεν ἂν καὶ τῷ Ε, καὶ διὰ μέσου αὐτοῦ τοῖς Δ ὡς καὶ διὰ τοῦ Β, ἢ εἰ μετὰ τὸ Ε ὑπῆρχεν ἕτερα εἴδη τοῦ Ε ἑνὸς ὄντος καὶ οὐ πολλῶν, διὰ τούτων κατὰ τῶν πλειόνων ἐκείνων, ἄλλων ὄντων παρὰ τὰ Δ συνήγετο κατ' ἐκείνων τὸ Α. νῦν δὲ οὔτε τὸ Ε τῷ Β ταὐτὸν καὶ πολλὰ ὂν εἰς ἓν ἔρχεται, ὥσπερ τὰ Δ· δεῖ ἄρα τινὸς μέσου αὐτοῖς, ὥσπερ καὶ τοῖς Δ ἐδέησεν, ἵνα δι' αὐτοῦ τὸ Α κατ' αὐτοῦ κατηγορηθῇ· διὰ τοῦτο γὰρ καὶ τὸ Δ εἰς μέσον παρήγαγεν, ἐξομοιῶν αὐτῷ τὸ Ε. ὥσπερ γὰρ ἐκεῖνο, πολλὰ ὄν, εἰς ἓν συνήρχετο, οὕτω καὶ τὸ Ε ἔστι τι ἓν ἐκ πολλῶν. ἐπισκέψασθαι δὴ τοῦτο· τοῦτο Ἀττικῶς εἴρηται κατ' ἔλλειψιν τοῦ δεῖ. οὕτω γὰρ ἦν εἰπεῖν 'δεῖ δὴ ἐπισκέψασθαι τοῦτο', ἤγουν τὸ αἴτιον δεῖ ἐξετάσαι τί ἐστι, καὶ ἔστω τὸ Γ. ἐπὶ μὲν τῶν ἐσχάτων ὡς εἰς πλείω εἴδη ἐξαπλουμένων τὰ Δ φησὶ καὶ τὰ Ε, ἐπὶ δὲ τῶν μέσων ὡς ἑνιαίων τὸ Β καὶ τὸ Γ.

p. 99b 4 Ἐνδέχεται δὴ τοῦ αὐτοῦ.

Ἀποπέφανται, φησίν, ἐκ τῶν εἰρημένων ὅτι ἐνδέχεται πλείω αἴτια εἶναι τοῦ αὐτοῦ, ἀλλ' οὐχὶ καὶ τῷ αὐτῷ οὐδέ τισι πλείοσι μὲν τῷ ἀριθμῷ, εἴδει δὲ τοῖς αὐτοῖς. οὐκ ἐνδέχεται γὰρ τῶν μέσων ὄντων ἑτέρων τῷ

4 ἐπειδὴ πᾶσιν E 5 τὸ Α om. Aa 6 ὑπάρχει E 17 τοῦ Ἀριστοτέλους Aa
οὖν] δέ E 18 τὸ β Aa 20 ὑπῆρχον Aa 24 αὐτοῖς] αὐτῷ E
27 δὴ] δεῖ E 30 εἰς scripsi: εἰ E: om. Aa

εἴδει καὶ μὴ τεταγμένων ὑπ' ἄλληλα τὰ ἔσχατα εἶναι εἴδει τὰ αὐτά. τίθησι 124
δὲ παράδειγμα· τοῦ γὰρ μακρόβια εἶναι ἑνὸς ὄντος τοῖς μὲν τετράποσιν
αἴτιον τὸ μὴ ἔχειν χολήν, ἤτοι τὸ ὀλιγόχολον εἶναι, τοῖς δὲ πτηνοῖς τὸ
ξηρὰ εἶναι. ἢ ἕτερόν τι εἶπε διὰ τὸ μὴ νῦν ἀκριβολογεῖσθαι περὶ
5 τούτου. τῷ γὰρ ἐν τοῖς ζῴοις ἐμφύτῳ λεγομένῳ θερμῷ, ἐν ᾧ ἡ ζωὴ
συνέχεται, ὑγρότητος δεῖ πρὸς τροφήν. ἐν οἷς οὖν ἡ χολὴ πλεονάζει 35
θερμὴ οὖσα καὶ ξηρά, ἀναλίσκει τὸ ὑγρόν, καὶ διὰ τοῦτο τὰ τοιαῦτα βρα-
χύβια γίνονται· οἷς δὲ ἡ χολὴ ἐλαττοῦται, ἀντέχει τὸ ὑγρὸν ἐπὶ πλέον,
καὶ διὰ τοῦτό εἰσι μακρόβια, ὥσπερ ἐπὶ τοῦ λύχνου εἰ λεπτὴ ἡ θρυαλλίς
10 ἐστι καὶ πλεονάζει τὸ ἔλαιον, ἀντέχειν ἐπὶ πλέον τὸ πῦρ δύναται. διὰ
τοῦτο καὶ τὰ φυτὰ τῶν ζῴων μακροβιώτερα, ὡς τῆς ὑγρότητος ἐν αὐτοῖς
τὸ θερμὸν πλεονεκτούσης. ἴσως δὲ καὶ τὸ ξηρὰ εἶναι οὐ μικρὰ πρὸς τὴν
ζωὴν συντελεῖ, εἰ γεῶδες αὐτοῖς τὸ ξηρόν, ἀλλὰ μὴ πυρῶδές ἐστι. τοι- 40
οῦτον μὲν γὰρ ὂν ἀναλίσκει τὸ ὑγρόν, γεῶδες δὲ ὂν δυσπαθῆ τὰ συγκείμενα
15 τίθησι. περὶ δὲ τούτου ἐν τῷ Περὶ ψυχῆς καὶ τῷ Περὶ αἰσθήσεως καὶ
αἰσθητῶν ἐδίδαξεν.

p. 99b7 Εἰ δὲ εἰς τὸ ἄτομον μὴ εὐθύς.

Ἐν μὲν τοῖς προσεχῶς εἰρημένοις μέσον ἐλάμβανε τὸν τῷ πρώτῳ μὴ 45
ἀντιστρέφοντα· ἤδη δὲ καὶ περὶ τοῦ ἀντιστρέφοντός φησιν. εἰ τοίνυν ἀντι-
20 στρέφοντα εἴη τὸ αἴτιον καὶ οὐ αἴτιον, καὶ μὴ εὐθὺς εἰς τὸ ἄτομον ἔρχονται
ὅ τε μέσος καὶ δι' αὐτοῦ ὁ μείζων, ὡς ἐξ ἀνάγκης πλείους μέσους παρα-
λαμβάνεσθαι, καὶ τὰ αἴτια πλείω. εἰ γὰρ μὴ εὐθὺς εἰς τὰ ἄτομα εἴδη ὁ
μέσος καταντᾷ, ἐξ ἀνάγκης δεῖ καὶ ἑτέρου μέσου δι' οὗ τοῖς ἀτόμοις ὁ
πρῶτος μέσος ὑπάρξει· καὶ οὕτως ἔσονται πλείω τὰ μέσα, ἀλλ' οὐχ οὕτως
25 ὡς ἐκεῖ, ἵν' εἴη ἕξω ἀλλήλων, ἀλλὰ θάτερον ὑπὸ θάτερον. εἰ δὲ τὰ 50
μέσα πλείω, δῆλον ὅτι καὶ τὰ αἴτια πλείω· τὰ αὐτὰ γὰρ μέσα καὶ αἴτια.

p. 99b9 Πότερον δ' αἴτιον τῶν μέσων.

Τοῦτο ἕτερον περὶ τῶν μέσων ζήτημα, ὅταν πλείους λαμβάνωνται
ἄτερος ὢν ὑπὸ τὸν ἕτερον. | πλειόνων γάρ, φησίν, ὄντων αἰτίων τοιούτων 125
30 ἀναμεταξὺ τοῦ μείζονος ὅρου καὶ τῶν καθ' ἕκαστα εἰδῶν, πότερον αὐτῶν
ἐστιν αἴτιον τοῖς καθ' ἕκαστα τοῦ μείζονος; τὸ ἐγγύτερον τοῦ πρώτου,
ὅπερ ἐστὶ πρῶτον ἀρχομένων ἡμῶν ἀπὸ τοῦ μείζονος, ὅπερ καθόλου
ὠνόμασεν, ἢ τὸ ὡς πρὸς τὸ καθ' ἕκαστον πρῶτον; καὶ ἐπάγει τὴν λύσιν
τῆς πεύσεως.

---

4 post τι add. ὅπερ E 5 λεγομένῳ om. E 12 τοῦ θερμοῦ E
15 τούτων δὲ E ἐν τῷ Περὶ ψυχῆς] B 4 καὶ τῷ Περὶ αἰσθήσεως] cf. c. 4. 5 (?)
ἐν τοῦ E καὶ τὸ a 17 τὰ ἄτομα E 20 τὸ post εἰς om. E
22 καὶ — πλείω om. Aa 24 ὑπάρχει E 29 τούτων E 32 ὅπερ (ante
καθόλου)] ὃ E

p. 99b 10 Δῆλον δὴ ὅτι τὰ ἐγγύτατα ἑκάστῳ. 125

Δῆλον δή, φησίν, ὅτι ἐκεῖνα ἔστιν αἴτια ἀεὶ τοῖς καθ' ἕκαστα, ἃ καὶ 6
ἐγγύτατά ἐστιν ἐκείνῳ, ᾧ αἴτιον λέγεται εἶναι τὸ αἴτιον. τοῦ γὰρ ὅλως
ἐξ ἀρχῆς ὑπὸ τὸ μεῖζον εἶναι τὰ καθ' ἕκαστα τοῦτό ἐστιν αἴτιον· τοῦτο
5 γὰρ περιέχον προσεχῶς τὰ καθ' ἕκαστα, δι' ἑαυτοῦ χορηγεῖ αὐτοῖς τὸ
καθόλου ἀνάλογον τῇ τάξει τῶν εἰδῶν. ἀεὶ γὰρ ταῖς καταδεεστέραις τῶν 10
ὑποστάσεων ἡ μετουσία τοῦ ἀγαθοῦ διὰ τῶν προσεχῶς αὐτῶν προϊσταμένων
παρέχεται, οἷον τοῖς σώμασι διὰ τῆς φύσεως, τῇ φύσει διὰ τῆς ψυχῆς,
τῇ ψυχῇ διὰ τοῦ νοῦ, τούτῳ διὰ τῆς ζωῆς, ταύτῃ διὰ τοῦ ὄντος. πλη-
10 θυντικῶς δὲ εἶπε τὰ ἐγγύτατα τὸν λόγον μεθιστὰς ἐπὶ τὸ καθόλου, ὅτι
ἀεὶ οὕτως ἔχει.

p. 99b 11 Τοῦ γὰρ τὸ πρῶτον ὑπὸ τὸ καθόλου ὑπάρχειν τοῦτο αἴτιον, οἷον τῷ Δ τὸ Γ τοῦ τὸ Β ὑπάρχειν αἴτιον.

Τοῦτο βεβαιωτικόν ἐστι τοῦ τὸ προσεχὲς τοῖς καθ' ἕκαστα αἴτιον 15
15 εἶναι τοῦ καθόλου ἤτοι τοῦ μείζονος. καὶ γάρ, φησί, καὶ αὐτοῦ τοῦ Β
τὸ Γ αἴτιον τοῖς καθ' ἕκαστα. καὶ αὐτὸ γὰρ τὸ πρῶτον μέσον αἰτίαν ἔχει
τῆς ἐν τοῖς καθ' ἕκαστα αὐτοῦ ὑπάρξεως τὸ προσεχὲς τοῖς καθ' ἕκαστα, ὡς
οὐκ ἄνευ ἐκείνου ὑπάρχειν αὐτοῖς δυνάμενον· οὐ γὰρ ἄνευ τοῦ πλατυφύλλου
τὸ πήγνυσθαι τὸν ὀπὸν τῇ συκῇ καὶ τῇ ἀμπέλῳ καὶ τοῖς ὁμοίοις. εἰ
20 τοίνυν καὶ πρὸς τὸ αὐτὸ τὸ Β ὑπάρχειν τοῖς Δ δεῖ αἰτίου τοῦ Γ, σχολῇ
ἂν εἴη τὸ Β τοῦ Α τοῖς Δ αἴτιον ἢ τὸ Γ. 20

p. 99b 13 Τῷ μὲν οὖν Δ τὸ Γ αἴτιον τοῦ Α, τῷ δὲ Γ τὸ Β, τούτῳ δὲ αὐτό.

Τοὺς ὅρους ἐκτίθησιν ἅπαντας, ἵνα σαφὲς ἔτι γίνηται, τίς τίνι τίνος
25 ἐστὶν αἴτιος. καὶ φησὶ τῷ μὲν Δ τοῖς καθ' ἕκαστα εἴδεσιν αἴτιον τὸ
προσεχὲς αὐτῷ μέσον, ὅπερ τὸ Γ ἐστί, τοῦ Β, ὅπερ ἐστὶ τὸ προσεχὲς τῷ
μείζονι μέσον. τῷ δὲ Γ αἴτιον τοῦ Α τὸ Β· διὰ γὰρ τοῦ Β τὸ Α τῷ Γ.
τούτῳ δὲ τῷ Β οὐκ ἔστι τι αἴτιον τοῦ Α ἀλλ' αὐτό, ἢ αὐτὸ τὸ Α ὡς 25
ἀφ' ἑαυτοῦ ὑπάρχον τῷ Β ἢ αὐτὸ τὸ Β ὡς λόγος ὂν τοῦ Α. ὁ γὰρ
30 λόγος τινὸς οὐκ ἔχει ἑαυτοῦ λόγον ἀνώτερον, δι' οὗ ὑπάρξει αὐτῷ τὸ
προσεχῶς ὑπὲρ αὐτό.

---

5. 6 τὰ καθόλου E 6 ἀνάλογα E 10 ἐγγύτατα] καθ' ἕκαστα E
12. 13 Τοῦ γὰρ—τοῦτο αἴτιον om. Aa 14 βεβαιότερον Aa 16. 17 καὶ αὐτὸ γὰρ—τῆς ἐν τοῖς καθ' ἕκαστα bis exh. E 21 ἂν εἴη] δ' ἂν ἔσται Aa
τοῦ β E 22 αἴτιον τὸ γ coll. E 24 γένηται E 25 αἴτιον om. Aa
27 μέσω E 28 ἢ αὐτῷ Aa 29 λόγος] λόγῳ a 31 προσεχὲς Aa

p. 99b 15 Περὶ μὲν οὖν συλλογισμοῦ καὶ ἀποδείξεως. 125

Περὶ ὧν προέθετο ἐδίδαξε, καὶ περὶ ὧν ἐδίδαξε, συνεπέρανε. προέθετο γὰρ διδάξαι περὶ συλλογισμοῦ τε καὶ ἀποδείξεως τῆς Ἀναλυτικῆς πραγμα- 30 τείας ἀρχόμενος, τῆς μὲν καθ' αὑτό, τοῦ δὲ δι' αὐτήν. καὶ ἐν μὲν τοῖς Προτέροις ἀναλυτικοῖς ἱκανῶς τήν τε οὐσίαν καὶ τὴν γένεσιν τοῦ ἁπλῶς συλλογισμοῦ παραδέδωκεν, ἐν δὲ τοῖς Ὑστέροις τούτοις τὴν τῆς ἀποδείξεως οὐσίαν καὶ γένεσιν, ὡσαύτως δὲ καὶ τῆς ἀποδεικτικῆς ἐπιστήμης· ταὐτὸν γάρ ἐστιν. εἰ γὰρ καὶ τῷ λόγῳ διενηνόχατον ἀπόδειξίς τε καὶ ἀποδεικτικὴ ἐπιστήμη ὡς ἕξις τε καὶ ἐνέργεια, ἀλλ' οἱ αὐτοὶ περὶ ἀμφοῖν λόγοι τῆς παραδόσεως. οὐκ ἄρα περὶ ὁρισμοῦ οὐδ' ἐν τῷ δευτέρῳ τῶν ὑστέρων ἡ 35 πρόθεσις, ἀλλὰ περὶ τοῦ μέσου τοῦ ἐν τῇ ἀποδείξει, ὃς ἐπεὶ λόγος ἐστὶ τοῦ μείζονος, διὰ τοῦτο καὶ ὁρισμὸς εἰς μέσον παρείληπται. εἰ γὰρ ἦν περὶ ὁρισμοῦ ἁπλῶς ὁ λόγος αὐτῷ, συνεπέρανεν ἂν καὶ περὶ τούτου ὡς περὶ συλλογισμοῦ τε καὶ ἀποδείξεως. τοίνυν εἴτε συμπέρασμα τοῦτ' ἐρεῖς εἴτε ἀνακεφαλαίωσιν, ταὐτὸ λέγειν ἐστίν. ὡς γὰρ περὶ ὧν ἀπέδειξε ταῦτα συνεπέρανεν, οὕτω καὶ περὶ ὧν προεδίδαξε ταῦτ' ἀνεκεφαλαιώσατο, περί τε συλλογισμοῦ καὶ ἀπο- 40 δείξεως καὶ ἀποδεικτικῆς ἐπιστήμης τὸν λόγον ἅπαντα καθ' αὑτὸ ποιησάμενος.

p. 99b 17 Περὶ δὲ τῶν ἀρχῶν πῶς τε γίνονται.

Περὶ μὲν οὖν συλλογισμοῦ τε καὶ ἀποδείξεως, ταὐτὸν δὲ εἰπεῖν ἀποδεικτικῆς ἐπιστήμης, εἴρηται ἤδη ἱκανῶς κατὰ τὴν ἐξ ἀρχῆς πρόθεσιν. 45 ἵνα δὲ καὶ ὁ περὶ τούτων λόγος αὐτοτελὴς ᾖ καὶ τῆς αὐταρκείας ἐχόμενος, προσκείσθω καὶ τοῦτο τοῖς εἰρημένοις. ἐπεὶ γὰρ ἐξ ἀρχῶν ἡ δι' ἀποδείξεως ἐπιστήμη, δεῖ καὶ περὶ τούτων εἰπεῖν, τίς ἡ ἕξις ἡ ταύτας γνωρίζουσα. ὅτι μὲν γὰρ εἰς τὴν ἀπόδειξιν δεῖ τῶν ἀμέσων ἀρχῶν, ὡς ἄνευ τῆς τούτων γνώσεως μὴ ἐνδέχεσθαι ταύτην γίνεσθαι, εἴρηται πρότερον. ἔχει δὲ ἀπορίας ὁ περὶ τῆς τῶν ἀρχῶν γνώσεως λόγος, πρῶτον μέν, εἰ ἡ αὐτή ἐστι γνῶσις τῶν τε ἀρχῶν καὶ τῶν ἐξ αὐτῶν γινωσκομένων, ἢ ἑτέρα μὲν 50 ἐκείνων ἑτέρα δὲ τούτων, οἷον εἰ ἐπιστήμη ἐστὶν ἡ ἐκείνων καὶ τούτων γνῶσις, ἢ τῶν μὲν ἐπιστήμη τῶν δὲ ἕτερόν τι γένος γνώσεως. δεύτερον δὲ πότερον ὥσπερ τὴν τῶν ἐκ τῶν ἀρχῶν γινωσκομένων γνῶσιν οὐκ ἐνοῦσαν πρότερον κτώμεθα, οὕτω καὶ ἡ ἕξις οὐκ ἐνοῦσα τῆς τῶν ἀρχῶν γνώσεως ἡμῖν ἐγγίνεται, ἣ ἔνεστι μὲν ἐν ἡμῖν εὐθὺς ἐξ ἀρχῆς, λανθάνει δ' ἐνοῦσα καὶ οὐκ | ἐφιστάνομεν ταύτην ἔχοντες. καίτοι τοῦτο ἄτοπον 126 γνῶσιν ἔχοντας ἀγνοεῖν ὅτι ἔχομεν, καὶ ἀγνοεῖν ὅτι γινώσκομεν ἔχοντες

---

5 καὶ τὴν] τήν τε E 12 μέσον] τοῦτο E 13 ὁ λόγος ἁπλῶς coll. E
19 οὖν et τε om. Aa 20 ἤδει E 21 pr. καὶ om. Aa 24 ἀμέσων] πρώτων E ὡς] καὶ Aa 28 τούτων καὶ ἐκείνων E 30 δὲ om. Aa τῶν post τὴν om. E 31 κατώμεθα a ἡ om. Aa οὐκ ἐνοῦσαν Aa
34 ἔχοντες] ἐχόντων E 34 p. 256,1 fort. legendum καὶ ταῦτα ἔχοντες

καὶ ταῦτα γνῶσιν ἀποδείξεως κρείττω τε καὶ ἀκριβεστέραν. εἰ δὲ μὴ τού- 126
των γνῶσιν ἔχοντες πρότερον λαμβάνομεν ταύτην ὕστερον, πῶς ἂν ἐνδέ-
χοιτο ταύτην λαβεῖν ἐκ μὴ προϋπαρχούσης ἑτέρας γνώσεως, ἥτις ἡμῖν
ἐνοῦσα πρὸς τὴν τούτων γνῶσιν λυσιτελήσει· τοῦτο γὰρ ἀδύνατον δέδεικται, 5
5 ὅτε περὶ ἀποδείξεως ἐλέγετο. ταῦτα μέν ἐστιν ἅπερ ἐζήτηται περὶ τῶν
ἀρχῶν, καὶ δεῖ πρὸς ταῦτα προσφυῶς ἁπαντᾶν. ἐπεὶ οὖν ἑκατέρωθεν
ἄτοπον ἕπεται, κἂν ἔχειν ἡμᾶς εἴποι τις ἐξ ἀρχῆς τὴν γνῶσιν αὐτῶν, κἂν
ἀγνοοῦσιν ἁπλῶς, ὡς μηδεμίαν ἔχειν γνῶσεως ἕξιν, ἡμῖν ἐγγίνεσθαι, οὐδέτερον
ἂν εἴη τούτων ἀληθές· ἀλλ' ἀνάγκη μὲν ἔχειν ἡμᾶς πρὸ τῆς τῶν ἀρχῶν
10 γνώσεως δύναμίν τινα γνωστικήν, οὐ μὴν δὲ τοιαύτην, ὡς εἶναι τούτων
ἐκείνην ἀκριβεστέραν, ὥσπερ ἡ τῶν ἀρχῶν γνῶσις ἀκριβεστέρα ὑπάρχει 10
τῆς ἀποδείξεως. ἢ γὰρ ἂν ἐκεῖνα ὑπῆρχον ἀρχαὶ τὰ ὑπὸ τῆς ἀκριβεστέρας
ἐκείνης γνώσεως γινωσκόμενα, καὶ περὶ ἐκείνων ἂν ἐζητεῖτο τὰ αὐτά, καὶ
εἰς ἄπειρον οὕτως ὁ λόγος προέβαινεν, ὡς μήτε ἀρχὰς εἶναι μήτε ἀπο-
15 δείξεις. ἀλλ' ὥσπερ ἐκ τοῦ χείρονος πρὸς τὸ κρεῖττον ἅπασα γένεσις καὶ
ἀπὸ τοῦ ἀτελοῦς πρὸς τὸ τέλειον, οὕτως καὶ ἡ κατὰ τὸν ἄνθρωπον ἐκ
θρεπτικοῦ καὶ αὐξητικοῦ καὶ διαπλαστικοῦ καὶ ἁπλῶς φυτικῆς δυνάμεως, ἣν
εὐθὺς ἡ πρώτη καταβολὴ τῆς γονῆς τῷ ὑποκειμένῳ ἐνδίδωσιν, εἰς αἰσθητικήν 15
τε καὶ ἁπλῶς ζωτικήν, ἐκ ταύτης εἰς λογικὴν καὶ ἀνθρωπικήν. τοιγαροῦν
20 κοινὴ μὲν ζῴοις ἅπασιν αἴσθησις ὡς ἴδιος οὖσα τοῦ ζῴου, ᾗ ζῷόν ἐστι·
τῶν δὲ ζῴων τὰ μὲν μέχρι μόνης ταύτης μεμένηκε, μηδεμίαν γνωστικὴν
ἐπέκεινα δύναμιν ἔχοντα, ὡς εὐλαί τε καὶ μυῖαι καὶ ἐμπίδες καὶ κώνωπες·
τοῖς δὲ καὶ μετὰ τὸ αἰσθέσθαι γνῶσίς τις ἐπέκεινα ὑπολέλειπται, καὶ
ἀπόντος τοῦ αἰσθήματος αὐτὴ παραμένουσα καὶ τὸν τύπον ἐκείνου φυλάτ- 20
25 τουσα ἤδη καὶ μνήμη προσαγορεύεται, μονή τις οὖσα τοῦ τῆς αἰσθήσεως
ἐνεργήματος. ἔστι δὲ καὶ τούτοις διαφορά· τὰ μὲν γὰρ τοῦτο μόνον ἔχει
τὸ εἰρημένον ἐπέκεινα τῆς αἰσθήσεως, τοῖς δὲ πρὸς τούτῳ καὶ τὸ δύνασθαι
συνάπτειν τὰ ὅμοια πρόσεστι καὶ πρὸς τὸ καθόλου ἀνάγεσθαι. οἷον ἐλλέ-
βορόν τις κενωτικὸν μελαίνης χολῆς ἐγνώρισεν, ἅπαξ καὶ δὶς καὶ πολλάκις
30 πεῖραν λαβὼν αὐτοῦ διὰ τῆς αἰσθήσεως· εἶθ' ὁσάκις ἴδῃ ἐλλέβορον, ὁμοίως
ἔχειν τοῖς ᾐσθημένοις τὸν νῦν ὁρώμενον ἀποφαίνεται, καὶ οὕτως αὐτῷ 25
ἡ τοῦ καθόλου κατανόησις περιγίνεται. τὰ μὲν οὖν μέχρι τῆς αἰσθήσεως
ἱστάμενα ἀτελέστερα τῶν ζῴων ἐστί, τὰ δὲ καὶ μνήμην πρὸς ταύτῃ ἔχοντα
ἐκείνων ἐστὶ τελειότερα, ὡς καὶ ἀπόντος τοῦ αἰσθηθέντος τὸν τύπον αὐτοῦ
35 ἐπὶ πολὺ διασώζοντα. τελεώτατα δ' ἔστιν οἷς ἡ τοῦ ὁμοίου θεωρία τε
καὶ διάκρισις, ὅθεν καὶ τὸ καθόλου τὸ ἐν τοῖς πολλοῖς τῇ ψυχῇ περι-
γίνεται. ἐκ μὲν οὖν αἰσθήσεως καταδεεστέρας οὔσης ἁπάσης γνώσεως
μνήμη, ἐκ δὲ μνήμης ἐμπειρία· ἐκ γὰρ πολλῶν μνημῶν ἡ ἐμπειρία 30

1 τε om. E 2 ἂν om. E 2. 3 ἐνδέχεται E 6 δὴ et ἁπαντᾷ E
7 ἄτοπα E ἡμᾶς post τις transp. E 13 ἐζητεῖτο scripsi: ἐζήτηται Aa: ἐζήτητο E 16 τὸν om. Aa 17 θρεπτικῆς καὶ αὐξητικῆς καὶ διαπλαστικῆς E δυνάμεων a 18. 19 αἰσθητικὸν et ζωτικὸν E 19 λογικὸν καὶ ἀνθρωπικόν E
20 ἴδιος E 21 μόνης om. Aa 25 ἤδη scripsi: ἢ δὴ libri 33 πρὸς ταύτην Aa

συνέστηκεν. ἐκ δὲ ἐμπειρίας τὸ καθόλου τῇ ψυχῇ πήγνυται καὶ συνί- 126
σταται, ὅπερ ἐστὶ τὸ ὅμοιον καὶ ταὐτὸν ἐν τοῖς καθ' ἕκαστα καὶ ὅπερ
ἐν τοῖς πολλοῖς λέγεται. τὸ δὲ καθόλου ἀρχὴ γίνεται τέχνης καὶ ἐπι-
στήμης, εἰ μὲν ἐν τοῖς ὡς ἐπὶ τὸ πολύ, τέχνης, εἰ δ' ἐν τοῖς ἀεὶ ἔχουσιν
5 ὡσαύτως, ἐπιστήμης. τὸ γὰρ καθόλου θεωρεῖται ἔν τε τοῖς ἐν γενέσει καὶ
φθορᾷ καὶ οἷς μεθ' ὕλης τῆς ἀεὶ ῥεούσης ἡ ὕπαρξις, καὶ ἐν τοῖς ὡσαύτως
ἀεὶ ἔχουσιν, ἀλλ' ἐπ' ἐκείνων μὲν πταιστὸν τὸ καθόλου καὶ ποτὲ ἄλλως 35
ἔχον ἤπερ κατείληπται, ἐπὶ δὲ τούτων ἀεὶ τὸ αὐτό. ὥστε οὔτε ἐνυπάρ-
χουσι τέλειαι ἕξεις τῆς τῶν ἀρχῶν γνώσεως οὔτε μὴ οὖσαι γίνονται ἀπὸ
10 ἄλλων γνωστικωτέρων ἕξεων, ὥσπερ αἱ ἀποδείξεις ἀπὸ τῶν ἀρχῶν γνωστι-
κωτέρων οὐσῶν τῶν ἀποδεικτῶν, ἀλλ' ἀπὸ χειρόνων ἕξεων γνωστικῶν, αἵ
τινές εἰσιν αἱ αἰσθήσεις, τῆς ψυχῆς ἐπ' αὐτὰς προκοπτούσης ἀποτελοῦνται,
ὡς εἶναί τι τοιοῦτον τὸ γινόμενον, ὥσπερ ἐν μάχῃ τροπῆς γινομένης εἰς
τοῦ τραπέντος μέρους ἔστη, καὶ τοῦτον ἰδὼν ἕτερος ἔστη κἀκεῖνος, εἶτ' 40
15 αὖθις ἕτερος, καὶ οὕτω κατὰ μικρὸν ἦλθεν ὁ πόλεμος ἐπ' ἀρχήν· ἑνὸς γὰρ
στάντος αἰσθήματος τῇ ψυχῇ καὶ αὖθις ἑτέρου ὁμοίου ἐκείνῳ καὶ τρίτου
ἔτι ἡ τοῦ καθόλου ἔννοια τῇ ψυχῇ ἵσταται καὶ ἀρχή, ὡς εἴρηται, γίνεται
τέχνης καὶ ἐπιστήμης. τὰ γὰρ καθόλου ἀρχαὶ τούτων ἐστίν, ἐπεὶ καὶ ἐπὶ
τῶν κοινῶν ἐννοιῶν οὕτως γίνεται. γνόντες γὰρ αἰσθητῶς ὅτι τόδε τῷδε
20 ἴσον καὶ τόδε τῷ αὐτῷ, καὶ αὖθις ἕτερον καὶ τέταρτον ἴσως, καὶ ἀλλήλοις
εἶναι ἴσα τὰ πρὸς τὸ αὐτὸ ἴσα λέγομεν. καὶ πάλιν ὅτι ἐπὶ τοῦδε ἢ ἡ 45
κατάφασις ἢ ἡ ἀπόφασις, καὶ ἐπὶ τοῦδε ὡσαύτως, καὶ ἐπὶ τρίτου τε καὶ
τετάρτου, εἰς τὴν καθόλου ἀνερχόμεθα ἔννοιαν, οὕτως ἔχειν ἐπὶ πάντων
ἀποφαινόμενοι. τούτου δὲ αἴτιον ἡ τῆς ψυχῆς οὐσία· τοιαύτη γάρ ἐστιν
25 οἵαπερ καὶ προκόπτειν πεφυκέναι ἀπὸ τοῦ ἀτελοῦς πρὸς τὸ τέλειον, ἢ καὶ
τῶν αἰσθητῶν παρόντων τῶν ὁμοίων τύπων ἐπιλαμβάνεσθαι τῇ μνήμῃ τὸ
καθόλου συλλέγουσα. καὶ τὸ πρᾶγμα Πλάτων μὲν ἂν εἴποι ἀνάμνησιν,
λήθην μὲν πασχούσης τῆς ψυχῆς, ὡς ἐκεῖνός φησι, διὰ τὴν εἰς τὴν γένεσιν 50
κάθοδον, κατὰ μικρὸν δὲ προϊούσης εἰς τὴν τοῦ ἐπιλησθέντος ἀνάληψιν διὰ
30 τῆς κατὰ αἴσθησιν γνώσεως, Ἀριστοτέλης δὲ ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ
μεταβολήν, δυνάμει λέγων ταῖς ἀνθρωπίναις ψυχαῖς ἐνεῖναι τὸν νοῦν ἐξ
ἀρχῆς, καὶ διὰ τῶν αἰσθημάτων προέρχεσθαι εἰς ἐνέργειαν.

Ἀλλ' ἀλλοτρίαις μὲν δόξαις διαιτᾶν καὶ ὡς ἔχουσιν | ἀληθείας ἢ ψεύδους 127
ἐξετάζειν ἐν τῷ παρόντι περιττόν· οὐκ ἄχαρι δ' ἴσως λόγον προσθεῖναί τινα
35 τοῦ πράγματος ἐφαπτόμενον. ἐν τῇ τάξει τῶν εἰδῶν τὰ προσεχῶς μετά τι
μετέχει τρανότερον τοῦ προσεχῶς πρὸ αὐτῶν. ἐπεὶ οὖν ἡ ψυχὴ προσ-
εχῶς μετὰ νοῦν, μετέχει τοῦ νοῦ μᾶλλον ἤπερ τὰ πόρρω τοῦ νοῦ, καὶ
τούτου ἐν αὐτῇ ἀπηχήματα αἱ κοιναὶ καὶ αὐτόπιστοι ἔννοιαι, δι' ὧνπερ
φέρει τινὰ πρὸς τὰς ἀμέσους τοῦ νοῦ ἐπιβολὰς ἀπομίμησιν, αἳ δὴ ἐξ ἀρχῆς 5

---

4 ὡς om. E 8. 9 ἐνυπάρχουσαι a 10 ἀπὸ om. a 14 τρεπέντος E μέρους ἔσται E 18 ἀρχὴ a 22 ἡ om. E 23 ἄνιμεν E 25 πεφυκυῖα E 27 Πλάτων] Phaedon. 72 Esqq. 30 Ἀριστοτέλης] cf. de an. Γ 4. 5 31 νοῦν] οὐρανὸν E 32 προσέρχεσθαι Aa 33 ἀλλότριον E 34 ἄχαρι] ἄχρι Aa 39 ἀπομίθησιν a

μὲν αὐτῇ ὡς ἐμπυρεύματα ἐν αἰθάλῃ ἀποκεκρύφαται τῇ ἐπικρατείᾳ τῶν 127
χειρόνων δυνάμεων συγχεόμεναι, λέγω δὴ τῆς φυτικῆς τε καὶ ζωτικῆς,
διὰ τὸ φθανούσας ταύτας ἐνεργεῖν ἐν τῷ σώματι γενεσιουργούς τε οὔσας
τῷ τε σώματι προσεχῶς χορηγούσας τὴν σύστασιν. καὶ τοῦτο ἐπιτήδειον
5 πρὸς τὰς δι' αὐτοῦ ἐνεργείας παρασκευαζούσας τῇ κρείττονι. ὧν ἐνερ-
γουσῶν σὺν σφοδρότητι ἀπροσεκτεῖν ἑαυτῇ συμβαίνει τὴν λογικὴν ὑπὸ τῆς 10
ἐκείνων κατασυρομένην ὁρμῆς καὶ ἀπείρως ἔτι ἔχουσαν τῆς ἐνταῦθα θεω-
ρίας καὶ πράξεως, καὶ ποδηγίας δεομένην, ἵν' ἑαυτῇ τὴν ἐπιστήμην καὶ
τὰς ἐγκειμένας ἐννοίας προβάλῃται. ὡς ἔχειν μὲν ἀρχῆθεν τὰς κοινὰς
10 ἐννοίας ἐν ἑαυτῇ, τοσοῦτον δὲ λείπεσθαι τῆς αὐτῶν προχειρίσεως, ὅσον
δεῖσθαί τινος τοῦ αὐτὴν εἰς ἐπίστασιν ἄγοντος κατασυρομένην ὑπὸ τῆς
ῥύμης τοῦ χείρονος καὶ προσέχειν μὴ συγχωρουμένην οἷς κέκτηται. κἂν
τις διδάσκων βραχύν τινα λόγον προβάλῃται ὅσον σημᾶναι περὶ αὐτῶν, 15
εὐθὺς ὡς προειδυῖα τὸ λεγόμενον συγκατατίθεται. τοῖς γὰρ μὴ πεπηρω-
15 μένοις ἀλλ' ἔχουσι κατὰ φύσιν τῆς λογικῆς οὐσίας τε καὶ δυνάμεως μήπω
τι περὶ τῶν ἀρχῶν ἐννοήσασιν εἴ τις ἐρεῖ τὸ ὅλον μεῖζον εἶναι τοῦ μέρους
ἢ τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις εἶναι ἴσα ἢ ἐπὶ παντὶ πράγματι ἢ τὸ
εἶναι αὐτὸ ἀληθεύειν ἢ τὸ μὴ εἶναι καὶ ὅσα τοιαῦτα, οὐδὲ μαθεῖν τι ἐκ
τοῦ λόγου οἰήσονται, ἀλλ' ὡς προειδότες δέξαιντ' ἂν τὰ λεγόμενα μόνης ἐνίοτε
20 τῆς κατὰ τὴν λέξιν σαφηνείας δεόμενοι διὰ τὸ τῶν ὀνομάτων ἀσύνηθες. 20
οὔτε οὖν ὡς προϋπάρχουσαι τῶν σωμάτων αἱ ψυχαὶ εἰς ἀνάμνησιν ἔρχονται
τῶν ἀρχῶν οὔτε μὴν ὡς κατ' οὐσίαν ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ προ-
βαίνουσαι εἰς γνῶσιν τῶν ἀμέσων προΐασι διὰ τῶν αἰσθήσεων, ἀλλ' ἔχουσι
μὲν ταύτας σὺν τοῖς προσφυέσι σώμασιν εἰς τὸ εἶναι παραγενόμεναι, οὐ
25 προβάλλουσι δὲ ὑπὸ τῆς ἀλογίας τῶν χειρόνων κατακρατούμεναι· εἰς ἐπί-
στασιν δ' ἔρχονται τούτων, καὶ ἢ ἀπὸ αἰσθήσεως ἢ ἀπὸ λόγου ποδηγοῦνται
ὥσπερ ἐξυπνιζόμεναι. ἀλλ' ἐπανέλθωμεν ὅθενπερ ἐξέβημεν. πῶς τὸ καθόλου 25
ἐλέγομεν τῇ ψυχῇ περιγίνεσθαι. ἑνὶ γὰρ τῶν κατ' εἶδος ἀδιαφόρων προσ-
βαλλούσης τῆς αἰσθήσεως ἵσταται μὲν τοῦτο πρῶτον ἐν τῇ ψυχῇ καθόλου.
30 εἰ γὰρ καὶ τὸ καθ' ἕκαστόν ἐστιν ὃ τῇ αἰσθήσει ὑπόκειται, ἀλλὰ κατὰ τὸ
ἐν αὐτῷ κοινὸν διὰ τῆς αἰσθήσεως τῇ ψυχῇ παραπέμπεται. Καλλίου γὰρ
ὁρωμένου ἄνθρωπον ἡ ψυχὴ ἐν ἑαυτῇ παραδέχεται, ὅπερ κοινόν ἐστιν.
ὥστε ἐν αἰσθήσει μὲν τὸ καθ' ἕκαστον γίνεται, τὸ δὲ εἰς γνῶσιν τῷ λόγῳ 30
ἐρχόμενον τὸ καθόλου ἐστίν· οὐ γὰρ Καλλίας, ἀλλ' ἄνθρωπος. τούτου οὖν
35 γινωσκομένου. ἤγουν τοῦ ἐκ τῶν καθ' ἕκαστα καὶ ἓν τῷ ἀριθμῷ καθόλου.
ἐν τούτοις πᾶσιν τοῖς ὡς εἴδεσι καθόλου ἵσταται ἄλλο τι καθόλου, ὑφ' ὃ
τὰ κατ' εἶδος καθόλου ἀνάγεται. καὶ μέχρι τοσούτου ἡ ἄνοδος καὶ ἡ τοῦ

---

1 ἐμπυρεύματα] συμπεράσματα E κεκρύφαται Aa 2 δὴ scripsi: δὲ libri
φυσικῆς E 3 φθανούσης E 7 ἔχουσαν καὶ ἀπείρως ἔτι coll. libri
8 τὴν ἐπιστήμην] τ' ἐπιστήμῃ Aa 10 ἐν αὐτῇ E 11 δεῖσθαι] δεῖξαι E
14 κατατίθεται Aa 20 τὴν om. E 25 κατακρατούμεναι] κρατούμενα E
27 ὅθεν παρεξέβημεν Aa 28 ἐλέγετο E διαφόρων Aa 30 καὶ om. a
κατὰ τὰ E 33 γνῶσις a 36 ὡς om. Aa

καθόλου στάσις, ἕως ἂν εἴς τι πέρας ἡ ἄνοδος στῇ τῶν ἀμερῶν καὶ 127
καθόλου, ὅπερ ἐστὶ τὸ γενικώτατον. τὸ αὐτὸ καὶ ἐφ' ἑκάστης κατηγορίας,
οἷον ἀπό τινος ἀνθρώπου εἰς ἁπλῶς ἄνθρωπον καὶ ἀπὸ τοιουδὶ ζῴου εἰς 35
ζῷον καὶ ἀπὸ τοιουδὶ ἐμψύχου εἰς ἔμψυχον καὶ ἀπὸ τοιασδὶ οὐσίας εἰς
5 οὐσίαν. τὸ αὐτὸ ἐπὶ λευκοῦ, τὸ αὐτὸ ἐπὶ τριπήχους καὶ ἐπὶ πάντων. ὥστε
δῆλόν ἐστιν ὅτι καὶ αἱ ἀρχαὶ ἐπαγωγῇ γνωρίζονται· πᾶσα γὰρ ἡ ἀπὸ τῶν
καθ' ἕκαστα τοῦ καθόλου συναγωγὴ ἐπαγωγή ἐστιν. οὕτω γὰρ καὶ ἡ
αἴσθησις τὰ καθόλου ἐμποιεῖ τὰ καθ' ἕκαστα τῇ ψυχῇ χορηγοῦσα καὶ ἐξ
αὐτῶν αὐτῇ πρὸς τὸ καθόλου διδοῦσα πρόφασιν. τοῦδε οὖν τῷδε ὄντος
10 ἴσου, καὶ τοῦδε τῷ αὐτῷ, καὶ τρίτου καὶ τετάρτου, τὰ τῷ αὐτῷ ἴσα καὶ 40
ἀλλήλοις εἶναι ἴσα καθόλου γνωρίζομεν· ὁμοίως τοῦδε ὅλου ὄντος καὶ τοῦδε
μέρους, ἃ τῇ αἰσθήσει γνώριμα, καὶ τοῦ μὲν μείζονος τοῦ δ' ἐλάττονος,
ἐκ τῶν αἰσθήσει γνωρίμων εἰς γνῶσιν τοῦ καθόλου τὸ ὅλον μεῖζον εἶναι
τοῦ μέρους ἥκομεν. καὶ οὕτω μὲν ἐπαγωγικῶς αἱ ἀρχαὶ γίνονται γνώριμοι·
15 ὑπόλοιπον δ' ἂν εἴη λέγειν τίς ἡ ἕξις καθ' ἣν αἱ ἀρχαὶ γινώσκονται. ἀλλ'
ἐπείπερ ἡ διάνοιά ἐστι καθ' ἣν ὁ ἄνθρωπος ᾗ ἄνθρωπος ἐνεργεῖν πέφυκεν,
ἴδωμεν τὰς περὶ αὐτὴν ἕξεις. τούτων οὖν αἱ μὲν ἀεὶ ἀληθεῖς εἰσιν, αἱ δὲ 45
ποτὲ καὶ ψευδεῖς. ποτὲ μὲν οὖν τὸ ψεῦδός εἰσι δεχόμεναι δόξα καὶ λογι-
σμός, ἅπερ ἄμφω μὲν περὶ τῶν ἄλλοτε ἄλλως ἐχόντων, ἀλλ' ἡ μὲν εἰς
20 θεωρίαν μόνην πολλάκις καταντᾷ πρᾶξιν μὴ ἔχουσαν, ὁ δὲ λογισμὸς εἰς
πρᾶξιν ἀεὶ ἀποτείνεται· διὸ καὶ πρακτικὸς νοῦς ὀνομάζεται. ἀληθεῖς δὲ ἀεὶ
ἐπιστήμη ἐστὶ καὶ νοῦς. ἐπεὶ οὖν κρείττων ἡ γνῶσις τῶν ἀρχῶν, εἴη ἂν
καὶ κρείττονος ἕξεως ἢ κατὰ δόξαν καὶ λογισμόν, ὥστ' ἢ ἐπιστήμη ἢ νοῦς.
ἀλλὰ πᾶσα ἐπιστήμη μετὰ λόγου· ὥστ' εἰ ἐπιστήμη γνῶσις τῶν ἀρχῶν, 50
25 εἴη ἂν ἡ γνῶσις τῶν ἀρχῶν μετὰ λόγου. ἀλλὰ πᾶς λόγος ἐπιστημονικὸς
ἐξ ἀρχῆς· ἔσονται δὴ ἀρχαὶ τῶν ἀρχῶν· καὶ οὕτω προίοι ἂν ὁ λόγος ἐπ'
ἄπειρον. λείπεται ἄρα κρείττονος ἢ κατ' ἐπιστήμην ἕξεως εἶναι τὴν γνῶσιν
τῶν ἀρχῶν. κρείττων δὲ ἐπιστήμης γνωστικὴ | ἕξις οὐκ ἔστιν ἄλλη ἢ 128
νοῦς· νοῦς ἄρα γνωστικὸς τῶν ἀρχῶν. ἔπειτα ἐπιστήμης ἀρχὴ οὐκ ἔστιν
30 ἀπόδειξις, ἀλλ' ἕτερόν τι ὑπὲρ ἀπόδειξιν γινωσκόμενον· ὥστ' οὐδὲ ἐπι-
στήμης ἀρχὴ ἐπιστήμη, ἀλλ' ὑπὲρ ἐπιστήμην τι ἕτερον. οὐδεμίαν δέ τινα
δύναμιν ἐν ἑαυτοῖς ἔχομεν ἀληθευτικὴν ὑπὲρ ἐπιστήμην ἢ νοῦν. ὥστε
νοῦς ἂν εἴη ἐπιστήμης ἀρχή, καὶ ἡ μὲν ἀρχὴ τῆς ἐπιστήμης, ἥτις ὁ
νοῦς ἐστιν, εἴη ἂν τῶν ἀρχῶν τοῦ ἐπιστητοῦ γνωστική, ἡ δὲ πᾶσα ἐπι- 5
35 στήμη τοῦ παντὸς ἐπιστητοῦ· ὡς γὰρ ἡ ἀρχὴ πρὸς τὰς ἀρχὰς γνωστικὴ
αὐτῶν οὖσα, οὕτω καὶ ἡ πᾶσα ἐπιστήμη πρὸς πᾶν τὸ ἐπιστητόν, αὐτὸ
γινώσκουσα.

---

1 στῇ] στᾶ E 7 καὶ om. E 9 πρόσφασιν a 10 καὶ τῶδε τῷ E
12 δ' om. a 14 ἐπαγωγικῶς] ἐπαγωγῇ καὶ E 20 λογισμὸς] συλλογισμὸς Aa
21 ὀνομάζεται om. E ἀληθεῖς—ἀεὶ] αἱ δὲ ἀεὶ ἀληθεῖς Aa 22 ἐστὶ om. E
25 εἴη ἂν—ἀρχῶν om. Aa 29 ἐπιστήμης] ἀποδείξεως E 30 οὐδὲν Aa

p. 99b17 Περὶ δὲ τῶν ἀρχῶν πῶς τε γίνονται γνώριμοι. 128

Ἐπεὶ θεῖόν τι χρῆμα τὸ αὔταρκες καὶ ταῖς ψυχαῖς, εἴπερ ἄλλο τι ζητούμενον χρὴ καὶ τῷ περὶ ἐπιστήμης λόγῳ τοῦτο παρεῖναι, ἣν καὶ ψυχαὶ κατὰ τὴν σφετέραν τελείωσιν ἑαυταῖς συνεστήσαντο μηδὲν αὐτῆς, ᾗ ψυχαί 10 5 εἰσιν, οἰκειότερον ἔχουσαι. ὅτι μὲν οὖν ἐξ ἀρχῆς ἡ ἐπιστήμη, εἴρηται πρότερον· ἐκ γὰρ τῶν καθ' αὑτὸ καὶ ᾗ αὐτὸ καὶ πρώτων καὶ ἀμέσων καὶ αἰτίων τοῦ συμπεράσματος· δεῖ δὴ ζητῆσαι περὶ τῶν ἀρχῶν, τίνι τε τρόπῳ γνώριμοι γίνονται καὶ τίς τῆς ψυχῆς ἕξις, καθ' ἣν ταύτας γνωρίζειν πέφυκε. περὶ ἀποδείξεως γὰρ καὶ ἐπιστήμης εἰπόντες ἀποδεικτικῆς εἰ τοῦτο ἐν τῷ 10 λόγῳ παρήκαμεν, εἰκότως ἂν ἀτελὴς οὗτος ἔδοξεν, ἄλλῳ τινὶ τῶν αὐτῷ τι ἁρμοττόντων καταλιπών. ἐπεὶ δ' ἀπορητικῶς ὁ λόγος προβαίνων ἀφορμὴν 15 ἑαυτῷ πρὸς εὐπορίαν παρέχεται τὴν αἰτίαν τε τοῦ δεσμοῦ ἀνευρίσκων κἀντεῦθεν πρὸς τὸ λύειν γινόμενος ἑτοιμότατος, καθάπερ αὐτὸς Ἀριστοτέλης ἐν τῷ δευτέρῳ φησὶ τῶν Μετὰ τὰ φυσικά, δεῖ πρῶτον προαπορῆσαι.

15 p. 99b20 Ὅτι μὲν οὖν οὐκ ἐνδέχεται ἐπίστασθαι.

Ἐκ τῶν περὶ ἀποδείξεως εἰρημένων ἔχει ὁμολογούμενον τὸ μὴ ἐνδέχεσθαι ἐπίστασθαι δι' ἀποδείξεως, εἰ μή τις εἰδείη τὰς ἀρχὰς τὰς ἀμέσους. εἰ γὰρ ἐκ τῶν πρώτων καὶ ἀμέσων πᾶσα ἀπόδειξις, δεῖ ταῦτα προειδέναι· εἰ γὰρ ταῦτα ἄδηλα, πῶς ἐξ ἀδήλων τι δῆλον γενήσεται; ἀλλ' εἰ καὶ πᾶσα 20 διδασκαλία καὶ πᾶσα μάθησις διανοητικὴ ἐκ προϋπαρχούσης γίνεται γνώσεως, προϋπάρχουσι δ' αἱ ἀρχαὶ τῆς ἐξ αὐτῶν ἀποδείξεως, πῶς ἔσται αὕτη τῆς 25 ἐκείνων μὴ προϋπούσης γνώσεως; τούτου οὖν οὕτω κειμένου ἀπορεῖ ἑξῆς περὶ τῆς τῶν ἀμέσων γνώσεως δύο ταύτας ἀπορίας, τίς τε ἡ γνῶσις αὐτῶν, τουτέστι τίς γνωστικὴ ἕξις τῆς ψυχῆς, καθ' ἣν αὐταὶ γινώσκονται, καὶ εἴτε 25 ἔνεισιν ἐξ ἀρχῆς ἐν ἡμῖν εἴτε μὴ οὖσαι ἐγγίνονται. ἡ γὰρ πρώτη ἀπορία εἰ καὶ εἰς πολλὰ δοκεῖ διαιρεῖσθαι, ἀλλ' οὖν γε μία ἐστὶ καὶ ἡ αὐτή. τῶν γὰρ ἀμέσων τὴν γνῶσιν ζητήσειεν ἄν τις, πότερον ἡ αὐτή ἐστι τῇ δι' ἀπο- δείξεως ἐπιστήμῃ ἢ οὐχ ἡ αὐτή· καὶ λαβὼν τὸ οὐχ ἡ αὐτή. πάλιν ζητήσειεν 30 εἰ ἐπιστήμη ἐστὶν ἡ ἀμφοῖν γνωστικὴ ἕξις, τῶν τε ἀρχῶν καὶ τῶν ἐξ αὐτῶν 30 γινωσκομένων, ἢ γένος τι γνώσεως ἕτερον καὶ ἕτερον. ἐνδέχεται γὰρ διάφορα πράγματα ὑπὸ ἄλλην καὶ ἄλλην ἀναφέρεσθαι γνῶσιν, εἶναι μέντοι ἀμφοτέρας κατὰ γένος τὰς αὐτάς, εἰ καὶ διαφέρουσιν ἀλλήλων τῷ εἴδει. οἷον ἀριθμῶν καὶ μεγεθῶν ἄλλη μὲν καὶ ἄλλη κατ' εἶδος ἡ γνῶσις, τῷ μέντοι γένει ἄμφω αἱ αὐταί· ἐπιστήμη γὰρ ἑκατέρα· οὕτω γὰρ καὶ αὐτὸς 35 35 εἴρηκεν ἢ τοῦ μὲν ἐπιστήμη τοῦ δ' ἑτερόν τι γένος, τουτέστιν ἢ τοῦ

5 ἐξ ἀρχῶν E 7 δὴ] δὲ E 9 καὶ om. E εἰ] εἰς Aa
12 ἑαυτῷ] αὐτῷ Aa 13. 14 καθάπερ—Μετὰ τὰ φυσικά] B 1 14 ἀπορῆσαι E
19 δῆλον om. Aa 19. 20 πᾶσα διδασκαλία—γνώσεως] cf. Anal. post A 1 20 πᾶσα om. Aa 25 ἐν om. E 28 πάλιν ζητήσειεν] ζητεῖ πάλιν Aa 29 εἰ] πότερον E ἐστὶν—γνωστικὴ] ἢ οὐκ ἔστιν ἡ γνῶσις καὶ E 35 τῆς δὲ E

μὲν ἐκ τῶν ἀρχῶν ἐπιστήμη τὸ γένος τῆς γνώσεως, τῶν δὲ ἀρχῶν ἕτερον. 128
τῷ δὲ οὐκ ἐνδέχεται ἐπίστασθαι προσέθηκε τὸ δι' ἀποδείξεως, ἐπεὶ
ἐνδέχεται καὶ ἄλλον τρόπον ἐπίστασθαι, διὰ διαιρέσεως, δι' ἀναλύσεως, δι'
ὁρισμοῦ. ἔστι δὲ ταῦτα πάντα μία ἀπορία, εἰ ἡ αὐτή ἐστι γνῶσις τῶν
5 ἀρχῶν καὶ τῶν ἐξ αὐτῶν, καὶ εἰ ἑτέρα, κατ' εἶδος μόνον ἢ καὶ κατὰ γένος.
εἶτα καὶ τὴν ἑτέραν ἀπορίαν ἐπάγει. πότερον γάρ, φησίν, αἱ ἕξεις τῆς 40
γνώσεως τῶν ἀρχῶν οὐκ ἐνοῦσαι πρότερον ἐν ἡμῖν ἐγγίνονται ὕστερον, ἢ
ἔνεισι μέν, λελήθασι δὲ ἐνοῦσαι. ὅτι μὲν γὰρ οὐκ ἐφιστάνομεν ὅλως περὶ
αὐτῶν εὐθὺς ἐξ ἀρχῆς, δῆλον· ὅπως δὲ τοῦτο γίνεται, εἴτε διὰ τὸ μὴ
10 ἔχειν ὅλως αὐτάς, εἴτε διὰ τὸ λεληθέναι ἔχοντας, ζητήσεως ἄξιον.

p. 99b26 Εἰ μὲν δὴ ἔχομεν αὐτάς, ἄτοπον.

Πρὸς τὸ προσεχὲς μόριον τῆς διαιρέσεως ἀπαντᾷ τὴν δευτέραν ἀπορίαν συνδέων. τὸ γὰρ εἰ μὲν δὴ ἔχομεν ταύτας ταὐτόν ἐστι τῷ εἰ ἐνοῦσαι λελήθασιν. ἄτοπον δή, φησίν, ἐστίν, εἰ ἔχομεν τὰς ἀρχὰς ἐν ἑαυτοῖς, καὶ
15 λανθάνουσιν ἡμᾶς ἐν ἡμῖν οὖσαι. τί δὲ τὸ ἄτοπόν ἐστιν, ἐπιφέρει· συμ-
βαίνει γὰρ ἔχοντας ἡμᾶς γνώσεις ἀγνοεῖν αὐτὰς ἐπιλανθανομένους, καὶ 50
ταῦτα κρειττόνων οὐσῶν αὐτῶν ἢ κατὰ ἀπόδειξιν. ἐκ γὰρ τούτων αἱ ἀπο-
δείξεις ὡς δηλοτέρων τε καὶ γνωριμωτέρων. εἰ οὖν ἄτοπον ἀπόδειξιν
ἔχοντας ἀγνοεῖν ὅτι ἔχομεν, πολλῷ ἂν εἴη ἀτοπώτερον, εἰ ἀγνοοῦμεν γνῶσιν
20 ἔχοντες κρείττονα ἀποδείξεως. |

p. 99b28 Εἰ δὲ λαμβάνομεν μὴ ἔχοντες πρότερον. 129

Τὸ πρῶτον μέρος τοῦτο τῆς διαιρέσεως, πρὸς ὃ καὶ αὐτὸ ἀπαντᾷ ἀδύνατόν τι καὶ τούτῳ δεικνύων ἑπόμενον. εἰ γὰρ μὴ ἔχοντες, φησί, τὰς ἀρχὰς πρότερον, ὕστερον ταύτας λαμβάνομεν, πῶς ταύτας γινώσκομεν καὶ 5
25 μανθάνομεν ἄνευ προϋπαρχούσης γνώσεως; κεῖται γὰρ ὅτι πᾶσα μάθησις ἐκ προϋπαρχούσης γίνεται γνώσεως. ἐπεὶ τοίνυν καὶ τὰς ἀρχὰς μανθάνομεν ὡς ἡ ὑπόθεσις βούλεται, δεῖ προϋπάρχειν αὐτῶν γνῶσιν ἑτέραν· ἄλλως γὰρ ἀδύνατον, καθὼς ἐλέγομεν καὶ ἐπὶ τῆς ἀποδείξεως, καὶ δεῖ πρὸ τῶν ἀρχῶν ἑτέρας εἶναι τὰς προγινωσκομένας ἀρχάς· καὶ ἐπ' ἐκείνων ὁ αὐτὸς
30 ἔσται λόγος, καὶ εἰς ἄπειρον. οὐκ ἄρ' οὐδὲ τοῦτο ἡμῖν εὔοδον.

p. 99b30 Φανερὸν τοίνυν ὅτι οὔτ' ἔχειν οἷόν τε. 10

Δύο ζητήσεις προθέμενος, μίαν μὲν περὶ τοῦ κατὰ ποῖον γένος γνώσεως αἱ ἀρχαὶ γινώσκονται, δευτέραν δὲ εἰ ἐξ ἀρχῆς ἢ οὐ τὴν γνῶσιν

6 γάρ φησίν om. E 8 γὰρ om. Aa 12 μόριον] μόνον Aa 13 μὲν post τὸ transp. E 15 ἡμᾶς om. E 19. 20 κρείττονα γνῶσιν ἔχοντες coll. E
25. 26 κεῖται — γνώσεως om. E 26 τοίνυν] γὰρ E 27 βούλεται om. Aa
27. 28 ἄλλως γὰρ] τοῦτο δὲ E 28 καθὼς] καθάπερ E καὶ δεῖ] δεῖ γὰρ E
29 εἶναι τὰς] ἔχειν Aa γινωσκομένας E

τῶν ἀρχῶν ἔχομεν, καὶ ἑκατέρωθεν ἄτοπον ἑπόμενον τοῖς τῆς διαιρέσεως 129
ταύτης δείξας μέρεσι, τὴν μὲν πρώτην ζήτησιν ἐν τῷ παρόντι καταλιπὼν
πρὸς τὴν δευτέραν ἐπιχειρεῖ τὴν αὐτῇ προσήκουσαν ἐπιφέρων ἐπίλυσιν. 15
πρὸς τὰς αἰτίας τοίνυν εὐθὺς ἀπαντᾷ τοῦ τῆς ἀπορίας δεσμοῦ. ἐκ γὰρ τοῦ
5 λέγεσθαι ἁπλῶς ἔχειν τὰς ἀρχὰς ἢ μὴ ἔχειν ἡ ἀπορία συνίσταται. ἐπεὶ
οὖν οὕτω λέγουσιν ἄτοπόν τι ἑκατέρωθεν εἴπετο, φανερὸν ἐντεῦθεν ὅτι οὔτ'
ἔχειν δυνατὸν ἁπλῶς ἐξ ἀρχῆς τὰς ἀρχὰς οὔτε παντελῶς ἀγνοοῦσιν καὶ
μηδεμίαν ἔχουσιν ἕξιν γνώσεως ἐγγίνεσθαι ταύτας ἡμῖν, ἀλλ' ἀνάγκη ἔχειν
μέν τινα δύναμιν γνωστικὴν ἐξ ἧς πρόφασις ἡμῖν τῆς τῶν ἀρχῶν γνώσεως 20
10 γίνεται, οὐ μέντοι γε τοιαύτην, ὥστ' εἶναι τιμιωτέραν αὐτὴν κατ' ἀκρίβειαν
τῆς τῶν ἀρχῶν γνώσεως.

p. 99b34 Φαίνεται δὲ τοῦτό γε πᾶσιν ὑπάρχον.

Εἰπὼν ὅτι οὔτ' ἔχειν δυνατὸν τὰς ἀρχὰς ἐξ ἀρχῆς οὔτε πάντῃ ἐστερη-
μένοις γνώσεως προσγίνεσθαι ταύτας ἡμῖν διὰ τὸ ἑκατέρωθέν τι συμβαίνειν 25
15 ἀδύνατον, ἀλλ' ἐκ χείρονός τινος γνωστικῆς ἕξεως εἰς τὴν τούτων προϊέναι
γνῶσιν, λέγει νῦν τίς ἡ γνῶσις ἐκείνη ἐστίν, ἐξ ἧς ὁδῷ προβαίνοντες εἰς
τὴν τῶν ἀρχῶν κατάληψιν προσερχόμεθα. τοῦτο γάρ, φησίν, ὃ λέγομεν
γένος γνώσεως ἐν πᾶσι τοῖς ζῴοις ὑπάρχον φαίνεται. πάντα γὰρ τὰ ζῷα,
ἢ ζῷά ἐστι, δύναμιν ἔχει οὐκ ἐπίκτητόν τινα οὐδὲ διδακτήν, ἀλλὰ συμ-
20 πεφυκυῖαν καὶ ἐκ φύσεως συμπαρομαρτοῦσαν αὐτοῖς, ὡς καὶ συμπληρωτικὴν
εἶναι τῆς οὐσίας αὐτῶν, καθ' ἣν καὶ διαφέρουσι τῶν φυτῶν, ἥτις κριτικὴ 30
ἐστι πλείστων ὅσων διαφορῶν· καλοῦσι δὲ ταύτην αἴσθησιν. οὕτω δὲ
εἶπεν ὥσπερ ἄλλοις ἐπιγράφων τὴν αἰτίαν τῆς κλήσεως, ἵνα δείξῃ μὴ οἰκεῖόν
τινα λέγων λόγον, ἀλλὰ τὸ κοινῇ λαμβάνων ὁμολογούμενον.

25 p. 99b36 Ἐνούσης δ' αἰσθήσεως.

Ἐκ τῆς χείρονος τῶν γνώσεων ἀπαρξάμενος κοινῶς τοῖς ζῴοις ἐνυπ-
αρχούσης, ὁδῷ πρόεισιν ἐπί τε τὰ τελεώτερα τῶν ζῴων καὶ τὰς τελεω-
τέρας τῶν γνώσεων, δεικνύων τὸν ἄνθρωπον τελειότατον μὲν τὴν φύσιν ὡς
ἐν τοῖς ζῴοις ὑπάρχοντα, ἐκ τῆς χείρονος δὲ καὶ ἀτελεστάτης τῶν γνώσεων
30 ἐπὶ τὴν κρείττω καὶ τελείαν ὡς ἐν τούτοις προκόπτοντα, καὶ τὴν γνῶσιν
τῶν ἀρχῶν τὸν τρόπον τοῦτον προσλαμβανόμενον. ἐνούσης γάρ, φησί, τοῖς 40
ζῴοις πᾶσιν αἰσθήσεως τὰ μὲν ἐξ αὐτῶν τοιαύτην ἔχει φύσιν, ὡς ἐγγίνε-
σθαι αὐτοῖς μονὴν τοῦ αἰσθήματος, τὰ δὲ πρὸς τοῦτο οὐ πέφυκεν, ἀλλ'
ἅμα τῷ αἰσθάνεσθαι παρατρέχει ἡ γνῶσις ἐξ αὐτῶν μὴ ὑπομένουσα. καὶ
35 ὅσοις μὲν μὴ ἐγγίνεται ἡ μονὴ τοῦ αἰσθήματος, ἢ καθόλου, ὥσπερ ἐπὶ
τῶν σκωλήκων ἔστιν ἰδεῖν καὶ εὐλῶν καὶ μυιῶν, μηδεμίαν ἐχόντων μετὰ

1 ἔχομεν τῶν ἀρχῶν coll. E 5 ἔχειν post μὴ om. Aa 13 ὅτι om. E
19. 20 συμπεφυκυῖαν καὶ ἐκ φύσεως om. E 29 ἐν ζῴοις E 30 τελείαν — τούτοις] τελεωτέραν E 36 εὐλῶν] λευκῶν Aa

τὴν αἴσθησιν παραμονὴν τοῦ αἰσθήματος, ἢ ἀμυδρῶς, ὥσπερ τινὰ τῶν 129
ὀρνέων φωνῶν μνημονεύει, ἃς καὶ μιμεῖται, καὶ τὰ ὑποζύγια ὁδῶν, ὡς ἢ 45
προθυμεῖσθαι πρὸς αὐτάς, εἰ εὖ αὐτοῖς ἔχειν ἐν αἰσθήσει ἐφάνησαν, ἢ
ἐκκλίνειν ἐξ αὐτῶν, εἰ μὴ εὖ, τούτοις οὐκ ἔστι γνῶσις ἔξω τοῦ αἰσθήματος,
5 ἢ εἰ ἔστιν, ἀμυδρά ἐστιν, ὡς ἐπὶ τῶν ὀρνέων καὶ τῶν ὑποζυγίων εἴπομεν.
ἔστι δ' ἃ τῶν ζῴων αἰσθανόμενα ἔχουσιν ἔτι μετὰ τὴν αἴσθησιν γνῶσίν
τινα, καὶ ἀπόντος τοῦ αἰσθητοῦ τὸν τόπον ἐκείνου ἐν ἑαυτοῖς περισώζοντα.

p. 100a1 Πολλῶν δὲ τοιούτων γενομένων. 50

Ὥσπερ ἐπὶ τῶν αἰσθανομένων διαφορὰ ὑπῆρχεν, ὡς τὰ μὲν αὐτῶν
10 ἔχειν μονὴν τοῦ αἰσθήματος, τὰ δὲ μή, οὕτω καὶ ἐπὶ τῶν φυλαττόντων
τὸν τόπον τοῦ ᾐσθημένου· καὶ τούτων γὰρ τοῖς μὲν ἐγγίνεται λόγος ἐκ 130
τῆς τῶν πολλῶν αἰσθημάτων παραμονῆς, τοῖς δ' οὔ. ὅσα γὰρ τὰ τοῖς
ᾐσθημένοις ὅμοια δύναται συνάγειν τοῖς ᾐσθημένοις καὶ τὸ καθόλου ἐν
ἑαυτοῖς ἀπογεννᾶν, ταῦτα ἤδη τέλειά τε καὶ λογικά, τὴν τοῦ ὁμοίου θεωρίαν
15 τε καὶ διάκρισιν ἐν ἑαυτοῖς λαβεῖν δυνάμενα. ὃν δέ φησιν ἐγγίνεσθαι
λόγον, τὸ καθόλου, οἶμαι, ἐστί. τοῖς γὰρ τελειοτέροις καὶ λογικοῖς ἐκ τῶν
πολλῶν αἰσθημάτων μνημονευομένων τὸ καθόλου ἐγγίνεται, ὅπερ λόγος 5
ἐστὶν ἐν τοῖς πολλοῖς καὶ καθ' ἕκαστα θεωρούμενος, ὁ αὐτὸς ὢν ἐν πᾶσι
καὶ κοινῶς αὐτοῖς μετεχόμενος, ὅλος ὢν ἐν ἑκάστῳ καὶ ὅμοιος καὶ ἀδιά-
20 φορος. ὅσα δὲ τῶν φυλαττόντων τοὺς τόπους τῶν αἰσθημάτων μὴ δύνανται
τοῦτο ποιεῖν, ταῦτ' ἀτελῆ τέ ἐστι καὶ ἄλογα.

p. 100a3 Ἐκ μὲν οὖν αἰσθήσεως γίνεται μνήμη.

Τὰς διαφορὰς τῶν γνώσεων ἐκθέμενος καὶ ταύτας ἀπὸ τῶν μετεχόντων
αὐτῶν παρατηρήσας, λέγω δὴ τῶν ζῴων (εἰ γὰρ κατὰ ταύτας διαφέρει τὰ
25 ζῷα, δῆλον ὅτι καὶ αὗται διάφοροι ἀλλήλων εἰσί) νῦν ἐπὶ μόνου τοῦ 15
ἀνθρώπου λαμβάνει καὶ παρίστησι, πῶς ἀπὸ τῆς κατ' αἴσθησιν γνώσεως
ἀρχομένοις ἡμῖν μέχρι τοῦ καθόλου ἡ προκοπὴ γίνεται. τὸ δὲ καθόλου
ἐστὶν ἀρχὴ τῆς τέχνης καὶ τῆς ἐπιστήμης, ὡς εἶναι δῆλον ὅτι οὔτε ἔνεισιν
ἡμῖν ἐξ ἀρχῆς αἱ τῶν ἀρχῶν γνώσεις (τέλειοι γὰρ ἂν ἦμεν γεννώμενοι)
30 οὔτε ἀπὸ γνωστικωτέρας τινὸς ἕξεως ἐγγίνονται, ὡς εἶναι ἀνάγκην προει-
δέναι τὸ πρὸ αὐτῶν, ἀλλ' ἐγγίνονται ἡμῖν κατὰ μικρὸν ἀθροιζόμεναι ἀπὸ
μνήμης τε καὶ αἰσθήσεως. ἀναλαμβάνει τοίνυν τὰ εἰρημένα καὶ φησὶν ἐκ
μὲν τῆς αἰσθήσεως γίνεσθαι τὴν μνήμην, καθὼς εἴρηται πρότερον· μνήμης 20
δὲ πολλάκις γινομένης τοῦ αὐτοῦ αἰσθήματος γίνεται ἐμπειρία· αἱ γὰρ

3 ἔχειν αὐτοῖς coll. E 5 τῶν post καὶ om. E 6 ἔστι δ' ἂν Aa
13 συνάγειν] συνάπτειν E 15 διάκρισις a λαμβάνειν E 19 ὅλος] ὁ δὲ Aa
20 μὴ] οὐ E 23 post τὰς add. μὲν E 24 παραστήσας Aa 25. 26 τοῦ
ἀνθρώπου μόνου coll. E 27 γίνεται] πρόεισιν E τὸ δὲ καθόλου] ὅπερ E
30. 31 ὡς εἶναι—ἀλλ' ἐγγίνονται om. Aa 34 γενομένης πολλάκις Aa αἱ γὰρ
πολλαὶ—ἐμπειρία (264,1) om. Aa

πολλαὶ τῷ ἀριθμῷ μνῆμαι μία ἐστὶν ἐμπειρία. οἷον εἰς αἴσθησίν τις ἐλθὼν ὅτι τόδε ἐλλέβορος ὂν ἐκάθηρε, καὶ μνημονεύσας καὶ πάλιν καὶ πάλιν τὸ αὐτὸ λαβὼν εἰς αἴσθησιν, καὶ τὴν μνήμην τηρήσας ἑκάστου τῶν ἠσθημένων, μίαν ἐν ἑαυτῷ συνεστήσατο ἐμπειρίαν ἐκ τῶν πολλῶν συνηθροισμένην μνημῶν. ὥσπερ δὲ ἐκ πολλῶν μνημῶν τηρουμένων ἐν τῇ ψυχῇ ἡ ἐμπειρία συνέστηκεν, οὕτω τῆς ἐμπειρίας συναυξομένης καὶ προβαινούσης κατὰ τὴν τοῦ ὁμοίου αἴσθησίν τε καὶ μνήμην, τὸ καθόλου ἤδη πήγνυται καὶ ἑδραιοῦται ἐν τῇ ψυχῇ. τοῦτο γάρ ἐστιν ὅ φησιν ἐκ δ' ἐμπειρίας ἢ ἐκ παντὸς ἠρεμήσαντος τοῦ καθόλου ἐν τῇ ψυχῇ, τοῦ ἑνὸς παρὰ τὰ πολλά. ἠβούλετο γὰρ εἰπεῖν ὅτι ἐκ δ' ἐμπειρίας τέχνης ἀρχὴ καὶ ἐπιστήμης· ἐπεὶ δὲ ἀτελέστερον ἔτι ἡ ἐμπειρία καὶ οὐχ ἱκανὸν πρὸς τέχνης καὶ ἐπιστήμης ἀρχήν, διὰ τοῦτο προσέθηκεν ἢ ἐκ παντὸς τοῦ καθόλου ἠρεμήσαντος, τουτέστι στάντος καὶ παγέντος καὶ βεβαιωθέντος ἐν τῇ ψυχῇ. ἐπεὶ δὲ πολλαχῶς τὸ καθόλου (τό τε γὰρ πρὸ τῶν πολλῶν καὶ τὸ ἐν τοῖς πολλοῖς καὶ τὸ ἐπὶ τοῖς πολλοῖς), διὰ τοῦτο ἡρμήνευσε, περὶ ποίου λέγει ὧδε καθόλου· τοῦ ἑνὸς γάρ φησι παρὰ τὰ πολλά, καὶ αὖθις ἔτι πρὸς σαφήνειαν πλείω ὃ ἂν ἐν ἅπασιν ἓν ἐνῇ ἐκείνοις τὸ αὐτό. ἐκ γὰρ τῆς τῶν πολλῶν αἰσθήσεως καὶ μνήμης ἡ ἐμπειρία συνάγεται, ἐκ δὲ ταύτης τὸ ἐν τοῖς πολλοῖς καθόλου, ὅπερ τὸ ἐν τούτοις ἅπασιν ὅμοιόν ἐστι καὶ ταὐτόν, τέχνης ἀρχὴ καὶ ἐπιστήμης· τὸ γὰρ καθόλου ἐγγεγονὸς τῇ ψυχῇ ἀρχή ἐστι τέχνης καὶ ἐπιστήμης. τέχνην δέ φησιν ἢ τὴν περὶ τὰ γινόμενα ὑφ' ἡμῶν, καὶ ἐπιστήμην τὴν περὶ τὰ ὑπὸ τῆς φύσεως, οἷον ὅτι ὁ πέλεκυς τμητικός, τὸ δὲ ξύλον τμητόν, καὶ ὁ ἐλλέβορος καθαρτικός, τὸ δὲ ἀνθρώπινον σῶμα καθαρτόν, καὶ ὅσα ἐν τοῖς ὑφ' ἡμῶν θεωρεῖται γινομένοις· τὰ δ' ὑπὸ φύσεως γινόμενα δῆλα ἐν οἷς ἀρχαὶ πλείους, ὅτι τὸ ὅλον πλεῖον τοῦ ἡμίσεος, καὶ ὅτι τὰ διὰ τοῦ ἴσου χρόνου τὸ ἴσον διάστημα διερχόμενα ἰσοταχῆ, καὶ ὅσα τοιαῦτα· ἢ τέχνην μέν φησι τὴν περὶ τὰ ἔνυλα καὶ πταιστά, ἃ καὶ γένεσιν εἴρηκεν, ἐπιστήμην δὲ τὴν περὶ τὰ ἀεὶ ὡσαύτως ἔχοντα, ἃ καὶ ὂν ὠνόμασεν.

p. 100ᵃ10 Οὔτε δὴ ἐνυπάρχουσιν ἀφωρισμέναι αἱ ἕξεις.

Ἐκ τῶν εἰρημένων, φησί, δῆλον γέγονεν, ὅτι οὐδετέραν τῶν ὑποθέσεων ἀναγκαῖον ὁμολογεῖν, αἷς τὰ ἄτοπα εἵπετο. οὔτε γάρ εἰσιν ἐν ἡμῖν ἕξεις ἀρχῆθεν τῶν καθόλου καὶ τῶν ἀρχῶν ἀφωρισμέναι, ἤγουν συνεστηκυῖαι καὶ ἐνεργείᾳ ὑπάρχουσαι, οὔτε μὴ οὖσαι γίνονται ἀπό τινων ἑτέρων ἕξεων κρειττόνων τε καὶ γνωστικωτέρων, ὥσπερ αἱ ἀποδείξεις, ἀλλ' ἀπὸ τῆς χείρονος καὶ συμφύτου τοῖς ζῴοις αἰσθήσεως ταῖς κατὰ μικρὸν προσθήκαις

4 τῶν om. E 7 ἤδη om. Aa 8 post ἐμπειρίας add. ἤδη E ἢ ἐκ παντὸς— ἐμπειρίας (10) om. E 9 et 12 ἠρεμήσεως a 11 δ' ἐτελέστερον E 14. 15 καὶ τὸ ἐπὶ τοῖς πολλοῖς om. Aa 19. 20 τὸ γάρ — ἐπιστήμης om. E 21 τὴν περὶ (post ἐπιστήμην) om. Aa 27 πταστὰ E 29 ἀφωρισμέναι E αἱ ἀφωρισμέναι coll. Aa 31 ἕπεται E ἔνεισιν ἡμῖν E 33. 34 ἕξεων— τε καὶ om. E

καὶ ταῖς κατὰ μέρος γνώσεσιν εἰς τὴν τοῦ ὁμοίου καὶ πᾶσιν τοῖς καθ' 130
ἕκαστα ἐνόντος ταὐτοῦ γνῶσιν γινομένης τῆς προκοπῆς. τίθησι δὲ καὶ παρά-
δειγμα· οἷον γάρ, φησίν, ἐν μάχῃ συμβαίνει, ὁπόταν τροπὴ γένηται, εἶτα εἷς 50
τῶν φευγόντων στῇ καὶ ἐπ' αὐτῷ δεύτερος καὶ τρίτος ἄλλος, ἕως πολλῶν
5 στάντων πάλιν ἐπ' ἀρχὴν ἦλθεν ἡ μάχη. τοιοῦτον γὰρ καὶ ἐπὶ τοῦ
καθόλου γίνεται· κατακρατεῖται γὰρ ὑπὸ τῆς ὁρμῆς ἡ ψυχὴ τῶν ἀλό-
γων δυνάμεων καὶ τοὺς ἐν αὐτῇ λόγους ἀνενεργήτους φέρει· εἶθ' ἑνὸς
ληφθέντος αὐτῇ ἐκ τῆς αἰσθήσεως τῶν καθ' ἕκαστα, καὶ ἐπ' | αὐτῷ ἄλλου 131
καὶ τρίτου ἑτέρου καὶ τετάρτου αὖθις, οὕτω κατὰ μικρὸν ἡ τοῦ καθόλου
10 στάσις καὶ στερέωσις ἐν αὐτῇ γίνεται.

p. 100ᵃ13 Ἡ δὲ ψυχὴ ὑπάρχει τοιαύτη οὖσα οἷα δύνασθαι πάσχειν τοῦτο.

Τοῦτο διττῶς ἔστιν ἐκλαβεῖν, ἢ κατὰ τὸ κρεῖττον τῆς ψυχῆς ἢ κατὰ
τὸ καταδεέστερον. εἰ μὲν γὰρ ὡς πρὸς τὰς μετ' αὐτὴν ληφθείσας δυνάμεις, 5
15 οὕτως ἄν τις εἴποι ὅτι ἡ ψυχή ἐστι τοιαύτη ὡς δύνασθαι τοῦτο πάσχειν,
ὃ οὐδεμία τῶν μετ' αὐτὴν δυνάμεων δύναται πάσχειν· αὐτῆς γὰρ ἴδιον τὸ
παραρρεόντων τῶν αἰσθητῶν τῶν τύπων ἐπιλαμβάνεσθαι καὶ ταῖς κατὰ
μικρὸν μνήμαις συλλέγειν ἑαυτῇ καὶ συνιστᾶν τὸ καθόλου. εἰ δὲ ὡς πρὸς
τὰ ὑπὲρ αὐτήν, οὕτως 'ἐν γὰρ ταῖς λογικαῖς οὐσίαις ἡ ψυχῆς φύσις τοῦτο
20 πάσχειν δύναται μόνη', ἐξ ἀνενεργησίας προκόπτουσα εἰς ἐνέργειαν καὶ ἐκ
τῶν καταδεεστέρων καὶ ἀτελεστέρων αὐτῆς προφάσεις λαμβάνουσα πρὸς 10
τὴν προκοπήν, καὶ ἐκ τῶν ἐκεῖθεν ποριζομένων αὐτῇ ἑαυτὴν ἀνεγείρουσα
2 τεθέντων Brandis: τιθέντων Vn 3 τῶν om. n 3. 4 λογίζεσθαι Arist. 4 δύναται V: δύνανται n 6 βουλευόμεθα — ἔχειν (7) hic om., post p. 1, 20 λεγόμενον ponit V 7 ἐνδεχομένων γίνεσθαι Vn: φαινομένων ἐνδέχεσθαι Arist. ἤγοῦν n: ἡ γοῦν V βουλευτέον Ern. Richter: βουλητέον n: βουλὴ τέως V 10 ἄλλως ἢ γενέσθαι ἢ ἔσεσθαι ἢ ἔχειν Arist. 11 ἐνδέχεται δὲ συλλογίζεσθαι Vn Arist. A: ἢ οὕτως ἐνδέχεται συμβουλεύειν Arist. vulg. 13 οἷον — οἷον (15) sub charta agglutinata latent, sed manu posteriore in illa charta suppleta sunt V συλλογίσασθαι κτλ.] Demosth. 19,177 (cf. p. 3,7) συλλογίζεσθαι n 14 ἀληθὲς ἀπηγγελκότα n Demosth. 15 ὁ cod. Laudens. gr. 49. Paris. gr. 1951: om. Vn 19 τὰ — εὐπαρακολούθητα V: τὰ — εὐεπακολούθητα Arist. C (cf. Tr.): τὸ — εὐεπακολούθητον Arist. cet.: τὰ — ἀπαρακολούθητα n 21. 22 εἶναι τό τε ἐνθύμημα n Arist. BCYb: τό τε ἐνθύμημα εἶναι Arist. cet.: τό τε ἐνθύμημα om. V 24 εὐπαρακολούθητος n 26 ὁ πρῶτος συλλογισμός Arist. (cf. p. 3,5) 28 φροντίζον n 30 οὐδὲν Vn: *nihil* Arist. Tr.: οὐδὲ Arist. cet. 31 οἷον ὅτι Δωριεὺς στεφανίτην ἀγῶνα Arist.

νίτης ἄρα , τὴν δὲ μείζονα τὴν λέγουσαν, ὅτι πᾶς ὁ Ὀλόμπια νικῶν f. 3ᵛ
στεφανίτης, ἔασον· νοεῖται γὰρ καὶ μὴ προστεθεῖσα. οὕτω μὲν ἡ ἀλήθεια
κατ' ἐμὲ διαφαίνεται. ὁ μέντοι φιλόσοφος οὕτως ἐξηγήσατο τὸ ῥητὸν τὸ
λέγον, ὅτι [a 16] καὶ ἐξ ὀλίγων τε καὶ πολλάκις ἐλαττόνων ἢ ἐξ
5 ὧν ὁ πρῶτος συλλογισμός· ἔφη γάρ, ὅτι πρῶτον μὲν ἀποδεῖξαι δεῖ τὸ
πρᾶγμα διὰ λόγων μακροτέρων, εἶτα συλλογίσασθαι ἐκεῖνο διὰ λόγων ἐλαττόνων· ὡς καὶ ὁ Δημοσθένης 'συλλογίσασθαι βούλομαι τὰ κατηγορηθέντα· ἀπέδειξα τὸν Φίλιππον μηδὲν ἀληθὲς ἀπηγγελκότα' καὶ τὰ ἑξῆς. δεῖ γοῦν ἐξ ὀλίγων τε καὶ πολλάκις ἐλαττόνων ὕστερον συλλογίζεσθαι ἢ ἐκ
10 τοσούτων καὶ τοσαῦτα λέγειν, ἐξ ὧν ὁ πρῶτος συλλογισμὸς ἤγουν ἡ τοῦ πράγματος διὰ μακροῦ ἀφήγησις. κάλλιστον μὲν οὖν τὸ νόημα καὶ τῆς ἐκείνου συνέσεως καὶ μεγαλονοίας ἄξιον. δεῖ δὲ καὶ ἡμᾶς οἴκοθεν προσεπεξευρίσκειν τινά. [a 22] ἐπεὶ δέ ἐστιν ὀλίγα μὲν τὰ ἀναγκαῖα. βούλεται διὰ τούτων εἰπεῖν ὡς, ἐπειδὴ τινὰ μὲν τῶν πραγμάτων, περὶ ἃ
15 καταγίνονται οἱ ῥήτορες, ἀναγκαῖα, τινὰ δὲ ἐνδεχόμενα, πλείω δὲ τὰ ἐνδεχόμενα τῶν ἀναγκαίων, ἔσται καὶ τὰ ἐνθυμήματα τινὰ μὲν ἀναγκαῖα, τινὰ δὲ ἐοικότα καὶ ἐνδεχόμενα. ἐπεὶ δέ ἐστι φησὶν ὀλίγα μὲν τὰ ἀναγκαῖα, ἐξ ὧν οἱ ῥητορικοὶ συλλογισμοί, εἶτα λέγει καί, διὰ τί ὀλίγα. [a 25] πράξουσιν † ἐπὶ μέτρον· σκοπεῖ γάρ τις περὶ ὧν πράξει.
20 ταῦτα δὲ πάντα ἐνδεχομένης φύσεως. [a 27] καὶ ἐπεὶ τὰ μὲν ἀναγκαῖα, τὰ δ' ἐνδεχόμενα, καὶ σχεδὸν ὀλίγα τὰ ἀναγκαῖα, τὰ πλείω δὲ ἐνδεχόμενα, τὰ δὲ ὡς ἐπὶ τὸ πολὺ καὶ ἐνδεχόμενα ἐκ τοιούτων προτάσεων συλλογίζονται ἐνδεχομένων, ὡς καὶ τὰ ἀναγκαῖα ἐξ ἀναγκαίων (τοῦτο δὲ δῆλον ἐκ τῶν Ἀναλυτικῶν), φανερὸν ὅτι αἱ προτάσεις, ἐξ ὧν τὰ ἐνθυμήματα,
25 αἱ μὲν ἀναγκαῖαι, αἱ δὲ ὡς ἐπὶ τὸ πολύ, τὰ δὲ ἐνθυμήματα ἐξ εἰκότων καὶ σημείων εἰσὶ καὶ τὰ μὲν εἰκότα ὡς ἐπὶ τὸ πολύ, τὰ ⟨δὲ⟩ σημεῖα ἀναγκαῖα, εἰ καὶ μὴ πάντα, ἀλλὰ τὰ τεκμηριώδη. [a 33] ὥστε ἀνάγκη τούτων ἑκάτερον ταὐτὸ εἶναι ἐκείνοις, τὸ μὲν εἰκὸς τοῖς ἐνδεχομένοις πράγμασι, τὸ δὲ σημεῖον τὸ τεκμηριῶδες τοῖς ἀναγκαίοις. λέγει τοίνυν
30 ἐφεξῆς, τί τὸ σημεῖον καὶ τί τὸ εἰκός, καὶ πῶς τοῦ σημείου τὸ μὲν ἀναγκαῖον καὶ τεκμήριον, τὸ δὲ ἀνώνυμον ὁμωνυμοῦν τῷ σημείῳ τῷ γένει, ἐνδεχόμενον δέ. [a 34] εἰκὸς οὖν ἐστι τὸ ὡς ἐπὶ τὸ πολὺ γινόμενον,

---

1 ὀλυμπιονικῶν n 6 ante ἐκεῖνο III litt. eras. V 9 συλλογίζεσθαι n
7 Δημοσθένης] 19,177 (cf. p. 2, 13) 13 προσεξευρίσκειν n τῶν ἀναγκαίων Arist. (*necessaria* Tr.) 16 ἔσται δὴ καὶ n 19 περὶ ὧν μὲν γὰρ ante πράξουσιν add. n ex Aristotele πράττουσι Arist. ἐπὶ μέτρον (vix μέτριον) V: ἐπίμετρον n: ἐπὶ μεσότητος cod. Laudens. gr. 49 20 τὰ δὲ ὡς ἐπιτοπολὺ συμβαίνοντα καὶ ἐνδεχόμενα ἐκ τοιούτων ἀνάγκη ἑτέρων συλλογίζεσθαι, τὰ δὲ ἀναγκαῖα ἐξ ἀναγκαίων post φύσεως add. n, cf. Arist. 22 δ' ὡς n 24 ἐκ τῶν Ἀναλυτικῶν] cf. Anal. pr. A 8 sq. 25 τὰ δὲ Vn: τὰ δ' Arist. A: λέγεται γὰρ Arist. vulg. (*dicuntur. enthymemata autem* Tr.) 26 σημείων Vn Arist. Tr.: ἐκ σημείων Arist. δὲ n: om. V 27 τὰ om. n 28 ἑκάτερον ἑκατέρῳ ταὐτὸ Arist. 31 ὁμωνυμοῦν V: ὁμώνυμον n 32 τὸ ὡς Vn Arist. E: τὸ om. Arist. cet.

οἷον ὁ καλλωπιζόμενος ὡς ἐπὶ τὸ πολὺ πόρνος καὶ ὁ νύκτωρ πλανώμενος f. 3v
ὡς ἐπὶ τὸ πολὺ κλέπτης, οὐ πᾶς δέ, καὶ ὁ πυκνὸν ἀναπνέων πυρέττει,
οὐχ ἁπλῶς δὲ ⟨οὐδὲ⟩ ἐπὶ τὸ πολὺ ἀλλὰ καὶ ἐπ' ἔλαττον· τοῦτο γὰρ τῆς
φύσεως τὸ ποτὲ διαμαρτάνειν· εἰκὸς γὰρ τὸν ἔχοντα πανοπλίας τυραννῆσαι
καὶ τὸν ὀρύττοντα θησαυρῷ ἐντυχεῖν καὶ τὸν ἐπὶ βαλανεῖον πορευόμενον
φίλῳ ἐντυχεῖν ἀνδρὶ ἢ βιβλίῳ χρησίμῳ ἢ ἄλλῳ χρειωδεστάτῳ. [a 36] οὕτω
δὲ ἔχει τὸ εἰκὸς ⟨πρὸς ἐκεῖνο, πρὸς ὃ εἰκός⟩, ὡς τὸ καθ' ὅλου πρὸς τὸ
κατὰ μέρος, ἀποδεικνύμενον καὶ κατασκευαζόμενον· οἷον 'ὁ δεῖνα νύκτωρ
πλανᾶται· κλέπτης ἄρα.' παρέλειψα τὸ 'πᾶς νύκτωρ πλανώμενος κλέπτης'
καὶ κατεσκεύασα διὰ τῆς ἐλάττονος καὶ μερικῆς προτάσεως τὸ λεγόμενον.
ἐνταῦθα οὖν ἡ μὲν ἐλάττων μερική, ἡ δὲ μείζων, ἣν παραλιμπάνει, ψευ-
δής, τὸ 'πᾶς ὁ νύκτωρ πλανώμενος κλέπτης', καὶ τὸ συμπέρασμα ψεῦδος.
εἰ δ' εἴπῃ 'τὶς νύκτωρ πλανώμενος κλέπτης', αἱ δύο μερικαὶ προτάσεις
εὑρίσκονται. τοιοῦτον μὲν τὸ εἰκός. καὶ οὕτω δὴ ἔχει τοῦτο τὸ εἰκὸς τὸ
καὶ ἐπὶ πλέον καὶ ἐπ' ἔλαττον πρὸς ἐκεῖνο, ὃ εἰκὸς μὲν ἐπὶ πολὺ δέ, ὡς
τὸ καθ' ὅλου πρὸς τὸ κατὰ μέρος· ὃ γὰρ περιέχει καὶ τὸ ἐπὶ πολὺ καὶ
τὸ ἐπ' ἔλαττον, πῶς οὐκ ἐπὶ πλέον καὶ καθολικώτερον τοῦ εἰκότος ἐκεί-
νου, ὅπερ ἐστὶ μόνον ὡς ἐπὶ τὸ πολύ; τοῦ δὲ σημείου τὸ μὲν τεκμήριον,
ὃ καὶ ἀναγκαῖόν ἐστι, τὸ δὲ ὁμώνυμον τῷ σημείῳ τῷ γένει, αὐτὸ ἀνώ-
νυμον ὄν, ὃ καὶ λυτὸν καὶ οὐκ ἀναγκαῖόν ἐστιν ἀλλὰ καὶ ἀσυλλόγιστον.
[b 2] ἔστι δὲ τούτων τὸ μὲν ὡς τὸ καθ' ἕκαστόν τι πρὸς τὸ καθ'
ὅλου, λυτὸν δέ, ὡς τὸ [b 12] οἱ σοφοὶ δίκαιοι συμπέρασμα· Σωκρά-
της γὰρ σοφὸς ἦν καὶ δίκαιος. [b 3] τὸ δὲ | ὡς τῶν καθ' ὅλου f. 4r
τι πρὸς τὸ κατὰ μέρος· τούτου δὲ τὸ μὲν ἀναγκαῖον καὶ τεκμή-
ριον, τὸ δὲ οὐκ ⟨ἀναγκαῖον⟩ ἀνώνυμον καὶ οὐκ ἀληθές. ῥητέον δὲ καὶ
τὰ παραδείγματα τοῦ τεκμηρίου οὕτως· 'ἥδε ἡ γυνὴ γάλα ἔχει· τέτοκεν
ἄρα.' 'ὅδε πυρέττει· νοσεῖ ἄρα.' ταῦτα ἀναγκαῖα σημεῖα καὶ ἄλυτα· τε-
κμήρια γάρ. ῥητέον δὲ καὶ τὸ λυόμενον· 'ὅδε πυκνὸν ἀναπνεῖ· νοσεῖ ἄρα'·
ψεῦδος· οὐ γὰρ πᾶς ὁ πυκνὸν ἀναπνέων νοσεῖ, ἐπεὶ ὁ πνευστιῶν πυκνὸν
μὲν ἀναπνεῖ, οὐ νοσεῖ δέ. ἴδωμεν δὲ καὶ τὴν λέξιν. [b 1] τῶν σημείων
φησὶ τὸ μὲν οὕτως ἔχει, ὡς τὸ καθ' ἕκαστόν τι πρὸς τὸ καθ'
ὅλου (θήσει δὲ τούτου καὶ τῶν ἑξῆς παραδείγματα), τὸ δέ, ὡς τῶν καθ'
ὅλου τι πρὸς τὸ κατὰ μέρος. τούτου δ' ἐλέγομεν τὸ μὲν τεκμήριον,
τὸ δ' ἀνώνυμον καὶ εἰκός. [b 5] ἀναγκαῖα μὲν οὖν εἰσιν, ἐξ ὧν γί-
νεται συλλογισμὸς ἐν πρώτῳ σχήματι. διὸ καὶ τεκμήριον τὸ

---

1 post οἷον cr. II litt. (fort. ὡς) eras. V 3 οὐδὲ addidi 4 exspectes εἰκὸς δὲ καὶ 6 ἀνδρὶ n: ἀν, superscr. ᾱ, i. e. ἀνάγκη aut ἀναγκαίῳ aut sim., V βιβλίῳ Diels: βίῳ n: βῖ, superscr. η aut ο (non ω), V 7 πρὸς—εἰκός addidi ex Aristotele 12 ψευδὲς n 18 τοῦ δὲ σημείου Vn: τούτων Arist. 19 αὐτὸ scripsi: αὐτοῦ Vn 21 τὸ καθ' ἕκαστον (om. τι) Arist. p. 1357b11: τῶν καθ' ἕκαστόν τι ib. b2 23 ἦν V Arist.: ὧν n 24 τούτων Arist. καὶ om. Arist. 25 οὐκ Vn: μὴ Arist. ἀναγκαῖον om. V 30 δὲ (ante καὶ) om. n τῶν δὲ σημείων Arist. 31 ὡς τῶν καθ' Arist. 32 ὡς τῶν V Arist.: ὡς τὸ n 33 τούτων Arist. 34 δὲ n

τοιοῦτο τῶν σημείων ἐστὶν ἤτοι ἀναγκαῖόν ἐστιν. [b 7] ὅταν γὰρ μὴ f. 4r
οἷόν τε ἐνδέχεσθαι λυθῆναι τὸ λεχθέν, τότε φέρειν οἴονταί τινες
τεκμήριον ὡς πεπερασμένον καὶ δεδειγμένον καὶ τετελειωμένον διὰ
προτάσεων ἀκριβῶν καὶ ἀληθῶν. [b 10] ἔστι δὲ τῶν σημείων τὸ μέν,
ὡς τὸ καθ' ἕκαστον πρὸς τὸ καθ' ὅλου, ὧδε. τοῦτο παράδειγμα
τῆς πρώτης τομῆς τοῦ σημείου καὶ τοῦ πῶς ἔχει τὸ καθ' ἕκαστον πρὸς
τὸ καθ' ὅλου, ὡς τὸ 'οἱ σοφοὶ δίκαιοι· Σωκράτης γὰρ σοφὸς ὢν
δίκαιός ἐστιν'. ἀσυλλόγιστον δέ ἐστιν ἐν τρίτῳ σχήματι, ὡς εἶπε καὶ ἐν
τοῖς Ἀναλυτικοῖς, ἐκ δύο μερικῶν συναγόμενον. ἀλλὰ καὶ τὸ συμπέρασμα
ψεῦδος· οὐ γὰρ πᾶς σοφὸς δίκαιος. [b 14] τὸ δὲ οἷον εἴ τις εἴπῃ 'σημεῖον ὅτι νοσεῖ' τὸ συμπέρασμα, 'πυρέττει γάρ' ὁ μέσος ὅρος, ἢ
'τέτοκεν ἡ γυνή' τὸ συμπέρασμα, 'ἔχει γὰρ γάλα' ὁ μέσος ὅρος, ταῦτα
ἀναγκαῖα. [b 17] τὸ δὲ ὡς τὸ καθ' ὅλου πρὸς τὸ κατὰ μέρος, οἷον
εἴ τις εἴπῃ 'ὅδε πυρέττει' τὸ συμπέρασμα· διὰ τί; 'διότι πυκνὸν
ἀναπνεῖ' ὁ μέσος ὅρος. 'πᾶς δὲ ὁ πυκνὸν ἀναπνέων νοσεῖ' ἡ μείζων
πρότασις· ψευδὴς γάρ. εὑρίσκεται δὲ ἐν δευτέρῳ σχήματι ἀσυλλόγιστον ἐκ
δύο καταφατικῶν καὶ τὸ 'ἥδε τέτοκεν· ὠχρὰ γάρ· πᾶσα δὲ ὠχρὰ τίκτει'· τοῦτο
γὰρ ψεῦδος. [b 21] τί μὲν οὖν εἰκὸς καὶ τί σημεῖον καὶ τεκμήριον,
ἐστενωμένως εἴρηκε νῦν, πλατύτερον δὲ ἐν τοῖς Ἀναλυτικοῖς. [b 25] ῥητέον
δὲ καὶ περὶ παραδείγματος. τὸ παράδειγμα ταὐτὸν μέν, ὡς εἴπομεν, τῇ
ἐπαγωγῇ· ὃ γὰρ ἐν διαλεκτικῇ ἐπαγωγή, τοῦτο ἐν ῥήτορσι παράδειγμα.
[b 26] ἔστι δὲ τὸ παράδειγμα οὔτε ὡς μέρος πρὸς ὅλον· ὁ γὰρ ἐκ
τοῦ μέρους τὸ ὅλον πιστούμενος ἐπαγωγὴν ποιεῖ· οἷον ὁ ἄνθρωπος τὴν
κάτω γένυν κινεῖ, ὁ κύων, ὁ βοῦς, τὸ πρόβατον, ἡ ἄρκτος· πᾶν ἄρα ζῷον
τὴν κάτω γένυν κινεῖ. πάλιν ἡ κορώνη ἄχολον οὖσα μακρόβιον, ὁ ἐλέφας,
ἡ ἔλαφος· πᾶν ἄρα ἄχολον μακρόβιον. ὁ οὖν ἐκ τοῦ μέρους τὸ ὅλον δεικνύων ἐπαγωγικῶς συμπεραίνει. ἔχεις ἐντεῦθεν ὡς πόρισμα καὶ τί τὸ διάφορον ἐπαγωγῆς καὶ παραδείγματος· ἡ μὲν γὰρ ἐπαγωγὴ ὡς μέρος πρὸς
ὅλον, τὸ δὲ παράδειγμα, ὡς ἐφεξῆς ἐροῦμεν, τοιοῦτόν ἐστιν, ἡνίκα ἐκ μέρους ⟨μέρος⟩ δεικνύμενον ᾖ καὶ πιστούμενον· ὡς ὅταν κωλύῃ τις Διονυσίῳ
δοῦναι φυλακὴν τοῦ σώματος Συρρακουσίους αἰτοῦντι, ἵνα μὴ ἐπιχειρήσῃ
τυραννίδι· καὶ γὰρ Πεισίστρατος αἰτήσας παρ' Ἀθηναίων φυλακὴν ἐτυράν-

---

1 τοιοῦτον n Arist. 2 ἐνδέχεσθαι οἷόν τε λῦσαι Arist. BCYᵇ: ἐνδέχεσθαι οἴωνται λῦσαι Arist. cet. (*putant* Tr.) 3 δεδειγμένον καὶ πεπερασμένον Arist. 7. 8 σοφὸς ἦν καὶ δίκαιος (om. ἐστιν) Arist. 8. 9 ἐν τοῖς Ἀναλυτικοῖς] cf. Anal. pr. B 27 p. 70ᵃ16
10 ψευδές n εἴπῃ Vn: εἴπειεν Arist. A: εἴποι Arist. BEQ: εἴποιεν Arist. cet.
12 ὅτι γάλα ἔχει Arist. 13 μέρος ἔχον οἷον Arist. 14 εἴπῃ Vn: εἴπειεν Arist. A: εἴποι Arist. EQ: εἴποιε Arist. cet. ὅδε Vn: ὅτι Arist. 14. 15 πυκνὸν γὰρ ἀναπνεῖ Arist. 17 καταφατικῶν, pr. κ ex φ corr., V 18 ψευδές n εἰκός ἐστι καὶ Arist. 19 ἐν τοῖς Ἀναλυτικοῖς] Anal. pr. B 27 21 post διαλεκτικῇ add. ἡ n 29—p. 6,3 haec isdem fere verbis exponit Alexander Aphrod. in Arist. Anal. pr. 25ᵇ32 (p. 43,17—24 Wallies.) 29 ἡνίκα Vn: ὅταν Alexander 30 μέρος addidi (μέρος ἐκ μέρους Alexander) 32 fort. ⟨καὶ λαβὼν⟩ φυλακὴν (αἰτήσας παρ' Ἀθηναίων λαβὼν Alexander)

νησε καὶ Θεαγένης παρὰ Μεγαρέων. ἑκάτερον δὲ τούτων, καὶ τὸ δεικνύ- f. 4r
μενον καὶ τὸ δι' οὗ δείκνυται καὶ κωλύεται, μέρη ἐστὶν ὅλου τοῦ ὅτι οἱ 35
φυλακὴν αἰτοῦντες ἐπιτίθενται τυραννίδι. μέρος οὖν πρὸς μέρος, ὅμοιον
πρὸς ὅμοιον τὸ παράδειγμα. [b 27] οὐκ ἔστι δὲ οὐδ' ὡς ὅλον πρὸς
5 μέρος· ὡς γάρ, ἡνίκα ἐκ μέρους τὸ ὅλον, τότε ἐπαγωγὴ τὸ λεγόμενον,
οὕτως, ἡνίκα τὸ μέρος ἐκ τοῦ ὅλου λαμβάνει τὴν πίστιν, συλλογισμὸς γί-
νεται. καὶ ἔστιν ἀναγκαστικωτάτη τῶν πίστεων αὕτη· ὃ γὰρ τῷ καθ' ὅλου
ὑπάρχει, τοῦτο ἐξ ἀνάγκης καὶ τῷ περιεχομένῳ ἐν τούτῳ καὶ μερικῷ·
ἡνίκα γὰρ λέγω 'τὸ ἐλεεῖν δικαιοσύνη, πᾶσα δικαιοσύνη καλόν, πᾶν καλὸν 40
10 ἀγαθόν, τὸ ἐλεεῖν ἄρα ἀγαθόν,' ἐκ τοῦ ἐν ὅλῳ συλλογιζόμενος τότε τὸ
μέρος ἐκ τοῦ ὅλου δεικνύω· ὁ γὰρ δούς, ὅτι πᾶσα δικαιοσύνη καλόν, δί-
δωσι καὶ τὸ ἐλεεῖν (ὃ τὶς δικαιοσύνη καὶ μέρος ἐστί) καλὸν καὶ ἀγαθόν.
[b 27] οὔτε οὖν τοιοῦτον τὸ παράδειγμα, ὡς ὅλον πρὸς μέρος, οὔτε
ὡς ὅλον πρὸς ὅλον, οἷον ὡς πάντων τῶν ἐναντίων ἡ αὐτὴ ἐπιστήμη, f. 4v
15 οὕτω καὶ τῶν ἐναντίων αἰσθητῶν ἡ αὐτὴ αἴσθησις, καὶ ὡς πᾶσα νόσος
βλάπτει τὸ σῶμα, οὕτω καὶ πᾶσα κακία τὴν ψυχήν· ἀλλ', ὅπερ ἐλέγομεν,
ὡς μέρος πρὸς μέρος, ὅμοιον πρὸς ὅμοιον, ὅταν ἄμφω μὲν ᾖ
ὑπὸ τὸ αὐτὸ γένος· τό τε γὰρ τὸν Πεισίστρατον λαβεῖν φυλακὴν καὶ τὸ
τὸν Διονύσιον ὑπὸ τὸ αὐτὸ γένος εἰσὶ τὸ ἐπιτίθεσθαι τυραννίδι. [b 29] 5
20 γνωριμώτερον δὲ θάτερον θατέρου ἐστί· τὸ μὲν γὰρ τὸν Διονύσιον
τυραννίδι ἐπιθέσθαι ἄδηλον νῦν αἰτοῦντα φυλακὴν σώματος, τὸ δὲ τὸν Πει-
σίστρατον καὶ Θεαγένη τῶν προδήλων· ἐπέθεντο γὰρ τυραννίδι φυλακὴν
αἰτήσαντες. τὰ δ' ἄλλα σαφῆ. [1358a1] ἐξ ὧν μὲν οὖν γίνονται αἱ
πίστεις, εἴρηται, τίνα εἰσίν, ὅτι ἐνθύμημα καὶ παράδειγμα, τὸ δὲ ἐνθύμημα
25 ἐξ εἰκότων καὶ σημείων, τῶν δὲ σημείων τὰ μὲν ἀναγκαῖα καὶ τεκμήρια,
τὰ δὲ ἀνώνυμα καὶ πιθανὰ καὶ λυτὰ καὶ οἷον εἰκότα. [a 2] τῶν δὲ ἐν- 10
θυμημάτων μεγίστη διαφορά. ἣ βούλεται εἰπεῖν, ὅτι εἰσὶ τόποι
τινὲς κοινοὶ ἐφαρμόζοντες πᾶσιν, ὡς ὁ τοῦ μᾶλλον καὶ ἧττον, ὁ τοῦ δυνα-
τοῦ καὶ ἀδυνάτου, τοῦ μεγάλου καὶ μικροῦ, εἰσὶ δὲ ἄλλα ἐνθυμημάτων
30 τισὶ μονομερῶς ἐφαρμόζοντα — παραδώσει οὖν πρῶτον μὲν περὶ τῶν ἰδίων
ἑκάστοις, εἶτα καὶ περὶ τῶν κοινῶν τόπων —. ἣ ὃ λέγει, καὶ τοιοῦτον,
ὅτι λανθάνει τοὺς πολλοὺς τὰ ἐνθυμήματα πολλὰ ὄντα καὶ διαφόρων πραγ- 15
ματειῶν. ἐπειδὴ τὰ μὲν ἠθικά εἰσιν ἐνθυμήματα, τὰ δὲ φυσικά, τὰ δὲ
γεωμετρικὰ τυχόν, τὰ δὲ ἴσως ἀριθμητικά· ὥσπερ γὰρ ὁ διαλεκτικὸς ποτὲ
35 μὲν συλλογίζεται φυσικόν τι θεώρημα λαβὼν καὶ εἴη ἂν τότε ὁ συλλογισμὸς
φυσικός, ποτὲ δὲ ἠθικόν τι θεώρημα συλλογίζεται καὶ εἴη ἂν ὁ συλλο-
γισμὸς ἠθικός, ποτὲ δὲ γεωμετρικῶς συμπεραίνει, ἡνίκα ποιεῖ τὰ ψευδο-
γραφήματα, καὶ εἴη ἂν τότε γεωμετρικὸν τὸ συλλογιζόμενον, οὕτω καὶ ὁ

---

1 δὲ Vn: γὰρ Alexander 2. 3 οἱ φυλακὴν αἰτοῦντες τοῦ σώματος πάντες Alexander
4 οὐθ' ὡς Arist. 5 ἡ post τότε add. n 6 λαμβάνῃ n 7 τῷ V: τὸ n
12 κἀγαθόν n 20 ᾗ θατέρου (om. ἐστί) Arist. 24 ἐνθύμημα καὶ ex ἐνθυμήματα καὶ
corr. V 27 μεγίστη Vn Arist. A Tr.: μεγάλη Arist. vulg. 28 ὁ utrumque om. n
31 καὶ τοιοῦτον Vn: fort. ἐστὶ τοιοῦτον

ῥήτωρ ἐκ διαφόρων μεθόδων καὶ πραγματειῶν ἐνθυμήματα ποιῶν εὑρε- f. 4v
θήσεται· καὶ δόξαιεν ἂν ἴσως ταῦτα ῥητορικά, οὐκ εἰσὶ δέ, ἀλλ' εἰ μὲν 21
ἐκ τῆς ἠθικῆς, ἠθικά, εἰ δὲ ἐκ τῆς φυσικῆς, φυσικά. παραδείγματος δὲ
χάριν ἔστω φυσικὸν ἐνθύμημα 'τόδε τὸ ἀδικεῖν φύσει· καλὸν ἄρα· πᾶν
γὰρ τὸ φύσει καλόν· ἐπεὶ καὶ οἱ λύκοι φύσει ἀδικοῦντες καὶ ἁρπάζοντες
ζῶσι καὶ οἱ ἰχθύες ἀδικοῦντες καὶ ἐσθίοντες τοὺς μικροὺς ζῶσι'. πάλιν
'ὅδε τὰ ἀκρωτήρια μεγάλα ἔχει τῶν μερῶν· ἰσχυρὸς ἄρα καὶ πολεμιστής', 25
φυσικόν· εἰ δ' εἴπωμεν 'ὅδε τιμῆς ἄξιος· σώφρων γὰρ καὶ ἀνδρεῖος καὶ
δίκαιος', ἠθικὸν τὸ ἐνθύμημα. εἰ δὲ βούλομαι συμβουλεῦσαι φανῆναι τὸ
ἡμέτερον στρατόπεδον ὀλίγον τοῖς πολεμίοις, καίτοι μυριοπληθὲς ὂν τυχόν,
ἐρῶ οὕτως 'παραταττέσθω κατὰ κύκλον· πολυχωρητότατος γὰρ ὁ κύκλος·
μικρὸν δὲ φαίνεται πορρωτέρω τὸ κυκλικῶς στρατηγοῦν καὶ φραττό-
μενον'· ἢ τὸ ἀνάπαλιν, εἰ βουλόμεθα πολὺ φανῆναι τὸ πλῆθος ὂν ὀλίγον, 30
ἐροῦμεν ὡς 'ἐν τριγώνου σχήματι στρατοπεδευτέον καὶ παρατακτέον· πολλοὶ
γὰρ φανούμεθα', συνεννοουμένης προτάσεως τῆς 'τὸ τρίγωνον μέγα δοκεῖ.
εἰ καὶ ἔστιν ὀλιγοχώρητον'. ταῦτα δὲ συνταγματικὰ καὶ γεωμετρικά. μὴ
ζήτει δὲ τὸ ἀκριβὲς ἐν τοῖς παραδείγμασιν. ἔσται δὲ τυχὸν καὶ ἀριθμητι-
κὸν τὸ ἐνθύμημα· οἷον ὄρυγμα ποιήσας πορνοβοσκὸς δέκα ἀριστεῖς ἀπέ-
κτεινεν· ἐρεῖς 'ἠτίμωκας τὸν τέλειον ἀριθμόν, ἐφόνευσας ἀριστεῖς'. ὁ συλλο- 35
γισμὸς 'οἵδε δέκα ἀριστεῖς· ὁ δέκα τέλειος ἀριθμός· οἵδε ἐν τελείῳ ἀριθμῷ·
ὁ τοίνυν ἀποκτείνας ἠτίμωσε τὸν δέκα καὶ τέλειον ἀριθμόν'. [a 2] τῶν
ἐνθυμημάτων φησὶ μεγίστη διαφορὰ καὶ σχεδὸν λεληθυῖα τοὺς πολ-
λούς, ὥσπερ καὶ ἐν τῇ διαλεκτικῇ μεθόδῳ πολλοὶ οἱ συλλογισμοί, ἠθικοί,
φυσικοί, γεωμετρικοί, ὁποῖοι οἱ ἐκ ψευδογραφημάτων, καὶ διαλεκτικοὶ καὶ
διάφοροι. [a 4] τὰ μὲν γὰρ τῶν ἐνθυμημάτων εἰσὶ ῥητορικὰ ἤτοι οἰκεῖα
τῇ ῥητορικῇ, ὡς τὸ 'ὅδε πλανᾶται νύκτωρ· κλέπτης ἄρα', ὥσπερ καὶ ἐν 40
τῇ διαλεκτικῇ εἰσι διαλεκτικοὶ οἰκεῖοι συλλογισμοί. [a 6] τὰ δὲ τῶν ἐν-
θυμημάτων εἰσὶ κατὰ τὰς ἄλλας τέχνας καὶ ἐπιστήμας, τὰ μέν, ὡς
εἴπομεν, ἠθικά, τὰ δὲ διαλεκτικά, εἴ γε ἐκ τῶν δοκούντων εἰσὶ τοῖς σοφοῖς,
τὰ δὲ φυσικά· τοῦτο γὰρ δηλοῖ λέγων τὰ δὲ κατὰ τὰς ἄλλας τέχνας
καὶ δυνάμεις, τὰς μὲν | εὑρεθείσας καὶ τεχνωθείσας καὶ ὀργανωθείσας, f. 5r
τὰς δὲ οὔπω καταληφθείσας, ὅτι ἴσως ὁ χρόνος πάλιν εὑρετὴς ἄλλων τε-
χνῶν φωραθήσεται· ἀλλὰ τὰ τῆς ἐπικρατούσης οἰήσεως καὶ τῆς διακένου
σοφίας τὸ περιὸν ἐν πολλοῖς δέδοικα μὴ καὶ τὰς ὀργανωθείσας ἐντέχνως
μεθόδους καὶ δυνάμεις καὶ ἐπιστήμας εἰς τὸ πρῴην ἄτεχνον ἐληλακέναι
καὶ ἀντιπεριστῆναι παρασκευάσῃ κατὰ ἀνάλυσιν. ἀλλὰ τοῦτο μὲν ὡς ἐπεισ- 5
οδιῶδες ἐάσθω καὶ πάρεργον. [a 8] ὃ δὲ ἐλέγομεν, διὰ τοῦτο τὰ ἐνθυμή-

---

1 καὶ om. n 9 βούλομαι scripsi: βουλόμενος Vn καὶ post φανῆναι add. n
11 παρατάττεσθε n 12 κυκλικῶς ex κυκλοτερῶς corr. V: κυκλοτερικῶς n 14 τριγώνῳ n 15 συννενοουμένης V 19 fort. ⟨δέκα⟩ ἀριστεῖς 21 ἠτίμωσε scripsi: ultimae litt. incertae V: ἠτίμωσας n τῶν δὲ Arist. 22 μεγίστη Vn Arist. ATr.: μεγάλη Arist. vulg. 27 fort. διαλεκτικοῖς οἰκεῖοι om. Stephan. ad h. l.
28 et 30 τὰς om. Arist. 33 τὰ om. n διακόνου n 34 παριὸν n
37 ἐάσω n λέγομεν n

ματα λανθάνουσί τε τοὺς ἀκροατὰς οἰομένους εἶναι πάντα ῥητορικῆς, f. 5r
πλὴν εὐδοκιμοῦσιν οἱ μᾶλλον ἐνθυμημάτων μὲν ἁπτόμενοι ἠθικῶν καὶ
φυσικῶν, κατὰ τρόπον δὲ καὶ δεόντως μεταβαίνοντες ἐξ αὐτῶν καὶ
οἰκεῖα τῇ ῥητορικῇ ταῦτα ποιοῦντες καὶ προσφυῶς συναρμόζοντες. [a 9]
σαφὲς δ' ἔσται τὸ λεγόμενον περὶ τῶν ἐνθυμημάτων διὰ πλειόνων
ἐπεξεργασθέν. [a 10] λέγω γὰρ οὐ μόνον εἶναι ἐπὶ τῆς διαλεκτικῆς καὶ
ῥητορικῆς ἄλλον μὲν συλλογισμὸν γεωμετρικὸν καὶ ἕτερον φυσικόν, καὶ
ἄλλο μὲν ἐνθύμημα ἠθικὸν καὶ ἑτεροῖον φυσικόν, ἀλλὰ πρὸς τούτοις λέγω
καὶ κοινοὺς εἶναι τόπους πᾶσιν ἁρμόττοντας καὶ εἶναι τὸν αὐτὸν καὶ ἕνα
τόπον φυσικῆς πραγματείας καὶ ἠθικῆς καὶ ῥητορικῆς καὶ διαλεκτικῆς καὶ
ποιητικῆς καὶ [a 13] πολλῶν διαφερόντων τῷ εἴδει, οἷον ὁ τοῦ
μᾶλλον καὶ ἧττον τόπος καὶ τοῖς φυσικοῖς ἁρμόττει· τὸ μᾶλλον γὰρ
κοῦφον ἄνω φέρεται μᾶλλον, τὸ δ' ἧττον φέρεται μὲν ἄνω, ἧττον δέ, καὶ
τὸ μᾶλλον βαρὺ μᾶλλον κάτω φέρεται. ἐπὶ δὲ ἰατρικῆς μᾶλλον ἡ θριδα-
κίνη ψύχει, ἧττον δὲ ἥδε ἡ πόα. ἐπὶ δὲ τῶν ἠθικῶν μᾶλλον μὲν ἡ
μεγαλοπρέπεια, ἧττον δὲ ἡ ἐλευθεριότης ἀγαθόν· ὑπερέχει γὰρ ἡ μεγαλο-
πρέπεια τῆς ἐλευθεριότητος. ἀρεταὶ δὲ ἄμφω· ὥσπερ καὶ ἐπὶ τῶν κακιῶν
μᾶλλον μὲν κακὸν ἡ ἀκολασία, ἧττον δὲ ἡ ἀναισθησία. ἐπὶ δὲ τῆς δια-
λεκτικῆς μᾶλλον μὲν δοκεῖ τοῖς σοφοῖς τὴν ὑγείαν καὶ τὴν ἀρετὴν εἶναι
ἀγαθόν, ἧττον δὲ τὸν πλοῦτον. ἐπὶ δὲ τῆς ῥητορικῆς μᾶλλον μὲν κακὸν
ἡ ἱεροσυλία, ἧττον δὲ κακὸν ἡ κλοπή, καὶ μᾶλλον μὲν ὁ φόνος, ἧττον δὲ
κακὸν τὸ αἰκίσαι, καὶ μᾶλλον μὲν ἀγαθὸν τὸ τύραννον ἀποκτεῖναι, ἧττον
δὲ τὸ πεῖσαι ἀποσχέσθαι τῆς τυραννίδος. ἐπὶ δὲ γεωμετρίας μᾶλλον ὁ
κύκλος πολυχωρητότερον, ἧττον δὲ τὸ τρίγωνον· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.
οὕτως ὁ τοῦ μᾶλλον καὶ ἧττον τόπος κοινότατος. εἰσὶ δὲ καὶ τοῖς ῥήτορσι
κοινοὶ τόποι, ἀφ' ὧν καὶ ὁ πανηγυρίζων ὅτι δυνατὸν γενέσθαι τόδε κατα-
σκευάζει καὶ ὁ συμβουλεύων καὶ ὁ ἀμφισβητῶν· καὶ ὁ περὶ τοῦ μέγα
τόδε ἢ μικρὸν κοινὸς τοῖς τρισίν. [a 16] εἰσὶ δὲ καὶ ἕτεροι τόποι τοιοῦτοι
περὶ δικαίων ἤτοι ῥητορικῆς οἰκεῖοι ἢ περὶ φυσικῶν ἢ περὶ ὁτουοῦν,
ἠθικῆς ἢ διαλεκτικῆς πραγματείας. καίτοι ταῦτα εἴδει διαφέρει τὰ
ῥητορικὰ καὶ ἠθικὰ καὶ πολιτικά, ἀλλ' ὅμως κοινοί τινες τόποι τούτοις
ἐφαρμόττουσιν, ὡς δῆλον ἐκ τούτου τοῦ μᾶλλον καὶ ἧττον τόπου· οὐδὲν
γὰρ μᾶλλον ἔσται ἐκ τούτου συλλογίσασθαι διαλεκτικῶς ἢ ἐνθύμημα εἰπεῖν
περὶ δικαίων ῥητορικῶς ἢ περὶ φυσικῶν ἢ περὶ ὁτουοῦν ἑτέρου. [a 16]
ταῦτα δέ, ὡς εἴπομεν πολλάκις, τῷ εἴδει διαφέρει. ἐντεῦθεν δῆλον,
ὡς ἔχομεν κοινοὺς τόπους πᾶσιν ἐφαρμόζοντας. ἴδια δὲ ἐπιχειρήματα
καὶ πίστεις, ὅσα εἰσὶν ἐκ τῶν οἰκείων ἑκάστῳ εἴδει καὶ ὑποκειμένῳ προ-

---

3 δεόντως Vn Arist. vulg.: om. Arist. A 5 μᾶλλον δὲ σαφὲς Arist.
11 τῷ Vn Arist. vulg. et A man. rec.: om. Arist. A man. pr. 13 ἄνω φέρεται μᾶλλον V: μᾶλλον φέρεται ἄνω n 14 fort. φέρεται ⟨, ἧττον δὲ τὸ ἧττον φέρεται⟩. ἐπὶ 18 κακὸν V: γὰρ n 20 κακὸν om. n 23 δὲ (ante τὸ) om. n
28 εἰσὶ V: εἰ n 29 καὶ post prius ἢ add. n περὶ φυσικῶν Vn Arist. A Tr.: περὶ om. Arist. vulg. οὐτοιοῦν n 30 καίτοι ταῦτα V Arist. vulg.: καὶ τοιαῦτα n Arist. A

τάσεων, οἷον περὶ φυσικῶν εἰσι προτάσεις, ἐξ ὧν οὔτε ἐνθύμημα f. 5r
ἔσται ῥητορικὸν οὔτε συλλογισμός ἐστι περὶ τῶν ἠθικῶν· τί γὰρ
κοινὸν νοήμασι φυσικοῖς καὶ ἠθικοῖς; [a 20] καὶ περὶ τούτων αὖ, τῶν 35
ἠθικῶν φημι καὶ ῥητορικῶν, εἰσὶν ἐνθυμήματα καὶ τόποι οἰκεῖοι, ἐξ ὧν
5 οὐκ ἔστι συλλογισμὸς φυσικοῖς οἰκεῖος. [a 21] ὁμοίως δὲ τοῦτ' ἐπὶ
πάντων· τὰ γὰρ τοῖς γεωμετρικοῖς οἰκεῖα οὐκ ἔσται τῶν ἀριθμητικῶν.
κἀκεῖνα μέν, οἱ κοινῶς πᾶσιν ἐφαρμόζοντες τόποι, οὐ ποιεῖ περὶ
οὐδὲν γένος ὑποκείμενον τέχνης τινὸς ἐπιστήμονα καὶ τεχνίτην· τοῦτο
γὰρ δηλοῖ τὸ ἔμφρονα, ὅτι μὴ περὶ ἓν ὑποκείμενον καταγίνονται. [a 23]
10 ταῦτα δὲ ἤτοι τὰ ἴδια ἑκάστης φυσικῆς καὶ ἠθικῆς καὶ λογικῆς πραγμα- 40
τείας ἴσως καὶ ῥητορικῆς θεωρήματά τε καὶ ἐνθυμήματα ἐκλεξάμενός τις
λήσει ποιήσας ἄλλην ἐπιστήμην τῆς διαλεκτικῆς καὶ ῥητορικῆς·
[a 25] ἂν γὰρ τύχῃ ἀρχαῖς ὡρισμέναις καὶ ταύταις ἰδίαις πορίσηται
προτάσεις καὶ κατασκευάς, οὐκέτι διαλεκτικὴν οὐδὲ ῥητορικὴν ἐκ τούτων
15 οὖσαν εὑρήσει καὶ γνώσεται· αὗται γὰρ οὐχ ὡρισμένον γένος ἔχουσιν ἀλλ'
ἐκείνην, ἧς ἔχει τὰς ἀρχάς, ἢ ἀριθμητικὴν τυχὸν ἢ γεωμετρίαν ἢ ἠθικήν, f. 5v
καθάπερ εἴπομεν. [a 26] ἔστι δὲ τὰ πλείω τῶν ἐνθυμημάτων ἐκ
τούτων τῶν εἰδῶν τῶν κατὰ μέρος καὶ ἰδίων, τῶν οἰκείων ἑκάστῃ
τέχνῃ θεωρημάτων, ἐκ δὲ τῶν κοινῶν τόπων τῶν πᾶσαις ἐφαρμοττόντων
20 ἢ ταῖς πλείοσιν ἐπιστήμαις ὀλίγα. [a 29] καθάπερ οὖν καὶ ἐν τοῖς
Τοπικοῖς ἄλλους μὲν ἔχομεν τόπους κοινούς, ἑτέρους δὲ ἰδίους καὶ
καταλλήλους καὶ προσφόρους τῇ κατασκευῇ τοῦ γένους ἢ τῇ ἀνασκευῇ, 5
ἑτέρους δὲ οἰκείους τῇ δείξει τοῦ εἶναι τόδε εἶδος ἢ μή, οὕτω δὴ καὶ
ἐνταῦθα διαιρετέον τῶν ἐνθυμημάτων τά τε εἴδη τὰ οἰκεῖα
25 ἑκάστῳ, ἐξ ὧν τὸ δίκαιον (τοῦ δικανικοῦ) ἢ τὸ ἄδικον, καὶ ἐξ ὧν τὸ
συμφέρον (τοῦ συμβουλευτικοῦ) ἢ τὸ βλαβερόν, καὶ ἐξ ὧν τὸ καλὸν καὶ
τὸ αἰσχρόν (τοῦ πανηγυρικοῦ)· οὐ μὴν ἀλλὰ καὶ ἑτέρας πίστεις καὶ τόπους
παραδώσει, ἐξ ὧν τόδε μέγα, τόδε δὲ μικρόν, καὶ ἐξ ὧν τόδε δυνατόν,
τόδε δὲ ἀδύνατον. ταῦτά τε οὖν διαιρετέον τὰ ἴδια ἑκάστῳ, ἅπερ εἴδη 10
30 λέγει, καὶ τοὺς κοινοὺς τόπους ἁπάντων ὡς πᾶσιν ἐφαρμόζοντας. [a 32]
πρῶτον οὖν εἴπωμεν περὶ τῶν εἰδῶν, τῶν οἰκείων ἑκάστῳ λέγω
πίστεων καὶ ἐνθυμημάτων καὶ τόπων· ἀλλὰ πρὸ τούτων εἴπωμεν, πόσα
τὰ γένη τῆς ῥητορικῆς ἤγουν εἴδη, ὅπως διελόμενοι, πόσα ἐστὶ
ταῦτα τὰ εἴδη αὐτῆς, περὶ τούτων παραδώσομεν ἐφεξῆς τὰ στοιχεῖα
35 καὶ τὰς προτάσεις τῶν πίστεων, ἐξ ὧν ἕκαστον κατασκευάζεται ἢ ἀνα-
σκευάζεται, καὶ τῶν οἰκείων τόπων καὶ ἐνθυμημάτων.

3. Ἔστι δὴ τῆς ῥητορικῆς εἴδη τρία τὸν ἀριθμὸν δηλονότι ὅτι 15
τοσοῦτοι καὶ οἱ ἀκροαταί, δικαστής, ἐκκλησιαστὴς καὶ θεωρός. εἰς

---

3 νόημα n 5 οὐκ ἔσται Arist. τοῦτ' ἔχει ἐπὶ Arist. 7 ποιήσει Arist. 10 ἴδια n: ἀίδια V 13 ἐντύχῃ Arist. 14 οὐδὲ ῥητορικὴν om. n 17 τὰ πλεῖστα Arist. 18 εἰδῶν λεγόμενα τῶν Arist. 28 τόδε μὲν μέγα n 31 πρότερον Arist. (*primum* Tr.) πρῶτον μὲν οὖν n λέγω V: λόγῳ n 34 παραδώσωμεν n 35. 36 ἢ ἀνασκευάζεται om. n 36 καὶ τῶν scripsi: ἐκ τῶν Vn 37 δὴ V: *itaque* Arist. Tr.: δὲ n Arist. cet. ὅτι om. n 38 τοσοῦτοι γὰρ καὶ Arist.

κατασκευὴν δὲ τοῦ ὅτι τρεῖς οἱ ἀκροαταὶ προσλαμβάνει λῆμμα τοιοῦτον f. 5v
τὸ 'ὁ μὲν γὰρ λόγος ἐκ τριῶν σύγκειται, ἐκ τοῦ λέγοντος καὶ περὶ
οὗ πράγματος λέγει καὶ πρὸς ὃν ἀκροατήν'. τούτου τεθέντος, ὅτι ἕτερος
ὁ λέγων καὶ ἄλλο τὸ περὶ οὗ λέγει, ἕτερος δὲ ὁ ἀκροατής, πρὸς ὃν, ἐφεξῆς
5 θεωρεῖ τὸν ἀκροατήν. [b 2] οὗτος δὲ ἢ θεωρός ἐστι τῆς δυνάμεως τοῦ
παν ηγυρίζοντος, καὶ ποιεῖ ἓν εἶδος, ἢ κριτής, ἀλλ' εἰ μὲν περὶ μελλόντων, 20
τὸν ἐκκλησιαστὴν σημαίνει, καὶ ἰδοὺ τὸ συμβουλευτικόν, εἰ δὲ περὶ παρελ-
θόντων, τὸν δικαστήν, καὶ ἰδοὺ τὸ δικανικόν. ἐφερμηνεύει δὲ τὸ λεγό-
μενον οὕτωσὶ φάσκων· [b 4] ἔστι δὲ ὁ μὲν περὶ τῶν μελλόντων
10 κρίνων ἐκκλησιαστής, ὁ δὲ περὶ τῶν γεγενημένων δικαστής, ὁ
δὲ περὶ τῆς δυνάμεως τοῦ γράφοντος, εἴτε ἐντέχνως εἴτε ἀτέχνως
ἐνεκωμίασε καὶ ἐπῄνεσε τὸ προκείμενον, ὁ τοιοῦτος θεωρός· καὶ ἰδοὺ
τρία εἴδη. ἀλλὰ διὰ τί περὶ δυνάμεως εἴρηκεν, ἐρωτᾷς. ἐγώ σοι τὴν 25
αἰτίαν ἀκριβῆ παραδώσω περιεργότερον καὶ αὐτὸς βασανίσας τὴν λέξιν·
15 διηπόρηται γὰρ κἀμοί, διὰ τί ἐνταῦθα λέγει τὸν ἀκροατὴν τοῦ παν ηγυρί-
ζοντος θεωρὸν τῆς ἐκείνου δυνάμεως· ἔστι γὰρ καὶ ἐν τοῖς δικαζομένοις
καὶ συμβουλεύουσι δύναμις. ἡ δ' αἰτία φαίνεται τοιαύτη καὶ τῆς σῆς ἀπο-
ρίας ἡ ἐπίλυσις ἀξία. ὁ μὲν συμβουλεύων τοῦτο μόνον δεικνύει τὸ συμ-
φέρον εἶναι τὸ περὶ οὗ ἡ συμβουλή, ἀλλὰ καὶ ἐξ ἀληθῶν καὶ δοκούντων
20 καὶ φαινομένων πιθανῶν ὀφείλει κατασκευάζειν. ὁμοίως καὶ ὁ δικαζόμενος 30
κατηγορῶν εἴτε ἀπολογούμενος δεῖξαι μέλλει, ὅτι γέγονε τόδε, οὐχ ἁπλῶς
δὲ ἀλλὰ μετὰ βασάνου καὶ πίστεως ἀκριβοῦς. ὁ δὲ παν ηγυρίζων ἐπαινῶν
τοῦτο μόνον ἔχει σκοπὸν ἐγκωμιάσαι καὶ πολλάκις ἐκ ψευδῶν καὶ ἀπιθά-
νων τῷ περιόντι τῆς οἰκείας δυνάμεως κατασκευάζει τὸ λεγόμενον· τὴν
25 δύναμιν οὖν ἐπιδείκνυται τὴν οἰκείαν δεικνὺς τὸν κώνωπα ἴσον τῷ λέοντι
καὶ τὸν χειμῶνα κρείττω τοῦ θέρους καὶ τὴν μυῖαν ἐπαινετήν, ὥσπερ οἱ 35
δεινοὶ ῥήτορες μυίας ἔπαινον ἐποιήσαντο. καὶ μᾶλλον θαυμάζεται ὁ ῥήτωρ
καὶ τὴν οἰκείαν ἐκφαίνει δύναμιν, ὅταν τὰ προφανῶς ψεύδη μετασκευάσῃ
καὶ δείξῃ ἐπαινετά· ποίας γὰρ δυνάμεως εἴποις ἂν τὸ τὸν Ἕκτορα τῷ
30 Ἀχιλλεῖ ποιῆσαι ἴσον; οὐ πολλῆς καὶ ἐν λόγοις ἱκανῆς; τὸ δὲ μυίας ἐγκώ-
μιον οὐ δυνάμεως Δημοσθενικῆς καὶ ἐντέχνου; ὁ τοίνυν θεωρὸς τὴν δύνα-
μιν ὁρᾷ τοῦ ἐγκωμιάζοντος, εἰ ἐντέχνως ἢ μὴ ἐξῆρε τὸν ἐπαινούμενον· 40
κἂν ἐκ τῶν ὁμολογουμένως ψεύδων καὶ ψευκτῶν ἐπιχειρήσας ἐπαινετὰ τὰ
κατορθώματα τοῦ ἐγκωμιαζομένου ἔδειξε, μᾶλλον θαυμάζεται τῆς τοιαύτης
35 δυνάμεως. ἀκολούθως δὲ καὶ ἐπιδεικτικὸν τὸ παν ηγυρικὸν λέγεται τῆς
δυνάμεως ἐντεῦθεν φαινομένης τοῦ λέγοντος, ὁποία ἐστίν· ὁ μὲν γὰρ δικα-
νικὸς ῥήτωρ ἢ τῇ ἀληθείᾳ τοῦ πράγματος βοηθούμενος | καὶ νικῶν οὐ f. 6r
τοσοῦτον ἐπαινετός ἐστιν ἢ πιθανὰ μὲν εἰπὼν καὶ ὅσα ἔδει ἡττηθεὶς δὲ οὐ

---

2 ἔκ τε τοῦ Arist. 3 ἀκροατήν, ην ex ης corr., V 10 οἷον (ὁ superscr. D) ἐκκλησιαστής Arist. οἷον ὁ (ὁ om. BCYᵇ) δικαστής Arist. 12 ἐνεγκωμίασε n ὁ θεωρός Arist. 14 δὲ καὶ n 21 εἴτε κατηγορῶν εἴτε n 23 fort. ⟨τὸ⟩ ἐγκωμιάσαι 26 μυίαν V 28 ἐμφαίνει n κατασκευάσῃ n 29 γὰρ om. n 33 ἐπιχειρῆσαι n 34 ἔδοξε n

τοσοῦτον ἐπίψογος· ὁ δὲ πανηγυρίζων ἢ ψέγων δείξας ἢ τὸ φαῦλον ἐπαι- f. 6r
νετὸν ἢ τὸ ἐπαινετὸν φαῦλον θαυμαστὸς εὑρίσκεται καὶ πολλοὺς ἐπαινέτας
εὑρίσκει τῆς οἰκείας δυνάμεως. [b 6] ὥστε τρία γένη ἤγουν εἴδη τῆς
ῥητορικῆς. σαφῆ δὲ τὰ ἑξῆς· τίνα γὰρ τὰ τρία εἴδη ταύτης καὶ τίνες οἱ
5 χρόνοι τοῖς τρισί, σαφῶς διηγεῖται. [b 20] τέλος δὲ ἑκάστοις ἕτερόν
ἐστιν, τῷ μὲν συμβουλεύοντι τὸ συμφέρον καὶ βλαβερόν· ὁ γὰρ 5
συμβουλεύων εἰς βέλτιον μὲν προτρέπει, ἀποτρέπει δὲ τοῦ χειρονος· τέλος δὲ
καὶ σκοπὸν ἔχων ταῦτα τὰ ἄλλα χάριν τούτων λαμβάνει ὡς φέροντα πρὸς
ἐκεῖνα, τὸ μὲν δίκαιον εἰς δεῖξιν τοῦ ὅτι συμφέρει, τὸ δὲ ἄδικον διὰ
10 τὸ ὅτι οὐ συμφέρει βλαβερὸν ὄν, ὁμοίως τὸ καλὸν εἰς πίστωσιν τοῦ ὅτι
συμφέρει, τὸ δ' αἰσχρόν, ὅτι βλαβερὸν τόδε. [b 25] τοῖς δὲ δικαζο-
μένοις τὸ δίκαιον καὶ τὸ ἄδικον, ὁ μὲν κατηγορῶν δεικνύων ἀδικῆσαι
τὸν φεύγοντα, ὁ δὲ φεύγων οὐκ ἀδικῆσαι ἀλλὰ δίκαιον ποιῆσαι διατεινό- 10
μενος ἢ μὴ ποιῆσαι τὸ ἄδικον. [b 26] τὰ δ' ἄλλα καὶ οὗτοι συμπαρα-
15 λαμβάνουσιν εἰς δεῖγμα τούτων, ὁ μὲν κατήγορος τὸ αἰσχρόν, τὸ βλαβερὸν
καὶ τὰ λοιπὰ εἰς κατασκευὴν τοῦ ὅτι ἄδικον, ὁ δὲ φεύγων τὸ συμφέρον
καὶ καλὸν εἰς βεβαίωσιν τοῦ ὅτι δίκαιον τὸ γεγονός. [b 27] τοῖς δὲ
ἐπαινοῦσι ⟨καὶ ψέγουσι⟩ τέλος τὸ καλὸν καὶ τὸ αἰσχρόν, τὰ δ' ἄλλα
καὶ οὗτοι συμπαραλαμβάνουσι, τὸ δίκαιον μὲν καὶ τὸ συμφέρον ἕνεκα τοῦ
20 παρ' αὐτοῖς κειμένου τέλους, λέγω δὴ τοῦ καλοῦ, τὸ δὲ ἄδικον καὶ βλα- 15
βερὸν ἕνεκα τοῦ δεῖξαι, ὅτι αἰσχρὸν τόδε τὸ προκείμενον εἰς ψόγον.
[b 29] σημεῖον δὲ τοῦ ταῦτα εἶναι τὰ τέλη τοῖς τρισί, διότι ἐπὶ τῶν
δικανικῶν ἀμφισβητήσεων ἐνίοτε ὁ φεύγων ὁμολογεῖ τὸ γεγονὸς ἐκτὸς τῶν
στοχαστικῶν ζητημάτων καὶ βλαβερὸν εἶναι συντίθεται, οὐ μὴν ἄδικον ὁμο-
25 λογεῖ ἀποδεικνύων αὐτό (εἰ γὰρ συγκατετίθετο καὶ ἄδικον αὐτὸ εἶναι, [b 33]
οὐδὲ δικαστηρίων ἔδει), ὁ δὲ διώκων σπεύδει δεῖξαι ἄδικον. ὁ δὲ
συμβουλεύων πολλάκις ἄδικον μὲν εἶναι λέγει τὸ περὶ οὗ ἡ συμβουλή, 20
συμφέρον δέ· ὅτι μὲν γὰρ ἄδικον τὸ καταδουλοῦσθαι τοὺς ἀστυγείτονας
καὶ μηδὲν βλάπτοντας, συντίθεται, συμβουλεύει δὲ καὶ προτρέπει ὡς ὠφε-
30 λοῦν τὴν πόλιν. ὁρᾷς, ὅτι τέλος τοῦ συμβουλεύοντος οὐχὶ τὸ δίκαιον καὶ
ἄδικον ἀλλὰ τὸ συμφέρον καὶ βλαβερόν. [b 38] πάλιν οἱ ἐπαινοῦντες
καὶ ψέγοντες οὐ φροντίζουσιν, εἰ μὴ συμφέρει τὸ γεγονὸς ὡς βλαβερὸν
ἢ εἰ συμφέρει, σκοποῦσι δὲ μόνον, εἰ καλόν· εἰ δὲ καὶ βλαβερόν, ἐν ἐπαί- 25
νου μοίρᾳ μᾶλλον τοῦτο τιθέασιν, ὅτι τοῦ οἰκείου συμφέροντος ὀλιγωρήσας
35 ὁ ἀριστεὺς τοιοῦτόν τι καλὸν τῇ πόλει περιεποιήσατο, νίκην τυχόν, ἐλευ-
θερίαν, τρόπαια, νόμων παρρησίαν ἢ ἄλλο τι, [1359a3] ὁποῖόν τι καὶ Ἀχιλ-

---

2 ἐπαινέτας V: ἐπαίνους n 3. 4 τῆς ῥητορικῆς — εἴδη (4) om. n 5 σαφῶς ex corr. V ἑκάστοις τούτων Arist. 6 ἐστι n καὶ τρισὶν οὖσι τρία ante τῷ add. Arist. 7 μὲν τρέπει n τῷ χείρονι n 10 τὸ ὅτι V: τοῦ ὅτι n βλαβερὸν — συμφέρει (11) om. n 11 δ' V: δὲ n 18 καὶ ψέγουσι n Arist.: om. V 19 συμπαραλαμβάνουσι V: πρὸς ταῦτα ἐπαναφέρουσι n Arist. 26 οὐδὲ Vn Arist. BDEQY^b: οὐδὲν Arist. cet. ἔδει Vn: ἂν ἔδει Arist. διώκων n: φεύγων V 31 τὸ ἄδικον n 32 καὶ οἱ ψέγοντες Arist. 35 πόλει V: πολιτείᾳ n

λεὺς ἐποίησε βοηθήσας μὲν Πατρόκλῳ, ὅπερ ἐπαινετὸν καὶ καλόν, πεσὼν f. 6r
δέ. ὃ οὐ συμφέρον. [a 6] φανερὸν δὲ ἐκ τούτων τῶν νῦν εἰρημένων,
ὅτι, εἰ τῆς ῥητορικῆς εἴδη τοσαῦτα καὶ μέρη, δεῖ προτάσεις ἔχειν οἰκείας
τούτοις καὶ ἐνθυμημάτων εἴδη, ἐξ ὧν τὸ πανηγυρικὸν κατασκευασθήσεται, 30
5 καὶ ἑτέρας, ἐξ ὧν τὸ δικανικόν, καὶ ἄλλας, ἐξ ὧν τὸ συμβουλευτικόν·
[a 7] τὰ γὰρ τεκμήρια καὶ τὰ εἰκότα καὶ τὰ σημεῖα ῥητορικαί
εἰσι πίστεις καὶ προτάσεις· ὁ μὲν γὰρ ἁπλῶς συλλογισμὸς ἐκ προ-
τάσεών ἐστι, τὸ δὲ ἐνθύμημα συλλογισμός τις, φημὶ δὴ ῥητορικός,
συνεστηκὼς ἐκ τεκμηριωδῶν προτάσεων καὶ εἰκότων καὶ σημείων.
10 [a 11] ἐπεὶ δὲ οὔτε πραχθῆναι οἷόν τε οὔτε πεπρᾶχθαι τὰ ἀδύ-
νατα. ὃ λέγει, τοιοῦτόν ἐστιν, ὅτι οὐ μόνον χρήζομεν τῶν ἐνθυμημάτων 35
τῶν οἰκείων ἑκάστῳ καὶ καταλλήλων, ἀλλὰ καὶ τῶν κοινῶν· ἐπειδὴ γὰρ
περὶ δυνατῶν γενέσθαι συμβουλεύει τις ἢ δικάζεται ἢ πανηγυρίζει, ὅτι
οὔτε πανηγυρίζων τις ἐρεῖ πραχθῆναι τὰ ἀδύνατα οὔτε συμβουλεύων ἐρεῖ
15 πραχθήσεσθαι τὰ ἀδύνατα οὔτε ὁ δικαζόμενος ἐρεῖ πεπρᾶχθαι τὰ ἀδύνατα
— ἀναλόγως γὰρ τοῖς τρισὶν εἴδεσι τοὺς τρεῖς χρόνους ἀπέδωκεν —, ἐπὶ
δὴ τούτῳ χρήζομεν, φησί, τόπων κοινῶν, ἀφ' ὧν καὶ ὁ πανηγυρίζων καὶ
ὁ συμβουλεύων καὶ ὁ δικαζόμενος ἀποδείξουσι δυνατὸν εἶναι τόδε ἢ μή. 40
[a 16] ἔτι δὲ χρήζομεν τόπων κοινῶν εἰς τὸ δεῖξαι τόδε μέγα ἢ μικρόν,
20 μέγα δὲ ἢ καθ' αὑτό, ὡς ἡ ἀσέβεια, ἢ πρὸς ἄλλο, ὡς ἡ ἱεροσυλία
πρὸς τὴν κλοπήν, καὶ μικρὸν ὁμοίως ἢ καθ' αὑτό, ⟨ὡς⟩ τὸ ῥῆξαι τὸ τεῖχος
καὶ νίκην ποιῆσαι, ἢ ⟨ὡς πρὸς ἄλλο, ὡς ἡ⟩ ἱεροσυλία μικρὸν πρὸς τὴν ἀσέ-
βειαν καὶ τὴν εἰς θεοὺς ὕβριν. [a 23] δεῖ τοίνυν ἔχειν τόπους κοινοὺς τοῦ
μείζονος καὶ τοῦ ἥττονος, οἷόν τί μεῖζον ἀγαθόν, ὅπερ ὀφείλει δεῖξαι διὰ
25 κοινῶν | προτάσεων ὁ πανηγυρικός. καὶ τί μεῖζον ἀδίκημα ἢ δικαίωμα, f. 6v
τοῦ δικανικοῦ· ὁμοίως δὲ καὶ περὶ τοῦ συμφέροντος καὶ βλαβεροῦ. τί μεῖζον
καὶ τί ἧττον συμφέρον καὶ ποῖον βλαβερὸν καὶ ποῖον μή· ταῦτα γὰρ δηλῶν
εἶπε [a 26] καὶ περὶ τῶν ἄλλων. μετὰ ταῦτα διαιρετέον, περὶ
τίνων μὲν συμβουλεύει ὁ συμβουλεύων, περὶ τίνων δὲ οἱ ἐπιδεικτικοὶ λόγοι
30 εἰσὶ καὶ περὶ ὧν οἱ δικανικοί· ἐπεὶ γὰρ διωρισάμεθα, πόσα τὰ εἴδη τῆς 5
ῥητορικῆς καὶ τί τὸ τέλος τούτων τῶν τριῶν καὶ πῶς χρήζουσι καὶ κοινῶν
τόπων καὶ προτάσεων καὶ εἰδῶν ἐνθυμημάτων οἰκείων καὶ προσφόρων
ἑκάστῳ, ῥητέον καὶ περὶ τίνων βουλεύονταί τινες καὶ περὶ τίνων δικάζουσι
καὶ περὶ τίνων πανηγυρίζουσι. καὶ νῦν μὲν ἐρεῖ, ὅτι περὶ πέντε τινῶν
35 κυρίως συμβουλεύει ὁ συμβουλεύων, πολέμου καὶ εἰρήνης, ἀλλὰ καὶ περὶ
χρημάτων, ὅθεν πορισθήσονται, ἔτι δὲ περὶ φυλακῆς τῆς χώρας, πρὸς τού-

1 βοηθήσας — πατρόκλω V (cf. Arist. 1359a3): τιμωρήσας — πάτροκλον n 2 ὅ V: ὅπερ n
6. 7 προτάσεις εἰσὶ ῥητορικαί Arist. 7 καὶ προτάσεις om. n 8 τις Vn: ἐστι Arist.
9 τεκμηριωδῶν Vn: τῶν εἰρημένων Arist. 10 πεπρᾶχθαι Vn Arist. A: πραχθήσεσθαι
Arist. vulg. 10. 11 ἀδύνατα ἀλλὰ τὰ δυνατά Arist. 11 ὃ δὲ λέγει n 15 ὁ
om. n 16. 17 ἐπὶ δὴ τούτῳ cod. Paris. gr. 1869: ἐπειδὴ τοῦτο V: ἐπειδὴ τούτων n
20 ἢ ὡς πρὸς ἄλλο ὡς ἱεροσυλία n 21 μὲν post μικρὸν add. n ὡς n: om. V
22 ὡς πρὸς ἄλλο ὡς n: om. V ἡ addidi 28 μετὰ δὲ Arist. 30 ἐπεὶ V:
ἐπειδὴ n 32 καὶ post εἰδῶν add. n 34 ἐρεῖ n: ἐρ evanuit V

τοις καὶ περὶ τῶν εἰσαγομένων καὶ ἐξαγομένων. ἀλλὰ καὶ περὶ νομοθεσίας· f. 6v
ἐφεξῆς δὲ προϊὼν ἐρεῖ καὶ περὶ τίνων πανηγυρίζουσι καὶ περὶ τίνων δικά- 11
ζουσι.

4. Πρῶτον δὲ ῥητέον, περὶ τίνων βουλεύεταί τις· δῆλον γὰρ ὡς
5 οὐ περὶ ἀναγκαίων οὐδὲ περὶ ἀδυνάτων βουλεύσεται, ἀλλὰ περὶ τῶν ἐνδε-
χομένων καὶ ἄλλως ἔχειν. [a 34] οὐδὲ δὴ περὶ τῶν ἐνδεχομένων
πάντων· οὐ γὰρ περὶ τοῦ ἐπ' ἔλαττον ἐνδεχομένου βουλεύσεταί τις, οἷον
εἰ δεῖ εὑρεῖν θησαυρὸν βαδίζοντα, οὐδὲ περὶ τῶν ὡς ἐπὶ τὸ πολὺ γινο-
μένων (τοῦτο γὰρ τῆς φύσεως, τὸ πενταδάκτυλον ποιεῖν ὡς ἐπὶ τὸ πολύ), 15
10 ἀλλὰ περὶ τῶν ἐπ' ἴσης, ἃ τῆς ἡμετέρας εἰσὶ προαιρέσεως καὶ εἰς ἡμᾶς
καὶ εἰς τὸν ἀρχηγὸν νοῦν ἀνάγονται. [a 39] καὶ ὧν ἡ ἀρχὴ τῆς γενέ-
σεως ἐφ' ἡμῖν ἐστι· μέχρι γὰρ τούτου σκοποῦμεν, ἕως ἂν εὕρω-
μεν, εἰ ἡμῖν δυνατὰ πραχθῆναι. βουλόμενος δὲ εἰπεῖν περὶ πέντε
ἁπλῶς τινων βουλεύεσθαι τὸν ὑποτιθέμενον φησίν, ὅτι τὰ καθ' ἕκαστα
15 λέγειν, περὶ ὧν τις βουλεύεται, ἀμήχανον μᾶλλον ἢ ἀστέρας ἀριθμεῖν, ἐπεὶ
καὶ τὰ καθ' ἕκαστα ἄπειρα, ἔτι δὲ καὶ τὸ διορίσαι περὶ αὐτῶν
ἀκριβῶς πάντων, πόσα εἰσί, περὶ ὧν ἡ συμβουλή, ἀδύνατον· τῆς γὰρ 20
ῥητορικῆς καὶ διαλεκτικῆς, ἐπεὶ δυνάμεις εἰσίν, ἴδιον τὸ μὴ περὶ ὡρισμένον
ὑποκείμενον στρέφεσθαι ἀλλὰ περὶ πολλά. [b 5] οὐ δεῖ γοῦν κατὰ
20 τὸν παρόντα καιρόν, καθ' ὃν περὶ δυνάμεως τῆς ῥητορικῆς διαλεγόμεθα,
τὸ ὡρισμένον ζητεῖν καὶ τὸ ὅσον ἐνδέχεται· οὐ γὰρ τοῦτο τῆς ῥητορικῆς
οἰκεῖον. ἀλλὰ τίνος; ἐρωτᾷς. ἐμφρονεστέρας ἐπιστήμης, γεωμετρίας,
ἀριθμητικῆς καὶ τῶν ἄλλων. ἔα γοῦν, μὴ ζήτει τὸ ἀκριβὲς διὰ τὸ μήτε
ῥητορικῆς εἶναι τοῦτο καὶ διὰ τὸ [b 7] πλείω δεδόσθαι ⟨καὶ νῦν⟩ 25
25 αὐτῇ τῶν οἰκείων θεωρημάτων, ὅπερ ἐστὶ ταὐτὸν τῷ 'καίτοι καὶ νῦν
πολλὰ ἀπεχαρισάμεθα αὐτῇ καὶ ἀρκείσθω ἐν αὐτοῖς πλείω τοῦ δέοντος
λαβοῦσα, ἱκανῶς ἐχέτω χάριν λαβοῦσα παρ' ἡμῶν μείζω τῆς ἰδίας δυνά-
μεως'. τίνα χάριν δεδώκαμεν; ὅτι σύγκειται καὶ μετέχει διαλεκτικῆς καὶ
ἠθικῆς καὶ σοφιστικῆς τυχόν, ἡνίκα τὸν κώνωπά τις ἀποδεικνύει ἴσον τῷ
30 λέοντι. [b 12] ὅσῳ δ' ἄν τις βιάσαιτο τὴν διαλεκτικὴν ἢ τὴν ῥητο-
ρικὴν κατασκευάζειν οὐχὶ δυνάμεις ἀλλ' ἐπιστήμας ὑποκειμένων 30
τινῶν ὡρισμένων, λήσεται τὴν φύσιν αὐτῶν ἀφανίσας, ὥσπερ εἰ καὶ
τῇ σιμότητι σπουδάσει τις ἐπιδοῦναι τὸ μέσον τῆς ἀκριβοῦς θέσεως τῆς
ῥινός, ἀφανίσει τὸν λόγον τῆς σιμότητος· ἀφανίσει γοῦν τὴν δύναμιν τῆς
35 ῥητορικῆς τις καὶ τῆς διαλεκτικῆς ἐπισκευάζων εἰς ἐπιστήμας ὑπο-
κειμένων τινῶν πραγμάτων ὡρισμένων, ἀλλὰ μὴ μόνον λόγων

---

2 προϊὼν om. n 5 βουλεύεται n 6 καὶ — ἐνδεχομένων om. n 7 ἁπάντων Arist. 8 εἰ V: οὐ n 9 fort. φύσεως ⟨ὡς⟩ 10 εἰσὶ V: ἐστὶ n 13 δυνατὸν n δυνατὰ ἢ ἀδύνατα πρᾶξαι Arist. (ἢ ἀδύνατα om. Tr.) 14 φησὶ n ὅτι om. n 15 ἄστρα n ἐπεὶ δὲ n 21 τοῦτο V: τὸ n 22 οἰκεῖον V: ἴδιον n 24 τῆς ῥητορικῆς Arist. καὶ νῦν ex Aristotele addidi 28 διαλεκτικῆς Vn: *ex dialectica scientia* Arist. Tr.: ἔκ τε τῆς ἀναλυτικῆς ἐπιστήμης Arist. cet. 30 ἢ τὴν διαλεκτικὴν Arist. 33 θέσεως V: θεωρίας n 36 μόνων n

ἐπιστήμας ἢ δυνάμεις ἐν πολλοῖς καὶ ἀορίστοις καὶ διαφόροις θεωρουμένας f. 6ᵛ
ὑποκειμένοις [καὶ] πράγμασιν. [b 16] ὅμως, ἔχοντος τοῦ πράγματος οὕτω 35
καὶ τῆς ῥητορικῆς οὐχ ὡρισμένα τὰ ὑποκείμενα ἐχούσης, ὅσα πρὸ ἔργου,
εἴπωμεν, ἤτοι ὅσα τὸ παρὸν ἔργον καὶ ἡ παροῦσα ἐγχείρησις ἀπαιτεῖ,
5 διέλωμεν νῦν· ταῦτα γὰρ καὶ τῇ πολιτικῇ ἐπιστήμῃ σκέψιν ὑπολεί-
πουσιν. ὃ δὲ λέγει, τοιοῦτον· ὅσα τῷ συμβουλευτικῷ εἴπωμεν ὑπο-
κεῖσθαι πρὸς σκέψιν, ταῦτα φαίνονται καὶ τῷ πολιτικῷ ὑποκεῖσθαι. τοῦτο
δὲ δῆλον ἔσται οὕτως· [b 20] πέντε ὑπόκεινται τῷ συμβουλευτικῷ, τὸ
περὶ πόρων ἤτοι χρημάτων συμβουλεύειν, τὸ περὶ πολέμου καὶ εἰρή- 40
10 νης, τὸ περὶ φυλακῆς τῆς χώρας, τίνα δεῖ εἰσάγειν, ὧν χρήζει πάν-
τως ἡ πόλει, καὶ τίνα ἐξάγειν, ἃ περιττὰ τῇ πόλει δηλονότι, καὶ περὶ
νομοθεσίας· ταῦτα δὲ καὶ ὁ πολιτικὸς σκοπεῖ καὶ περὶ τούτων βουλεύεται.
[b 24] τὸν μὲν οὖν περὶ χρημάτων μέλλοντα συμβουλεύειν δέοι ἂν τὰς
προσόδους εἰδέναι τῆς πόλεως καὶ τίνες εἰσὶ καὶ πόσαι, ὅπως,
15 εἴτε λείπεται πρόσοδος, προστεθῇ, ὥσπερ ἡνίκα δεκάτας συμβου-
λεύει τις γενέσθαι | ἢ ὅτε συμβουλεύει Δημοσθένης τὰ θεωρικὰ χρή- f. 7ʳ
ματα γενέσθαι πολέμου παραναλώματα· ἐλάττων δὲ οὖσα προστίθεται,
ἡνίκα αἱ ὑποτελεῖς πόλεις πεντήκοντα τάλαντα διδοῦσαι ὀφείλουσι διδόναι
ἑκατόν. [b 26] ἔτι δὲ δεῖ τὰς δαπάνας εἰδέναι τῆς πόλεως, ὅπως
20 εἴ τίς ἐστι περιττὴ δαπάνη καὶ ἀνωφελὴς κόπτηται, ὡς ἡνίκα τρέφει ἡ
πόλις ἵππους δρομικοὺς χάριν τοῦ σταδίου καὶ ἀνθρώπους σταδιοδρόμους 5
καὶ ἡνιόχους· δεῖ γὰρ ταύτην ἀφαιρεθῆναι καὶ ἐκβληθῆναι τὴν δαπάνην·
[b 27] καὶ εἴ τις μείζων ἐλάττων γένηται, ὡς ἡνίκα ἔχει ναυτικὸν
ἡ πόλις τριήρεων τετρακοσίων τυχόν, ἀρκουμένη ταῖς ἡμισείαις. οὐ μόνον
25 γὰρ εἰ προστιθέασιν οἱ πολῖται τοῖς χρήμασι χρήματα καὶ ταῖς προσόδοις
προσόδους, εἰ δεκάτας ἐπινοοῦσι καὶ τῶν νηῶν πορθμεῖα, πλουσιώτεροι
γίνονται, ἀλλὰ καὶ εἰ ἀφαιροῦσι τέλεον τὰ ⟨περιττὰ⟩ δαπανήματα, ὥσπερ
εἰ κόψειέ τις τέλεον τὰ πάλαι τοῖς ἀξιώμασι διδόμενα κατ' ἔτος, εἴτε τὰ 10
ἡμίση παρέχουσιν ἀντὶ τοῦ διπλασίου, οἷον εἰ τριήρεις ἔχοντες ὡς εἴρηται
30 τόσας, ὑποδιπλασίους κατέλειψαν, τὰς ἄλλας παρεικότες ὡς ἀχρήστους τῇ
πόλει τυχόν. [b 30] ταῦτα δὲ ἐνδέχεται συνορᾶν οὐ μόνον ἐκ τῆς
περὶ τὰ ἴδια πράγματα ἐπιστήμης καὶ πείρας ἀλλὰ καὶ † ἐκ τῶν παρ'
ἄλλοις εὑρημένων ἱστορικὸν εἶναι καὶ ἔμπειρον τὸν περὶ ταῦτα
συμβουλεύοντα. [b 33] περὶ δὲ πολέμου καὶ εἰρήνης δεῖ τὴν δύνα-
35 μιν εἰδέναι τῆς πόλεως, πόση τε ὑπάρχει, ἣν ἔχει, οἷον εἰ ἱππόται 15
χίλιοί εἰσι καὶ πεζοὶ διπλάσιοι καθ' ὑπόθεσιν, καὶ πόσην ἐνδέχεται

---

2 καὶ πράγμασιν V: καὶ om. n ὅμως δὲ Arist. 6 τοιοῦτόν ἐστιν n εἴπομεν n
8 δὲ om. n οὕτω n 10 χωρίας n 13 συμβουλεύειν Vn Arist. ACD: συμβουλεύσειν
Arist. cet. (*debentes consiliari* Tr.) 14 τῆς πόλεως εἰδέναι Arist. 15 εἴτε τις παραλείπεται Arist. 16 ἢ om. n ὅτι n 19 πόλεως ἁπάσας Arist. 22 ταῦτα n
23 ἔχῃ n 24. 25 γὰρ μόνον Arist. 27 περιττὰ addidi 28. 29 τὰ ἡμίση V: ἥμισυ
(om. τὰ) n 30 κατέλειψαν, κατέ evanuerunt, V: κατελήψειαν n 32 καὶ ἐκ Vn: ἀναγκαῖον καὶ Arist. 32. 33 παρὰ τοῖς ἄλλοις Arist. 33 εὑρημένων V Arist.: ὡρισμένων n
ταῦτα V (ut videtur): τὰ τοιαῦτα n 35 ὁπόση τε ὑπάρχει ἤδη Arist.

ἀρκεῖν τῇ πόλει, πλείω ἢ ἐλάττω, καὶ ποία τις ἡ ὑπάρχουσά ἐστι, f. 7r
πεζὴ ἢ ἱππικὴ ἢ ναυτική, καὶ ἡ τοξικὴ ἢ μετὰ δόρατος παρατάττεται, καὶ
ποίαν χρὴ προσγενέσθαι τῇ πόλει, ποίας χρήζει, τοξικῆς ἢ ἄλλης
δυνάμεως· ἔτι δὲ τίνας πολέμους ἡ πόλις ἐπολέμησε, δεῖ σκοπεῖν, καὶ
5 πρὸς τίνας καὶ πότε καὶ πῶς ἐπολέμησε, τοξικῶς ἢ μετὰ σπάθης ἢ ἐν 20
δόρατι καὶ πάλιν μετὰ ναυμαχίας ἢ ἱππικῶς ἢ πεζικῷ λαῷ. [b 37]
οὐ μόνον δὲ τῆς πόλεως εἰδέναι δεῖ τὴν δύναμιν καὶ πότε καὶ πρὸς
οὓς ἐπολέμησεν, ἀλλὰ καὶ τῶν γειτόνων, ποίαν ἔχουσι δύναμιν καὶ πῶς
ἐπολέμησαν καὶ πρὸς τίνας. δεῖ δὲ σκοπεῖν καὶ πρὸς οὓς τὸ πολεμεῖν
10 δόξαν ποιεῖ τῇ πόλει, καὶ ὅτι πρὸς μὲν τοὺς κρείττους οὐ δεῖ πολε-
μεῖν ἀλλ' εἰρηνεύειν, πρὸς δὲ τοὺς ἥττους, εἰ μὲν χρήζομεν χρημάτων
ἢ βλάπτουσιν ἡμᾶς, δεῖ πολεμεῖν, εἰ δὲ μή, οὐ χρή. [1360a1] δεῖ δὲ καὶ 25
τὰς δυνάμεις θεωρεῖν ἡμῶν καὶ τῶν πολεμίων, πότερον ὅμοιαι ταῖς
ἡμῶν δυνάμεσιν αἱ ἐκείνων ἢ οὔ, οἷον εἰ ἐκεῖνοι ἀσπιδηφόροι καὶ δορατι-
15 σταὶ καὶ ἀνδρεῖοι οἱ πολέμιοι, ἆρά γε τοιοῦτοι καὶ οἱ ἡμέτεροι. ἔστι
γὰρ καὶ ταύτῃ πλεονεκτεῖν τῇ δυνάμει ἢ ἡμᾶς ἢ τοὺς ἐναντίους, εἰ ἴσοι
μὲν ἡμεῖς κἀκεῖνοι τῷ πλήθει, ἀλλ' ἡμεῖς ἀσπιδηφόροι καὶ δορατισταὶ καὶ
ἱππηλάται πρωτεπιστήμονες, ἐκεῖνοι δὲ πεζοὶ καὶ τοξόται καὶ ἄοπλοι τυχόν.
[a 6] ἔτι δὲ καὶ περὶ φυλακῆς τῆς χώρας δεῖ μὴ λανθάνειν, πῶς 30
20 ἡ χώρα φυλάσσεται, πόσας ἔχει ὀχυρότητας καὶ τόπους ὀρεινοὺς
φυλακτικούς, οἳ κλεῖδες λέγονται καὶ οἱ θριγκώματα. [a 7] δεῖ δὲ καὶ τὸ
πλῆθος εἰδέναι τῆς φυλακῆς, πόσον ἀρκεῖ τῷδε τῷ χαρακώματι
πλῆθος εἰς φυλακὴν καὶ πόσον ἐν ἑτέρῳ, καὶ ὅτι ἐνταῦθα μὲν ἀρκοῦσιν
ἑκατὸν εὐφυλάκτῳ ὄντι, ἐκεῖ δὲ δεῖ χιλίων διὰ τὸ ἀφύλακτον καὶ τῶν τειχῶν
25 τὸ ὑπόσαθρον καὶ εὐεπιβούλευτον, ἵνα, εἴτε ἐλάττων ἐν τῷδε τῷ μέρει
τῆς πόλεως ἡ φυλακή, προστεθῇ, εἴτε πλείων τοῦ δέοντος ἡ φυλακή, 35
τυχὸν ὁπλιτῶν ὄντων ἑκατὸν ἀρκούντων πεντήκοντα, ἐκκοπῇ ἡ πλείων,
καταλειφθῇ δὲ ἡ ἡμίσεια. [a 12] ἔτι περὶ τροφῆς δεῖ συμβουλεύειν,
πόση δαπάνη ἱκανὴ τῇ πόλει πρὸς διατροφὴν τῶν στρατιωτῶν καὶ
30 τῶν οἰκείων ἀρχόντων, καὶ πόσην γεωργεῖ ἡ πόλις αὐτὴ καὶ πόσην δεῖ
μετακομισθῆναι ἐξ ἑτέρων χωρῶν, καὶ τῆς ποίων πραγμάτων εἰσαγωγῆς
δέονται, οἴνου ἢ σίτου, καὶ τίνων ὄντων περιττῶν δεῖ ἐξάγειν καὶ 40
ἀποποιεῖσθαι αὐτά, ἵνα πρὸς τούτοις καὶ συμβολαὶ ἤτοι πραγματεῖαι
καὶ εἰσβολαὶ τῶν ἐμπόρων γίνωνται· [a 15] εἰς δύο γὰρ φυλαττέσθωσαν

---

1 ἀρκεῖν Vn: ὑπάρξαι Arist. (*fore* Tr.) ἡ V: om. n: ἥ τε Arist. 2 exspectes καὶ ⟨ἡ πεζὴ εἰ ἔστι⟩ τοξικὴ 4 δεῖ V: δοκεῖ n 5 ἐπολέμησεν n 6 πεζῷ n 7 τῆς οἰκείας πόλεως Arist. 9 οὓς ἐπίδοξον πολεμεῖν Arist. 10 κρείττους Vn Arist. ABC: κρείττονας Arist. cet. 14 et 17 ἀσπιδιφόροι n 15 τοιοῦτοι V: τοι n 16 καὶ om. n ἐναντίους V: ὑπεναντίους n 20 φυλάττεται Arist. ὀρεινοὺς V: εἰρηνικοὺς n 21 καὶ οἱ V: οἱ om. n θριγγώματα n 24 εὐφυλάκτω V: φυλακτῷ n 28 ἔτι δὲ περὶ Arist. βουλεύειν n 30 πόσην — αὐτὴ scripsi: πόση ἣν — αὕτη Vn 32 ἐξαγαγεῖν n 33 τούτοις Vn Arist. Zb: τούτους ex τούτοις corr. man. l. Arist. A: τούτους Arist. cet. καὶ συνθῆκαι καὶ συμβολαὶ Arist. συμβολαί, ο ex ου, V

εἰρηνεύοντες οἱ πολῖται, εἰς τοὺς κρείττους καὶ δυνατωτέρους καὶ εἰς f. 7r
τοὺς χρησίμους εἰς τὰ χρειώδη τῇ χώρᾳ. [a 20] ἀναγκαῖον εἰδέναι
καὶ πόσα πολιτειῶν εἴδη καὶ ποῖα συμφέρει ἑκάστῃ πολιτείᾳ.
περὶ δὲ τούτων ἀκριβῶς εἴρηκεν ἐν τῇ πραγματείᾳ τῶν Πολιτειῶν οὕτω
5 λεγομένων, ἐκ τίνων συνίστανται καὶ | φθείρονται. βελτίστην δὲ πολιτείαν f. 7v
λέγει τὴν βασιλείαν. [a 24] αἱ δὲ ἄλλαι πᾶσαι καὶ ἀνιέμεναι καὶ ἐπι-
τεινόμεναι φθείρονται, ὥσπερ ἥ τε τυραννὶς καὶ ἡ δημοκρατία· εἴτε
γὰρ πάντες ἄρχουσι, καὶ οἱ ἀγύρται καὶ βωμολόχοι καὶ οἱ νηπιώδεις καὶ
ἄφρονες, ἐπετάσθη καὶ ἐφθάρη, εἴτε ὀλίγοι καὶ κρείττους, ἀριστοκρατία
10 γέγονεν, εἴτε ὀλίγοι καὶ πλούσιοι, ὀλιγαρχία, φθαρεῖσα, ὅπερ ἦν. [a 27]
ὥσπερ καὶ ἡ γρυπότης καὶ ἡ σιμότης ἀνιέμεναι μὲν εἰς τὸ μέσον 5
ἔρχονται, ἐπιτεινόμεναι δὲ οὕτω διατίθενται, ὡς μηδὲ ῥῖνα δοκεῖν τὴν
ἔχουσαν τὰς ὑπερβολὰς ταύτας, ὥσπερ ἡ τοῦ ἀετοῦ καὶ ἡ τοῦ ἐλέφαντος
οὐδὲ ῥῖνες δοκοῦσι. τὰ δ' ἑξῆς σαφῆ. [a 38] περὶ ὧν μὲν οὖν δεῖ
15 συμβουλεύειν τὸν μέλλοντα συμβουλεύειν, ταῦτά ἐστι πέντε τὸν
ἀριθμὸν ὄντα. ἐξ ὧν δὲ προτάσεων καὶ πίστεων δεῖ ἐπιχειροῦντας συμ-
βουλεύειν καὶ περὶ τούτων τῶν πέντε καὶ περὶ τῶν ἄλλων πάντων,
περὶ ὧν συμβουλεύει τις, ῥητέον. 10

5. Σχεδὸν σκοπὸς τοῖς ζῶσιν ἐν βίῳ, οὗ ἐφίενται, ἡ εὐδαιμονία
20 ἐστί· δεῖ οὖν ἐκ τῶν φερόντων πρὸς ταύτην λόγων ἐπιχειρεῖν καὶ συμβου-
λεύειν. ἔστι δὲ σκοπὸς τούτοις καὶ αἱ ἀρεταὶ καὶ τὰ μόρια αὐτῆς τῆς
εὐδαιμονίας, ἤτοι φρόνησις, ἀνδρία, εὐγένεια, τιμή, δόξα. εἰπὲ οὖν 'τόδε
δόξαν ποιεῖται τῇ πόλει, ἀγαθὸν ἄρα καὶ συμφέρον· τόδε εὐγένειαν, καλὸν
ἄρα· τόδε τιμήν, αἱρετὸν ἄρα'. [b 7] λάβωμεν δέ, τί ἐστιν εὐδαι-
25 μονία καὶ τί ἔχει σκοπὸν καὶ τέλος ὁ συμβουλεύων, λάβωμεν δὲ καί, τίς 15
ὁ ὁρισμὸς τῶν μερῶν αὐτῆς, πρὸς ἃ τὰς ἀποδείξεις ὁ ῥήτωρ ἐνθυμηματικῶς
ποιεῖται. [b 14] σαφῶς δὲ ἀπαγγέλλει τοὺς ὅρους τῆς εὐδαιμονίας, σαφῶς δὲ
διηγεῖται καὶ τὰ μέρη ταύτης. [b 19] εἰπὼν δὲ διηρθρωμένως καὶ καθαρῶς
τὰ ἐκτὸς ἀγαθὰ (πλοῦτον, εὐτεκνίαν, εὐγένειαν, εὐγηρίαν, πολυφιλίαν, χρη-
30 στοφιλίαν) καὶ τὰς ἀρετὰς τοῦ σώματος (κάλλος, ἰσχύν, δύναμιν ἀγωνιστικὴν
τὸ πυκτεύειν, τὸ θέειν, τὸ ἕλκειν, τὸ ὠθεῖν), τὰς τῆς ψυχῆς (ἀνδρίαν, 20
φρόνησιν, σωφροσύνην, δικαιοσύνην, εὐφυίαν, ἀγχίνοιαν, μνήμην, σοφίαν,
συμπάθειαν), ταῦτα εἰπὼν ὁρίζεται, τί ἐστιν ἕκαστον αὐτῶν. [b 31]
εὐγένεια μὲν οὖν ἔθνει καὶ πόλει τῶν Ἀθηναίων τυχὸν τὸ εἶναι
35 αὐτόχθονας τοὺς πολίτας ἀλλὰ μὴ περιοίκους, τὸ ἀρχαίους, ὡς οἱ

---

1 οἱ πολῖται εἰς V: εἰς ἀίποτε n 3 πόσα τέ ἐστι Arist. 4 ἐν τῇ πραγματείᾳ τῶν Πολιτειῶν] cf. Pol. Δ 2 p. 1289ᵃ26 sq. 7 τε om. n 9 ἀριστοκρατεῖα n (abbrev. V) 12 ὡς Vn: ὥστε Arist. δοκεῖν εἶναι Arist. 13 ἡ (post καὶ) om. n 14 οὖν ἔχειν δεῖ Arist. 15 τ cum incerta ligatura post πέντε eras. V 22 ἀνδρεία n (per comp. V) 24 ἐστιν ὡς ἁπλῶς εἰπεῖν ἡ Arist. 25 καὶ τί n: καὶ τιν V man. rec. (evanuerunt, quae manus prior scripserat): fort. καὶ τίνα 26 πρὸς V: καὶ n 27 ἐπαγγέλλει n 28 εἰπὼν δὴ n 30 fort. ἀγωνιστικὴν ⟨κατὰ⟩ 31 ὠθεῖν καὶ τὰς n ἀνδρείαν n 34 οὖν Vn Arist. vulg.: οὖν ἐστιν Arist. A ἔθνει μὲν καὶ Arist. (*genti et* Tr.)

Ῥωμαῖοι, τὸ ἔχειν ἡγεμόνας τοὺς πρώτους ἐπιφανεῖς, ὡς ἐν f. 7v
Ἀθήναις ἐστρατήγει μὲν ὁ περιβόητος Ἐπαμινώνδας καὶ Ζάλευκος Περι-
κλῆς τε καὶ Κλέων ἐκεῖνος καὶ Μιλτιάδης καὶ Καλλίμαχος καὶ Κυναί- 25
γειρος, ὁ δ' ἀστρονομικώτατος Τίμαιος ἐπολιάρχει τε καὶ ἐπρέσβευεν, ἐν
5 δὲ Ῥώμῃ Καῖσαρ Αὔγουστος καὶ οἱ λοιποὶ τῶν εὐγενῶν ὕπατοι καὶ
πραίτωρες. [b 33] εὐγένεια δὲ καὶ τὸ πολλοὺς ἐπιφανεῖς γεγονέναι
ἐξ αὐτῶν, ἀλλ' ἐπὶ τοῖς ζηλουμένοις, οὐκ ἐπὶ κακοῖς τισιν ἐπιφανεῖς·
εἰσὶ γάρ τινες ἐπὶ κακίᾳ περιφανεῖς. [b 34] ἰδίᾳ δὲ εὐγένεια τῷδε τινὶ
τυχὸν ἡ ἀπὸ πατρὸς καὶ μητρὸς λαμπρότης. καὶ ὥσπερ ἐπὶ πόλεως
10 εἴπομεν εὐγένειαν τὸ ἔχειν τοὺς πρώτους ἐπιφανεῖς καὶ προδήλους ἐπὶ 30
ταῖς ἡγεμονίαις, οὕτω καὶ τῷδε τῷ ἀνθρώπῳ τὸ ἔχειν ἐπισήμους τοὺς
προγόνους ἐπὶ ἀρετῇ καὶ πλούτῳ. [1361a1] ἔστι δὲ τῷ κοινῷ μὲν καὶ
τῇ πόλει εὐτεκνία, νεότης ἂν ᾖ πολλὴ καὶ ἀγαθή, [a 5] ἰδίᾳ δὲ
ἑκάστῳ εὐτεκνία τὸ τὰ ἴδια τέκνα ἔχειν κάλλιστα καὶ ἀγαθά. [a 6]
15 θηλειῶν δὲ ἀρετὴ κατὰ ψυχὴν μὲν σωφροσύνη καὶ φιλεργία ἄνευ
ἀνελευθερίας, ἵνα μὴ περὶ χύτρας καταγίνηται καὶ λοπάδων κάθαρσιν
καί τινων εὐτελῶν πραγμάτων ἐπιτήρησιν καὶ νήματα νήθειν, ὥστε πωλεῖν, 35
ἀλλὰ χρυσοῦφῆ ἔπιπλα τοῖς ναοῖς, κατὰ δὲ σῶμα κάλλος, περιουσία καὶ
μέγεθος. ἁπλῶς δὲ καὶ ἰδίᾳ καὶ κοινῇ δεῖ σκοπεῖν καὶ ἐν ἀνδράσι
20 καὶ ἐν γυναιξὶν ἓν ἕκαστον τῶν ῥηθέντων ἀγαθῶν τῆς εὐγενείας ὑπάρ-
χειν ὡς ἐνεῖναι πᾶσι καὶ ἄρρεσι καὶ θηλείαις σωφροσύνην, φιλεργίαν,
μέγεθος, κάλλος, ἰσχύν, δύναμιν ἀγωνιστικήν. εἴρηται δέ μοι ζητεῖν
ταῦτα καὶ ἐν ἀνδράσι καὶ ⟨ἐν⟩ γυναιξί, [a 10] διότι, ὅσοις κακῶς ἔχουσι τὰ
κατὰ τὰς γυναῖκας, ὥσπερ τοῖς Λακεδαιμονίοις στρατευομένοις πολλά- 40
25 κις, τῶν δὲ γυναικῶν ἑταιριζομένων καὶ ἐπανισταμένων ἐκείνοις, οὗτοι
κατὰ τὸ ἥμισυ δυσδαίμονες, οὐκ εὐδαίμονες, τῷ μὲν ἄλλῳ μέρει τυχὸν
τῶν ἀγαθῶν εὐδαιμονοῦντες, τῷ δὲ γυναικῶν εὐμοιρεῖν μαινάδων τὸ ἥμισυ
τῆς εὐδαιμονίας ἀφαιρούμενοι. [a 16] ἔστι δὲ χρήσιμα μὲν τῶν κτημά-
των καὶ χωρίων καὶ φυτῶν μᾶλλον τὰ κάρπιμα, οἷον ἐλαῖαι, ἄμπελοι,
30 μηλέαι, ἐλευθέρια δὲ τὰ πρὸς ἀπόλαυσιν, οἷον κυπάριττοι, μυρίναι,
δρύες κα|τάσκιοι. [a 19] ὅρος δὲ ἀσφαλείας τῶν κτημάτων τούτων f. 8r
τὸ κατέχειν ἀσφαλῶς καὶ ἐπ' ἐξουσίας ἔχειν πωλεῖν καὶ δωρητικῶς
ἐκδιδόναι καὶ ἀπαλλοτριοῦν ἤτοι ἀποποιεῖσθαι ἐφ' ὁποίῳ δήποτε βούλεται
προσώπῳ. [a 23] ὅλως δὲ τὸ πλουτεῖν ἐστιν ἐν τῷ χρῆσθαι καὶ
35 ἐνεργεῖν, ἀλλὰ μὴ κεκτῆσθαι μὲν καταχωννύειν δέ· καὶ γὰρ ἡ ἐνέργειά
ἐστιν ἀρετὴ τοῦ πλούτου, οὐ τὸ κλεῖσαι αὐτὸν ἐν ταμείοις καὶ κατορύξαι, 5
καὶ ἡ χρῆσίς ἐστι πλοῦτος, οὐχ ἡ διακατοχὴ μόνον καὶ ἀχρησία.

---

2 ἐπαμινώνδας, ει supra ι man. rec., V 4 τε om. n ἐπρέσβευε n 12 ἀρετῇ ἢ πλούτῳ Arist. 14 εὐτεκνία καὶ πολυτεκνία Arist. 16 ἀνελευθερίας n Arist.: ἐλευθερίας V χυτρῶν n 18 ἔπιπλα ex πέπλα corr. V 21 ὡς εἶναι n πᾶσιν n ἄρρεσιν n σωφροσύνη φιλεργία V 23 ἐν γυναιξί n: ἐν om. V ὅσοις V Arist.: τοῖς n 26 οὐκ εὐδαίμονες om. n 32 κατάσχειν n δωρετικῶς V 35 ἐνεργεῖν V: εὐεργετεῖν n κτῆσθαι n 37 χρῆσις Vn Arist. A Tr.: κτῆσις Arist. vulg. ἀχρηστέα n

[a 25] εὐδοξία δέ ἐστι τὸ ἔχειν τι πρᾶγμα, οὗ ὀρέγονται οἱ πολλοί, οἷος f. 8r
ὁ πλοῦτος, ἢ οἱ ἀγαθοί, ὁποία ἡ ἀρετή, ἢ οἱ φρόνιμοι· εἴη δ' ἂν ἡ
σοφία, ἧς ἐρῶσιν οἱ φρόνιμοι. [a 30] εὐεργεσία δέ ἐστιν ἢ εἰς σωτη-
ρίαν, ἡνίκα τις ἰατρεύσει ἄριστά τινα ἀόκνως καὶ ἀμισθὶ ἢ πλοῦτον δώσει
5 ἢ διδάξει μάθημά τι κάλλιστον ἢ οἰκίαν ἀποδώσει δωρεαστικῶς. ὁ τοίνυν
εὐεργετήσας οὕτως εὐεργέτης λέγεται ἢ ἁπλῶς τοιοῦτόν τι χαρισάμενος
δυσκόλως κτώμενον ἢ ἐν τῇ τοιαύτῃ χώρᾳ μὴ κτώμενον εὐχερῶς, ἔνθα
δίδωσί τις· ἢ ποτὲ δούς τις εὐεργέτης καὶ πλουτοδότης καλεῖται, ἡνίκα ἐν
πολιορκίᾳ καὶ καιρῷ ἐνδείας σῖτον ἐπιδώσει τινὶ τὸν χρειώδη. [a 32] πολ-
10 λοὶ γὰρ διὰ μικρὰ τιμῆς ἄξιοι, διὰ τὸν τόπον μὴ ἔχοντα ἀφθονίαν τοῦ
πράγματος ἢ διὰ τὸν καιρὸν καὶ τὴν ἔνδειαν ἢ καὶ διὰ τὸν τρόπον, οἷον
εἰ μὴ πονήσαντά μέ τις μηδὲ ὑπηρετήσαντα αὐτῷ μηδὲ ὑπεραποθανόντα
αὐτοῦ εὐηργέτησε. [a 34] μέρη δὲ τιμῆς τὸ θυσίας τῷ τιμωμένῳ δι-
δόναι θανόντι, ὥσπερ Ἕλληνες Ἀχιλλεῖ τὴν Ἑκάβης θυγατέρα. τοῖς τοι-
15 οὐτοις οὖν ἀριστεῦσι δίδονται μνῆμαι καὶ ᾠδαὶ ἐπιτύμβιοι ἡρωικαὶ καὶ
ἐγκωμίων λαμπρότητες ἐν λόγοις, γέρα δὲ τοῖς ζῶσι, τεμένη δ' αὖ τοῖς
θανοῦσι καὶ τάφοι καὶ εἰκόνες· τοῖς δὲ παροῦσιν εὐεργέταις προεδρίαι
καὶ τὸ τρέφεσθαι ἐκ τῶν δημοσίων ἀναλωμάτων καὶ αἱ προσκυνήσεις
καὶ τὸ ὑπεξίστασθαι τοῦ θρόνου· ταῦτα δὲ τὰ βαρβαρικά. [a 37] καὶ
20 δῶρα τὰ παρ' ἑκάστοις, καὶ τοῖς διδοῦσι καὶ τοῖς λαμβάνουσι, τίμια
τιμῆς σημεῖον, οἷον εἰ φιλόσοφός τις ὢν ὁ διδοὺς χρήζει τῶν ἐκκρίτων
καὶ δυσευρέτων ἐξηγητῶν, ἐπιδώσει δὲ † ταύτας εὐεργέτῃ τινὶ τῷ λαμβάνοντι
καὶ τιμωμένῳ, ἁπλήστως ὀρεγομένῳ τούτων, καὶ πρὸ πολλοῦ τότε ση-
μεῖον τιμῆς τὸ διδόμενον. πάλιν τῷ φιλοχρημάτῳ σημεῖον τιμῆς χρυσοῦ
25 δόσις καὶ τῷ φιλίππῳ ἵππος δρομεὺς καὶ πιότατος. τιμὴ οὖν ἡ δόσις ἐκεί-
νου, οὗ ἐφίενται οἱ φιλότιμοι. [b 3] ὑγεία δὲ τὸ ἀρίστως ἔχειν καὶ καύ-
σωνα ὑπομένειν καὶ ψῦχος καὶ πυγμὰς καὶ τρώσεις, ἀλλὰ μὴ καθάπερ
Ἡρόδικος ἀεὶ νοσαζόμενος καὶ ἰατροῖς προσανέχων καὶ καθ' ἑκάστην
ἀλεξιτηρίοις τισὶ καὶ φαρμάκοις ἐπιβοηθῶν τῷ σώματι. [b 7] κάλλος
30 ἐστὶν ἐν νέοις, ἐν μέσοις, ἐν γέρουσιν. ἐν νέοις μὲν τὸ κάλλος τὸ πρὸς
πόνους χρήσιμον αὐτοῖς σαρκίον· τοὺς πρὸς δρόμον δὲ καὶ βίαν πό-
νους λέγω· βίαν δὲ τὸ ὠθῆσαί τινα, τὸ ἕλξαι πρὸς ἑαυτόν. τὸ βαστάσαι.
τὸ θλῖψαι, τὸ πυγμῇ τρέψαι, τὸ πάλῃ νικῆσαι, τὸ δρόμῳ ὑπερνικῆσαι·
ταῦτα δὲ καὶ τοῦ ἀκμάζοντος. κάλλος δὲ νέου καὶ τὸ εἶναι ἡδὺν πρὸς
35 ἀπόλαυσιν, ὡς αὐτὸς Ἀριστοτέλης φησί. [b 10] διὸ οἱ πένταθλοι
κάλλιστοι. τοῦτο δηλωτικόν ἐστι τοῦ εἶναι ἀρετὰς τοῦ νέου, εἰ καὶ μὴ
παντός, θλῖψιν, ὤθησιν, πυγμικήν, πάλην, δρόμον. πένταθλός ἐστι θλῖψις,
ὤθησις βίας. δρόμος, πάλη † τε, πυγμικῆς αὐθις τόνος. πένταθλός ἐστι τὸ

---

1 οἱ V: ἢ n: ἢ οἱ Arist. 7 μὴ κτώμενος n 12 ὑπεραποθανόντα, θανόντα non certo legi potest, V: exspecto ὑπεραποτίσαντα vel sim. 13 εὐεργέτησε n 16 ἐγκωμιὸν n δ' αὖ V: δὲ n 21 εἰ V: ὁ n 22 ἐξηγητῶν, τ incerta, V ἐπὶ δώσει V ταύτους n 25 πιώτατος n 30. 31 πρὸς τοὺς πόνους Arist. ὑπερνικήσεσθαι n 34 δὴ (ante καὶ) n ἡδὺν ὄντα ἰδεῖν πρὸς Arist. 36 ἐστι om. n

θλίβειν ἐναντίους. ὤθησις αὖθις, πυγμική, πάλη. δρόμος. [b 13] γέροντος f. 8r
δὲ κάλλος τὸ ἐν πόνοις τοῖς ἀναγκαίοις εὔτονον, τὸ οὐρεῖν, τὸ κνήθεσθαι, 36
τὸ εἰς ναὸν βαδίζειν, τὸ λούεσθαι ἀλύπως, τὸ ἐσθίειν καὶ πέττειν εὐχερῶς,
τὸ μὴ περιττότητας ἔχειν, ἃς ἡ τοῦ γήρως ὑγρότης εἴωθε φέρειν, ἢ κήλην.
5 ἰσχὺς δέ ἐστι τὸ ἕλκειν πρὸς ἑαυτόν, τὸ ὠθεῖν πόρρω, τὸ ἄχθη φέρειν.
[b 18] μεγέθους δὲ ἀρετὴ τὸ ὑπερέχειν μὲν ἐν μήκει καὶ πλάτει καὶ
βάθει, ἀλλὰ συμμέτρως καὶ τοσοῦτον, ὥστε μὴ νωθῆ ποιεῖν καὶ βραδὺν
καὶ ἀκίνητον τὸν ἔχοντα. [b 21] ἀγωνιστικὴ δὲ πάλη σύγκειται ἐκ 40
μεγέθους καὶ ἰσχύος καὶ τάχους· καὶ γὰρ ὁ ταχὺς ἰσχυρός τις
10 κατὰ τὸ ῥιπτεῖν τὰ σκέλη ταχέως μόνον· ἔχει δὲ πλεῖον τοῦ δρομικοῦ καὶ
ταχέος ὁ ἰσχυρός, ὅτι καὶ ἕλκει καὶ ὠθεῖ καὶ θλίβει. φαίνεται δὲ λέγων,
τίς ὁ πένταθλος, ἐκ τοῦ εἰπεῖν οὕτως, [b 23] ὅτι ὁ μὲν δυνάμενος τὰ
σκέλη ῥιπτεῖν δρομικός, πρῶτον εἶδος τοῦ πενταθλου, ὁ δὲ θλίβειν
καὶ κατέχειν παλαιστικός, δεύτερον, τρίτον ὁ ὦσαι τῇ πληγῇ πλη-
15 κτικός, τέταρτον δὲ ὁ ἀμφοτέροις τούτοις, τῷ | καὶ παλαίειν καὶ f. 8v
πλήττειν, παγκρατιαστικός, ὁ δὲ πᾶσι τοῖς ῥηθεῖσιν ἐνευδοκιμῶν, τῷ
τρέχειν, τῷ θλίβειν καὶ κατέχειν, τῷ ὠθεῖν καὶ πλήσσειν, καὶ μέγεθος
ἔχειν καὶ ἰσχὺν καὶ τὰ ἄλλα, πένταθλος. [b 26] εὐγηρία δὲ βραδυ-
τὴς γήρως μετὰ ἀλυπίας· εἰ γὰρ ταχὺ γηράσκει, δεινόν, μαραινο-
20 μένης τῆς ἀκμῆς πρὸ τῆς ὥρας· εἰ δὲ βραδέως μὲν γηράσκει τις, ἐπι-
πόνως δέ, καὶ τοῦτο χαλεπώτατον, οἷον εἰ ὀφθαλμιᾷ, εἰ τετρεμαίνει, εἰ 5
παραληρεῖ, εἰ κωφεύει. [b 28] ἔστι δὲ εὐγηρία καὶ ἐκ τῶν τοῦ σώ-
ματος ἀρετῶν, εἰ ἰσχυρόν ἐστι τὸ σῶμα καὶ ἀνένδοτον πρὸς τὰ τοῦ
γήρως κακὰ καὶ τὴν ψυχρότητα καὶ τὸ θάλπος, καὶ ἐκ τῆς τύχης ἤτοι
25 τῶν τυχηρῶν ἀγαθῶν· εὐγηρία γὰρ τὸ ἔχειν τὰ ζωαρκῆ καὶ χρειώδη καὶ
τὰ πρὸς ἀνάπαυσιν καὶ τὰ πρὸς τιμήν. [b 29] μὴ ἄνοσος γὰρ ὢν μηδὲ
ἰσχυρὸς ἐν τοῖς ἀναγκαίοις καὶ χρειώδεσι πόνοις οὐκ ἔσται ἀπαθὴς
οὐδ' ἄλυπος οὐδὲ πολυχρόνιος, ἐφ' ᾧ χρῄζει τῶν τοῦ σώματος ἀρε- 10
τῶν, οὔτε ἂν εὐτυχὴς διαμένοι μὴ τοῖς ἀπὸ τύχης ἀγαθοῖς καὶ τοῖς
30 ἐκτὸς ὀργανικοῖς βοηθούμενος χρήμασι καὶ κτήμασι καὶ πλήθει φίλων.
[b 31] ἔστι δὲ καὶ ἄλλη μακροβιότης οἷον εὐγηρία, χωρὶς μέντοι ἰσχύος
καὶ ὑγείας καὶ τῶν τοῦ σώματος ἀρετῶν· πλὴν τί τὸ κέρδος, εἰ μακρόβιος
ὢν τις νοσώδης ἐστὶ καὶ περίλυπος καὶ πόνους τοὺς ἀναγκαίους οὐ φέρων
μηδὲ ταῖς φυσικαῖς λειτουργίαις ὑπουργῆσαι δυνάμενος; [b 39] εὐτυχία 15
35 δ' ἐστὶν ἐκεῖνα τὰ ἀγαθά, ὧν ἡ τύχη αἰτία, ἢ πάντων ἢ τῶν γε πλει-

---

3 πέπτειν n 4 κήλην V: κήτη n 6 πλάτει καὶ om. n 8 πάλη Vn: σώματος ἀρετὴ Arist.: fort. πάλιν 9 τις Vn: ἐστι Arist. (*quidem est* Tr.) 13 ῥιπτεῖν πως καὶ κινεῖν ταχὺ καὶ πόρρω δρομικός Arist. 14 ὦσαι om. n 14. 15 πληκτικός Vn Arist. vulg.: πυκτικός Arist. A Tr. 16 πλήπτειν n ῥηθεῖσιν scripsi: ῥηθήσιν n: ῥηθῆναι V εὐδοκιμῶν n 18 fort. ἔχων δ' ἐστὶν Arist. 23 τοῦ om. n 26 ἀνάπαισιν n 28 οὐδὲ Vn: *et non* Arist. Tr.: καὶ Arist. cet. 29 ἂν εὐτυχὴς διαμένοι V: ἐὰν εὐτυχὴς διαμένῃ n: ἂν εὐτυχὴς διαμείνειεν ἄν Arist. 33 οὐ V: μὴ n 34 φυλακαῖς n ὑπεργῆσαι n 35 δέ n ἢ πάντων scripsi (cf. Arist.): καὶ πάντων Vn

ὀνων. τίνων δὲ αἰτία ἡ τύχη; [1362a2] ἐνίων μὲν καὶ ὧν αἱ τέχναι, f. 8v
οἷον εἰ τῆς κεφαλῆς πληρωθείσης αἵματος, ὁ βάρος τοῖς ὀφθαλμοῖς ἐνεποίει καὶ τύφλωσιν, καταπεσὼν ἢ προσράξας τις νέος τὴν κεφαλὴν ἢ τὴν ῥῖνα ἐκένωσε τὸ αἴτιον καὶ ὀπτικὸς ἐφάνη καὶ ἀνάλγητος τὴν κεφαλήν,
5 εὐτυχὴς ἂν ὁ παῖς ἐκεῖνος· τούτου δὲ τέχνη ἡ ἰατρική. πάλιν τις πυρέττων κατὰ τύχην ὕδωρ πιὼν ἢ οἶνον ἀνθοσμίαν ἔπαυσε τὸν πυρετόν. 20
τούτων ἡ τύχη αἰτία. [a 3] πολλῶν δὲ καὶ ἀτέχνων, ὧν οὐχὶ τέχνη προΐσταταί τις, ἀγαθῶν ἡ τύχη αἰτία γίνεται, οἷον πολλῶν δυσειδῶν καὶ μελάνων τεχθέντων εἷς κάλλιστος ἐτέχθη· τοῦτο γὰρ δηλοῖ τὸ ὅσων ἡ
10 φύσις, ἐνδέχεται δὲ καὶ παρὰ τὴν φύσιν εἶναι· αἰτία μὲν γὰρ ἡ φύσις τῶν δυσειδῶν, ἐνδέχεται δὲ καὶ μὴ δυσειδὲς γενέσθαι· ἔστι γὰρ τοιούτων παραλόγων ἀγαθῶν ἢ κακῶν ἡ τύχη αἰτία· ἢ γὰρ καλὰ τίκτουσά τις γυνὴ παρὰ φύσιν καὶ τὸν λόγον δυσειδὲς ἔτεκεν ἢ τοὐναντίον δύσμορφα καὶ τερα- 25
τώδη τίκτουσα κάλλιστον καὶ ὡραῖον ἐκυοφόρησεν. [a 6] ἢ τυχηρόν ἐστιν,
15 ἐφ' ᾧ καὶ φθόνος, ἡνίκα ἄλλοι μὲν οὐκ εἶδον τὸν θησαυρόν, εἷς δὲ ἐκείνων εὗρεν, ἢ εἰ τῶν ἀδελφῶν ἐφεστώτων ἢ τῶν γειτόνων ἢ ἄλλου τινὸς τοῦ μὲν πλησίον αὐτοῦ ὄντος τὸ βέλος ἔτυχε καὶ ἔτρωσεν, αὐτὸν δὲ μή· ἢ εὐτυχής τίς ἐστιν, εἰ ἔθος εἶχε φοιτᾶν εἰς τὸ θέατρον ἀεί, ἐν δὲ ἡμέρᾳ τινὶ αὐτὸς μὲν οὐκ ἀπῆλθεν, οἱ δὲ ἀδελφοί, οἳ καὶ στάσεως γενο-
20 μένης ἐφθάρησαν. ἰσχὺς οὖν ἐστιν, ἵνα πάλιν εἴπωμεν, δύναμις τοῦ κινεῖν 30
ἕτερον καθ' ἕλξιν, ὤθησιν, πίεσιν, σύνθλιψιν. μέγεθος δέ ἐστιν αὐξὶς ὑπεροχὴ κατὰ μῆκος, πλάτος, βάθος.

6. Ἐπειδή, φησί, τοῖς συμβουλεύουσι σκοπὸς τὸ συμφέρον, συμφέρον δὲ λέγεται τὸ ἀναγκαῖον προαχθῆναι ἐκείνῳ, πρὸς ὃν ἡ συμβουλὴ γί-
25 νεται, διά τι τέλος, τὸ δὲ συμφέρον ἀγαθόν, ληπτέον τόπους ἀγαθοῦ καὶ συμφέροντος. [a 17] ἐπεὶ τοίνυν σκοπός ἐστι τῷ συμβουλεύοντι τὸ συμφέρον, οὐδεὶς δὲ περὶ τοῦ τέλους βουλεύεται ἀλλὰ καὶ περὶ τῶν ὡς πρὸς τὸ τέλος. τῶν συμφερόντων καὶ χρησίμων ταῖς 35
πράξεσι δηλονότι (τὸ γὰρ φέρον πρὸς τὸ τέλος τὸ συμφέρον ἐστί), δοτέον
30 τόπους τῷ συμβουλεύοντι, ἵνα δείξῃ, ὅτι ἀγαθόν ἐστι τόδε καὶ συμφέρον. διὰ τί συμφέρον; διὰ τὸ καὶ τό. ὀφείλομεν οὖν δοῦναι, φησί, στοιχεῖα καὶ τόπους εἰς τὸ ἀποδεικνύειν, ὅτι τόδε συμφέρον καὶ πῶς ἐστιν ἐκεῖνο συμφέρον. [a 21] ἔστω δὴ ἀγαθόν, ὃ ἑαυτοῦ ἕνεκα αἱρετόν, οἷον τὸ ζῆν, ἡ ὑγεία, ἡ εὐδαιμονία. ἀγαθὸν δὲ κἀκεῖνο, οὗ χάριν ἄλλο βουλό-
35 μεθα, οἷον ἡ νίκη, ἧς χάριν εἱλόμεθα τὸ πολεμεῖν καὶ στρατεύεσθαι, ἢ ἡ 40

---

1 καὶ ὧν αἱ Vn Arist. AZb: καὶ ὧν καὶ αἱ Arist. C: ὧν καὶ αἱ Arist. cet. 2 τοῖς ὀφθαλμοῖς V: τῆς κεφαλῆς n 3 προσρήξας n 5 γὰρ post εὐτυχὴς add. n ἂν ut videtur (vix ὧν) V ex corr.: ὧν n ἡ om. n 6 πυρεττὸν V 7 τούτου n 9 ὅσον n 10 ἐνδέχεται — φύσις om. n 11 δὲ καὶ V: γὰρ n δυσειδὲς ut videtur ex δυσειδὴ corr. V: δυσειδεῖς n 13 δύσμορφον n 16 fort. ἐκεῖνον 24 πραχθῆναι n 25 τι V: τὸ n 26. 27 τῷ συμβουλεύοντι σκοπὸς Arist. βουλεύοντι n 27. 28 ἀλλὰ καὶ V: om. n: fort. καὶ delendum, cf. Arist. 30 δὲ ante τόπους add. n 32. 33 fort. ἐκεῖνο ⟨οὐ⟩ συμφέρον 33 ὃ ἂν αὐτὸ ἑαυτοῦ ἕνεκα ᾖ αἱρετόν Arist. 35 ἡ (post ἢ) om. n

ὑγεία, ἧς χάριν τὰ γυμνάσια καὶ τὰ φάρμακα ὕποιστα καὶ οὐ λυπηρὰ νο- f. 8ᵛ
μίζονται καὶ οἱ καυτῆρες ἡδεῖς δοκοῦσιν. [a 23] ἀγαθὸν δὲ καί, οὗ πάντα
ἐφίενται, οἷον τὸ εἶναι καὶ ἡ ἡδονή. τὰ δὲ ἐφιέμενα ἢ πάντα λέγει
τὰ αἴσθησιν ἔχοντα, πρὸς ἃ ἡ ἡδονὴ λεχθήσεται (ταύτης γὰρ ἐφίεται),
5 ἢ ἀγαθόν, οὗ ἐφίεται τὰ νοῦν ἔχοντα, φρονήσεως. ὑγείας καὶ τιμῆς καὶ
τοῦ μηδὲν κακὸν παθεῖν. κἀκεῖνα ἀγαθά, ὅσα ὁ νοῦς ἀποδώσει, εὐμά-
θειαν, ἀγχίνοιαν, μνήμην, τέ|χνης ποικιλίαν καὶ ἀκρίβειαν· καὶ εἰ περὶ f. 9ʳ
πολλὰ ὑποκείμενα τεχνῶν καταγίνεται τυχὸν ὅδε ὁ ἄνθρωπος, ἀγαθά εἰσιν,
ὅσα περὶ ἕκαστον γένος καὶ ὑποκείμενον ὁ ἐκείνου ἐφεῦρε νοῦς, ἢ ὅσα περὶ
10 ἕκαστον πρᾶγμα προτεθὲν τέχνης ἢ ἐπιστήμης, ὁποῖον ἂν ᾖ, ὁ νοῦς εὕρῃ
† τί ἀγαθόν, ἐκεῖνο καλόν ἐστιν, ᾧ καὶ συντίθεμαι μᾶλλον. [a 26] καὶ ἐκεῖνο
ἀγαθόν, οὗ παρόντος εὖ διάκειταί τις, ὡς ἡ φρόνησις καὶ ἡ ὑγεία· 5
τούτων γὰρ οὐσῶν εὖ ἔχομεν. καὶ τὸ αὔταρκες ἀγαθόν, ὡς ἡ εὐδαι-
μονία καὶ τὸ ἀνενδεὲς ἐν τοῖς ἀναγκαίοις, καὶ τὸ ποιητικὸν ἀγαθοῦ, ὡς
15 τὰ γυμνάσια ὑγείας καὶ αἱ ἀρεταὶ ποιητικὰ τῶν ἀγαθῶν. ἀγαθὸν καὶ τὸ
φυλακτικόν, ὡς ἡ δίαιτα ἡ ἀγαθή, καὶ ἐκεῖνο ἀγαθόν, ᾧ ἀκολουθεῖ
τι τίμιον καὶ ὀιωκτόν, οἷον τὸ μανθάνειν ἰατρικὴν καὶ τὸ φιλοσοφίαν, ἵν'
ἐπιστήμη ὕστερον ἐπιγένηταί μοι. καὶ τὸ ὑγιαίνειν ἀγαθόν· ἐπακολουθεῖ 10
γὰρ ἅμα αὐτῷ τὸ ζῆν. [a 29] καὶ τὰ κωλυτικὰ τῶν ἐναντίων ἀγαθά,
20 ὡς τὸ τὰ ψιλὰ τῶν γραμμάτων μὴ ἀναγινώσκειν κωλυτικὸν τοῦ ἐναντίου,
τοῦ ὀφθαλμοπονεῖν, καὶ τὸ μὴ ψυχροποτεῖν † κωλυτικὸν καὶ τὸ μὴ ἀπλη-
στεύεσθαι καὶ τὸ μὴ προσφέρεσθαι τὰ δύσπεπτα. κωλυτικὸν δὲ τοῦ ἐναν-
τίου καὶ τὸ θερμὸν τοῦ ψυχροῦ καὶ τοῦ πλήθους ἡ κένωσις καὶ ἡ μάθησις
τῆς ἀγνοίας, καὶ τῶν νόσων κωλυτικαὶ αἱ τοιαίδε φλεβοτομίαι. [a 29] καὶ
25 τὰ φθαρτικὰ τῶν ἐναντίων ἀγαθά, οἷον τὰ φάρμακα. διχῶς δὲ ἀκο- 15
λουθεῖ τινα ἀγαθά· ἢ γὰρ ἅμα, ὡς τῷ ὑγιαίνειν τὸ ζῆν, ἢ ὕστερον,
ὥσπερ τῷ μανθάνειν ἡ ἐπιστήμη ὕστερον ἐπιγίνεται. [a 31] καὶ τὰ ποιη-
τικὰ δὲ τριχῶς, τὰ μὲν ὡς ὁδοποιὰ καὶ ἄγοντα πρὸς τὸ τέλος, τὰ δὲ ὡς
συντηρητικά, ὡς τὰ σιτία τὰ ὑγιεινά, τὰ δὲ ἐπανασωστικά, ὡς τὰ γυμνάσια
30 ἄγει πρὸς αὐτὴν καὶ παροῦσαν τηρεῖ καὶ ἀπελθοῦσαν ἐπανάγει. ποιητικὰ
οὖν τὰ ὁδοποιά, τὰ τηρητικὰ καὶ ἐπανασωστικά· τριχῶς οὖν τὰ ποιητικὰ
ἀγαθά. [a 32] τῶν γὰρ ποιητικῶν τὰ μὲν ὡς τὸ ὑγιαίνειν ἤγουν τὸ 20
ὑγιάζεσθαι ὑγείας· ὁδὸς γὰρ τὸ ὑγιάζεσθαι τῆς ὑγείας· τὰ δὲ ὡς σιτία
ὑγείας ὡς τὸ οὗ οὐκ ἄνευ ὄντα· ἄνευ γὰρ σιτίων οὐκ ἔστιν ὑγεία· τὰ δὲ
35 φυλακτικὰ ὡς τὸ γυμνάζεσθαι καὶ ἡ τοιάδε δίαιτα, ὅτι ὡς ἐπὶ τὸ

---

1 ὕπιστα n 2. 3 ἐφίενται πάντες Aristotelis cod. Monac. gr. 313 et B: ἐφίενται πάντες ex ἐφίεται πάντα corr. man. rec. Arist. A: ἐφίεται πάντα Arist. cet. 5 καὶ (ante τιμῆς) om. n 6 μηδένα n 6. 7 εὐμάθειαν V: εὐμαθίαν n 8 καὶ post εἰσιν add. n 10 ᾖ om. n 11 τί V: τὶ n fort. ἔτι ἀγαθὸν ἐκεῖνο, ⟨ὃ⟩ καλόν ἐστιν

13 fort. παρουσῶν 15 ὑγείας, ι post γ del., V 17 τὸ φιλοσο$^{\omega}$, post ὀ littera erasa, V: τὸ φιλοσοφεῖν n 20 τοῦ ἐναντίου scripsi: τῶν ἐναντίων Vn 21 fort. ὀφθαλμοπονεῖν ⟨·τοῦ δὲ πονεῖν⟩ καὶ μὴ | fol. 53ʳ | μὴ ψυχροποτεῖν V 25. 26 ἀκολουθεῖ δὲ διχῶς Arist. 26 τὸ ὑγιαίνειν τῷ n 34 οὗ ἄνευ οὐκ ἂν ὄντα n

πολὺ ποιεῖ ὑγείαν. [a 34] τούτων δὲ κειμένων ἀνάγκη τάς τε f. 9r
λήψεις τῶν ἀγαθῶν ἀγαθὰς εἶναι καὶ τὰς ἀποβολὰς τῶν κακῶν
ἀγαθὰς ὁμοίως· καὶ γὰρ τὸ λαμβάνειν ἀγαθὸν ἀγαθὸν καὶ τὸ ἀποβάλλειν 25
τὸ κακὸν ἀγαθόν. [a 36] καὶ ἀκολουθεῖ τῷ μὲν ἤτοι τῇ λήψει τῶν
5 ἀγαθῶν τὸ μὴ ἔχειν τὸ κακὸν ἅμα, τῷ δὲ ἤτοι τῇ ἀποβολῇ τῶν κα-
κῶν ἔχειν τὸ ἀγαθὸν ὕστερον· ἐκκλίνοντες γὰρ τοῦ κακοῦ οὕτως ἐργα-
ζόμεθα τὸ ἀγαθὸν μετὰ τὴν ἀποβολὴν δηλαδὴ τοῦ κακοῦ. καὶ ἀγαθὸν δὲ
πάλιν ἡ λῆψις τοῦ μείζονος ἀγαθοῦ ἀντ' ἐλάττονος· τὸ γὰρ λαβεῖν δύο
καλὰ κρεῖττον τοῦ ἓν καὶ τὸ μεῖζον λαβεῖν κρεῖττον τοῦ ἔλαττον. [a 37]
10 καὶ ἡ ἀντὶ μείζονος κακοῦ ἐλάττονος λῆψις ἀγαθόν· τὸ γὰρ ἔλαττον 30
κακὸν τοῦ μείζονος κακοῦ ἀγαθὸν ἀντισυγκρινόμενον. εἶτα τίθησι καὶ τὴν
αἰτίαν, δι' ἣν τὸ ἧττον κακὸν ἀγαθόν, οὐχὶ τὸ μεῖζον, φανερῶς τοῦτο λέ-
γων, ὅτι τὸ ἧττον κακὸν ἀγαθὸν καὶ κακόν· διότι, εἰ χρεωστῶν δέκα τά-
λαντα (τὸ μεῖζον κακόν) δώσω δύο (τὸ ἧττον κακόν), τὰ μὲν ὀκτὼ δοκῶ
15 κερδαίνειν καὶ λαμβάνειν παρά τινος, τὰ δὲ δύο διδόναι· ὑπερέχει δὲ τὰ
δέκα τῶν δύο ὀκτάδι· δοκῶ γοῦν τὰ μὲν ὀκτὼ λαμβάνειν, τὰ δὲ δύο διδόναι. 35
ἐπειδὴ γοῦν διδόναι τὰ δέκα μέλλω, κερδαίνω τὰ ὀκτώ, δίδωμι δὲ
τὰ δύο. διὰ τοῦτο τὸ ἧττον κακὸν ἀγαθόν· κερδαίνομεν γάρ τι. [b 2]
γίνεται μὲν οὖν λῆψις ἐμοὶ τῷ μέλλοντι διδόναι ἐκείνου τοῦ ὑπερέχοντος
20 ἤτοι λαμβάνω τὰ ὀκτώ, τοῦ δὲ ἐλάττονος ἤγουν τῶν δύο καθ' ὑπόθεσιν
ἀποβολή. τὰ δ' ἑξῆς σαφῆ. [b 28] ταῦτα μὲν οὖν σχεδὸν τὰ ὁμο-
λογούμενα ἀγαθά. εἶπε περὶ τῶν ὁμολογουμένων καὶ κυρίως ἀγαθῶν·
ἐφεξῆς δὲ μέλλει παραδοῦναι τόπους καὶ πίστεις, πῶς ἂν κατασκευάσῃ τις
πιθανῶς, ὅτι τόδε ἀγαθόν. καὶ ἐπεὶ πιθανῶς εἴπομεν, ἔσται τὸ αὐτὸ διὰ 40
25 τόνδε μὲν τὸν τόπον ἀγαθόν, διὰ δὲ ἕτερον φαῦλον ἢ μὴ ἀγαθὸν ἀλλὰ
μέσον. βούλεται δὲ μετὰ ταῦτα πάλιν εἰπεῖν τόπους, οἷς ἀποδείξει τις τόδε
μεῖζον αἱρετὸν καὶ συμφέρον μᾶλλον τοῦδε καὶ ἐκ τῶν ἐναντίων φαῦλον
καὶ βλαβερὸν μᾶλλον τόδε τοῦδε. [b 29] ἐν δὲ τοῖς ἀμφισβητησίμοις.
ἄνω εἶπε | περὶ ὁμολογουμένων ἀγαθῶν, ἐνταῦθα δὲ λέγει πιθανὰ καὶ f. 9v
30 ἀμφισβητήσιμα, χρειώδη μέντοι τῷ ῥήτορι. τίνα δὲ ταῦτα τὰ κατασκευά-
ζοντα τόδε εἶναι ἀγαθόν, ὁμοῦ δ' ὄντα καὶ ἀμφισβητήσιμα, ἐπιφέρει αὐτὸς
κοινοὺς καὶ πιθανοὺς παρατιθέμενος τόπους· οἷον [b 30] ᾧ τὸ ἐναντίον
κακόν, τοῦτο ἀγαθόν, ὡς τὸ εἰρηνεύειν ἀγαθὸν ὂν ἐναντίον ὂν τῷ μά-
χεσθαι πρὸς ἀλλήλους· εἰ γοῦν τὸ μάχεσθαι πρὸς ἀλλήλους φαῦλον, ἀγα- 5
35 θὸν τὸ εἰρηνεύειν. καὶ ἀγαθὸν ἐκεῖνο, οὗ τὸ ἐναντίον συμφέρει τοῖς
ἐχθροῖς. συμφέρει ἐκείνοις τὸ εἶναι ἡμᾶς δειλούς· λοιπὸν τὸ ἐναντίον

---

2 τῶν κακῶν ἀποβολάς Arist. 4 ἀκολουθεῖ γὰρ τῷ Arist. 6 ἔχειν τὸ Vn: τὸ ἔχειν τὸ Arist. EZb: τὸ ἔχειν Arist. cet. 9 τοῦ ἓν V: ἢ τὸ ἓν n 11 fort. κακὸν ⟨κρεῖττον⟩ 13 τὸ om. n χρεωστῶ n 15 δὲ (ante τὰ) V: γὰρ n 16 τῶν scripsi: τοῦ Vn ὀκτάδι V: ὀκτὼ διδόναι n 17 γοῦν om. n μέλλων n 18 κερδαίνω μὲν n 19 μὲν om. n 21 δ' om. n 22 ἀγαθά ἐστιν Arist. 24 ἔσται ex τι corr. V 25 post τόπον I—II litt. eras. V 29 δὲ om. n 33 ἐναντίον ὂν om. n 35. 36 τοῖς ἐχθροῖς συμφέρει Arist.

τούτῳ τῷ συμφέροντι ἐκείνοις ἀγαθόν· ποῖον τοῦτο; ἡ ἀνδρία. [b 34] καὶ f. 9v
ὅλως ἐπί τινος, ὃ οἱ ἐχθροὶ βούλονται ἢ ἐφ' ᾧ χαίρουσι, τὸ ἐν-
αντίον τούτου ὠφέλιμον, ὥσπερ εἰ βούλονται μὴ ἔχειν ἡμᾶς σῖτον οἱ
πολέμιοι· εἰ δὲ τοῦτο, τὸ ἔχειν σῖτον τῶν ὠφελίμων ἡμῖν· διό, ὡς ἐδεί-
5 ξαμεν, ἐπειδὴ κακὸν ἡμῖν τὸ συμφέρον τοῖς πολεμίοις, ἀγαθὸν δὲ ἡμῖν τὸ 10
ἐναντίον τῷ συμφέροντι τοῖς πολεμίοις, ὡς τὸ εἰρηνεύειν κρεῖττον τοῦ μά-
χεσθαι, καλῶς εἶπε Νέστωρ "ἦ κεν γηθήσαι Πρίαμος". [b 36] ἔστι
δὲ οὐκ ἀεὶ τοῦτο τὸ εἶναι τὸ συμφέρον τοῖς ἐναντίοις ἡμῖν βλαβερόν,
τὸ δ' ἐναντίον ἐκείνοις ἡμῖν ὠφέλιμον, ἀλλὰ τὸ ὡς ἐπὶ πολὺ ὁ τό-
10 πος ἔχει καὶ οὐκ ἀναγκαῖός ἐστι. καὶ ἡ αἰτία, διότι οὐδὲν κωλύει
ἐνίοτε ταὐτὰ συμφέρειν ἡμῖν καὶ τοῖς ἐναντίοις· συμφέρει γὰρ ἐκεί- 15
νοις μὴ πολεμηθῆναι ἡμᾶς ὑπὸ μείζονος ἔθνους, ἵνα μὴ καταπολεμηθέν-
των ἡμῶν καταπολεμηθῶσι κἀκεῖνοι, ὥσπερ Λακεδαιμονίοις συνέφερε μὴ
πολεμηθῆναι τοὺς Ἀθηναίους παρὰ τοῦ Ξέρξου μυριάνδρωπον στρατόπεδον
15 ἐξοπλίσαντος, ἵνα μὴ κἀκεῖνοι πολεμηθῶσιν. [b 37] ὅθεν λέγεται, ὡς
τὰ κακὰ συνάγει τοὺς ἀνθρώπους· ὁ πόλεμος γὰρ ὁ κροτηθεὶς παρὰ
τοῦ Ξέρξου Λακεδαιμονίους καὶ Ἀθηναίους συνῆξε καὶ ἥνωσε τοὺς πρώην
πάντῃ διεστηκότας καὶ ἀντιμαχομένους ἀλλήλοις στερρότερον. συνάγει δὲ 20
αὐτούς, ὅταν ᾖ τὸ κακὸν βλαβερὸν ἀμφοῖν. [1363a1] καὶ οὗ μή
20 ἐστιν ὑπερβολή, τοῦτο ἀγαθόν, ὡς ἡ σωφροσύνη μὲν ἀγαθόν (οὐκ
ἔστι γὰρ αὐτῆς ὑπερβολή), ἡ δ' ἐγκράτεια οὐδαμοῦ (ἔστι γὰρ αὐτῆς ὑπερ-
βολή, ἡ σωφροσύνη). [a 2] ὃ δ' ἂν ᾖ μεῖζον ἢ δεῖ, κακόν. τὸ γὰρ
φωτίζεσθαι ἀγαθόν· ἀλλ' ἡ ὑπερβάλλουσα τοῦ φωτὸς αὐγὴ τυφλοῖ πολλά-
κις τὸν ὀφθαλμόν, ὥσπερ ἡνίκα χιόνος οὔσης καθαρῶς ὁ ἥλιος λάμψει, ἢ
25 ἡνίκα ἀνατέλλει, εἰ ἀντωπήσῃ τις. οὕτω μὲν ὁ φιλόσοφος. μή ποτε δὲ 25
εἷς ὁ τόπος ἐστὶ λέγων, ὡς, ὃ μὲν οὐκ ἔχει ὑπερβολήν, ἤτοι ὅπερ ἐκ-
φεύγει τὴν ὑπερβολήν, ἔστι δὲ μέσον, ἐπαινεῖται, ὃ δέ ἐστι μεῖζον ἢ δεῖ,
ἤτοι ὅπερ συντρέχει τῇ ὑπερβολῇ, τῆς μεσότητος ἀπολαθόν, κακόν· τὸ γὰρ
θερμαίνεσθαι μέχρι τινὸς ἀγαθόν, οὐχ ὑπερβαλλόντως, καὶ τὸ φαρμακεύε-
30 σθαι μέχρι τινός, οὐ μὴν ὑπερβαλλόντως, καὶ τὸ πονεῖν μέσως τοῦ ὑπερ-
βαλλόντως κρεῖττον καὶ μεῖζον, καὶ τὸ ἔχειν μέγεθος σώματος οὐχ οἷον τὸ
τῶν πολυσαρκούντων καὶ ἄκρως ἐπιμηκίστων ἀγαθόν. [a 2] καὶ ἐκεῖνο, 30
οὗ χάριν ἐδαπανήθη πολλά, ἀγαθόν ἐστιν, οἷον τοῦ πορθῆσαι τὴν Ἴλιον
χάριν ἐδαπανήθη πολλά· ἀγαθὸν οὖν ἐκεῖνο· τέλος γὰρ τῶν πολλῶν ἐκεί-
35 νων ἀναλωμάτων ἡ ἅλωσις, πᾶν δὲ τὸ παρά τινων ὡς τέλος διωκόμενον

---

2. 3 τοὐναντίον Arist. 3 τούτου Vn Arist. A: τούτῳ Arist. vulg. ὠφέλιμον φαίνεται Arist. 7 ἦ κεν κτλ.] Hom. A 255 8 τὸ (post εἶναι) om. n 9 τὸ ὡς Vn: τὸ om. Arist. πολὺ V: τὸ πολὺ n Arist. 10 ἀναγκαῖόν n οὐδὲν γὰρ Arist. 11 ταὐτὰ Vn: ταῦτα Arist. Q: *eadem* Arist. Tr.: ταὐτὸ Arist. cet. 13 λακεδαιμονίους n 16 καλὰ n τοὺς ἀνθρώπους n Arist.: τοῖς ἀνθρώποις V 19 καλὸν n 24 χίωνος n λάμψῃ n 25 ἀνατέλλῃ n 27 ὃ post μέσον add. n 28 ἀπολαθόν scripsi: ἀπελαθὲν V: ἀπέλαθεν n 29 καὶ τὸ — ὑπερβαλλόντως (30. 31) om. n 31 fort. ⟨μέσον⟩ μέγεθος 33 πορθήσεσθαι n

ἀγαθὸν ἐκείνοις ἢ κυρίως ἢ φαινόμενον. [a 5] ὅθεν ταῦτ' εἴρηται f. 9ᵛ
"κἀδ δέ κεν εὔχωλὴν Πριάμῳ," ἤγουν 'εἰ μὴ τὸ τέλος ἕξομεν, δι' ὃ
τοσαῦτα πεπονήκαμεν, εὖχος γένοιτο τῷ Πριάμῳ', καὶ 'αἰσχρὸν τοσοῦτον
μὲν καιρὸν μένειν ἡμᾶς ἐπὶ ξένης, ἀποτυχεῖν δὲ τοῦ τέλους, δι' ὃ τοσού- 35
5 τοις μόχθοις καὶ πολέμοις ἐπατταλεύθημεν'. [a 6] καὶ ἡ παροιμία τὸ
ἐπὶ θύραις τὴν ὑδρίαν. τοῦτο ἐκ τοῦ ἐναντίου κατασκευαστικὸν τοῦ
ὅτι μέγα τὸ ἀγαθὸν τὸ τέλος ἐκεῖνο, δι' ὃ πολλὰ πονήσομεν. ὡς καὶ ὁ
μέγας φησὶ Γρηγόριος τὸ καὶ τοῦτον πολλοῖς ἱδρῶσι συντελεσθέντα καὶ
πόνοις, εἴη † δὲ εἰπεῖν ὅτι καὶ τῶν πόνων ἄξιον. εἰ γὰρ τὸ ἐπὶ θύραις ἔχειν
10 τι καὶ πρόχειρον ἤτοι τὴν ὑδρίαν οὐ μέγα ὡς ἐφ' ἡμῖν ὄν, ὅτε βουλό-
μεθα. πάντως τὸ μὴ ῥᾳδίως κτώμενον μέγα. τὸ μαργαρίτας ὑφαιρεῖν ἔνδον 40
κειμένους μυρίων οἴκων. [a 8] καὶ οὐ πάντες ἐφίενται, τοῦτ' ἀγα-
θὸν ἦν· ὑγείας γὰρ καὶ φρονήσεως καὶ τοῦ ὑπατεύειν πάντες ἐφίενται.
[a 10] καὶ τὸ ἐπαινετὸν ἀγαθόν, ὡς ἡ φρόνησις καὶ ἡ γνῶσις τῆς φι-
15 λοσοφίας. ταὐτὸν δὲ εἰπεῖν πάντων τῶν ὄντων. ἐπαινετόν. καὶ πάλιν ἀγα-
θόν, ὃ οἱ ἐχθροὶ ἐπαινοῦσιν, | ὡς τοὺς Ῥωμαίους οἱ Ἰσμαηλῖται f. 10ᵛ
ἐπαινοῦσιν ὡς ἀνδρείους· ὥστε τὸ καὶ παρὰ τῶν ἐχθρῶν ἐπαινούμενον ἀγα-
θόν ἐστιν, ὁποία καὶ ἡ ἀρετή τινος· αἰδεῖται γὰρ ἀνδρὸς ἀρετὴν καὶ πο-
λέμιος. [a 12] καὶ ὃ οἱ κακῶς πεπονθότες ἐπαινοῦσιν, ἀγαθόν, ὥσπερ
20 οἱ Τρῶες τὸ τῆς Ἑλένης κάλλος καὶ τὸν Ἀγαμέμνονα

"ὦ μάκαρ Ἀτρεΐδη, μοιρηγενές, ὀλβιόδαιμον"

καὶ τὸ "βασιλῆι γὰρ ἀνδρὶ ἔοικε". [a 12] διὰ γὰρ τὸ εἶναι φανερὸν 5
τὸ ἀγαθὸν ὁμολογοῦσι καὶ οἱ ἐχθροί, ὥσπερ φαῦλοί εἰσιν, οὓς οἱ φί-
λοι ψέγουσιν· εἰ γὰρ ἀγαθοί, οὓς οἱ ἐχθροὶ ἐπαινοῦσι, φαῦλοι πάντως, οὓς
25 οἱ φίλοι ψέγουσι. γράφεται δὲ καὶ οὕτως· φαῦλοί εἰσιν, οὓς οἱ φαῦλοι
(οὐ) ψέγουσιν· εἰ γὰρ φαῦλοί εἰσιν, οὓς οὐ ψέγουσιν οἱ φαῦλοι (οἱ γὰρ
κλέπται τοὺς κλέπτοντας ὡς ὁμοίους οὐ ψέγουσιν οὐδ' οἱ λῃσταὶ τοῖς
ὁμοίοις ἐπιμέμφονται, ἀλλ' ἐπαινοῦσι), καλῶς ἄρα ὑπέλαβον λελοιδορῆσθαι
Κορίνθιοι ποιήσαντος τοῦ Σιμωνίδου

30 [a 16] "Κορινθίοις δ' οὐ μέμφεται τὸ Ἴλιον".

φαῦλοι γὰρ οἱ Ἰλιεῖς· καὶ ἐπειδὴ οὐκ ἐμέμφοντο τοῖς Κορινθίοις, συναναφαίνεται κἀκείνους φαύλους εἶναι· φαῦλοι γάρ εἰσιν, οὓς οἱ φαῦλοι οὐ ψέγουσιν. οὐκοῦν καὶ οἱ Ἰλιεῖς, ἐπεὶ φαῦλοι ἦσαν, οὐκ ἐμέμφοντο δὲ τοῖς Κορινθίοις. φαύλους ἐκείνους ἡμῖν ὑπονοεῖσθαι δεδώκασιν. ὕβριν οὖν ἠγή- 10
35 σαντο Κορίνθιοι τὸ ποιηθὲν ὑπὸ Σιμωνίδου καλῶς· δειλοὶ γὰρ καὶ ἄνανδροι πεποίηνται παρ' αὐτοῦ, εἴπερ οὐκ ἐμέμψατο τὸ Ἴλιον αὐτοῖς, ταὐτὸν

1 ταῦτα n 2 κἀδ δέ κεν κτλ.] Hom. B 160 διότι n 5 πολέμοις Vn: fort. πόνοις ἐπεπταλεύθημεν n παροιμία δὲ τὸ Arist. 9 πόνοις. εἴη V ὅτι V: om. n 10 ὂν om. n 11 γὰρ ante μαργαρίτας add. n 12. 13 τοῦτο τἀγαθὸν n 16 ἐχθροὶ καὶ οἱ (οἱ om. vulg.) φαῦλοι Arist. ἰσμαηλῖται V 19 καὶ ὃ Vn Arist. C: εἰ καὶ Arist. cet. 21 ὦ μάκαρ κτλ.] Hom. Γ 182 22 βασιλῆι κτλ.] Hom. Γ 170 23 ὥσπερ καὶ Arist. 24 ψέγουσι n εἰ—ψέγουσι (25) om. n 25 καὶ superscr. V: om. n 26 pr. οὐ n: om. V 27 τοὺς κλέπτας n ὁμοίους ex ὁμοίως V 28 λελοιδορεῖσθαι n 29 Σιμωνίδου] fr. 50 Bergk. 30 δ' n Arist.: δὲ V 36 αὐτοῦ V: αὐτῷ n

δὲ εἰπεῖν οὐ ψόγον οὐδὲ λοιδορίαν ἀφῆκεν αὐτοῖς· τὸ γὰρ ὅμοιον οὐ μέμ- f. 10r
φεται τῷ ὁμοίῳ. ἢ καὶ ὥσπερ ἀγαθόν ἐστι πρᾶγμα τὸ ὑπὸ τῶν ἐχθρῶν 16
ἐπαινούμενον, φαῦλοι δὲ ἄνθρωποι, οὓς οἱ φίλοι ψέγουσιν, οὕτω καὶ ἀγα-
θοὶ ἄνδρες ἐκεῖνοι, οὓς ἐπαινοῦσιν οἱ ἐχθροὶ μὴ ψέγοντες μηδὲ μεμφό-
5 μενοι. τοῦτο μέντοι μὴ εἰδότες οἱ Κορίνθιοι, ὅτι ἀγαθοὶ μᾶλλον, οὓς οὐ
ψέγουσιν οἱ ἐχθροί, λελοιδορῆσθαι ὑπέλαβον ὑπὸ Σιμωνίδου ποιήσαντος

"Κορινθίοις δ' οὐ μέμφεται τὸ Ἴλιον"

ἤτοι οὐ ψέγει τοὺς Κορινθίους τὸ Ἴλιον οὐδὲ δειλίαν καταγινώσκει, ἀλλ' 20
ἐπαινεῖ καὶ θαυμάζει τὴν ἀνδρίαν, εἰ καὶ κακῶς παρ' ἐκείνων ἔπαθε καὶ
10 ἐχθρὸν ἦν τὸ ἔθνος καὶ πολέμιον. ἐκεῖνο δ' οὐ συνῆκαν, ὅτι τὸ 'οὐ μέμ-
φεται' ταὐτὸν ἦν τῷ 'οὐ ψέγει', τὸ δὲ μὴ ψέγεσθαί τινα παρὰ τῶν ἐναν-
τίων ἔπαινος κατορθώματος. [a 16] καὶ ὃ τῶν φρονίμων τις προέκρινεν,
ἀγαθόν, ὥσπερ ὁ Ὀδυσσεύς, ὃν ἡ Ἀθηνᾶ, καὶ ἡ Ἑλένη, ἣν ὁ Θησεύς,
καὶ Ἀλέξανδρος ἀγαθός, ὃν αἱ θεαὶ ἐπελέξαντο κριτήν, καὶ ὁ Ἀχιλλεὺς
15 μείζων, ὃν Ὅμηρος τῶν ἄλλων Ἑλλήνων ἐπὶ τῷ τῆς ἀνδρίας ἀγαθῷ 25
κρείττονα πάντων ἔδειξε. [a 19] καὶ ὅλως ἀγαθὰ τὰ προαιρετά· ἃ γὰρ
πρὸ τῶνδε αἱρούμεθα ὡς ὠφελιμώτερα, ταῦτα ἀγαθά. προαιροῦνται δὲ
οἱ ἄνθρωποι πράττειν τά τε προειρημένα ἤτοι τὰ πᾶσιν ἐπαινετὰ καὶ τὰ
βλαβερὰ τοῖς ἐχθροῖς καὶ ἀγαθὰ τοῖς φίλοις καὶ ἃ ὁ φρόνιμος προκρίνει
20 καὶ τὰ δυνατὰ αὐτοῖς· ἂν γὰρ διαγνῶμέν τι ἀδύνατον ὂν ἡμῖν, ἀφιστά-
μεθα. [a 21] τὰ δὲ δυνατὰ διχῶς, τά τε γενόμενα μέν, δυσκόλως δὲ καὶ
ἐπιπόνως· δυνατὸν γὰρ κτηθῆναι τὴν ἀρετήν, ἀλλ' ἐν πόνῳ πολλῷ, καὶ
τὴν σοφίαν καὶ γνῶσιν τῶν ὄντων, ἀλλ' ἐν ἱδρῶτι. δυνατὰ δὲ καὶ τὰ προ- 30
χειρότατα καὶ ὅσα χωρὶς λύπης κτῶνται, ὡς ἡ τῶν νῦν ᾀσμάτων διδα-
25 σκαλία ῥᾳόνως τοῖς εὐφώνοις καὶ ἐν ὀλίγῳ χρόνῳ καταλαμβανομένη,
ὁποῖαι καί τινες τῶν τεχνῶν ἐν ὀλίγῳ χρόνῳ κατορθούμεναι. ἐπιχειρῶν
οὖν τις ἑκατέρωθεν ποτὲ μὲν ἀποδείξει μεῖζον ἀγαθὸν ἐκεῖνο, ἐν ᾧ πολ-
λοὺς πόνους εὕρομεν, ποτὲ δὲ τοὐναντίον μεῖζον τὸ προχείρως καὶ ἄνευ
λύπης καταλαμβανόμενον· τὰ χαλεπὰ γὰρ ὁρίζονται οἱ ἄνθρωποι ἢ τὰ μετὰ
30 λύπης καὶ πόνου κτώμενα, ὡς ἡ ἀρετὴ καὶ ἡ γνῶσις τῶν ὄντων, ἢ τὰ ἐν 35
πλήθει χρόνου κατορθούμενα, ὡς αὐτά τε ταῦτα, ἃ εἴπομεν, καὶ πρὸς τού-
τοις ἰατρικὴ καὶ νομικὴ πολλῆς ἐμπειρίας καὶ χρόνου καὶ γυμνασίας χρῄ-
ζοντα διὰ τὰ καθ' ἕκαστα ὑποκείμενα ἄπειρά τε ὄντα καὶ ἀπερίληπτα.
[a 25] καλὰ δέ εἰσι καὶ ἀγαθὰ κἀκεῖνα, ἃ κατορθοῦνταί τισιν, ὡς βούλον-
35 ται αὐτοὶ οὗτοι οἱ σπουδάζοντες κτήσασθαι. βούλονται δὲ ἢ μηδὲν
κακὸν παθεῖν, οἷον νίκης ἐφίεται καὶ τροπαίων τις καὶ τοῦ καταπολεμῆ- 40
σαι τὸν ἀλλόφυλον, βούλεται μηδὲν ἐν πολέμῳ παθεῖν κακὸν καὶ μηδένα
τῶν ἐκείνου ὑποστρατήγων ἢ στρατιωτῶν πεσεῖν· ἢ τὸ δεύτερον καλόν, ἐὰν

---

1 δ' n 6 λελοιδορεῖσθαι n 10 δ' om. n 15 ὃ post ὃν add. n ἀνδρείας n 16 κρείττον' ἁπάντων n ἃ γὰρ—ἐπαινετὰ (18) om. n 17 ταῦτα, ult. τα in ras., V 21 τὰ δὲ δυνατὰ Vn: *possibilia autem* Arist. Tr.: ταῦτα δὲ Arist. cet. (γρ. δυνατά A marg.) 22 κτησθῆναι τὸν ἀκροατὴν ἀλλ' n 23 τὴν γνῶσιν n δυνατὰ Vn: ῥᾴδια Arist. 25 καταλαμβανόμενα V 31 τὲ V: δὲ n 32 νομικὸν n ἐμπορίας n 37 fort. βούλεται ⟨δὲ⟩

πάθωσι μέν, ἀλλὰ πάθωσιν ἔλαττον κακὸν πρὸς τὸ μέγα ἀγαθόν, ὅπερ f. 10r
ἐκτήσαντο· εἰ γὰρ ὀλίγοι πτῶσιν πάθωσιν ἐν πολέμῳ, τῶν δὲ ἀλλοφύλων
χιλιάδες, ἀγαθὸν τοῦτο, καὶ ἔλαττον μὲν τὸ κα|κόν, μεῖζον δὲ καὶ πολλα- f. 10v
πλάσιον τὸ ἀγαθόν. [a 26] τοῦτο δὲ ἔσται, τὸ ἔλαττον μὲν κακόν, μέγα
5 δὲ ἀγαθόν, ἐὰν ᾖ λανθάνῃ ἡ τιμωρία καὶ τὸ γεγονὸς κακόν, οἷον εἰ
τοσοῦτόν ἐστι τὸ ἀγαθόν, ὥστε ποιῆσαι ἐπιλαθέσθαι τῆς κακώσεως, ἣν
ἐκτησάμεθα δι' ἐκεῖνο, καὶ ἐὰν ὀλίγοι ἔπεσον ἐν πολέμῳ, τοσοῦτον ὥστε
μηδὲ φαίνεσθαι ἀλλὰ λανθάνειν, εἰ πέπτωκέ τις τῶν ἡμετέρων, ἢ ἐὰν οὐ 5
λανθάνῃ μὲν ἡ τιμωρία καὶ τὸ γεγονὸς κακόν, μικρὰ δέ ἐστιν ἡ βλάβη
10 καὶ ἡ κατάπτωσις καὶ πληγὴ τῶν ἡμετέρων καὶ τὸ ἐπιζήμιον ἡμῖν πρὸς
τὸ ἀγαθόν, ὅπερ ἐκτησάμεθα. [a 27] ἔτι ἀγαθὰ καὶ τὰ ἴδια, ὡς ἀν-
θρώπου μόνου τὸ γελαστικὸν καὶ τὸ λογογραφεῖν τῶν ῥητορευόντων καὶ
τῶν πλουτούντων τὸ εὖ ποιεῖν. ἔτι ἀγαθά, ἃ μηδεὶς ἔχει, ὡς ἡ βασι-
λεία καὶ ὁ λίθος ὁ πολυτίμητος, καὶ τὰ περιττὰ καὶ κομψὰ καὶ ποικίλα
15 ἔργα ἢ κτήματα ἢ χρήματα μείζω, οἷον εἰ τύχῃ τι εἰς κάλλος καὶ μέγε- 10
θος ἠσκημένον ἔργον ἐκ χρυσοῦ ἢ ἀργύρου, ἢ εἰ ἐκ χρωμάτων μέν, ἀλλ'
ἀνίκητον τὸ ἔργον, ὁποῖα τὰ τῶν παλαιῶν χρωματογράφων, ἢ οἰκία με-
γάλη καὶ περιφανὴς ἐν πολλῇ περιττότητι· τιμὴ γὰρ τὰ τοιαῦτα τῶν ἐχόν-
των. [a 28] καὶ τὰ ἁρμόττοντά τισιν ἀγαθά, ὡς τῷδε μὲν ἥδε ἡ στολή,
20 ἄλλη δὲ ἄλλῳ (τοῖς γὰρ ἱερωμένοις ἄλλη καὶ τοῖς μοναχοῖς ἄλλη) καὶ τῷ
πλουσίῳ καὶ εὐγενεῖ τὸ εὐεργετεῖν ἁρμόττει καὶ τῷ ἀνδρείῳ τὸ ἀριστεύειν 15
ἐν πολέμῳ. [a 29] καὶ τὰ ἐλλείποντα, κἂν μικρὰ ᾖ, ἀγαθὰ δοκεῖ· ὥσπερ
εἰ ἔν τινι πλουσίου οἴκῳ ἐνδεεῖ τὸ ὕδωρ, ἐκεῖνος τὸ ἐν μέσῃ τῇ οἰκίᾳ ῥέειν
ὕδωρ ποθεινὸν ἡγεῖται καὶ μέγα ἀγαθόν· καὶ πάλιν, εἰ εὐγενής τις ὢν οὐκ
25 ἔχει τι προσῆκον τῇ αὐτοῦ εὐγενείᾳ, σπουδάζει τὸ ἐνδεὲς ἁρμόττον δὲ τῇ
αὐτοῦ εὐγενείᾳ πρᾶξαι λέγων καθ' ἑαυτὸν ὡς 'εἰ καὶ μικρὸν τόδε, ἀλλ'
οὖν τῇ ἐμῇ εὐγενείᾳ πρεπῶδές ἐστιν', οἷον τὸ τὸν παῖδα διὰ παιδαγωγῶν 20
καὶ μυσταγωγῶν τελειοῦσθαι. [a 31] καὶ τὰ εὐκατέργαστα καὶ συντό-
μως τελειούμενα ἀγαθά, οἷον τὸ ψηφηφορεῖν ἢ ἱππεύειν· ταῦτα γὰρ ὡς
30 ῥᾴδια ἀγαθά. ἑρμηνεύει δέ τινα τὰ εὐκατέργαστα λέγων ἐκεῖνα εἶναι, ἃ
οἱ πάντες κατωρθώκασιν, ὡς τὸ θέειν ἐν παιδιαῖς ἢ τὸ ἱππεύειν, ὡς εἴ-
ρηται, ἢ οἱ πολλοὶ κατώρθωσαν, ὅπερ οἶμαι ἐπανορθωτικὸν καὶ ἐφερμη-
νευτικὸν ἔσται τοῦ πάντες· εἰ γὰρ καὶ μὴ πάντες, ἀλλ' οἱ πολλοί· οἷον
τὸ γραμματικεύειν, εἰ κατώρθωσαν πολλοί, εὐκατέργαστον. [a 32] ἢ ὅσα 25
35 ὅμοιοι κατώρθωσαν, ἀγαθὰ ὡς εὐκατέργαστα· οἷον εἰ στρατιωτῶν παῖς
εἴη τις, εὐκατέργαστα ἀγαθὰ ἐκείνῳ, ὅσα οἱ τῶν ἄλλων στρατιωτῶν παῖ-
δες ἰσήλικες ὄντες κατώρθωσαν. καὶ ὅσα οἱ ἥττους κατώρθωσαν, εὐ-
κατέργαστα· οἷον εἰ δέκα ὅμοιοι στρατιῶται νενικήκασι, πολλῷ δήπου πάν-
τως, εἰ τεσσαράκοντα ἐκεῖνοι τυγχάνουσι. [a 33] καὶ ἃ χαριοῦνται τοῖς

11 ὡς V: οἷον τοῦ n 15 τϊ, superscripto compendio incerto (νος aut νϊ?), V
16 εἰ om. n 22 καὶ ἂν Arist. 23 ἐκεῖνο n 29 ψηφοφορεῖν n 29. 30 δυ-
νατὰ γὰρ ὡς ῥᾴδια Arist. 31 οἱ om. Arist. 35 ὅμοιοι Vn Arist. $Y^b Z^b$ cod.
Monac. gr. 313: οἱ ὅμοιοι Arist. cet.

φίλοις, ἀγαθὰ ἐκεῖνα πάντως, ὧν χρήζουσι. καὶ ἃ ἀπεχθήσονται τοῖς f. 10v
ἐχθροῖς, ἤτοι ἀγαθά, ἅπερ εἰς ἀπέχθειαν καὶ μῖσος τῶν ἐχθρῶν καὶ 31
ἄμυναν ἐπιδείξονται. [a 34] καὶ ὅσα ὁ σπουδαῖος πράττειν βούλεται καὶ
ἐκεῖνοι, οὓς θαυμάζομεν. ἀγαθὰ τὸ τὰ δίκαια ποιεῖν, τὸ ἐπίστασθαι τὰ ὄντα,
5 τὸ εὖ ποιεῖν, τὸ ἀληθές, τὸ ἐπιεικές, τὸ πονεῖν ἐν λόγοις. καὶ ἀγαθά,
πρὸς ἃ εὐφυεῖς εἰσιν· ἔστι δὲ ὁ μὲν εἰς τὸ ῥητορεύειν δεξιός, ὁ δὲ εἰς
τὸ στωμύλον καὶ ἀναισχυντεῖν. [a 35] καὶ πρὸς ἃ ἔμπειροι· οἷον εἰ πολ-
λοῖς ἐτρίβη πράγμασί τις καὶ δίκαις ἐνετράφη καὶ δικασπολείοις, θᾶττον 35
γενήσεται νομικὸς καὶ ἀγαθὸν ἐντεῦθεν ἐκείνῳ ἡ τῶν νόμων εἴδησις· ὥσπερ
10 εἰ μετὰ ἰατρῶν ἀνήχθη τις καὶ νοσαζομένων καὶ θεραπευομένων, ἑτοίμως
ἔχει πρὸς τὸ μαθεῖν τὰ τῆς ἰατρικῆς καὶ διὰ τοῦτο ἀγαθὸν ἐκείνῳ τὸ ἰα-
τρεύειν. καὶ ἡ αἰτία· ῥᾷον γὰρ κατορθώσειν οἴονται ταῦτα, περὶ ἃ
ἔμπειροί εἰσι. [a 36] καὶ ἃ μηδεὶς φαῦλος ἔχει, ἀγαθά· ἐπαινετὰ
γάρ, οἷον τὸ σωφρονεῖν καὶ φιλοσοφεῖν. καὶ ἐκεῖνα ἀγαθά, ὧν ἐπιθυμήσας 40
15 τις ἐπέτυχεν· οὐ γὰρ φαίνεται μόνον ἡδέα ταῦτα ἀλλὰ καὶ βελτίω. [a 38]
καὶ ἔτι ἀγαθά, ἃ μάλιστα ἀποδέχεται ὁ καθ' ἕκαστα, πρὸς ἃ φιλοτοιοῦτός
ἐστιν· οἷον εἰ φιλόνεικος ἔστι τις, πρόκειται δέ πῃ φιλονεικία καὶ πόλεμος,
ἀγαθὸν ἐκείνῳ φαίνεται τὸ προκείμενον. εἰ δὲ φιλεῖ τὴν νίκην ἐν τῷ παί-
ζειν ἢ πυκτεύειν, εἰ πρόκειται ταῦτα τὰ ἐξ ὧν | ἡ νίκη, ἀσπάζεται αὐτά. f. 11r
20 καὶ οἱ φιλότιμοι· εἰ τιμή τις ἐκ τοῦ λογογραφεῖν ἐπιγίνεται, τὸ λογογραφεῖν
ἐπιτηδεύεται, ἵνα δι' ἐκείνου τιμὴν εὑρήσει. [b 3] περὶ μὲν οὖν ἀγα-
θοῦ καὶ τοῦ συμφέροντος ἐκ τούτου δεῖ τοὺς τόπους καὶ τὰς πί-
στεις λαμβάνειν.

7. Ἐπεὶ δὲ περὶ τοῦ πότερόν ἐστι μεῖζον τόδε ἀμφισβήτησίς ἐστι,
25 ληπτέον τόπους, ἐξ ὧν τι κατασκευασθήσεται μέγα ἢ μικρόν, κακὸν ἢ ἀγα- 5
θόν· ἀμφιβάλλεται γάρ, πότερον μεῖζον τὸ εὐεργέτημα τὸ ποιῆσαι νίκην
καὶ ἀριστεῦσαι ἢ τὸ ἁμάρτημα τὸ ἀνελθεῖν εἰς τὸ τεῖχος, καὶ πότερον
μεῖζον εὐεργέτημα τὸ διῶξαι τὸν τύραννον ἐκ τῆς ἀκροπόλεως ἢ τὸ ἀπο-
κτεῖναι, καὶ ποῖον μεῖζον ἀδίκημα, τὸ κατασκάψαι τὴν πόλιν ἢ τὸ γεωρ-
30 γῆσαι. ῥητέον οὖν ἐφεξῆς περὶ τοῦ μείζονος ἀγαθοῦ καὶ μᾶλλον
συμφέροντος. [b 7] ἔστω δὲ ὡς λῆμμά τι καὶ ἀξίωμα προϋποκείμενον,
ὅτι ὑπερέχει τί τινος, ἡνίκα τοσοῦτόν ἐστιν, ὅσον ἐκεῖνο, καὶ ἔτι, ὡς ὁ
δέκα ὑπερέχει τοῦ ἐξ τοσοῦτος ὢν καὶ ἔτι. ὑπερεχόμενον δὲ λεγέσθω 10
τὸ ἐλαττούμενόν τινος καὶ ὑποβεβηκὸς καὶ ὑπερεχόμενον. [b 9] καὶ τὸ
35 μεῖζον μὲν πρὸς τὸ ἔλαττον λέγεται, μέγα δὲ πρὸς τὸ μικρὸν καὶ

---

4 ἀγαθά· ὡς τὸ n 7 στωμὐλ V 11 πρὸς τὸ om. n 12 κατορθιώσειν V 13 εἰσιν n 14 γὰρ μᾶλλον Arist. 16 κάλλιστα n φιλοτοιοῦτος V: φιλότιμός n (τοιοῦτοι Arist.) 17 φιλόνικός n (cf. φιλόνεικοι Arist. ABY^b: φιλόνικοι Arist. cet.) δὲ τῇ φιλονεικίᾳ n 18 ἐκεῖνο n 19 πρόκειται n ὧν om. n 20 ὁ φιλότιμος n 21 εὑρήσῃ n οὖν Vn Arist. ACDE: om. Arist. cet. 22 τούτων Arist. 24 δὲ πολλάκις Arist. fort. τόδε ⟨ἢ τόδε⟩ 29. 30 καὶ — γεωργῆσαι om. n 30 καὶ τοῦ μᾶλλον Arist. 32 τί om. n τὸ post ἡνίκα add. n 34 ὑπερεχόμενον Vn: aut ἐνυπάρχον ex Aristotele scrib. aut περιεχόμενον ex p. 28,7

πολὺ πρὸς τὸ ὀλίγον, καθὼς ἔχουσι μεγέθους τὰ θεωρούμενα· εἰ μὲν f. 11r
γὰρ ὑπερέχει τῷ μεγέθει, μέγα λέγεται, εἰ δὲ τοὐναντίον, μικρόν. τούτων
ὑποτεθέντων, ἵνα δηλωθῇ, ποῖον τὸ μεῖζον καὶ ποῖον τὸ ἔλαττον — χρῄ-
ζομεν γὰρ αὐτοῦ τούτου τοῦ λήμματος διὰ τὸ εἰδέναι σε, ὅτι καὶ τὸ τέλος, 15
5 οὗ χάριν τἆλλα πράττεται, κρεῖττον τῶν πρὸς τὸ τέλος φερόντων, εἰ περι-
έχει ἐκεῖνα (ὄντος μὲν γὰρ τέλους ἀνάγκη εἶναι κἀκεῖνα, οὐ μὴν ἐκείνων
ὄντων ἔστι καὶ τέλος) καὶ πολὺ ὡσαύτως τὸ περιέχον, ὀλίγον δὲ τὸ περι-
εχόμενον καὶ ἐλαττούμενον —, [b 12] ἐπεὶ οὖν οὕτως ἔχει ταῦτα, ἀγα-
θὸν δὲ λέγομεν τὸ αὐτὸ αὑτοῦ ἕνεκα ἤγουν τὸ τέλος, οἷον ὑποδεύ-
10 ματος χάριν ἡ ὑγεία· οὐ γὰρ ἄλλου χάριν αἱρετόν, ὡς τὸ γυμνάσιον· 20
πολλοὶ γὰρ τῆς ὑγείας μὴ οὔσης οὐδὲ τὸ ζῆν ἐθέλουσιν. [b 14] καὶ ἀγα-
θόν, οὗ πάντ' ἐφίεται, ᾗ τὸ εἶναι ἔχει καὶ ἡ ἡδονή· τοῦ γὰρ εἶναι
πάντα καὶ τῆς ἡδονῆς τὰ αἰσθανόμενα ἐφίεται. καὶ ἀγαθά, ἃ ἕλοιτο νοῦν
καὶ φρόνησιν λαβόντα τὰ ζῷα, ὡς τὸ θεωρεῖν ἐμφρόνως καὶ εἰδέναι τὰ
15 ὄντα, τὰ ἄνω, τὰ κάτω, τὰ περὶ ἀνθρώπου, τὰ περὶ ζῴων καὶ τὰ λοιπὰ
πολυωφελῆ καὶ ἀναγκαῖα ὄντα. [b 15] ἔστι δὲ ἀγαθὸν καὶ τὸ ποιητι-
κόν, ὡς τὸ ἡδὺ ἡδονῆς καὶ αἱ ἀρεταὶ τῶν ἀγαθῶν καὶ τὸ ὑγιεινὸν ὑγείας.
ἀγαθὸν δὲ καὶ τὸ φυλακτικόν, ὡς τὰ γυμνάσια ὑγείας φυλακτικά. [b 16] 25
ἀγαθὸν δὲ καί, ᾧ ἕπεται τὰ ἀγαθά, ὥσπερ τὸ μανθάνειν ἀγαθόν· ἕπεται
20 γὰρ αὐτῷ τὸ ἐπίστασθαι. καὶ τὸ ὑγιάζεσθαι καλόν· ἕπεται γὰρ αὐτῷ τὸ
ἀπόνως ἔχειν. βούλεται οὖν ἐν τούτοις τοῦτο συναγαγεῖν καὶ εἰπεῖν, ὅτι
μεῖζόν ἐστι τὸ μετὰ τοῦ τέλους ἔχον πλείονα ἀγαθὰ τοῦδε, οἷον εἰ ὑγεία
τὸ τέλος, ἡ ῥώμη καὶ τὸ κάλλος καὶ ὁ πλοῦτος μετὰ τῆς ὑγείας τοῦ τέ-
λους κρείττω καὶ μείζω τοῦ κάλλους καὶ τοῦ πλούτου μόνου· ὡς περι- 30
25 έχοντα γὰρ μείζω τῶν περιεχομένων εἰσίν. ἀπαρτίζεται δὲ τὸ νόημα εἰς τὸ
[b 18] 'ἀνάγκη τὰ πλείω ἀγαθὰ μετὰ τοῦ τέλους κρείττω εἶναι τῶν ὀλίγων'.
τὸ οὖν οὗ ἕνεκα τέλος· τέλος δέ, οὗ χάριν τὰ λοιπά· αὐτὸ δὲ ἀγα-
θόν. διὸ ἐκεῖνα οὕτως ὤφειλεν εἰπεῖν· αὐτὸ δὲ τελικώτατον τὸ παθὸν
ἐκεῖνα δι' ἑαυτὸ τὰ πρὸς αὐτὸ φέροντα δι' αὑτό· τέλος γὰρ τὸ παθὸν
30 ἐκεῖνα δι' ἑαυτό· αὐτὸ οὖν ἀγαθὸν τὸ πεπονθὸς ἐκεῖνα δι' ἑαυτό. φέρεται
δὲ οὕτως ἡ γραφή· [b 17] οὗ ἕνεκα τἆλλα αὐτῷ· τὸ δὲ ἀγαθὸν τὸ 35
πρὸς αὐτὸ πεπονθὸς ταῦτα. καὶ ἴσως κάλλιον οὕτως· ἀγαθὸν γάρ, οὗ
ἕνεκα τἆλλα αὐτῷ ἤγουν ἐν αὐτῷ, τὸ δὲ ἀγαθὸν ἐκεῖνο τὸ πεπονθὸς
ἐκεῖνα· τοῦ γὰρ πεπονθέναι καὶ ὑπάρξαι ἐκεῖνα τὸ τέλος αἴτιον. εἰ δὴ ταῦτα

---

4 σε om. n 7 ὄντων om. n 9 τό τε αὐτὸ Arist. 11 ἐθέλουσι n 12 ᾗ V: ὡς n: οἷον p. 21,3 ἔχειν n ἡ om. n 13 ἕλοι τὸν νοῦν n 14 ὡς V: ὥσπερ n 18 τὸ Vn Arist. A: om. Arist. vulg. τὰ om. n 22 εἰ V: om. n 22. 23 ὑγεία τὸ scripsi: ὑγείας Vn 27 οὗ prius om. n τὸ τέλος ἐστίν Arist. 29 αὐτό V: ἑαυτό n 31 ἀγαθόν, ὸν ex corr., V 27 et 32. 33 οὗ ἕνεκα τὰ ἄλλα, αὐτῷ (αὐτωι, τω corr., A: *ipsum* Tr.) δὲ ἀγαθὸν τὸ πρὸς αὐτὸν (sic A man. pr., EZᵇ; αὐτὸ A man. rec. et ceteri) ταῦτα πεπονθός Arist. 34 ὑπάξαι n δὴ V: δὲ n

οὕτως ἔχει (πολλοῖς γὰρ καὶ σχοινοτενέσι ῥήμασι τὸ θεώρημα ἐμεστώσαμεν), f. 11r
ἀνάγκη τὰ πλείω ἀγαθὰ συναριθμούμενα τῷ τέλει κρείττω εἶναι τῶν ὀλί-
γων. εἰκότως δὲ προσέθηκε τὸ συναριθμεῖσθαι τῷ τέλει τὰ συγκρινόμενα· 40
εἰ γὰρ μὴ τοῦτο, εὑρεθήσεται τὰ πλείω χείρω τῶν ἐλαττόνων· καὶ γὰρ τὸ
5 τέλος μεθ' ἑνὸς ἀγαθοῦ κρεῖττον τῶν πλειόνων μὴ τελῶν ὄντων, οἷον ἡ
ὑγεία καὶ ἡ ῥώμη κρείττω τοῦ κάλλους καὶ τοῦ πλούτου καὶ τῆς ἰσχύος καὶ
τῆς εὐτεκνίας. πρῶτος οὖν τόπος τοῦ μεῖζον εἶναί τι ὅδε τὸ τὰ πλείω ἀγαθὰ
εἶναι κρείττω τῶν ἐλαττόνων | μετὰ τοῦ τέλους. ἐπεὶ δ' εἴπομεν ἀρχῆθεν f. 11v
ἐν τοῖς ὑποτεθεῖσι λήμμασιν, ὅτι καὶ μέγα ἔχομεν τὸ ὑπερέχον τοῦ μικροῦ,
10 δεύτερος ἔστω τόπος οὗτος· [b 21] εἰ τὸ μέγιστον ἔν τισι πράγμασι θεω-
ρούμενον ὑπερέχει τοῦ μεγίστου τοῦδε, καὶ αὐτὰ ἁπλῶς τὰ πράγματα
ἐκείνων, οἷον εἰ ὁ μέγιστος ἀνὴρ ὑπερέχει τῆς μείζονος γυναικός, καὶ
οἱ ἄνδρες ἁπλῶς τῶν γυναικῶν. καὶ ἀντιστρέψας αὖθις εἰπέ, εἰ ἁπλῶς 5
τάδε τῶνδε κρείττω, καὶ τὰ μέγιστα τῶν μεγίστων κρείττω· εἰ γὰρ οἱ
15 ἁπλῶς ἄνδρες κρείττονες τῶν ἁπλῶς γυναικῶν, καὶ οἱ μέγιστοι τῶν μεγί-
στων, καὶ εἰ οἱ ἄνθρακες τῶν μαργαριτῶν μείζους, καὶ ὁ μείζων ἄνθραξ τοῦ
μείζονος μαργαρίτου μείζων, καὶ εἰ ὁ μείζων ῥήτωρ τοῦ μείζονος γραμματι-
κοῦ καὶ νομικοῦ κρείττων, καὶ ὁ ἁπλῶς ῥήτωρ τοῦ ἁπλῶς γραμματικοῦ
καὶ νομικοῦ κρείττων· πᾶς γὰρ ῥήτωρ καὶ γραμματικὸς κείσθω· ἡ ἀνα-
20 λογία γὰρ οὕτως ἔχει 'εἰ τὰ ἁπλῶς τῶν ἁπλῶς, καὶ τὰ μείζω τῶν μειζό- 10
νων, καὶ εἰ τὰ μείζω τῶν μειζόνων κρείττω, καὶ τὰ ἁπλῶς τῶν ἁπλῶς
κρείττω'. [b 27] καὶ ὅταν τόδε μὲν τῷδε ἕπηται, ἐκεῖνο δὲ μὴ
τούτῳ ἕπηται, πάντως ἀγαθὸν ἐκεῖνο τὸ ἡγούμενον καὶ συνεισφέρον ἕτερον
ἀγαθόν, οὐ μὴν τὸ ἑπόμενον τὸ μὴ συνεισφέρον, οἷον ἡ ὑγεία συνεισφέρει
25 τὸ ζῆν ἑπόμενον αὐτῇ καὶ τὴν ἐπιστήμην εἰσφέρει τὸ μεμαθηκέναι καὶ ὁ
ἄνθρωπος τὸ ζῷον· κρείττω ἄρα τὰ συνεισφέροντα· ἔνεισι γὰρ αὐτοῖς κά-
κεῖνα. [b 29] λέγει δὲ τὰ ἑπόμενα ἢ ἅμα εἶναι τῷ συνεισφέροντι ἀγα- 15
θῷ, ὡς τὸ ζῆν τῇ ὑγείᾳ, ἢ ἐφεξῆς, ὡς ἡ ἐπιστήμη τῷ μανθάνειν ἐφεξῆς·
εἰσφέρεται γὰρ τῷ μανθάνειν ὕστερον τὸ ἐπίστασθαι· ὃς μὲν γὰρ μανθάνει,
30 ἐπίσταται, οὐ μήν, ὃς ἐπίσταται, μανθάνει· ἐπίσταται γὰρ καὶ αὐτοφυῶς,
ὡς αἱ ψυχαὶ κατὰ Πλάτωνα ἀναμιμνησκόμεναι, ἀλλὰ καὶ ἀπὸ ζητήσεως
καὶ εὑρέσεως· οὐκ ἀντιστρέφει ἄρα. ὥστε ἐπὶ πλέον τὸ ἐπίστασθαι τοῦ
μανθάνειν, κρεῖττον δὲ τὸ μανθάνειν κατά γε τὸν παρόντα τόπον. [b 30] 20
ἕπεται δὲ καὶ τῇ δυνάμει τοῦ ῥητορεύειν τὸ λογογραφεῖν καὶ τῷ ἱερο-
35 συλεῖν τὸ ἀποστερεῖν· ὥστε μεῖζον μὲν ἀγαθὸν τὸ ῥητορεύειν, κακὸν

---

5 ἡ om. n 8 δ' V: δὴ n εἴπομεν] p. 28,2 9 ὑποτεθεῖσιν n
λήμμασιν om. n ἔχομεν Vn: fort. λέγομεν 10 τὸ V: καὶ n
13 ante εἰ littera erasa V 14 οἱ om. n 16 οἱ om. n 19 πᾶς V: παράδειγμα n 21 καὶ εἰ — μειζόνων om. n 22. 23 τούτῳ μὴ Arist.
24 μὴ V: μὲν n ἡ om. n 25 τὴν om. n 27 ἢ V: ἃ n
τῷ συνεισφέροντι V: αὐτῷ συνεισφέρεται n 29 γὰρ V: δὲ n 31 κατὰ Πλάτωνα] Phaed. 72 E 32 ὥστε V: ὡς n τὸ V: τοῦ n 34. 35 τοῦ ἱεροσυλεῖν n

δὲ τὸ ἱεροσυλεῖν, ἔλαττον δὲ καλὸν μὲν τὸ λογογραφεῖν, κακὸν δὲ τὸ ἀπο- f. 11ᵛ
στερεῖν. ἐπιφέρει δὲ αἰτίαν τοῦ εἶναι μείζω τὰ ἡγούμενα καὶ συνεισφέ-
ροντα ἀγαθὰ τῶν ἑπομένων τὸ ἐνυπάρχειν αὐτῶν τὴν χρῆσιν τοῖς ἡγου-
μένοις· [b 30] εἰ γὰρ ὑγεία, καὶ ζωή· ἕπεται οὖν καὶ ἐνυπάρχει τὸ ζῆν
5 τῇ ὑγείᾳ. ἐνταῦθα τοίνυν, ὁποῖον βούλει, δείκνυε ἀγαθόν, ποτὲ μὲν τὸ 25
ἡγούμενον ἤγουν τὴν μάθησιν ὡς συνεισάγουσαν τὴν ἐπιστήμην, ἥτις ἐστὶ
τὸ ἑπόμενον, ὁτὲ δὲ κρεῖττον ἀγαθὸν λέγε τὴν ἐπιστήμην ὡς τέλος ἐκείνης
μὴ τέλους οὔσης, ἥτις ἐστὶν ἡ μάθησις. ἀδιάφορον οὖν, εἴτε τὸ ῥητορεύ-
ειν κρεῖττον, ᾧ ἕπεται τὸ λογογραφεῖν, εἴτε τὸ λογογραφεῖν κρεῖττον ὡς
10 τέλος. τὸ δὲ τὴν ῥητορικὴν μανθάνειν οὐ μέγα ἀγαθόν, διότι μὴ τέλος.
[b 33] καὶ τὰ ὑπερέχοντά τινος μείζονι μείζω, οἷον μείζων ἡ φρό- 30
νησις τοῦ πλούτου· διὰ τί; ὅτι ὑπερέχει μὲν καὶ ἡ φρόνησις τοῦ κάλλους,
ὑπερέχει δὲ καὶ ὁ πλοῦτος, ἀλλὰ ἐν μείζονι μέρει ὑπερέχει ἡ φρόνησις τοῦ
κάλλους ἢ ὁ πλοῦτος· ἡ ἄρα φρόνησις κρείττων· τῶν δύο γὰρ ὑπερεχόντων
15 τινὸς ἑνὸς ὑποκειμένου μᾶλλον ὑπερέχει τόδε τοῦδε. ὥστε μεῖζον τὸ ὑπερ-
έχον μᾶλλον τοῦ ἐλαττόνως ὑπερέχοντος, ὥσπερ καὶ ὁ δέκα μείζων τοῦ
ὀκτώ· ὑπερέχουσι γὰρ ἀμφότεροι τοῦ ἕξ, ἀλλὰ μᾶλλον ὁ δέκα ὑπερέχει,
ἧττον δὲ ὁ ὀκτώ. [b 35] καὶ τὰ τοῦ μείζονος ἀγαθοῦ ποιητικὰ 35
μείζω, ὡς ἡ τεκτονικὴ τῆς σκυτοτομικῆς μείζων· ἡ μὲν γὰρ τεκτονικὴ
20 οἰκίαν, ἡ δὲ σκυτοτομικὴ ὑπόδημα. κρείττων δὲ ἡ οἰκία τοῦ ὑποδήματος
καὶ ἡ τεκτονικὴ λοιπὸν τῆς σκυτοτομικῆς. καὶ ἡ δόσις τῆς λήψεως κρεί-
ττων· ἡ μὲν γὰρ τὸ εὖ ποιεῖν δρᾷ, ἡ δὲ τὸ εὖ πάσχειν, κρεῖττον δὲ τὸ εὖ
ποιεῖν τοῦ εὖ πάσχειν, κρεῖττον ἄρα τὸ διδόναι τοῦ λαμβάνειν. [b 36]
καὶ ἀντιστρόφως μεῖζόν ἐστιν, οὗ τὸ ποιητικὸν μεῖζον· μείζων γὰρ ἡ
25 οἰκία τοῦ ὑποδήματος, διότι καὶ τὸ ποιητικὸν τῆς οἰκίας κρεῖττον τοῦ 40
ποιητικοῦ τοῦ ὑποδήματος, ἐπειδὴ κρείττων ἡ οἰκοδομικὴ τῆς σκυτο-
τομικῆς. πάλιν ἑτέρῳ παραδείγματι· [b 37] τὸ ὑγιεινὸν κρεῖττον τοῦ
ἡδέος· τὸ γὰρ ὑγιεινὸν μείζονος ἀγαθοῦ ποιητικόν, τῆς ὑγείας, τὸ δὲ
ἡδὺ ἐλάττονος, τῆς ἡδονῆς· ὡς οὖν τὸ ποιητικὸν μείζονος μεῖζον τοῦ
30 ποιητικοῦ τοῦ ἐλάττονος, οὕτω καὶ ἡ ὑγεία ἡ ἐκ τοῦ ὑγιεινοῦ κρείτ|των f. 12ʳ
τῆς ἡδονῆς καὶ μείζων τῆς ἐκ τοῦ ἡδέος. [1364a1] καὶ τὸ αἱρετὸν δι'
ἑαυτὸ καὶ καθ' αὑτὸ κρεῖττον τοῦ μὴ δι' ἑαυτὸ αἱρετοῦ, οἷον ἡ ἰσχὺς κρεῖτ-
τον τοῦ ὑγιεινοῦ· ἡ μὲν γὰρ ἰσχὺς δι' ἑαυτὸ διωκτόν, τὸ δὲ ὑγιεινὸν
διὰ τὴν ὑγείαν, οὐ δι' ἑαυτό. [a 3] καὶ ἐὰν ᾖ τὸ μὲν ἀγαθὸν τέλος,
35 τὸ δὲ πρὸς ἐκεῖνο φέρον, μεῖζον τὸ τέλος, οἷον τὸ εὖ ἔχειν κρεῖττον τοῦ
γυμνάζεσθαι· τὸ μὲν γὰρ γυμνάζεσθαι πρὸς ἐκεῖνο φέρει, τὸ δὲ εὖ ἔχειν 5
τέλος καὶ οὐ δι' ἄλλο. καὶ ἡ ἐγκράτεια πρὸς τὴν σωφροσύνην ὁδός· ὥστε

---

6 συνάγουσαν n 7 ὁτὲ V: ποτὲ n 9 τὸ (post εἴτε) om. n τὸ post ὡς add. n 11 τινὸς Vn: τοῦ αὐτοῦ Arist. μείζονος n 15 fort. ἑνός τινος 20 exspectes οἰκίαν ⟨ποιεῖ⟩ ὑπόδημα V: ὑποδήματα n 32 αἱρετοῦ V: καὶ καθ' αὑτὸ n (ex Aristotele) 32. 33 κρεῖττον V: κρείττων n 34 τῆς ὑγείας V κἂν Arist.

κρείττων ἡ σωφροσύνη. [a 5] καὶ τὸ ἧττον προσδεόμενον θατέρου f. 12r
κρεῖττον τοῦ προσδεομένου αὐτοῦ, οἷον ἡ γραμματικὴ κρείττων τῆς
ῥητορικῆς· οὐ γὰρ προσδέεται αὐτῆς, ἡ μέντοι ῥητορικὴ δέεται αὐτῆς.
πάλιν ἡ φιλοσοφία δέεται ἑτέρων, ῥητορικῆς φημι καὶ γραμματικῆς, ἡ
5 μέντοι γραμματικὴ οὐκ αὐτῶν, καὶ ἐντεῦθεν κρείττων αὐτῶν ἡ γραμ-
ματικὴ ἐλαττόνων προσδεομένη ἢ ῥαόνων. [a 7] καὶ ὅταν τόδε 10
μὲν ἄνευ τοῦδε μὴ ᾖ, οἷον κρείττων ἡ γεωργία τῆς σκυτοτομικῆς·
γεωργὸς μὲν γὰρ ἄνευ ὑποδημάτων ζήσεται, σκυτοτόμος δὲ χωρὶς σίτου
καὶ γεωργίας οὐδαμῶς. πάλιν κρείττων ἡ στρατιωτικὴ δύναμις τῆς
10 βασιλείας· στρατιῶται μὲν γὰρ καὶ χωρὶς βασιλέως ἐπιζήσονται στρατεύ-
οντες καὶ διατρεφόμενοι, βασιλεία δὲ χωρὶς στρατιωτῶν οὐδαμοῦ συστῇ.
πάλιν φρόνησις ἀνδρίας· ἡ μὲν γὰρ φρόνησις οὐ δέεται ἀνδρίας, ἀνδρία
δὲ φρονήσεως ἀναγκαίως. καὶ ὥσπερ ὁ θεμέλιος κρείττων τοῦ ὀρόφου 15
(ἄνευ γὰρ τούτου ἀδύνατον γενέσθαι ὄροφον· ὄροφος γὰρ ἀναγκαίως τούτου
15 χρῄζει, οὐ μὴν ὁ θεμέλιος τοῦ ὀρόφου), ὁμοίως δὲ καὶ ἡ γραμματικὴ
ἧττον προσδέεται τῆς ῥητορικῆς, ῥητορικὴ μέντοι ἀναγκαίως χρῄζει τῆς
γραμματικῆς· κρείττων οὖν ἡ γραμματική· αὐταρκεστέρα γὰρ ὡς μὴ δεο-
μένη ἑτέρας. [a 10] κἂν ᾖ ἀρχή, τὸ δὲ μὴ ἀρχή. ἐντεῦθεν κρείτ-
των ἡ ἐγκράτεια τῆς σωφροσύνης· ἀρχὴ γὰρ ἡ ἐγκράτεια, οὐκ ἀρχὴ δὲ ἡ 20
20 σωφροσύνη. καὶ ὁ φόβος ὁ στοιχειώδης κρείττων ἐν ἀρεταῖς ἀρχὴ ὤν.
καὶ τὸ τὰ στοιχεῖα καὶ τὰς συλλαβὰς εἰδέναι τοῦ ψηφοφορεῖν κρεῖττον ὡς
ἀρχή. κἂν ᾖ αἴτιον, τὸ δ' οὐκ αἴτιον. ἐντεῦθεν κρεῖττον τὸ ὑγιει-
νὸν τῆς ὑγείας ὡς ποιητικὸν αὐτῆς. [a 11] ἄνευ γὰρ αἰτίου καὶ
ἀρχῆς ἀδύνατον εἶναι ἢ γενέσθαι τι. ὥστε αἱ ἀρχαὶ καὶ τὰ αἴτια
25 λόγον ἔχοντα τὸν ὧν οὐκ ἄνευ μείζω ἀγαθὰ τῶν ὑπ' αὐτά. [a 12] καὶ
ἐν δυσὶν ἀρχαῖς τὸ ἀπὸ τῆς μείζονος ἀρχῆς μεῖζον. κείσθωσαν
φρόνησις καὶ πλοῦτος ὡς ἀρχαί, εὐβουλία δὲ καὶ εὐεργεσία ὡς ἐξ αὐτῶν· 25
ἐπειδὴ γοῦν μείζων ἡ φρόνησις τοῦ πλούτου, καὶ ἡ εὐβουλία μεῖζον ἀγα-
θὸν ἢ ἡ εὐεργεσία, εἴπερ ἡ εὐβουλία ἀπὸ μείζονος ἀρχῆς τῆς φρονήσεως
30 πρόεισι. [a 13] καὶ δυοῖν αἰτίοιν τὸ ἀπὸ τοῦ μείζονος αἰτίου
μεῖζον. τεθείσθω τὸ ὑγιεινὸν ὑγείας ποιητικόν, τὸ δὲ ἡδὺ ἡδονῆς,
μεῖζον δὲ τὸ ὑγιεινὸν τοῦ ἡδέος, μείζων ἄρα καὶ ἡ ὑγεία τῆς ἡδονῆς· ἡ
γὰρ ὑγεία τὸ αἰτιατὸν αἰτίου ὄντος τοῦ ὑγιεινοῦ ἐξ ἀνάγκης ὑπέρκειται 30
τῆς ἡδονῆς, εἴπερ ἔστιν αὕτη αἰτιατὸν τοῦ ἡδέος, οὗπερ εὑρίσκομεν ἀσυγ-
35 κρίτως τὸ ὑγιεινὸν ὑπερκείμενον. [a 14] καὶ ἀνάπαλιν δὲ δυοῖν ἀρ-
χαῖν. ἐντεῦθεν βούλεται ἀντιστρόφως δεῖξαι ἀπὸ τῆς ὑπεροχῆς τοῦ

---

5 ἡ om. n 11 διαφερόμενοι n 12 φρόνησις κρείττων ἀνδρείας n ἀνδρείας ἀνδρεία n
15 χρήσει n fort. γραμματικὴ ⟨κρείττων τῆς ῥητορικῆς· ἡ μὲν γὰρ γραμματικὴ⟩
21 ψηφοφορεῖν n 24 τι om. Arist. 25 ἔχουσι n μείζω — αὐτά om. n
26 ἐν δυσὶν ἀρχαῖς V: δυοῖν ἀρχαῖν n Arist. A: δυεῖν ἀρχαῖν Arist. BYᵇ: δυοῖν ἀρχῶν Arist. cet. τὸ n Arist.: τὰ V 28 μεῖζον — εὐβουλία (29) om. n 31 ὑγείας — ὑγιεινὸν (32) bis n 32. 33 ἡ γὰρ V: εἰ γὰρ ἡ n 35 δὲ Vn Arist. C Tr.: δὴ Arist. cet. δυεῖν Arist. BYᵇ: δυοῖν Vn Arist. cet. ἡ τοῦ μείζωνος ἀρχὴ μείζων ἀρχή post ἀρχαῖν add. n, cf. Arist.

αἰτιατοῦ πρός τι ἕτερον αἰτιατὸν καὶ τὸ αἴτιον τοῦ μείζονος αἰτιατοῦ ὑπερ- f. 12r
φέρον τοῦ ἐλάττονος αἰτιατοῦ αἰτίου· δύο γὰρ κειμένων αἰτιατῶν, εἰ τόδε
μεῖζον τοῦδε, καὶ τὸ αἴτιον ἐκείνου τοῦ μείζονος ὑπερέξει τοῦ ἑτέρου αἰτίου,
ὅπερ ἐστὶν ἐλάττονος αἴτιον. καὶ ἐπὶ τῶν ἀρχῶν ὁμοίως· εἰ γὰρ δύο 35
5 πρόκειται τελοῦντα ὑπό τινας ἀρχάς, ἔστι δὲ τόδε κρεῖττον τοῦδε, καὶ
ἡ ἀρχὴ τοῦ κρείττονος κρείττων ἐστὶ τῆς ἑτέρας ἀρχῆς τῆς ἐχούσης ὑφ'
ἑαυτὴν ἔλαττον ἀγαθόν, ὡς ἐφ' ὧν εἴπομεν παραδειγμάτων, εἰ καὶ μὴ
σῴζουσιν ἀκριβῶς. [a 15] δῆλον οὖν ἐκ τῶν εἰρημένων, ὅτι ἀμφο-
τέρως μεῖζόν ἐστι φαίνεσθαι. τοῦτο πρὸς τὸν ἄνω τόπον ἀποδο-
10 τέον, ἐν ᾧ ἐλέγομεν [a 10] κἂν ᾖ ἀρχή, τὸ δὲ μὴ ἀρχή. ὁποτέρως
γάρ, φησί, βούλει, τὸ προκείμενον μεῖζον δείκνυε, ποτὲ μὲν μείζω τὸν 40
θεμέλιον καὶ τὴν γραμματικὴν τυχὸν κατασκεύαζε τοῦ ὀρόφου καὶ τῆς
ῥητορικῆς (ἀρχαὶ γὰρ ἐκεῖνα, τὰ δὲ οὐκ ἀρχαί), ὁτὲ δὲ τὰ τέλη συλλο-
γίζου μείζω τῶν ἀρχῶν εἶναι, εἴπερ ἐχρήζομεν ἐκείνων, τῶν τελῶν κατα-
15 στοχαζόμενοι· τοῦτο βουλόμενος ἐπάγει [a 16] καὶ γὰρ εἰ ἀρχὴ τόδε
ἤγουν ἡ γραμματική, τὸ δὲ μὴ ἀρχὴ ἤγουν ἡ ῥητορική, δόξει μεῖ- f. 12v
ζον εἶναι τὸ τῆς ἀρχῆς ἤτοι ἡ γραμματική. [a 17] καὶ εἰ μὴ ἀρχὴ
τόδε ἀλλὰ τέλος ὡς ἡ ῥητορική, τὸ δὲ ἀρχή, κρεῖττον τὸ τέλος ἤτοι
κρείττων ἡ ῥητορικὴ τῆς γραμματικῆς· τὸ γὰρ τέλος μεῖζον καὶ οὐκ
20 ἀρχή. [a 19] τούτων τῶν ἐφ' ἑκάτερα κατασκευῶν ἀντιστρόφως εἰσάγει
τὸν Λεωδάμαντα μάρτυρα κατηγοροῦντα μὲν Καλλιστράτου, ἐπειδὴ ὑπέ-
θετο τῷ Χαβρίᾳ καὶ συνεβούλευσεν ἀναιρεθῆναί τινα, καὶ μεῖζον εἶναι 5
τὸ ἀδίκημα τούτου τοῦ βουλεύσαντος ἢ τὸ τοῦ πράξαντος διατεινόμενον (οὐ
γὰρ ἂν ἐπράχθη τὸ τέλος, εἰ μὴ ἡ ἀρχὴ τῆς βουλῆς προηγήσατο), ὁτὲ
25 δὲ τοῦ Χαβρίου μᾶλλον καταφερόμενον ὡς πράξαντος καὶ μεῖζον τοῦ βου-
λεύσαντος Καλλιστράτου ἔγκλημα τούτῳ προστρίβοντα ([a 22] οὐδὲ γὰρ
ἂν γενέσθαι τὴν βουλὴν διετείνετο, εἰ μὴ ἦν ὁ πράξων). ὁρᾷς, ὅπως
ἀμφοτέρωθεν ὁτὲ μὲν μείζω τὴν ἀρχὴν ὁτὲ δὲ τὸ τέλος κατασκευάσαι
δυνάμεθα. σὺ δέ μοι ὁ συνετὸς ἀκροατὴς διελὼν ἀκριβῶς τὰ τῆς ἀρχῆς 10
30 καὶ τοῦ αἰτίου σημαινόμενα (πολλαχῶς γὰρ λέγεται) εὑρὲ καὶ τῶν λεγο-
μένων τὰ παραδείγματα προσφυῆ καὶ κατάλληλα. [a 23] καὶ τὸ σπανι-
ώτερον μεῖζόν ἐστι μᾶλλον τοῦ ἀφθόνου, ὡς ὁ χρυσὸς μᾶλλον τοῦ σιδήρου
κρείττων ὢν διὰ τὸ εἶναι χαλεπωτέραν τὴν κτῆσιν αὐτοῦ. ἄλλον δὲ
τρόπον τὸ ἄφθονον μεῖζον τοῦ σπανίου διὰ τὴν χρῆσιν· τὸ γὰρ χρη-
35 σιμώτατον κρεῖττον, ὅθεν καὶ τὸ "ἄριστον μὲν ὕδωρ" διὰ τὸ πολλάκις
ἡμᾶς ἔχειν τὴν χρῆσιν αὐτοῦ. [a 28] καὶ ὅλως τὸ χαλεπώτερον 15
μεῖζον τοῦ προχείρου καὶ ῥᾴονος, κάλλιον δὲ καὶ μεῖζον ὡς σπανιώ-

---

1 τοῦ n: τὸ V 5 δὲ om. n 9 μείζων n φαίνεσθαι V Arist. A marg. et Tr.: om. Arist. cet.: φαίνεται n 15 γὰρ V Arist. A Tr.: om. n Arist. cet. 16 alt. ἡ om. n 17 τῆς ἀρχῆς V: τε ἀρχὴ n 18 ἀλλὰ τὸ τέλος n ἤτοι—τέλος (19) om. n 19 μεῖζον καὶ V Arist.: καὶ μεῖζον n 23 τοῦ (post τούτου) om. n 24 μὴ V: μὴν n 26 οὐδὲ Vn: *neque* Arist. Tr.: οὐ Arist. cet. 35 κρεῖττον om. n ἄριστον κτλ.] Pind. Olymp. I 1

τερον· ἄλλον γὰρ τρόπον κρεῖττον τοῦ χαλεπωτέρου τὸ ῥᾷον ὡς f. 12v
χρησιμώτερον. [a 30] καὶ ᾧ τὸ ἐναντίον μεῖζον, ὡς ἡ ὑγεία μεῖζον
ἀγαθὸν ἢ ὁ πλοῦτος· ἡ γὰρ νόσος ἡ ἀντικειμένη τῇ ὑγείᾳ μεῖζον κακὸν
ἢ ἡ πενία ἡ ἀντικειμένη τῷ πλούτῳ· μεῖζον οὖν ἀγαθὸν ἡ ὑγεία, ᾗ
5 μείζον κακὸν ἀντίκειται. [a 31] καὶ οὗ ἡ στέρησις μείζων, ὡς ⟨εἰ⟩
ἡ φρόνησις μείζων τῆς ἀνδρίας, μᾶλλον χείρων ἡ στέρησις τῆς φρονή- 20
σεως ἢ τῆς ἀνδρίας· οὗ δὲ ἡ στέρησις μείζων, καὶ αὐτὸ μεῖζον. καὶ
ἀρετὴ μὴ ἀρετῆς καὶ κακία μὴ κακίας μείζων· τὰ μὲν γὰρ
τέλη, τὰ δὲ οὐ τέλη. οὐ τοῦτο λέγω, ὅτι ἡ ἀρετὴ μεῖζον καλὸν τῆς
10 μὴ ἀρετῆς (τίνος γὰρ λόγου δεῖται τοῦτο καὶ ἀποδείξεως, ὅτι μείζων ἡ
ἀρετὴ τῆς μὴ ἀρετῆς καὶ ἡ κακία μεῖζον κακὸν τῆς μὴ κακίας;), ἀλλ'
ὅτι αἱ ἕξεις κρείττους τῶν διαθέσεων καὶ γενέσεων ἐν ἀγαθοῖς, ἐν δὲ φαύ-
λοις χείρων ἡ ἕξις τῆς διαθέσεως· οἷον εἰ ὅδε μὲν γραμματικὴν ἕξιν ἔχει,
ὁ δὲ γίνεται, καὶ εἰ ὁ μὲν ἕξιν ἀνδρίας ἔχει, ὁ δὲ οὔπω, κρείττων ὁ 25
15 ἔχων τὴν ἕξιν τοῦ μὴ ἔχοντος μὲν κτωμένου δὲ καὶ γινομένου· καὶ ὁ ἐν
κακοῖς τισιν ἕξιν ἔχων ἢ μέθης ἢ ἀκρασίας χείρων τοῦ μήπω τὴν ἕξιν
λαβόντος ἐκ τῶν καθ' ἕκαστα. μείζω δὲ ἁπλῶς τὰ τέλη τῶν ἀτελῶν ἐν μὲν
ἀγαθοῖς ἀγαθά, ἐν δὲ φαύλοις φαῦλα· μεῖζον οὖν ἀγαθὸν ἡ ὑγεία τοῦ ὑγιά-
ζεσθαι, ὥσπερ μεῖζον κακὸν τὸ ἤδη ὂν τοῦ μὴ τέλος λαβόντος· ὥστε ἡ
20 νόσος χείρων καὶ μείζων τοῦ νοσάζεσθαι καὶ τῆς φερούσης εἰς νόσον δια-
θέσεως. τὰ μὲν οὖν τέλη ἐν ἀρεταῖς μείζω ἀγαθά, τὰ δὲ φαῦλα ἐν
κακοῖς μείζω κακά, τὰ δὲ μὴ τέλη ἐλάττω μὲν ἐν ἀγαθοῖς ἀγαθά, ἐλάττω 30
δὲ ἐν κακοῖς κακά. [a 33] καὶ ὧν τὰ ἔργα καλλίω ἢ αἰσχίω, μείζω
αὐτά, ὡς ἡ ἀνδρία μείζων τῆς σωφροσύνης· τά γὰρ ἔργα ταύτης μείζω
25 τῶν ἔργων τῆς σωφροσύνης· ὥσπερ μείζους κακίαι, ὧν κακῶν τὰ ἔργα
αἰσχίω, ὡς ἡ μοιχεία καὶ ἡ ἀσέλγεια καὶ ἡ ἀνδροφονία χείρονες τῆς
κλοπῆς καὶ ἱεροσυλίας, ἤδη δέ που καὶ ἀσεβείας διὰ τὸ εἶναι τὰ ἔργα
αὐτῶν αἰσχίω, ἐπειδή, [a 35] ὡς ἔχουσι τὰ αἴτια καὶ αἱ ἀρχαὶ τῶν 35
ἔργων, οὕτω καὶ τὰ ἐξ αὐτῶν ἀποβαίνοντα, καὶ ὡς τὰ ἐξ αὐτῶν
30 ἀποβαίνοντα καὶ γινόμενα, οὕτως ἔχουσι καὶ αἱ ἀρχαὶ καὶ τὰ αἴτια.
εἰ μὲν οὖν μείζονες αἱ ἀρχαί, καὶ τὰ ἐξ αὐτῶν, καὶ εἰ τὰ ἐξ αὐτῶν, καὶ
αἱ ἀρχαί· εἰ γὰρ κάλλιον τὸ ἔργον τῆσδε τῆς ἀρετῆς πρὸς ἑτέραν καὶ
μεῖζον, καλλίων κἀκείνη καὶ μείζων, καὶ εἰ καλλίων ἡ ἀρετὴ αὕτη καὶ
μείζων πρὸς ταύτην, καὶ τὰ ἔργα πάντως αὐτῆς καλλίω καὶ μείζω (ἀν-
35 δρίας γὰρ τὰ ἔργα καλλίω εἰσὶ πρὸς τὰ τῆς σωφροσύνης), καὶ εἰ τὰ αἴτια 40
μείζω τῶνδε τῶν αἰτίων καὶ ἀγαθά, μείζω καὶ τὰ ἐξ αὐτῶν καὶ ἀγαθά,
ἐπειδή, εἰ τὸ ὑγιεινὸν μεῖζον τοῦ ἡδέος, καὶ ἡ ὑγεία μείζων τῆς ἡδονῆς,

---

1 γὰρ Vn: δὲ Arist. τὸ ῥᾷον τοῦ χαλεπωτέρου Arist. 2 χρησιμώτ V: χρησιμώτατον n
3 ὁ om. n 5 εἰ n: om. V 6 et 7 ἀνδρείας n (per comp. V) 10 τίνος — ἀρετῆς
(11) om. n 14 ἕξιν ἀνδρίας V: ἕξ ἄνδρας n κρείττων — γινομένου (15) om. n
24 ὡς V: οἷον n ἀνδρεία n (per comp. V) 26 ἀνδροφονεία n 29 alt. αὐτῶν V:
αὐτοῦ n 30 καὶ τὰ αἴτια καὶ αἱ ἀρχαί Arist. 31 αἱ om. n 34. 35 ἀνδρείας n
(per comp. V) 35 αἴτια om. n 37 εἰ om. n

καὶ εἰ ὑγεία μεῖζων τῆς ἡδονῆς, καὶ τὸ αἴτιον πάντως (τὸ ὑγιεινὸν f. 12ᵛ
λέγω) μεῖζον τοῦ ἡδέος. [a 37] καὶ ὧν πραγμάτων αἱ ὑπεροχαὶ αἱρε-
τώτεραι καὶ καλλίονες, καὶ αὐτὰ ἁπλῶς χωρὶς ὑπεροχῆς αἱρετώτερα καὶ
καλλίω, ὡς ἐφ' ὧν παραδειγμάτων προ|τεθείκαμεν ἔστιν ἰδεῖν τοῦ ὁρᾶν f. 13ᵃ
5 καὶ ὀσφραίνεσθαι. καὶ ἀντιστρόφως, εἰ τὰ ἁπλῶς κρείττω, καὶ αἱ ὑπερ-
βολαὶ καλλίους· ἄνω μὲν γὰρ ἐκ τοῦ εἶναι τὰς ὑπεροχὰς βελτίους καὶ τὰ
ἁπλῶς κρείττω ἐδεικνύομεν, νῦν δὲ ἐκ τοῦ τὰ ἁπλῶς κρείττω φαίνεσθαι
κρείττονας τὰς ὑπεροχὰς συλλογιζόμεθα. [b 4] καὶ ὧν αἱ ἐπιθυ-
μίαι καλλίους, ἐκεῖνα καλλίω· εἰ γὰρ ὁ σοφὸς μᾶλλον ἐπιθυμεῖ ἡσυ- 5
10 χίας καὶ τοῦ ἀπερισπάστου ἢ τοῦ ἔχειν πλοῦτον, ὃς ἐστι πολλῶν περι-
σπασμῶν αἴτιος, κρείττων ἂν εἴη πενία, ἧς ἡσυχία τὸ κάλλιστον, ἢ πλοῦ-
τος, οὗ τὸ πολυμέριμνον καὶ πολυόχλητον ἴδιον· πάλιν τῷ φιλοχρημάτῳ
μᾶλλον ἐπιθυμία χρημάτων ἢ δόξης, ὥστε παρ' ἐκείνῳ κρείττω τὰ χρή-
ματα τῆς δόξης· ἡ ἐπιθυμία τῆς ὑγείας μᾶλλον πᾶσιν ἢ χρημάτων, κρείτ-
15 των οὖν ἡ ὑγεία τῶν χρημάτων. καὶ ἀνάπαλιν, εἰ ἐκεῖνα βέλτιστα, ὧν 10
μᾶλλον ἐπιθυμοῦμεν, καὶ αἱ τῶν τοιούτων καλλιόνων ἐπιθυμίαι μείζονες
τῶν ἐπιθυμιῶν, ἃς ἔχομεν ἐπὶ τοῖς ἐλάττοσιν ἀγαθοῖς. [b 7] καὶ ὧν
αἱ ἐπιστῆμαι καλλίους καὶ σπουδαιότεραι, καὶ τὰ πράγματα
καλλίω καὶ σπουδαιότερα· εἰ γὰρ ἡ φιλοσοφία ἐπιστήμη ἐπιστημῶν
20 καὶ ὑπέρκειται, κρείττω ταύτης τὰ ἔργα καὶ τὰ πράγματα ἢ τὰ τῆς
νομικῆς. [b 9] ὡς γὰρ ἔχει ἡ ἐπιστήμη, οὕτω καὶ τὸ ἐν ταύτῃ
ἀληθές· ἔχει δὲ ἡ φιλοσοφία ἀποδεικτικῶς καὶ ἐξ ἀληθῶν καὶ πρώτων 15
εὑρίσκει τὰ πράγματα· κρείττω οὖν τὰ ταύτης πράγματα τῶν τῆς νομικῆς,
ἡ σοφιστική τίς ἐστιν ἐφ' ἑκάτερα βοηθοῦσα. σπουδαιότεραι δὲ ἁπλῶς αἱ
25 λογικώτεραι τέχναι τῶν πρακτικῶν καὶ βαναύσων. τῶν οὖν σπουδαιοτέρων
καὶ τὰ ἔργα κρείσσω. ἀναλόγως δὲ καὶ τοῦδε τοῦ σπουδαιοτέρου ἀνδρὸς
ἡ ἐπιστήμη κρείττων τῶν ἐπιστημῶν ἐκείνων, ἃς ἔχουσιν οἱ μὴ σπουδαιό-
τεροι· οἱ γὰρ σπουδαιότεροι τὰς κρείττους ἐκλέγονται ἐπιστήμας, οἱ δὲ 20
ῥαθυμότεροι τὰς χείρονας. [b 11] καὶ ὃ κρίναιεν ἂν ἢ κεκρίκασιν οἱ
30 φρόνιμοι, μεῖζόν ἐστι τοῦ παρὰ μὴ τοιούτων κριθέντος· καὶ ὃ οἱ
πάντες κρίνουσι, μεῖζον ἐκείνου, ὅπερ οὐχ οἱ πάντες κρίνουσι· καὶ ὃ
οἱ πολλοὶ κρίνουσι, μεῖζον ἐκείνου, ὅπερ οὐχ οἱ πολλοὶ κρίνουσι· καὶ
ὅπερ οἱ πλείους ἔκριναν, μεῖζον τοῦ παρ' ὀλίγοις κριθέντος. πιθανοὶ
δὲ οἱ τόποι καὶ εὐανάτρεπτοι. καὶ ὅπερ οἱ κράτιστοι ἔκριναν, ἀγαθὸν
35 μεῖζον. [b 13] οἱ δὲ κρίνοντες ἢ ἁπλῶς κρίνουσιν ἤτοι ἐπιστήμονες 25
ὄντες· ὁ μὲν γὰρ στρατηγὸς κρίνει τόδε κατὰ τὴν ἐνοῦσαν αὐτῷ περὶ τὰ

---

1 καὶ εἰ—ἡδονῆς om. n 3 αὐτὰ scripsi: sub charta agglutinata τὰ cognoscitur V: ταῦτα n 6 ἄνω] p. 29,10 9 κἀκεῖνα n 13 ἐπιθυμία, ί ex εῖ corr., V 14 ἐπιθυμία, θυ in rasura, V 18 καὶ (post καλλίους) Vn: ἢ Arist. 21 ἔχει Vn Arist. AC: om. Arist. cet. 23 τὰ (post οὖν) om. n 29 κρίναιεν Vn: κρίνειεν Arist. BDEYᵇ: κρίνειαν Arist. cet. 30 οἱ om. Arist. 33 fort. παρ' ὀλίγων πιθανοὶ — εὐανάτρεπτοι (34) fortasse aliunde irrepserunt (similia leguntur ad III 11 p. 1412ᵇ25) 34. 35 ἀγαθὸν ἢ μεῖζον Arist. 35 κρίναντες n

πολεμικὰ ἐμπειρίαν. ὁ δὲ ῥήτωρ κρίνει τόδε κατὰ τὴν ἐνοῦσαν αὐτῷ ἐπι- f. 13r
στήμην καὶ γνῶσιν καὶ δύναμιν. [b 14] ἤγουν οὕτω κρίνουσιν ἢ κατὰ
φρόνησιν· ἤτοι ὅπερ κρίνουσί τινες πεπαιδευμένοι ὄντες περὶ πᾶν· εἰσὶ
γάρ τινες ἐκ τῆς οἰκείας φρονήσεως οἷον γνώσεις τινὰς ἔχοντες ἐν ἑαυτοῖς
5 καὶ γεωμετρικῶν θεωρημάτων καὶ φυσικῶν καὶ ἀστρονομικῶν καὶ ῥητορι- 30
κῶν καὶ τῶν ἄλλων· οὗτοι δὲ καὶ δύνανται κρίνειν, εἰ ὅδε διαλέγεται
καλῶς, ὅδε δὲ οὔ, καὶ εἰ ὅδε φυσικῶς ἀποδείκνυσιν ἄριστα τόδε ἢ μή,
καὶ εἰ ῥήτωρ γενναῖος οὗτος, ὁ δὲ μή· οὗτοι λέγονται περὶ πᾶν πεπαιδευ-
μένοι ὡς ἔχοντες οἷον πάντων ἀρχὰς καὶ ἀκούσματα, οὐ μέντοι ἀκριβῆ ἕξιν· ὁ
10 γὰρ ἔχων ἀκριβῆ κατάληψιν ἐπιστήμων κυρίως λέγεται, οἱ μέντοι διαθέσεις
τινὰς ἔχοντες καὶ μετρίαν γνῶσιν καὶ ἀρχάς τινας καὶ ἀκούσματα μόνον ἐν πᾶσι
καὶ δυνάμενοι κρίνειν πεπαιδευμένοι καὶ κριταὶ λέγονται. μήποτε οὖν μᾶλλον 35
τὸ ἁπλῶς λέγεται ἐπὶ τῶν περὶ πᾶν πεπαιδευμένων, τὸ δὲ κατὰ φρό-
νησιν ταὐτόν ἐστι τῷ κατὰ τὴν ἐπιστήμην, ὡς εἶναι τὸ λεγόμενον, ὅτι
15 ἢ ἁπλῶς κρίνουσιν ὡς περὶ πᾶν πεπαιδευμένοι ἢ κατὰ τὴν οἰκείαν φρόνη-
σιν ἤγουν κατὰ τὴν ἐνοῦσαν αὐτοῖς ἐπιστήμην, περὶ τὴν ῥητορικὴν τυχὸν
ἢ γεωμετρικὴν ἢ φυσικὰ μαθήματα· οὕτω γὰρ καὶ ἐν τοῖς Ἠθικοῖς λέγει
"ἁπλῶς δὲ ὁ περὶ πᾶν πεπαιδευμένος", ἐν δὲ τῷ προοιμίῳ τῆς Περὶ 40
ζῴων πραγματείας ὅλως πεπαιδευμένον καὶ κριτικὸν περὶ πάντων λέγει
20 τὸν τοιοῦτον. ἀλλὰ καὶ ἐφεξῆς τοῦτο δηλῶν ἐπάγει [b 16] ὡς ἂν ἡ
ἐπιστήμη καὶ ἡ φρόνησις εἴπῃ, ὡς τῆς ἐπιστήμης εἰς ταὐτόν ποτε
τῇ φρονήσει συντρεχούσης. ἀλλ' ὅπερ ἐλέγομεν, ἀγαθόν ἐστιν, ὅπερ οἱ
οὕτως ἔχοντες κρίνουσιν ἢ ὡς ἐπιστήμονες ἢ ὡς πεπαιδευμένοι. [b 14]
ἔστι δὲ φησὶ | τοῦτο τὸ λεγόμενον κοινότατον ἐπὶ πάντων τῶν f. 13v
25 πραγμάτων καὶ ἐπὶ τῶν ἐπιστημῶν καὶ τῶν τεχνῶν· καὶ γὰρ ἀνάγκη ἐπί
τε γραμματικῶν κρεῖττον εἶναι τὸ λεγόμενον ὑπὸ τῶν ἀρίστων καὶ ἐπὶ
τῶν ῥητόρων τὸ λεγόμενον ὑπὸ Ἑρμογένους μᾶλλον ἢ τὸ ὑπὸ Μινουκιανοῦ,
καὶ ὁμοίως ἐπὶ τῶν ἄλλων, ἰατρικῶν, λογικῶν, φυσικῶν. κοινότατος οὖν
ὁ τόπος· ἐπὶ πᾶσι γάρ, εἴ τι πρᾶγμα κρίνουσιν οἱ ἄριστοι καὶ πεπαιδευ- 5
30 μένοι, μέγα τοῦτο ἀγαθόν, οἷον εἰ λέγουσι πολεμῆσαι τῷ Φιλίππῳ ἢ τειχί-
σαι τὴν πόλιν καὶ ὀχυρῶσαι ἐν ναυσίν, ἢ εἰ λέγουσιν οἱ ἄριστοι ἰατροὶ
καὶ οἱ πεπαιδευμένοι συμφέρειν τὸ μὴ τέμνεσθαι τὴν φλέβα τῶν ἐχόντων
τὸ στόμα τῆς γαστρὸς ἀσθενές· εἰ κρίνουσιν οὖν τι πρᾶγμα, ἄριστόν ἐστιν·
οἷον οἱ στρατηγικοὶ καὶ πολεμισταὶ πάλιν εἰ λέγουσι κάλλιον εἶναι τὸ μετὰ
35 ἀσπίδων καὶ σπαθῶν πολεμῆσαι, καὶ εἰ τὸ ποσὸν τῶν ἀσπίδων καὶ τῶν
σπαθῶν λέγουσι καὶ τὸ ποιόν, ὅτι ὁλόκυκλοι μὲν αἱ ἀσπίδες, δίστομοι δὲ 10
αἱ σπάθαι, ἢ εἰ κρίνουσι μέν τι πρᾶγμα, οἷον ὅτι τριήρεις εἰς τὸν διὰ
θαλάττης πόλεμον ἑτοιμασθήτωσαν. ποσὸν δέ, εἰ εἴπωσιν, ὅτι πεντήκοντα

---

2 ἢ εἰ κατὰ τὴν Arist. 4 ἐκ om. n · οἰκίας n 10 οἱ V: οὐ n 13 κατὰ τὴν φρόνησιν Arist. 17 ἐν τοῖς Ἠθικοῖς] Eth. Nic. A 1 p. 1095ᵃ1 18. 19 ἐν τῷ προοιμίῳ τῆς Περὶ ζῴων πραγματείας] De part. anim. A 1 p. 639ᵃ7 sq. 21 εἴποι Arist. 30 λέγει n
31 ὠχυρῶσαι n

ἤτωσαν αἱ τριήρεις. ποιὸν δὲ τὸ εἶναι τὰς τριήρεις τοιάσδε κατὰ τὸ f. 13ᵛ
ἐμπρόσθιον, τοιάσδε δὲ κατὰ τὰ πλάγια καὶ κατὰ τὰ ὄπισθεν. λέγων δὲ τὴν
αἰτίαν τοῦ διὰ τί ἐστιν ὁ τόπος κοινότατος καὶ οἷον ἐπεξηγούμενος τὸ [b 14]
ἔστι δὲ κοινὸν τοῦτο καὶ κατὰ τῶν ἄλλων ἐπιφέρει [b 16] ἀλλ' 15
ἡμεῖς ἐπ' ἀγαθῶν τῶν μειζόνων ἐξελαβόμεθα τὸν τόπον· ὃ γὰρ κρίνου-
σιν οἱ ἄριστοι, μεῖζον ἀγαθόν. οὐδὲν δὲ καινὸν κοινὸν καὶ καθ' ὅλου τόπον
ἐκλαμβάνειν καὶ ἐπὶ τῆς δείξεως τῶν μειζόνων ἀγαθῶν· [b 17] ὥρισται
γὰρ φησὶν ἀγαθὸν ἐκεῖνο, ὃ εἰ λάβοιεν ἅπαντα τὰ ὄντα φρόνησιν
ἕλοιτ' ἄν· ὥστε ὃ κρίνουσιν ἅπαντες, ἀγαθὸν κατ' ἐκείνην τὴν ὑποτε-
θεῖσαν ἀξίωσιν. [b 19] καὶ τὸ τοῖς βελτίοσιν ὑπάρχον κρεῖττον· 20
εἰ γὰρ ὁ ἀνδρεῖος κρείττων τοῦ ἰσχυροῦ, καὶ ἡ ἀνδρία τῆς ἰσχύος.
προσέθηκε δὲ τὸ ἁπλῶς ἢ ᾗ βελτίους δηλῶν, ὅτι ἢ ἁπλῶς εἰσι
κρείττους τινὲς καὶ βελτίους τῶνδε, ὡς οἱ ἄνδρες τῶν γυναικῶν, ἢ ἁπλῶς
μὲν οὐκ εἰσι βελτίους, διὰ τόδε δὲ βελτίους, ἤγουν διὰ ἀνδρίαν ἢ δικαι-
οσύνην τυχὸν ἢ φρόνησιν. τὸ ὑπάρχον οὖν τοῖς βελτίοσιν εἴτε ἁπλῶς
εἴτε διά τι κρεῖττόν ἐστιν ἐκείνου, ὅπερ ὑπάρχει μέν τισιν, οὐχὶ βελτίοσι
δέ. [b 21] καὶ ὃ ἕλοιτ' ἂν ὁ βελτίων ἁπλῶς, ἄριστον, οἷον ὅπερ 25
ἀνὴρ ἕλοιτο, κρεῖττον ἢ ὃ ἡ γυνή, ἢ ὅπερ ἂν ἕλοιτο ὁ ἐν γραμματικῇ
βελτίων ἢ ἐν ῥητορικῇ ἢ ἐν φιλοσοφίᾳ ἢ ὁ ἐν ἀρετῇ βελτίων ἢ ὁ ἐν
φρονήσει, βέλτιον καὶ μεῖζον ἀγαθόν, οἷον τὸ ἀδικεῖσθαι κρεῖττον ἢ
τὸ ἀδικεῖν· τὸ μὲν γάρ, τὸ ἀδικεῖσθαι λέγω, αἱρεῖται ὁ βελτίων, τὸ δὲ
ὁ χείρων, τὸ ἀδικεῖν λέγω. [b 23] καὶ τὸ ἥδιον μᾶλλον κρεῖττον καὶ
μεῖζον τοῦ ἧττον ἡδέος, οἷον ἡ μουσικὴ κρείττων τῆς γεωμετρίας· ἡ
μὲν γὰρ μουσικὴ ἡδίων, ἡ δὲ ἧττον, καὶ τὸ γυμνάζεσθαι ἐν γυμνασίοις καὶ 30
κυνηγεσίοις μεῖζον καλὸν ἢ τὸ ἀναπαύεσθαι ἐν ἑνὶ τόπῳ. [b 26] καὶ
τὸ κάλλιον τοῦ ἧττον καλοῦ ὁμολογουμένως μεῖζον, ὡς φρόνησις
εὐτεκνίας ἢ ἰσχὺς τοῦ κάλλους κρείττων. καὶ ὅσων αὐτοὶ ἑαυτοῖς
βούλονταί τινες αἴτιον εἶναι ἢ φίλοις, ταῦτα μείζω ἀγαθά,
ἤγουν καὶ ἐκεῖνά εἰσιν ἀγαθά. ὅσων βούλομαι ἐμαυτῷ γενέσθαι αἴτιος.
ἀγαθὰ οὖν πάντως εἰσίν, ὧν βούλομαι ἐπιτυχῇ γενέσθαι με δι' ἑαυτοῦ ἢ
τοῦ οἰκείου πόνου καὶ ὁπόσων τὸν φίλον μου τυχεῖν παρ' ἐμοῦ θέλω· 35
ὅσων δὲ οὔτ' ἐμαυτὸν βούλομαι τυχεῖν οὔτε τὸν ἐμὸν φίλον, ταῦτα κακὰ
μείζω. [b 30] καὶ τὰ πολυχρονιώτερα μείζω τῶν ὀλιγοχρονιω-
τέρων, οἷον ὡς ἐν παραδείγματι μεῖζον ἀγαθὸν τὸ ἔχειν ἀγροὺς καὶ
κτήματα πολύκαρπα ἢ πλοῦτον διὰ χρημάτων εὐφθάρτων. ὑφασμάτων
τυχὸν ἢ καὶ ἄλλων οὕτω ῥευστῶν. [b 31] καὶ τὰ βεβαιότερα τῶν

2 δὲ (ante κατὰ) om. n 4 τοῦτο κοινὸν Arist. 6 οὐδὲ καινὸν n fort. ⟨τὸν⟩ τόπον
8 ἀγαθὸν εἶναι Arist. (εἶναι om. Tr.) 8 ὄντα scripsi (cf. Stephan. ad hunc locum):
ἔχοντα Vn: πράγματα Arist. 11 ἀνδρεία n (per comp. V) 12 προσέθηκε scripsi: προέ-
θηκε Vn βελτίων, ἢ ἁπλῶς ἢ ᾗ βελτίων Arist. 14 ἀνδρείαν n (per comp. V)
18 fort. ⟨ἂν⟩ ἀνὴρ 20. 21 κρεῖττον ἢ τὸ Vn: μᾶλλον ἢ Arist. 21 τὸ (post γὰρ)
om. n 24 ἥττων n 26 ὡς ἡ φρόνησις n 27 αὐτοῖς ἢ φίλοις βούλονται αἴτιον
(sic plerique codices; αἴτιοι AC) εἶναι μᾶλλον Arist. 29 et 30 βούλομαι n: βούλον-
ται V 32. 33 μείζω κακά Arist. 36 ἄλλων scripsi: ἄλλως Vn

ἀβεβαιοτέρων, οἷον τὸ ἔχειν ἕξιν τῆσδε τῆς ἐπιστήμης κρεῖττον ἢ τὸ f. 13v
διάθεσιν καὶ ἀκούσματα μόνα ψιλὰ κεκτῆσθαι, καὶ τὸ λαβεῖν με δεσπο- 40
τείαν πράγματός τινος ἤγουν ἀγροῦ ἢ βιβλίων μεῖζον ἀγαθὸν ἢ τὸ ἔχειν
με χρῆσιν μόνην. διὰ τί δὲ μείζω τὰ πολυχρονιώτερα καὶ τὰ βεβαιό-
5 τερα; [b 32] διότι ὑπερέχει τῶν πολυχρονιωτέρων ἡ χρῆσις (μᾶλλον
γάρ, ὡς ἔφημεν, διαρκοῦσιν οἱ ἀγροὶ ἢ τὰ ὑφάσματα), τῶν δὲ βεβαιοτέ-
ρων ἡ χρῆσις τῇ βουλήσει παρέπεται, ἤγουν εἴ τις ἕξιν | ἔχει ῥητορικῆς, f. 14r
ἔχει τῇ βουλήσει τὴν δύναμιν σύνδρομον καὶ ἅμα τῇ θελήσει τὴν χρῆσιν
ἐφεπομένην καὶ λογογραφεῖ εὐθέως, οὐ μὴν τοιοῦτος ὁ διάθεσιν ἔχων.
10 [b 34] καὶ ἐκ τῶν συστοίχων. εἰ τὸ ἀνδρείως τοῦ σωφρόνως μεῖ-
ζον καὶ βέλτιον, καὶ ἀνδρία σωφροσύνης κρείττων καὶ τὸ ἀνδρεῖον
εἶναι τόνδε τοῦ σωφρονεῖν ἕτερον κάλλιον. [b 37] καὶ ὃ πάντες
αἱροῦνται ὁμοῦ, κρεῖττον τοῦ πράγματος, ὅπερ οὐχ οἱ πάντες αἱροῦν- 5
ται, οἷον τὸ φῶς ὁρᾶν κρεῖττον τοῦ τέκνα ἔχειν τυχὸν ἤ τινος ἄλλου, ὃ μὴ
15 πάντες αἱροῦνται. [1365a 1] ἀγαθὸν γάρ ἐστιν, οὗ πάντες ἐφίενται,
μεῖζον δέ, οὗ μᾶλλον πάντες ἐφίενται· ὑγείας γὰρ μᾶλλον ἅπαντες
ἢ χρημάτων ἐρῶσι. καὶ οἱ ἀμφισβητοῦντες. ἔτι μεῖζόν ἐστιν,
ὅπερ καὶ αὐτοὶ οἱ ἀμφισβητοῦντες πρότερον καὶ λέγοντες μὴ εἶναι ἀγα-
θὸν συνέθεντο ὕστερον, ὅτι ἀγαθόν ἐστιν· οἷον εἰ συνεβούλευον μεῖζον
20 εἶναι ἀγαθὸν τὸ συμμαχῆσαι τοῖς Ὀλυνθίοις, Αἰσχίνης δὲ καί τινες ἄλλοι 10
ἀντέλεγον ἐμοὶ συμβουλεύοντες, ὕστερον δὲ συνέθεντο καὶ αὐτοί, ὅτι
κάλλιον τὸ συμμαχῆσαι Ὀλυνθίοις, πάντως μεῖζον ἐκεῖνο. [a 2] ἢ ὅπερ
οἱ ἐχθροὶ αὐτοί φασιν ἀγαθὸν εἶναι, μεῖζον ἐκεῖνο, οἷον τὸ θεῖναι πεζι-
κὸν οἷον φρούριόν τι καὶ πρόβλημα καὶ αὐτοὶ οἱ ἐχθροὶ ἐπαινοῦσι καὶ
25 τῶν Ῥωμαίων τὴν ἀρίστην ἱππείαν οἱ Ἰσμαηλῖται ἐπαινοῦσιν. ἢ ὅπερ
οἱ κρίνοντες εἴπωσι, μεῖζον· ὃ γὰρ οἱ κριταὶ εἴπωσιν ὡς κύριοι, ἀγα-
θόν. καὶ ὅπερ αὐτοὶ οἱ κρινόμενοι ἐροῦσιν ἀγαθὸν εἶναι, τοῦτο κάλλιον· 15
ὃ γὰρ ἑαυτοῖς συμφέρειν νομίζουσι, τοῦτο ἐξελέξαντο. [a 3] τὸ μὲν
γάρ, ὅπερ οἱ ἀμφισβητοῦντες καὶ οἱ ἐχθροὶ λέξουσιν εἶναι καλόν, τοιοῦ-
30 τόν ἐστιν, ὥσπερ ἂν εἰ πάντες συνέθεντο· τὸ δέ, ὅπερ οἱ κρίνοντες
εἴπωσιν, ἀγαθόν ἐστι μεῖζον, διότι παρὰ τῶν κυρίων καὶ τῶν εἰδότων
ἐλέχθη. [a 4] καὶ ὁτὲ μὲν οὗ πάντες μετέχουσι μεῖζον, οἷον
τὸ παρρησίας μετέχειν ἐν δημοκρατίᾳ, ἧς (τῆς παρρησίας καὶ ἐλευθερίας)
πάντες μεταλαμβάνουσιν· ἀτιμία γὰρ τὸ μὴ μετέχειν· ὁτὲ δὲ 20
35 ἀγαθόν, οὗ μηδεὶς μετέχει, ὡς ἡ βασιλεία, ὁτὲ δὲ ἀγαθόν, οὗ μετέ-
χουσιν ὀλίγοι, οἷον τιμή, ἧς μετέχουσιν ἐν ἀριστοκρατίᾳ οἱ ἄριστοι,
κάλλιον δὲ ὡς σπανιώτερον. [a 6] καὶ τὰ ἐπαινετώτερα· καλλίω

1 ἀβεβαιοτέρων Vn Arist. A: *minus firmis* Arist. Tr.: μὴ βεβαιοτέρων Arist. cet. 5 χρῆσις τῶν μὲν τῷ χρόνῳ Arist. 6 γὰρ V: δὲ n 6. 7 βεβαιωτέρων V 8 ἔχει καὶ τῇ n 9 ὁ om. n 10 καὶ ὡς ἂν ἐκ Arist. σωφρόνως, εῖν supra ν del., V 11 ἀνδρεία n (per comp. V) 12 V in marg. mau. 1: ἀνάγνωθι τόπον κε' τοῦ β' βιβλίου τῶν τοπικῶν 15 γὰρ ἦν Arist. 16 ὥστε καὶ μεῖζον οὗ Arist. 17 καὶ ὃ οἱ Arist. 24 τι V: τε n 25 ἰσμαηλῖται V 29 κάλλιον n 30 ὡς ἂν Arist. 33 fort. παρρησίας (καὶ ἐλευθερίας) μετέχειν 37 ὡς V: ὃ n κάλλιον n

γάρ. τὰ τῇ πολιτείᾳ φησὶν ἐπαινετώτερα καλλίω. καὶ εἰ μὲν ὀρθῶς f. 14r
ἔχει καὶ ἀδιαστρόφως ἡ πολιτεία καὶ οὐκ ἀσπάζεται τὸ πλεονεκτεῖν καὶ
τὰ χρήματα, ἐπαινετὰ νομίζει τὰ κυρίως καλά, ἀρετήν, γνῶσιν, σοφίαν·
εἰ δὲ μὴ οὕτως, ὡς εἴπομεν, ἔχει, ἐπαινετώτερα νομίζει τὰ χείρονα, ὥσπερ 25
5 νῦν τὴν νομικὴν διὰ τὸ τῆς πλεονεξίας νόσημα τιμῶσιν οἱ πολλοὶ καὶ
οἴονται τῶν ἐπαινετῶν καὶ τιμίων αὐτήν. [a 7] καὶ ὧν αἱ τιμαὶ
μείζους. πρόσθες τὸ 'ἐκεῖνα μείζω ἀγαθά'. οἷον τὸ ἀριστεύειν κρεῖττον
ἢ τὸ τέκτονα εἶναι· ἡ τιμὴ γὰρ τῶν ἀριστέων κρείττων ἢ τῶν τεκτόνων.
[a 8] καὶ ὧν αἱ ζημίαι μείζους. συνεννόει πάλιν τὸ 'ἐκεῖνα μείζω
10 ἀγαθά'· εἰ γὰρ χείρων καὶ μείζων ἡ ζημία τῶν ὀφθαλμῶν ἢ τῶν ποδῶν,
κρεῖττον ἀγαθὸν τὸ τῆς ὁράσεως ἢ τὸ βαδίζειν, καὶ εἰ τὸ ἀπολέσαι ὑγείαν 30
μεῖζον τοῦ ἀπολέσαι χρήματα, μεῖζον ἀγαθὸν ἡ ὑγεία. [a 8] καὶ τὰ
τῶν ὁμολογουμένων ἢ φαινομένων μεγάλων ἀγαθῶν μείζω
καὶ αὐτά εἰσι μείζω πάντως καὶ κρείττω· οἷον φαινόμενον ἀγαθόν ἐστιν
15 ἥδε ἡ ἀρχή, Κύπρου τυχὸν ἢ Φοινίκης, ἢ ὁμολογούμενον ἀγαθὸν τὸ ἄρξαι
Ἀντιοχέων. ἀλλὰ τούτων κρεῖττον τὸ καίσαρα εἶναι τυχὸν ἢ βασιλέα· μείζω
ἄρα τὰ καὶ τῶν ὁμολογουμένων ἀγαθῶν ἢ φαινομένων ὑπερκείμενα. [a 10] 35
καὶ διαιρούμενα δὲ εἰς τὰ μέρη ταὐτὰ μείζω φαίνεται· οἷον εἰ
λέγω 'δεῖ βοηθῆσαι τοῖς Ὀλυνθίοις'. εἶτα διαίρεσιν ποιήσομαι τῶν αὐτοῦ
20 μερῶν 'εἰ γὰρ βοηθήσαντες ἐκείνοις πολεμήσομεν Φιλίππῳ, ἔσται δόξα τῇ
πόλει, λαμπρότης, ἐλευθερία, τὰ παρόντα ἀγαθὰ μενοῦσι, τὰ οὐκ ὄντα δὲ
προσκτησόμεθα', οὕτω διαιρεθὲν τὸ ἀγαθὸν μεῖζον ἐφάνη, ὥσπερ μεῖζον
κακὸν δείκνυται τὸ διαιρούμενον· ὥσπερ ὁ Δημοσθένης ἐποίησε θέλων
ἀπελέγξαι μέγα τὸ τοῦ Αἰσχίνου τῆς παραπρεσβείας ἔγκλημα, καὶ ὅπως 40
25 ὁ Φίλιππος πόλιν τινὰ τῶν Ἀθηναίων οὖσαν ἐπόρθησεν, οὕτω λέγει 'ἡνίκα
γὰρ ἐπορευόμεθα εἰς Δελφούς, ἦν ὁρᾶν τὰ τείχη μὲν οὕτως ἔχοντα, ὡς
διηγεῖται, τοὺς δὲ ἄνδρας ἐλεεινούς, αἰχμαλώτους, γύναια δὲ καὶ παιδάρια
ὀλίγα καὶ πρεσβύτας οἰκτρούς'. [a 11] πλειόνων γὰρ ὑπερέχειν δοκεῖ
τὸ διαιρούμενον, ὥσπερ καὶ ὁ ποιητὴς εἰσάγει τινὰ δεόμενον τῆς |
30 γυναικὸς τοῦ Μελεάγρου, ἵνα πείσῃ τὸν ἄνδρα ἐξελθεῖν πρὸς τὸν πόλεμον. f. 14v
δέεται δὲ τῆς γυναικὸς εἰς πειθὼ τοῦ ἀνδρὸς διηγήσασθαι τὰ μέρη τῆς ἁλώ-
σεως, ἵνα μεῖζον κακὸν φανῇ ἡ ἅλωσις καὶ ἐντεῦθεν πεισθῇ ὁ Μελέαγρος
διαναστῆναι πρὸς τὸν πόλεμον. Ὅμηρος ἐν τῷ ἰῶτα τῆς Ἰλιάδος εἰσάγει
τὴν Κλεοπάτραν δεομένην τοῦ Μελεάγρου, ἵν' ἐξέλθῃ πρὸς τὸν πόλεμον.
35 [a 16] καὶ τὸ συντιθέναι δὲ καὶ τὸ ἐποικοδομεῖν μέγα ποιεῖ 5
φαίνεσθαι τὸ πρᾶγμα, ὅπερ ἐποίει καὶ ὁ Ἐπίχαρμος. 'ἐφόνευσα τὸν
τύραννον, οὐ μόνον δὲ τὸν τύραννον, ἀλλὰ καὶ τὸν τύραννον καὶ τὴν
γυναῖκα, οὐδὲ τὸν τύραννον μόνον καὶ τὴν γυναῖκα, ἀλλὰ τὸν τύραννον, τὴν

3 τὰ (post νομίζει) om. n 7 ὡσαύτως post μείζους add. Arist. (om. Tr.) 16 τοσούτων n 18 τὰ αὐτὰ Arist. 20 πολεμήσωμεν n 23 Δημοσθένης] 19,65 26 εἰς om. n 29 ὁ ποιητής] Hom. I 590 sq. 32 πεισθεὶς n 33 διαστῆναι n (ἀναστῆναι Arist.) 35 δὲ Vn Arist. A Tr.: om. Arist. cet. τὸ om. Arist. 36 ἐφόνευσα κτλ.] vide infra ad II 24 p. 1401a34 38 οὐδὲ — γυναῖκα (p. 39,1) om. n verbis ἀλλὰ (34) — γυναῖκα (p. 39,1) linea subducta est (ut deleantur?) V

γυναῖκα καὶ τοὺς παῖδας' καὶ ἐφεξῆς τοὺς πέντε ἢ ἓξ τυχὸν μέχρι f. 14v
τῶν τριάκοντα ἠρίθμει· τὸ συντιθέναι οὖν μέγα τὸ πρᾶγμα ἐποίει, ὥσπερ
καὶ ἡ διαίρεσις. [a 17] ἡ σύνθεσις γὰρ ὑπεροχὴν δίδωσι τῷ
πράγματι, ὥσπερ καὶ ὅτε λέγομεν 'εἰ πολεμήσομεν τῷ Φιλίππῳ, προσέσται
5 τῇ πόλει κλέος, ἄδεια τοῖς πολίταις, φόβος τοῖς λοιποῖς ἐναντίοις, τῶν 10
νῦν προσόντων ἀγαθῶν αὔξησις, τῶν κακῶν μείωσις· ἀλλὰ καὶ μεγάλα
ἡμῖν ἀγαθὰ προσγενήσεται'. [a 19] ἐπεὶ δὲ τὸ χαλεπώτερον, ὡς
εἴρηται ἄνωθεν καὶ τὸ σπανιώτερον μεῖζον ἀγαθόν, ποιήσουσιν αὐτὸ μέγα
ἀγαθὸν οἱ καιροί, οἷον εἰ ἐν καιρῷ πολιορκίας ἢ ἀνελθών τις εἰς τὸ
10 τεῖχος ἠρίστευσεν ἢ στρατόπεδον λαβὼν καὶ ῥήξας τὰς πόλας ἐνίκησε.
καὶ αἱ ἡλικίαι μέγα τὸ πρᾶγμα κηρύττουσιν, εἰ παρ' ἡλικίαν τις 15
ἠρίστευσεν, οἷον γέρων ἢ δεκαετής. [a 20] καὶ οἱ τόποι· εἰ γὰρ ἐν
τῷ τόπῳ τις ἐκείνῳ, ἐν ᾧ σπάνις σίτου καθέστηκεν, εὐεργετήσει τις ἢ
τὴν πόλιν ἢ τόνδε τὸν πολίτην σίτου ἀφθονίαν δούς, μέγα ἀγαθόν. καὶ
15 οἱ χρόνοι μέγα τὸ πρᾶγμα ποιοῦσιν, οἷον εἰ πολλάκις εὐεργέτησε τὴν
πόλιν ἀριστεύων καὶ ἐν χρόνοις πολλοῖς καὶ νῦν ἐν χρόνῳ ἀνάγκης καὶ
πολιορκίας ἠρίστευσε. [a 21] καὶ αἱ δυνάμεις, εἰ μικρὰ δυνάμενός
τις μεγάλα τὴν πόλιν ὠφέλησε καὶ μικρὰν στρατιῶτιν δύναμιν ἔχων πολλὰς 20
πολεμίων χιλιάδας ἐτρέψατο. ταῦτα κατασκευάζων ἐπήγαγε τὸ εἰ γὰρ
20 παρὰ τὴν δύναμιν τὴν οἰκείαν ἐποίησέ τις κατόρθωμα μόνος, ἐν
πολλοῖς πολεμίοις τυχὸν περιπλακείς, ἢ σῖτον δέδωκε τῇ πόλει πολὺν εἰς
διατροφὴν πλείονα τῆς ἑαυτοῦ δυνάμεως, τοῦτο μέγα ἀγαθόν, οἷον δυνά-
μενος δοῦναι χιλιάδας δύο τέσσαρας δέδωκε. [a 22] καὶ εἰ παρ' ἡλι-
κίαν ἐποίησέ τι δεκαετὴς ἀριστεύσας ἢ γέρων, μεῖζον τὸ κατόρθωμα. 25
25 καὶ εἰ παρὰ τοὺς ὁμοίους ποιεῖ τι, μεῖζον τὸ κατόρθωμα, οἷον εἰ
πάντες μὲν οἱ νέοι ἐξ Ἄργους εἰς Τεγέαν διὰ τριῶν ἡμερῶν βαδίζουσιν
ἄλλος δὲ διὰ μιᾶς, μεῖζον τὸ ἀγαθόν. εἰ οὖν παρὰ τοὺς ὁμοίους ποιεῖ
τι, ἢ οὕτως ἤγουν ἁπλῶς, ὡς τὸ πορεύεσθαι διὰ μιᾶς ἡμέρας τὸ διά-
στημα τῶν τριῶν ἡμερῶν, ἢ ἐνταῦθα ἤτοι ἐν τόπῳ δυσβάτῳ καὶ
30 τραχεῖ καὶ ἀδιεξιτήτῳ πεπόρευται, ἢ τότε ἤγουν εἰ ἐν χρόνῳ χρειώδει
ἀνάγκης κατεπειγούσης τὸ διάστημα ἤνυσε. καὶ ἐπ' ἄλλων ὁποίων βούλει 30
παραδειγμάτων τὸν λόγον ἐξέταζε· πάντως ἀγαθὸν ἐκεῖνο μέγα καὶ μέγε-
θος ἕξει τὸ τοιοῦτον ὑπερέχον καὶ τῶν ἀγαθῶν καὶ τῶν καλῶν καὶ
τῶν δικαίων. [a 24] τὸ δὲ καὶ τῶν ἐναντίων τί βούλεται τῷ Ἀρι-
35 στοτέλει προσκείμενον; ἢ πάντως, ὅτι καὶ ἀντιστρόφως ἐκεῖνο μέγα κακὸν
καὶ μέγεθος ἔχει ὑπερέχον τῶν ἀδίκων καὶ τῶν κακῶν καὶ τῶν φαύλων,
ὅπερ οὔτε ἐν καιρῷ γέγονεν οὔτε ἐν χρόνῳ οὔτε ἐν ἡλικίᾳ οὔτε ἐν δυνάμει.

---

1 καὶ τοὺς ἐφεξῆς τοὺς n 3 γὰρ σύνθεσις Arist. δίδωσι Vn: *dat* Arist. Tr.: δείκνυσι Arist. cet. 5 λοιποῖς V: πολλοῖς n 8 ἄνωθεν] p. 32,36 τὸ om. Arist. 9 εἰ καὶ ἐν n 13 τις om. n fort. εὐεργέτησε 14 καὶ om. n 15 ποιοῦσι n 15. 16 τῇ πόλει n 20 οἰκίαν n μόνον n 21 πολέμοις n 22 ὁ post οἷον add. n 25 ὁμοίους Vn Arist. A Tr.: ἄλλους Arist. vulg. 30 καὶ δυσεξιτήτῳ n 32 γὰρ post πάντως add. n 33 *bonorum et pulchrorum* Arist. Tr.: καλῶν καὶ ἀγαθῶν Arist. cet.

οἷον τί λέγω; δύναμιν ἔχων εὖ ποιῆσαί τις οὐκ ἐποίησε, καιρὸν f. 14v
ἔχων οὐκ ὠφέλησεν, ἡλικίας εὖ ἔχων οὐκ ἠρίστευσεν· ἢ ἔδρασε μέν τι, 36
ἀνάξιον δὲ καὶ τῆς ἑαυτοῦ δυνάμεως καὶ τῆς ἡλικίας· μεῖζον οὖν τοῦτο
κακόν. [a 24] τὸ δὲ ὅθεν καὶ τὸ ἐπίγραμμα τῷ ὀλυμπιονίκῃ παρά-
5 δειγμά ἐστι τοῦ ἀγαθοῦ, ὅπερ ποιεῖ τις παρὰ τοὺς ὁμοίους, ὁποῖον καὶ
τοῦτο συνέβη τῷ ὀλυμπιονίκῃ· φαίνεται γὰρ καὶ ἐν τῷ Ὀλυμπιακῷ ἀγῶνι
νικήσας ἐκ τῆς ἐπωνυμίας τοῦ ὀλυμπιονίκου· τί δὲ τὸ ἐπίγραμμα, ὁ 40
ὀλυμπιονίκης εἰσάγεται λέγων ταῦτα

"πρόσθε μὲν ἀμφ' ὤμοισιν ἔχων τραχεῖαν ἄσιλλαν",

10 ἤτοι πρόσθεν ἔχων ἐν τοῖς ὤμοισιν τραχεῖαν ἄσιλλαν. τουτέστιν ἄγχος
ἰχθύων τραχύ, ὃ καὶ σκάφην λέγουσιν,

"ἰχθῦς ἐκ τοῦ Ἄργους εἰς Τεγέαν ἔφερον"·

ἰσχυροῦ δὲ ἀνδρὸς καὶ ῥωμαλέου τὸ κατόρθωμα. τὸ δὲ ἐφεξῆς τὸ [a 28]
καὶ ὁ Ἰφικράτης αὐτὸν ἐνεκωμίαζε λέγων ὁ μὲν φιλόσοφος διὰ τὸν
15 ὀλυμπιονίκην εἶπεν, ὡς εἶναι τὸ δηλούμενον. ὅτι καὶ ὁ Ἰφικράτης ἐνεκω- f. 15r
μίαζε τὸν ὀλυμπιονίκην λέγων, ἐξ οἵων εἰς οἷα μετέβαλλεν. ἕτερος δὲ λό-
γος ἀληθέστερος πείθει πάλιν ἕτερον ἐννοεῖν τὸ τοῦ Ἰφικράτους, ὡς εἶναι
καὶ αὐτὸ παράδειγμα εἰς τὸ παρὰ τοὺς ὁμοίους, ὅτι καὶ ὁ Ἰφικράτης
αὐτὸν ἐνεκωμίαζε λέγων, ἐξ ὧν ὑπῆρξε ταῦτα, ἤγουν ἀπὸ κόπων 5
20 καὶ ἱδρώτων πολλῶν ὑπῆρξε τοιοῦτος· φασὶ γάρ, ὅτι ὁ Ἰφικράτης δοκῶν
εἶναι γονέων εὐτελῶν καὶ ἀσήμων υἱός (σκυτέα γὰρ ἔλεγον τὸν αὐτοῦ πα-
τέρα τινές) ἐντεῦθεν κατεφρονεῖτο. ἡνίκα δὲ πολέμιον ἄνδρα συναρπάσας
ζῶντα μετὰ τῶν ὅπλων εἰς τὴν ἑαυτοῦ τριήρη κατήνεγκε, τότε δόξαν ἐκαρ-
πώσατο συγκρύπτουσαν τὸ δυσγενὲς καὶ περιφανὲς εὕρηκε τὸ κλέος. ὅτι
25 δὲ οὐ μάτην ἐπεραψῴδησα ταῦτα οὐδ' ἀντιλέγω τοῖς τοῦ φιλοσόφου ῥή- 10
μασιν εἰκῇ, αὐτὸς ὁ δαιμόνιος Ἀριστοτέλης μαρτυρείτω τῷ λόγῳ λέγων
ἐν τοῖς τόποις, οὓς τῷ πανηγυρικῷ παραδίδωσιν, οὕτω "τοιοῦτον δὲ καὶ
τὸ τοῦ Ἰφικράτους, ἐξ οἵων εἰς οἷα"· ἐφεξῆς δὲ τούτῳ τῷ ῥητῷ φησι
"καὶ τὸ τοῦ ὀλυμπιονίκου

30 πρόσθε μὲν ἀμφ' ὤμοισιν ἔχων τραχεῖαν ἄσιλλαν".

ὁρᾷς, πῶς ἕτερον τὸ τοῦ ὀλυμπιονίκου καὶ ἕτερον τὸ τοῦ Ἰφικράτους, ἐξ
ὧν εἶπε "καὶ τὸ τοῦ ὀλυμπιονίκου" ὡς ἕτερον ὂν παρὰ τὸ τοῦ Ἰφικράτους. 15
εἰ δέ τις ἐρεῖ, ὅτι φησὶν ὁ Ἰφικράτης 'νῦν δὲ κράτος φέρομαι ὀλυμπιονί-
καις μετὰ πᾶσιν', ἀκούσεται, ὡς οὐδὲν ἀπεικὸς καὶ τὸν τοιοῦτον ἐν Ὀλυμ-
35 πίοις νικῆσαι· πολλοὶ γὰρ ἐκράτησαν τὸν Ὀλυμπιακὸν ἀγῶνα κατ' ἔτος
ἀγωνιζόμενοι. [a 29] καὶ τὸ αὐτοφυὲς τοῦ ἐπικτήτου μεῖζον ἀγαθόν,
ὥσπερ ὁ Περικλῆς καὶ ὁ Θεμιστοκλῆς ῥητορικαῖς χάρισιν ἐκόσμουν τὸν
λόγον καὶ λογοειδῶς ἀφηγοῦντο τὰ τῆς πολιτείας, μήπω τῆς ῥητορικῆς 20

---

9 πρόσθε κτλ.] Simonid. fr. 163 Bergk. 10 ὤμοισι, ἵν supra σ, V: ὤμοις n
12 ἐκ τοῦ Vn: ἐξ Arist. 14, 15, 19 ἐνεγκωμίαζε n 25 οὐ V: οὐδὲ n
ἐπεραψώδησα V 26 μαρτυρεῖ n 27 ἐν τοῖς τόποις] Art. rhet. A 9
p. 1367b17 οὓς τῷ V: οὕτω n παραδίδωσιν οὕτω V: παραδείγματι n
καὶ om. Arist. 30 ἔχον n ἄσιλλαν om. Arist. p. 1367b17

τεχνωθείσης· αὐτοφυῶς οὖν παρ' ἐκείνοις ἡ ῥητορική. μεῖζον δὲ τὸ αὐτο- f. 15r
φυὲς καὶ οἰκεῖον τοῦ ἐπικτήτου· χαλεπώτερον γάρ· [a 30] ὅθεν καί
τις ποιητής φησιν "αὐτοδίδακτος δ' εἰμί". καὶ τὸ τοῦ μεγάλου
μέγιστον μέρος, συνεπινόει δὲ τὸ 'μεῖζον ἀγαθόν'· οἷον μέγα μὲν ἡ
5 πόλις, μέρος δὲ μέγα ταύτης ἡ νεότης· λέγει οὖν ὁ Περικλῆς 'ἡ νεότης ἐκ
τῆς πόλεως ἀνῄρηται'· ἐπιτάφιον δὲ ἐποίει τῇ νεότητι τῆς πόλεως πεσούσῃ
λέγων ταῦτα 'ἡ νεότης ἐκ τῆς πόλεως ἀνῄρηται, ὥσπερ ἔαρ ἐκ τοῦ
ἐνιαυτοῦ εἰ ἐξαιρεθείη'. [a 33] καὶ τὰ ἐν χρείᾳ μείζονι χρήσιμα
μείζω, οἷον τὰ ἐν γήρᾳ καὶ νόσοις καλὰ μείζω ἀγαθά, οἷον ἡ εὐγηρία
10 ἐν τῷ τέλει οὖσα τοῦ βίου καὶ ἐν χρείᾳ μείζονι κρατίστη, καὶ τὸ διδόναι
τινὶ μεῖζον ἐν γήρει καὶ τυφλότητι, καὶ τὸ ἐν αἰχμαλωσίᾳ ὄντα τραφῆναι
παρά τινος μεῖζον, καὶ τὸ ἐν κινδύνῳ μεγάλῳ βοηθηθῆναι μεῖζον ἢ τὸ ἐν
ἐλάττονι. [a 34] καὶ δυοῖν τὸ ἐγγύτερον τοῦ τέλους· οἷον πρόκειται
πλοῦτος καὶ ἀρετή, τέλος δὲ ἡ εὐδαιμονία, ἐγγύτερον δὲ ἡ ἀρετὴ πρὸς τὴν
15 εὐδαιμονίαν ἢ ὁ πλοῦτος· κρείττων οὖν καὶ μείζων ἡ ἀρετὴ τοῦ πλούτου
ὡς ἐγγυτέρα τῷ τέλει ἤγουν τῇ εὐδαιμονίᾳ. πολλάκις δὲ εἶπον, ὡς οὐκ
ἀκριβολογούμεθα νῦν ἐν τοῖς παραδείγμασι. [a 35] καὶ τὸ αὐτὸ καὶ
ἁπλῶς. οὕτω μὲν ὁ φιλόσοφος γράφεσθαι βούλεται τὸ ῥητόν· γράφεται
δὲ καὶ οὕτως καὶ τὸ αὐτῷ ἢ ἁπλῶς. καὶ τὴν μὲν πρώτην γραφὴν οὕ-
20 τως ὁ φιλόσοφος ἐξηγήσατο· καὶ τὸ αὐτό τε ὂν τέλος καὶ ἁπλῶς ἤγουν
πρὸς ἄλλο τέλος ἀπονεῦον κρεῖττον καὶ μεῖζον τοῦ πρὸς ἄλλο μόνον συν-
τελοῦντος καὶ μόνον πρὸς τέλος ἄγοντός τι, οὐ μὴν καὶ τέλους ὄντος, ὥσπερ
ἡ μὲν στρατηγικὴ πρὸς τὴν νίκην ὡς τέλος τι ἀφορᾷ, ἡ δὲ νίκη τέλος οὖσα
τῆς ἱππικῆς παρασκευῆς ἀφορᾷ καὶ πρὸς τὴν εὐδαιμονίαν· οὐκ εὐδαίμων
25 γὰρ κυρίως ὁ ἡττώμενος, ὡς ὁ Κροῖσος· ἡ μὲν οὖν νίκη καὶ τέλος καὶ
πρὸς τέλος ἄγει κρεῖττον, ἡ δὲ ἱππικὴ ἁπλῶς πρὸς ἄλλο μόνον λυσιτελεῖ·
μεῖζον οὖν τὸ αὐτὸ ὂν τέλος ἄλλου καὶ ἁπλῶς ἤτοι πρὸς ἄλλο λυσιτε-
λοῦν καὶ φέρον πρὸς ἐκεῖνο ἢ τὸ μόνον πρὸς ἄλλο φέρον, ὁποῖον ἡ ἱππική.
τῆς δὲ δευτέρας γραφῆς ἡ ἐξήγησις αὕτη· καὶ τὸ αὐτῷ λυσιτελοῦν καὶ
30 χρησιμεῦον ἤτοι ἐμοὶ μεῖζον ἢ τὸ ἁπλῶς ἤγουν τὸ ἄλλοις τισὶ χρησιμεῦον,
ὡς εἶναι τὸ λεγόμενον, ὅτι τὸ ἐμοὶ ὠφέλιμον μεῖζον τοῦ ὠφελίμου ἄλλοις |
ἢ τὸ τινὶ ὠφέλιμον κρεῖττον τοῦ ἄλλοις ὠφελίμου· μεῖζον γὰρ τὸ αὐτὸν f. 15v
ὠφελοῦν ἢ τὸ ἄλλους. [a 35] καὶ τὸ δυνατὸν τοῦ ἀδυνάτου μεῖζον,
ὡς τὸ γενέσθαι με γραμματικὸν δυνατὸν μᾶλλον ἢ τὸ μαθεῖν με ἀστρονο-
35 μίαν καὶ κατοπτρικὴν καὶ Χαλδαϊκὴν φιλοσοφίαν· κρεῖττον οὖν καὶ μεῖζον
τὸ δυνατόν. [a 36] τὸ μὲν γὰρ αὐτῷ ἤγουν ἐπ' ἐμοὶ κεῖται, τὸ δὲ οὔ·

—

1 αὐτοφυὴς n 2 οἰκίον n 3 τις Vn: ὁ Arist. αὐτοδίδακτος κτλ.] Hom. χ 347 αὐτοδιδάσκαλός n δ' V Arist. A: om. n Arist. cet. 6 ἐπιτάφιον — ἀνῄρηται (7) om. n 7 τὸ ἔαρ Arist. A: καὶ τὸ ἔαρ Arist. vulg. 9 εὐγηρία V: εὐεργεσία n 11 γήρει V: γήρᾳ n 16 ὡς post τέλει ponit n 17. 18 καὶ τὸ αὐτῶι καὶ (ἡ superscr.) ἁπλῶς Arist. A: καὶ τὸ αὐτὸ καὶ ἁπλῶς Arist. vulg.: γρ. καὶ οὕτω· καὶ τὸ αὐτῷ ἢ ἁπλῶς Arist. C marg. man. 1 18 ὁ om. n 19 αὐτὸ ἢ n 20 τε V: τότε n 28 ὁποῖον ἡ V: ὡς ἅπασα n 29 αὐτὸ n 30 ἢ τὸ V: ἤτοι n

εἰ γὰρ ἀδύνατον, οὐκ ἐπ' ἐμοί· τὸ γὰρ πτερωθῆναί με τυχὸν ἢ τὸ ἀθά- f. 15ᵛ
νατον γενέσθαι με ἐν σώματι ἀδύνατον· καίτοι μέγα ἡ ἀθανασία, ἀλλ' 6
ἀδύνατον· κάλλιον οὖν ἐμοὶ τῆς ἀθανασίας τὸ ζῆσαι μέχρι ἐτῶν ἑβδομή-
κοντα. [a 36] καὶ τὰ ἐν τέλει τοῦ βίου ἀγαθὰ μείζω· τὸ γὰρ ἀνα-
5 παύεσθαι ἐν τῷ γήρει μᾶλλον καλὸν καὶ τὸ τιμᾶσθαι ἐν γήρᾳ ἐπαινετὸν
μᾶλλον. τότε ἐπιδιωρθώσατο τὸν λόγον, ἐπεὶ ὁ θάνατος μᾶλλόν ἐστι τέλος,
καὶ εἶπε [a 37] τέλη γὰρ μᾶλλόν εἰσι τὰ πρὸς τῷ τέλει τοῦ βίου
ἀγαθά. διὰ τοῦτο παραινοῦμεν πονεῖν ἐν νεότητι, διότι μεγάλα τὰ ἐν τῷ 10
γήρᾳ καλά, ἅπερ εὑρίσκει ὁ πονῶν ἐν τῷ καιρῷ τῆς νεότητος. [a 37] καὶ
10 τὰ πρὸς ἀλήθειαν τῶν πρὸς δόξαν μείζω, ὡς τὸ ὑγιαίνειν πρὸς ἀλή-
θειαν ἀγαθόν, τὸ δὲ οἰκίαν ἔχειν λαμπρὰν καὶ ἐφεπομένους καὶ προπομ-
πεύοντας φαινόμενα καὶ πρὸς δόξαν· καὶ τῆς τιμῆς κρεῖττον τὸ ὁρᾶν· τὸ
μὲν γὰρ πρὸς δόξαν ἤτοι φαινόμενον ἀγαθὸν οὐκ ἀληθές, τὸ δὲ ὁρᾶν ἀλη-
θὲς ἀγαθὸν καὶ μεῖζον. διὰ τοῦτο καὶ τὸ εὖ ποιεῖν τοῦ δοκεῖν δίκαιον 15
15 κρεῖττον· τὸ γὰρ πρὸς δόξαν καὶ οὐκ ἀληθὲς ἀγαθὸν διὰ τὸ φανῆναί τισι
ποιοῦμεν. [b 1] ὅρος γὰρ τοῦ πρὸς δόξαν τὸ μὴ λαθεῖν· λανθάνων
γάρ τις τὸν πολλῶν ὀφθαλμὸν οὐκ ἂν ἕλοιτο λαμπροφορεῖν καὶ χρυσῷ κο-
σμεῖν τὸν ἵππον, ἃ πρὸς δόξαν τείνει καὶ φανητιασμόν. [b 2] ἀπὸ τούτου
δὲ τοῦ τόπου καὶ τὸ εὖ πάσχειν δόξειεν ἀληθέστερον εἶναι καὶ κρεῖττον
20 τοῦ εὖ ποιεῖν· τὸ μὲν γὰρ εὖ ποιεῖν οὐκ ἂν λαθεῖν τις αἱρήσεται· τοι-
οῦτος δὲ τοῦ πρὸς δόξαν ὅρος· ὥστε τὸ εὖ ποιεῖν πρὸς δόξαν· τὸ δὲ πρὸς 20
δόξαν οὐ μέγα ἀγαθόν. τὸ δὲ εὖ πάσχειν λανθάνειν αἱρεῖται· ὃ δὲ ἔχων
τις λανθάνειν αἱρεῖται, μέγα ἀγαθόν· εὖ δὲ πάσχων βούλεται λανθάνειν·
κρεῖττον οὖν τὸ εὖ πάσχειν ἔχον τὸν ὅρον τὸν πρὸς ἀλήθειαν ἀγαθόν.
25 ἦσαν δὲ ταῦτα πρὸς ἀλήθειαν, ἅ, κἂν λανθάνωσιν, ἔχειν φιλεῖ τις, πρὸς
δόξαν δέ, ἅπερ οὐ λανθάνεσθαι βούλεταί τις· τοιοῦτον δὲ τὸ εὖ ποιεῖν·
κρεῖττον οὖν τὸ εὖ πάσχειν τοῦ εὖ ποιεῖν. [b 5] καὶ ὅσα εἶναι μᾶλλον 25
ἢ δοκεῖν μᾶλλον βούλεται, 'μείζω ἀγαθά' συνεπινόει ἐκτός· τὸ γὰρ εἶναί
τινα σοφὸν κρεῖττον ἢ τὸ δοκεῖν· μείζων οὖν ἡ οὖσα σοφία ἢ ἡ δοκοῦσα·
30 πρὸς ἀλήθειαν γὰρ ἡ οὖσα μᾶλλόν ἐστι, πρὸς δόξαν δὲ ἡ δοκοῦσα.
ἐλέγομεν δὲ ἐν τῷ ἀνωτέρῳ τόπῳ τὰ πρὸς ἀλήθειαν εἶναι κρείττω καὶ
μείζω, τὰ δὲ πρὸς δόξαν ἐλάττω· καὶ μᾶλλον ἔχειν βούλεταί τις πλοῦτον
ἢ δοκεῖν, εἰ καὶ τισὶ δοκεῖ τὸ ἀντίστροφον· καὶ τὸ ὑγιαίνειν μεῖζον ἐκ πάλιν 30
τούτου τοῦ τόπου καὶ κρεῖττον δικαιοσύνης καὶ ἐλευθεριότητος καὶ μεγα-
35 λοπρεπείας· δοκεῖν μὲν γὰρ βούλεταί τις ἢ εἶναι ἐλευθέριος, καὶ δίκαιος
δοκεῖν ἢ εἶναι, καὶ μεγαλοπρεπὴς δοκεῖν μᾶλλον ἢ εἶναι, ὑγιαίνειν δὲ
δοκεῖν οὐ βούλεταί τις, ἀλλ' εἶναι μᾶλλον ὑγιὴς θέλει. [b 8] καὶ τὸ πρὸς
τὰ πολλὰ χρησιμώτερον μεῖζον ἀγαθόν, ὡς αὐτὸς ὁ Ἀριστοτέλης ἐν-
αργὲς παράδειγμα τίθησι τὸν πλοῦτον καὶ τὴν ὑγείαν· ταῦτα γὰρ χρησι- 35

---

5 γήρει V: γήρᾳ n 7 εἰσι V: om. Arist.: εἰσι ἢ n 11 οἰκείαν V 13 τὸ post ἤτοι add. n 16 γὰρ Vn: δὲ Arist. 17 fort. ⟨τῶν⟩ πολλῶν 19 δόξειεν ἂν αἱρετώτερον εἶναι Arist. 20 λαθεῖν V: λαθῇ n 24 ἔχων V 28 μᾶλλον om. n Arist. βούλονται Arist. 31 ἐλέγομεν] p. 42,10 ἀνωτέρῳ n 33. 34 πάλιν ἐκ n 38 τὰ om. Arist.

μεύουσι πρὸς πλείω καὶ μέγιστα ἀγαθά, πρὸς τὸ ζῆν, πρὸς τὸ εὖ ζῆν, f. 15ᵛ πρὸς τὴν ἡδονήν, πρὸς τὸ πράττειν τὰ καλά. καὶ τὰ γυμνάσια καὶ κυνηγέσια πρὸς πολλὰ χρήσιμα, πρὸς ὑγείαν, πρὸς ἡδονήν, πρὸς ἀλυπίαν· κρείττω ἄρα καὶ μείζω. [b 11] καὶ τὸ ἀλυπότερον καὶ τὸ μεθ' ἡδο-
5 νῆς, συνεπινόησον ὁμοίως 'μεῖζον ἀγαθὸν μᾶλλον τοῦ ἔχοντος τὸ ἀλυπό- 40
τερον μόνον ἢ τὸ μεθ' ἡδονῆς μόνον', ὥσπερ ἡ ἐλευθεριότης καὶ τὸ ἄλυ-
πον ἔχει καὶ τὸ μεθ' ἡδονῆς καὶ ἡ μεγαλοπρέπεια· ἡ δὲ ἀνδρία ἐν πολέ-
μοις τὸ μεθ' ἡδονῆς οὐκ ἔχει· ἀγαπητὸν οὖν, εἰ καὶ τὸ ἀλύπως ἔχει καὶ
τὸ οὐκ ἄνευ ἡδονῆς. εἰ οὖν τὸ ἓν ἀγαθὸν μέγα πολλάκις, τὸ ἔχον δύο
10 μεῖζον· ὅπερ οὖν ἔχει τὸ ἄλυπον καὶ τὸ μεθ' ἡδονῆς, μέγα ὡς ἔχον δύο
ἀγαθά, ὁποῖα καὶ τὰ ἱππηλάσια καὶ γυμνάσια. ῥητέον δὲ καὶ τὰ τῶν πε-
παιδευμένων παίγνια· παίζου|σι γὰρ οἱ πεπαιδευμένοι πολλάκις, ἵνα σπου- f. 16ʳ
δάζωσιν, ὅτι μηδὲ δεῖ συντονωτέρᾳ χρῆσθαι τῇ σπουδῇ ἀεί· κρείττων οὖν
ἡ ἐλευθεριότης τῆς ἐγκρατείας· ἡ δ' εὐφροσύνη καὶ ἡδονὴ τάχα διὰ τὸν
15 παρόντα τόπον κρείττων ἔσται τῆς ἀρετῆς καὶ ὁ πλοῦτος τῆς πενίας· ὁ
μὲν γὰρ τὸ μεθ' ἡδονῆς καὶ τὸ ἄλυπον ἔχει, ἡ δὲ οὐδέτερον· καὶ ἡ ἀλυ-
πία δὲ ἀγαθόν, εἰ ἡ ἡδονὴ μέγα ἀγαθόν. [b 13] καὶ δυοῖν, ὃ τῷ αὐτῷ 5
προστιθέμενον μεῖζον τὸ ὅλον ποιεῖ· εἰ γὰρ ἡ φρόνησις μεῖζον ποιεῖ
προστιθεμένη τῇ ἰσχύι ἤπερ τὸ κάλλος, μείζων ἡ φρόνησις τοῦ κάλλους.
20 [b 14] καὶ ἃ μὴ λανθάνει παρόντα ἢ ἃ λανθάνει. κρείττω φησὶν
ἀγαθά, ἃ παρόντα οὐ λανθάνει, οἷον ἡ εὐτεκνία καὶ τὸ ἔχειν τέκνα ἀγαθὰ
καὶ πολλὰ κρεῖττον ἢ τὸ ῥώμην ἔχειν· τὸ μὲν γὰρ ἔχειν τέκνα παρὸν οὐ
λανθάνει, τὸ δὲ ῥώμην ἔχειν λανθάνει. καὶ τὸ ἐγκωμιάζειν ῥητορικῶς καὶ
ἐπιστέλλειν κρεῖττον τοῦ μόνον ἔχειν τέχνην ῥητορικὴν καὶ ἕξιν, οὐ μὴν 10
25 καὶ ἐνέργειαν· τὸ μὲν γὰρ λανθάνει, ἡ ἕξις ψηλὶ ἐνοῦσα, τὸ δέ, ἡ ἐνέρ-
γεια, οὐδαμοῦ. καὶ τὸ πλουτεῖν καὶ φαίνεσθαι μεῖζον τοῦ πλουτεῖν καὶ
μὴ φαίνεσθαι· εἰ γὰρ δύο τινῶν ὄντων ὁ μὲν φαίνεται πλουτῶν, ὁ δὲ
πλουτεῖ μέν, ἄπορος δὲ δοκεῖ, μᾶλλον ὑπερέχει ὁ τὸν πλοῦτον ἔχων φαι-
νόμενον ἢ ὁ κρυπτόμενον· τὸ γὰρ φαινόμενον κρεῖττον τοῦ λανθάνοντος καὶ
30 ἀφανοῦς. καὶ εἰ ὁ μὲν ἐπαγγέλλεται σοφὸς εἶναι, ὁ δὲ δεικνύει τὴν ἐνέρ- 15
γειαν, κρείττων ὁ ἐνεργῶν καὶ δεικνύων ἢ ὁ ἐπαγγελλόμενος. [b 16] καὶ
τὸ ἀγαπητὸν τοῖς μὲν μόνον, τοῖς δὲ μετ' ἄλλων. κρεῖττόν φησι
τὸ ἀγαπητόν, ὅταν ᾖ μοναδικόν, ἢ μετ' ἄλλων ἤγουν πεπληθυσμένον· ὡς
γὰρ ὁ μονογενὴς παῖς ἀγαπᾶται πλέον ἢ ὁ ἐν πολλοῖς ἀδελφοῖς θεωρούμενος,
35 οὕτω καὶ πᾶν ἀγαθὸν μεμονωμένον παρ' ὃ μετ' ἄλλων ἀγαθῶν δεικνύ-
μενον μεῖζον. [b 17] αὐτίκα εἴ τις κατά τινα περίστασιν ὀφθαλμὸν ἔχει
ἕνα, μᾶλλον ἀσπάζεται αὐτὸν τῶν ἐχόντων δύο ὀφθαλμούς· διό, ἄν τις 20
αὐτὸν τυφλώσῃ, ζημίαν μείζονα πεποίηκε, παρ' ὃ εἰ ἄλλου τινὸς δύο
ἔχοντος τὸν ἕνα ἀφῄρηκεν, ἐπειδὴ τούτῳ μόνος ὢν ὁ ὀφθαλμὸς μᾶλλον ἦν

---

1 τὸ (ante εὖ) om. n ἀνδρεία n (per comp. V) 10 τὸ (ante μεθ') om. n
11 καὶ τὰ γυμνάσια n 12. 13 σπουδάζουσιν n 16 ἀλύπως ἔχει· ὁ δὲ n 17 ἡ om. n 32 τοῖς μὲν Vn Arist. C Tr.: καὶ τοῖς μὲν Arist. cet. 35 ἀγαθῶν V; ἀγαθὸν n 39 ἀφῄρηκε n

ἀγαπητὸς καὶ ἀσπαστὸς ὁλοσχερῶς. καὶ εἰ ὁ μὲν δύο ἔχει ἀγρούς, ὁ δὲ f. 16r
ἕνα, καὶ ὁ μὲν πολλοὺς θησαυρούς, ὁ δὲ ἕνα, κρεῖττον τὸ ἓν τῷ ἔχοντι
τὸ ἕν, ὅταν τις ἔχῃ ὡς πένης ἕν τι ἀγαθόν, ἐφ' ᾧ πέποιθεν, ἤ τις ὢν
ἐν στειρώσει πάλαι ὀψὲ πατὴρ ἑνὸς τέκνου γεγένηται. [b 19] ταῦτα μὲν
5 οὖν εἰσιν, ἐξ ὧν ἄν τις προτρέπων καὶ ἀποτρέπων ἀποδείξῃ τι μέγα ἀγα- 25
θὸν εἶναι, εἰς ὃ προτρέπει, καὶ μέγα κακόν, ἀφ' οὗ ἀποτρέπει.

8. Μέγιστον δὲ πρὸς τὸ δύνασθαι καὶ πείθειν καὶ συμβουλεύειν
τὸ εἰδέναι τὰς πολιτείας πάσας καὶ λαμβάνειν ἐν ταῖς συμβουλαῖς καὶ χρη-
σιμώτατον τῷ συμβουλευτικῷ τὸ διελεῖν τὰ ἑκάστης ἤθη καὶ νόμιμα
10 καὶ συμφέροντα· ἄλλα γὰρ ἀριστοκρατίας ἔθη καὶ νόμιμα, ἄλλα δὲ δη-
μοκρατίας καὶ ἕτερα συμφέροντα ἄλλῃ πολιτείᾳ καὶ ἄλλα ἄλλῃ. [b 25]
πάντες μὲν γὰρ τῷ συμφέροντι πείθονται· συμφέρει δὲ τὸ σῴζον τὴν 30
πολιτείαν. ἔτι δὲ ἐν τοῖς συμβουλεύουσι κυρία ἐστὶν ἡ τοῦ κυρίου
ἀπόφασις· ὁ γὰρ ἄρχων ἑκάστης πολιτείας ἀποφαίνεται τήνδε μὲν εἶναι
15 κυρίαν τὴν βουλήν, τήνδε δὲ μή. ἄλλος δὲ ἐν ἄλλῃ πολιτείᾳ ἄρχων καὶ
ἄλλος ἐν ἄλλῃ, ἐν μὲν μοναρχίᾳ βασιλεὺς καὶ τύραννος, ἐν δὲ ἀριστοκρατίᾳ
οἱ ἄριστοι κατὰ τὴν ὑπὸ νόμου κειμένην, ἐν δὲ δημοκρατίᾳ οἱ τῷ κλήρῳ
τὰς ἀρχὰς ἔχοντες. ἐν ὀλιγαρχίᾳ δὲ οἱ ἀπὸ τιμημάτων· τὰ κύρια οὖν καὶ 35
οἱ ἄρχοντες διῄρηνται κατὰ τὰς πολιτείας. [a 3] δεῖ τοίνυν καὶ τὸ συμ-
20 φέρον τῇ πολιτείᾳ σκοπεῖν καὶ τὰ τέλη ἑκάστης καὶ τὰ τῶν ἀρχόντων
ἔθη καὶ τὰ σῴζοντα ἐκείνους καὶ ἀφορᾶν ὡς εἰς σκοπόν τινα τὸν ἄρχοντα
καὶ οὕτω ποιεῖσθαι τὰς συμβουλάς. δεῖ δὲ καὶ τῇ πολιτείᾳ συνεξομοιοῦν
ἑαυτὸν τὸν συμβουλεύοντα· οἷον εἰ δημοκρατία ἐστίν, ὀφείλει λέγειν ὁ συμ-
βουλεύων 'ἐγὼ ἑκάστου τῶν πολιτῶν κήδομαι καὶ ἐπ' ἴσης τιμῶ πάντας
25 καὶ βούλομαι καὶ παραινῶ πάντας ἐλευθερίας μετέχειν'· εἰ δὲ βασιλεία ἐστί, 40
δεῖ κατὰ τῶν βασιλειώντων ἀγανακτεῖν καὶ λέγειν ὡς 'ἀγαθὸν ἡ μοναρχία
καὶ ἄφρονες οἱ ἐπανιστάμενοι καὶ δεῖ διδόναι δίκας αὐτοὺς καὶ ἐπὶ τούτοις
ἀξιοῦν αὐτοὺς ὀργῆς καὶ κολάσεως'· ἢ λέγει 'τίς οὐκ ἀγανακτεῖ κατ' αὐ-
τῶν; τίς οὐ χαλεπαίνει;' ἀλλ' ὅπερ ἐλέγομεν, βουλὴ † κρίσις κυρία ἐστὶν ἐν
30 ταῖς | συμβουλαῖς ἡ ἀπόφασις τοῦ ἄρχοντος. [b 27] τὰ δὲ κύρια διῃ- f. 16v
ρηται κατὰ τὰς πολιτείας· τοσοῦτοι γὰρ οἱ ἄρχοντες, ὁπόσαι καὶ αἱ
πολιτεῖαι. [b 29] εἰσὶ δὲ πολιτεῖαι τέσσαρες, δημοκρατία, ὀλι-
γαρχία, ἀριστοκρατία, μοναρχία, ὥστε καὶ τὸ κύριον καὶ τὸ
κρῖνον ἐν συμβουλαῖς καὶ δίκαις (ἀλλὰ νῦν περὶ συμβουλῆς ἡμῖν πρόκει-
35 ται) τούτων τι ἂν εἴη· εἰ γὰρ ἄρχων εἴη τῆς μοναρχίας, βασιλεύς, ἢ εἰ 5

---

6 καὶ — ἀποτρέπει om. n 9 ἤθη Vn: ἤθη Arist. A: ἔθη Arist. cet. νόμικα n
13 πολιτείαν Vn Arist. A Tr.: πόλιν Arist. cet. μέν ἐστιν Arist. 14 ἀπόφανσις Arist.
DEZᵇC man. alt.: ἀπόφασις Arist. cet. 17 οἱ ἄριστοι κατα superscr. V 21 ὡς
om. n 26 βασιλειώντων V: βασιλειόντων n: exspecto βασιλεῖ ἐναντιουμένων, cf. p. 45,35
28 ἢ n: εἰ V 29 ἐλέγομεν] p. 44,14 fort. βουλὴ ⟨καὶ⟩ κρίσις 31 καὶ κατὰ Arist.
EQZᵇYᵇ man. pr.: καὶ om. Vn Arist. cet. καὶ post ἄρχοντες del. V 33 καὶ τὸ
κύριον Vn: τὸ μὲν κύριον Arist. 35 τοῦτον n ἂν εἴη μόριον Arist. vulg.: ἐστιν ἂν
εἴη μόριον, punctis ἐστιν del, Arist. A εἰ γὰρ n: ἢ γὰρ V

δημοκρατία ἐστὶν ἡ πολιτεία. ἔσται τὸ κύριον καὶ κρῖνον ἢ πάντες οἱ κλήρῳ f.[16v]
λαχόντες τὴν ἀρχὴν ἢ οὐχὶ πάντες ἀλλ' οἱ πλείους ἢ μόριον τούτων τὸ
τρίτον τυχὸν ἢ τὸ τέταρτον οἱ τῆς συμβουλῆς ἀκούοντες καὶ κρίνοντες.
[b 31] ἔστι δὲ δημοκρατία μέν, ἐν ᾗ κλήρῳ διανέμονται τὰς ἀρ-
5 χάς· ἐπειδὴ γὰρ πάντες ἰσονομίαν ἔχουσι καὶ τῆς αὐτῆς ἐλευθερίας μετέ-
χουσι, καὶ ἰσότιμοι διανέμονται τὰς ἀρχὰς ἐν τῷ κλήρῳ, ἵν' ὁποίου προ-
δράμῃ τὸ λάχος, οὗτος ἄρξῃ εἰς τὰς τριήρεις τυχὸν ἢ εἰς στρατηγίαν ἢ 10
εἰς ἑορτὴν ἕνα χρόνον· καὶ πάλιν ἐπετίθετο πᾶσι κλῆρος καὶ ὁ λαχὼν
ἦρχεν ἐνιαυτόν· καὶ οὕτως ἀεὶ τὸ τῆς ἀρχῆς διενέμετο ὑπὸ τοῦ λάχους
10 ἑκάστοις. [b 33] ὀλιγαρχία δέ, ἐν ᾗ ἄρχουσιν οἱ ἀπὸ τιμημά-
των ἤτοι οἱ πλουσιώτεροι. ἀριστοκρατία δέ, ἐν ᾗ ἄρχουσιν οἱ νόμῳ
καὶ παιδείᾳ ἐντραφέντες καὶ ἐνεθισθέντες καὶ γένει καὶ βίῳ καὶ γνώσει τῶν
ἄλλων ὑπερέχοντες. [b 37] μοναρχία δέ ἐστιν, ἐν ᾗ εἷς ἁπάντων 15
κύριος, ὡς τὸ ὄνομα τοῖς πολίταις δηλοῖ, καθ' ἃ καὶ αἱ ἄλλαι ὀνομά-
15 ζονται καὶ ἔχουσιν. εἰ μὲν οὖν κατ' ἀξίαν ἄρχει τις καὶ κατὰ τάξιν
πρέπουσαν, βασιλεία, εἰ δὲ ἀόριστος καὶ ἄτακτος, τυραννίς. [1366a 2]
τὸ δὲ τέλος ἑκάστης πολιτείας οὐ δεῖ λανθάνειν· αἱροῦνται γὰρ
πάντες τὸ φέρον πρὸς τὸ τέλος, καὶ εἰ συμβουλεύει τις τὸ φέρον πρὸς
τὸ τέλος, ἀκούουσιν ἐκείνου. ἄλλα δὲ ἄλλῃ πολιτείᾳ τέλη· [a 4] τῆς μὲν
20 γὰρ δημοκρατίας ἐλευθερία τέλος, ὀλιγαρχίας δὲ ὁ πλοῦτος, ἀρι- 20
στοκρατίας δὲ τέλος παιδεία καὶ νόμοι, βασιλείας δὲ τὸ ἐννόμως ἐπι-
στατεῖν καὶ ὡς πατέρα ἄρχειν τὸν βασιλέα, [a 6] τυραννίδος δὲ τέλος
φυλακή. πρὸς ταῦτα οὖν ἀποβλέπων ὁ συμβουλεύων ἀναλόγως τοῖς τέ-
λεσιν ὑποτιθέσθω τὰ πρὸς τὸ τέλος ἑκάστης πολιτείας φέροντα· καὶ ὑπο-
25 θετέον κατὰ τὰ ἑκάστης ἔθη καὶ νόμιμα καὶ συμφέροντα καὶ αἱρε-
τέον ἐκεῖνα, εἴπερ αἱροῦνται πάντες ἐκεῖνα, ὅσα πρὸς τέλος οἰκεῖον αὐ-
τοῖς φέρουσιν· ἐπειδὴ τότε πείθεταί τις, ὅταν, ὃ λέγει ὁ συμβουλεύων, ἀνα-
φέρῃ αὐτὸς ὁ ἀκροατὴς εἰς τέλος τὸ τῆς ἑαυτοῦ πολιτείας. [a 8] ἐπεὶ δὲ 25
οὐ μόνον αἱ πίστεις γίνονται διὰ τοῦ ἀποδεικτικοῦ λόγου. βού-
30 λεται εἰπεῖν, ὅτι ὀφείλεις, ὦ συμβουλεύων, ἠθικὸν ἑαυτὸν ποιεῖν ἤτοι εὔ-
νουν, ἀληθῆ, φιλόπολιν· ἀναγκαῖον μὲν γὰρ καὶ τὸ ἐνθυμηματικῶς καὶ
ἀποδεικτικῶς κατασκευάζειν τὸ λεγόμενον. λυσιτελεῖ δὲ καὶ τὸ ποιὸν ἑαυ-
τὸν ἀποδεικνύειν· εἰ γὰρ βασιλεία ἐστὶν ἡ πολιτεία, ἐπαινέτην τῆς μοναρ-
χίας ἑαυτὸν φαῖνε καὶ ὑπεραποθνήσκοντα τοῦ βασιλέως καὶ ἐχθρὸν τῶν 30
35 ἐναντιουμένων αὐτῷ· καὶ πάλιν, εἰ δημοκρατία ἐστίν, ἑαυτὸν δείκνυε πάντας

---

4 μὲν πολιτεία ἐν Arist. 9 ἦρξεν n 10 μὲν post ᾗ add. n 13 ἐστὶν κατὰ τοὔνομα ἐν Arist. 14 κύριός ἐστιν Arist. τοῖς πολίταις V: τῆς πολιτείας n 15 κατὰ τάξιν τινά, in marg. κατ' ἀξίαν τινά, Arist. A 17 δὲ Vn Arist. Zb: δὴ Arist. cet. 18 τὰ πρὸς τὸ τέλος Arist. (*quod ad finem* Tr.) 20 τέλος ἐλευθερία Arist. ὁ om. Arist. 21 βασιλείας κτλ. desiderantur in Aristotelis codicibus 24 ὑποτιθέσθαι n τὰ — ὑποθετέον om. n 25. 26 καὶ αἱρετέον Vn: διαιρετέον Arist. 29 διὰ τοῦ Vn: δι' Arist. 30 ὦ συμβουλεύων V: ᾧ συμβουλεύεις n

ἐπ' ἴσης ἀγαπῶντα καὶ τιμῶντα ἕκαστον καὶ τὸν ἕνα πάντας νομίζοντα f. 16v
καὶ τοὺς πάντας ἕνα. [a 8] ἐπειδὴ οὐ μόνον, φησίν, αἱ πίστεις γί-
νονται διὰ τοῦ ἀποδεικτικοῦ λόγου ἀλλὰ καὶ διὰ τοῦ ἠθικοῦ λό-
γου· συναρπάζεται γὰρ ὁ ἀκροατὴς τῷ ἤθει τοῦ λέγοντος, εἰ φιλόπολιν
5 οἴεται καὶ νομίζει μηδέποτε αὐτὸν συμβουλεῦσαι τὸ λυμαῖνον καὶ βλάπτον
τὴν πολιτείαν ἐκ τοῦ εἶναι τοιοῦτον. ἀληθῆ, σώφρονα, δίκαιον. καὶ πιστεύει 35
τῷ ποιόν τινα φαίνεσθαι αὐτόν. [a 11] τοῦτο δέ ἐστι, τὸ ποιόν τινα
φαίνεσθαι τὸν συμβουλεύοντα, ἂν φαίνηται ἀγαθὸς ἢ εὔνους ἢ ἄμφω.
διὰ τοῦτο (ποῖον; τὸ ποιεῖν ἑαυτὸν ἠθικόν) δεῖ εἰδέναι τὰ ἤθη τῶν πο-
10 λιτειῶν ἑκάστης· πρὸς γὰρ τὰ ἔθη καὶ νόμιμα ἑκάστης ἑαυτόν τινα
ποιὸν κατασκευάσει συμβουλεύων. [a 13] τὸ γὰρ ἑκάστης ἔθος πιθα-
νώτατον πρὸς ἑκάστην· ὥστε καὶ ὁ ἔχων τὸ ἔθος ἑκάστης καὶ ποιόν
τινα ἑαυτὸν δεικνύων πιθανώτατος ἔσται. ταῦτα δὲ τὰ ἤθη ἑκάστης λη- 40
φθήσεται ἐκ τῶν αὐτῶν τῶν τελῶν ἑκάστης πολιτείας· τὰ μὲν γὰρ ἤθη
15 τῆς προαιρέσεως, τῶν πρὸς τὸ τέλος δὲ ἡ προαίρεσις· τὰ ἤθη ἄρα τῶν
πρὸς τὸ τέλος· ὁ οὖν ἔχων τὰ τέλη ἔχει καὶ τὰ πρὸς τὸ τέλος, τὰ ἤθη
τῆς πολιτείας. συμπέρασμα δὲ καὶ τέλος ἐπιθεῖναι βουλόμενος ταῖς πί-
στεσι καὶ τοῖς τό|ποις, ἐξ ὧν ὁ συμβουλευτικὸς ὁρμώμενος παραινεῖ, λέγει f. 17r
[a 21] ταῦτα τὰ ἐν τῷ τέλει ῥηθέντα ἠκριβῶσθαι μᾶλλον ἐν τῇ πραγμα-
20 τείᾳ τῶν Πολιτειῶν, ἐνταῦθα δὲ τοσοῦτον ῥηθῆναι περὶ αὐτῶν, ὅσον ἔδει.

9. Μετὰ δὲ ταῦτα, φησί, λέγωμεν περὶ ἀρετῆς καὶ κακίας
καὶ αἰσχροῦ καὶ καλοῦ· οὗτοι γὰρ σκοποὶ καὶ τέλη τοῖς πανηγυρί-
ζουσι. [a 25] συμβήσεται δὲ λέγοντας ἡμᾶς τόπους καὶ πίστεις, ἐξ ὧν 5
ὁ ἐπαινῶν καὶ ψέγων ἐπιχειρῶν φανεῖται, παραδοῦναι κἀκεῖνα, ἐξ ὧν ποιός
25 τις φανήσεται ὁ ἐπαινῶν ἢ ψέγων· πόρισμα γὰρ οἷον κάλλιστον ἀκολου-
θήσει τὸ καὶ ποιὸν γενέσθαι τὸν πανηγυρίζοντα ἐκ τῶν πίστεων, ἐξ ὧν ἐγ-
κωμιάζων ἐπιχειρήσει τόδε μὲν ἐπαινεῖν, τόδε δὲ ψέγειν· εἰ γὰρ ἐξαίρω
τοῦδε τὰ κατορθώματα καὶ δεικνύω τυχὸν ἀνδρεῖον καὶ σώφρονα ἐκ τῶν
τοιῶνδε λόγων καὶ πίστεων καὶ δίκαιον ἀπὸ λόγων ἀκριβῶν καὶ τεκμηρίων, 10
30 ἃ χαρακτηρίζουσι τὸν δίκαιον, ἀνάγκη κἀμὲ δίκαιον ὑπολαμβάνεσθαι καὶ
σώφρονα, ὅτι μηδ' ἔστιν εἰκὸς ἐκθειάζειν με πάνυ τεχνικῶς τάδε τῶν ἀγα-
θῶν, ἀνδρείαν καὶ φρόνησιν, μὴ εἰδέναι δέ, τίνα εἰσὶ τὰ ἐπαινούμενα καὶ
ἐξαιρόμενα· ἐπεὶ οὔτε τὸ μέλι θαυμάσει τις, εἰ μὴ τῆς γλυκύτητος ἀπο-
γεύσαιτο, οὔτε τὸ πῦρ ὡς θερμὸν καὶ ζωογόνον ἐγκωμιάσει μὴ εἰδὼς ὅπερ
35 ἐστίν, οὔτ' ἀρετῆς ἐπαινέτης ἔσται μὴ ζηλωτὴς ὢν αὐτῆς καὶ θερμὸς ἐρα- 15
στής, οὔτε σωφροσύνης ἔργα καὶ δικαιοσύνης ἐξᾶραι θελήσειεν, εἰ μὴ τὴν
πεῖραν ἐξ ἔργων ἔχει, ποῖαί δή τινες καθεστήκασιν. εἰκότως δὲ τὸ ἠθικὸν
καὶ ποιόν τινα φαίνεσθαι δευτέραν λέγει πίστιν· [a 27] πρώτη γὰρ ἡ διὰ

---

2 ἐπεὶ δὲ Arist. 3 (bis) διὰ τοῦ Vn: δι' Arist. 5 συμβουλεύεται n 8 ἀγαθὸς φαίνηται Arist. 10. 11 fort. ποιόν τινα 11 fort. ⟨ὁ⟩ συμβουλεύων τὸ μὲν γὰρ Arist. ἑκάστης Vn Arist. AC: ἑκάστου Arist. cet. ἦθος Arist. 11. 12 πιθανώτατον ἀνάγκη πρὸς ἑκάστην εἶναι Arist. 12 ὁ om. n 14 ἐκ Vn: διὰ Arist. 22 καλοῦ καὶ αἰσχροῦ Arist. (*turpi et honesto* Tr.) 23 δὲ Vn: *autem* Arist. Tr.: γὰρ Arist. cet. 27 μὲν τόδε n 31 ἐκθειάζεσθαι πάνυ n

τῶν πίστεων καὶ τῶν ἐνθυμημάτων ἀπόδειξις. [a 28] ἐπεὶ δὲ συμβαίνει f. 17r
καὶ χωρὶς σπουδῆς καὶ μετὰ σπουδῆς ἐπαινεῖν. βούλεται εἰπεῖν,
ὅτι ὁ μετὰ σπουδῆς καὶ πόθου ἐνδιαθέτου ἐπαινῶν τοῖς ἀληθέσι καὶ ὁμολο-
γουμένοις χρώμενος φαίνεται καὶ ἀποδεικτικῶς οἷον καὶ πιθανῶς κατασκευ- 20
5 άζει, ὁ δὲ χωρὶς σπουδῆς ἐπαινῶν τοῖς φαινομένοις πιθανοῖς καὶ ἐνδόξοις
καὶ οὐκ ἀληθέσι πλέκει τὸν ἔπαινον, ἐπειδή, φησί, συμβαίνει καὶ χωρὶς
σπουδῆς καὶ μετὰ σπουδῆς ἐπαινεῖν πολλάκις. ἔχεις δὲ καὶ τοῦ
μετὰ σπουδῆς ἐπαινεῖν παράδειγμα τὸν μέγαν ἐν θεολογίᾳ Γρηγόριον ἐπι-
τάφιον οἷον εἰς τὸν ἱεροφάντην καὶ μέγαν Βασίλειον πλέξαντα. ἐπαινεῖ δέ
10 τις ἢ ἄνθρωπον ἢ θεὸν (ὑμνεῖν δὲ μᾶλλον δεῖ κυρίως λέγειν) ἢ ἄψυχα
(τόπον, χρόνον, λιμένα) ἢ ζῷα ἄλογα, φυτά. [a 31] τὸν αὐτὸν τρόπον 25
ληπτέον καὶ περὶ τούτων τὰς προτάσεις καὶ τοὺς τόπους * *
προτάσεις. αἱ προτάσεις δὲ πάντως ἢ ἀληθεῖς ἢ φαινόμεναι. καὶ πρῶτον
μὲν ὑποθετέον, τίνα εἰσίν, ἅπερ ὡς πίστεις καὶ ἐνθυμήματα ἕξει ὁ ἐγκω-
15 μιάζων, καὶ τίνα ὡς ἀρχετύπους εἰκόνας ὁρῶν ἐγκωμιάζειν ἐπιχειρεῖ· ὡς
γὰρ τῷ συμβουλευτικῷ τέλος μὲν ἦν τὸ συμφέρον καὶ βλαβερόν (περὶ δὲ
ὧν συνεβούλευε, πέντε τινὰ τὸν ἀριθμόν, πόρος χρημάτων, πόλεμος καὶ 30
εἰρήνη, φυλακὴ χώρας, τὰ εἰσαγόμενα καὶ ἐξαγόμενα καὶ τελευταῖον καὶ
πέμπτον νομοθεσία· αἱ δὲ πίστεις, ἐξ ὧν προέτρεπε καὶ ἀπέτρεπεν, ἦσαν
20 εὐδαιμονία καὶ τὰ μέρη ταύτης καὶ τὰ ἐναντία, εἶτα καὶ τόποι, ἐξ ὧν ἢ
μέγα τι ἀγαθὸν δειχθήσεται ἢ μέγα κακόν), οὕτω δὴ κἀνταῦθα ἐπὶ τῶν
πανηγυριζόντων τέλος μὲν τὸ καλὸν καὶ τὸ αἰσχρόν, ὑποκείμενα δὲ πρὸς
ἔπαινον καὶ ψόγον ἔμψυχα καὶ ἄψυχα, αἰσθητικὰ καὶ ἀναίσθητα, λογικά τε
καὶ ἄλογα, πίστεις δέ, ἐξ ὧν τόδε καλὸν ἀποδείξομεν καὶ ἐγκωμιάσομεν 35
25 ἢ ψέξομεν, αἱ ἀρεταὶ καὶ αἱ κακίαι· καὶ γὰρ τά, ἐξ ὧν τι ὡς φαῦλον καὶ αἰ-
σχρὸν ψέξομεν, αἱ κακίαι εἰσίν. ἀρκτέον οὖν τούτων, ὧν καταστοχαζόμενος
ὁ ἐγκωμιάζων ἐπαινεῖ ἢ ψέγει. ὡρίσθω δὲ πρῶτον, τί ἐστι τὸ καλόν, ὃ
τέλος τῷ ἐγκωμιάζοντι, εἶτα θεωρητέον τὴν ἀρετὴν καὶ τὰ μέρη αὐτῆς.
εἰ δ' ἐρεῖ τις, ὅπως καὶ τῷ συμβουλεύοντί εἰσι πίστεις καὶ τόποι εἰς προ-
30 τροπὴν καὶ ἀποτροπὴν αἱ ἀρεταὶ καὶ αἱ κακίαι καὶ τὰ μέρη αὐτῶν, καὶ 40
τοῖς πανηγυρίζουσιν ὁμοίως σκοπὸς αἱ ἀρεταί, ἀκουέτω, ὅτι, ἅπερ ὑποτίθησί
τις παραινῶν, ταῦτα καὶ ἐν ἐπαίνου μοίρᾳ παραλήψεται εὐφυῶς καὶ αὐτά,
ἐξ ὧν ἐγκωμιάζει τις, ὡς καὶ Ἀριστοτέλης ἐρεῖ προϊών, καὶ τῷ συμβου-
λεύοντι λυσιτελεῖ· εἰ γὰρ συνεβούλευέ τις, ὅτι οὐ δεῖ μέγα φρονεῖν, ἐπαι-
35 νῶν εἰπὲ 'οὐκ | ἐφρόνει μέγα ὁ πρὸς ἔπαινον ἡμῖν προκείμενος'· καὶ ἐπὶ f. 17v
τῶν ἄλλων ὁμοίως. οὐδὲν οὖν καινὸν καὶ τῷ συμβουλεύοντι καὶ ἀποτρέ-
ποντι καὶ προτρέποντι καὶ τῷ ἐπαινοῦντι καὶ ψέγοντι τὰς αὐτὰς εἶναι πί-
στεις καὶ τοὺς αὐτοὺς σχεδὸν τόπους καὶ οὐχ ἑτερόφυλα τὰ τῶν ἀπο-

---

7 δὲ om. n 11 fort. ⟨ἢ⟩ φυτά; cf. Aphthon. Progymn. II 36,1 Sp.: ἄλογα ζῷα καὶ πρὸς τούτοις φυτά ante τὸν II—III litt. eras. V 12 καὶ περὶ τούτων ληπτέον Arist. post τόπους quaedam evanuerunt V: ὅθεν αἱ supplet n 22 ὑποκείμενα V: προκείμενα n 23 αἰσθητικὰ V: αἰσθητὰ n 25 τὰ om. n 29 ὅπως Vn: fort. ὅτι, ὡς 32 μοιρίαις n 33 Ἀριστοτέλης ἐρεῖ προϊών] I 9 p. 1367ᵇ37 35 ἡμῖν V: ὑμῖν n 38 καὶ (ante οὐχ) om. n

δείξεων εἴδη· ἐκεῖ τε γὰρ εὐδαιμονίας ἔφεσιν ἔχειν πάντας λέγομεν καὶ διὰ f. 17v
τοῦτο τὰ τῆς εὐδαιμονίας μέρη διείλομεν καὶ τεθεωρήκαμεν ἱκανῶς. ἐν- 5
ταῦθά τε τὰ μὲν ἐπαινούμενα ὡς ἀρετῆς εὖ ἔχοντα ἐξαίροντες, τὰ δὲ ψεγόμενα
ὡς εἰς ἄκρον κακίας ἐληλακότα δεικνύντες εἰκότως τὰ περὶ τῆς ἀρετῆς καὶ
5 τῶν ταύτης μερῶν παραδώσομεν. [a 33] καλὸν οὖν ἐστιν, ὃ ἂν δι'
αὐτὸ αἱρετὸν ὂν ἐπαινετόν ἐστι, καὶ ὃ ἀγαθὸν ὂν καὶ ἡδύ ἐστιν.
ὅτι ἀγαθόν. εἰ δὲ τὸ καλὸν τοιοῦτον, ἀνάγκη καὶ τὴν ἀρετὴν
καλὸν εἶναι· ἀγαθὸν γὰρ ὂν καὶ ἐπαινετόν ἐστι καὶ ἡδὺ ἡ ἀρετή,
ὅτι καὶ ἀγαθόν· οὕτω μὲν οὖν ἡ ἀρετὴ καλόν, ἐπειδὴ δι' αὐτὸ αἱρετόν 10
10 ἐστι καὶ ἀγαθὸν καὶ ἐπαινετόν. [a 36] ἀρετὴ δὲ ἔστι μὲν δύναμις.
ὡς δοκεῖ πᾶσι, ποριστικὴ ἀγαθῶν καὶ φυλακτικὴ καὶ δύναμις εὐερ-
γετικὴ πολλῶν ἐπὶ μεγάλοις πράγμασι καὶ πάντων περὶ πάντα· εὐερ-
γετικὴ γάρ ἐστι δύναμις οὐχὶ τινῶν μὲν τινῶν δὲ οὔ, ἀλλὰ πάντων εὐερ-
γέτις ἐστί, καὶ οὐχὶ περὶ τινὰ μὲν εὐεργετεῖ περὶ δὲ τινὰ οὔ, φθονοῦσα
15 μεταδοῦναι τῶν αὐτῆς καλῶν, ἀλλ' ἐν πᾶσιν εὐεργετεῖ. [b 1] μέρη δὲ
αὐτῆς δικαιοσύνη, ἀνδρία, σωφροσύνη, μεγαλοπρέπεια, μεγα- 15
λοψυχία, ἐλευθεριότης, πραότης, φρόνησις, σοφία. ἀνάγκη δὲ
μεγίστας εἶναι ἀρετὰς τὰς τοῖς ἄλλοις χρησιμωτάτας, ὁποία ἡ δι-
καιοσύνη καὶ ἡ ἐλευθεριότης καὶ ἡ ἀνδρία· ὁ μὲν γὰρ σώφρων ἑαυτῷ
20 μόνῳ σώφρων καὶ ὁ ἐγκρατὴς καὶ πρᾶος ἑαυτῷ μόνῳ, ἡ δὲ δικαιοσύνη
καὶ ἡ ἀνδρία κοινῇ τῇ πόλει χρήσιμα καὶ πολυωφελῆ ἀγαθά. ἐπάγει δέ.
διὰ τί μεγίστη ἀρετὴ ἡ δικαιοσύνη καὶ ἡ ἀνδρία· διότι, φησίν. ὑπεθέ-
μεθα ὅρον ἀρετῆς τὸ εἶναι αὐτὴν δύναμιν εὐεργετικὴν πολλῶν περὶ πάντα· 20
τοιοῦτον δ' ἡ ἀνδρία καὶ ἡ δικαιοσύνη· μέγισται ἄρα. [b 4] ἐπεὶ δέ.
25 ἔστι κάλλιον ἀντὶ τοῦ δέ κεῖσθαι τὸ γάρ, ἵν' ᾖ κατασκευαστικὸν τῶν ἄνω
λεγομένων· ἐπεὶ γάρ ἐστιν ἡ ἀρετὴ δύναμις εὐεργετική, διὰ τοῦτο
τοὺς δικαίους καὶ ἀνδρείους μάλιστα ἐπαινοῦμεν καὶ τιμῶμεν· ἡ
μὲν γὰρ ἀνδρία ἐν πολέμῳ μεγάλα λυσιτελεῖ κοινῶς, ἡ δὲ δικαιοσύνη
καὶ ἐν πολέμῳ καὶ ἐν εἰρήνῃ χρησιμωτάτη. [b 7] εἶτα μεγίστη μετ' 25
30 αὐτὰς ἡ ἐλευθεριότης· προΐενταί τε γὰρ τὰ ἑαυτῶν οἱ ἐλευθέριοι καὶ
οὐκ ἀγωνίζονται περὶ τῶν χρημάτων. [b 9] ἔστι δὲ ἡ δικαιοσύνη,
δι' ἣν τὰ ἑαυτῶν ἔχουσιν ἕκαστοι, ὡς νόμος προστάσσει, οἷον ἀπὸ
εὐλόγων πόρων καὶ πόνων οἰκείων καὶ πατρῴου κλήρου, ἀδικία δέ, δι'

---

1 fort. ἐλέγομεν 2 διείλομεν] p. 16,19 sq. 3 μὲν superscr. V 5 μὲν οὖν Arist. 6 ἐπαινετὸν ᾗ ἢ ὃ ἂν ἀγαθὸν ὂν ἡδὺ ᾖ, ὅτι Arist. 7 δὲ τοῦτό ἐστι τὸ καλόν, ἀνάγκη τὴν Arist. 8 καὶ (post ὂν) om. Arist. 11 πᾶσι om. Arist. 12 ἐπῖ ex ἐπεὶ corr. V 16 αὐτῆς Vn: ἀρετῆς Arist. 16, 19, 21, 22, 24, 28 ἀνδρεία n (per comp. V) 23 ἀρετῆς V: αὐτῆς n 24 ἐπεὶ δὲ Vn: εἴπερ Arist. 25 κατασκευὴ n 27 τιμῶμεν Vn: τιμῶσιν Arist. A: τιμῶσιν Arist. cet. 28 πολέμοις n 29 καὶ ἐν εἰρήνη, superscr. man. pr. πολέμῳ καὶ, Arist. A (cf. Tr.): πολέμῳ καὶ om. Arist. cet. 30 ἡ Vn Arist. A: om. Arist. vulg. τε om. Arist. 31 ἀνταγωνίζονται Arist. ἡ om. Arist. ἔστι Vn Arist. vulg.: ἔστι, superscr. ἔτι, Arist. A: *adhuc* Arist. Tr. μὲν ἀρετὴ ante δι' add. Arist. 32 αὐτῶν ἕκαστοι ἔχουσι καὶ ὡς ὁ νόμος Arist.

ἣν τὰ ἀλλότρια κατέχει τις, οὐχ ὡς ὁ νόμος κελεύει. [b 11] ἡ δὲ f. 17ᵛ
ἀνδρία ἐστί, δι' ἣν ἐσμεν πρακτικοὶ τῶν καλῶν ἔργων ἐν τοῖς
κινδύνοις, ἐν οἷς ὁ νόμος κελεύει τὸν ἀνδρεῖον τὴν οἰκείαν δεικνύειν 30
ἐνέργειαν, ὑπὲρ ἐλευθερίας πατρίδος, ὑπὲρ εὐσεβείας πατροπαραδότου, ὑπὲρ
5 ἀρετῆς καὶ τῶν ἀγαθῶν πραγμάτων· ἐν τοῖς τοιούτοις προκινδυνεύσει ὁ ἀν-
δρεῖος. [b 13] ἀνδρεῖοι δὲ καὶ οἱ ὑπηρετικοὶ τῷ νόμῳ· εἶπε γὰρ καὶ
ἐν τοῖς Ἠθικοῖς εἶδος ἀνδρίας εἶναι τὸ προκινδυνεύειν ὑπὲρ τοῦ νόμου καὶ
τῶν συμφερόντων τῇ πόλει· ἀνδρεῖοι οὖν οἱ πεπαιδευμένοι πολῖται καὶ τὰ
τοῦ νόμου φυλάττοντες καὶ προκινδυνεύειν ἐθέλοντες ὑπὲρ τῶν πραγμάτων
10 τῆς πόλεως διὰ τιμήν. [b 13] ἡ δὲ δειλία τἀναντία τούτων ἔχει. τὰ 35
δὲ περὶ σωφροσύνης καὶ ἀκρασίας καὶ ἐλευθεριότητος καὶ ἀνελευθεριότητος
προχειρότατα, ὡς καὶ τὰ ἀνωτέρω δηλωθέντα· κατὰ σπουδὴν γὰρ τάχα τὰ
καιριώτερα παρασημειούμεθα. [b 17] μεγαλοψυχία δέ ἐστιν ἀρετὴ ἐν
ποιήσει μᾶλλον ἢ δόσει φαινομένη μεσότης· ἔστι γὰρ μεγάλων εὐεργετη-
15 μάτων ποιητική, νίκης, λυτρώσεως αἰχμαλώτων, οἰκισμοῦ πόλεως, τιμῆς
καὶ μόνης ἀξίως ὀρεγομένη, ναῶν, θεάτρων, οἰκιῶν, ἀγαλμάτων καὶ ἄλλων. 40
[b 18] μικροψυχία δὲ τοὐναντίον. μεγαλοπρέπεια δὲ ἀρετὴ ἐν
δόσει καὶ δαπανήμασι μᾶλλον· ἐν γὰρ ἑορταῖς καὶ συνεισφοραῖς καὶ στρατ-
αρχίαις καὶ τριηραρχίαις καὶ θεάτροις καὶ ταῖς ἄλλαις δόσεσίν ἐστι μεγέ-
20 θους ποιητική. ὡς δὲ συγγενῶν οὐσῶν τῶν δύο τούτων ἀρετῶν καὶ σχε-
δὸν ὁμοίων ἐπιφέρει [b 19] μικροψυχία δὲ καὶ σμικροπρέπεια τοὐν-
αντίον· | ὡς ἂν εἰ ἔλεγεν, ὅτι οὐδὲν διαφέρει, εἴτε ἡ σμικροψυχία ἀντί- f. 18ʳ
κειται τῇ μεγαλοπρεπείᾳ εἴτε ἡ σμικροπρέπεια· εἰ γὰρ ταὐτὰ σχεδὸν
παρὰ μικρόν τι ἡ μεγαλοψυχία καὶ ἡ μεγαλοπρέπεια, καὶ τὰ ἐναντία αὐ-
25 ταῖς ἔσται ταὐτὰ σχεδόν, καὶ οὐδὲν τὸ διάφορον, εἴτε ἡ σμικροψυχία ἀντί-
κειται τῇ μεγαλοπρεπείᾳ εἴτε ἡ σμικροπρέπεια. [b 20] φρόνησις δέ
ἐστιν ἀρετὴ διανοίας, καθ' ἣν εὖ βουλεύεσθαι δύνανταί τινες 5
περὶ ἀγαθῶν τῶν κυρίως ἢ κακῶν φαινομένων δὲ ἀγαθῶν ἢ κακῶν
ὄντων καὶ φαινομένων κακῶν, ἐκείνῳ δὲ ὡς ἀγαθῶν διωκομένων ὡς τάχα
30 λυσιτελούντων εἰς τὴν εὐδαιμονίαν. ὡς ἐν κεφαλαίῳ μὲν οὖν περὶ
ἀρετῆς ἱκανῶς εἴρηται. [b 24] περὶ δὲ τῶν ἄλλων ἀγαθῶν οὐ χαλε-
πὸν συνιδεῖν· ἐξετάζων γὰρ εὑρήσεις καὶ τὰ ποιητικὰ τῆς ἀρετῆς
ἀγαθά· τὸ γὰρ ἐνεθίζεσθαι τοῖς πόνοις τοῖς εἰς ἀρετὴν ἄγουσι καὶ τοῖς
καθ' ἕκαστα καλῶς † ἀγαθὸν καὶ τὸ ὑγιεινὸν τὸ ποιητικὸν τῆς ἀρετῆς 10
35 ἀγαθόν. [b 27] καὶ τὰ ἔργα τῆς ἀρετῆς καλά· τὰ γὰρ τῆς ἀνδρίας ἔργα,
οἷον τρόπαια, νῖκαι, ἐλευθερία πόλεων, καλά· καὶ τὰ τῶν ἄλλων ἀρετῶν
ἔργα ἐπαινετά. [b 26] καὶ τὰ ἀπ' ἀρετῆς γινόμενα καλά· τοιαῦτα
δὲ τά τε σημεῖα τῆς ἀρετῆς, οἷον τὸ βάδισμα, τὸ λέγειν εὐσχήμονα,

---

2 ἀνδρέια n (per comp. V) πρακτικοί εἰσι Arist. 3 ἐν οἷς Vn: καὶ ὡς Arist. 7 ἐν τοῖς Ἠθικοῖς] Eth. Nic. Γ 10 p. 1116ᵃ18 ἀνδρέιας n (per comp. V) 11 ἀκρασίας Vn: ἀκολασία Arist. (*incontinentia* Tr.: γρ. ἀκρασία A marg. man. pr.) 16 μονῆς ἀξίας n 17 τοὐναντίων ἡ μεγαλοπρέπεια n 22 μικροψυχία n 26 εἴτε scripsi: οὔτε Vn 27 δύνανται n Arist.: δύναται V τινες om. Arist. 28 ἢ (post κυρίως) Vn: καὶ Arist. 29 ἐκείνω V: ἐκείνων n 33 καὶ om. n 34 καὶ om. n 35 ἀνδρείας n (per comp. V)

τὸ αἰδεῖσθαι, τὸ μὴ καγχάζειν. [b 27] ἐπεὶ δὲ τά τε σημεῖα τῆς ἀρε- f. 18r
τῆς καλά, ὡς ἡ ἐκτὸς σεμνότης τὴν ἐντὸς παραδηλοῖ κατάστασιν πολλά-
κις καὶ τὸ βάδισμα, καὶ τὰ τοιαῦτα, ὅσα ἐστὶ τοῦ ἀγαθοῦ ἔργα, 15
καλά, ὡς τὰ τρόπαια καὶ αἱ νῖκαι, καὶ τὰ πάθη ὁμοίως καλά, οἷον τὸ
5 εὐφημεῖσθαι τὸν ἀνδρεῖον, τὸ τιμᾶσθαι τὸν ἐλευθέριον καὶ χαίρειν, τὸ τὸν
δίκαιον ἥδεσθαι ἐπὶ τοῖς συναλλάγμασιν, ἀνάγκη ἐπὶ πάσης ἀρετῆς τὰ
σημεῖα καὶ τὰ ἔργα καὶ τὰ πάθη ἄριστα εἶναι καὶ καλά. [b 30] καὶ τὰ
δίκαια ἔργα ἀνάγκη εἶναι καλὰ καὶ τὰ δικαίως, οἷον τὸ κήδεσθαι τῶν
υἱῶν τοὺς πατέρας καὶ τοὺς υἱοὺς τιμᾶν τοὺς γονεῖς. τὰ πάθη δὲ τῆς δικαι- 20
10 οσύνης μόνον οὐκ εἰσι καλά· καίτοι ἐπὶ πασῶν ἀρετῶν καὶ τὰ ἔργα καὶ τὰ
πάθη ἐπαινετά, αὐτίκα ἐπὶ τῆς ἀνδρίας τὸ ὑπὲρ τῆς πόλεως ἀποθανεῖν ἄριστον
καὶ τὸ σφαγῆναι πολεμοῦντα καλόν, ἐπὶ δὲ τῆς δικαιοσύνης τὸ δικαίως πάσχειν
οὐκ ἐπαινετόν· τὸ γὰρ κολάζεσθαι δικαίως καὶ τὸ ζημιοῦσθαι χρήματα
δικαίως καὶ τὸ ἀποθνήσκειν δικαίως ψευκτόν. [b 31] ἐν μόνῃ γὰρ
15 ταύτῃ τῇ δικαιοσύνῃ οὐκ ἀεὶ τὸ δικαίως καλόν· ἐπὶ γὰρ τῶν παθῶν
οὐκ ἐπαινετὸν τὸ δικαίως, τὸ δὲ ἀδίκως παίεσθαι καὶ ἀποθνήσκειν 25
μᾶλλον καλόν· καὶ ἐπὶ τοῦ ζημιοῦσθαι αἰσχρὸν τὸ δικαίως παρ' ὃ τὸ
ἀδίκως· τὸ γὰρ ἀδίκως ζημιοῦσθαι τὸν δίκαιον οὐ ψευκτὸν τοσοῦτον, τὸ
δὲ δικαίως ζημιοῦσθαι ψαῦλον, ἐπειδὴ τοῦτο κλεπτῶν καὶ κακούργων ἐστί.
20 τὸ δὲ [b 33] 'καὶ κατὰ τὰς ἄλλας ἀρετὰς ὁμοίως' πρὸς τὰ ἄνω ἀπο-
δοτέον, ὅτι τῶν ἄλλων ἀρετῶν καὶ τὰ ἔργα καὶ τὰ σημεῖα καὶ τὰ πάθη
καλά· τὸ γὰρ τῆς σωφροσύνης καλὸν καὶ τὸ ἔργον καὶ τὸ πάθος. [b 34]
καὶ ἐφ' οἷς τὰ ἆθλα τιμή, καλά· ὡς ἡ ἀριστεία καὶ ἡ τυραννοκτονία 30
καλόν, ἧς αἱ στῆλαι καὶ αἱ εἰκόνες. καὶ τὰ ἐφ' οἷς τιμὴ μεγάλη δίδο-
25 ται, οἷον ἀξιώματος ὄγκος, παρ' ὃ χρήματα μεγάλα ἐκεῖνα, ὡς ἡ στρα-
τηγία ἡ ἔντεχνος, ἀφ' ἧς Καῖσαρ ἐκεῖνος ὁ πρῶτος καὶ πολλοὶ τῶν ἐπι-
σήμων γεγόνασι περιώνυμοι. [b 36] καὶ ὅσα μὴ αὐτοῦ ἕνεκα πράτ-
τει τις τῶν ἀρετῶν· ἃ γὰρ πράττει τις ἀνδρεῖος οὐχ ἑαυτοῦ ἕνεκα
ἀλλὰ τῆς πόλεως, τῶν ἀρετῶν ἔργα. γράφεται δὲ καὶ τῶν αἱρετῶν.
30 καὶ τὰ ἁπλῶς ἀγαθὰ ἤγουν τὰ πρὸς ἄλλων γινόμενα ὠφέλειαν καλά, 35
οἷον τὰ τῆς ἐλευθεριότητος καὶ δικαιοσύνης καὶ τῆς ἀνδρίας, ὅσα τις
ὑπὲρ πατρίδος ἐποίησε παριδὼν τὸ ἑαυτοῦ, καλά. [b 38] καὶ τὰ
τῇ φύσει ἀγαθὰ καλά, ὡς τὸ τιμᾶν γονεῖς καὶ θεὸν καὶ ἀνδρία καὶ φρό-
νησις καὶ ῥώμη καὶ κάλλος τὸ φυσικόν, ἀλλὰ μὴ τὸ περίαπτον καὶ νόθον.
35 καὶ ἃ μὴ αὐτῷ ἀγαθὰ ἀλλὰ ἄλλοις, καλά, οἷον τὸ ἀποκτεῖναι τύραννον

---

1 τε om. Arist. 3 τὰ om. n ὅσα ἐστὶ Vn Arist. C: ἅ ἐστιν Arist. A ex corr.: ὅσα εἰσιν Arist. cet. 8 δίκαια V: δίκης n καὶ τὰ δίκαια καὶ τὰ δικαίως ἔργα Arist. 11 ἀνδρείας n (per comp. V) 16 παίεσθαι V: πένεσθαι n 17 παρὰ τὸ n 20 ἄλλας δὲ Arist. 23 οἷς Vn Arist. CTr.: ὅσοις Arist. cet. καλά V Arist.: καλόν n 24 οἷς Vn: ὅσοις Arist. 28 ἀρετῶν Vn Arist. Zb: αἱρετῶν Arist. cet. 31 ἀνδρείας n (per comp. V) 31. 32 ὑπὲρ τῆς πατρίδος τις ἐποίησε Arist. (τις om. BCYb; ἐποίει τις EQ) 32 αὐτοῦ Arist. καλά scripsi: καλόν Vn 33. 34 ἀνδρείαν καὶ φρόνησιν καὶ ῥώμην n 34 μὴ τὸ V: τὸ μὴ n

καὶ τὸ τρέφειν παῖδας τῶν γειτόνων καὶ τὸ ἐλεεῖν πτωχοὺς καὶ τὸ μὴ f. 18r
τροφᾶν ἐμὲ τυχὸν ἢ τὸν βασιλέα ἢ τὸν προϊστάμενον ἀρχῆς τινος ἀλλὰ τοὺς 40
ὑπὸ χεῖρα. ἃ τοίνυν ἄλλοις ἀγαθά, καλά, ἃ δὲ αὐτῷ τῷ ἔχοντι, οὐ καλὰ τοσοῦ-
τον. διὰ τί; [1367 a1] αὐτοῦ γὰρ ἕνεκα τὰ τοιαῦτα ποιεῖ ὁ ἔχων καὶ οὐ
5 τοσοῦτον καλά· οἷον τὸ μὲν ποιεῖν λέγω πενήτων οἰκίαν καλόν, τὸ δὲ ἑαυ-
τοῦ οὐ τοσοῦτον καλόν. [a 1] καὶ ὅσα τεθνεῶτι ἐνδέχεται ὑπάρχειν,
μᾶλ|λον ἢ ζῶντι καλά, καὶ αἱ στῆλαι καὶ αἱ εἰκόνες καὶ οἱ τύμβοι καὶ τὰ f. 18v
σεμνεῖα· τὸ γὰρ ἑαυτοῦ ἕνεκα τὰ χρειώδη ἔχει καὶ ζωτικὰ ἤτοι πρὸς τροφὴν
χρειώδη· ταῦτα δὲ φθείρονται, οἷον τὸ δημοσίᾳ τρέφεσθαι καὶ τὰ σιτηρέ-
10 σια· φθείρεται οὖν τὸ ἑαυτοῦ ἕνεκα, τὸ δὲ ζῶντι καὶ θανόντι σῳζόμενον
καλόν. [a 3] καὶ ὅσα ἔργα τῶν ἄλλων ἕνεκα, καλά, οἷον τὸ νόμους
τιθέναι τῇ πολιτείᾳ συμφέροντας καὶ ψηφίσματα, τὸ ἐν πόλεσιν ἐγείρειν 5
ζωστῆρας τειχῶν καὶ προβολὰς στοῶν φυλακτικὰς τῆς χώρας ὑπὲρ τῶν
πολιτῶν. καὶ ὅσαι εὐπραγίαι περὶ ἄλλους καὶ τοὺς εὖ ποιήσαν-
15 τας, ἀλλὰ μὴ περὶ αὐτόν, καλαί· τὸ γὰρ εὖ ποιεῖν καὶ πράττειν ἄλλους
καὶ τοὺς εὖ ποιήσαντας μέγα, τὸ δὲ ἑαυτὸν οὐ τοσοῦτον· φιλαυτία γὰρ
τοῦτο. τὸ δὲ [a 5] 'δίκαιον γάρ' δηλοῖ τὸ δίκαιον εἶναι ποιεῖν εὖ ἄλλους καὶ
τοὺς εὐεργετήσαντας. καὶ τὰ εὐεργετήματα τῶν ἄλλων καλά· οὐ γὰρ
εἰς αὐτόν. καὶ τὰ ἐναντία ἢ ἐφ' οἷς αἰσχύνονται καλά· εἰ γὰρ 10
20 αἰσχρά εἰσιν, ἅπερ αἰσχύνονται καὶ λέγοντες καὶ πράττοντες καὶ
ποιοῦντες καὶ μέλλοντες ποιεῖν, καλά εἰσι τὰ ἐφ' οἷς οὐκ αἰσχύνονται.
τίθησι δὲ παράδειγμα τῶν ἐφ' οἷς αἰσχύνεταί τις· [a 8] πεποίηκε γὰρ ἡ
Σαπφὼ λέγοντα τὸν Ἀλκαῖον

"θέλω τί τ' εἰπεῖν, ἀλλά με κωλύει αἰδώς".
25 "αἴθ' ἧκες ἐς ἐσθλῶν ἵμερον",

ἤτοι αἴθε ἦλθες ἐς ἵμερον τῶν ἀγαθῶν. εἶτα πάλιν ἕτερον ἔπος

"καὶ μὴ τί τ' εἰπεῖν γλῶσσ' ἐκύκα κακόν,
αἰδώς κέν σε οὐκ εἶχεν ὄμματα, 15
ἀλλ' ἔλεγες περὶ ὧ δικαίω".

30 τινὲς δὲ οὕτω λέγουσιν 'αἴδ' ἧκες. ἐὰν δ' ἧκες ἐς ἐσθλῶν ἵμερον καὶ μὴ
ἐκύκα γλῶσσά σού τι κακὸν εἰπεῖν, οὐκ ἂν εἶχέ σου τὰ ὄμματα αἰδώς'. [a 15]
καὶ περὶ ὧν ἀγωνιῶσι μὴ φοβούμενοι, ἐκεῖνα καλά, οἷον εἰ διαλέγεταί
τις καὶ ἀγωνιᾷ, ἵνα μὴ ἡττηθῇ, ἀγαθὸν ἐκεῖνο τὸ δι' ὃ ἡ ἀγωνία, οἷον ἡ
γνῶσις καὶ ἡ ἐν λόγοις δεινότης καὶ ἡ τιμή· διὰ ταῦτα γὰρ ἀγωνιᾷ. πάλιν

---

3 ἄλλοις V: ἀλλόκλοις n 8 αὐτοῦ Arist. ἔχει scripsi ex Aristotele: ἔχειν Vn 11 ἔργα om. n ἄλλων V Arist. ABCDE: καλῶν n Arist. QYb Zb 14. 15 ἀλλὰ μὴ περὶ αὐτόν. καὶ περὶ τοὺς εὖ ποιήσαντας Arist. ποιεῖν om. n 24 θέλω κτλ.] Alcaei fr. 55 Bergk. εἰπεῖν Vn Arist. vulg.: εἰπῆν Arist. A 25 αἴθ' κτλ.] Sapph. fr. 28 Bergk. αἴθ' Vn: αἰ δ' Arist. ἧκες Vn: ἵκες Arist. BYb: ἧχες Arist. cet. (ex corr. A) ἐς Vn Arist. A: om. Arist. cet. 27 μητιτειπῆν Arist. A: μήτ' εἰπεῖν Arist. QYb γλῶσσαι κυκᾶι Arist. A 28 ὄμματα Vn Arist. A: ὄμματ' Arist. vulg. 29 ὧ V Arist. QZb: ᾧ n: τῷ Arist. cet. (τω corr. A) δικαίῳ n; ceterum τ προσγεγρ. in V plerumque abest 31 τι V: τὲ n

ἡνίκα τις ἀγωνιᾷ τυχὸν τυχεῖν τινος, μέγα ἐκεῖνο καλόν, οὗ τυχεῖν f. 18v
ἐφιέμενος ἀγωνιᾷ, οἷον ἀρχῆς τινος ἢ ἀξιώματος. καλῶς δὲ προσέθηκε τὸ 20
'μὴ φοβούμενοι'· οἱ γὰρ κλέπται καὶ μοιχοὶ οὐκ ἀγωνιῶσι μόνον ἀλλὰ
καὶ φοβοῦνται. [a 16] καὶ αἱ τῶν φύσει σπουδαιοτέρων ἀρεταὶ
5 καλλίους καὶ τὰ ἔργα, οἷον ἀνδρὸς ἢ γυναικός· καὶ ὅσαι ἀπο-
λαυστικαὶ ἄλλοις εἰσὶν ἀρεταὶ ἢ αὐτοῖς καλλίους, ὡς τὸ δίκαιον
καὶ ἡ δικαιοσύνη καὶ τὸ ἀνδρεῖον καὶ ἡ ἀνδρία μέγα καλόν. [a 19]
καὶ τὸ τοὺς ἐχθροὺς τιμωρεῖσθαι καὶ μὴ καταλλάττεσθαι καλόν·
τὸ γὰρ ἀνταποδιδόναι δίκαιον, τὸ δὲ δίκαιον καλόν· τὸ ἄρα τιμω- 25
10 ρεῖσθαι τοὺς ἐχθροὺς καὶ μὴ καταλλάττεσθαι καλόν· τὸ γὰρ ἀνταποδιδόναι
δίκαιον. ἔτι δ' οὖν ἀνδρείου τὸ μὴ ἡττᾶσθαι· ἀνδρείων οὖν τὸ μὴ
καταλλάττεσθαι πρὸς τὸ μὴ δοκεῖν ἡττᾶσθαι. [a 22] καὶ νίκη καὶ τιμὴ
τῶν καλῶν· αἱρετά τε γὰρ ταῦτα ἄκαρπα ὄντα καὶ δι' ἑαυτὰ μόνον
ὄντα διωκτά· τὰ μὲν γὰρ εὔκαρπα διὰ κέρδος καὶ χρηματισμὸν διώκομεν,
15 τὰ δὲ ἄκαρπα ὡς δι' ἑαυτὰ αἱρετὰ σπεύδομεν λαβεῖν. [a 23] δηλοῖ δὲ 30
ὑπεροχὴν ἀρετῆς ἡ τιμὴ καὶ ἡ νίκη. καὶ τὰ μνημονευτὰ ἤτοι
τὰ μνήμης ἄξια ἔργα, οἷον τὸ τοῦ Κυναιγείρου, οἱ ἐπιτύμβιοι στίχοι, οἱ
τύμβοι, οἱ ἐπιτάφιοι λόγοι, καὶ τὰ ἐν Σφακτηρίᾳ καὶ Πύλῳ τῶν Ἀθηναίων
ἔργα. [a 24] καὶ μᾶλλον τὰ μᾶλλον, ὡς ἅλωσις Τροίας, ὡς κατάπτω-
20 σις Βουλγάρων, ὡς ἡ Περσῶν κατάλυσις ὑπὸ Ἀθηναίων. καὶ ἃ μὴ
ζῶντι ἕπεται, μνήμης ἄξια, ἀλλὰ καὶ θανόντι μεγάλα καλά, οἷον νοσο-
κομεῖα, ξενῶνες, πτωχῶν ἐτήσια καὶ μετὰ θάνατον σιτηρέσια, ναῶν θείων 35
ἀνοικοδομαὶ ἀρετῆς ἔργα καὶ μετὰ θάνατον περιλάληπτα. [a 25] καὶ τὰ
περιττὰ καλά, ὡς τὸ εἰδέναι γεωμετρίαν, μεγάλην σύνταξιν, ἀστρονομίαν,
25 μουσικήν· ταῦτα γὰρ περιττὰ καὶ δεινὰ καὶ διὰ τοῦτο μεγάλα· περιττὰ δὲ
τὰ ποικίλα καὶ κομψὰ καὶ ὡραῖα καὶ εἰς κάλλος εὖ ἔχοντα, ὡς ἔφημεν
ὄπισθεν. καὶ τὰ μόνῳ ὑπάρχοντα ὡς ἡ βασιλεία. καὶ ὅπερ ἂν εὑρεθῇ
παρά τινι ἀγαθὸν μόνῳ μηδενὸς ἄλλου ἔχοντος ἐκεῖνο, μέγα, ὡς ἐν τῇ 40
νέᾳ Ῥώμῃ ὁ περιώνυμος τῆς τοῦ θεοῦ σοφίας ναός· [a 26] εὐμνημονευ-
30 τότερα γὰρ τὰ μόνῳ ὑπάρχοντά τινι. καὶ κτήματα ἄκαρπα καλὰ
διὰ τὸ τῆς εὐφροσύνης ἐλευθέριον. καὶ τὰ παρ' ἑκάστοις δὲ ἴδια
καλά. ἀνωτέρω μὲν εἶπε τὸ ἑνὶ μόνῳ ὑπάρχον καλόν, νῦν δὲ καὶ τὰ
παρ' ἑκάστοις. οἷον | ⟨ἐν⟩ Ἀθηναίοις λέγω λόγος, ἐν Λάκωσιν ἀνδρία, f. 19r
ἐν Ἠλείοις Ὀλύμπια. [a 28] καὶ ὅσα σημεῖα τῶν παρ' ἑκάστοις

---

5 ὅσαι Vn: αἱ Arist. 7 καὶ ὁ ἀνδρεῖος καὶ ἡ ἀνδρεία n 8 τιμωρεῖσθαι Vn Arist. A: τιμωρεῖσθαι μᾶλλον Arist. vulg. 9 τό τε γὰρ Arist. δίκαιον (post δὲ) scripsi ex Aristotele: abscissum in V: om. n 11 ἀνδρείου scripsi ex Arist. A: ἀνδρ' V: ἀνδρεῖον Arist. vulg.: ἀνδρεία n 16 μνημονευτὰ Vn Arist. CTr.: μνημονεύματα Arist. cet. 17 οἱ ἐπιτύμβιοι—λόγοι (18) sententiae conexum interrumpunt 18 καὶ post τύμβοι add. n 19 καὶ μᾶλλον τὰ μᾶλλον Vn Arist. BC Tr.: καὶ τὰ μᾶλλον μᾶλλον Arist. cet. 23 οἰκοδομαὶ n 27 ὄπισθεν] p. 26,14 29 εὐμνημονευτότερα V Arist. ABCTr.: εὐμνημόνευτα Arist. cet.: εὐμνημοτευτότερα n 33 ἐν addidi ἀνδρεία n (per comp. V) 34 σημεῖά ἐστιν Arist.

ἐπαινουμένων, οἷον ἐν Λακεδαίμονι τὸ κομᾶν σημεῖον ἐλευθερίας f. 19r
καὶ εὐγενείας. [a 31] καὶ τὸ μηδεμίαν ἐργάζεσθαι βάναυσον τέχνην σημεῖον ἀνδρὸς ἐλευθέρου μὴ θέλοντος πρὸς ἄλλον ζῆν. καὶ τὸ σπουδάζειν ἐν λόγοις δεῖγμα φιλοπονίας καὶ σπουδαίου ἀνδρός. [a 32] 5
5 ληπτέον δὲ καὶ τὰ σύνεγγυς τοῖς ὑπάρχουσιν. εἴπομεν, φησί, περὶ ἀρετῶν μεσοτήτων καὶ ἔργων αὐτῶν καὶ σημείων καί τινων τόπων· νῦν δὲ βουλόμεθά σε διδάξαι, πῶς καὶ ἐν ταῖς ὑπερβολαῖς τῶν ἀρετῶν καὶ ταῖς ἐλλείψεσιν εὑρήσεις τι πρὸς ἔπαινον χρησιμώτατον, ὥσπερ καὶ ἐκ τῶν μεσοτήτων εὑρήσεις τι πρὸς καταφοράν τινος ἐπιτηδειότατον τὸ παρά-
10 δοξον. ὑπάρχουσι μὲν ἀγαθὰ αἱ μεσότητες, σύνεγγυς δὲ αὐταῖς τὰ ἄκρα 10
εἰσίν, οἷον τῇ σωφροσύνῃ ἡ ἠλιθιότης καὶ τῇ ἀνδρίᾳ ἡ θρασύτης καὶ τῇ φρονήσει ἡ πανουργία· ἐγκωμιάζων οὖν εἰπὲ τὸν ἠλίθιον σώφρονα καὶ χρηστὸν καὶ τὸν εὐλαβῆ καὶ εὔψυχον δειλὸν καὶ ἐπίβουλον (ὁρᾷς, ὅπως ἐκ τῆς μεσότητος τόπος σοι πρὸς ψόγον παραδοξότατος δέδοται) καὶ τὸν
15 ἀνάλγητον κάλει πρᾶον. [a 35] καὶ ἕκαστον δὲ ἐκ τῶν παρακολουθούντων αἰεὶ κατὰ τὸ βέλτιστον, ἤτοι ἐπαίνει τὸ τῆς ἀκρότητος 15
φαῦλον προσφόρως κατὰ τὸ βέλτιστον τῆς μεσότητος. [a 37] οἷον τὸν ὀργίλον καὶ τὸν μανικὸν ἁπλοῦν εἰπὲ καὶ ὡς οὐ βουλόμενον βυσσοδομεύειν ἐντός, καὶ τὸν αὐθάδη μεγαλοπρεπῆ καὶ σεμνὸν ὡς οὐ
20 θέλοντα ὑπείκειν ἐν πράγμασιν εὐτελέσι. τὰ δ' ἄλλα σαφῆ. [b 7] σκοπεῖν δὲ καὶ παρ' οἷς ὁ ἔπαινος. δεῖ, φησί, τὸν ἐγκωμιάζοντα καὶ ἐπαινοῦντα σκοπεῖν, παρ' οἷς ἀκροαταῖς ὁ ἔπαινός ἐστι καὶ τί ἐν 20
ἐκείνοις τὸ ἐπαινούμενον καὶ τιμώμενον, οἷον ἐν Ἀθήναις λόγος· οὐκοῦν εἴποις ἄν, ὅτι ὁ ἐπαινούμενος ἐν λόγῳ πάντων ἐκράτει· ἐν δὲ Λάκωσίν
25 ἐστιν ἀνδρία τὸ τιμώμενον καὶ κάλλιστον· εἰ τοίνυν ἐπαινεῖς, ἐρεῖς ἄν, ὅτι ἀνδρεῖος ὅδε κατ' ἐξαίρετόν ἐστι· καὶ οὕτως ἐν πᾶσιν. [b 8] ὥσπερ καὶ Σωκράτης ἔλεγεν, οὐ χαλεπὸν Ἀθηναίους ἐν Ἀθηναίοις ἐπαινεῖν· εἰ γὰρ ἐν Ἀθηναίοις ὁ λόγος τιμᾶται καὶ πρεσβεύεται, τὸ τοὺς Ἀθηναίους ἐπαινεῖν διὰ λόγου τοῦ καλλίστου σπουδάσματος παρ' 25
30 αὐτοῖς οὐ χαλεπόν. οὕτω μὲν ὁ φιλόσοφος ἔφη, ἐμοὶ δὲ δοκεῖ τοιόνδε εἶναι τὸ νόημα· σκόπει, παρὰ τίσιν ἀκροαταῖς ἐγκωμιάζεις· οὐ γὰρ παρ' ἅπασιν ἁπλῶς καὶ ἀδιαστόλως ἀκροαταῖς ὁ ἔπαινος καὶ ὁ ψόγος γίνεται, δεόμεθα δέ τινος ὑποδιαστολῆς· τίς δέ ἐστιν αὕτη; ὃν βούλει ἐγκωμιάσαι, ἀγαπώμενος ἔστω τοῖς ἀκροαταῖς καὶ τιμώμενος, ἀλλὰ μὴ τοὐναντίον ἐχθρός. 30
35 αὐτίκα, εἰ τὸν Φίλιππον ἐπαινέσαι θελήσεις παρ' Ἀθηναίοις, ἄτεχνος ὁ ῥήτωρ ὀφθήσῃ, καὶ εἰ Λακεδαιμονίους ἐν Ἀθηναίοις, οὐ μεθοδεύεις ὀρθῶς. ἀλλὰ τί δεῖ; ψέγε Φίλιππον ἐν Ἀθηναίοις, ἐγκωμίαζε Περικλῆν, ἐν

---

1 τὸ om. Arist. ἐλευθερίας Vn Arist. vulg.: ἐλευθέρου Arist. A Tr. 3 ἐλευθέρου Vn Arist. ATr.: ἐλευθέριον Arist. vulg. 8 καὶ om. n 11 ἡ (ante ἠλιθιότης) om. n ἀνδρείᾳ n (per comp. V) 12 εἰπὲ scripsi: abscissum est in V: ἐρεῖς n 14 πρὸς ψόγον V: καὶ ψόγος n 16 ἀεὶ Arist. τὸ om. n 18 οὐ om. n 21 σκοπεῖ n 23 fort. ἐν Ἀθηναίοις 25 ἀνδρεία n (per comp. V) 27 καὶ n: γὰρ ὁ Arist. Σωκράτης] cf. Plat. Menex. 235 D

Ἀθηναίοις Ἀθηναίους, ἐν Λακεδαιμονίοις Λάκωνας, ἐν Ἠλείοις Ἠλείους, f. 19r
μὴ Ἀθηναίους, ἵνα μὴ καὶ αὐτὸς κατὰ τὸν Ἀλκιβιάδην αἰκισθῇς ὑπ' αὐ-
τῶν τῆς ἀρίστης πόλεως εἰπόντα εἶναι. [b 9] δεῖ δὲ τὸ παρ' ἑκάστοις 35
τίμιον ὡς ὑπάρχον λέγειν. ὃ δοκεῖ, φησί, τῇ πολιτείᾳ τίμιον εἶναι,
5 τοῦτο ἐπαινείσθω ὡς καλόν, οἷον τὸ παρ' Ἀθηναίοις τίμιον τὸν λόγον
λέγε καλὸν καὶ ἀγαθόν, τὸ παρὰ Ταυροσκύθαις τίμιον τὸ ξενοκτονεῖν ἀπο-
δείκνυε καλόν, εἴ γε παρ' ἐκείνοις τίμιον· τὸ δὲ τίμιον καλόν· ἐπεὶ γειτνιᾶν
δοκεῖ τὸ τίμιον καὶ τὸ καλόν· δεῖ γὰρ τὸν ῥήτορα τὸ τῆς πόλεως ἔθιμον
ἢ νόμιμον ἢ τὸ τιμώμενον ἁπλῶς καλὸν λέγειν. [b 12] καὶ ὅσα κατὰ 40
10 τὸ προσῆκον. οἷον εἰ ἄξια τῶν προγόνων καὶ τῶν πορρωτέρω αὐ-
τοῦ γονέων ἔπραξέ τις ἔργα· εὐδαιμονικὸν γὰρ τοῦτο καὶ καλὸν τὸ
πρᾶξαί τινα τῶν προγόνων ἐπάξια. [b 14] καὶ τὸ προσεπικτᾶσθαι
τιμὴν καλόν· τὸ γὰρ προσεπαύξειν ἑαυτῷ τινα τιμὴν ἐπὶ τιμῇ καὶ δόξαν
| ἐπὶ δόξῃ ἐκ τῶν καλλίστων πάντως ἔργων καλὸν μέγα. [b 14] ἢ εἰ f. 19v
15 παρὰ τὸ προσῆκον ἐπὶ τὸ βέλτιον καὶ κάλλιον, οἷον εἰ δεκαετὴς
ἠρίστευσέ τις, παρὰ τὸ προσῆκον μέν, ἀλλὰ πρὸς τὸ βέλτιον καὶ κάλλιον.
καὶ εἰ εὐτυχῶν μέτριός ἐστι, παρ' ἐλπίδα τοῦτο· ἕπεται γὰρ τῷ εὐ-
τυχοῦντι τὸ ἐπαίρεσθαι. καὶ εἰ ἀτυχῶν μεγαλόψυχός ἐστι, παρὰ τὸ
προσῆκον καὶ παρ' ἐλπίδα, ἐπὶ τὸ βέλτιον δέ· τῷ γὰρ ἀτυχοῦντι προσῆ- 5
20 κον τὸ καταπίπτειν καὶ μικροψυχεῖν καὶ ταπεινοῦσθαι. [b 16] πάλιν εἰ
μείζων γινόμενός τις μετριώτερος ἑαυτοῦ καὶ πρακτικώτερος γίνεται.
γράφεται δὲ καὶ καταλλακτικώτερος, ἤγουν ἐστὶ μνησίκακος καὶ ταπει-
νόφρων παρὰ τὸ προσῆκον, ἀλλ' ἐπὶ τὸ βέλτιον. οἷον τὸ τοῦ Ἰφικρά-
τους, ἐξ οἵων εἰς οἷα μετῆλθε, μένει δὲ ὅμως μέτριος. [b 18] καὶ
25 τὸ τοῦ ὀλυμπιονίκου·

"πρόσθεν ἀμφ' ὤμοισιν ἔχων τραχεῖαν ἄσιλλαν" 10

ὕστερον ἐκλείσθη μένων ἐπὶ τῆς αὐτῆς γνώμης καὶ μὴ κατεπαιρόμενος τῶν
πολλῶν. [b 19] καὶ τὸ τοῦ Σιμωνίδου περὶ γυναικός τινος 'καὶ πατρὸς
μὲν καὶ ἀνδρὸς καὶ ἀδελφῶν βασιλέων οὖσα, μένουσα μέντοι μετριόφρων
30 καὶ πᾶσιν ἐδισταμένη τοῦ θρόνου καὶ μετριάζουσα καὶ τὴν ἰσονομίαν ἀσπα-
ζομένη'. ταῦτα εἰπὼν καὶ βουλόμενος ἐπὶ τούτοις διδάξαι, ὅτι δεῖ τὸν
ἐγκωμιάζοντα πρὸς τοῖς ἄλλοις δεῖξαι καὶ μετὰ προαιρέσεως ἐργαζόμενον
ἢ ἐργασάμενον τὸ ἀγαθὸν τὸν ἐπαινούμενον, φησὶν [b 21] ὅτι, ἐπεὶ ὁ 15

---

1 fort. ἐν Ἀθηναίοις, ⟨καὶ ὅλως ἐν Ἀθηναίοις⟩ Ἀθηναίους 2 ὑπὸ n 3 δὲ καὶ τὸ n 4 τίμιον ὂν λέγειν ὡς ὑπάρχε[l litt. erasa]ν Arist. A (ὂν om. Arist. vulg.; ὑπάρχον CDTr., ὑπάρχει cet.) 12 καὶ τὸ Vn Arist. A: καὶ om. Arist. vulg. 14 ἢ Vn Arist. vulg.: καὶ Arist. A 15 δὲ ἐπὶ Arist. 15. 17 καὶ τὸ κάλλιον, οἷον εἰ (ὁ add. vulg.) εὐτυχῶν Arist. 17 μὲν μέτριος Arist. 18 ἀτυχῶν δὲ Arist. A: ὁ δ' ἀτυχῶν Arist. vulg. 21 γιγνόμενος Arist. A: γενόμενος Arist. vulg. πρακτικώτερος Vn: *in aliis operosior* Arist. Tr. (codicem, quo tralator usus est, exhibuisse καταλλακτικώτερος, ascriptam autem fuisse variam lectionem ἐν ἄλλοις 'πρακτικώτερος' Roemer vidit): καταλλακτικώτερος Arist. vulg. 23 τὸ τοῦ Vn Arist. A: τὸ om. Arist. vulg. 26 πρόσθεν Vn: πρόσθε μὲν Arist. (μὲν om. Tr.); cf. p. 40,8 (Simonid. fr. 163 Bergk.) ἄσιλλαν hic om. Arist. 28 Σιμωνίδου] fr. 111 Bergk. 33 ἐπεὶ om. n

ἔπαινος ἐκ τῶν πράξεων, τοῦ δὲ σπουδαίου τῶν πράξεων ἐργάτου f. 19v
ἴδιον τὸ κατὰ προαίρεσιν πράττειν, πειρατέον δεικνύναι τὸν ἐπαινούμενον κατὰ προαίρεσιν πράττοντα. [b 23] χρήσιμον δὲ τὸ δεῖξαι πολλάκις ὅτι κατὰ προαίρεσιν ἔπραξεν· οὕτω γὰρ μέγα φανεῖται καὶ προαιρετικὸν τὸ ἀγαθόν, οὐκ ἀκούσιον· διὸ κἂν μετὰ προαιρέσεως ἔπραξεν, εἰπέ, ὅτι καὶ πολλάκις τὸ τοιοῦτον πέπραχε, κἂν κατὰ σύμπτωμα, πάλιν μετὰ προαιρέσεως γεγονέναι πειράσθητι κατασκευάσαι, οἷον εἰ τὴν ἀσπίδα ὡς δειλὸς ἔρριψε καὶ πολέμιον πλήξας νίκην εἰργάσατο κατὰ σύμπτωμα καὶ τύχην, ὡς ἐν προαιρέσει ληπτέον τὸ γεγονός, καὶ εἰ μαινόμενός τις ἐφόνευσε τύραννον, ὁμοίως ἐν προαιρέσει γενέσθαι δεῖξον· [b 25] πρόφερε δὲ καὶ ἕτερ' ἄττα τοιαῦτα παρ' αὐτοῦ γεγονότα, καὶ τόδε βεβαιωθήσεται καὶ σημεῖον εἶναι δόξει ἀρετῆς τε καὶ προαιρέσεως· οἷον τυχὸν ἐξῆλθέ τις τῆς πόλεως διὰ τὸ διψῆν καὶ ἐντυχὼν τῷ στρατηγῷ τῶν πολεμίων κοιμωμένῳ ἐφόνευσεν αὐτὸν καὶ νίκην εἰργάσατο· εἰπέ, ὅτι μὴ κατὰ τύχην ἔκτεινεν, ἀλλὰ προσκεψάμενος καὶ βουλευσάμενος καὶ μετὰ προαιρέσεως ἐφιεμένης ἀριστεύειν ἐξῆλθε καὶ σκοποῦ ἐπαινετοῦ. [b 26] ἔστι δὲ ἔπαινος λόγος αὐξητικὸς ἐμφανίζων μέγεθος ἀρετῆς. τῶν ἕξεων δέ ἐστιν ὁ ἔπαινος, τὸ δὲ ἐγκώμιον τῶν ἔργων καὶ τῶν πράξεων. δεῖ οὖν τὰς πράξεις δεικνύναι μεγάλας τῶν ἐχόντων τὰς ἕξεις καὶ ἐγκωμιάζειν τὰ ἔργα. [b 29] τὰ δὲ κύκλῳ καὶ ἐκτὸς εἰς πίστιν παραλαμβάνειν τῶν πράξεων, οἷον εὐγένειαν, εὐείδειαν. γράφεται δὲ καὶ παιδείαν· κάλλιον δὲ εἶναι παιδείαν διὰ τὸ ἐφεξῆς· εἰκὸς γὰρ φησὶ τὸν οὕτω τραφέντα καὶ παιδευθέντα τοιοῦτον εἶναι. διὸ ἐγκωμιάζομεν πράξαντας ἤτοι πολεμήσαντας γενναίως καὶ στρατηγήσαντας καὶ τριηραρχήσαντας. [b 31] τὰ δὲ ἔργα σημεῖα τῆς πράξεως. τὸ δὲ ἔργον ἀποτέλεσμα τῶν πράξεων, ἡ δὲ πρᾶξις ἐνέργεια μετὰ λόγου· ἐπαινοῦμεν οὖν τὰς ἕξεις, ἐγκωμιάζομεν δὲ τὰς πράξεις· τὰ δὲ ἔργα σημεῖα τῶν πράξεων φέρομεν ἀναγκαῖα τεκμήρια καὶ παραστατικὰ καὶ ἄλυτα. οὐ μόνον δὲ ἀπὸ τῶν ἔργων ἐπιφέρομεν ἐγκώμια τῶν πράξεων, ἐπεὶ καὶ χωρὶς ἔργων ἐπαινέσομεν τὸν ἔχοντα τὴν ἕξιν ὡς μέλλοντα πρᾶξαι, οἷον τὸν νῦν προχειρισθέντα στρατηγὸν ἐπαινοῦντες ἐροῦμεν, ὅτι στρατηγήσει, ὅτι νικήσει ἔχων τὴν ἕξιν, καὶ τὸν ῥητορικῆς ἔχοντα ἕξιν καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. [b 33] μακαρισμὸς δὲ καὶ εὐδαιμονισμὸς ἑαυτοῖς μὲν ταὐτά, τούτοις δέ, τῷ ἐπαίνῳ καὶ τῷ ἐγκωμίῳ, οὐ ταὐτά, ἀλλ' ἐμπεριέχονται καὶ ὑποβεβηκότα εἰσὶ πρὸς τὸν μακαρισμόν· ὡς γὰρ ἡ εὐδαιμονία περιέχει τὴν ἀρετήν, οὕτω καὶ ὁ εὐδαιμονισμὸς περιέχει τὸ ἐγκώμιον

---

3 χρήσιμον — πολλάκις om. n exspectes ὅτι πολλάκις 4 κατὰ προαίρεσιν hic om. Arist. (praeter Tr.) 6 τοιοῦτο n 13 τῆς πόλεως V: τῇ πόλει n τὸ om. n 21 εὐήδειαν n εὐγένεια καὶ παιδεία Arist. 23 διὸ καὶ Arist. 24 τριηραρχίσαντας n
25 πράξεως V Arist. C (et A posteriore libri III loco): ἕξεως n Arist. cet.: cf. Stephan. ad hunc locum οὕτω (scil. ἕξεως) γραπτέον καὶ μὴ πράξεως κτλ. 33 αὐτοῖς Arist.

καὶ τὸν ἔπαινον. [b 36] ἔχουσι δέ τι κοι|νὸν αἱ συμβουλαὶ καὶ ὁ f. 20r
ἔπαινος· ὧν γὰρ στοχάζεται ὁ συμβουλευτικός, ταῦτα λυσιτελεῖ τῷ
παν̄ηγυρίζοντι, καὶ ὅσα τοῖς παν̄ηγυρίζουσι συντείνει, ταῦτα καὶ τῷ συμ-
βουλεύοντι μεγάλην εἰς τὸ συμβουλεύειν παρέξει ῥοπήν. [b 37] ἃ γὰρ
5 φησὶν ἐν τῷ συμβουλεύειν ὑπόθοιο ἄν, ταῦτα μετατεθέντα τῇ
λέξει καὶ τῇ φράσει ἐγκώμια γίνεται· ἐπεὶ οὖν, ὡς ἤδη παραδεδώ-
καμεν ἐν τοῖς περὶ τοῦ συμβουλευτικοῦ τόποις καὶ ἐνθυμήμασι καὶ ταῖς 5
πίστεσιν, ἔχομεν ἃ δεῖ πράττειν ἀγαθά, καὶ ὁποῖον δεῖ εἶναι τὸν
συμβουλεύοντα, ἡνίκα συμβουλεύειν ἐπιχειρεῖ, καὶ ἐκ τίνων πίστεων ὁρμᾶ-
10 σθαι, ταῦτα. ἃ ὡς ὑποθήκας ἔλεγε καὶ παραινέσεις, δεῖ μετατιθέναι
καὶ στρέφειν, οἷον ὑποθήκη μὲν τὸ 'οὐ δεῖ μέγα φρονεῖν', εἰ δ' ἐρεῖς
'οὐ μέγα ἐφρόνει τοῖς ἐκτὸς ἀλλὰ τοῖς δι' ἑαυτὸν καὶ ἐντὸς ἀγαθοῖς
ἔργοις', ἔπαινος. [1368a10] χρηστέον δὲ καὶ τῶν αὐξητικῶν, ὅτι 10
μόνος ἠρίστευσεν, ὅτι πρῶτος ἔτρεψε τοὺς πολεμίους ἢ μετ' ὀλίγων
15 στρατιωτῶν, ἢ ἄλλοι μὲν ἠρίστευσαν, μάλιστα δὲ πάντων οὗτος. [a 12]
ἅπαντα δὲ ταῦτα καλά. ἔτι δὲ τὰ τῶν καιρῶν, ὅτι ἐν καιρῷ ἀνάγκης
καὶ πολιορκίας ὠφέλησε τὴν πόλιν ῥήξας τὰς πύλας ὁ στρατηγός· καὶ τὰ
τῶν χρόνων, ὅτι ἐν χρόνοις τοιούτοις ἐσιτάρκησε τῇ πόλει ἢ τρόπαιον
ἔστησε. [a 13] ταῦτα δέ, εἰ παρὰ τὸ προσῆκον ἤτοι παρὰ πᾶσαν
20 ἐλπίδα, καὶ ὅπερ ἔμπροσθεν εἰρήκειμεν, εἰ νέος ὢν δεκαετὴς ἠρίστευσε, 15
παρὰ τὸ προσῆκον, καὶ εἰ ἀνελθὼν ξένος εἰς τὸ τεῖχος ἠρίστευσε, παρὰ τὸ
προσῆκον, ἐπὶ τὸ βέλτιον δέ. καὶ εἰ πολλάκις τὸ αὐτὸ κατώρθωκε·
μέγα δὲ οὐκ ἀπὸ τύχης ἀλλὰ δι' αὑτὸν δείξει καὶ μετὰ προαιρέσεως.
[a 15] καὶ εἰ τὰ προτρέποντα καὶ τιμῶντα δι' αὑτὸν εὑρέθη,
25 ἐπαινετός, ὥσπερ πολλοὶ τῶν σοφῶν ἐπαινετοί, οἱ μὲν εὑρόντες τὰ προ-
τρέποντα, τὰς παραινέσεις καὶ συνθήκας, οἱ δὲ τὰ τιμῶντα καὶ εἰς τιμὴν
ἄγοντα, ὡς τὰς ἐπιστήμας τὰς λογικάς, αἳ εἰς τιμὴν ἄγουσι. [a 16] καὶ 20
εἰς ὃν πρῶτον ἐγκώμιον ἐποιήθη, μέγας οὗτος καὶ ἐπαινετός, ὥσπερ
Ἱππόλοχος εὗρε πρῶτος τὸ ἐγκωμιασθῆναι, μᾶλλον δὲ εὐτύχησε καὶ ἔσχε,
30 καὶ Ἁρμόδιος καὶ Ἀριστογείτων εὗρον πρῶτοι τὸ σταθῆναι ἐπ' ἀγορᾶς ἐν
στήλαις. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἐναντίων φαῦλός ἐστι μεῖζον, εἰς
ὃν ἐποιήθη πρώτως ψόγος καὶ ἀφ' οὗ εὑρέθη τὰ εἰς κακίαν προτρέποντα,
ὥσπερ ὁ Κάιν, ᾧ πρώτως φόνος τετόλμηται, καὶ ᾧπερ εὑρέθη πρώτως

---

1 τι Vn Arist. C: om. Arist. cet. καινὸν n κοινὸν εἶδος Arist. 1. 2 ὁ ἔπαινος καὶ αἱ συμβουλαί Arist. 4. 5 γὰρ—ὑπόθοιο ἄν Vn Arist. AC (ὑπόθοι n): γὰρ ἂν—ὑπόθοιο Arist. cet. 6 παραδεδώκαμεν] p. 20,23 sq. 8 ἀγαθὸν n ὁποῖον Vn: ποῖόν τινα Arist. δεῖ εἶναι Vn Arist. CTr.: εἶναι δεῖ Arist. cet. 10 μετατιθέναι δεῖ Arist. ACTr.: δεῖ om. Arist. cet. 12 ἐντὸς V: ἐν τοῖς n 13 αὐξητικῶν πολλοῖς Arist. 16 δὲ (ante ταῦτα) Vn: γὰρ Arist. 18 ἐσιτάρκησε, κ ex χ (nisi forte χ ex κ), V τὴν πόλιν n 19 εἰ om. Arist.: fort. εἰσι 20 ἔμπροσθεν] p. 39,11 εἰρήκαμεν n 23 δὲ Vn: γὰρ καὶ Arist. δείξει Vn: ἂν δόξειεν Arist. 24 διὰ τοῦτον Arist. 28 ὃν Vn Arist. ABCD: ὃ Arist. cet. 31 μεῖζον n: μείζων V 32 πρῶτος n 33 κάϊν V: καίνων n καὶ—τετόλμηται (p. 57,1) om. n

τι φαῦλον ἢ τετόλμηται. [a 19] κἂν μὴ εἰς αὐτὸν εὐπορῇς, ἀντι- f. 20r
παράβαλλε πρὸς ἄλλον τὸν συγκρινόμενον, ὅπερ Ἰσοκράτης ἐποίησεν
παραβαλὼν τὴν Ἑλένην τῇ Ἀφροδίτῃ διὰ τὸ κάλλος, καὶ ὁ Ἀφθόνιος τὸν
Ἕκτορα τῷ Ἀχιλλεῖ. [a 21] δεῖ δὲ ἐν τῷ παραβάλλειν πρὸς ἐνδόξους
παρεξετάζειν· αὐξητικὸν γάρ, εἰ καλλίων ὁ ἐπαινούμενός ἐστι τοῦ ἀντεξ-
εταζομένου σπουδαίου· οἷον εἰ δείξομεν Ἕκτορα μείζονα τυχὸν ἢ ἴσον τῷ
Ἀχιλλεῖ, αὔξησις. [a 22] πίπτει δὲ εὐλόγως μᾶλλον ἐν τοῖς πανη-
γυρίζουσι καὶ τοῖς ἐπαινοῦσιν ἡ αὔξησις· δέχονται μὲν γὰρ καὶ τὰ ἕτερα
εἴδη τῆς ῥητορικῆς τὴν αὔξησιν, μᾶλλον δὲ προσήκει τοῖς ἐπαίνοις ἡ
αὔξησις· ἐν ὑπεροχῇ γάρ ἐστιν. ἡ ὑπεροχὴ τῶν καλῶν ἤτοι τὰ
καλὰ ὑπερέχει μέν, ἀλλὰ δεῖ ταῦτα λαβεῖν ὑπεροχὴν μείζω παρὰ τῶν
ἐπαινετῶν, ἵνα γένωνται ἑαυτῶν ὑπερέχοντα καὶ διαδηλότερα. [a 24] ἡ
ὑπεροχὴ τοίνυν τῶν καλῶν ἤτοι τὸ διδόναι αὐτοῖς ὑπεροχὴν ἐν ὑπεροχῇ
ποιεῖ αὐτὰ καὶ οἷον μείζω ἑαυτῶν. διὸ κἂν μὴ πρὸς ἐνδόξους ἰσχύῃς
παραβάλλειν, ἀλλὰ κἂν πρὸς τοὺς πολλούς, παράβαλλε, ἵν' ὁ σπουδαῖος
πρὸς πολλοὺς συγκρινόμενος ὑπερέχειν αὐτῶν δόξῃ εἰς πρὸς πολλοὺς ἀντεξ-
εταζόμενος καὶ ὑπερφέρων φαινόμενος· καὶ ἄλλως δὲ οἱ πολλοὶ δόξουσιν
ἕνα σπουδαῖον καὶ ἔνδοξον ποιεῖν, [a 25] ἐπείπερ ἡ ὑπεροχὴ ἡ πρὸς
πολλοὺς δοκεῖ μηνύειν ὑπεροχὴν τοῦ ἐγκωμιαζομένου· δεικνὺς οὖν, ὅτι
ἡ αὔξησις λυσιτελεῖ ἐν τοῖς ἐπαίνοις, φησίν, ὅτι πολλὰ μὲν ἔχουσι κοινὰ
τὰ τρία εἴδη· τά τε γὰρ ἐνθυμήματα κοινὰ καὶ τὰ παραδείγματα κοινὰ
καὶ ἡ αὔξησις κοινὴ τοῖς τρισίν. εἰσὶ δὲ καὶ ἄλλα κοινὰ τούτοις τοῖς
λόγοις τῶν τριῶν εἰδῶν, τὸ ποιὸν ἑαυτὸν δεικνύειν, τὸ τὸν ἀκροατὴν τοιῶσδε
προπαρασκευάζειν, τὸν ἐκκλησιαστήν, τὸν δικαστήν, τὸν θεωρὸν ἀναδιδά-
σκειν περὶ τῶν προτεθέντων. πολλῶν οὖν ὄντων κοινῶν | δοκεῖ μᾶλλον f. 20v
τοῖς ἐπαίνοις ἁρμόττειν ἡ αὔξησις. τὰ δὲ λοιπὰ σαφῆ.

10. Περὶ δὲ κατηγορίας καὶ ἀπολογίας ἐχόμενόν ἐστιν εἰπεῖν, ἐκ πόσων καὶ ποίων ὁρμώμενος ὁ κατηγορῶν ἢ ὁ ἀπολογούμενος ποιήσει τοὺς συλλογισμοὺς καὶ τὰς ἀποδείξεις τοῦ προκειμένου. [b 3] δεῖ γοῦν λαβεῖν τρία ἐνταῦθα, ἃ σκοποὶ τῷ κατηγόρῳ καὶ τῷ ἀπολογουμένῳ, ὡς ἐκεῖ τῷ συμβουλεύοντι πέντε. πρῶτον μέν, τίνων ἕνεκα καὶ πόσων ἀδικεῖ ὁ βλάπτων τινά, ἤγουν τίνα εἰσὶ τὰ ἐν οἷς βλάπτει μὲν οὗτος, ἕτερος δὲ βλάπτεται καὶ κατηγορεῖ, τυχὸν χρήματα, ἡδονὴ καὶ τιμή, καὶ ἐφεξῆς τίνα ἐρεῖ καὶ πόσα· καὶ ὁ μὲν κατήγορος ἐρεῖ διὰ ταῦτα

---

1 εἰς αὐτὸν Vn Arist. CYb man. 2: *ad eundem* Arist. Tr.: καθ' αὐτὸν Arist. cet.
1. 2 πρὸς ἄλλους ἀντιπαραβάλλειν Arist. (δεῖ add. C marg.) 2 ὅπερ Vn Arist. vulg.: ὅπερ ὁ Arist. A ἐποίησε n: ἐποίει Arist. 3 Ἀφθόνιος] Progymn. II 43,7 Sp.
5 παρετάζειν n αὐξητικὸν V Arist.: αὔξηται n 8 καὶ τοῖς V: τοῖς om. n
10 ἡ δ' Arist. 14 πρὸς τοὺς Arist. 15 κἂν om. Arist. πρὸς τοὺς ἄλλους δεῖ παραβάλλειν Arist. (τοὺς πολλοὺς Yb man. 2 et Tr.) 16 δόξει n 19 τοῦ om. n
22 τρισί n 24 παρασκευάζειν n 25 οὖν om. n 27 περὶ τοῦ δικανικοῦ εἴδους capiti superscriptum n (in marg. V) κατηγορίας scripsi ex Aristotele: κατηγόρου Vn
30 τῷ (post καὶ) om. n 31. 32 καὶ πόσων ἕνεκα Arist. 32 ἤγουν V: οἷον n

ἀδικῆσαι τόνδε τὸν ἐναγόμενον, ὁ δὲ ἐναγόμενος δείξει ὡς οὐ διὰ ταῦτα. f. 20v
[b 4] δεύτερον δέ, πῶς αὐτοὶ διακείμενοι ἀδικοῦσιν, ἤτοι δυνάμενοι, 10
πλούσιοι ὄντες, λαθεῖν ὑπολαμβάνοντες, φίλοι τῶν κριτῶν ὄντες, καὶ ὅσα
ἐφεξῆς παραδώσει μετὰ τὸ τεχνῶσαί σε ἐν ἐκείνοις, δι' ἃ ἀδικοῦσι, καὶ
5 διδάξαι σε, πόσα εἰσὶ καὶ τίνα, δι' ἃ ἀδικοῦσιν οἱ ἀδικοῦντες· τάξιν γὰρ
ἀρίστην τηρεῖ καὶ ἀλληλουχίαν. [b 5] τρίτον ἐπὶ τούτοις, τοὺς ποίους
καὶ πῶς ἔχοντας ἀδικοῦσιν, ἤγουν τοὺς ἀσθενεῖς, τοὺς ἔχοντας πράγ-
ματα τοιαῦτα, ὧν αὐτοὶ χρῄζουσι, τοὺς ῥᾳθύμους καὶ ἀμελεῖς, τοὺς ὑπὸ 15
πολλῶν ἀδικηθέντας καὶ μὴ ἐπεξελθόντας, τοὺς αἰδήμονας, τοὺς αἰσχυν-
10 τηλούς· ὥσπερ πάλιν καὶ περὶ τούτων ἑπομένως διδάξει μετὰ τὸ παρα-
δοῦναι λόγους γενναίους τε καὶ ἀρίστους περὶ τοῦ πῶς αὐτοὶ διακείμενοι
ἀδικοῦσι. πρῶτον οὖν παραδοτέον, τίνα καὶ πόσα εἰσί, δι' ἅ τινες ἀδικοῦ-
σιν· ἀλλὰ πρότερον εἴπωμεν, τί ἐστι τὸ ἀδικεῖν, εἶτα καὶ περὶ τῶν ἑξῆς
λέγωμεν. [b 6] ἔστω δὴ τὸ ἀδικεῖν τὸ βλάπτειν ἕκαστον παρὰ
15 τὸν νόμον· δεῖ γὰρ προϋποθεῖναι πρότερον, τί τὸ ἀδικεῖν, καὶ πῶς ἀδικεῖ 20
τις, ἑκὼν ἢ ἄκων, καὶ πότε ποιεῖ τις ἑκών, καὶ διὰ τί μοχθηρός ἐστι καὶ
ἀδικητικός, ὅτι διὰ χρήματα τυχὸν ἢ νίκην, καὶ μετὰ ταῦτα εἰπεῖν περὶ
τῶν ὑποσχεθέντων τριῶν. ἀδικία ἐστὶ τὸ βλάπτεσθαί τινα παρὰ τὸν
νόμον. [b 7] ὁ δὲ νόμος ἴδιός ἐστιν ἢ κοινὸς ἤγουν φυσικός, ἴδιος
20 μέν, καθ' ὃν νόμον ἐγγράφως τεθέντα καὶ κυρωθέντα παρὰ νομοθετῶν καὶ
τῶν τῆς πολιτείας σοφῶν, κοινὸς δὲ νόμος ὁ ἄγραφος καὶ πᾶσιν ὁ αὐτὸς 25
ὁμολογούμενος, οἷον τὸ γονεῖς τιμᾶν, τὸ τὸν μὲν ὠνεῖσθαι, τὸν δὲ πωλεῖν,
καὶ τὸν μὲν μισθοῦν, τὸν δὲ ἐκμισθοῦν. χρῄζομεν δὲ καὶ ἑτέρου λήμματος.
πῶς ἀδικοῦσιν οἱ ἀδικοῦντες, ἑκόντες ἢ οὔ. καὶ τί ἐστι τὸ ἑκόντας ποιεῖν·
25 [b 10] ὅταν εἰδότες ποιῶμεν καὶ μὴ ἀναγκαζόμενοι· εἰ γὰρ ἀκούσιόν
ἐστι τὸ βίᾳ καὶ δι' ἄγνοιαν, ἑκούσιον τὸ μήτε ἐξ ἀγνοίας μήτε διὰ βίαν.
βούλεται οὖν εἰπεῖν, ὅτι ἐκεῖνός ἐστιν ἄδικος ὁ μετὰ προαιρέσεως βλάπτων,
ἐπεὶ πολλάκις ἑκουσίως μὲν ποιεῖ τις, οὐ μὴν προαιρούμενος· τὸ γὰρ 30
ῥίπτειν ἐν πελάγει τὰ χρήματα ἑκούσιον μέν, οὐ μὴν προαιρέσεως, ἀλλ'
30 ἀπὸ βίας τινὸς ἢ ἀνάγκης. ἐφίσταται δέ ποτε καὶ ὁ φίλος αἴφνης ἐμοὶ
ἑκουσίως μέν, οὐ μὴν προεβουλευσάμην ἢ προέκρινα ἐλθεῖν αὐτόν, ἀλλ'
ἄφνω ἐπέστη, ἑκόντι δέ μοι. [b 10] ὅσα οὖν ἑκόντες ποιοῦμεν, οὐ
πάντα προαιρούμεθα· εἰ γὰρ κελευσθῇ τις ὑπήκοος τόνδε ἀποκτεῖναι,
ἑκούσιον μὲν τοῦτο ποιεῖ, οὐ μὴν δὲ καὶ προαιρετόν· προαιρετὸν γάρ ἐστιν,
35 ὅταν ὄντων πολλῶν, περὶ ὧν ἡ βουλή, ἀνθέλωμαι τόδε τοῦδε. ὅσα μὲν 35
οὖν ἑκούσια, οὐ πάντα προαιρετά· [b 11] ὅσα δὲ προαιρούμενοι πράττο-
μεν, ταῦτα καὶ ἑκόντες καὶ εἰδότες ποιοῦμεν. τοιαῦτα δ' ἂν εἴεν οὐ
μόνον τὰ ἀγαθὰ ἀλλὰ καὶ τὰ ἀδικήματα· ὅ τε γὰρ ἀγαθὸς μετὰ προαι-
ρέσεως καὶ γνώσεως ὀφείλει ποιεῖν, εἰ μέλλει κυρίως ἀγαθὸς εἶναι, ὅ τ'

---

6 τρίτον δὲ Arist. 14 ἕκαστον Vn: ἑκόντα Arist. 21 τῶν om. n fort. πολιτεύονται post σοφῶν addendum ex Aristotele 22 οἷον τὸ γονεῖς τιμ. evanuerunt V: supplevit n 23 χρήσομεν n 32 ὅσα μὲν οὖν Arist. 33 προαιρούμενοι Arist. 35 ἀνθέλωμεν n 37 καὶ (post ταῦτα) om. n

ἄδικος ὁμοίως μετὰ προαιρέσεως καὶ γνώσεως πράττων ἄδικος λεχθήσεται· f. 20v
οὐ γὰρ ἄγνοιαν προβαλεῖται, ὅτι οὐδεὶς ὃ προαιρεῖται ἀγνοεῖ. [b 12] 40
τίνα δὲ τὰ δι' ἃ προαιροῦνται βλάπτειν; προθεωρείσθω γὰρ καὶ
τοῦτο. κακία καὶ ἀκρασία· ἐὰν γάρ τινες ἔχωσι μοχθηρίαν ἢ
5 μίαν ἢ πολλάς, περὶ ἐκεῖνο ἄδικοί εἰσιν, εἰς ὃ μοχθηροί εἰσιν. ἐπιφέρει
δὲ καὶ τὰ | παραδείγματα· [b 16] οἷον ὁ μὲν ἀνελεύθερος μοχθηρίαν f. 21r
καὶ κακίαν ἔχει τὴν περὶ τὰ χρήματα καὶ οὕτως ἀδικεῖ, ὁ δὲ ἀκό-
λαστος κακίαν καὶ μοχθηρίαν ἔχει τὴν περὶ τὰς σωματικὰς ἡδονὰς
καὶ περὶ ἐκείνας ἀδικεῖ, ὁ δὲ μαλακὸς περὶ τὰ ῥάθυμα ἠσχόληται.
10 μαλακὸς δὲ ὁ περὶ τὴν τῶν ἀμφιασμάτων λαμπρότητα καὶ τὰς θρύψεις 5
καὶ τὰς χλιδὰς ἐπτοημένος καὶ οὐδ' ἂν ἔχειν τὴν ἐσθῆτα βουλόμενος·
ἀδικεῖ οὖν βλάπτων, ἐπεὶ ῥαθυμίας διδάσκαλος γίνεται, καὶ παρὰ τοῖς
Λάκωσιν ὡς κλέπτου ἔγκλημα ἀποφερόμενος κολάζεται. ναὶ μὴν ὁ μαλα-
κὸς τῶν ἡδέων ἐφίεται· ἐὰν οὖν ἴδῃ προσόν τισιν ἡδύ τι, ἀποστερεῖ καὶ
15 ἀδικεῖ. [b 18] ὁ δὲ δειλὸς κακίαν ἔχει τὴν περὶ τοὺς φόβους καὶ
τοὺς κινδύνους· ἀδικοῦσιν οὖν οἱ δειλοὶ τοὺς συγκινδυνεύοντας ἐγκατα-
λιμπάνοντες. ὁ δὲ φιλότιμος τιμῆς ὀρεγόμενος ἑαυτῷ μόνῳ προσάπτει 10
πάντα τὰ ἐξ ὧν ἡ τιμή· ἀδικεῖ οὖν λέγων τοὺς ἄλλους ἀσόφους καὶ μὴ
ἐπιστήμονας. [b 20] ὁ δὲ ὀξύθυμος μοχθηρίαν ἔχων καὶ κακίαν ἐν
20 ταῖς ὀργαῖς ἀδικεῖ πολλοὺς διὰ τὴν ὀργὴν ζητῶν ἀμύνασθαι καὶ πρᾶξαι
τὰ τοῦ θεοῦ. ὁ δὲ φιλόνικος διὰ νίκην, ἧς ὀρεγόμενος ἀδικεῖ τινας
δωροδοκῶν πολλάκις καὶ σκαιωρίας ἐπινοῶν τινας καὶ τὰ φέροντα πρὸς
τὸ τυχεῖν τῆς νίκης. [b 21] ὁ πικρὸς δὲ διὰ τιμωρίαν κακὸς ὢν
ἀδικεῖ μὴ καταλλαττόμενος, ἀλλὰ πολλάκις φονεύων ἢ παίων τινάς. 15
25 ἀδικεῖ οὖν οὐχὶ καταλλαττόμενος, ὡς εἴπομεν, διὰ τὴν κακίαν, ἣν ἔχει
περὶ τὸ τιμωρῆσαί τινας. ὁ δὲ ἄφρων ἀδικεῖ, διότι κακίαν ἔχει τὴν
ἄγνοιαν τοῦ δικαίου καὶ τοῦ συμφέροντος, καὶ πολλάκις οἰόμενος τὸ δί-
καιον ἄδικον τὸ δ' ἄδικον δίκαιον τόνδε μὲν κρίνει εἶναι ἄδικον δίκαιον
ὄντα, τόνδε δὲ δίκαιον ἄδικον ὄντα. [b 22] ὁ δὲ ἀναίσχυντος κακίαν
30 νοσεῖ τὸ ὀλιγωρεῖν δόξης· ὀλιγωρῶν οὖν δόξης ποιεῖ τὰ μὴ θεμιτὰ προ- 20
φανῶς, οὐκ αἰδούμενος παίει τὸν αἰδούμενον, ὑβρίζει αἰσχρῶς, ἁρπάζει τὰ
μὴ προσήκοντα. ὁμοίως δὲ καὶ ἕκαστος τῶν ἄλλων περὶ ἕκαστον
πάθος κακίας ὁ νοσεῖ ἀδικεῖ. [b 24] δῆλον δὲ περὶ τούτων, τὰ μὲν ἐκ
τῶν περὶ τὰς ἀρετὰς ἐν τοῖς Ἠθικοῖς εἰρημένων, τὰ δὲ ἐκ τῶν
35 περὶ τὰ πάθη ῥηθησομένων ἐφεξῆς· μέλλει γὰρ εἰπεῖν περὶ παθῶν
ἐφεξῆς. τούτων δὲ τεθέντων ὡς λημμάτων ἀναγκαίων πρὸς τὴν παροῦσαν
ὑπόθεσιν ἐπαναλήψομαι, ὅπερ ὑπεσχέθην, καὶ ἐρῶ σοι πάλιν, ὅτι μέλλω 25

---

2 οὐδεὶς γὰρ Arist. 3 δι' ἃ δὲ Arist. 4 κακία ἐστὶν καὶ Arist. 5 ἢ πλείους Arist. ἐκεῖνο ἄδικοί n (cf. Arist.): κεῖνο ἄδικ evanuerunt V 7 τὰ om. Arist. 10 τὴν om. n 17 προσάπτει, ἁπ evan., V 18 τὰ om. n 20 τὴν om. Arist. 21 φιλόνεικος Arist. AB (*contentiosus* Tr.): φιλόνικός Arist. cet. 22 σκαιορίας n 23 πικρὸς δὲ Vn Arist. A: δὲ πικρὸς Arist. vulg. 32 τῶν ἄλλων ἕκαστος Arist. 33 κακίαν n 35 ῥηθησομένων, ῥηθη in rasura, V

εἰπεῖν περὶ τριῶν, ἵνα σοι ἡ * ἤδη γινομένη προκατάστασις διευκρινεῖ f. 21r
σοι τὰ λεγόμενα· [b 27] πρῶτον μέν, τίνος ἕνεκα ἀδικοῦσι· πόσων γὰρ
ἕνεκα, συνετῶς ἀκρωμένῳ σοι τάχα δεδήλωκα· τοσαῦτα γὰρ ἀδικοῦσιν,
ὅσα καὶ πάθη ἔχουσι κακίας. ὅσα τοίνυν πάθη κακιῶν καὶ μοχθηριῶν,
5 τοσαῦτα καὶ ἀδικήματα. ῥητέον οὖν πρῶτον, τίνος ἕνεκα ἀδικοῦσι,
δεύτερον, πῶς ἔχοντες, τρίτον, τίνας ἀδικοῦσι. [b 28] πρῶτον δὲ τὸ 30
πρῶτον κείσθω, τίνων ὀρεγόμενοι ἐγχειροῦσιν ἀδικεῖν, ὅτι τῶν ἡδέων
καὶ ποθητῶν αὐτοῖς ἢ χρημάτων ἢ νίκης ἢ δόξης, καὶ ποῖα φεύγοντες
ἀδικίαν ποιοῦσι, ζημίαν, πενίαν, ποῖα ἢ κακῶν ἀπέλευσιν καὶ τὰ ἀνιαρὰ
10 καὶ τὰ ἐναντία οἷς ποθοῦσιν· εἰ γὰρ ἐρῶσιν ὡς ἡδέων τῶνδε, πάντως τὰ
ἐναντία φεύγουσιν. [b 29] ἔστω δὲ δῆλον, ὅτι τῷ μὲν κατηγοροῦντι
σκοπὸς λέγειν, πόσα ὑπάρχει τῷ ἀντιδίκῳ καὶ ποῖα ἡδέα, ὧν ἐφιέ-
μενος ἀδικεῖ, τῷ δὲ ἀπολογουμένῳ, ποῖα καὶ πόσα τούτων τῶν 35
ἀδικημάτων οὐχ ὑπάρχει. [b 32] πάντες δὴ πάντα πράττουσι τὰ
15 μὲν οὐ δι' ἑαυτούς, τὰ δὲ δι' αὐτούς. προθέμενος εἰπεῖν, τίνος ἕνεκα ἀδι-
κοῦσιν οἱ ἀδικοῦντες καὶ τίνος ἐφιέμενοι βλάπτουσιν, εἰ μὲν εἶπεν, ὅτι διὰ τὰ
ἀγαθὰ αὐτοῖς ἢ φαινόμενα ἀγαθὰ ἢ ἡδέα κυρίως ἢ τὰ φαινόμενα ἡδέα ἀδι-
κοῦσιν, εἶπεν ἂν σαφῶς, καὶ εἰ ἔφη, ὅτι, ὅσα δι' αὐτοὺς πράττουσιν ἑκόντες,
ἐκεῖνά εἰσιν ἡδέα αὐτοῖς ἢ κυρίως ἢ φαινόμενα, ὧν ὀρεγόμενοι τοὺς πλου- 40
20 σίους πολλάκις ἀδικοῦσιν, ἀπήλλαξεν ἂν πραγμάτων τὸν ἀκροατήν· νῦν δὲ
τῆς συνήθους δεινότητος ἔχεται καὶ τέως πρῶτον ἐκ διαιρέσεως εὑρίσκει,
[1369ᵃ5] ὅτι δι' ἑπτὰ αἰτίας πράττουσιν οἱ πράττοντες, ὅσα πράττουσι.
διὰ τύχην, ὅταν ἐν ἐρήμῳ τοξεύων ἐπέτυχέ τινος κατὰ τύχην ὁδεύοντος,
τυχὸν ἐχθροῦ ἢ λῃστοῦ, ἢ διψῶν καὶ ἐξελθὼν πολιορκίας οὔσης ἐν-
25 | έτυχε κοιμωμένῳ τῷ στρατηγῷ τῶν πολεμίων καὶ πεφόνευκεν αὐτόν, ἢ f. 21v
ῥίψας ὡς δειλὸς τὴν ἀσπίδα τινὰ πολέμιον ἐφόνευσε καὶ νίκην εἰργάσατο.
[a 6] διὰ βίαν, ὅτε λιμώττων τις πολλὰς ἡμέρας ἅψεται κρεάτων ἀνοσίων,
καὶ ὅτε πολυήμερον δίψαν διψήσας γεύσαιτο θαλάττης· πολλαὶ δὲ μητέρες
καὶ οἰκείων βρεφῶν ἀπεγεύσαντο, ὡς ἱστορεῖται ἱστορικοῖς. διὰ φύσιν, ὡς 5
30 οἱ Αἰθίοπες Αἰθίοπας τίκτουσι τῇ φύσει· φύσει οὖν τὸ παῖδα ποιεῖν
ὅμοιον ἑαυτῷ ὡς ἐπὶ τὸ πλεῖστον· καὶ ἕτερα δὲ πολλὰ κατὰ φύσιν πράττε-
ται παρ' ἡμῶν, ὡς τὸ πατέρας τιμᾶν, τὸ αἰδεῖσθαι καὶ ἄλλα. δι' ἔθος,
ὅτε τις ἐθισθεὶς ἐν ἀγορᾷ περιπατεῖν ἐρᾷ διατρίβειν καὶ ἐκεῖσε ἢ ἐν
καπηλείῳ ἢ ἐν ἄλλοις τισὶ καὶ τούτων ἔχεται δι' ἔθος. διὰ λογισμόν,

---

1 post ἡ quaedam evanuerunt V: δὶς supplet n 6 δεύτερον δὲ n 9 ποῖα V (ποῖα; n): exspectes πόνους 11 δὲ om. n 12 πόσα καὶ ποῖα τούτων ὑπάρχει Arist. 14 οὐχ Vn Arist. AC: μὴ Arist. E: om. Arist. cet. δὴ πάντα πράττουσι Vn Arist. A: δὲ πράττουσι πάντα Arist. vulg.: *autem omnia agunt* Arist. Tr. 15 ἑαυτούς Vn: αὐτοὺς Arist. αὐτούς V Arist.: ἑαυτοὺς n ἀδικοῦσι n 16 εἶπε n 18 ὅσα V: ἃ n ἑαυτοὺς n 20 ἐπήλλαξεν n 22 δι' αἰτίας ἑπτά Arist. (cf. p. 61,8 et 33) 27 βίαν scripsi ex Aristotele (cf. p. 61,33): κακίαν V: ἀνάγκην n 27 et 29 ordinem διὰ φύσιν διὰ βίαν praebet Arist. A: διὰ βίαν διὰ φύσιν Arist. vulg. 27 λιμόττων n

λ'

28 πολήμερον n θαλάσσης n 34 καπῇ V: καπηλίῳ n

ὁπότε καθ' ἑαυτὸν ἐννοήσω 'εἰ πόνοις ἐμαυτὸν ἐπιδώσω διὰ λόγους, φιλο- f. 21v
σοφίας ἐπιτεύξομαι· εἰ ἐμπορικῶς σταλῶ θαλαττοπορῶν, πλουτήσω· εἰ 10
φιλέρημος γενήσομαι καὶ φιλήσυχος, καθαρθήσομαι καὶ ἐλλαμφθήσομαι τὴν
διάνοιαν'. [a 7] διὰ θυμὸν καὶ ὀργήν, ὅταν ἢ κολάζῃ τις ἢ τιμωρῇ,
5 τὸ μὲν ὡς παιδεύων καὶ σωφρονίζων, τὸ δὲ ὡς ἐκπληρῶν τὴν ἐπιθυμίαν
τοῦ θυμοῦ. δι' ἐπιθυμίαν, ὅτε τις τὰ ἡδέα διώκει, ὁρατά, ὀσφραντά,
γευστά, ἁπτά, ἀκουστά. ὅπερ οὖν ἔλεγον, πρῶτον εὑρίσκει ἀπὸ τῆς διαι-
ρέσεως, ὅτι πάντα, ὅσα πράττουσί τινες, δι' αἰτίας ἑπτὰ ποιοῦσιν, εἶτα 15
λέγει κατ' ἐκεῖνα ἀδικεῖν τινας, ὅσα δι' ἑαυτοὺς πράττουσιν ἡδέων τινῶν
10 ἐφιέμενοι, μετὰ ταῦτα διορίζεται, τίς ἐστιν ὁ τῆς ἡδονῆς ὅρος καὶ τότε
λέγει ἡδέα τυγχάνειν τά τε ποιητικὰ αὐτῆς καὶ τὰ φθαρτικὰ τῆς λύπης
καὶ ἄλλα τινά· καὶ οὕτως ἀκολούθως δεικνύει σοι, πόθεν κατασκευάσαι
ἕξεις, ὅτι ὅδε ὀρεγόμενος τούτου καὶ ἐφιέμενος ἠδίκησεν. ὁρᾷς, ὅπως
ἀναγκαία ἡ προθεωρία διὰ τὴν δεινότητα. ὅρα οὖν τὴν λέξιν, ὅρα δὲ καὶ
15 τὴν διαίρεσιν. [1368b33] οἱ πράττοντες ἢ δι' ἑαυτοὺς πράττουσιν ἢ 20
οὐ δι' ἑαυτοὺς ἤτοι οὐ προαίρεσιν ἔχοντες τόδε πρᾶξαι, ὡς ὁ ῥίψας τὴν
ἀσπίδα ὡς δειλὸς καὶ τυχὼν τοῦ πολεμίου καὶ νίκην ποιήσας. ἑκάτερον
δὲ τῶν δύο μερῶν τῆς πρώτης διαιρέσεως ὑποδιαιρῶν πρῶτον ἴδε, εἰς
τίνα τέμνεται τὸ οὐ δι' αὑτούς· [b 34] τούτου οὖν ἤτοι τῶν οὐ δι' αὑ-
20 τοὺς πραττόντων τὰ μὲν διὰ τύχην πράττονται, τὰ δὲ ἐξ ἀνάγκης· τῶν
ἐξ ἀνάγκης δὲ τὰ μὲν βίᾳ, τὰ δὲ φύσει. εἰρήκαμεν δὲ τούτων τὰ παραδείγ- 25
ματα ἐν τῇ ἀπαριθμήσει αὐτῶν καὶ οἷον προθεωρίᾳ· ὥστε ἐκ τοῦ ἑνὸς
μέρους εὑρέθησαν τρία, ὅσα πράττουσί τινες οὐ δι' αὑτούς. χρήζει δὲ τῶν
λεγομένων καὶ ἀκολουθεῖ ὁ ἀκροώμενος κατὰ μικρόν. τὰ μὲν ἀπὸ τύ-
25 χης, τὰ δὲ φύσει, τὰ δὲ βίᾳ. ἴδε δὲ καὶ τὸ ἄλλο μέρος. [b 37]
τῶν γὰρ δι' ἑαυτοὺς καὶ ὧν αὐτοὶ αἴτιοι τὰ μὲν δι' ἔθος πράττομεν
ἐνεθισθέντες ἐκ βρέφους τῷ πράγματι καὶ ἀσπαζόμενοι ἐκεῖνο, ὁποῖον ἂν
τύχοι, τὰ δὲ δι' ὄρεξιν· τῆς δὲ ὀρέξεως ἡ μὲν λογιστικὴ ὄρεξις, ἡ δὲ 30
ἄλογος. [1369a2] καὶ ἡ μὲν λογιστικὴ ὄρεξις καὶ βούλησίς ἐστιν ἀγα-
30 θοῦ μετὰ λόγου ὄρεξις· οὐδεὶς γὰρ βούλεταί τι φαῦλον, ἀλλ' ἢ
ἀγαθοῦ καὶ τούτου ὀρέγεται. [a 4] ἄλογοι δὲ ὀρέξεις θυμὸς καὶ ὀργαὶ
καὶ ἐπιθυμίαι. ὥστε ἐκ τῆς διαιρέσεως σύναξον, ὅτι πάντα, ὅσα πράττουσι,
δι' αἰτίας ἑπτὰ πράττουσι, διὰ τύχην, ὡς εἴρηται, διὰ βίαν, διὰ φύσιν,
δι' ἔθος, διὰ λογισμόν, δι' ἐπιθυμίαν· [a 7] τὸ δὲ προσδιαιρεῖ-

---

2 θαλαττηπορῶν n 3 καθαρθήσομαι, pr. θ ex τ corr., V ἐλαφθήσομαι n
5 ἐκπαιδεύων n 9 πράττουσι n 11 τυγχάνειν, γρ. εἶναι, V 15. 16 τὰ μὲν οὐ
δι' αὑτούς, τὰ δὲ δι' αὑτούς Arist.; cf. p. 60, 15 19 τίνας n ἑαυτούς n
τοῦτο n οὖν V: ἦν n 20 fort. πραττομένων τῶν δ' ἐξ ἀνάγκης Arist.
23 εὑρεθήσαν τρία, τ corr. (fort. ex ται), V: εὑρεθήσεται τρία n χρήσει n
δὲ om. n 26 αὑτοὺς Arist. ὧν V Arist.: ᾧ n 30 μετὰ λόγου ὄρεξις
ἀγαθοῦ Arist. vulg.: ἀγαθοῦ ὄρεξις (om. μετὰ λόγου) Arist. A 33 πράττουσι n:
πράττειν V εἴρηται] p. 60, 23 sq. διὰ βίαν διὰ φύσιν Arist. vulg.: διὰ φύσιν
διὰ βίαν Arist. A

σθαι καὶ λέγειν, ὅτι καὶ καθ' ἡλικίας πράττουσι νέοι ὄντες ἢ γέροντες f. 21v
ἢ καθ' ἕξεις πράττουσι δικαιοσύνης ἢ ἀρετῆς ἢ κακίας (ἔχοντες γὰρ 36
τὴν ἕξιν ἐκ τῶν καθ' ἕκαστα πράττουσί τινες, ἃ πράττουσι), περιττόν ἐστι
παντελῶς· ἀνάγονται γὰρ πάντα τὰ δι' ἃ πράττουσι τινες εἰς ταῦτα. [a 9] εἰ
5 γὰρ καὶ τοῖς νέοις συμβέβηκεν ἢ ὀργίλοις εἶναι ἢ ἐπιθυμητι-
κοῖς, πάντα ταῦτα οὐ διὰ τὴν νεότητα ὡς αἰτίαν πράττουσί τινες,
ὡς αἰτιῶν οὐσῶν τῆς πλουσιότητος καὶ τῆς πενίας. ἀλλὰ διὰ ποίαν 40
αἰτίαν πράττουσιν οἱ πλούσιοι καὶ οἱ πένητες, ἃ πράττουσιν; ἣν μὲν προ-
χείρως εἰπεῖν, ὅτι δι' ἐπιθυμίαν, διότι οἱ μὲν πένητες ἐφίενται χρημάτων,
10 οἱ δὲ πλούσιοι ἐπιθυμοῦσιν ἡδονῶν· ὁ δὲ λέγει πρώτην αἰτίαν εἶναι τῶν
πραττομένων παρ' αὐτοῖς τοῖς μὲν πτωχοῖς ἔνδειαν, τοῖς δὲ πλουσίοις
ἐξουσίαν, δι' ἣν ἐπιθυμοῦσι τῶν μὴ ἀναγκαίων ἡδονῶν· ἐπα|νορθού- f. 22r
μενος δέ σου τὴν πλάνην φησὶν [a 15] 'ἀλλὰ καὶ τούτων αἰτία ἡ ἐπιθυ-
μία'. ὁμοίως δὲ καὶ ὅσα πράττουσιν οἱ δίκαιοι καὶ οἱ ἄδικοι
15 πράττουσι μὲν κατὰ τὰς ἕξεις, πλὴν ἐξετάσας αὐτοὺς εὑρήσεις ἢ δι' ὄρεξιν
ἢ δι' ἔθος ἢ διὰ λογισμὸν χρηστὸν ἢ φαῦλον πράττοντάς τι· ταῦτα δὲ τῶν
ἑπτὰ αἰτιῶν ἦσαν. [a 17] ἢ γὰρ διὰ λογισμὸν ἢ διὰ πάθος ὀρέξεως
λογιστικῆς ἢ ἀλόγου ἤτοι διὰ θυμὸν καὶ ἐπιθυμίαν ἢ διὰ ζῆλον ἐπαινε- 5
τόν· τοῦτο δηλῶν ἐπήγαγε [a 18] 'πλὴν τῶν καθ' ἕξεις πραττόντων οἱ
20 μὲν πράττουσι δι' ἔθος χρηστὸν καὶ λογισμὸν ἐπαινετόν, οἱ δὲ διὰ φαῦ-
λον ἔθος καὶ λογισμὸν κακόν'. οἱ πλούσιοι διὰ τὴν ἐπιθυμίαν ἐπιθυμοῦσι
τῶν μὴ ἀναγκαίων ἡδονῶν· [a 16] καὶ οἱ ἄλλοι οἱ λεγόμενοι πράτ-
τειν κατὰ τὰς ἄλλας ἕξεις ἤτοι σωφροσύνην ἢ ἀνδρείαν· διὰ ταῦτα
πράττουσιν ἤτοι τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν καὶ οὐχὶ διὰ πλοῦτον ἢ
25 πενίαν ἢ νεότητα ἢ γῆρας· ἢ γὰρ διὰ τὸν λογισμὸν ἤτοι διὰ τὸν λόγον 10
τι πράττουσιν ἢ διὰ πάθος. πάθη εἰσὶν ἡ μεγαλοπρέπεια καὶ ἡ φιλο-
τιμία. ἀλλ' οἱ μὲν πράττουσι δι' ἦθος, οἷον εἴθισέ τις ποιεῖν τι καὶ ποιεῖ
τοῦτο. πάθη χρηστά, τὴν φιλοτιμίαν φησί. [a 19] καὶ τὰ τοιαῦτα ταῖς
τοιαῖσδε ἕξεσιν, οἷον τῇ σωφροσύνῃ ἀκολουθεῖ χρηστὴ ἐπιθυμία, ταῖς
30 δὲ τοιαῖσδε ἕξεσιν, οἷον τῇ ἀκολασίᾳ, τὰ τοιάδε, φαῦλαι δηλονότι
ἐπιθυμίαι. [a 25] εἰ μὲν γὰρ λευκὸς ἢ μέλας, ἤτοι οὐδὲν ὀφείλομεν 15
θεωρῆσαι, τί ἀκολουθεῖ τῷ Σωκράτει ὡς λευκῷ ἢ μέλανι ἢ μεγάλῳ
ἢ μικρῷ· ἀπὸ γὰρ τοῦ εἶναί τινα λευκὸν ἢ μέλανα οὐδεμία διαφορὰ τοῖς
ἤθεσι θεωρεῖται τῶν ἀνθρώπων, ἀπὸ δὲ τοῦ εἶναι νέον ἢ πρεσβύτην ἢ

---

1 ἡλικίας Vn Arist. vulg.: ἡλικίαν Arist. A 2 κακίας V: οἰκίας n 4 ταυτά n
4. 5 εἰ γὰρ συμβέβηκε τοῖς νέοις ὀργίλοις Arist. 8 πένητες V: πάντες n 19 καθ'
ἕξεις n (cf. Arist.): καθεξῆς V 20 διὰ ἤθη Arist. 22. 23 κατὰ τὰς ἕξεις
πράττειν Arist. 23 ταῦτα Vn Arist. A: ταῦτα πάντα Arist. vulg. 24 πράξουσιν
Arist. 27 δι' ἦθος V: δι' ἔθος n: διὰ ἤθη Arist. εἰ post οἷον add. n
ποιεῖ V: ποιεῖν n 28 καὶ πάθη Arist. χρηστά Vn Arist. ABC Tr.: καὶ χρηστά
Arist. cet. φησὶ V: εἰσὶ n 28. 29 ταῖς μὲν τοιαύταις (A; τοιαισδὶ vulg.) ἕξεσι τὰ
τοιαῦτα Arist. 30 τοιαῖσδε Vn Arist. A: τοιαισδὶ Arist. vulg. ἀκολασίᾳ n
31 μέλας ἢ μέγας ἢ μικρός Arist.

δίκαιον ἢ ἄδικον μεγάλη διαφορὰ τοῖς ἤθεσι τῶν ἀνθρώπων ἐπιγίνεται. f. 22r
[a 28] καὶ ὅλως ὅσα ἀπὸ τῶν συμβαινόντων τὰ ἤθη τῶν ἀνθρώπων ποιοῦσι διάφορα, οἷον αἱ τοιαίδε ἢ τοιαίδε ἕξεις καὶ κράσεις, οἷον διοίσει τις ἐν τῷ δοκεῖν πλουτεῖν ἢ πένεσθαι· ὁμοίως δὲ καὶ ἡ εὐτυχία καὶ ἡ ἀποτυχία διάφορα τὰ ἤθη τῶν ἀνθρώπων ποιεῖ. [a 32] ὅσων δὲ ἡ αἰτία ἀόριστος καὶ μὴ ἕνεκά του γίνεται, ταῦτα γίνονται κατὰ τύχην (γράφεται καὶ ἕνεκα τούτου)· ὃ γὰρ γίνεται κατὰ τύχην, ἢν ἂν ἕνεκά του, εἰ σκοπὸν τοῦτο ἔθεμεν ποιῆσαι· οἷον εἰ εἰς τὴν ἀγορὰν ἀπελθὼν ὠνήσασθαι ἰχθὺν εὗρον τὸν χρεωστοῦντά μοι καὶ ἀπέδωκέ μοι τὸ χρέος, τοῦτο κατὰ τύχην, εἰ δὲ ἀπῆλθον εἰς τὴν ἀγορὰν διὰ τὸ ἐντυχεῖν τῷ χρεώστῃ καὶ ἐντυχὼν τῷ χρεώστῃ ἔλαβον τὸ χρέος, ἔστι τοῦτο ἕνεκά του· ἔστι γὰρ ἡ τύχη αἰτία τῶν κατὰ προαίρεσιν γινομένων ἐν τοῖς ἕνεκά του γινομένοις. [b 2] ἢ ὡσαύτως ἀποβαίνει. ἀεὶ γὰρ γενειῶσιν οἱ ἄνθρωποι ὡσαύτως ἤτοι κατὰ τὸν εἰκοστὸν πέμπτον ἐνιαυτόν. περὶ δὲ τῶν παρὰ φύσιν οὐ δεῖ ζητεῖν, εἴτε κατὰ φύσιν γίνονται εἴτε παρὰ φύσιν· πάντα γοῦν τὰ παρὰ φύσιν ὥρμηνται μὲν φύσει καὶ ἐκεῖθεν λαμβάνουσι τὴν ἀρχὴν τῆς κινήσεως, οὐ κατὰ σκοπὸν δὲ τῆς φύσεως ἀποβαίνουσιν, ἡ δὲ τύχη αἰτία ἐστὶ τῶν τοιούτων ἤτοι τῶν παρὰ φύσιν. [b 6] ἔθει δὲ ποιοῦσιν, ὅσα γίνονται διὰ τὸ πολλάκις πεποιηκέναι. διὰ λογισμὸν δέ, ὅσα γίνονται διὰ τὸ συμφέρον· τίνα δέ εἰσι τὰ συμφέροντα, ἔγνωμεν ἐκ τῶν εἰρημένων ἀγαθῶν· δοκοῦντα δὲ συμφέρειν ἢ ὡς τέλη ἢ ὡς συμβαλλόμενα πρὸς τὸ τέλος. [b 9] τινὰ δὲ ποιοῦσιν οἱ ἀκόλαστοι ὡς συμφέροντα αὐτοῖς εἰς τὸ οὗ ὀρέγονται, πλὴν πράττουσι ταῦτα οὐχ ὡς αὐτὰ καθ' ἑαυτὰ συμφέροντα οὐδὲ δι' ἑαυτὰ ἀλλὰ τὴν ἡδονήν. [b 12] ἡ μὲν κόλασις λέγεται ἐπὶ τοῦ πάσχοντος ὡς κωλύουσα τὴν ἄλογον ὁρμὴν αὐτοῦ, ἡ δὲ τιμωρία ἐστὶ τοῦ ποιοῦντος· δι' αὐτὸ γὰρ τιμωρεῖ, ἵνα πληρώσῃ ἣν εἶχεν ὄρεξιν τοῦ ἀντιλυπῆσαι αὐτὸν τὸν ὀργιζόμενον. [b 16] ἡδὺ δοκεῖ καὶ τὸ ἐθιστόν, ὃ ἔχω ἔθος διαπράττειν. [b 18] ὅταν οὖν πράττωμέν τινα δι' ἑαυτοὺς ἤτοι ὧν αὐτοί ἐσμεν αἴτιοι, ταῦτα ἢ ἀγαθά εἰσιν ἢ φαινόμενα ἀγαθά. [b 24] ἀγαθὸν δέ ἐστι καὶ ἡ τῶν κακῶν ἀποφυγὴ καὶ ἡ λῆψις τῶν ἐλαττόνων κακῶν ἀντὶ τῶν μειζόνων. [b 31] τοὺς δὲ ὅρους τοὺς νῦν λαμβανομένους οὐ δεῖ ἀπαιτεῖν αὐτοὺς εἶναι ἀναγκαίους καὶ οὐσιώδεις· ἀρκεῖ γάρ, ἂν σαφεῖς εἰσι, κἂν ἀκριβεῖς οὔκ εἰσιν.

11. Ἡδονή ἐστι κίνησις τῆς ψυχῆς καὶ ἀθρόα καὶ αἰφνίδιος κατάστασις αἰσθητὴ εἰς τὴν ὑπάρχουσαν φύσιν ἤτοι εἰς τὴν κατὰ φύσιν· ὅταν

---

2 ἀπὸ om. Arist. 3 αἱ post ἢ add. n 5 ἡ om. n 5. 6 ὅσων ἥ τε Arist. 6 ἕνεκά του Arist. (sed ἕνεκα τούτου Q Tr.) 7 δὲ καὶ n τούτου scripsi ex Arist. Q Tr.: του Vn 18 ἔθει n Arist.: ἔθη V 19 ποιοῦσιν post πεποιηκέναι Arist. ὅσα Vn Arist. vulg.: ὅτι Arist. A 21 τέλη Vn: τέλος Arist. 22 τὸ Vn Arist. ACE: om. Arist. cet. τίνα Vn: ἕνια Arist. 23 ὡς om. n Arist. 29 αὐτοὺς Arist. 36 ἤτοι — φύσιν om. n τὴν κατὰ V: exspectes hic et infra p. 64,5 et 7 τὸ pro τὴν

γὰρ πεινᾷ τις. εἶτα ἐσθίῃ καὶ ἀναπληροῖ τὴν γαστέρα βρωμάτων, ἀθρόως f. 22v
ἥδεται ὡς κινούμενος εἰς τὸ κατὰ φύσιν καὶ ἀνελλιπές, οὐχὶ ἀνεπαισθήτως δὲ κινεῖται, ἀλλ' αἰσθάνεται τῆς ἀναπληρώσεως. ἐπὶ δὲ τῆς αὐξητικῆς κινήσεως οὐχ ἡδόμεθα, διότι ἀνεπαισθήτως κινούμεθα εἰς αὔξησιν.
5 λύπη δέ ἐστιν ἡ εἰς τὴν παρὰ φύσιν κίνησις· παρὰ φύσιν δὲ κινεῖται, ὅταν ἡ γαστὴρ βρωμάτων ἐνδεὴς γένηται καὶ λυπῆται τὸ ζῷον. [b 35] εἰ δή ἐστιν ἡδονὴ τὸ τοιοῦτον ἤτοι ἀθρόα κατάστασις ἡ εἰς τὴν κατὰ φύσιν, λοιπὸν καὶ ἡδύ ἐστι τὸ ποιητικὸν τῆς τοιαύτης διαθέσεως· καὶ μάλιστα ἥδονται τὰ ζῷα, ὅταν λάβωσι τὴν ἑαυτῶν φύσιν, οἷον εἰ
10 ὑγροτέρας ὂν κράσεως ξηρότερον γένηται, λυπεῖται. ἐὰν δὲ ἢ διὰ διαίτης ὑγρᾶς ἢ λουτροῦ λάβῃ τὴν κατὰ φύσιν κρᾶσιν, ἥδεται, ἢ ἐὰν ἔθος ἔχῃ τις λούεσθαι, λυπεῖται ἀποκοπῇ τοῦ ἔθους, εἰ δὲ πάλιν ποιήσει, ὃ ἔχει ἔθος, ἥδεται. [1370a10] καὶ αἱ ἀνάγκαι οἷον αἱ ἐπιμέλειαι καὶ αἱ σπουδαὶ λυπηραὶ ὡς βίαιοι· πᾶν γὰρ πρᾶγμα ἀναγκαῖον καὶ βίαιον λυπη-
15 ρόν. τοῦτο δὲ παρέφρασεν ὁ Ἀριστοτέλης ἐκ τοῦ Εὐριπίδου λέγοντος

"πᾶν τ' ἐξ ἀνάγκης δοῦλον ἔσται τοῖς σοφοῖς".

ἐὰν δὲ ἔθος ἔχῃ τις κοπιᾶν, ἡδὺ δοκεῖ αὐτῷ ὁ κόπος. [a 16] καὶ ἅπαν ἐστὶν ἡδύ, οὗτινος ἐνῇ καὶ ἐνυπάρχει ἐπιθυμία καὶ ὄρεξις. ἄλογοι ἐπιθυμίαι εἰσίν, ὅσων ἐπιθυμοῦσί τινες μὴ ὑπολαβόντες μηδὲ λογισά-
20 μενοι ὠφέλειάν τινα μηδὲ κέρδος ἐκ τῆς ἀναπληρώσεως τῆς τοιαύτης ἐπιθυμίας. [a 20] εἰσὶ δὲ τοιαῦται ἄλογοι αἱ φυσικαὶ καὶ αἱ διὰ σώματος, οἷον ἡ δίψα καὶ ἡ πεῖνα ποιεῖ ἐπιθυμίαν τῆς τροφῆς, καὶ ὁ πεινῶν φαγὼν οὐδὲν ἄλλο σπουδάζει ἢ τὸ ἐμπλῆσαι τὴν γαστέρα. εἰ δὲ καὶ ὠφέλειά τις αὐτῷ μέλλει ἐπιγίνεσθαι ἐκ τούτου, οὐκέτι λογίζεται. καὶ ἐν
25 ἑκάστῳ εἴδει τροφῆς παρακολουθεῖ ἄλλο καὶ ἄλλο εἶδος ἐπιθυμίας καὶ ἐν τοῖς ἀφροδισίοις ἄλλη. [a 25] μετὰ λόγου δὲ ἐπιθυμίαι, ὅσων ἐπιθυμοῦσί τινες ἐκ τοῦ λογίσασθαι καὶ πεισθῆναι, ὅτι μέλλουσι παθεῖν τι ἀγαθόν· πολλὰ γάρ τινες ἐθεάσαντο ἢ ἤκουσαν καὶ προσελογίσαντο ὠφεληθῆναι ἐκ τοῦ τούτων ἐπιθυμῆσαι καὶ ἐπείσθησαν ὠφεληθῆναι καὶ διὰ
30 τοῦτο καὶ ἐπεθύμησαν. [a 27] ἐπεὶ δὲ τὸ ἥδεσθαι ἐπιγίνεται ἐκ τοῦ αἰσθάνεσθαι — εἶδε γὰρ καὶ ἡ αἴσθησις καὶ ὃ εἶδε παρέπεμψε τοῦτο τῇ φαντασίᾳ, εἶτα ἐν τῇ φαντασίᾳ ὃν ἀεὶ φαντάζομαι καὶ διανοοῦμαι τοῦτο καὶ μεμνημένος ἥδομαι, οἷον ἤκουσά τι καὶ παρεπέμφθη τοῦτο τῇ φαντασίᾳ καὶ φανταζόμενος καὶ ἐλπίζων τοῦτο γενέσθαι ἥδομαι — ἐπεὶ δὲ
35 τὸ ἥδεσθαι γίνεται ἐκ τοῦ αἰσθάνεσθαι καὶ φαντάζεσθαι πάθος τι, ἤτοι ἢ γλυκὺ ἢ ἄλλο τι ἡδὺ ἢ ἐπαινετόν (ἔστι γὰρ καὶ λέγεται καὶ ἡ φαντα-

---

2 οὐχί, ῑ ex ει corr., V 5 δὲ (post φύσιν) om. n 6 λυπεῖται n 7 δή ἐστιν Vn: δ' ἐστὶν Arist. AC: δή ἐστιν ἡ Arist. cet. 10 διὰ superscr. V 13 αἱ ἀνάγκαι Vn Arist. vulg.: τὸ ἀναγκαῖον Arist. A 15 ἐκ τοῦ Εὐριπίδου] Orest. 488 16 τ' ἐξ Vn: τοὺξ Eurip. ἔσται Vn: ἐστ' ἐν Eurip. 18 οὗ ἂν ἡ ἐπιθυμία ἐνῇ Arist. 22 ἡ (ante πεῖνα) superscr. V πίνα n 23 τὸ om. n ἐκπλῆσαι n 26 ὅσα Arist. (*quascunque* vel *quas* Tr.) 35 ἐπιγίνεται supra v. 30 36 καὶ ἡ V: καὶ om. n

σία αἴσθησίς τις ἀμυδρὰ καὶ ἀσθενής), καὶ διὰ τοῦτο κἂν τῷ με- f. 22ᵛ
μνημένῳ καὶ ἐλπίζοντι παρακολουθοίη φαντασία τις καὶ συναί-
σθησις, οὗ μέμνηται καὶ ἐλπίζει, καὶ διὰ τοῦτο μεμνημένοι τινὲς καὶ
ἐλπίζοντες ἥδονται, ἐπείπερ αἴσθησιν ἔχουσι καὶ φαντασίαν, οὗ μέμνηνται
5 καὶ ἐλπίζουσιν. [a 32] ὥστε ἀνάγκη ἥδεσθαί τινα ἢ ἐπὶ τοῖς παροῦσιν. εἴ 30
γε αἰσθάνεταί τις καὶ φαντάζεται παρόντα ἀγαθά, ἢ ἐπὶ τοῖς γεγενημένοις
ἤτοι παρελθοῦσιν ἐπιμεμνημένος αὐτῶν ἢ ἐπὶ τοῖς μέλλουσιν ὡς ἐλπίζων
αὐτά. [b 1] τὰ γοῦν μνημονευτὰ ἡδέα εἰσὶν οὐ μόνον ὅσα ἦσαν
ἡδέα καὶ ὅτε παρῆν, οἷον τὸ λαβεῖν με χρήματα ἡδὺ ἦν καὶ ὅτε
10 ταῦτα ἔλαβον, ἀλλὰ καὶ καιροῦ πολλοῦ παρῳχηκότος μεμνημένος, ὅτι 35
ἔλαβον ἀπὸ τοῦ δεῖνος χρήματα ἥδομαι· ἀλλὰ καὶ ἔνια, ὅταν ταῦτα
πάσχωμεν, οὐχ ἡδέα εἰσίν, ἀλλὰ τὸ ἐκ τούτων ἀποβησόμενον, εἰ ἀγαθόν
ἐστιν ἢ καλόν, ἥδομαι μεμνημένος ἐκείνων τῶν λυπηρῶν, ἀφ' ὧν ἐπεγένετό
μοι ἀγαθόν τι· οἷον τὸ δαίρεσθαι πικρόν ἐστι τότε, ὅτε δαίρομαι, ἀλλ' εἰ
15 μετὰ χρόνων παραδρομὴν ἐπηκολούθησέ μοι σοφία ἐκ τοῦ δαίρεσθαι ἀγαθὸν
οὖσα, ἥδομαι μεμνημένος τῶν δαρμῶν ἐκείνων, ἐξ ὧν ἐπεγένετό μοι σοφία.

[b 4] "ἀλλ' ἡδύ τι σωθέντα μεμνῆσθαι πόνων",

Εὐριπίδου τὸ ῥητόν· καὶ τὸ 40

"μετὰ γάρ τε ⟨καὶ⟩ ἄλγεσι τέρπεται ἀνήρ"

20 ἐκ τῆς Ὀδυσσείας εἴληπται. τὰ δὲ ἐλπιζόμενα δοκοῦσιν ἡδέα, εἴ γε
φαίνονται μεγάλα δυνάμενα ὠφελεῖν, ὅτε τὰ παρόντα γένωνται, ἢ κἂν
μὴ μεγάλως δύνανται ὠφελεῖν, ἀλλ' οὖν ἵνα δύνωνται ὠφελεῖν ἄνευ
λύπης ἤτοι ἀλύπως· κἂν μὴ ἡδονή τις μεγάλη ἐκ τούτου γίνηται, ἀλλὰ
κἂν εἴη μικρὰ ἢ ἄλυπος. [b 9] ὅλως δὲ | ὅσα παρόντα εὐφραίνουσι, f. 23ᵛ
25 ταῦτα ἐλπιζόμενα καὶ μεμνημένα εὐφραίνουσιν ὡς ἐπὶ τὸ πολύ. διὸ καὶ
ὁ ὀργιζόμενος ἥδεται ἢ μεμνημένος, ὅπως ἐκόλασε τὸν λυπήσαντα, ἢ
ἀνατυπῶν, πῶς μέλλει κολάσαι αὐτόν· ἀλλὰ καὶ ὅτε κολάζει αὐτόν, ἥδε-
ται· ὥστε ἐπεὶ ὁ ὀργιζόμενος ἥδεται ἢ ἐν τῷ μεμνῆσθαι ἢ ἀνατυποῦν,
ἃς μέλλει ἐπάξαι κολάσεις αὐτῷ, λοιπὸν ἀσθενέστερος ἔσται τοῦ ὀργιζο- 5
30 μένου ὁ κολασθησόμενος· [b 12] οὐδεὶς γὰρ ὀργίζεται, ὃν οὐ δύναται
τιμωρῆσαι. ἀλλὰ καὶ τοῖς πολὺ οὖσιν ὑπὲρ αὐτὸν ἢ οὐδ' ὅλως ὀργίζεται
ἢ ἧττον ἤτοι μικρῶς. [b 20] ἐν ἅπασι γὰρ τοῖς τοιούτοις, καὶ ἐν
τῷ γράφειν περὶ τοῦ ἐρωμένου καὶ ποιεῖν τι, μεμνημένοι αὐτοῦ οἴονται
οἷον αἰσθάνεσθαι ἤτοι δοκοῦσιν ὁρᾶν αὐτόν. καὶ ἀρχὴ τοῦ ἔρωτος

---

1 κἂν Vn Arist. vulg.: ἀεὶ ἐν Arist. A 2 καὶ τῷ ἐλπίζοντι Arist. παρακολουθοίη Vn: ἀκολουθοῖ ἂν Arist. A: ἀκολουθοίη Arist. vulg. 2. 3 ἀναίσθησις n 3 μέμνηται ἢ ἐλπίζει Arist. 6 ἢ om. n 11 ἔνια καὶ Arist. 17 τι Vn Arist. vulg.: τοι Arist. A 18 Εὐριπίδου] Andromed. fr. 133. F. T. G.² p. 399 N. 19 μετὰ γάρ κτλ.] Hom. o 400 καὶ addidi ex Aristotele 22 ἵνα δύνωνται V: εἰ δύνανται n 22. 23 ἄνευ λύπης ὠφελεῖν Arist. 24 ἢ V: εἰ n 30 οὐθεὶς Arist. 33 τοῦ om. n μεμνημένοι Arist.: μεμνημένος n: per compend. V 33. 34 οἷον αἰσθάνεσθαι οἴονται Arist. 34. 66,1 καὶ ἀρχὴ τοῦ ἔρωτος γίνεται V: ἀρχὴ τὸ ἔρωτος γίνεται n: καὶ ἀρχὴ δὲ τοῦ ἔρωτος αὕτη γίγνεται πᾶσιν Arist. A: καὶ ἀρχὴ ἔρωτος γίνεται αὕτη πᾶσιν Arist. vulg.

γίνεται, ὅταν μὴ μόνον χαίρωσιν ἐν τῷ παρεῖναι τὸν ἐρώμενον, ἀλλὰ f. 23r
καὶ μεμνημένοι αὐτοῦ ἀπόντος, ὃ δὴ καὶ πόθος λέγεται. [b 24] διὸ καὶ 10
ὅταν λύπη προσγίνηται τῷ ἐρῶντι ἐν τῷ μὴ παρεῖναι τὸν ἐρώμενον καὶ
ὁρᾶν αὐτὸν καὶ ἐν οἷς πενθεῖ καὶ θρηνεῖ ἥδεται. λυπεῖται μὲν ἐπὶ τῷ
5 μὴ ὑπάρχειν τὸν ἐρώμενον, ἥδεται δὲ ἐν τῷ δοκεῖν ὁρᾶν ἐκεῖνον καὶ
μεμνῆσθαι αὐτοῦ. τὸ δὲ

[b 28] "ὣς φάτο, τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο"
περὶ Ἀχιλλέως ὁ Ὅμηρος εἴρηκεν· εἰ γὰρ λυπηρὸν τὸ ἀποτυγχάνειν τοῦ
τιμωρῆσαι τὸν λυπήσαντα, τὸ τυγχάνειν τοῦ τιμωρῆσαι αὐτὸν ἡδύ. τὸ 15
10 [b 31] τιμωρούμενοι ἀντὶ τοῦ τιμωροῦντες ἐκληπτέον. [b 34] οὗ
πάντες ἀντὶ τοῦ ἤστινος τῆς ὑπεροχῆς ἔχουσι πάντες ἐπιθυμίαν.
[1371a2] ἀστραγάλισίς ἐστι τὸ παίζειν κύτζια. [a 3] ἐσπουδασμένη ἐστὶ
παιδιὰ τὰ κυνηγέσια. [a 8] καὶ ἡ τιμὴ ἥδιστον δοκεῖ διὰ τὸ φαντά-
ζεσθαι τὸν τιμώμενον ὅτι 'διὰ τοῦτο τιμῶμαι, διότι τοιοῦτός εἰμι, οἷός
15 ἐστιν ὁ σπουδαῖος καὶ ἀγαθὸς ἀνήρ'. [a 10] καὶ μᾶλλον, ὅταν πολλοί, 20
οὓς οἴεται φιλαλήθεις εἶναι, φῶσιν αὐτὸν ἀγαθὸν εἶναι, ἥδεται. τοιοῦτοι
δέ εἰσιν οἱ δοκοῦντες αὐτῷ ἀληθεύειν οἱ ἐγγὺς ἤτοι οἱ γείτονες· οὗτοι
γὰρ μᾶλλον παρ' ὃ οἱ πόρρω, εἰ λέγουσι περὶ αὐτοῦ τι ἀγαθόν, δοκοῦ-
σιν αὐτῷ ἀληθεύειν ὡς γινώσκοντες τὰ αὐτοῦ· [a 13] μᾶλλον γὰρ εἰκὸς
20 ἀληθεύειν τοὺς εἰρημένους ἤτοι τοὺς φρονίμους καὶ γείτονας καὶ
συνήθεις παρὰ τοὺς ἐναντίους ἤτοι τοὺς ἄφρονας καὶ πόρρω· [a 14]
ἐπεὶ οὐδεὶς φροντίζει τιμηθῆναι ἢ δοξασθῆναι παρὰ παιδίων ἢ θηρίων, 25
ὧν κατὰ πολὺ καταφρονεῖ, ὅσον ἐπὶ τῷ κτήσασθαι δόξαν ἀπ' αὐτῶν· ἀλλ'
ἐάνπερ οὐ καταφρονῇ αὐτῶν, οὐ διὰ τὸ τιμηθῆναι ἀπ' αὐτῶν τούτου χάριν
25 οὐ καταφρονεῖ, [a 16] ἀλλὰ δι' ἄλλο τι, ἢ τῷ φοβεῖσθαι τὸν παῖδα ὡς
βασιλέως υἱὸν ἢ τῷ ἐλπίζειν φαγεῖν αὐτὸν τὸ θηρίον. [a 21] ἀλλὰ καὶ
τὸ ἀγαπᾶσθαι ἡδὺ δοκεῖ, διότι οἴεται ὁ ἀγαπώμενος, ὡς ὑπάρχει αὐτῷ
τι ἀγαθόν, οὗ πάντες ἐφίενται. καὶ τὸ θαυμάζεσθαι ἡδύ, διότι ὁ θαυμα-
ζόμενος ἐπαινεῖται. [a 24] ἡδὺ δοκεῖ καὶ τὸ τὰ αὐτὰ πράττειν 30
30 πολλάκις· ἡ γὰρ συνήθεια ποιεῖ αὐτὸν ἥδεσθαι ἐν τῷ ποιεῖν αὐτό.
[a 25] ἀλλὰ καὶ ἡ μεταβολὴ ἡδὺ καὶ τὸ μεταβάλλειν ἀπὸ ἑτέρου τόπου
εἰς ἕτερον ἢ τὸ μεταβάλλειν τὴν διάιταν· καθ' ὅσον γὰρ μεταβάλλει,
οἴεται γίνεσθαι αὐτῷ μεταβολὴν καὶ ἔκτασιν εἰς φύσιν ἤτοι εἰς τὸ κατὰ
φύσιν, ἐπεὶ καὶ ἡ ἡδονὴ ἀθρόα κίνησίς ἐστιν ἐκ τοῦ παρὰ φύσιν εἰς τὸ
35 κατὰ φύσιν. [a 26] τὸ γὰρ αὐτὸ ἤτοι τὸ μεταβάλλειν ἀεὶ καὶ συχνότερον
εἰς τὸ αὐτὸ ποιεῖ ἐν αὐτῷ ὑπερβολὴν τῆς ἕξεως ἐκείνου τοῦ εἰς ὃ 35

---

7 ὣς φάτο κτλ.] Hom. Ψ 108 ὑφ' V Arist. ABCYb: *super* Arist. Tr.: ἐφ' n Arist. cet. 8 ἐπιτυγχάνειν V 10 τιμωρούμενοι V Arist.: τιμωρούμενος n 12 κύτζι V: κότρια n 23 τῷ V: τὸ n 25 ἀλλ' εἴπερ, δι' Arist. τῷ V: τὸ n 26 τῷ V: τὸ n 29 ἡδὺ post πολλάκις Arist. ταὐτὰ Arist. 32 τὸ om. n 33 'fort. ἔκστασιν' Brandis 34 παρὰ Brandis: κατὰ Vn 35 κατὰ Brandis: παρὰ Vn γὰρ om. n συχνότερον, ερον evan., V 36 ὑπερβολὴν ποιεῖ Arist. ἐν αὐτῷ V: ἑαυτῷ n

μεταβάλλει τῆς καθεστώσης καὶ ἐπιγινομένης αὐτῷ ἐκ τῆς συχνοτέρας f. 23r
μεταβολῆς· λαμβάνει γὰρ ἕξιν ἐκ τούτου αὐτοῦ. [a 28] ἀλλὰ καὶ τὰ διὰ
χρόνου ἐπικτώμενά τινι ἡδέα εἰσίν. [a 33] ἐν δὲ τῷ μανθάνειν ἐπι-
γίνεται τὸ καθίστασθαι εἰς τὸ κατὰ φύσιν ἤτοι εἰς τὴν γνῶσιν· ἐξ
5 ἀγνοίας γὰρ εἰς τὴν γνῶσιν καταντῶμεν ἤτοι ἐκ τοῦ παρὰ φύσιν εἰς τὸ
κατὰ φύσιν. [a 35] τὸ μὲν γὰρ εὖ πάσχειν ἐστὶν ἡδὺ διὰ τὸ ἐπιτυγχάνειν,
οὗ ἐπιθυμοῦσι, τὸ δὲ εὖ ποιεῖν ἡδύ ἐστι διὰ τὸ ἔχειν καὶ αὐτάρκη 10
εἶναι ὡς καὶ διδόναι τοῖς ἄλλοις καὶ δοκεῖν ὑπερέχειν διὰ τὸ δύνασθαι
καὶ ἄλλους εὐεργετεῖν, ὧντινων ἀμφοτέρων ἤτοι τοῦ ἔχειν καὶ τοῦ
10 ὑπερέχειν ἐφίενται πάντες. [b 3] καὶ τὸ ἐπανορθοῦν τοὺς πλησίον
σφάλλοντας ἡδὺ δοκεῖ τοῖς ἀνθρώποις· δοκεῖ γὰρ αὐτοῖς ἐν τῷ ἐπαν-
ορθοῦν εὖ ποιεῖν, τὸ δὲ εὖ ποιεῖν ἀγαθόν. [b 4] καὶ τὸ ἀποτελεῖν καὶ
ἐκπληροῦν τὰ | παρ' ἄλλοις ἐλλιπῶς γινόμενα καὶ προστιθέναι, ὃ ἐκεῖνοι f. 23v
ἔλειψαν, ἡδὺ δοκεῖ, ὡς εἴ τις ὀρθώσει λόγον τινός. [b 7] ἀλλὰ καὶ τὰ
15 μεμιμημένα εὖ ἡδέα. κἂν μὴ ἡδύ ἐστιν αὐτὸ καθ' αὑτὸ τὸ μεμιμη-
μένον, ἥδεταί τις ἐπὶ τούτῳ· οἷον ὁ κοχλίας αὐτὸ καθ' αὑτὸ ἡδὺ οὐκ
ἔστιν, ἀλλ' οὐδὲ ὁ βάτραχος, ἀλλ' ἐὰν ἴδω αὐτὰ ἐπὶ εἰκόνος ἐζωγραφη-
μένα καὶ ἄκρως μεμιμημένα παρὰ τοῦ ζωγράφου, ἥδομαι καὶ συλλογι- 5
σμὸς γίνεται ἤτοι καὶ συλλογίζομαι, ὅτι τοῦτο, τουτέστιν ὁ ἐζωγραφη-
20 μένος βάτραχος, ἐκεῖνό ἐστιν ἤτοι ζῶν βάτραχος, διὰ τὴν ἄκραν μίμησιν·
ὥστε ἐκ τοῦ θαυμάζειν συμβαίνει διεγερθῆναί με εἰς τὸ μαθεῖν τὴν ζω-
γραφικὴν τέχνην. [b 10] καὶ αἱ περιπέτειαι· εἶτα ἐφερμηνεύει, τίνες
εἰσὶν αὗται, καί φησιν, ὅτι τὸ ἐκ τῶν κινδύνων σώζεσθαι· ἡδεῖαι γοῦν
καὶ αὗται. [b 18] ἐπεὶ δὲ πᾶν τὸ ὅμοιον καὶ συγγενές ἐστιν, ἅπας δὲ
25 μᾶλλόν ἐστιν ἑαυτῷ ὅμοιος καὶ συγγενὴς παρ' ὃ ἑτέρῳ τινί, διὰ τοῦτο
ἅπας αὐτὸς ἑαυτὸν ἀγαπᾷ καὶ ἡδὺ νομίζει καὶ φίλαυτος γίνεται· [b 20] 10
τὰ γὰρ τοιαῦτα ἤτοι τὸ ὅμοιον καὶ τὸ συγγενὲς πρὸς ἑαυτὸν βλέπει
ταῦτα μᾶλλον ὑπάρχοντα· ἕκαστος γάρ ἐστιν ἑαυτῷ ὅμοιος καὶ συγγενὴς
παρ' ὃ ἑτέρῳ τινί. διὰ οὖν τοῦτο φιλοῦσι καὶ τοὺς κόλακας ὡς ἑαυτῶν
30 ἐπαινέτας. ἀλλὰ καὶ ἐὰν ποιῇ τίς τι, ἐάσῃ δὲ τοῦτο ἐλλιπές, εἶτα ἐλθὼν
ὁ Σωκράτης ἀποπληρώσῃ αὐτό, ὡς ἔργον αὑτοῦ οἴεται τοῦτο εἶναι, κἂν
ἄλλος ἤρξατο τοῦτο ποιεῖν· ὅθεν καὶ ἥδεται ἐπ' αὐτῷ. [b 26] ἀλλὰ
καὶ ὁ σοφὸς ἡδὺ δοκεῖ· ἀρχικὸν γὰρ τὸ φρονεῖν ἤτοι τὸ σοφὸν εἶναι, 15
ἐπεὶ καὶ τὸ ἄρχειν ἥδιστον. ἔτι ἐπεὶ οἱ ἄνθρωποι φιλότιμοι καὶ τὰς
35 τιμὰς ἀγαπῶντες, ἡδὺ δοκεῖ αὐτοῖς καὶ τὸ ἐπιτιμᾶν καὶ μέμφεσθαι καὶ
τοῖς πέλας ὡς μὴ κατορθοῦσιν εὖ, ὃ ἐπαγγέλλονται εἰδέναι· ἐκ τούτου

---

4 εἰς τὸ κατὰ φύσιν καθίστασθαι Arist. 10 καὶ Vn Arist. A: om. Arist. vulg.
10. 11 ἡδὺ τοῖς ἀνθρώποις ἐστὶ τοὺς πλησίον Arist. 12 ἐπιτελεῖν Arist. 13 ἄλλοις n: ἀλλήλοις V 15 κἂν ᾖ μὴ ἡδὺ αὐτὸ τὸ μεμιμημένον Arist. A: καὶ ἐὰν μὴ ᾖ ἡδὺ οὗ τὸ μίμημα Arist. vulg. 16 ἐπὶ τούτω non certo cognoscitur in V: ἐπὶ τοῦτο n
19 καὶ om. n 23 καί φησιν — αὗται (24) om. n σώζεσθαι ἐκ τῶν κινδύνων Arist. 24 καὶ (τὸ add. A) συγγενὲς ἡδὺ ἑαυτῷ ἅπαν Arist. 27 αὐτὸν Arist.
33 καὶ τὸ σοφὸν δοκεῖν εἶναι ἡδὺ Arist. 34 καὶ (post ἐπεὶ) om. n

γὰρ οἴονται ὑπεροχήν τινα ἔχειν πρὸς τοὺς ἐπιτιμωμένους. ἀλλὰ καὶ τὸ f. 23v
ἄρχειν ἡδύ ἐστιν αὐτοῖς. [b 30] καὶ τὸ ἐν ᾧ βέλτιστος δοκεῖ εἶναι,
ἤτοι εἰ καὶ πολλά τις ἔχει ἐπιτηδεύματα, οἷον εἰ καὶ ῥήτωρ ἐστὶ καὶ γεω-
μέτρης καὶ γραμματικός. εὐδοκιμεῖ δὲ τῇ γεωμετρίᾳ καὶ κρείττων ἐστὶν 20
5 αὐτὸς ἑαυτοῦ κατὰ ταύτην, ἐνταῦθα βούλεται διατρίβειν ἀεὶ ἤτοι
περὶ τὰ γεωμετρικά, ἐν οἷς καὶ τὸ ὑπερέχειν τῶν ἄλλων ἔχει. καὶ ἐπὶ
τούτῳ σπουδάζει ἕκαστος, ἵνα καὶ ὅπου αὐτὸς ἑαυτοῦ κρείττων φαίνηται,
νέμων καὶ καταναλίσκων ἐνταῦθα τὸ πλεῖστον μέρος τῆς ἡμέρας. [b 35]
ἀνάγκη καὶ τὰ γελοῖα ἡδέα εἶναι, εἴτε ἄνθρωπός ἐστι γελοῖος, ὡς ὁ
10 πίθηκος καὶ τὸ ἔργον αὐτοῦ τοῦ πιθήκου γελοῖόν ἐστιν, εἴτε λόγος ἐστὶ 25
γελοῖος.

12. Ταῦτα μὲν οὖν εἰσιν, ἤτοι τὸ ἡδύ, τὸ καλόν, τὸ τίμιον, ὧν
χάριν ἀδικοῦσιν οἱ ἄνθρωποι· τίνας δὲ ἀδικοῦσι καὶ πῶς ἔχοντας αὐτούς,
ῥητέον. [1372a5] ἀδικοῦσι καὶ ἁρπάζουσι τὸ πρᾶγμα ἐκεῖνο, ὃ δυνατόν
15 ἐστιν ἀνυσθῆναι παρ' ἑαυτῶν ἢ ὃ εἰ πράξουσι λάθωσιν, ὅτι τοῦτο δι-
επράξαντο, ἢ εἰ μὴ λάθωσιν ὡς διαπραξάμενοι τοῦτο τὸ ἀδίκημα, οὐκ ἂν
δώσουσιν ὑπὲρ τούτου δίκας, ἢ εἰ καὶ δώσουσιν, ἀλλ' οὖν ἐλάττω κατὰ
πολὺ τὴν ζημίαν καὶ τὴν δίκην εἶναι τοῦ κέρδους τοῦ ἐπιγινομένου 30
ἢ ἑαυτοῖς ἢ τοῖς φίλοις ἢ τοῖς τέκνοις, ὧν κήδονται, ἐκ τοῦ ποιῆ-
20 σαι τουτὶ τὸ ἀδίκημα. [a 9] ταῦτα γὰρ τὰ δυνατὰ καὶ τὰ ἀδύνατα
ὡς τελικὰ κεφάλαια κοινά εἰσι τῶν λόγων πάντων ἤτοι τοῦ δικανικοῦ,
τοῦ συμβουλευτικοῦ καὶ τοῦ πανηγυρικοῦ. οὗτοι δὲ οἴονται ἀδικῆσαι
καὶ μὴ ζημιωθῆναι οἱ δυνάμενοι εἰπεῖν ἤτοι οἱ κατὰ τὰς συνηγορίας
δεινοί, καὶ οἱ πρακτικοὶ ἤτοι οἱ πολλὰ τοιαῦτα πράξαντες, καὶ οἱ ἔμ-
25 πειροι πολλῶν ἀγώνων ἤτοι δικαστηρίων. [a 13] καὶ εἰ πλούσιοί 35
εἰσιν ἢ πολύφιλοι, θαρροῦσι τῷ πλούτῳ ἢ τοῖς φίλοις καὶ ἀδικοῦσι
θαρροῦντες δόσεσιν ἀθῳωθῆναι ἢ φίλων ἀξιώσεσι. καὶ μάλιστα, ἂν
αὐτοὶ ὦσιν ἐν τοῖς εἰρημένοις, ἤτοι εἰπεῖν δυνάμενοι καὶ πρακτικοί,
οἴονται ἀδικεῖν δύνασθαι. εἰ δὲ μή, ἤτοι εἰ δὲ μήτε εἰπεῖν εἰσι
30 δυνάμενοι μήτε πρακτικοί, κἂν εἰ ἔχωσι φίλους τοιούτους ἤτοι δυναμένους
εἰπεῖν καὶ πρακτικούς, ἢ κἂν φίλους τοιούτους οὐκ ἔχωσιν. ἀλλ' ἢ ἐὰν 40
ὦσιν ὑπηρέται καὶ δουλεύοντες τοῖς δυναμένοις εἰπεῖν καὶ πρακτικοῖς ἤ
εἰσι κοινωνοὶ τοιούτων δυνατῶν εἰπεῖν. [a 17] ἀδικοῦσι καὶ εἰ φίλοι

---

1. 2 καὶ τὸ ἄρχειν Vn Arist. ATr.: om. Arist. vulg. 2 τὸ ἐν Vn Arist. A: τὸ om. Arist. vulg. βέλτιστος δοκεῖ εἶναι αὐτὸς αὐτοῦ Arist. vulg.: δοκεῖ βέλτιστος αὐτὸς αὐτοῦ εἶναι Arist. A 9 καὶ Vn Arist. A: δὲ καὶ Arist. vulg. 13 πῶς δὲ ἔχοντες Arist. 19 αὐτοῖς Arist. 21 τελικὰ V: τε καὶ n τῶν λόγων πάντων Vn: ταῦτα πάντων τῶν λόγων Arist. A: τῶν μερῶν τῆς ῥητορικῆς ταῦτα πάντων Arist. BE: *omnium partium rhetoricae haec* Arist. Tr.: τῶν μερῶν τῆς ῥητορικῆς ταῦτα πάντα Arist. cet. 22 τοῦ (post καὶ) om. n αὐτοὶ δ' Arist. 23 εἰπεῖν δυνάμενοι Arist. ἤτοι scripsi: ὅτι Vn 24 πραγματικοὶ n 24. 25 οἱ ἔμπειροι Vn Arist. vulg.: οἱ om. Arist. A 26 πολύφιλοι Vn Arist. A: πολλοὶ φίλοι Arist. vulg. 27 μέν, ἂν Arist. 30 εἰ om. n

εἰσὶ τῶν ἀδικουμένων· θαρροῦσι γάρ, ὅτι, ἐπεὶ φίλος μού ἐστιν, οὐ θέλει f. 23v
φυλάττεσθαι, μή πως ἀδικηθῇ παρ' ἐμοῦ, καὶ ῥᾳδίως αὐτὸν ἀδικήσω ὡς
ἀφύλακτον μένοντα, καὶ ὅτι, εἰ ἀδικηθῇ, φθάσει προκαταλλαγῆναι καὶ
σπείσασθαι αὐτῷ πρὸ τοῦ ἐξ|ελθεῖν τὴν ὑπόθεσιν. [a 21] λανθάνουσι f. 24r
καὶ οἱ ἐναντίοι τοῖς ἐγκλήμασιν· οἷον εἰ ἔνδοξός τις κατηγορεῖ τινος
πένητος ὡς αὐτὸν παίσαντος, ἀπίθανα δόξει λέγειν καὶ ἀδύνατα· καὶ ὁ
αἰσχρὸς ἤτοι ὁ ἀειδὴς καὶ πτωχὸς (ἅμα τὰ δύο εἰπέ) εἰ κατηγορηθῇ,
ὡς ἐμοίχευσε τὴν δεῖνα, ἄπιστον δόξει· πῶς γὰρ ἠράσθη τοιούτου δυσειδοῦς
ἅμα καὶ πτωχοῦ; [a 23] καὶ τὸ λίαν ἐν φανερῷ, οἷον ὃ ἐν χερσὶ
κρατῶ ἀεί. οὐ φυλάττεται παρ' ἐμοῦ, οἷον τὸ καλαμάριόν μου, καὶ διὰ 5
τοῦτο ῥᾳδίως ἄν τις δυνηθῇ ἀφελέσθαι αὐτὸ παρ' ὃ τὸν ἐγκεκρυμμένον
θησαυρὸν καὶ φυλαττόμενον παρ' ἐμοῦ ἐν ἀφανεῖ τόπῳ. [a 25] καὶ περὶ
τὰ τοιαῦτα καὶ τηλικαῦτα ἀδικοῦσιν, ἃ μηδείς τις ἠδίκησε· καὶ τὸ
οἷον ἐμίγη τις τεταριχευμένῳ σώματι. τίς γὰρ ἠθέλησεν ἀδικῆσαί με
περὶ τὸ ὑπόδημα; εὐτελὲς ὂν τοιοῦτον καὶ διὰ τοῦτο ἀφύλακτον μένον ὡς
εὐκαταφρόνητον ῥᾳδίως ἀφαιρεῖται παρὰ τοῦ ἀδικοῦντος. [a 28] ἀδικοῦσι 10
καὶ οἱ μηδένα ἐχθρὸν ἔχοντες καὶ οἱ πολλούς· οἱ μὲν γὰρ ἤτοι οἱ πολλοὺς
ἐχθροὺς ἔχοντες λανθάνουσι καὶ οὐ φαίνονται ἀδικῆσαι διὰ τὸ μὴ δοκεῖν
μηδὲ ὅλως ἐπιχειρῆσαι ἀδικῆσαι ὡς φυλαττόμενοι παρὰ τῶν ἐχθρῶν, οἱ
δὲ μὴ ἔχοντες ἐχθρὸν οἴονται λαθεῖν διὰ τὸ μὴ φυλάττεσθαι παρά
τινος. [a 32] ἀδικοῦσι καὶ περὶ ἐκεῖνα, ἃ ἔστι ῥᾳδίως κρύψαι ἢ διὰ τὸ
εἶναι σμικρά, ἢ τρόπος, ἢ ἔστι τρόπος τις κρύψεως ἤγουν τὸ πέμψαι
αὐτὸ εἰς ἕτερον τόπον, ὡς μηδὲ γνωσθῆναι, τί ἐγένετο, ἢ τόπος ἤτοι τὸ 15
κρύψαι αὐτὸ ἔν τινι τόπῳ εὐφυλάκτῳ καὶ κεκρυμμένῳ, ἢ διάθεσις
εὔπορος ἤτοι μετὰ τὸ κλέψαι αὐτὸ διαθεῖναι καὶ ἀλλοιῶσαι καὶ μετα-
σχηματίσαι, ὡς μηδὲ δοκεῖν ὁρώμενον, εἰ ἐκεῖνό ἐστι, διὰ τὸν μετασχη-
ματισμόν. [a 33] ἀδικοῦσι καὶ ὅσοι μὴ λαθόντες δύνανται ἀφ' ἑαυτῶν
διῶσαι τὴν δίκην, οἷον εἰ ἱερώμενός ἐστιν, ἀποσείσει τὴν δίκην ἑλκόμενος
εἰς ἀπρόσφορον δικαστήν. ἢ ἀναβολὴ χρόνιος, ἤτοι ποιεῖ ὑπερθέσεις
καὶ ἀναβάλλεται τὸ δικαστήριον. ἢ διαφθείρει τοὺς κριτὰς χρήμασιν, ὡς 20
μὴ δικάσαι δικαίως. [a 34] ἀδικοῦσι καὶ ἐκεῖνοι, οἵτινες δύνανται ἀποδιῶσαι
ἀφ' ἑαυτῶν τὸ ἐκτῖσαι καὶ ἀπαιτηθῆναι, ἃ ἔλαβον ἀπὸ τοῦ ἀδικουμένου, ἐὰν
γένηται αὐτοῖς ζημία ἤτοι ἐὰν κατακριθῶσι ζημιωθῆναι, ἢ ἀναβολὴ
χρόνιος, ἤτοι εἰ οὐ δύναται ἀφ' ἑαυτοῦ ἀπορραπίσαι τὴν ζημίαν, κἂν
ἵνα ἀναβάλληται καὶ ὑπερθήσει δοῦναι αὐτὸ μετὰ παραδρομὴν πέντε ἢ ἓξ

---

3 φθάσῃ n 7 ἀειδὴς n: ἀηδὴς V 9 τὸ Vn: τὰ Arist. 10. 11 διὰ τὸ τοῦτο n 13 καὶ τὰ τηλικαῦτα καὶ τὰ τοιαῦτα, ἃ μηδὲ εἷς (vulg.; οἷα μηδ' ἂν εἷς A) Arist. 13. 14 locum corruptum non expedivi; fort. verba καὶ τὸ — σώματι delenda sunt, margini quondam ascripta ex iis, quae leguntur p. 78,24 sq. 15 fort τοσοῦτον 18 διὰ — ἀδικῆσαι (19) om. n 22 τρόπος et 23 τόπος Vn Arist. vulg.: τρόποις et τόποις, ι postea add., Arist. A 24. 25 διάθεσις εὔπορος Vn Arist. vulg.: διαθέσεις εὔποροι Arist. A 28 διῶξαι n 29 χρόνιος Vn Arist. vulg.: χρόνου Arist. A 31 ἀποδιῶσαι scripsi: ἀποδιῶξαι Vn 35 ἀναβάλληται, βάλλ evan., V ὑπερθήσει, post ρ littera erasa, V

ἐνιαυτῶν, ἢ δι' ἀπορίαν μηδὲν ἕξει ἀπολέσαι διὰ τὸ μηδεμίαν ἀγω- f. 24r
γὴν εἶναι ἐπ' ἀπόρῳ. [a 36] καὶ οἷς τὰ κέρδη εἰσὶν ἐγγὺς ἤτοι ἀνὰ 26
χεῖρας, ἡ δὲ ζημία ἡ ἐκ τοῦ λαβεῖν τόδε ἀνακύψασά ἐστι πόρρω, ἤτοι
καὶ τὸ μὲν κέρδος ἐγγύς ἐστιν (ἤδη γὰρ ἔσχον αὐτό), ὁ δὲ μέλλων με
5 ἑλκύσαι εἰς δικαστήριον ἕνεκα τοῦ κέρδους τούτου κατοικεῖ πόρρω ἤτοι
εἰς Ἀφρικὴν καὶ διὰ τοῦτο ἢ οὐ προσδοκῶ αὐτὸν ἐλθεῖν ἢ διὰ χρόνων
καὶ βραδέως. [b 1] ἀδικοῦσι καὶ ἐκεῖνοι, ὧν ἡ τιμωρία οὐκ ἴση ἐστὶ
τῇ ὠφελείᾳ, οἵτινες ὠφεληθέντες μεγάλως ἐκ τοῦ ἀδικῆσαι ἐλπίζουσι 30
τιμωρηθῆναι ὀλίγα, οἷόν ἐστιν ὁ τόραννος· μεγάλα γὰρ ὠφελούμενος ἐκ
10 τῆς τυραννίδος χώρας καὶ πόλεις ἀνδραποδίζων ὀλίγα τιμωρηθῆναι ἐλπίζει·
ἡ γὰρ τιμωρία αὐτοῦ ἐστι τὸ ἐκβληθῆναι τῆς τυραννίδος. [b 2] ἀδικοῦσι
καὶ ὅσοις τὰ μὲν ἀδικήματά εἰσι δωρεῶν μεγάλων λήμματα ἤτοι
λήψεις, ἡ δὲ ζημία αὐτῷ οὐκ ἄλλο τί ἐστιν ἀλλ' ἢ μέμψις καὶ τὸ ὀνει-
δισθῆναι. [b 3] καὶ οἷς τὸ ἀδίκημα τείνει εἰς ἔπαινον· οἷον εἰ γινώσκων 35
15 τὸν Σωκράτην, ὅτι ποτὲ ἔβλαψε τὸν πατέρα μου ἢ τὴν μητέρα μου, καὶ
ἀδικήσω αὐτόν, ἐπαινοῦμαι ὑπὲρ οὗ ἠδίκησα αὐτὸν διὰ τοὺς γονεῖς· ὑπὲρ
οὗ δὲ ἠδίκησα τὸν Σωκράτην διὰ τοὺς γονεῖς, πρόκειταί μοι ζημιωθῆναι
χρήματα ἤτοι φυγὴν ἢ ἐξορίαν. [b 6] δι' ἀμφότερα γὰρ ἀδικοῦσιν
ἤτοι δι' ἔπαινον καὶ διὰ λῆψιν χρημάτων καὶ ἀμφοτέρως ἔχοντες
20 ἤτοι καὶ διακείμενοι πρὸς ἀμφότερα ἤτοι καὶ πρὸς ἔπαινον καὶ πρὸς χρή- 40
ματα, πλὴν οὐχὶ οἱ αὐτοὶ διάκεινται καὶ περὶ χρήματα καὶ περὶ ἐπαί-
νους. [b 8] ἐναντίοι γὰρ τοῖς ἤθεσίν εἰσιν οἱ μικροπρεπεῖς καὶ οἱ
μεγαλοπρεπεῖς· καὶ οἱ μὲν μεγαλοπρεπεῖς ἀδικοῦσι διὰ τὸ κτήσασθαι
ἔπαινον, οἱ δὲ μικροπρεπεῖς ἀδικοῦσι διὰ τὸ κτήσασθαι χρήματα. πλὴν
25 οὐχὶ οἱ αὐτοὶ ἀδικοῦσι περὶ ἀμφότερα ἤτοι περὶ χρήματα ἢ ἔπαινον,
ἀλλ' οἱ ἐναντίοι τοῖς ἤθεσιν ἤτοι οἱ μικροπρεπεῖς καὶ μεγαλοπρε- f. 24v
πεῖς, πλὴν οἱ μὲν μικροπρεπεῖς περὶ χρήματα, οἱ δὲ μεγαλοπρεπεῖς περὶ
ἔπαινον. [b 8] καὶ οἱ πολλάκις ἀδικήσαντες ἀδικοῦσιν ὡς ἐθάδες τῆς
ἀδικίας. ἢ οἱ λεληθότες ἤτοι οἱ πολλάκις ἀδικήσαντες καὶ λαθόντες διὰ
30 τὸ πεφυκέναι λανθάνειν ἀδικοῦσι. καὶ οἱ πολλάκις ἀδικήσαντες καὶ κρατη-
θέντες καὶ μὴ ζημιωθέντες ἀδικοῦσι διὰ τὸ μηδέποτε ζημιωθῆναι ἐφ' οἷς 5
ποιοῦσι. [b 9] καὶ οἱ πολλάκις ἀποτετυχηκότες ἤτοι πολλάκις ὁρμή-
σαντες ἀδικῆσαι καὶ μὴ δυνηθέντες ἀδικοῦσιν· ὡς γὰρ ἐν τοῖς πολεμι-
κοῖς πολλάκις ὁρμήσαντές τινες κατ' ἐχθρῶν καὶ ἡττηθέντες οὐ στέργου-
35 σιν ἀλλ' ἀναμάχονται καὶ ἐπὶ τῶν παλαιόντων πίπτοντές τινες προσκα-
λοῦνται πάλιν εἰς πάλην τὸν ἀντίπαλον, ἵνα ἀναπαλαίσωσιν, οὕτω καὶ οὗτοι
πολλάκις ἀποτυχόντες ὁρμῶσιν εἰς τὸ ἀδικεῖν, ὡς ἂν ὀψέ ποτε τούτου 10
ἐπιτύχωσι. [b 11] καὶ οἷς ἂν ᾖ τὸ ἡδύ, ἤτοι ἀδικοῦσι καὶ οἷς ἡ μὲν

---

1 ἢ δι' n Arist.: evanuerunt V 2 εὐπόρῳ n τὰ μὲν Arist. 6 προσδοκῶ scripsi: προσδοκᾶ Vn 9 τιμηθῆναι n ἐξ n 14 οἷς V: ἧς n γινώσκω n 16 ἀδικήσω αὐτῶν n 18 δι' ἀμφότερα Vn Arist. A: καὶ ἀμφότεροι Arist. vulg. et A marg. man. 1 21 οὐχ Arist. 22 εἰσιν om. n 25 οὐχ Arist. 34 πολλάκις om. n 38 ἂν παραχρῆμα ᾖ Arist. 38 καὶ — παραχρῆμα (p. 71,1) om. n

ὠφέλειά ἐστι παραχρῆμα ὡς τοῖς πορνεύουσιν ἤτοι εὐθὺς καὶ ἐν χερσί, f. 24v
τὸ δὲ λυπηρὸν καὶ ἡ βλάβη ἡ μέλλουσα ἐπισυμβῆναι αὐτοῖς ἐκ τοῦ
νοηθῆναι καὶ κρατηθῆναι ὕστερον καὶ μετὰ χρόνους πολλοὺς ἀποβήσεται.
[b 12] ἢ τὸ κέρδος ἤτοι ἡ ὠφέλεια αὐτοῖς ἐπεγένετο εὐθύς, ἡ δὲ
5 ζημία ὕστερον καὶ μετὰ χρόνους· οἱ γὰρ ἀκρατεῖς τοιοῦτοι, τὴν
μὲν ἐκ τῆς ἀκρασίας ὠφέλειαν ἔχουσιν ἐν χερσί, τὴν δὲ ζημίαν ὕστερον 15
παρακολουθοῦσαν· ἡ δὲ ἀκρασία ἐστὶ περὶ πάντων, ὅσων ὀρέγον-
ται, ἤτοι ὁ χρημάτων ὀρεγόμενός ἐστιν ἀκρατὴς περὶ χρήματα καὶ ὁ
τιμῆς ὀρεγόμενός ἐστιν ἀκρατὴς περὶ τιμήν. [b 13] ἀδικοῦσι καὶ οἷς τὸ
10 μὲν λυπηρὸν καὶ ἡ ζημία ἤδη ἐστὶν ἤτοι εὐθὺς παρακολουθοῦσι, πλὴν
πάλιν συντόμως παρέρχονται, τὸ δὲ ἡδὺ καὶ ἡ ὠφέλεια ὕστερα μὲν
ἐπακολουθοῦσι, πλὴν παραμένουσιν· [b 15] οἱ γὰρ ἐγκρατεῖς καὶ οἱ
φρόνιμοι τὰ τοιαῦτα ἀδικοῦσιν, ἐξ ὧν, εἰ κρατηθῶσιν, ὀλίγα μὲν ζημιω- 20
θήσονται, ἀλλὰ καὶ συντόμως τῆς λύπης καὶ τῆς ζημίας ἀπαλλαγήσονται,
15 ὕστερον δὲ μεγάλα ὠφεληθῶσιν, ἀλλὰ καὶ ἡ γινομένη ὠφέλεια ἔσται ἐπὶ πολὺ
παραμένουσα. [b 17] ἀδικοῦσι καὶ οἵτινες δόξουσιν ἀδικῆσαι κατὰ τύχην,
ἤτοι 'κατὰ τύχην ἔσυρα τὸ βέλος τὸ τρῶσαν τὸν δεῖνα'. ἢ κατ' ἀνάγ-
κην· 'ἔκλεψα, ἐπείνων γάρ'. ἢ διὰ φύσιν· 'ἡ φύσις με ἠνάγκασεν ὑπνῶ-
σαι', ὡς ἐπὶ τῶν φυλάκων τῶν ὑπνωσάντων καὶ διὰ τοῦτο εἰσελθόντων 25
20 τῶν πολεμίων. ἢ τὸ ἔθος, ἤτοι 'ἔθος τῇ πόλει ἦν μὴ ἀνοίγειν τὰς
θύρας νύκτωρ καὶ διὰ τοῦτο οὐκ ἤνοιξα αὐτάς', ὡς ἐπὶ τοῦ στρατηγοῦ
τοῦ μὴ ἀνοίξαντος τὰς πύλας, ὥστε εἰσελθεῖν τοὺς αἰχμαλώτους φυγόντας
καὶ καταδιωκομένους ὑπὸ τῶν πολεμίων. [b 18] ἁμαρτεῖν λέγονται οἱ
κατὰ συναρπαγὴν ἢ κατὰ ἀνάγκην ἄδικόν τι ποιήσαντες ἢ διὰ τύχην ἢ δι'
25 ἔθος ἢ διὰ θυμόν, ἀλλ' οὐχὶ ἀδικεῖν· ἀδικεῖν γάρ ἐστι τὸ μετὰ προ-
αιρέσεως καὶ προβουλεύσεως καὶ σκέψεως. ἀδικοῦμεν καὶ ἐκείνους, ἐν 30
οἷς ἔστι τυχεῖν ἐπιεικοῦς τοῦ κριτοῦ ἤτοι συγγνωμονικοῦ· εἰ γάρ τις
ἀδικήσει τὸν τὰ ἀλλότρια ὑφαρπάζοντα, συγγνώμης ἂν εἴη ἄξιος. ἀδι-
κοῦσι καὶ οἱ ἐνδεεῖς. [b 19] οἱ δὲ ἐνδεεῖς διχῶς ἐκλαμβάνονται· ἢ γὰρ
30 ἐνδεεῖς εἰσιν ἀναγκαίου, ὡς οἱ πένητες τῶν πρὸς τὸ ζῆν ἀναγκαίων·
ἀδικοῦσι γὰρ οὗτοι, ὡς ἂν ἐμπλήσωσι τὴν γαστέρα· καὶ οἱ πλούσιοι ἐνδεεῖς
εἰσιν εἰς τὰ περιττὰ ὑπερβολῆς ἤτοι τοῦ ὑπερέχειν πάντων δέονται. 35
οἱ δὲ εὐδοκιμοῦντες ἀδικοῦσι θαρροῦντες, ὡς οὐ δόξουσιν ἀδικεῖν, οἱ
δὲ ἀδοξοῦντες ἀδικοῦσιν ἐν τῷ θαρρεῖν, ὡς οὐδὲν ἧττον ἀτιμωθῶσι
35 παρ' ὅ εἰσιν, εἴ γε τέως κρατηθῶσιν. [b 24] ἀδικοῦσι δὲ τοὺς ἔχον-
τας τὰ τοιαῦτα, ὧν αὐτοὶ χρήζουσιν. ἢ εἰς τὰ ἀναγκαῖα ἀδικοῦσιν
ἤτοι ἄρτον, οἶνον καὶ ὅλως εἰς τὰ πρὸς τὸ ζῆν. [b 25] ἀδικοῦσι καὶ εἰς

---

1 παραχρῆμα post πορνεύουσιν add. n 5 γὰρ Vn Arist. A: δὲ Arist. vulg.
7 πάντα Arist. 9 οἷς ἂν τοὐναντίον τὸ Arist. 13 τὰ Vn Arist. A: om. Arist. vulg. ἀδικοῦσιν V: διώκουσι n Arist. 25 ἀλλὰ μὴ Arist. 26 βουλεύσεως n
27 τοῦ ἐπιεικοῦς τυχεῖν Arist. 28. 29 ἀδικοῦσι δὲ καὶ n 32 τοῦ om. n
34 ἀδοξοῦντες Vn Arist. A: δόξοντες Arist. vulg. ὡς οὐδὲν V: ὥστε n 35. 36 δὲ τοὺς τοιούτους καὶ τὰ τοιαῦτα τοὺς ἔχοντας ὧν Arist. 36 τἀναγκαῖα Arist.

ὑπεροχήν· ἁρπάζουσι γὰρ χρήματα καὶ πλῆθος δούλων συνάγουσιν, ἵνα f. 24r
ἐν τούτοις τῶν ἄλλων ὑπερέχωσι. καὶ εἰς ἀπόλαυσιν ἤτοι ἀδικοῦσι καὶ 40
εἰς τὰ χρησιμεύοντα εἰς ἀπόλαυσιν, οἷον εἰς κῆπους, εἰς δένδρα ὑψίκομα,
ζῴδια. [b 26] τοὺς μὲν γὰρ τῶν ἐγγὺς ἀδικοῦσι, διότι ἡ λῆψις ταχεῖα,
5 ἤτοι ἐν χερσὶ τὰ πράγματα τῶν ἐγγὺς ἔχουσι καὶ διὰ τοῦτο ῥᾷον λαβεῖν
αὐτά, τῶν δὲ ἤτοι τῶν πόρρω ἡ τιμωρία βραδεῖα· εἰ γάρ τις ἐν Λακε-
δαίμονι ἀδικήσει τὸν ὄντα εἰς Ἀφρικήν, βραδέως ἐλπίζει αὐτὸν ἐλθεῖν f. 25r
ἐκ τῆς Ἀφρικῆς, ὥστε ἑλκύσαι αὐτὸν εἰς δίκας. περὶ ὧν ἠδίκηται παρ'
αὐτοῦ. [b 27] οἱ συλῶντες τοὺς Καρχηδονίους ἤτοι τοὺς ἐν Ἀφρικῇ
10 πέραν τῆς μεγάλης ὄντας θαλάττης οὐκ ἐλπίζοντές ποτε ἐλθεῖν ἐκ τῆς
Ἀφρικῆς τινα, ἵνα αὐτοὺς ἑλκύσῃ εἰς δίκην, ὑπὲρ ὧν ἠδικήθησαν. [b 28]
ἀδικοῦμεν καὶ τοὺς μὴ εὐλαβεῖς μηδὲ φυλάττοντας ἑαυτοὺς ἀλλὰ
πιστεύοντας παντί· ῥᾷον γάρ ἐστι πάντας ἀνθρώπους λαθεῖν, ὥστε 5
ἀδικῆσαι τοὺς τοιούτους τοὺς παντὶ πιστευτικούς. [b 29] ἀδικοῦμεν καὶ
15 τοὺς ῥαθυμοῦντας ἐπεξιέναι τῇ δίκῃ ἤτοι τοὺς μαλακοὺς ὡς οὐκ ἄν
ποτε ἐλπίζοντες παρ' αὐτῶν εἰς δικαστήριον ἑλκυσθῆναι. καὶ τοὺς
αἰσχυνομένους ἁπαντᾶν εἰς δικαστήριον. [b 31] ἀδικοῦμεν καὶ τοὺς
ἀδικηθέντας ὑπὸ πολλῶν καὶ μὴ ἐπεξελθόντας τοὺς ἀδικήσαντας
ἐλπίζοντες, ὡς οὐδὲ καθ' ἡμῶν κινήσουσι. Μυσῶν λεία. τοῦτο παροι-
20 μία ἐπὶ τῶν κακῶς ἁρπαζομένων λεγομένη· οἱ γὰρ περίοικοι κατ' ἐκεῖνον 10
τὸν χρόνον τοὺς Μυσοὺς ἐληίζοντο· ἦσαν γὰρ ἄναρχοι, ἕως ἦρξεν ὁ
Τήλεφος. [b 33] ἀδικοῦμεν καὶ οὓς μηδεὶς πώποτε ἠδίκησε καὶ οὓς
πολλάκις τινὲς ἠδίκησαν· οἱ μὲν ἤτοι οἱ μὴ παρά τινων ἀδικηθέντες
ποτὲ ἀφύλακτοί εἰσιν ὡς οὐδέποτε ἀδικηθέντες, οἱ δὲ οἱ πολλάκις ἀδι-
25 κηθέντες εἰσὶν ἀφύλακτοι ὡς μὴ παρά τινος ἐλπίζοντες ἀδικηθῆναι ἔτι
διὰ τὸ μηδὲν ἔχειν δοκεῖν ἐκ τοῦ πολλάκις ἀδικηθῆναι. [b 35] εὐδιά- 15
βολοί εἰσιν οἱ ἔχοντές τι ἀγαθὸν καὶ διὰ τοῦτο παρὰ πάντων φθονούμενοι
("πρὸς γὰρ τὸν ἔχοντ' ὁ φθόνος ἕρπει") ἢ οἱ εὐκολοδιάβλητοι· οἱ τοιοῦ-
τοι γὰρ οὐ προαιροῦνται ἑλκύσαι εἰς δικαστήριον τοὺς ἀδικήσαντας οἱ
30 διαβεβλημένοι φοβούμενοι, μή πως ἐκβληθῶσι παρὰ τῶν δικαστῶν. οὔτε
δύνανται πείθειν τοὺς δικαστάς, ὡς παρὰ τῶν ἀδικησάντων μισοῦνται
ἢ φθονοῦνται, ὡς οἱ εὐδιάβολοι. [b 37] ἀδικοῦμεν καὶ ἐκείνους, οὓς ἔχομεν 20
προφασίσασθαι ὡς ἀδικήσαντάς ποτε ἢ τοὺς προγόνους ἡμῶν ἢ τοὺς
φίλους ἢ μελετήσαντας καὶ φροντίσαντας ἀδικῆσαι ἢ τοὺς προγόνους ἢ
35 ἡμᾶς ἢ τοὺς παῖδας ἡμῶν, ὧν κήδονται. [1373a 4] τοὺς μὲν γὰρ
ἤτοι τοὺς φίλους ῥᾴδιόν ἐστιν ἀδικῆσαι ὡς ἀφυλάκτους, τοὺς δὲ ἤτοι
τοὺς ἐχθροὺς ἀδικῆσαι ἡδὺ δοκεῖ. [a 5] καὶ μὴ δεινοὺς εἰπεῖν ὡς

---

6. 7 λακεδαιμονίᾳ n 7 εἰς τὴν ἀφρικὴν n 9 οἷον οἱ Arist. καρχηδονίους V Arist.: καλχηδονίους n Arist. Tr. 13 ῥᾴδιον Arist. 15 ῥαθυμοῦντας Vn Arist. vulg.: ῥαθύμους Arist. A 18 ὑπὸ πολλῶν ἀδικηθέντας Arist. 19 λείαν Arist. 22 οὓς Vn Arist. vulg.: τοὺς Arist. A μηδεὶς πώποτε Vn: μηδεπώποτε Arist. 28 πρὸς γὰρ τὸν κτλ.] Soph. Aiac. 157 29 οὐ Vn: οὔτε Arist. 32 οἱ om. n 37 καὶ τοὺς μὴ Arist.

τοὺς συνηγόρους· ἢ γὰρ ἀδικηθέντες οὐκ ἐγχειροῦσιν ἐπεξιέναι τὴν f. 25r
δίκην ὡς μὴ δεινοὶ εἰπεῖν ἢ καταλλάττονται ἤτοι συμβιβάζονται. [a 7] 25
ἀδικοῦμεν καὶ τοὺς ξένους, οἷς οὐ λυσιτελὲς διατρίβειν ἐν Κωνσταντινου-
πόλει ἐπιτηροῦσιν ἢ δίκην ἢ ἔκτισιν· οἱ γὰρ ἐξ ἀλλοδαπῆς ἐλθόντες
5 εἰς Κωνσταντινούπολιν καὶ ἀδικηθέντες παρά τινος καταλλάττονται συντό-
μως· οὐ γὰρ βούλονται ἑλκύειν εἰς δικαστήριον τοὺς ἀδικήσαντας καὶ ἐνδια-
τρίβειν ἐπὶ πολὺ φοβούμενοι τὰς ἐκτίσεις, ἤτοι μή πως φωραθῶσι παρὰ
τῶν δανειστῶν καὶ ἀναγκάζωνται ἐκτῖσαι τὸ χρέος, ἢ μή πως ἑλκυσθείη 30
εἰς δίκην παρά τινος ἀδικηθέντος παρ' αὐτοῦ φωραθεὶς καὶ ἐπιδημήσας
10 τῇ Κωνσταντινουπόλει. [a 8] καὶ αὐτουργοὶ ἤτοι οἱ γεωργοὶ ἀδικη-
θέντες λαβόντες μικρὰ παρὰ τοῦ ἀδικήσαντος ὑπὲρ ὧν ἠδικήθησαν δια-
λύονται τὰς δίκας τὰς κατὰ τῶν ἀδικησάντων. [a 10] ἀδικοῦμεν καὶ
τοὺς πολλὰ ἀδικήσαντας ἢ τοιαῦτα ἀδικήσαντας, οἷα καὶ ἀδικοῦνται·
ἐγγὺς γάρ ἐστι τοῦ μὴ ἀδικεῖν, ὅταν τις ἀδικηθῇ, οἷον εἰώθει
15 ἀδικεῖν· ἡδὺ γάρ ἐστι τὸ ἀδικεῖν τοὺς πολλὰ ἀδικήσαντας, ἀλλὰ καὶ 35
καλόν ἐστι καὶ δίκαιον ἀδικεῖν αὐτοὺς τοιαῦτα, οἷα εἰώθεισαν ἀδικεῖν, καὶ
ἐγγὺς τοῦ μὴ ἀδικεῖν φαίνεται τὸ ἀδικῆσαί τινα, οἷον εἰώθει ἀδικεῖν.
[a 16] καὶ οἷς χαριοῦνται, ἤτοι ἀδικοῦμεν καὶ ἐκείνους, ὧν ἀδικου-
μένων χαριζόμεθα ἢ φίλοις ἢ θαυμαζομένοις ἤτοι θαυμασταῖς ἢ
20 ὅλως πρὸς οὓς ζῶσιν αὐτοί, ἤτοι οὓς θεραπεύειν σπουδάζομεν, ὡς
πρὸς τὸ ζῆν συμβαλλομένους ἡμῖν. [a 18] ἀδικοῦμεν καὶ οὓς ἀδικη-
θέντας ἔστι τυχεῖν ἐπιεικείας, οὓς ἐλπίζομεν ἐπιεικευθῆναι ἡμῖν· 40
ἐπιείκεια δέ ἐστιν ἐλάττωσις τῶν οἰκείων κατορθωμάτων καὶ τῶν οἰκείων
δικαίων· ἐπιεικευθῆναι ἤτοι τοῦ οἰκείου καταφρονῆσαι δικαίου. [a 18]
25 ἀδικοῦμεν καὶ οἷς ὦμεν ἐγκαλέσαντες ἤτοι καθ' ὧν ἐνεκαλέσαμεν πάλαι
καὶ πάλιν προδιακεχωρήκαμεν ἤτοι συνεβιβάσθημεν· φαίνεται γάρ, ὅτι διὰ
τοῦτο συνεβιβάσθημεν τότε, διότι οὐκ ἠδυνήθη|μεν ἀνταμῦναι· οἷον ὁ f. 25v
Διονύσιος ἀπέκτεινε τὸν Δίωνα φίλον ὄντα τοῦ Καλλίππου, ὁ δὲ Κάλλιππος
ἐκίνησε κατὰ τοῦ Διονυσίου· μὴ δυνηθεὶς αὐτὸν βλάψαι συνεβιβάσθη αὐτῷ,
30 εἶτα εὑρὼν καιρὸν ἴσχυσε φονεῦσαι τὸν Διονύσιον. [a 21] ἀδικοῦμεν καὶ
τούς, οἳ ἔμελλον παρ' ἄλλων ἀδικηθῆναι, ὡς μὴ ἦν δυνατὸν καὶ ἐνδε-
χόμενον βουλεύσασθαί τι ἐκφυγεῖν τὸ μὴ παρ' αὐτῶν ἀδικηθῆναι· 5
τούτους εἰ ἀδικήσομεν ἡμεῖς ἐν τῷ προλαβεῖν τοὺς μέλλοντας ἀδικεῖν αὐ-
τούς, οὐκ ἀδικεῖν φαινόμεθα. [a 23] τὰ κοττάβια ἢ ἐκπώματά εἰσι
35 Θετταλικὰ ἢ σκυλία. ὁ Γέλων ἐσπούδαζε κατασχεῖν τὴν Γέλην καὶ ἤδη

---

3 οἷς V: οἷον n 9 παρ' om. n 11. 12 διαλύονται τὰς om. n 14. 15 ἀδικεῖν εἶναι, ὅταν τι τοιοῦτον ἀδικηθῇ τις, οἷον εἰώθει καὶ αὐτὸς ἀδικεῖν Arist. 16 εἰώθασιν n
21. 22 καὶ πρὸς οὓς ἔστιν ἐπιεικείας τυχεῖν Arist. 28 καλίππου V κάλιππος V
31 τοὺς V: τούτους n ἦν Vn: fort. ὂν (ὡς οὐκέτι ἐνδεχόμενον βουλεύσασθαι Arist.) 34 ἐκπτώματα V 35 σκυλία Vn: σκυλάκια Stephan. ad hunc locum
ὁ om. n γέλων manu priore V: αἰνεσίδημος n et superscr. man. rec. V; cf. Arist. ὥσπερ λέγεται Αἰνεσίδημος Γέλωνι πέμψαι κοττάβια ἀνδραποδισαμένῳ, ὅτι ἔφθασεν, ὡς καὶ αὐτὸς μέλλων

ἔμελλε κρατῆσαι αὐτήν, εἶτα ἐλθὼν Αἰνεσίδημος προέλαβε καὶ κατέσχεν f. 25v
αὐτὴν καὶ ἔπεμψε τῷ Γέλωνι κοττάβια χαριζόμενος ὡς μέλλοντι κατα-
σχεῖν τὴν πόλιν καὶ ἐμποδισθέντι, ὅτι προέφθασε κατασχεῖν αὐτήν. ὁ
Αἰνεσίδημος ἐπεχείρησε κρατῆσαι τὴν Γέλην καὶ προέφθασεν αὐτὸν ὁ
5 Γέλων καὶ ἐκράτησε τὴν Γέλην. ἔσφαλται δὲ ἄνωθεν ἡμῖν ἡ ἐξήγησις.
[a 24] ἀδικοῦμεν καὶ ἐκείνους. οὓς εἰ ἀδικήσομεν δυνάμεθα πάλιν πολλὰ 10
καὶ δίκαια πρᾶξαι ἄλλα καὶ ῥᾳδίως τοὺς ἀδικηθέντας εὐεργετῆσαι. [a 27]
συγγνωμονηθῆναι γὰρ οἴονται ὡς ἀδικήσαντες. ἃ εἰώθεισαν οἱ πολλοὶ
ἀδικεῖν. οἷον ἀδικοῦμεν ἁρπάζοντες ἐδώδιμα· ῥᾴδιον γὰρ ἀναλίσκονται
10 ταῦτα, οἷον γρανάτα. [a 30] ἢ τὰ εὐμετάβλητα σχήμασιν, οἷον εἰ
ἀργυροῦν ἔκπωμά ἐστι, μετασχηματίσει τις αὐτὸ καὶ ποιήσει καπτρίον· ἢ 15
χρώμασιν, οἷον εἰ ἀληθινὸν πανίον ἁρπάσει καὶ βάψει αὐτὸ βένετον·
ἢ κράσεσιν, οἷον εἰ Χιώτης οἶνός ἐστι, συγκεράσει τις μετὰ οἴνου ἑτέρου
καὶ ἀλλοιώσει αὐτόν. [a 31] ἢ ἃ πολλαχοῦ ἔστιν ἀφανίσαι ἤτοι κρύ-
15 ψαι. καὶ οἷς ἀδιάφορα πολλὰ καὶ ὅμοια ὑπῆρχεν, οἷον εἴ τις κλέ-
ψει βιβλίον θεολόγον ἔχων πολλοὺς θεολόγους.

13. Πρὸς νόμους δύο, ἤτοι τὸν ἴδιον, τουτέστι τὸν γραπτόν, καὶ
τὸν κοινόν, τουτέστι τὸν φυσικόν. [b 3] τὸ δὲ πρὸς οὓς ἐστι τὸ δίκαιον
διχῶς, ἤτοι πρὸς ἕνα ἢ πρὸς πολλούς· τοῦτο γὰρ δηλοῖ τὸ πρὸς οὓς
20 διχῶς. ἴδιος μὲν νόμος ἐστὶν ὁ ὡρισμένος ἐν ἑκάστοις, ἤτοι ἐν Λακε- 20
δαίμονι, ἐν Ἀθήναις, ἤτοι ὁ γραπτός· [b 5] διαιρεῖται δὲ ὁ νόμος ὁ
ἴδιος εἰς τὸν ἄγραφον ἤτοι εἰς τὸ ἔθος καὶ εἰς τὸν γεγραμμένον.
κοινὸν δὲ λέγω τὸν φυσικόν· ἔστι γὰρ κοινὸν φύσει δίκαιον, ὃ μαντεύ-
ονται ἤτοι ὃ λέγουσι πάντες, καὶ οἱ Κελτοὶ καὶ οἱ Σκύθαι· καὶ φυσικῶς
25 δοξάζουσι. κἂν μηδεμίαν κοινωνίαν πρὸς ἀλλήλους ἔχωσιν, [b 10] ὅτι δίκαιον
φυσικόν ἐστι θάψαι τὸν Πολυνείκην, καὶ ταῦτα ἀπειρημένον ἤτοι 25
καὶ ταῦτα ἀπειρημένου ὄντος καὶ ἀπηγορευμένου θάψαι αὐτόν. [b 14]
καὶ ὁ Ἐμπεδοκλῆς λέγει, μὴ δεῖν κτείνειν τὰ ἔμψυχα ἤτοι τὰ ζῷα.
[b 18] ὡς ἐν τῷ Μεσηνιακῷ λέγει Ἀλκιδάμας ὑπὲρ Μεσηνίων
30 ἀποστατησάντων Λακεδαιμονίων καὶ μὴ πειθομένων δουλεύειν μελετᾷ καὶ
λέγει Ἀλκιδάμας 'ἐλευθέρους ἀφῆκε πάντας θεός· οὐδένα δοῦλον ἡ φύσις
πεποίηκεν'. [b 19] ἢ γὰρ τὸ δίκαιον ἔστι πρὸς τὸ κοινὸν ἤτοι ὅλην 30

---

1 αἰνεσίδημος manu priore V: ὁ γέλων n et superscr. man. rec. V 2 γέλωνι manu priore V: αἰνεσιδήμῳ n et superscr. man. rec. V 3. 4 ὁ αἰνεσίδημος — ἐξήγησις (5) manu priore V: om. n et linea transducta del. man. rec. V 6 εἰ om. n 7 ἄλλα n: ex ἀλλὰ corr. man. rec. V 8. 9 ordo perturbatus est, etiam quaedam excidisse videntur, cf. Arist.: καὶ ἃ πάντες ἢ πολλοὶ ἀδικεῖν εἰώθασιν· συγγνώμης γὰρ οἴονται τεύξεσθαι (vulg.; τεύξασθαι A). καὶ τὰ ῥᾴδια κρύψαι· τοιαῦτα δὲ ὅσα ἢ (ἢ om. A) ταχὺ ἀναλίσκεται, οἷον τὰ ἐδώδιμα κτλ. 11 αὐτὸ om. n σκαπτρίον n 12 πανίον V: πάνιον n 15 καὶ ὅμοια πολλὰ Arist. 17 πρός τε Arist. 18 οὓς scripsi ex Aristotele: οἷς Vn 23. 24 μαντεύονταί τι Arist. 26 τὸ ante θάψαι add. n 28 ὁ Vn: ὡς Arist. λέγει περὶ τοῦ μὴ Arist. τὸ ἔμψυχον Arist. 29 ἐν τῷ μεσσηνιακῷ λέγει Arist. A: λέγει ἐν τῷ μεσσηνιακῷ Arist. vulg. Ἀλκιδάμας] fr. 1 Sauppe 31 θεός V: θεούς n

τὴν πόλιν ὠφελοῦν ἢ ἃ δεῖ πράττειν καὶ μὴ ἤτοι τὸ δίκαιον καὶ τὸ f. 25v
ἄδικον θεωρεῖται πρὸς ἕνα τινὰ τῶν κοινωνούντων τινὶ ἤτοι τῶν
ἐχόντων κοινόν τι μετά τινος. [b 24] ὁ δὲ μὴ στρατευόμενος οἷον ὁ
λειποτάκτης ἀδικεῖ τὸ κοινὸν οἷον τὴν πόλιν. ἄλλων δὲ ὄντων ἀδικημάτων
5 πρὸς ἄλλον ἤτοι πρὸς ἕνα ἢ πρὸς ἄλλους ἤτοι πρὸς πολλούς. [b 33]
ὥστε πάντα τὰ ἐγκλήματα ἤτοι τὰ ἀδικήματα εἶναι πρὸς τὸ κοινὸν
ἢ πρὸς πόλιν ἢ πρὸς ἴδιον ἤτοι πρὸς ἕνα· [b 34] καὶ ἢ ἀγνοοῦντος, 35
οἷον εἰ βέλος ἔσυρα ἀγνοῶν ἵστασθαί τινα, ἔνθα τὸ βέλος ἔπεσε, καὶ
ἔτρωσα τὸν ἐκεῖ ἱστάμενον, ἢ ἄκοντος, εἴ τις λαβὼν τὴν χεῖρά μου
10 ἔτυψε δι' αὐτῆς τὸν βασιλέα. καὶ τινὰ τούτων τῶν ἀδικημάτων γίνονται
προελομένου καὶ προβουλευσαμένου τινός, ἤτοι προεβουλεύσατο τὸν
δεῖνα ἀδικῆσαι, τὰ δὲ γίνονται οὐ διά τινος προβουλεύσεως ἀλλὰ διὰ πά-
θος ἤτοι δι' ὀργὴν ἢ λύπην· θυμωθεὶς γὰρ προήχθην τύψειν τὸν δεῖνα. 40
[b 38] ἐπεὶ δὲ ὁμολογοῦντες πρᾶξαι τὸ ἀδίκημα ἢ ὅλως οὐχ ὁμολο-
15 γοῦμεν τὸ ἐπίγραμμα ἤγουν τὰ ἐν τῷ λιβέλλῳ γραφέντα καὶ δοθέντα
ἡμῖν (ἐπίγραμμα γὰρ λέγεται ὁ λίβελλος) ἢ περὶ οὗ τὸ ἐπίγραμμα,
ἤτοι ἢ πολλάκις ὁμολογοῦμεν τὸ ἐν τῷ ἐπιγράμματι γραφὲν ποιῆσαι, πλὴν
ἀρνούμεθα, | ὡς οὐκ ἐγένετο παρ' ἡμῶν οὕτω, ὡς ὁ λίβελλος λέγει f. 26
γενέσθαι, οἷον λαβεῖν μὲν ὁμολογήσει, οὐ μὴν δὲ κλέψαι, ὡς ὁ
20 λίβελλος ἐδίδου, καὶ συγγενέσθαι καὶ συνδιατρίβειν τῇ Ξανθίππῃ, οὐ
μὴν δὲ μοιχεύειν κατὰ τὸν λίβελλον. [1374a4] οὐ γὰρ θεοῦ ἀναθή-
ματα τὰ ἀφαιρεθέντα. ἢ ἐργάσασθαι μὲν καὶ σπεῖραι γῆν κοινὴν ἀλλ'
οὐ δημοσίαν· τὸ γὰρ παλαιόν, εἴ τις ἔσπειρε γῆν τῷ δημοσίῳ ἀνήκουσαν, 5
ἐζημιοῦτο μεγάλα. [a 5] ἢ διελεγόμην τοῖς πολεμίοις καὶ συνωμίλουν
25 οὐχὶ διὰ τὸ προδοῦναι τὴν πόλιν ἀλλὰ τὸ πρὸς εἰρήνην. [a 8] ὅπως,
εἴτε βουλόμεθα δεῖξαι ὅτι ὑπάρχει εἴτε μὴ ὑπάρχει, ἔχωμεν ἐμφανί-
ζειν τὸ δίκαιον καὶ τὸ ἄδικον. [a 12] τὰ δὲ τοιαῦτα ὀνόματα, οἷον
ἡ ὕβρις καὶ ἡ κλοπὴ προσσημαίνουσι καὶ τὴν μοχθηρὰν τῶν ὑβριζόντων
καὶ κλεπτόντων προαίρεσιν· ὁ γὰρ ὑβρίζων φαίνεται, ὅτι ἐκ μοχθηρᾶς
30 προαιρέσεως προήχθη ὑβρίσαι τόνδε ἢ τόνδε. [a 13] οὐ γὰρ εἰ ἁπλῶς 10
ἐπάταξεν, ἤδη καὶ ὕβρισεν, ἀλλ' εἰ ἐπάταξεν αὐτὸν ἕνεκα ἢ τοῦ ἀτι-
μῶσαι τὸν παταχθέντα ἢ ἕνεκα τοῦ ἡσθῆναι ἐν τῷ παταχθῆναι αὐ-
τόν· ἀεὶ γὰρ τὴν προαίρεσιν τοῦ ἀδικοῦντος ἐξετάζομεν. [a 15] οὐδὲ εἰ
λάθρᾳ ἔλαβον βιβλίον ἤτοι εἰ κρυφίως ἀπῆρα τὸ βιβλίον τοῦ δεῖνος, ἤδη
35 αὐτὸ ἔκλεψα, ἀλλ' εἰ ἔκλεψα αὐτὸ καὶ εἰ ἔμελλον αὐτὸ σφετερίσασθαι καὶ

---

1 ἤτοι, ι evanuit, V: ἢ n 3 τινος V: τινων n 4 δὲ V: δ' n 6 ὥστ' ἀνάγκη Arist. ἢ πρὸς Arist. 7 ἢ V: ἤτοι n τὴν ante πόλιν add. n τὸ ἴδιον n Arist. AC: τὸ om. V Arist. cet. καὶ ἢ Vn: ἢ καὶ vel ἢ Arist. 9 καὶ ἄκοντος Arist. 11 προεβουλεύσατο V: προβουλεύσαντος n 14 ὁμολογοῦντες πολλάκις Arist.; cf. infra v. 17 14. 15 τὸ ἐπίγραμμα οὐχ ὁμολογοῦμεν Arist. 16 οὗ Vn: ὃ Arist. 18 ἐγένοντο n οὕτως n 21 fort. λίβελλον ⟨ἢ κλέψαι μὲν ἀλλ' οὐχ ἱεροσυλῆσαι κατὰ τὸν λίβελλον⟩, cf. Arist. 22 ἐπεργάσασθαι Arist. 28 μοχθηρὰν scripsi: μοχθηρίαν Vn 31. 32 ἀτιμάσαι Arist.

ἰδιοποιήσασθαι· εἰ δὲ ἀπῆρα αὐτό, ἵνα ἀναγνώσω αὐτὸ καὶ πάλιν ὑπο- f. 26r
στρέψω, τοῦτο οὐ κλοπή. [a 21] τὰ μὲν καθ' ὑπερβολὴν ἀρετῆς, 15
ἤτοι ὅταν μέγα ἀγαθὸν ποιήσω, ἐφ' ᾧ ἐπακολουθεῖ μοι ἔπαινος, ἢ καθ'
ὑπερβολὴν κακίας, ἤτοι μέγα κακὸν ποιήσω, ἐφ' ᾧ ἐπακολουθεῖ μοι
5 μεγάλη ἀτιμία καὶ ὄνειδος. [a 25] τὰ δέ εἰσιν ἔλλειμμα τοῦ γεγραμ-
μένου νόμου· τὸ γὰρ δίκαιον οὐ προσέθετο ὁ νομοθέτης, τοῦτο ἐπαναπλη-
ροῖ καὶ προστίθησιν ὁ ἐπιεικής. [a 26] καὶ λέγεται ἐπιεικὲς δίκαιον· 20
οἷον ὁ μὲν νόμος διορίζεται τὸν κλέπτην ἁλόντα ἀπαιτεῖν εἰς τὸ τετρα-
πλάσιον, ὁ δὲ ἐπιεικὴς διορίζεται ἀπαιτεῖν εἰς τὸ διπλοῦν· ἔστι γὰρ ἐπιεί-
10 κεια ἐλάττωσις τοῦ οἰκείου δικαίου ἢ τοῦ ἐν τῷ νόμῳ ἀναγεγραμμένου.
[a 28] συμβαίνει δὲ τοῦτο, ἤτοι τὸ παραλεῖψαί τι τὸν νομοθέτην καὶ
οὐ νόμους θεῖναι ἐπί τινων πραγμάτων, ἢ ἐν τῷ λαθεῖν αὐτὰ τὰ πράγματα
ἢ ὅταν οὐ δύνωνται διορίσαι καὶ λαβεῖν πάντα, οἷς τὸν νόμον τίθησι, διὰ
τὸ εἶναι ἄπειρα· ἀλλὰ διὰ τὸ μὴ δύνασθαι καταριθμήσασθαι πάντα ἀναγ-
15 κάζεται καθ' ὅλου θεῖναι τὸν νόμον, οὐκ ἔστι δὲ καθ' ὅλου ἤτοι οὐκ ἀλη- 25
θεύει δὲ καθ' ὅλου ὁ νόμος, ἀλλ' ὡς ἐπὶ τὸ πολύ. [a 31] καὶ ὅσα μὴ
ῥᾴδιον διορίσαι καὶ περιλαβεῖν διὰ τὴν ἀπειρίαν, οὐδὲ τούτοις ἔστι νόμον
θεῖναι, ἀλλὰ καθ' ὅλου αὐτὸν τίθησιν, οἷον εἰ τρώσει τις σιδήρῳ τινά. οὐ
δύναται προσδιορίσαι πηλίκῳ κατὰ τὸ μέγεθος· οὐ γὰρ εἰ βελόνῃ ἐστὶ καὶ
20 εἰ σπάθῃ. [a 33] ἂν οὖν εἰσι τὰ πράγματα ἀδιόριστα καὶ ἄπειρα, ἀνάγκη
ἁπλῶς ἤτοι καθ' ὅλου θεῖναι τὸν νόμον. ὥστε κἂν δακτυλίδιόν τις
φορῇ καὶ ἐν οἷς ἐπάρῃ τὴν χεῖρα καὶ σηκώσῃ, ἵνα τύχῃ τινά, ἐκπέσῃ τὸ 30
δακτυλίδιον καὶ πηδῆσαν πατάξῃ τινά, κατὰ μὲν τὸν νόμον ἐνέχεται ὡς ἄδι-
κος· ἐπάταξε γάρ· ὁ γὰρ νόμος ἁπλῶς διατάττεται τὸν πατάξαντα ἄδικον εἶναι,
25 οὐκ ἐνεθυμήθη δὲ προσθεῖναι 'εἰ δὲ τὸ δακτυλίδιον ἐκπεσὸν πατάξει τινά,
μὴ ἄδικον κρίνεσθαι τὸν ἐξ οὗ ἐξέπεσε'· καὶ διὰ τοῦτο ὁ ἐπιεικὴς κρίνει μὴ
ἀδικεῖν τὸν ἐπαρόντα τὴν χεῖρα, οὗ καὶ ἐκπεσὸν τὸ δακτυλίδιον ἐπάταξεν·
ὃ γὰρ οὐ προσέθηκεν ὁ νομοθέτης, προστίθησιν ὁ ἐπιεικής. [b 1] καὶ 35
τὸ ἐπιεικὲς τοῦτό ἐστι τὸ προσθεῖναι τὸ ἐλλεῖπον τοῦ νόμου· ἐπιεικῆ
30 γάρ εἰσι τὰ πράγματα ἐκεῖνα, ἐφ' οἷς συγγνώμη ἐπακολουθεῖ. [b 6] ἀτυ-
χήματά εἰσι τὰ παράλογα καὶ μὴ ἀπὸ μοχθηρίας, οἷον εἴ τις
ἀφήσει βέλος ὥστε τρῶσαι ἔλαφον καὶ τρώσει ἄνθρωπον· παράλογον γάρ
ἐστι τὸ συμβὰν ἤτοι τὸ τρωθῆναι τὸν ἄνθρωπον, πλὴν οὐκ ἐποίησε τοῦτο
ἀπὸ μοχθηρᾶς προαιρέσεως· οὐ γὰρ προῃρήσατο τοῦτο γενέσθαι. [b 7]
35 ἁμαρτήματα δέ εἰσιν, ὅσα οὐκ εἰσὶ παράλογα, οἷον εἴ τις τύπτει τινὰ 40
διὰ τὸ σωφρονίσαι αὐτόν, εἶτα συμβῇ τυπτόμενον αὐτὸν θανεῖν, τοῦτο τὸ
θανεῖν τινα ἐν τῷ τύπτεσθαι οὐ παράλογόν ἐστι· συμβαίνει γὰρ πολλὰ

4 ὅταν post ἤτοι add. n 6 τὸ V: ὃ n 10 τῷ om. n 12 οὐ om. n
13 ὅταν μὴ Arist. 17 ἔστι om. n 19 ἐστὶ om. n 20 ἀδιόριστον Arist.
vulg.: ἀόριστον Arist. A man. 1 21 εἰπεῖν post ἁπλῶς add. n Arist.
δακτύλιον Arist. 22 ἐπάρηται Arist. 23 πηδῆσαν V: ποδῆσαν n
25 πατάξῃ n 26 καὶ om. n 27 ἐπαρόντα sic Vn 28. 29 καὶ τὸ Arist.
ABCD: τὸ om. Arist. cet. 29 τοῦ νόμου n: τὸν νόμον V 32 γὰρ om. n

τοιαῦτα γίνεσθαι, ἤτοι τὸ ἐν οἷς τύπτεταί τις ἀποθνήσκειν· οὐκ ἀπὸ πονη- f. 26r
ρᾶς δὲ προαιρέσεως τοῦτο ἐποίησεν· οὐ γὰρ διὰ τὸ θανατῶσαι αὐτὸν
ἔδαιρεν, ἀλλὰ διὰ τὸ σωφρονίσαι. [b 8] ἀδικήματα δέ εἰσιν, ὅσα οὐ f. 26v
παράλογα, οἷον εἴ τις ζητήσει μοι φάρμακον καθάρσιον, ἐγὼ δὲ δώσω
5 αὐτῷ δηλητήριον, εἶτα φαγὼν θάνῃ· τὸ γοῦν θανεῖν αὐτὸν ἀπὸ τοῦ φαγεῖν
τὸ δηλητήριον οὐ παράλογον, θάνατον γὰρ ἀνάγκη ἔπεσθαι τῷ φαγόντι τὸ
δηλητήριον· τὸ δὲ δοῦναι αὐτῷ τὸ δηλητήριον ἀπὸ πονηρίας ἐποίησεν.
[b 10] ἐπιεικές ἐστι τὸ συγγινώσκειν τοῖς ἀνθρώποις, οἷον συγγνωμονή- 5
σει ὁ δῆμος τῷ πολωρῷ τῷ ὑπνώσαντι, καὶ διὰ τοῦτο εὑρεῖν τοὺς πολε-
10 μίους ἄδειαν καὶ εἰσελθεῖν εἰς τὴν πόλιν· ἔπαθε γάρ τι φυσικὸν ἤτοι τὸ
ὑπνῶσαι. [b 11] καὶ τὸ μὴ ἀποβλέπειν πρὸς τὸν νόμον ἤτοι τὸ ῥητὸν
ἀλλὰ πρὸς τὴν τοῦ νομοθέτου διάνοιαν, ὡς ἐπὶ τοῦ 'ξένος εἰ ἀνέλθῃ ἐπὶ
τὸ τεῖχος, τεθνάτω', καὶ μὴ ἀποβλέπειν πρὸς τὴν πρᾶξιν, ὅτι ἀνῆλθεν
ἐπὶ τὸ τεῖχος, ἀλλὰ πρὸς τὴν προαίρεσιν ἤτοι ἐπὶ προαιρέσει ἀνῆλθεν
15 οὐχ ὡς κατασκοπεύσων οὐδ' ὡς πολέμιος ἀλλ' ὡς ὠφελήσων τὴν πόλιν. 10
καὶ μὴ πρὸς τὸ μέρος ἀλλὰ πρὸς τὸ ὅλον, ὡς ὁ στρατηγὸς ὁ ῥήξας
τὸ τεῖχος καὶ νικήσας τοὺς πολεμίους, ὃ ἀντίστασις· ἢ οὐχὶ δεῖ ἀποβλέ-
πειν, εἰ ἐλειποτάκτησεν ὅδε ὁ στρατιώτης ἅπαξ, καὶ διὰ τοῦτο τιμωρίας
ἀξιοῦν, ἀλλὰ πρὸς τὸ ὅλον, ἤγουν ἀποβλεπτέον ὅτι τὸν ἅπαντα χρόνον τῆς
20 ζωῆς αὐτοῦ ἠρίστευε καὶ διὰ τοῦτο συγγνωμονητέον ἐπ' αὐτῷ ἅπαξ λειπο-
τακτήσαντι. [b 15] μηδὲ ποῖός τις νῦν ἤτοι ὁ λειποτάκτης νῦν ἐστιν, 15
οὐ δεῖ ὁρᾶν, ἀλλὰ ποῖός τις αἰεί, ἤγουν ἠρίστευεν ὡς ἐπὶ τὸ πολὺ
καὶ διὰ τοῦτο συγγνωμονητέον αὐτῷ. ἐπιεικές ἐστι καὶ τὸ μνημονεύ-
ειν, ὧν ἔπαθον ἀγαθῶν μᾶλλον παρ' ὃ ὧν ἐποίησαν. [b 19] καὶ τὸ
25 ἐθέλειν κρίνεσθαι καὶ πείθειν τὸν ἀντίδικον διὰ τοῦ λόγου μᾶλλον παρ'
ὃ δι' ἔργων ἤτοι δι' ἁρμάτων ἤτοι παρ' ὃ φορέσαι ἅρματα καὶ διῶξαι
τὸν ἀντίδικον καὶ οὕτω βίᾳ εἰσελθεῖν εἰς τὸ κτῆμα αὐτοῦ. [b 20] ἐπιεικές
ἐστι καὶ τὸ βουλεύεσθαι ἰέναι εἰς δίαιταν ἤτοι εἰς αἱρετὸν δικαστὴν 20
παρ' ὃ εἰς δίκην ἤτοι δικαστήριον· ἐπὶ γὰρ τοῦ δικαστηρίου πλείων ἡ
30 ἔξοδος καὶ ἡ κατατριβή, ἐπὶ δὲ τοῦ αἱρετοῦ δικαστοῦ συντόμως ἀπαλλάτ-
τονται οἱ ἀντιδικοῦντες καὶ ὀλίγη ἐστὶν ἡ καταβαλλομένη ἔξοδος· [b 20]
ὁ γὰρ διαιτητὴς ἤτοι ὁ αἱρετὸς δικαστὴς ὁρᾷ τὸ ἐπιεικὲς ἤτοι τὸ ὀλίγα
ζημιοῦν, κἂν ὁ νόμος ἐπὶ τῷ πλημμεληθέντι ἁμαρτήματι μεγάλην ζημίαν
διορίζηται, ὁ δὲ δικαστὴς κατὰ τὸν νόμον κρίνει καὶ τὴν ἐπεγνωσμένην 25
35 τῷ νόμῳ ζημίαν διορίζεται κατὰ τοῦ ἁμαρτήσαντος, εἴτε κλέπτης ἐστὶν
εἴτε μοιχός.

14. Ἀδικήματα μείζονά εἰσιν, ὅσα γίνονται ἀπὸ μείζονος ἀδι-
κίας ἤτοι μεγάλης πονηρίας. διὸ τὰ ἐλάχιστα ἁμαρτήματα μέγιστα
κρίνονται, εἴ γε ἀπὸ μεγίστης πονηρίας ἐγένοντο. [b 26] ἡμιωβέλιόν ἐστιν

---

8 fort ἀνθρωπίνοις scribendum ex Aristotele (ἀνοῖς V) 9 cf. p. 71,19 καὶ Vn: exspecto ὥστε 22 αἰεί V: ἀεί n Arist. vulg.: ἦν ἀεί Arist. A ἠρίστευε n 28 εἰς δίαιταν μᾶλλον ἢ εἰς δίκην βούλεσθαι ἰέναι Arist. αἱρετὴν V 37 ἀδικήματα δὲ μείζονα ὅσα Arist. vulg.: ἀδίκημα δὲ μεῖζον ὅσῳ ἂν Arist. A 38 διὸ Vn Arist. ATr.: διὸ καὶ Arist. vulg.

εἶδος σταθμοῦ μικροῦ. ναοποιοὶ λέγονται, οἵτινες ποιοῦσι ναοὺς ἤτοι ὡς f. 26v
εἰκονοστάσια μικρὰ ξόλινα καὶ πωλοῦσι ταῦτα. παρελογίσατο ἤγουν
παρεψήφισεν. ἐπὶ δικαιοσύνης δὲ τοὐναντίον μέγα δίκαιον κρίνεται 30
τὸ ἀπὸ μεγίστης δικαιοσύνης γινόμενον. ἔστι δὲ τὰ τρία ταῦτα ἡμιωβέλια
5 μεγάλα, καθ' ὅσον ὑπερέχουσι τῇ δυνάμει, κἂν καὶ τῷ ποσῷ εἰσιν ὀλίγα·
[b 28] ὁ γὰρ τρία κλέψας κἂν ὁτιοῦν ἀδικήσειεν. [b 30] ὁτὲ δὲ
κρίνεται μείζων ἡ ἀδικία ἐκ τοῦ βλάβους, ἤγουν εἴτε καὶ ἡ βλάβη μεγίστη
ἐστί. μέγα ἀδίκημά ἐστι καὶ οὗ ἀντάξιος τιμωρία οὐχ εὑρίσκεται καὶ ὃ οὐκ
ἔστι δυνατὸν ἰαθῆναι. [b 32] μέγα ἀδίκημά ἐστι καὶ οὗ χάριν οὐκ ἔστι τὸν 35
10 παθόντα δίκην λαβεῖν ἤτοι δικαιωθῆναι· εἰ γὰρ ὁ παῖς τινος ἐφωράθη
παρὰ τοῦ Καλλίππου, τί ἂν πάθοι ὁ Κάλλιππος ἀντάξιον οὗ ἔδρασε;
[b 34] καὶ εἰ ὁ παθὼν αὐτὸς ἑαυτὸν μεγάλως ἐκόλασεν· οἷον εἰ
Σωκράτης ὑβρίσθη παρά τινος καὶ μὴ φέρων τὴν ὕβριν ὡς ὁ Αἴας ἀπέ-
κτεινεν ἑαυτόν, τί ἂν πάθοι δεινότερον ὁ τοῦτον ὑβρίσας οὕτω καὶ γενό-
15 μενος αὐτῷ αἴτιος θανάτου; καὶ γὰρ ὁ ποιήσας ἤτοι ὁ ὑβρίσας τὸν Σω- 40
κράτην δίκαιός ἐστι κολασθῆναι μειζόνως καὶ παθεῖν χεῖρόν τι τοῦ
φόνου· [b 36] οἷον ὁ Εὐκτήμων ὑβρισθεὶς ἤτοι πορνευθεὶς βιαίως ἔσφαξεν
ἑαυτὸν καὶ συνηγορῶν αὐτῷ ὁ Σοφοκλῆς ἔφη μὴ ἀξιῶσαι ἄλλης τινὸς
τιμωρίας ἐλάττονος τὸν δράσαντα ταύτην τὴν ὕβριν ἢ ἐκείνης τῆς τιμωρίας,
20 ἧς ἠξίωσεν ἑαυτὸν ὁ παθών, ἤτοι δεῖ ἀπο|σφάξαι αὐτὸν τὸν δράσαντα. f. 27r
ὥσπερ καὶ ὁ παθὼν ἀπέσφαξεν ἑαυτόν. [1375a2] μέγα ἀδίκημά ἐστι
καὶ ὃ μόνος τις ἐποίησεν ἢ πρῶτος. μέγα ἀδίκημά ἐστι καὶ δι' ὃ
ἐζητήθη καὶ εὑρέθη τὰ κωλύοντα καὶ ζημιοῦντα, οἷον νόμος ἐστὶ
ταριχεύειν τὰ νεκρὰ σώματα· ἐμίγη τις ταριχευομένῳ σώματι καὶ γράφει
25 τις λυθῆναι τὸν νόμον· ὁ γοῦν συμμιγεὶς τῷ ταριχευομένῳ σώματι μέγα 5
ἀδίκημα ἥμαρτε· διὸ καὶ ἐκωλύθη τὸ ταριχεύειν τὰ νεκρὰ σώματα. [a 6]
καὶ τὸ θηριωδέστατον ἀδίκημα ἤτοι τὸ φονεύειν καὶ τὸ ἐκ προ-
νοίας ἤτοι τὸ ἐκ προβουλεύσεως γεγονὸς ἀδίκημα καὶ ὃ οἱ ἀκούοντες
φοβοῦνται μᾶλλον, οἷον ὅτι ἀπέσφαξε τὸν δεῖνα ἢ διὰ κερκίδος ἐξέ-
30 βαλε τὰς κόρας αὐτοῦ. [a 8] καὶ τὰ μὲν ῥητορικά, ἤτοι ἃ ὀφείλει ὁ
ῥήτωρ λέγειν, τοιαῦτα. [a 10] ἐπιγαμίας ἤτοι ἐπιγαμεύσεις· τὸ γὰρ 10
δεῖξαι, ὅτι παρέβη ὅρκους καὶ νόμους, ὑπεροχὴν ποιεῖ πολλῶν ἀδικη-
μάτων. [a 11] μέγα ἀδίκημά ἐστι καὶ τὸ ἀδικῆσαί τινα ἐνταῦθα ἤτοι
ἐν Ἀθήναις, ἔνθα κολάζονται οἱ ἀδικοῦντες, ὅπερ ποιοῦσιν οἱ
35 ψευδομάρτυρες, ἤτοι τὸ ἐν δικαστηρίῳ ψευδομαρτυρεῖν, ὅπου τὸ ψεῦδος

---

6 τρία ἡμιωβέλια ἱερὰ Arist. A: τρία ἱερὰ ἡμιωβέλια Arist. vulg. 9. 10 μὴ ἔστι δίκην λαβεῖν τὸν παθόντα Arist. 10 ἐφωράθη Vn: exspectes ἐφθάρη 11 καλλίπου V πάθῃ n κάλλιππος n 12 καὶ εἰ ὁ παθὼν καὶ (εἰ ὁ add. vulg.) ἀδικηθεὶς Arist. αὐτὸν Arist. 14 οὕτως n 17. 18 ἔσφαξεν ἑαυτὸν om. n 22 ὃ (post δι') Vn Arist. A: ὃν Arist. vulg. 23 ἐζητήθη καὶ εὑρέθη Vn: ἂν ζητηθῇ καὶ (αὐξηθῇ καὶ add. C) εὑρεθῇ Arist. vulg.: ἂν ζητηθείη καὶ εὑρεθείη Arist. A 27 θηριωδέστερον Arist. καὶ τὸ Vn Arist. vulg.: καὶ ὃ Arist. A 28 προβουλεύσεως V: προαιρέσεως n 35 ψευδομάρτυρες Vn Arist. vulg.: ψευδομαρτυροῦντες Arist. A

κολάζεται. καὶ τὸ μοιχεύειν καὶ τὸ πορνεύειν μέγα ἀδίκημά ἐστιν, ἐφ' 27r
οἷς αἰσχύνη μάλιστα ἐπακολουθεῖ τῷ δράσαντι. [a 14] καὶ εἰ τοῦ- 15
τον ἠδίκησεν, ὑφ' οὗ ἔπαθεν εὖ· πλείω γὰρ ἀδικεῖ, ὅτι τε κακῶς
ποιεῖ τὸν εὐεργετήσαντα καὶ ὅτι οὐκ εὖ ἤτοι οὐκ εὐεργέτησεν αὐτόν.
5 [a 15] καὶ ὁ περὶ τὰ ἄγραφα δίκαιος, εἰ περὶ τὰ γεγραμμένα δίκαιος
οὐκ ἔστι, πολλῷ μᾶλλον ἔσται ἄδικος. [a 17] τὸν μὲν γεγραμμένον νόμον
τηρεῖν ἀναγκαζόμεθα, τὸν δὲ ἄγραφον οὐ καταναγκαζόμεθα παρ' οὐδέτινος
τηρεῖν, ἀλλ' ἢ τοῦτον φυλάττομεν ἐκ προαιρέσεως ἀληθοῦς· ἄγραφος δὲ
νόμος ἐστὶ τὸ ἔθος. [a 16] ἀμείνονος ἤτοι ἀγαθοῦ ἀνδρός ἐστι τὸ ποιεῖν 20
10 τὸ δίκαιον οὐ δι' ἀνάγκην τινὰ ἀλλ' ἑκών. [a 17] ἄλλον δὲ ⟨τρόπον⟩
ἄδικός ἐστιν ὁ τὰ γεγραμμένα παραβαίνων· εἰ γὰρ ταῦτα παραβαίνει καὶ
ταῦτα φοβερὰ ὄντα καὶ ἀδικῶν περὶ ταῦτα ὡς ἐπαπειλοῦντα καὶ τιμωρίαν
τοῖς παραβαίνουσι, πολλῷ μᾶλλον ἄδικος φανῇ περὶ τὰ μὴ προξενοῦντα
αὐτῷ τιμωρίαν μηδὲ ζημίαν ἤτοι περὶ τὰ ἄγραφα ἔθη· εἰ γὰρ κατατολ-
15 μῶσιν, ὧν ὁ νόμος κωλύει, πολλῷ μᾶλλον, ὧν ὁ νόμος οὐ κωλύει οὐδὲ 25
ἀφ' ὧν ζημία τις οὐκ ἐπανακόπτει.

15. Μάρτυρες, συνθῆκαι ἤτοι συμφωνίαι. [a 27] ἐὰν μὲν ὁ
γεγραμμένος νόμος ἐστὶν ἐναντίος τῷ πράγματι, οἷον ὅτι ὁ νόμος
λέγει 'υἱὸς μητρὶ οὐχ ὑπόκειται', χρηστέον τῷ κοινῷ νόμῳ ἤτοι τῷ
20 φυσικῷ ἤτοι 'ἄλλος φυσικὸς νόμος ἀναγκάζει τοῖς γονεῦσιν ὑποκεῖσθαι'.
[a 29] καὶ χρηστέον τοῖς ἐπιεικέσιν ὡς δικαιοτέροις· οἱ γὰρ ἐπιει-
κεῖς οὐ προσέχουσι τῷ νόμῳ· ἐλαττωτικοὶ γάρ εἰσιν, ὧν οἱ νόμοι προσ- 30
τάττουσι. καὶ ὅτι δεῖ ἡμᾶς κρίνειν χρωμένους τῇ ἀρίστῃ γνώμῃ.
ἀρίστη δὲ γνώμη ἐστὶ τὸ μὴ πάντως χρῆσθαι τοῖς γεγραμμένοις·
25 ἀλλὰ δεῖ ἀποφαίνεσθαι περὶ αὐτῶν, ὡς ἂν ὁ φρόνιμος ὁρίσηται, οἷον εἰ
δικαζόμενος μετά τινος ἐξωδίασα πολλὰ ἐν δικαστηρίοις, εἰ μέλλω ἀπαιτῆ-
σαι τὰς δαπάνας, ἐπεὶ ἀδηλόν ἐστι, πόσα ἐξωδίασα, δεῖ ἀπιδεῖν πρὸς τοὺς
φρονίμους καὶ ὡς ἂν ὁ φρόνιμος στοχαζόμενος ὁρίσηται, ὅτι τόσα εἰκὸς ἐξο- 35
διάσαι, ἀναγκάζειν καὶ τὸν ἄδικον τοσαῦτα καταβαλεῖν. [a 32] οὐδὲ ὁ
30 κοινὸς ἤτοι ὁ φυσικὸς νόμος μεταπίπτει, ἀλλὰ μένει αἰεὶ ὁ αὐτός,
οἱ δὲ γεγραμμένοι νόμοι ἀλλάττονται καὶ μεταπίπτουσιν. ὁ Κρέων
προσέταξε μὴ ταφῆναι τὸν Πολυνείκην, ἡ δὲ Ἀντιγόνη ἔθαψε καὶ ἀνα-
κρινομένη φησὶν 'ἔθαψα παρὰ τὸν νόμον τοῦ Κρέοντος, οὐ παρὰ
τὸν ἄγραφον ἤτοι τὸν φυσικόν, καὶ διὰ ταῦτα οὐκ ἐφρόντιζον οὐδενὸς

---

3 ὑφ' Vn Arist. vulg.: ἐφ' Arist. A τε V Arist.: σὲ n 4 καὶ ὅτι Vn Arist. A: ὅτι τε Arist. vulg. 5 περὶ Vn Arist. AQYbZb: παρὰ Arist. cet. δίκαιος Vn Arist. vulg.: μὴ δίκαιος Arist. C: δίκαια Arist. A 7 δ' n 10 τρόπον n Arist.: om. V 14. 15 κατατολμῶσιν V: καὶ τολμῶσιν n 18 ἐναντίος ᾗ ὁ γεγραμμένος Arist. 19 μητέρι n νόμῳ Vn Arist. vulg.: om. Arist. A 21 ἐπιεικέσιν ὡς Arist. vulg.: ἐπιεικεστέροις καὶ Arist. A 23 γνώμῃ τῇ ἀρίστῃ Arist. 24 πάντως Vn Arist. vulg.: παντελῶς Arist. A 28. 29 ἐξωδίασα n 33 ἔθαψα κτλ.] cf. Soph. Antig. 454 sq. θαψα ἔπραξα manu priore V: ἔπραξα n τοῦ κρέοντος νόμον Arist. vulg.: τοῦ κρέοντος om. Arist. A ἀλλ' οὐ Arist.

ἀνδρὸς θάπτουσα τὸν Πολυνείκην'. [b 3] ἀλλ' οὐ τὸ δοκοῦν τῷ Κρέ- f. 27r
οντι ἢ τῷ δεῖνι καὶ τῷ δεῖνι δίκαιόν ἐστι καὶ ἀληθές· οὐ γὰρ ποιεῖ τὸ 40
ἔργον τοῦ νόμου ἤτοι τὸ συμφέρον καὶ δίκαιον. καὶ ἀρίστου ἀνδρός
ἐστι τὸ χρᾶσθαι τῷ εὐδοκιμοῦντι νόμῳ καὶ τῷ κρείττονι, εἴ γε δύο νόμοι
5 ἐναντιοῦνται. [b 9] καὶ εἰ ὁ αὐτὸς νόμος ἐναντιοῦται ἑαυτῷ αὐτός,
ἀρίστου ἀνδρός ἐστι τὸ ἐκλαμβάνειν αὐτὸν εἰς τὸ δίκαιον. ἀλλ' ὁ μὲν
νόμος διατάττεται ἐρρῶσθαι, ἅτινα | ἂν σύνθηται ἤτοι τὰς συμφωνίας καὶ f. 27v
ἃ συμφωνήσουσιν, ὁ δὲ ἀπαγορεύει μὴ συντίθεσθαι παρὰ τὸν νόμον
ἤτοι τὸ τὰς παρανόμους συμφωνίας μὴ ἐρρῶσθαι· ἐνταῦθα ἐναντιουμένων
10 τῶν δύο τούτων νόμων ἀρίστου ἐστὶ τὸ χρήσασθαι τῷ κρείττονι. [b 11] καὶ
εἰ ὁ αὐτὸς νόμος ἐστὶν ἀμφίβολος ἤτοι ἐναντιούμενος αὐτὸς ἑαυτῷ, δεῖ
στρέφεσθαι ἐφ' ἑκάτερα τὰ μέρη τοῦ νόμου (διττὰς γὰρ τὰς ἀγωγὰς ὁ τοιοῦ- 5
τος ἀπογεννᾷ) καὶ βλεπτέον, ποίᾳ ἀγωγῇ ἁρμόζει τὸ δίκαιον καὶ τὸ συμ-
φέρον, εἶτα χρηστέον τῷ νόμῳ ἐπὶ τούτῳ τῷ μέρει αὐτοῦ, ᾧ ἁρμόζει τὸ
15 δίκαιον. [b 13] καὶ εἰ τὰ μὲν πράγματα, ἐφ' οἷς ὁ νόμος ἐτέθη,
μὴ μένουσιν, ὁ δὲ ἐπ' αὐτοῖς νόμος τεθεὶς ἔτι κρατεῖ, εἰ ὁ ἀντίδικός σοι
προσφέρει τὸν νόμον τοῦτον, δεῖ σε τοῦτο δηλοῦν, ὅτι ὁ νόμος αὐτὸς
ἤργησεν, ὅτι καὶ τὰ πράγματα, ἐφ' οἷς ὁ νόμος ἐτέθη, μὴ μένουσι, καὶ 10
ταύτῃ, ἤτοι οὐ γὰρ δεῖ μάχεσθαι πρὸς τὸν τοιοῦτον νόμον. [b 16]
20 ἐὰν δὲ ὁ νόμος ὁ γεγραμμένος πρὸς τὸ πρᾶγμά ἐστι καὶ συμβάλλε-
ταί σοι ἐν τῇ ὑποθέσει σου, λεκτέον ἤτοι 'τὸ κρίνειν ἐν τῇ γνώμῃ τῇ
ἀρίστῃ οὐκ ἔστιν ἕνεκα τοῦ δικάζειν παρὰ τὸν νόμον', ἤτοι 'γνώμη
ἀρίστη ἐστὶν οὐχ ἵνα παρὰ τοὺς νόμους δικάζωμεν, ἀλλὰ κατὰ τοὺς νόμους,
καὶ διὰ τοῦτο τηρητέον καὶ τὸν νόμον τοῦτον, διότι καὶ τὰ πράγματα
25 μένουσι'. τὸ δὲ κρίνειν ἀρίστῃ γνώμῃ ἐστίν, ἵνα ὁ δικαστής, εἰ ἀγνοήσει 15
τι, ὧν λέγει ὁ νόμος, μὴ δόξῃ ἐπιορκεῖν· τὸ γὰρ παλαιὸν πρῶτον ὤμνυον
οἱ δικασταὶ μὴ παραδικάσαι, εἶθ' οὕτως ἐκάθηντο εἰς τὸ κρῖναι τήνδε ἢ
τήνδε τὴν ὑπόθεσιν. καὶ ὅτι ἀρίστη ἐστὶν ἡ γνώμη τοῦ νομοθέτου ἡ
ἐμφαινομένη ἐν τῷδε τῷ νόμῳ τῷ παρὰ σοῦ διαβαλλομένῳ. [b 19] καὶ ὅτι
30 ἕκαστος αἱρεῖται οὐ τὸ ἁπλῶς ἀγαθόν, ἀλλὰ τὸ ἑαυτῷ ἀγαθόν. καὶ
ὅτι ἄτοπόν ἐστι τὸ μὴ χρῆσθαι τῷ κειμένῳ νόμῳ· τὸ γὰρ τῷ κειμένῳ μὴ 20
χρῆσθαι ταὐτόν ἐστι τῷ εἰ μηδὲ ἔκειτο. [b 20] καὶ ὅτι ἐν ταῖς
ἄλλαις τέχναις οὐ λυσιτελεῖ παρασοφίζεσθαι ἤτοι σοφώτερον
φαίνεσθαι τοῦδε τοῦ τεχνίτου, οἷον τοῦ ἰατροῦ ἢ τοῦ γεωμέτρου· οὐ γὰρ
35 τοσοῦτον βλάπτει ἡ ἁμαρτία τοῦ ἰατροῦ ἤτοι τὸ δοκεῖν σοφώτερον
τοῦ ἰατροῦ καὶ ἀπειθεῖν τῷ τεχνίτῃ, ὅσον ἐκ τῶν τοιούτων ἐθίζεταί τις

---

3 ἔργον τὸ τοῦ Arist. 4 χρῆσθαι n 5 αὐτῷ Arist. 12 ἀναγωγὰς n
15 ἐτέθη ὁ νόμος Arist. 16 ἔτι κρατεῖ V: ἐπικρατεῖ n 18 ὅτι Vn: fort. διότι
vel ὅτε 19 οὐ γὰρ Vn: fort. οὕτως μάχεσθαι ταύτῃ Arist. τὸν νόμον
Vn Arist. A: αὐτὸν Arist. vulg. 20 ᾗ πρὸς Arist. 24 τηρητέον V: ῥητέον n
25 εἰ n: evanuit V 26 δόξῃ non certo cognoscitur V: δόξει n 28 ἐστὶ γνώμη n
30 οὐ τὸ ἁπλῶς ἀγαθὸν αἱρεῖται οὐδείς, ἀλλὰ Arist. 31 τῷ (post γὰρ) om. n 35 το-
σοῦτο Arist. βλάπτει n 36 εἰ post τοιούτων add. n

ἀπειθεῖν τῷ ἄρχοντι. [b 23] καὶ ὅτι τὸ ζητεῖν τινα φαίνεσθαι σοφώ- f. 27v
τερον τοῦ νόμου καὶ τοῦ νομοθέτου τοῦτό ἐστι τὸ ἀπειθεῖν πρὸς τὸν 25
ἄρχοντα ἢ τὸν δικαστήν, ὃ καὶ οἱ νόμοι ἀπαγορεύουσι. [b 27] πρόσ-
φατοι μάρτυρές εἰσιν οἱ νεώτεροι. καὶ οἱ μὲν τῶν μαρτύρων συμμετέ-
5 χουσι τοῦ κινδύνου, οἷον εἰ οἱ Ἀθηναῖοι καὶ οἱ Λακεδαιμόνιοι ἠδικήθησαν
τὴν αὐτὴν ἀδικίαν παρὰ τοῦ αὐτοῦ καὶ ἑνός, εἶτα ἐνάγουσιν οἱ Λακεδαι-
μόνιοι κατὰ τοῦ ἀδικήσαντος καὶ μάρτυρας τούτου παρεισάγουσι τοὺς Ἀθη-
ναίους, ἀναγκαῖον αὐτοὺς ἀληθῆ μαρτυρῆσαι· εἰ γὰρ ψευδομαρτυρήσουσιν, 30
οὐ μόνον τοὺς Λακεδαιμονίους βλάψουσιν ἀλλὰ καὶ ἑαυτούς. [b 29] οἷον
10 οἱ Ἀθηναῖοι μέλλοντες δεῖξαι, ὅτι ἡ Σαλαμὶν ὑποτελὴς ἦν αὐτοῖς, ἐχρή-
σαντο τῷ Ὁμήρῳ μάρτυρι· ἐν γὰρ τῇ Βοιωτίᾳ τοῦτο Ὅμηρος ἐδή-
λωσε. [b 31] καὶ οἱ Τενέδιοι μέλλοντες δεῖξαι, ὅτι τὸ Σίγειον ἦν ὑπ'
αὐτούς, ἐχρήσαντο τῷ Περιάνδρῳ μάρτυρι. καὶ ὁ Κλεοφῶν κινῶν
κατὰ τοῦ Κριτίου· καὶ μέλλων δεῖξαι, ὅτι πάλαι ἀσελγὴς ἦν ἡ τοῦ
15 Κριτίου οἰκία, ἐχρήσατο τοῖς ἐλεγείοις τοῦ Σόλωνος· εἰ γὰρ μὴ ἀσελ- 35
γὴς ἦν, οὐκ ἂν ὁ Σόλων ἐποίησεν ἤτοι ποιητικῶς εἶπε τὸ [b 34] 'εἰπεῖν
τῷ Κριτίᾳ τῷ πυρότριχι πατρὸς ἀκούειν'· ᾗ μὲν γὰρ εἶπεν αὐτὸν
πυρότριχα, ὡς γυναικώδη τοῦτον ἀπέσκωψεν, ᾗ δὲ εἶπεν αὐτὸν πατρὸς
ἀκούειν, ὡς πατραλοίαν καὶ τοῦ πατρὸς παρακούειν ἐδήλωσεν. ὅτι τὸ
20 ξύλινον τεῖχος λέγει, ναυμαχητέον. [1376a2] καὶ αἱ παροιμίαι
μάρτυρές εἰσιν, οἷον εἴ τις συμβουλεύει τὸ μὴ δεῖν ποιεῖσθαι φίλον
γέροντα, διότι καὶ ἡ παροιμία φησὶ 'μήτ' εὖ ποιεῖν ἔρδειν φίλον 40
γέροντα'. [a 5] καὶ εἴ τις συμβουλεύει τὸ 'ἀναιρετέον τοὺς υἱεῖς, ὧν
καὶ τοὺς πατέρας ἀπεκτείναμεν, μή ποτε οἱ υἱοὶ ζῶντες τιμωρήσωσι
25 τοὺς φονεῖς τῶν πατέρων'. [a 8] χρήσιμοι γὰρ καὶ αἱ τούτων κρίσεις
ἤτοι μαρτυρίαι· ὁ Χάρης ψευδομάρτυς ἦν· καθ' οὗ ἔχων ὁ Εὔβουλος
εἶπεν, ὃ καὶ ὁ Πλάτων εἶπεν, ὅτι νῦν ἐπιδέδωκε τῇ πόλει τὸ ὁμο-
λογεῖν ἕκαστον ἑαυτόν, ὅτι πονηρός ἐστι. [a 12] καὶ εἰ ὁ | ἐπαγό- f. 28r
μενος μάρτυς συμμετέχει τοῦ κινδύνου, ᾧ περιπεσεῖν κινδυνεύει ὁ κομίζων
30 αὐτόν, εἴ γε ἀποδειχθῇ, ὅτι ψευδῆ λέγει, ὃς καὶ τοὺς μάρτυρας ἐπάγει,
ἀνάγκη ψευδῆ ὀμωμοκέναι τὸν ἐπαγόμενον μάρτυρα. [a 12] οἱ μὲν οὖν
τοιοῦτοί εἰσι μάρτυρες τῶν τοιούτων μόνων, † ὅτι ἐγένετο τὸ
πρᾶγμα ἢ οὐκ ἐγένετο μαρτυροῦσι, περὶ δὲ τοῦ ποταπόν ἐστι τὸ γενό-
μενον, εἴτε δίκαιον εἴτε ἄδικον, οὐ μαρτυρῆσαι δύνανται· πάθος γὰρ 5
35 ἴσως ἔχοντες, καθ' οὗ τὰς ψευδομαρτυρίας φέρουσιν, οἷον φθόνον ἢ φιλίαν,

---

2 τοῦτ' n Arist. 7 μάρτυρος V 11 Ὁμήρῳ μάρτυρι ἐχρήσαντο Arist. Ὅμηρος] B 557 15 Σόλωνος] fr. 22 Bergk. 16. 17 εἰπεῖν μοι Κριτίᾳ Arist. 17 τῷ (post Κριτίᾳ) om. n Arist. πυρότριχι V Arist. vulg.: πυρρότριχι n Arist. AC 20 ὅτι ναυμαχητέον, τὸ ξύλινον λέγει τεῖχος (vulg.; τεῖχος λέγων A) Arist. 22 διότι V: διὸ n μήποτ' εὖ ἔρδειν Arist. ποιεῖν verbi ἔρδειν interpretatio est; fort. ποιεῖν ⟨καὶ⟩ 24 οἱ υἱοὶ V: ἡμᾶς οἱ n τιμωρήσουσι n 27 ὁ om. n Πλάτων] fr. 219. C. A. F. I 660 K. ἐπιδέδωκεν ἐν τῇ Arist. 32 τῶν τοιούτων Vn Arist. vulg.: τούτων Arist. A μόνων V Arist. QTr.: μόνον Arist. cet.: ἤτοι μόνον n

οὐκ ὀρθῶς ἀποφήνωνται, εἴτε δίκαιόν ἐστιν εἴτε ἄδικον, περὶ οὗ λέγουσιν. f. 28r
εἰ δὲ οἱ προφερόμενοι μάρτυρες πόρρωθεν ἤχθησαν καὶ οὐ γειτνιῶσι, περὶ
ὧν καὶ μαρτυρῆσαι ἤχθησαν, καὶ περὶ τούτων ἤτοι τοῦ δικαίου καὶ
τοῦ ἀδίκου πιστότατοι φαίνονται, εἴ γε μαρτυροῦσι καὶ περὶ αὐτῶν· οὐ
5 γὰρ εἰκὸς ψευδῆ μαρτυρῆσαι, εἴ γε ἤχθησαν ἀπ' Ἀθηνῶν εἰς Περσίαν χάριν 10
τοῦ μαρτυρῆσαι καὶ οὐ γειτνιῶσιν αὐτοῖς καὶ διὰ τοῦτο οὐδὲ φιλίαν οὐδὲ φθό-
νον οὔτ' ἄλλο τι πάθος ἔχειν ἀπελέγχονται. [a 16] πιστεύονται δὲ καὶ οἱ
παλαιοί· οὐ γὰρ οἴδασι τὰ προσφάτως γινόμενα, ἵν' εἴπωμεν διὰ χάριν
τινὸς ψευδομαρτυρῆσαι, οἷον εἴ τις τὸν Ὅμηρον ἄξει μάρτυρα περί τινος
10 νῦν γενομένου. πιστώματα δὲ μαρτυριῶν τάδε. [a 18] εἰ δὲ οὐκ ἔχεις
μάρτυρας, ὁ δὲ ἀντίδικός σου ἔχει, δεῖ λέγειν οὕτως, ὅτι οὐ δεῖ μάρτυρας 15
ζητεῖν ἐπὶ τῶν γινομένων, ἀλλ' ἐξ εἰκότων κρίνειν τὰ πράγματα, καὶ
τοῦτό ἐστι τὸ κρίνειν ἐν γνώμῃ τῇ ἀρίστῃ τὸ μὴ τοῦ πράγματος
ζητεῖν μάρτυρας, καὶ ὅτι τὰ μὲν εἰκότα οὐ δυνατὸν ἀπατῆσαι δι' ἀργυρίου.
15 τοὺς δὲ μάρτυρας διαφθείρει τις καὶ δι' ἀργυρίου, καὶ οὐδέποτε ψευδομαρ-
τυρήσουσιν, ἀλλ' ὡς ἔχουσι φύσεως, τοιαῦτα ἀεί εἰσιν. [a 21] εἰ δὲ
ἔχεις μάρτυρας, ὁ δὲ ἀντίδικός σου οὐκ ἔχει, ῥητέον, ὅτι τὰ εἰκότα οὐχ
ὑπόδικα, ὅτι οὐκ εὐθύνονται, εἴ γε ψευδῆ ἀπελεγχθῶσιν — οὐδὲ γὰρ 20
δυνατὸν εὐθυνθῆναι αὐτά —, οἱ δὲ μάρτυρες, εἰ ψευδομαρτυρήσουσι καὶ
20 ἁλῶσι, τιμωροῦνται, καὶ ὅτι, εἰ ἀεὶ ἐκ τῶν λόγων κρίνονται τὰ πράγματα
ἀληθῆ, οὐδέποτε ἂν εἴχομεν χρείαν μαρτύρων. [a 23] αἱ δὲ μαρτυρίαι,
ἃς τις προκομίζει, ἢ λόγῳ ἑαυτοῦ προκομίζει ἢ χάριν τοῦ ἀμφισβη-
τοῦντος ἤτοι τοῦ ἀντιδίκου· καὶ αἱ μὲν μαρτυροῦσι περὶ τοῦ πράγ-
ματος, ὅτι ἐγένετο ἢ οὐκ ἐγένετο, αἱ δὲ περὶ τοῦ ἤθους ἢ τοῦ οἰκείου 25
25 ἢ τοῦ ἀντιδίκου, ὅτι οὐ πονηρός ἐστιν, οὐ φαῦλος, οὐκ ἄδικος. [a 26]
εἰ μὴ γὰρ εὐπορεῖς μαρτυρίας κατὰ τοῦ πράγματος, ἀλλ' οὖν εὐπορή-
σεις μαρτυρίας ἢ ὁμολογουμένης καὶ συμβαλλομένης αὐτῷ ἤτοι σοὶ ἢ
τῷ ἀμφισβητοῦντι ἤτοι τῷ ἀντιδίκῳ ἐναντίας ἤτοι κατὰ τοῦ ἀντιδίκου,
ἀλλ' εὐπορήσεις μαρτυρίας περὶ τοῦ ἤθους ἢ αὐτοῦ ἤτοι τοῦ οἰκείου
30 εἰς ἐπιείκειαν δεικνύων, ὅτι ἐπιεικής ἐστιν, ἢ κατὰ τοῦ ἤθους τοῦ
ἀμφισβητοῦντος ἤτοι τοῦ ἀντιδίκου δεικνύων, ὅτι φαῦλός ἐστι. [a 29]
τὰ δὲ ἄλλα περὶ μάρτυρος δεικνύων, ὅτι φίλος ἐστὶ τοῦ ἀντιδίκου 30
σου ἢ ἐχθρός σου καὶ διὰ τοῦτο κατὰ σοῦ ψευδομαρτυρήσει, εἴ γε παρὰ
τοῦ ἀντιδίκου κομίζεται. εἰ δὲ παρὰ σοῦ εἰσάγεται, δείξεις μεταξὺ ἤτοι
35 οὔτε φίλος μού ἐστιν οὔτε ἐχθρὸς τοῦ ἀντιδίκου· ἢ ὅτι εὐδοκιμεῖ ἤτοι
ὅτι ἔνδοξός ἐστι καὶ διὰ τοῦτο τὰ ἀληθῆ μαρτυρήσει. εἰ δὲ παρὰ τοῦ
ἀντιδίκου κομίζεται μάρτυς, διαβαλεῖς αὐτὸν λέγων ἄδοξον εἶναι καὶ πένητα
καὶ ἀνυπόληπτον, καὶ διὰ τοῦτο καὶ εἰς φίλον ψευδομαρτυρήσει. [a 32] 35

τοι

3 τούτων Vn Arist. vulg.: τούτων Arist. A 4 εἴ γε V: εἰ γὰρ n 6 μαρτυρῆσαι V: ψευδομαρτυρῆσαι n 10 γινομένου n 14 ἀπατῆσαι cod. Paris. gr. 1869 (ἐξαπατῆσαι Arist.): ἀπαιτῆσαι Vn 16 ἀεί V: ἂν n 17. 18 οὐχ ὑπόδικα τὰ εἰκότα Arist. 22 αὐτοῦ Arist. 25 πονηρός V: πορνός n 29 ἢ Vn Arist. A: om. Arist. vulg. 30. 31 δεικνύων — ἀντιδίκου V: ἢ τοῦ ἀμφισβητοῦντος εἰς φαυλότητα n (ex Aristotele) 32 φίλος n: φαῦλος V

ἐκ τῶν αὐτῶν τόπων ὁρμητέον εἰς διαβολὴν τῶν μαρτύρων καὶ εἰς f. 28r
σύστασιν, ἐξ ὧν καὶ τὰ ἐνθυμήματα λαμβάνομεν. [a 33] περὶ δὲ
συνθηκῶν ἤτοι συμφωνιῶν, αἵ εἰσι μερικοὶ νόμοι, τοσοῦτον χρηστέον τῷ
λόγῳ, ὅσον αὔξειν αὐτὰς καὶ δεικνύειν μέγα τι χρῆμα εἶναι ταύτας ἢ
5 καθαιρεῖν καὶ μειοῦν καὶ δεικνύειν μηδὲν εἶναι τὰς συνθήκας καὶ ὡς
οὐ δεῖ συνθήκας ποιεῖν ὡς ἀπίστους. ἂν μὲν αὐτῷ ὑπάρχωσιν ἤτοι 40
ἂν ὠφελῶσί σε αἱ συνθῆκαι, δείκνυε ταύτας πιστάς, εἰ δὲ ὠφελοῦσι τὸν
ἀντίδικόν σου, δείκνυε ταύτας ὡς ἀπίστους. [b 2] τὸ μὲν οὖν δεικνύειν
πιστὰς ἢ ἀπίστους τὰς συνθήκας, ἤτοι ἀφ' ὧν τόπων ὁρμώμεθα εἰς
10 τὸ δεῖξαι τοὺς μάρτυρας πιστοὺς καὶ ἀληθεῖς ἢ ἀπίστους καὶ ψευδεῖς,
ἀπὸ τῶν αὐτῶν τόπων ὁρμητέον εἰς τὸ δεικνύειν καὶ τὰς συνθήκας
| πιστὰς ἢ ἀπίστους. [b 4] ὁποῖοι γάρ εἰσιν οἱ ἐπιγεγραμμένοι f. 28v
ἤτοι οἱ τὰς συνθήκας γράψαντες ἢ φυλάττοντες, τούτων ἀληθῶν ὄντων
καὶ αἱ συνθῆκαί εἰσι πισταί. εἰ μὲν ὁμολογουμένη καὶ ἀληθής ἐστιν
15 ἡ συνθήκη καὶ ἡ συμφωνία, εἰ μὲν οἰκεία ἐστὶ καὶ συμβαλλομένη σοι
αὕτη, αὐξητέον ταύτην, ὡς ὅτι ἡ συνθήκη νόμος ἐστὶ καὶ διὰ τοῦτο οὐ
δεῖ παρορᾶν αὐτήν. [b 7] καὶ κατὰ μέρος ἤτοι καὶ μερικὸς νόμος ἐστί. 5
[b 9] καὶ ὁ νόμος ὅλος καὶ ἅπας συνθήκη τίς ἐστιν ἤτοι ἐκ συνδρο-
μῆς πολλῶν σοφῶν συντεθείς· ὥστε ὁ ἀναιρῶν τὴν συνθήκην καὶ τὴν
20 συμφωνίαν τοὺς νόμους ἀναιρεῖ. [b 12] εἰσὶ καὶ συναλλάγματα ἀκούσια,
οἷον εἰ κρατηθεὶς παρά τινος ἀκουσίως συμφωνήσω δοῦναι αὐτῷ ἡμιόνων
κάλλιστον λαβὼν νομίσματα τρία. ὥστε ἂν ἀναιρεθῶσιν αἱ συνθῆκαι,
ἀνῄρηνται τὰ συναλλάγματα, τῶν δὲ συναλλαγμάτων ἀναιρεθέντων οὐδὲ 10
οἱ ἄνθρωποι ἀλλήλων χρῄζουσι. [b 14] καὶ τὰ ἄλλα, ὅσα ἁρμόττει
25 εἰς σύστασιν τῶν συνθηκῶν, ἐπιπολῆς καὶ εὔκολον ἔστιν ἰδεῖν. ἐὰν
δὲ ἡ συνθήκη ἐναντία ἐστὶ καὶ μὴ συμβαλλομένη σοι, ἀλλὰ τῷ ἀντιδίκῳ
συμβάλλεται, δι' ὧν ἄν τις χωρήσῃ πρὸς ἀνατροπὴν τοῦ νόμου, ταῦτα
λαβὼν ἀναιρήσεις καὶ τὰς συνθήκας· νόμοι γὰρ καὶ αἱ συνθῆκαι. δεῖ δέ
σε λέγειν οὕτως· [b 17] ἄτοπόν ἐστιν, εἰ μὴ τοῖς ὀρθῶς κειμένοις νόμοις 15
30 οὐ πειθόμεθα, ἀναγκαῖον δὲ ἡγούμεθα πείθεσθαι ταῖς συνθήκαις. [b 19]
τοῦ γὰρ δικαίου ὁ δικαστής ἐστι βραβευτής, καὶ διὰ τοῦτο οὔκουν τοῦτο
σκεπτέον ἤτοι τὸ προσέχειν ταῖς συνθήκαις, ἀλλ' ὡς δικαιότερον ἤτοι
ἀποβλεπτέον πρὸς τὸ δίκαιον καὶ ὃ διατάσσεται ὁ δικαστής. [b 21] τὸ γὰρ
δίκαιον οὐκ ἔστι μεταστρέψαι οὔτε ἀπάτῃ οὔτε ἀνάγκῃ καὶ βίᾳ·
35 πεφυκὸς γάρ ἐστιν ἤτοι κατὰ φύσιν γὰρ ἔχον ἐστί. συνθῆκαι δὲ
γίνονται καὶ κατὰ τὴν ἀπάτην καὶ ἀναγκασθέντων ἤτοι κατὰ βίαν. 20
[b 23] πρὸς δὲ τούτοις ἀνατρέπεται ἡ συνθήκη, καὶ εἰ ἐναντιοῦταί
τινι ἤτοι τῶν γεγραμμένων νόμων ἢ τῶν κοινῶν ἤτοι τῶν φυσικῶν

---

1 τῶν (ante μαρτύρων) om. n 6 ὡς om. n ἐὰν Arist. 9 ὁρμώμενοι n
14 πισταί εἰσιν Arist. 18 καὶ ὅλως αὐτὸς ὁ νόμος Arist. 20 καὶ τὰ ἑκούσια
ante εἰσὶ add. n ex Aristotele 24 χρήσουσι n καὶ τἆλλα δέ Arist.
25 ἰδεῖν ἔστιν Arist. 27 χωρήσει n 29 exspectes τοῖς μὴ 36 τὴν
om. n

ἢ τοῖς δικαίοις. ἔπειτα ἀνατρέπεται ἡ συνθήκη, καὶ εἰ ἐναντιοῦται f. 28v
ὑστέραις συνθήκαις γενομέναις ἐπὶ τοῦ αὐτοῦ πράγματος, ἐφ' οὗ καὶ
ἐκεῖνος. ἢ προτέραις· ἢ γὰρ λέγε. ὅτι αἱ ὕστεραί εἰσιν ἄκυροι, αἱ δὲ
πρότεραι ὀρθαί. ἢ τοὐναντίον· [b 28] καὶ ἁπλῶς, ὁποτέρως ἂν ᾖ χρή- 25
5 σιμον ἤτοι καὶ ἁπλῶς, ὁποτέρως σοι χρησιμεύει, εἴτε αἱ πρότεραι εἴτε
αἱ ὕστεραι, ἐκείνας μὲν ποίει ὀρθάς, τὰς δ' ἑτέρας ἀκύρους. [b 29] ἔτι
δὲ καὶ τὸ συμφέρον ὅρα ἢ τὸ σὸν ἢ τὸ τοῦ ἀντιδίκου, εἰ ἐναντιοῦται
τοῖς κριταῖς. καὶ γὰρ ταῦτα εὐθεώρητά εἰσιν ὁμοίως τῷ περὶ
μαρτύρων λόγῳ. [b 31] δοκοῦσι δὲ αἱ βάσανοι ἔχειν τὸ πιστόν, ὅτι
10 ἀνάγκη πρόσεστιν ἤτοι διότι ἀναγκάζονται ὑπὸ τῶν βασάνων ὁμολογεῖν
τὸ ἀληθές. οὔκουν χαλεπόν ἐστιν εἰπεῖν τοὺς τόπους, ἐξ ὧν ἄν τις 30
ἐπιχειρήσῃ αὔξειν καὶ δεικνύειν, ὅτι αἱ βάσανοι ἀληθεῖς εἰσιν, εἴ γε τέως
οἰκεῖαί εἰσι καὶ χρήσιμοι αὐτῷ. [1377a1] εἰ δ' ὑπεναντίοι εἰσὶν αὐτῷ
αἱ μαρτυρίαι αἱ διὰ τῶν βασάνων, συμβάλλονται δὲ τῷ ἀμφισβητοῦντι ἤτοι
15 τῷ ἀντιδίκῳ. λύσῃ ἂν τὰ ἀληθῆ οὕτως λέγων καὶ καταδρομὴν ποιούμενος
τοῦ γένους τῶν βασάνων, ὅτι οἱ βασανιζόμενοι λέγουσι τὰ ψευδῆ παρ'
ὃ τὰ ἀληθῆ, ἵν' οἱ κολάζοντες παύσωνται τοῦ μὴ βασανίζειν αὐτοὺς ὡς
ἀκούσαντες. ὃ ἐζήτουν μαθεῖν· [a 6] δεῖ δὲ ἐπαναφέρειν καὶ τὰ τοιαῦτα 35
πολλὰ παραδείγματα, ἃ καὶ οἱ κριταὶ γινώσκουσιν, ὡς ὁ δεῖνα βασανιζό-
20 μενος ψευδῆ εἴρηκε καὶ ὁ δεῖνα καὶ ὁ δεῖνα, καὶ ὅτι πολλοὶ παχύδερμοι
ὄντες καὶ τὴν ψυχὴν ἀνδρεῖοι καὶ λιθόδερμοι ἐγκαρτεροῦσι ταῖς βασά-
νοις καὶ οὐδὲν λέγουσιν, ἕτεροι δὲ τρυφεροὶ ὄντες καὶ δειλοὶ πρὸ τῶν
βασάνων κατηγορήσουσιν ἤτοι κατηγορήσουσιν ἑαυτῶν ψευδῆ λέγοντες.
[a 8] ἢ γὰρ δίδωσι καὶ ἐπάγει ὅρκον τῷ ἀντιδίκῳ καὶ λαμβάνει καὶ 40
25 ὀμνύει οὗτος τὸν τέλειον ἢ οὐδέτερον ἤτοι οὔτε δίδωσι τὸν ὅρκον οὔτε
λαμβάνει, ἢ τὸ μὲν τὸ δ' οὔ, ἤτοι ἢ δίδωσι μὲν οὐ λαμβάνει δέ,
ἢ τοὐναντίον. ἔτι οὐ δεκτέον τὸν ὅρκον, εἰ ὀμώμοται πολλάκις ὑπ' ἐκείνου
τοῦ ἀντιδικοῦντος· εἰ δὲ συντελεῖ σοι ὁ ὅρκος καὶ ὀμώμοσται παρὰ σοῦ
πολλάκις, ῥητέον ὅτι καὶ ἀληθής ἐστιν, ἐπεὶ καὶ | πολλάκις ὀμοσθεὶς f. 29r
30 παρ' ἐμοῦ ἐδέχθη τοῖς δικασταῖς. [a 11] οὐ δίδωσι μὲν οὖν καὶ
ἐπάγει τὸν ὅρκον τῷ ἀντιδίκῳ, διότι ῥᾳδίως ἐπιορκοῦσιν οἱ ἄνθρωποι,
καὶ ὅτι, εἰ μὲν ὀμόσει ὁ ἀντίδικος, οὐκ ἀποδώσει τὸ ζητούμενον χρέος,
εἰ δὲ μὴ ὀμόσει, ἴσως ἂν καταδικασθῇ, καὶ διὰ τοῦτο οὐ δεῖ καταναγκάζειν
αὐτὸν ὀμνύειν. καὶ ὅτι ὁ κίνδυνος ὁ παρὰ τῶν δικαστῶν ἐπαχθησόμενος τῷ 5
35 ἀντιδίκῳ σου, εἰ καὶ καταδικασθεὶς οὐκ ἀποδώσει, κρείττων ἐστὶ τοῦ ἐπαχθη-

---

1 δικαίοις Vn Arist. vulg.: οἰκείοις Arist. A 2 συνθήκαις ὑστέραις Arist. ἐφ' scripsi: ἀφ' Vn 3 fort. ἐκείνη 7 εἴ που Arist. A: εἴ πῃ Arist. vulg. 9 τὸ πιστόν Vn Arist. A: τὴν πίστιν Arist. vulg. 12 ἐπιχειρήσει n 13 αὐτῷ (post εἰσὶν) om. n 15 οὕτω n 17 οἱ V: οὐ n 20 παχύδερμοι Vn: παχύφρονες Arist. 23 κατηγορ ἢ (ante ἤτοι) V: κακηγορήσουσιν n: καταθαρροῦσιν Arist. 26 μὲν om. Arist. AQZbTr. 27 ὑπ' n: ἐπ' V 28 ὀμώμοσται V: ὀμώμοται n 31 διότι Vn: ὅτι Arist. 32 ὅτι Vn Arist. vulg.: διότι Arist. A

σομένου αὐτῷ ἀπὸ τοῦ ὅρκου. [a 14] τοῖς μὲν γὰρ πιστεύειν ἤτοι f. 29r
τοῖς δικασταῖς ὡς τιμωρήσουσι τὸν ἀντίδικον, τοῖς δὲ ἤτοι τοῖς ὅρκοις οὐ
πιστεύειν· ἄδηλον γάρ, εἰ παρὰ τῶν ὅρκων τιμωρηθήσεται. οὐ λαμβάνω δὲ
ὅρκον καὶ ζητῶ ὀμόσαι τὸν ἀντίδικον, διότι ὁ ὅρκος ἀποτελεσθῇ τῷ ἀν-
5 τιδίκῳ ἀντὶ τῶν χρημάτων ἤτοι ἵνα τὰ χρήματα κερδήσῃ, ἃ δανειακῶς
αὐτῷ δέδωκα. [a 16] καὶ ὅτι ῥᾴδιως ὀμόσει τις, εἰ φαῦλος ἦν· κρεῖττον 10
γὰρ ἡγεῖται φαῦλον εἶναι ἕνεκα τοῦ κερδῆσαι παρ' ὃ μηδενὸς ἤτοι
μηδεμιᾶς προκειμένης νομίμης ὠφελείας νομίζεσθαι φαῦλον καὶ διὰ τοῦτο
ὀμόσας οὐ πτοεῖται τὸ φαῦλος ἀκοῦσαι· κερδαίνει γὰρ ἐντεῦθεν. [a 18]
10 ὥστε οὐ δι' ἀρετὴν ἂν εἴη ὀμόσας καὶ ὡς εὐσεβής, ἀλλ' οὐκ ἐκφεύ-
ξεται τὸ μὴ ἤτοι τὸ μὴ ὀμόσαι διὰ τὴν ἐπιορκίαν. ἢ καὶ οὕτω
κάλλιόν ἐστι νοηθῆναι, ὅτι οὐκ ἂν εἴη ὀμόσας δι' ἀρετήν· δι' ἀρετὴν
γὰρ εὐλαβεῖται τὸ μὴ ὀμόσαι, ἀλλ' οὐ διὰ τὴν ἐπιορκίαν ἤτοι ἀλλ' 15
οὐχὶ φοβούμενος, μὴ ὀμόσω ψευδῆ καὶ ὅτι ὁ ἀντίδικός μου ἀσεβής ἐστιν,
15 ὑφ' οὗ ὀμόσαι καταναγκάζομαι· καὶ διὰ τοῦτο ῥᾴδιόν ἐστιν αὐτῷ τὸ ὀμόσαι.
τὸ γοῦν τὸν ἀσεβῆ προκαλεῖν τὸν εὐσεβῆ εἰς τὸ ὀμόσαι ὅμοιόν ἐστι καὶ εἴ
τις ἰσχυρὸς προκαλεῖται τὸν ἀσθενῆ εἰς πάλην ἢ εἰς πληγήν. [a 21] εἰ
δὲ λαμβάνει ὅρκον ἤτοι εἰ δὲ μέλλει αὐτὸς ὀμόσαι, λεγέτω, ὅτι ἐγὼ μὲν
ὀμόσω, διότι πιστεύω ἐμαυτῷ, ἐκείνῳ δὲ οὐ πιστεύω τῷ ἀντιδίκῳ καὶ διὰ 20
20 τοῦτο οὐ ζητῶ ὀμόσαι αὐτόν. [a 24] δεινὸν γάρ ἐστι τὸ μὴ ἐθέλειν
ὀμνύειν ἐμέ, ὑπὲρ ὧν ἀναγκάζω τοὺς δικαστὰς ὀμόσαι καὶ οὕτω δικάζειν·
πρῶτον γὰρ οἱ δικασταί, ὡς εἴπομεν, ὤμνυον, εἶτα ἐδίκαζον. [a 26] καὶ
ὅτι εὐσεβές ἐστι τὸ θέλειν ἐπιτρέπειν τοῖς θεοῖς τὴν κρίσιν καὶ τὸ
ἀληθὲς παρ' ὃ τοῖς μάρτυσι καὶ τοῖς δικασταῖς. καὶ ὅτι οὐ δεῖ ἐμὲ κρι-
25 τῶν δέεσθαι ἄλλων· ἑαυτῷ γὰρ τὴν κρίσιν δίδωμι ἐν τῷ ὀμνύειν.
[a 28] καὶ ὅτι ἄτοπον μὴ ὀμνύειν, περὶ ὧν ἄλλους ἤτοι τοὺς δικα- 25
στὰς ἀξιῶ ὀμόσαι. [a 29] ἐπεὶ δὲ δῆλόν ἐστι, πῶς λεκτέον καθ'
ἕκαστον, ἤτοι ἁπλοῦν, οἷον τὸ διδόναι ὅρκον· [b 3] εἰ γεγενημένος
ἐστὶν ὑπὸ σοῦ ἤτοι ὤμοσας αὐτὸν καὶ ἄλλοτε καὶ ἐναντίος ἐστὶν ᾧ
30 μέλλεις ὀμόσαι ὅρκῳ (οὐ γὰρ ὡσαύτως καὶ τότε τοῦτον ὀμώμοκας), ῥητέον,
ὅτι οὐκ ἔστιν ἐπιορκία· [b 4] τὸ γὰρ ἐπιορκεῖν ἐστι τὸ ἑκουσίως
ἀδικεῖν· ἐγὼ δὲ βίᾳ καὶ ἀκουσίως ἀπατηθεὶς αὐτὸν ὤμοσα· ἄλοὺς γὰρ
παρὰ πολεμίων ἢ δικαστῶν ἠναγκάσθην ὀμόσαι αὐτόν· ἄλλως τε καὶ 30

---

1 αὐτῷ V: αὐτοῦ n πιστεύειν Vn: πιστεύει Arist. (post ει littera erasa A)
3 παρὰ Vn: fort. περὶ 4 ζητῶν n 5 τῶν V: om. n Arist. 6 ἦν φαῦλος Arist. 9 ὀμόσαι n 10 ὥστε οὐ Vn: ὥστε δὲ Arist. vulg.: οὕτως δ' οὐ (οὐ eras.) Arist. A: *sic* Arist. Tr. 15 τὸ om. n 16 post ὀμόσαι II—III litt. eras. V 20 θέλειν Arist. ABC: ἐθέλειν Arist. cet. 22 εἴπομεν] p. 80,26 ὤμνυον ex ὀμνύουσιν corr. V 23 τοῖς θεοῖς ἐπιτρέπειν Arist. 24 post παρὸ (fin. folii 81v) unum folium intercidit in V; itaque ad hanc partem (p. 85,24 τοῖς μάρτυσι—p. 88,35 οὐκ ὀρθῶς) enotavi lectiones codicis Parisini gr. 1869 24. 25 κριτῶν Paris. 1869 n Arist. vulg.: δικαστῶν Arist. A 25 δεῖσθαι Arist.
27 δὲ καθ' ἕκαστον δῆλον Arist. πῶς Paris. 1869 n Arist. vulg.: ὅπως Arist. A

ἐπιορκεῖν ἐστιν οὐχὶ τὸ προφορικῷ λόγῳ λέγειν τι καὶ ὀμνύειν, ἀλλὰ καὶ f. 29r
τό, ὃ λέγω ἐν τῷ ὅρκῳ, δοξάζειν ἐν τῇ διανοίᾳ, ὅτι ἀληθῶς τοῦτο
λέγω· εἰ γὰρ λέγω μὲν στόματι, ἄλλα δὲ δοξάζω ἐν τῇ διανοίᾳ μου, οὐκ
ἐπιορκία τοῦτό ἐστιν. εἰ δὲ ὁ ὅρκος ὠμόθη πολλάκις παρὰ τοῦ ἀντιδίκου
5 σου καὶ ἐναντίως, ῥητέον, ὅτι πάλαι ἄλλως σοι ὠμόθη ὁ ὅρκος οὗτος·
[b 8] καὶ ἐπεὶ οὐκ ἐμμένεις οἷς ὤμοσας, λοιπὸν ἀναιρεῖς τὰ πάντα. ἐπεὶ
καὶ οἱ δικασταὶ πρότερον ὀμόσαντες οὕτω χρῶνται τοῖς νόμοις καὶ δικά- 35
ζουσιν, ἄτοπον, εἰ οἱ δικασταὶ ὀμόσαντες δικάσαι ὀρθῶς τῷ ὅρκῳ ἐμμένου-
σιν, ἡμεῖς δὲ οὐκ ἐμμενοῦμεν οἷς ὠμόσαμεν. |

---

1 τὸ Paris. 1869: τῷ n 2 λέγω scripsi: λέγειν Paris. 1869 n 9 subscr. τέλος τοῦ εἰς τὸ πρῶτον ὑπομνήματος n: om. Paris. 1869

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ ΤΗΣ ΡΗΤΟΡΙΚΗΣ. f. 29v

1. Καὶ ποῖαι δόξαι ἤτοι ὑπολήψεις, ἤτοι καὶ ποίαν ὑπόληψιν ἔχοντες περὶ τοῦ λέγοντος οἱ δικασταὶ ἢ πρὸς οἶκτον κινοῦνται ἢ πρὸς ὀργὴν ἢ πρὸς φόβον καὶ πιστεύουσι καὶ τῷ λέγοντι κατ' αὐτοῦ. [1377 b 18] προτάσεις δὲ λέγει τὰ ἐνθυμήματα. τὰ γὰρ ἐνθυμήματα ὥρμηνται ἐκ τούτων ἤτοι τοῦ δικαίου, τοῦ καλοῦ, τοῦ συμφέροντος, καὶ περὶ τὰ αὐτὰ στρέφονται, ἤτοι δίκαιον, καλόν, συμφέρον. [b 20] περὶ ἕκαστον γένος ἤτοι εἶδος τῶν λόγων, τοῦ τε δικανικοῦ φημι καὶ συμβουλευτικοῦ καὶ πανηγυρικοῦ, πλὴν ἰδίᾳ καὶ ἰδίᾳ μέλλω θεωρεῖν τὸ καλὸν καὶ τὸ δίκαιον καὶ τὸ συμφέρον τὸ ἐν τῷ συμβουλευτικῷ καὶ ἰδίᾳ τὸ καλὸν καὶ τὸ δίκαιον τὸ ἐν τῷ δικανικῷ καὶ ἰδίᾳ τὸ ἐν τῷ πανηγυρικῷ· καὶ γὰρ οἱ ἀκροαταὶ κρίνουσι καὶ τὰς συμβουλὰς ἐπὶ τοῦ συμβουλευτικοῦ· ἀλλὰ καὶ ἡ δίκη ἤτοι τὸ δικανικὸν ἐν κρίσει ἐστί. [b 22] δεῖ μὴ μόνον θαρρεῖν εἰς τὸ πείθειν, εἰ ὁ λόγος ἤτοι ὁ δικανικὸς ἢ ὁ συμβουλευτικὸς ἢ ὁ πανηγυρικὸς ἀποδεικτικός ἐστι καὶ ἰσχυρός, ἀλλὰ κατασκευάζειν καὶ δεικνύειν καὶ ἑαυτὸν ποιόν τινα ἤτοι ἀγαθὸν καὶ φιλαλήθη καὶ εὔνουν τῇ πόλει καὶ τὸν κριτὴν ποιὸν ἤτοι εἰς ὀργὴν κινῆσαι κατὰ τοῦ ἀντιδίκου ἢ οἶκτόν σου λαβεῖν· εἰ γὰρ λόγος ἐστὶν ἰσχυρός, πονηρὸς δὲ δοκεῖ τοῖς ἀκροαταῖς, οὔπω ἰσχύσεις πεῖσαι τὸν κριτὴν πιστεῦσαί σοι ἢ τοὺς ἀκροατὰς ὡς ἐχθρῷ ἢ τῇ πόλει ἢ τῷ ἀντιδίκῳ. [b 25] πολὺ γὰρ διαφέρει καὶ συμβάλλεται εἰς πίστιν τὸ δεικνύειν ἑαυτὸν ποιόν τινα ἢ τὸν κριτήν, κυρίως μὲν καὶ πρώτως ἐν ταῖς συμβουλαῖς, εἶτα καὶ ἐν ταῖς δίκαις ἤτοι τῷ δικανικῷ τό τε φαίνεσθαι τὸν λέγοντα ποιόν τινα ἤτοι εὔνουν ἢ ἀγαθὸν ἢ πονηρὸν καὶ τὸ τοὺς κριτὰς ὑπολαμβάνειν ἔχειν αὐτὸν τὸν λέγοντά πως ἤτοι

---

1 βιβλίον δεύτερον τῆς ῥητορικῆς Paris. 1869: εἰς τὸ δεύτερον βιβλίον n 4 καὶ (ante τῷ) om. n 6 fort. περὶ ταῦτα (cf. Arist. περὶ τούτων) 7 ἕκαστον εἰπεῖν ἰδίᾳ τὸ γένος Arist. 14 μὴ om. n 15 ἐστι Paris. 1869 n: ἔσται Arist. 16 αὐτὸν Arist. 19 fort. δοκεῖς 20 ἐχθρῷ n: ἐχθρὸν Paris. 1869 23 εἶτα Paris. 1869 n Arist. A: εἶτα δὲ Arist. vulg. τε Paris. 1869 n Arist. A: om. Arist. vulg. 23. 24 ποιόν τινα φαίνεσθαι τὸν λέγοντα Arist. 25 ἔχειν πως αὐτὸν Arist. vulg.: πως διακεῖσθαι αὐτὸν Arist. A

διακεῖσθαι ἢ ἐχθρωδῶς ἢ φιλίως καὶ ἀγαθῶς πρὸς αὐτοὺς τοὺς κριτάς. f. 29v
[b 28] πρὸς δὲ συμβάλλεται εἰς πίστιν, καὶ ἐὰν αὐτοὶ οἱ ἀκροαταὶ
τυγχάνωσι διακείμενοί πως πρὸς αὐτόν· ἢ γὰρ οἰκτείρουσιν αὐτὸν ἢ
ὀργίζονται κατ' αὐτοῦ καὶ διὰ τοῦτο οὐκ ἄν ποτε αὐτῷ πιστεύσωσι. [b 30]
5 τὸ δὲ διακεῖσθαί πως τὸν ἀκροατὴν ἤτοι ἢ ὀργίλον κατὰ τοῦ λέγον-
τος ἢ περίφοβον ἢ φιλίως συμβάλλεται εἰς τὸ δικανικόν. [1378a1] ἀλλ'
ἢ τὸ παράπαν ἕτερα, οἷον εἰ ὁ κριτὴς ἐχθρός ἐστι τοῦ λέγοντος, κἂν 25
δικαίως τι λέγῃ, ἄδικον τοῦτο φαίνεται τῷ κριτῇ, ἢ κατὰ μέγεθος, ἤγουν
ἢ εἰ μέγα δίκαιόν ἐστι, νομισθήσεται τοῦτο μικρόν· ὥσπερ πάλιν, εἰ ἀγα-
10 θὸς δοκεῖ τῷ κριτῇ καὶ φιλεῖται αὐτῷ, κἂν ἄδικόν τι λέγῃ ὁ δικαζόμενος,
ἕτερον τοῦτο νομίζεται τῷ δικάζοντι ἤτοι δίκαιον ἢ κατὰ μέγεθος ἕτερον,
ἤτοι ἢ κἂν μικρὸν ἢ ὃ λέγει δίκαιον, μέγα τοῦτο νομίζεται τῷ φιλοῦντι
δικαστῇ. [a 1] τῷ γὰρ φιλοῦντι τὸν ἄνθρωπον, περὶ οὗ ποιεῖται 30
τὴν κρίσιν ἤτοι περὶ οὗ κρίνει, ἢ οὐκ ἀδικεῖν δόξει ὅλως αὐτὸν ἢ
15 μικρὰ ἀδικήσει, εἰ δὲ μισεῖ ὁ κριτὴς τὸν λέγοντα, μεγάλως ἀδικήσει.
[a 3] καὶ τῷ μὲν ἐπιθυμοῦντι κτήσασθαί τι καὶ ἐλπίζοντι τοῦτο λα-
βεῖν, εἰ καὶ τοῦτο, ὃ ἐλπίζει λαβεῖν, ἡδὺ δοκεῖ αὐτῷ, φαίνεται τοῦτο
τῷ ἐπιθυμοῦντι αὐτῷ καὶ ἔσεσθαι ἤτοι προσγενέσθαι καὶ κτηθῆναι
αὐτῷ καὶ ἀγαθὸν ἔσεσθαι· τῷ δὲ ἀπειθεῖ ἤτοι τῷ μισοῦντί τι
20 τοὐναντίον, ἤτοι οὐδὲ ἐλπίζει τοῦτο κτηθῆναι αὐτῷ ποτε. [a 8] 35
τὸ ἔξω τῶν ἀποδείξεων ἀντὶ τοῦ χωρὶς τῶν ἀποδείξεων. [a 9] ἢ
διὰ ταῦτα πάντα διαψεύδονται ⟨ἢ διὰ τούτων τι⟩, ἤτοι εἰ μὴ πάντα
ταῦτα ἔχει, ἤτοι καὶ ἀρετὴν καὶ φρόνησιν καὶ εὔνοιαν, ἀλλ' ἓν ἀπ'
αὐτῶν λείψει, οὐ τὰ ἀληθῆ ὁ ῥήτωρ οὗτος ἐρεῖ· κἂν γὰρ ἐνάρετος
25 ᾖ καὶ εὔνους, οὐ φρόνιμος δέ, δι' ἀφροσύνην οὐκ ὀρθῶς ἐρεῖ· ἢ
δοξάζουσι μὲν καὶ νοοῦσιν ὡς φρόνιμοι τὸ ἀληθές, διὰ δὲ μοχθηρίαν
καὶ πονηρίαν οὐ δοκοῦσι λέγειν τὰ ἀληθῆ· ὑποπτεύονται γὰρ τοῖς ἀκροα- 40
ταῖς ὡς πονηροὶ καὶ φυλάττονται. [a 12] ἢ φρόνιμοι μέν εἰσι καὶ
ἐπιεικεῖς ἤτοι ἀγαθοί, ἀλλ' οὐκ εὐνόητοι τῇ πόλει, καὶ διὰ τοῦτο
30 ἐνδέχεται καὶ εἰκός ἐστιν αὐτούς, κἂν γινώσκωσι τὸ ἀληθές, μὴ συμβου-
λεῦσαι αὐτό. [a 17] ἐκ τῶν περὶ τὰς ἀρετὰς διῃρημένων ἢ ἐν-
ταῦθα | ἢ ἐν τοῖς Ἠθικοῖς. [a 18] ἐκ τῶν αὐτῶν γὰρ τόπων ὁρμώ- f. 30r
μενός τις καὶ ἑαυτὸν δείξει ἀγαθὸν καὶ ἕτερον. [a 20] τὰ δὲ πάθη,
καθ' ἃ μεταβάλλοντες καὶ ἀλλοιούμενοι οἱ ἀκροαταὶ καὶ οἱ κριταὶ πρὸς
35 τὰς κρίσεις διαφέρουσιν ἤτοι οὐκ ὀρθῶς ἀποφαίνονται, ταῦτά εἰσιν,

---

2 τούτοις post δὲ add. n Arist καὶ ἐὰν Paris. 1869 n: ἐὰν καὶ Arist. 3 διακείμενοί πως τυγχάνωσιν Arist. 4 πιστεύουσι n 5 ἢ om. n 8 τί Paris. 1869: τὲ n μέγεθος Paris. 1869 n Arist. ACD: τὸ μέγεθος Arist. cet. 11 νομίζεται Paris. 1869 13 μὲν γὰρ Arist. 14 δόξει om. n δείξει post ὅλως add. n 19 ἀπειθεῖ Paris. 1869 n Arist. BDEZb: ἀπαθεῖ Arist. A τι Paris. 1869: om. n 22 διὰ πάντα ταῦτα Arist. (δι' ἅπαντα A) ἢ διὰ τούτων τι n Arist.: om. Paris. 1869 24 οὗτος Paris. 1869: οὕτως n 25 ἢ Paris. 1869: ἦν n 29 εὐνόητοι Paris. 1869 n: εὔνοι Arist. 32 τῶν αὐτῶν γὰρ Paris. 1869 n Arist. vulg.: γὰρ τῶν αὐτῶν Arist. A 34. 35 διαφέρουσι πρὸς τὰς κρίσεις Arist. 35 ab ἀποφαίνονται incipit fol. 83r (γιδ) V εἰσιν om. n

οἷς ἕπεται λύπη καὶ ἡδονή. [a 25] καὶ ἐπὶ ποίοις πράγμασιν ὀργί- f. 30r
ζονται· εἰ γὰρ τὸ μὲν ἓν ἀπὸ τούτων τῶν τριῶν ἔχοιμεν ἢ τὰ δύο, τὸ
δὲ ἕτερον οὐκ ἔχοιμεν, οὐκ ἂν ὀργισθῶμεν· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων
ἤτοι καὶ ἐλέους καὶ φόβου τρία εἰσί, καθ' ἅ τις παρακινεῖται πρὸς φόβον
ἢ ἔλεον. [a 28] ὥσπερ οὖν διεγράψαμεν καὶ διετυπώσαμεν τὰς προ-
τάσεις ἐπὶ τῶν εἰρημένων, οὕτω καὶ ἐπὶ τούτων τῶν παθῶν
ποιήσωμεν καὶ διέλωμεν ταῦτα, ἐν τίσι καὶ ποίοις θεωροῦνται.

2. Ἔστω δὴ ὀργὴ ὄρεξις τιμωρίας φαινομένης ἤτοι φανερᾶς
μετὰ λύπης· λυπηθεὶς γὰρ ὁ ὀργιζόμενος ὥρμησεν εἰς τὸ τιμωρῆσαι
τὸν λυπήσαντα, ἐλυπήθη δὲ διὰ τὸ ὀλιγωρηθῆναι καὶ καταφρονηθῆναι μὴ
προσηκόντως ἢ αὐτὸς ἤ τις τῶν αὐτοῦ οἷον συγγενὴς ἢ φίλος. πρόσ-
κειται δὲ τὸ [a 31] φαινομένης, διότι εἰ τιμωρήσει τὸν λυπήσαντα,
ἀγνοεῖ δὲ οὗτος, ὅτι παρ' αὐτοῦ ἐτιμωρήθη, ὅν ποτε ἐλύπησεν. [a 33]
εἰ δὲ ὀργή ἐστι τοῦτο, ὁ ὀργιζόμενος ὀργίζεταί τινι μερικῷ, οἷον τῷ
Κλέωνι, ἀλλ' οὐ τῷ τυχόντι ἀνθρώπῳ, διότι πεποίηκε καὶ ἔβλαψέ
τινα τῶν αὐτοῦ ἢ αὐτὸν ἢ ἔμελλε βλάψαι· ὁ δὲ ὀργιζόμενος ἐλπίζων
τιμωρῆσαι τὸν λυπήσαντα ἥδεται. ὅτι δὲ τῇ ὀργῇ καὶ ἡδονὴ ἕπεται,
δηλοῖ καὶ Ὅμηρος ἐπὶ τοῦ Ἀχιλλέως λέγων περὶ τοῦ θυμοῦ [b 5] "ὅς
τε πολὺ γλυκίων μέλιτος"· ἀκολουθεῖ γοῦν ἡδονή τις διά τε
τοῦτο ἤτοι τὸ ἐλπίζειν τιμωρῆσαι καὶ ὅτι διατρίβουσι τῇ διανοίᾳ
ἐν τῷ τιμωρεῖσθαι, ἤτοι εὐφραίνεται καὶ † γὰρ ἀναλογιζόμενος ἐν
τῇ διανοίᾳ καὶ οἷον ὑποτυπῶν, ὅπως αὐτὸν κατέχει ἐκ τῶν τριχῶν
καὶ κολάζει. τὸ γοῦν φαντάζεσθαι ἐν τῇ διανοίᾳ, πῶς δεσμεῖ τὸν
λυπήσαντα καὶ μαστιγοῖ, ἡδονὴν ποιεῖ· ὥσπερ ἥδεται καὶ εἴ τις ἐν
ὕπνοις ὁρᾷ, ὅτι εὗρε θησαυρόν. [b 10] ὀλιγωρία δέ ἐστιν ἐνέργεια
δόξης ἤτοι τὸ δοξάζειν ἐνέργειαν, ὅτι τόδε οὐδενὸς δοκεῖ ἄξιον. καὶ γὰρ
τὰ κακὰ καὶ τὰ ἀγαθὰ ἤγουν καὶ τὸν δυνάμενον ὠφελῆσαι καὶ τὸν
δυνάμενον βλάψαι ἀξιοῦμεν τιμῆς καὶ σπουδῆς. ὅσα δὲ μηδὲν ἢ πάνυ
μικρά, ἤτοι ὅσοι μήτε δύνανται ὠφελῆσαι μήτε βλάψαι ἢ δύνανται μικρὰ
ὠφελῆσαι καὶ μικρὰ βλάψαι, ὀλιγωροῦνται καὶ καταφρονοῦνται παρ' ἡμῶν.
[b 14] ἔστι δὲ καὶ ὁ ἐπηρεασμὸς ὀλιγωρία· ἔστι δὲ οὗτος [b 18]
ἐμποδισμὸς ταῖς βουλήσεσιν, οἷον εἰ Σωκράτης βούλεται ἀπελθεῖν
εἰς τὸ δικαστήριον ἀπολογηθησόμενος, συμφωνήσας λίτρας χρυσίου κατα-

---

1 πράγμασιν, μασιν evan., V 2 ἔχοιμεν, χοιμεν evan., V ἢ τὰ δύο ἔχοιμεν τούτων Arist. 3 δὲ καὶ Arist. 5. 6 οὖν καὶ ἐπὶ τῶν προειρημένων διεγράψαμεν τὰς προτάσεις Arist. 6 περὶ τούτων Arist. ACTr.: ἐπὶ τούτων Arist. cet. 7 ποιήσωμεν n Arist.: ποιήσομεν V 9 μετὰ λύπης post ὄρεξις (8) Arist. 11 προσηκόντως Vn Arist. vulg.: προσήκοντος Arist. A 11. 12 πρόκειται n 14 εἰ scripsi ex Aristotele: ἡ Vn 15 τυχοῦντι n διότι Vn: καὶ ὅτι Arist. (καὶ om. C) 18. 19 ὅς τε κτλ.] Hom. Σ 109 19 τε (ante πολὺ) scripsi ex Aristotele: τις Vn 20 καὶ διότι Arist. 20. 21 ἐν τῷ τιμωρεῖσθαι τῇ διανοίᾳ Arist. 21 εὐφραίνοντάι n 23 δεσμοῖ n 24 ποιεῖ Vn Arist. vulg.: ἐμποιεῖ Arist. A 26 γὰρ om. n 27 τἀγαθὰ Arist. 28 μὴ ante δυνάμενον add. n δὲ om. n 28. 29 ἢ πάνυ μικρὰ Vn Arist. vulg.: τι ἢ μικρόν Arist. A 33 ἀπολογησόμενος n

βαλέσθαι τρεῖς, εἰ μὴ παραβάλοι κατὰ τὴν δεῖνα ἡμέραν, εἶτα ἐλθούσης f. 30r
τῆς ἡμέρας ἐμποδίζεται παρ' ἐμοῦ ὥστε παραβαλεῖν εἰς τὸ δικαστήριον,
οὐχ ἵνα αὐτῷ γένηται καὶ ἐμοὶ κέρδος τι καὶ ὠφέλεια ἐκ τοῦ μὴ ἀπελ- 30
θεῖν ἐκεῖνον ἐκεῖ, ἀλλ' ἵνα μὴ ἐκείνῳ τῷ Σωκράτει ὠφέλειά τις γένη-
5 ται. ἀρξάμενος ἀπὸ τοῦ [b 10] ἐπεὶ δὲ ἡ ὀλιγωρία καὶ ἐπεμβαλὼν
μεταξύ, εἶτα ποιήσας ἐπανάληψιν εἰπὼν [b 19] ἐπεὶ οὖν οὐχ ἵνα τι
αὐτῷ, τί ἀπέδωκεν εἰς τὸ ὀλιγωρεῖν; δῆλον γοῦν, ὅτι δι' αὐτὸ ἐπηρεάζει
τὸν Σωκράτην, διότι οὔτε ὑπολαμβάνει αὐτὸν δυνατὸν βλάψαι οὔτε δυνά
μενον ὠφελῆσαι οὐδὲ ἄξιον λόγου ἤτοι ἀξιόλογόν τι καὶ μέγα· εἰ γὰρ
10 ἠπίστατο αὐτὸν ἱκανὸν ὠφελῆσαι μεγάλα, ἐφρόντιζε φίλος εἶναι αὐτοῦ. 35
[b 22] ἀλλὰ καὶ ὁ ὑβρίζων ὀλιγωρεῖ. ὕβρις δέ ἐστι τὸ βλάπτειν
τὸν λυπήσαντα ἐπὶ τοῖς πράγμασιν ἐκείνοις, ἐφ' οἷς ἕπεται τῷ πάσχοντι
αἰσχύνη ἀλλ' οὐ ζημία, οὐχ ἵνα τι ἄλλο αὐτῷ γένηται, ἤτοι οὐχ ἵνα
ὠφεληθῇ, ἢ ὅτι ἐγένετο ἤτοι ὠφελήθη, ἀλλ' ὅπως μόνον εὐφρανθῇ·
15 [b 25] οἱ γὰρ ἀντιποιοῦντες ἤτοι οἱ σπουδάζοντες ἀντιτιμωρῆσαι τὸν
τιμωρήσαντα, οἷον εἰ ἐβλάβην παρά τινός τι, εἶτα μετὰ λαοῦ κατ' ἐκείνου 40
χωρήσω, οὐχ ὑβρίζειν αὐτὸν λέγομαι ἀλλὰ τιμωρεῖν. εὐφραίνονται δὲ οἱ
ὑβρίζοντες, διότι κακῶς δρῶντες τοὺς λυπήσαντας οἴονται ὑπερέχειν
αὐτῶν. [b 28] διὰ τοῦτο καὶ οἱ νέοι εἰσὶν ὑβρισταί, ἵνα ἐκ τοῦ ὑβρί-
20 ζειν ὑπερέχειν δοκῶσι· τὸ γὰρ ἄξιον μηδενὸς οὔτε ὡς καλὸν τιμᾶται
οὔτε ὡς ἀγαθόν. [b 31] διὸ καὶ ὁ Ἀχιλλεὺς ὀργιζόμενος λέγει διὰ
τὸν Ἀγαμέμνονα 'ἠτίμη|σεν· ἑλὼν γὰρ ἔχει τὸ γέρας'· καὶ οὕτως f. 30v
με ἠτίμησεν, 'ὡς εἴ τινα μετανάστην', ὡς διὰ ταῦτα ὀργιζόμενος
ἤτοι τὴν ἀτιμίαν. [b 34] οἴονται δὲ οἱ ἄνθρωποι πολυωρεῖσθαι καὶ
25 ὑπερέχειν καὶ τιμᾶσθαι ὑπὸ τῶν ἡττόνων κατὰ γένος, οἷον εἰ οἱ μὲν
εὐγενεῖς, οἱ δὲ δυσγενεῖς. κατὰ δύναμιν καὶ οἱ δυνατοὶ καὶ ἀνδρεῖοι
θέλουσι τιμᾶσθαι παρὰ τῶν ἀδυνάτων. κατὰ ἀρετὴν οἱ ἐνάρετοι θέλουσι 5
τιμᾶσθαι παρὰ τῶν μὴ τοιούτων, οἷον ὁ πλούσιος ὑπερέχει τοῦ πένητος
ἐν χρήμασι, καὶ ὁ οἰόμενος αὐτὸν ἄξιον τοῦ ἄρχειν ζητεῖ τιμᾶσθαι παρὰ
30 τῶν ἀξίων ἄρχεσθαι. διὰ τούτων γὰρ εἴρηκε τὸ [1379a5] 'ἀλλά γε καὶ
μετόπισθεν ἔχουσι κότον, ὄφρα τελέσσῃ', διότι ἀγανακτοῦσιν ὡς
ὑπερέχοντες καὶ διὰ τοῦτο μὴ θέλοντες καταφρονεῖσθαι. [a 6] ἔτι ὀργί-

---

3 οὐχ Vn Arist. vulg.: μὴ Arist. A ἵνα τι Arist. 4 Σωκράτει Ern. Richter: σώματι Vn 6. 7 αὐτῷ τι Arist. 7 ἀποδέδωκεν n δηλοῖ n 9 οὐδὲν Arist. 10 ἐπίστατο n 11 καὶ ὁ ὑβρίζων δὲ Arist. βλάπτειν καὶ λυπεῖν Arist. vulg.: πράττειν καὶ λέγειν Arist. A 12. 13 αἰσχύνη ἐστὶ τῷ πάσχοντι Arist. 13 οὐκ n γένηται Vn Arist. vulg.: γίγνηται Arist. A 16 μετὰ τοῦ λαοῦ n 20 μηδενὸς ἄξιον Arist. καλὸν Vn: fort. κακόν; cf. Arist. ἔχει τιμὴν οὔτε κακοῦ οὔτε ἀγαθοῦ (vulg.; οὔτε ἀγαθοῦ οὔτε κακοῦ A) 21 διὸ καὶ V: διότι n διὸ λέγει ὀργιζόμενος ὁ Arist. 22 ἠτίμησεν κτλ.] Hom. A 356 τὸ om. Arist. οὕτω n 23 ὡς εἴ κτλ.] Hom. I 648 τιν' ἀτίμητον μετανάστην Arist. 26 καὶ (ante οἱ) om. n 30 εἴρηται Arist. ἀλλά κτλ.] Hom. A 82 ἀλλά τε Arist. AYb Zb, Hom.: ἀλλά γε Arist. cet. 31 ἔχουσι V: ἔχει n Arist. ὄφρα τελέσσῃ Vn Arist. EQ: om. Arist. cet. 31 ὡς ὑπερέχουσιν ante ὡς add. n

ζεταί τις καὶ εἰ καταφρονεῖται ὑφ' ὧν οἴεται δεῖν εὖ πάσχειν, διότι f. 30v
αὐτοὺς εὐηργέτησεν ἢ αὐτὸς ἢ ἕτερός τις δι' αὐτὸν ἢ βούλεται εὐεργετῆσαι. 10
[a 10] αὐτοὶ μὲν ὀργίζονται, ὅταν λυπῶνται. ἐάν τε οὖν τις ἀντι-
κρούῃ τινὰ ἢ κατ' εὐθυωρίαν ἤτοι φανερῶς καὶ ἀμέσως, † ἢ γὰρ φανε-
5 ρῶς κωλύει τὸν διψῶντα πιεῖν, ἐάν τε μή, ὁμοίως, ἤτοι ἐάν τε μὴ
φανερῶς κωλύῃ τὸν διψῶντα πιεῖν, ἀλλ' ἐκ πλαγίου οὐ κωλύει μὲν τὸν
διψῶντα, θολοῖ δὲ τὴν κρήνην, ταὐτόν ἐστιν. [a 13] ὀργίζεταί τις καὶ
ἐάν τις ἀντιπράττῃ αὐτῷ ἢ εἰ οὐ συμπράττει καὶ βοηθεῖ, καὶ ταῦτα
βοηθεῖν δυνάμενος ἐν τῷ τοιούτῳ καιρῷ, ὅταν βοηθείας ἔχρῃζον· καὶ ἂν 15
10 ἐνοχλῇ τι ἄλλο ἔχον οὕτως ἤτοι τοιοῦτόν τι, ὀργίζεται πᾶσι τούτοις
ἤτοι καὶ τοῖς συμπράττουσι καὶ τοῖς ἀντιπράττουσι. [a 17] μάλιστα μὲν
ὀργίζεται πρὸς τοὺς ὀλιγωροῦντας τοῦ παρόντος, οἷον ὁ κάμνων
καὶ νοσῶν ὀργίζεται ⟨τοῖς⟩ πρὸς τὴν νόσον, οἷον τοῖς δυναμένοις βοηθεῖν
καὶ θεραπεῦσαι τὴν νόσον καὶ μὴ ποιοῦσι τοῦτο. καὶ ὁ πενόμενος
15 ὀργίζεται τοῖς πρὸς τὴν πενίαν ἤτοι τοῖς δυναμένοις τὴν πενίαν αὐτοῦ 20
ἰάσασθαι καὶ μὴ τοῦτο ποιοῦσι. καὶ ὁ ἐρῶν ὀργίζεται τοῖς μὴ βοηθοῦσιν
αὐτῷ εἰς τὸ τὸν ἔρωτα ἐκπληρῶσαι. [a 21] ὑπὸ γὰρ τοῦ ἐνόντος τινὶ
πάθους προοδοποιεῖται εἰς τὴν ὀργὴν ἑκάστου πράγματος, οἷον ὁ ἐρῶν
προωδοποίηται πρὸς τὸ ὀργισθῆναι κατὰ τῶν ἐμποδιζόντων αὐτὸν εἰς τὸ
20 ἐκπληρῶσαι τὸν ἔρωτα καὶ ὁ νοσῶν πρὸς τοὺς δυναμένους βοηθεῖν αὐτῷ
καὶ μὴ βοηθοῦντας. [a 22] ἔτι εἰ τὰ ἐναντία τύχῃ προσδεχόμενος,
οἷον εἰ ἐν καιρῷ πολέμου ἢ δικαστηρίου ᾤμην τὸν Σωκράτην βοηθῆσαί 25
μοι, ὁ δὲ παρὰ τὴν δόξαν μου καὶ τὸ ἐλπιζόμενον ἐχθρὸς μᾶλλον ἐφάνη·
τὸ κατὰ πολὺ γοῦν παρὰ τὴν δόξαν καὶ τὸ ἐλπιζόμενον φανὲν λυπεῖ,
25 ὥσπερ τέρπει καὶ τὸ κατὰ πολὺ παρὰ τὴν δόξαν, εἴ γε τέως
γένηται ὃ βούλεται, οἷον εἰ ἐν δικαστηρίῳ χρῄζων βοηθηθῆναι παρά
τινος καὶ μὴ ἐλπίζων παρά τινος βοηθηθῆναι τῶν ἱσταμένων ἐκεῖ διὰ τὸ
ἐχθροὺς εἶναι ἐβοηθήθην παρά τινος αὐτῶν. [a 25] καὶ διαθέσεις ἤγουν 30
κράσεις. [a 31] ἀνάγκη δὲ τοιαῦτα εἶναι ταῦτα τὰ ὕβρεως σημεῖα,
30 ἃ μήτε ἀντί τινος ἐγένετο πραχθέντος, ἵνα δοκῇ ἀντίδρασις, ἤτοι εἴ τις
μὴ λυπηθεὶς παρ' ἐμοῦ ἐσπούδασεν ὑβρίσαι με, μήτε ἐκ τούτων, ὧν με
ὕβρισεν, ὠφελήθη ἐκεῖνος· εἰ γὰρ λυπηθεὶς ἀντέδρασε καὶ ἀντελύπησεν,

---

1 τις οἴεται εὖ πάσχειν δεῖν Arist. 3 μὲν γὰρ Arist. 3. 4 ἐάν τε κατ' εὐθυωρίαν οὖν ἀντικρούῃ τις Arist. vulg.: ἐάν τε οὖν κάτ' εὐθυωρίαν ὁτιοῦν ἀντικρούσῃ τις Arist. A 6 κωλύει n 7 τις V: σοι n 8 τε ἀντιπράττῃ τις Arist. ϑ εἰ om. n συμπράττῃ n βοηθεῖ scripsi: βοη V: βοηθῇ n 10 ἔχον Vn Arist. vulg.: ἔχων Arist. Q: *habens* Arist. Tr.: ἔχοντα Arist. A 11. 12 μὲν πρὸς τοὺς τοῦ παρόντος ὀλιγωροῦντας Arist. vulg.: πρὸς τοὺς παρόντας ὀλιγωροῦντας Arist. A 13 τοῖς (ante πρὸς) n Arist.: om. V 16 βοηθεῖσιν n 18 fort. ἕκαστος ante ἑκάστου addendum, cf. Arist. 19 προωδοποίηται V (cf. Arist. A): προοδοποιεῖται n (cf. Arist. vulg.) 21 ἔτι δ' ἐὰν τἀναντία Arist. 24 et 25 τὸ πολὺ (καὶ ins. vulg.) παρὰ δόξαν Arist. 25 καὶ τέρπει Arist. εἴ γε Vn: ἐὰν γὰρ Arist vulg.: ἐὰν Arist. ATr. 31 fort. ὑβρίσαι με, ⟨μήτ' ὠφέλιμα τοῖς ποιοῦσιν, ἤτοι⟩; cf. Arist. 32 εἰ V: ἢ n

οὐ καινόν· ἤδη γὰρ δοκεῖ δι' ὕβριν ποιῆσαι πάντα, ὅσα ἂν ἐποίησε. f. 30ᵛ
[a 33] καὶ τοῖς καταφρονήσασι, περὶ ἃ σπουδάζομεν, ὀργιζόμεθα, οἷον εἰ
περὶ τὴν φιλοσοφίαν ἐνδείκνυμαι καὶ σπουδάζω, καταφρονήσει μου δέ τις 35
περὶ τούτου, ὀργισθῶ ἂν κατ' αὐτοῦ. οἱ δὲ ἐπὶ τῇ ἰδέᾳ ἤτοι δοκοῦντες
5 εἶναι εὐειδεῖς ὀργίζονται τοῖς εἰς τὴν ἰδέαν ἀποσκώψασι. [a 36] πολλῷ
δὲ μᾶλλον ὀργίζονται οἱ σπουδάζοντες σοφοὶ δοκεῖν κατὰ τῶν καταφρονη-
σάντων, καὶ μᾶλλον, εἴ γε καὶ ὑποπτεύουσι μὴ ὑπάρχειν αὐτοῖς τὴν
φιλοσοφίαν, ἢ ὅλως, ἤτοι ἢ ὅλως οὐκ εἰσι φιλόσοφοι, ἢ μὴ ἰσχυρῶς,
ἤτοι ἢ οὐκ εἰσι καλοί, ἢ σοφοὶ ὄντες οὐ δοκοῦσι σοφοί. [b 1] εἰ δὲ 40
10 οἴονται εἶναι σοφοὶ ἀκριβεῖς ἢ εὐειδεῖς, σκώπτονται δὲ παρά τινων, οὐκ
ὀργίζονται κατ' αὐτῶν. [b 2] ὀργίζονται καὶ τοῖς φίλοις καταφρονή-
σασιν· ὀργίζονται καὶ τοῖς ἔθος ἔχουσι τιμᾶν καὶ προσκυνεῖν καὶ μετὰ
φειδοῦς ὁμιλεῖν, εἴ γε συναντηθέντες αὐτοῖς οὐκ ἐτιμήθησαν παρ' αὐτῶν,
ὡς εἰώθασι τιμᾶσθαι ἀεί, ἢ οὐχ ὡμίλησαν αὐτοῖς μετὰ φειδοῦς, ὡς
15 ὠφ|θησαν ὁμιλεῖν· [b 6] ἔδει γὰρ ταὐτὸν ποιεῖν, ὃ εἰώθασιν ἀεὶ ποιεῖν. f. 31ʳ
ὀργίζονται δὲ καὶ τοῖς εὐεργετηθεῖσι παρ' αὐτῶν, μὴ ἀντιποιήσασι δὲ μηδὲ
τὰ ἴσα ἀποδοῦσι. καὶ τοῖς εὐεργετηθεῖσι μέν, μὴ μόνον δὲ ἀντευεργετή-
σασιν ἀλλὰ καὶ τἀναντία αὐτοῖς ποιήσασιν ἤτοι βλάψασι, καὶ ταῦτα, εἰ
καὶ ἥττους εἰσὶν οἱ λυπήσαντες· [b 9] καὶ οἱ μὲν ἤτοι οἱ μὴ τιμή- 5
20 σαντες, οὓς εἰώθασι τιμᾶν, ὡς ἔθος εἶχον, καταφρονοῦσι τῶν πρότερον
τιμωμένων καὶ ἡττόνων γενομένων, οἱ δὲ ἤτοι ⟨οἱ⟩ μὴ μόνον ἀντευεργε-
τήσαντες ἀλλὰ καὶ μᾶλλον βλάψαντες καταφρονοῦσι τῶν εὐεργετησάντων,
ὡς παρ' ἡττόνων δοκοῦντες εὐεργετηθῆναι. [b 10] ὀργίζονται μᾶλλον
καὶ τοῖς ἐν μηδενὶ λόγῳ οὖσιν ἤτοι τοῖς χυδαίοις, ἄν τι ὀλιγω-
25 ρήσωσι καὶ καταφρονήσωσιν αὐτῶν. [b 11] ὑπόκειται δὲ ἡ ὀργὴ 10
τῆς καταφρονήσεως ἤτοι τὸ ὀργίζεσθαι πρὸς τοὺς προσήκοντας· προσ-
ῆκον γὰρ ὀργισθῆναι, εἴ γε οἱ ἥττους αὐτῶν καταφρονοῦσι. [b 13] τοῖς
δὲ φίλοις ὀργίζονται, ἐάν τε μὴ λέγωσιν εὖ ἤτοι ἐπαινῶσιν, ἀλλὰ καὶ
μᾶλλον τἀναντία ἤτοι ψέγουσι. καὶ ἐὰν φίλον ἔχω τὸν Σωκράτην, δέομαι
30 δὲ βιβλίου, οὗ ἔχει οὗτος, καὶ οὐκ αἰσθάνεται οὗτος, ὅτι δέομαι τοῦδε τοῦ
βιβλίου, ὀργίζομαι κατ' αὐτοῦ, [b 15] ὥσπερ ὁ Πλήξιππος ἐλυπήθη κατὰ 15
τοῦ Μελεάγρου, ὅτι ἀνεψιὸς ὢν αὐτοῦ ὁ Μελέαγρος οὐκ ἠσθάνθη, ὅτι θέλει
τοῦ Καλυδωνίου χοίρου τὸ δέρμα καὶ τὴν κεφαλήν, ὃν ἐφόνευσεν ὁ Μελέ-
αγρος· δέδωκε δὲ ταύτην ὁ Μελέαγρος τῇ ἐρωμένῃ αὐτοῦ τῇ Ἀταλάντῃ·
35 ἔδει γοῦν τὸν Πλήξιππον διὰ τοῦτο ὀργισθῆναι. [b 16] οὐ λανθάνειν

τ

2 ἃ Vn Arist. vulg.: ὧν Arist. A 4 δοκοῦν V: δοκοῦνται n 6. 7 καταφρονη-σάντων scripsi: φρονησάντων Vn 7 ὑποπτεύουσι scripsi (cf. Arist. ὑποπτεύσωσι): ἐποπτεύουσι Vn 9 δὲ Vn Arist. vulg.: γὰρ Arist. ATr. 10 fort. ἀκριβῶς (σφόδρα Arist.) 15 ὠήθησαν V: εἰώθασιν ὁμιθησαν n ἔδει Vn Arist. C: om. Arist. cet. 21 οἱ addidi 24. 25 ὀλιγωρῶσι Arist. 25 δὲ Vn: γὰρ Arist. 26 προσήκοντας Vn Arist. vulg.: μὴ προσήκοντας Arist. ATr. 28 τε V Arist.: τι n εὖ λέγωσιν Arist. ἤτοι n: εἴ τι V 29 μᾶλλον ἐὰν τἀναντία Arist. 35 ὧν γὰρ φροντίζομεν, οὐ λανθάνει Arist.

ἤτοι οὐ χρὴ λανθάνειν, ὧν φροντίζομεν. ὀργιζόμεθα καὶ κατὰ τῶν f. 31r
ἐπιχαιρόντων ταῖς ἡμῶν ἀκοαῖς. [b 19] ὀργιζόμεθα καὶ κατὰ τῶν μὴ 20
φροντιζόντων, εἴ γε λυπήσουσιν. ὀργιζόμεθα καὶ κατὰ τῶν κακὰ λεγόντων
καθ' ἡμῶν ὡς μὴ φροντιζόντων λυπῆσαι. [b 21] ὀργιζόμεθα καὶ κατὰ
5 τῶν ἀκουόντων, ὅπως τινὲς ἡμᾶς ὑβρίζουσι, καὶ κατὰ τῶν θεωμένων τὰ
φαῦλα ἡμῶν, οἷον εἴ τις δαίρει ἡμᾶς καὶ ἵσταναί τινες καὶ ὁρῶσι καὶ ἢ οὐκ
ἐπαρήγουσιν ἢ οὐκ ἀλγοῦσιν· οἱ γὰρ φίλοι συναλγοῦσι, πάντες δὲ οἱ βλέ-
ποντες τὰ ἴδια κακά, οἷον ὅτι κολάζονται καὶ δαίρονται, ἀλγοῦσιν. [b 24] ἔτι 25
τοῖς ὀλιγωροῦσιν ὀργίζονται οἱ ἄνθρωποι διὰ πέντε τινά. ἓν μέν, εἴ τις
10 αὐτῶν καταφρονεῖ ἐν τοῖς ἀνθρώποις, ἐν οἷς φιλοτιμοῦνται καὶ ἐπιδείκνυν-
ται εἴτε ὡς σοφοὶ εἴτε ὡς ἀνδρεῖοι. [b 26] δεύτερον, εἴ τις καταφρονεῖται
ἔμπροσθεν τῶν αἰσχυνομένων καὶ ἐντρεπομένων αὐτούς. καὶ εἴ τις κατα-
φρονεῖ αὐτῶν εἰς τοιαῦτα, οἷον εἰς γονεῖς, εἰς τέκνα, οἷς μὴ βοηθεῖν
αἰσχρὸν ἔσται. ὀργίζονται καὶ κατὰ τῶν εὐεργετηθέντων, μὴ ἀποδόντων 30
15 δὲ τὴν ἀντίχαριν· [b 30] καὶ γὰρ ἡ ὀλιγωρία καὶ ἡ καταφρόνησις, καθ'
ἣν οὐκ ἀντευεργέτησε, παρὰ τὸ προσῆκόν ἐστιν. ὀργιζόμεθα καὶ τοῖς
εἰρωνευομένοις πρὸς τοὺς σπουδάζοντας ἤτοι τοῖς σπουδάζουσι
δεικνύειν ἑαυτοὺς σοφοὺς πρὸς τοὺς σπουδάζοντας ἤτοι πρὸς σοφούς. καὶ
τοῖς σπουδάζουσιν ἄλλους μὲν εὐεργετεῖν, μὴ καὶ ἡμᾶς δέ. [b 34] οἷον
20 καὶ ἡ τῶν ὀνομάτων οὕτως οὖσα παρὰ μικρόν, οἷον εἴ τις μέλλων 35
καλέσαι τὸν δεῖνα ὡς 'δεῦρο, ὦ Θεόδωρε' οἷον ἐπιλαθόμενος τοῦ ὀνόματος
εἴπῃ 'δεῦρο, Δωρόθεε'. [1380a2] δῆλον δέ, ὡς δεῖ αὐτὸν τὸν
λέγοντα κατασκευάζειν τοὺς ἀκροατὰς τοιούτους, οἷοί εἰσιν οἱ ὀργιζό-
μενοι, καὶ τοὺς ἐναντίους ἤτοι τοὺς ἀντιδίκους ποιεῖν τοιούτους ἤτοι
25 ἐνόχους τοιούτοις ἐγκλήμασιν, ἐφ' οἷς ὀργίζονται οἱ ἀκροαταὶ κατὰ τῶν
ποιησάντων.

3. Ἔστω δὴ πράυνσις κατάστασις καὶ ἠρέμησις τῆς ὀργῆς.
[a 9] φανερὸν δέ, ὅτι καὶ τοῖς μηδὲν τούτων ποιοῦσι τῶν παρα-
κινούντων τινὰ εἰς ὀργὴν ἢ ποιήσασι μὲν ἀκουσίως δὲ ἢ φαινομένοις 40
30 καὶ δοκοῦσιν ἀκουσίως ποιῆσαι πρᾶοί εἰσι. πρᾶοι φαινόμεθα καὶ τοῖς
βουλομένοις τἀναντία ὧν ἐποίησαν, οἷον εἴ τις ἐποίησέ τι εἰς κατα-
φρόνησιν ἐμὴν καὶ ταῦτα δοκῶν μὴ διὰ καταφρόνησιν τοῦτο ποιῆσαι
ἀλλὰ διὰ δόξαν ἐμήν. [a 12] ὅσοι καὶ αὐτοὶ ἑαυτῶν καταφρονοῦσι f. 31v
καὶ πρὸς ἑαυτοὺς τοιοῦτοί εἰσιν ἤτοι ἑαυτῶν ἀμελοῦσι. [a 15] παύον-

---

2 ἀκοαῖς Vn: ἀτυχίαις Arist. 5 τινὲς om. n ὑμᾶς n 10 καταφρονεῖ αὐτῶν n
13 οἷον εἰς n: οἷον εἰ V 13. 14 αἰσχρὸν μὴ βοηθεῖν (AC; βοηθοῦσιν cet.) Arist.
16 ἐστι n 17 τοὺς Vn Arist. vulg.: om. Arist. A 20 ἡ Vn Arist. A: om.
Arist. vulg. λήθη post ὀνομάτων add. n οὕτως Vn Arist. A: om. Arist. vulg.
παρὰ Vn Arist. BQ et ex corr. A: περὶ Arist. cet. 21 τοὐνόματος n 22 ὡς Vn
Arist. vulg.: ὅτι Arist. A δέοι ἂν αὐτὸν Arist. vulg: αὐτὸν om. Arist. A
23 τοιούτους om. n 24. 25 τοὺς ἐναντίους τούτοις ἐνόχους ὄντας, ἐφ' οἷς ὀργίζονται,
καὶ τοιούτους, οἷοις ὀργίζονται Arist. 27 ὀργῆς, ὀρ evan., V 29 φαινομένοις n
Arist.: φαινομένως V 31 βουλομένοις post ἐποίησαν Arist. 33 καὶ ὅσοι καὶ
Arist. αὐτοὶ scripsi ex Arist. A: ἑαυτοὶ Vn: om. Arist. vulg.

ται γὰρ τῆς ὀργῆς ὥσπερ ἔχοντες δίκην καὶ ἐκδίκησιν τοῦτο τὸ f. 31v
μεταμέλεσθαι, ἐφ' οἷς ἔδρασαν. [a 25] πραεῖς ἐσμεν καὶ τοῖς σπουδάζουσι καὶ ἀξίους τιμῆς καὶ σπουδῆς ἑαυτοὺς νομίζουσι πρὸς τοὺς σπουδάζοντας καὶ ἡγουμένους ἑαυτοὺς τιμῆς ἀξίους· δοκεῖ γὰρ σπουδάζεσθαι καὶ σπουδῆς ἄξιος νομίζεσθαι, ἀλλ' οὐ καταφρονεῖσθαι. 5
[a 27] πραεῖς φαινόμεθα καὶ τοῖς κεχαρισμένοις καὶ τὴν ἀντίχαριν μείζω ἐπιδειξαμένοις. καὶ τοῖς δεομένοις καὶ παραιτουμένοις ἤτοι παρακαλοῦσιν. [a 30] ἢ εἰς μὴ χρηστοὺς ἤτοι εἰς ἀπαιδεύτους. πραεῖς ἐσμεν καὶ τοῖς, οὓς φοβούμεθα ἢ αἰσχυνόμεθα· ἕως γὰρ οὕτως ἔχουσιν ἤτοι φοβοῦνται ἢ αἰσχύνονταί τινας, οὐκ ὀργίζονται κατ' αὐτῶν.
[a 34] καὶ τοῖς ἐξεστηκόσι τὸν λογισμὸν ἐκ τῆς ὀργῆς καὶ διὰ τοῦτο ὑβρίσασιν ἡμᾶς πραεῖς φαινόμεθα ἢ ἧττον ὀργιζόμεθα· οὐ γὰρ ὡς καταφρονῶν ἔπραξεν εἰς ἡμᾶς τι, ἀλλ' ὑπ' ὀργῆς παρακινηθείς· [a 36] ἡ μὲν γὰρ ὀλιγωρία ἄλυπον, ἤτοι οὐ προηγησαμένης λύπης, ἤτοι 'οὐ διότι με ἐλύπησεν ὁ Σωκράτης, διὰ τοῦτο ὠλιγώρησα αὐτοῦ, ἀλλὰ διὰ τὸ μηδὲν ἡγεῖσθαι αὐτόν', ἡ δὲ ὀργὴ μετὰ λύπης ἐστίν· οὕτως γὰρ ὀργίζεταί τις κατὰ τοῦ Σωκράτους, διότι ἔφθασεν αὐτὸν λυπῆσαι. [b 1] πραεῖς ἐσμεν καὶ τοῖς αἰσχυνομένοις ἡμᾶς. ἀλλὰ καὶ οἱ παίζοντες ἢ ἐν ἑορτῇ ὄντες ἅτε ἐναντίως διακείμενοι τῷ ὀργίζεσθαι πρᾶοί εἰσιν. [b 4] ἐν πληρώσει, ἤτοι ὅτε κεκορεσμένοι ἐσμέν. καὶ ἡδονῇ μὴ ὑβριστικῇ, οἷα ἐστὶν ἡ τῶν κιναίδων. [b 5] ἔτι δὲ πρᾶοί ἐσμεν κεχρονικότες ἤτοι πολλοῦ χρόνου παραρρεύσαντος, ἀφ' ὅτου παρεκινήθημεν παρά τινος εἰς ὀργήν, καὶ μὴ οὔσης τῆς ὀργῆς ὑπογύου ἤτοι προσφάτου. ἀλλὰ καὶ εἰ ὀργίζομαι κατὰ τοῦ Σωκράτους, φθάσω δὲ τιμωρῆσαι τὸν Πλάτωνα ὡς λυπήσαντα, ἡ πρὸς τὸν Πλάτωνα τιμωρία πραότερόν με ἐποίησε πρὸς τὸν Σωκράτην. [b 12] ὁ Ἐργόφιλος προδότης γέγονε τοῦ στρατοῦ τῶν Ἀθηναίων· μᾶλλον γὰρ ὀργιζόμενοι κατ' αὐτοῦ παρ' ὃ κατὰ τοῦ Καλλισθένους, ἐπεὶ ἔφθασαν τὸν Καλλισθένην τιμωρῆσαι καὶ ἐθανάτωσαν, ἀφῆκαν τὸν Ἐργόφιλον. [b 14] καὶ ἐὰν ἕλωσι καὶ ὑποτάξωσι τὸν λυπήσαντα καὶ ὑποχείριον ἑαυτῶν ποιήσωσιν, οὐκέτι ὀργίζονται κατ' αὐτοῦ. καὶ εἴ τίς με ἐλύπησε καὶ διὰ τοῦτο κατ' αὐτοῦ ὀργίζομαι, ἔφθασε δὲ οὗτος κολασθῆναι παρά τινος μειζόνως, παρ' ὃ εἰ αὐτὸς καὶ ἐγὼ ἐκόλασα ἂν αὐτὸν ὡς λυπήσαντα καὶ ἔδρασα κακόν τι ὡς ὀργιζόμενος. παύομαι τοῦ ἔτι πρὸς αὐτὸν ὀργίζεσθαι. καὶ εἰ ὁμολογοῦσι καὶ ἐκεῖνοι οἱ πταίσαντες ἀδικεῖν, πραϋνόμεθα. [b 18] ἡ δὲ ὀργὴ τοῦτό ἐστι τὸ ὁμολογεῖν τινα πάσχειν παρὰ τὸ προσῆκον. ὅτῳ δεῖ καὶ τῷ λόγῳ πρότερον κολάζειν καὶ δεικνύειν αὐτοὺς δικαίως κολασθησομένους·

---

1 ἔχοντες ex Aristotele scripsi: ἔχονται Vn 2 ἐφ' V: ἀφ' n 8 εἰς μὴ Vn Arist. AC: μὴ εἰς Arist. cet. 9 οὓς V: οἷς n γὰρ Vn: ἂν Arist. A: γὰρ ἂν Arist. vulg. 10 ἔχωσιν Arist. 14 ἄλυπον V Arist. A: ἄλυπος n Arist. vulg. 16 οὕτως V: οὔπω n 18 ἢ scripsi: evanuit V: καὶ n 22 ἀφ' ὅτου V: ἀφόδου n 26 στρα V: στρατηγοῦ n 29 καὶ (ante ἐὰν) evanuit V 29 ἕλωσι Vn Arist. vulg. (et A man. rec.): ἑλεῶσι Arist. A man. 1 32 μείζονος n εἰ om. n 36. 37 δεῖ τῷ λόγῳ Arist. A: τῷ λόγῳ δεῖ Arist. vulg.

οὕτω γὰρ καὶ οἱ δοῦλοι νοήσαντες, ὅτι δικαίως πάσχουσιν, ἧττον ἤτοι f. 31v
ἔλαττον ἀγανακτοῦσιν, εἰ κολάζονται. [b 20] καὶ εἰ ἔμελλον τιμωρῆ-
σαί τινα λυπήσαντά με πρότερον, οἴομαι δὲ αὐτὸν μὴ αἰσθέσθαι καὶ νοῆσαι, 30
ὅτι ἐτιμωρήθη δι' αὐτὸν ἤτοι δι' ἐμὲ καὶ ἀνθ' ὧν ἔπαθον παρ' αὐτοῦ,
5 οὐκ ὀργίζομαι· ὁ γὰρ ὀργιζόμενος οὐκ ὀργίζεται τῷ καθ' ὅλου ἀνθρώπῳ
ἀλλὰ τῷ μερικῷ. [b 22] διὸ ὀρθῶς πεποίηται ἤτοι ποιητικῶς ὁ
Ὅμηρος εἴρηκε 'φάσθαι τὸν Ὀδυσσέα' πρὸς τὸν Κύκλωπα, ὅτι 'ἐγώ εἰμι
ὁ τυφλώσας σε'· οὐ γὰρ ὁ Κύκλωψ ἐλυπήθη καὶ ὠργίσθη καὶ ἔδοξε τιμωρη-
θῆναι, εἰ μὴ ᾔσθετο καὶ ἔμαθεν, ὑφ' οὗ ἤτοι ὑπὸ τοῦ Ὀδυσσέως ἐτι- 35
10 μωρήθη, καὶ ἀνθ' ὅτου, ἤτοι διότι ἔφαγε τοὺς φίλους αὐτοῦ. [b 24]
ὥστε οὔτε ὀργιζόμεθα, ὅσοι μὴ αἰσθάνονται, ἤτοι κατὰ τῶν ἀναι-
σθήτων, οὔτε κατὰ τῶν τεθνεώτων ὡς πεπονθότων τὸ ἔσχατον ἤτοι τὸ
ἀποθανεῖν. [b 30] ἐκ τούτων οὖν τῶν τόπων ἤτοι ἐπιχειρημάτων δεῖ
σε ἐπιχειρεῖν, ὥστε δύνασαι καταπραΰνειν τοὺς ὀργιζομένους· αὐτοὺς
15 μὲν τοὺς δικαστὰς ὀργιζομένους δεῖ παρασκευάζειν τοιούτους ἤτοι πρα-
εῖς, τοὺς δὲ ἀνθρώπους, καθ' ὧν ὀργίζονται, δεικνύειν φοβεροὺς καὶ
ἐνδόξους καὶ διὰ τοῦτο μὴ δύνασθαι βλάψαι αὐτοὺς ἀλλὰ μᾶλλον ἐλπίζειν
βλαβῆναι παρ' αὐτῶν ἢ δεικνύειν αὐτούς, καθ' ὧν ὀργίζονται, αἰσχύνης 40
ἀξίους ἤτοι τιμῆς ἢ μηδενὸς ἀξίους ἢ κεχαρισμένους ἤτοι χαρίεντας
20 καὶ ἀστείους ἢ ἄκοντας ποιήσαντας ἐκεῖνο, ὃ τούτους ἐλύπησεν, ἢ συνιέν-
τας τὸ οἰκεῖον παῖσμα μεταμελομένους καὶ ὑπεραλγοῦντας ἐφ' οἷς
ἔπταισαν.

4. Τίνας δὲ φιλοῦσι καὶ μισοῦσιν, ἔσται δῆλον, εἴ γε τὴν
φιλίαν καὶ τὸ φιλεῖν ὁρισόμεθα. [b 35] φιλεῖν γοῦν ἐστι τὸ βούλε-
25 σθαί τινι ἤτοι τῷ φίλῳ, ἃ | οἴεται ὅτι εἰσὶν ἀγαθά, οὐχ ἵνα τι κερ- f. 32r
δήσῃ αὐτὸς ἐκ τοῦ παθεῖν τὸν φίλον ἀγαθόν τι, ἀλλὰ χάριν ἐκείνου τοῦ
φίλου, καὶ τὸ κατὰ δύναμιν ἤτοι ὅσον δύναται πρακτικὸν εἶναι τού-
των τῶν ἀγαθῶν. [1381a 2] οἴονται δὲ φίλοι εἶναι οἱ οἰόμενοι
οὕτως ἔχειν πρὸς ἀλλήλους, ὡς καὶ φιλεῖν καὶ ἀντιφιλεῖσθαι τὸν
30 συνηδόμενον τοῖς ἀγαθοῖς τῶν φίλων καὶ συναλγοῦντα πάλιν
τοῖς λυπηροῖς αὐτῶν μὴ δι' ἕτερόν τι ἀλλὰ δι' ἐκεῖνον τὸν 5
φίλον. [a 6] γινομένων γάρ, ὧν βούλονται· τοῦτο κατασκευ-
αστικόν ἐστι τοῦ πῶς τοῖς τῶν φίλων ἀγαθοῖς συνήδονται. καί φησιν
ὅτι 'ἐπεί, ὅταν γένηται ὃ βούλομαι, χαίρω, βούλομαι δὲ τὰ ἀγαθὰ
35 τῷ φίλῳ, διὰ τοῦτο καὶ τῶν ἀγαθῶν ἐπιγενομένων τῷ φίλῳ χαίρω,
ὥσπερ πάλιν λυποῦμαι, εἰ μὴ ταῦτα αὐτῷ γένωνται, ἀλλὰ λυπηρά'.
[a 8] εἰσὶ φίλοι καὶ οἷς ἀγαθά εἰσι ταὐτά. καὶ εἰ τὰ αὐτὰ κακὰ

---

4 δι' (ante ἐμὲ) om. n 6 διὸ V Arist.: διότι n 7 φάσθαι Ὀδυσσῆα Hom. ι 504 σφάσθαι n τὸν om. Arist., Hom. Ὀδυσσῆα Arist., Hom. 9 οὗ Vn Arist. vulg.: ὅτου Arist. A 14 δεικνύειν ante ἐπιχειρεῖν linea del. V καταπραΰνειν Vn Arist. AC: πραΰνειν Arist. cet. 16 δεικνύειν — ὀργίζονται (18) om. n 19 ἤ^τ τιμ (tum littera evanuit) ἢ V: ἤτοι ἢ n 25. 26 κερδήσει n 28. 29 οὕτως ἔχειν οἰόμενοι Arist. 31 διά τι ἕτερον Arist. 32 τοῦτο V: οὗ τὸ n

ἔχουσι, καὶ οὗτοι φίλοι εἰσί. καὶ οἱ τοὺς αὐτοὺς φίλους ἔχοντες ἢ τοὺς f. 32r
αὐτοὺς ἐχθροὺς φίλοι εἰσίν. ἀνάγκη γὰρ τούτους τοὺς φίλους βούλε- 11
σθαι τὰ αὐτά, ἤτοι ἢ τοὺς αὐτοὺς φίλους ἔχειν ἢ τοὺς αὐτοὺς ἐχθρούς.
[a 11] ἀλλὰ καὶ οὗτός μου φίλος ἐστίν, ὅστις πεποίηκε καὶ εὐηργέτησεν
5 ἢ αὐτὸν καὶ ἐμὲ ἢ συγγενῆ μου, οὗ κήδομαι, ἢ εἰ μεγάλα με εὐηργέ-
τησεν ἢ εἰ προθύμως ἢ ἐν τοιούτῳ καιρῷ, ἤτοι ἐν λιμῷ ἢ ἐν πολέμῳ
ἢ ὅτε παρὰ βασιλέως ὠργισμένος ἦν. καὶ εἰ εὐηργετήθην ἕνεκα αὐτῶν 15
τῶν φίλων, φίλος μοί ἐστι. [a 14] καὶ ὃν † βούλεσθαι ποιεῖν εὖ ἡμᾶς
ἤτοι εὐεργετεῖν. [a 18] πᾶσι γὰρ τούτοις ἤτοι τοῖς μισοῦσιν, οὓς
10 μισοῦμεν, καὶ τοῖς φιλοῦσιν, οὓς φιλοῦμεν, φαίνονται ταὐτὰ ἀγαθὰ
ὑπάρχειν καὶ ἑαυτοῖς ἤτοι ἡμῖν· ὥστε συμβαίνει καὶ ἐκείνους τοὺς
φιλοῦντας τοὺς αὐτοὺς ἢ μισοῦντας εὐεργετεῖν. [a 20] εἰς χρήματα
καὶ σωτηρίαν. τοὺς μὲν ἐλευθερίους φιλοῦμεν ὡς δυναμένους εἰς
χρήματα εὐεργετεῖν, τοὺς δὲ ἀνδρείους φιλοῦμεν ὡς δυναμένους εὐεργε- 20
15 τεῖν εἰς σωτηρίαν, καὶ τοὺς δικαίους φιλοῦμεν διὰ τὸ δύνασθαι τὴν
ἀρετὴν αὐτῶν καὶ εἰς ἄλλους ἐμβιβάζεσθαι. [a 22] τοιούτους δὲ
ὑπολαμβάνουσι δικαίους τοὺς μὴ ἀφ' ἑτέρων ζῶντας ἤτοι τοὺς
γεωργούς· τοιοῦτοι δέ εἰσι μὴ ἀφ' ἑτέρων ζῶντες οἱ ἀπὸ τοῦ ἐργά-
ζεσθαι ζῶντες, καὶ ἀπὸ τῶν ἄλλων οἱ αὐτουργοὶ ἤτοι μετὰ χειρῶν
20 ἐργαζόμενοι. [a 24] φιλοῦμεν καὶ τοὺς σώφρονας· οὐδὲ γὰρ ἄδικοι
ἤτοι οὐκ ἐπιβουλεύουσι ταῖς ἀλλοτρίαις γυναιξί. καὶ τοὺς ἀπράγμονας 25
φιλοῦμεν διὰ ταὐτό, ἤτοι οὔκ εἰσιν ἄδικοι. φιλοῦμεν καὶ οὓς βουλό-
μεθα φίλους ἔχειν, εἴ γε καὶ οὗτοι βούλονται φίλους ἔχειν ἡμᾶς. [a 28]
ἢ οἱ εὐδοκιμοῦντες ἐν τοῖς θαυμαζομένοις ὑπ' αὐτῶν, ἤτοι εἰ τὴν
25 γεωμετρίαν θαυμάζω, εὕρω δέ τινα εὐδοκιμοῦντα ἐπὶ ταύτῃ, βούλομαι
τοῦτον φίλον ἔχειν, ἢ εἰ θαυμάζομαι ἐν ἐπιτηδεύματι ἤτοι ἐν γεωμετρίᾳ,
ἴδω δέ τινα εὐδοκιμοῦντα ἐν ταύτῃ, φιλῶ αὐτόν. [a 29] ἔτι φίλους
ἔχομεν καὶ τοὺς ἡδεῖς εἰς τὸ συνδιάγειν καὶ συνομιλεῖν καὶ συνδιημερεύ- 30
ειν· τοιοῦτοι δέ εἰσιν ἡδεῖς εἰς τὸ συνδιάγειν οἱ εὔκολοι ἤτοι οἱ ἀγαθοὶ
30 καὶ μὴ ἐλεγκτικοὶ τῶν ἁμαρτανομένων ἤτοι καὶ μὴ ἐλέγχοντες τοὺς
φίλους, εἴ γε κατά τι ἁμάρτωσιν, ἀλλὰ παρορώμενοι τοῦτο καὶ μὴ φιλό-
νεικοι. [a 32] πάντες γὰρ οἱ τοιοῦτοι μαχητικοί, οἱ δὲ μαχό-
μενοι τἀναντία βούλονται, οἱ δὲ μαχόμενοι πρὸς τοὺς φιλοῦντας τἀναν-
τία τοῖς φίλοις βούλονται, οἱ δὲ τἀναντία τοῖς φίλοις βουλόμενοι οὐ φίλοι

---

2. 3 ταὐτὰ γὰρ τούτοις βούλεσθαι ἀνάγκη Arist. 4 fort. ⟨εὖ⟩ πεποίηκε (cf. Arist.) 5 καὶ ἐμὲ om. n 6 ἢ (post προθύμως) Vn Arist. CE: ἢ εἰ Arist. cet. 7 εὐηργετήθη n 8 βούλεσθαι V: βουλόμεθα n: fort. ⟨οἰόμεθα⟩ βούλεσθαι, cf. Arist. ἢ οὓς ἂν οἴωνται βούλεσθαι ποιεῖν n 9 οὓς V: οἷς n 10 τὰ αὐτὰ Arist. 13 καὶ Vn Arist. vulg.: καὶ εἰς Arist. A ἐλευθέρους n 17 ἑτέρου Arist. DEQZb: ἑτέρων Arist. cet. 19 ἀπὸ om. Arist. fort. ἤτοι ⟨οἱ⟩ 22 ταὐτό Vn: τὸ αὐτὸ Arist. vulg.: ταῦτα Arist. A 24 ὑπ' αὐτῶν Vn Arist. vulg.: ὑφ' αὐτῶν Arist. A 28 συνδιάγειν Vn Arist. vulg.: συνδιαγαγεῖν Arist. A 29 εἰσι n 33 ἤτοι post βούλονται add. n

αὐτῶν. [a 33] καὶ οἱ ἐπιδέξιοι καὶ εἰς τὸ παῖσαι καὶ εἰς τὸ δύνασθαι f. 32r
ὑπομεῖναι, εἴ τις αὐτὸν ἀντιπαίσῃ ἢ ὑβρίσει, ἤτοι ὁ ὑβρίζων καὶ ὑβρι- 36
ζόμενος ἀνεχόμενος· καὶ γὰρ ἀμφότεροι, οἱ τωθάζοντες καὶ τωθαζόμενοι
ἀνεχόμενοι, σπεύδουσιν ἐπὶ ταὐτὰ τῷ πλησίον ἤτοι τῷ φίλῳ ἤτοι ὁμονοεῖν
5 τοῖς φίλοις σπεύδουσι. καὶ ἐμμελῶς ἤτοι ἐπιτηδείως σκώπτοντες.
[a 36] ἔχομεν φίλους καὶ τοὺς ἐπαινοῦντας τὰ ἐνόντα ἡμῖν ἀγαθά,
καὶ ἀπὸ τῶν ἀγαθῶν εἰ ἐπαινοῦσιν ἐκεῖνα τὰ ὑπάρχοντα ἡμῖν ἀγαθά, ἃ 40
ὑποκρινόμεθα καὶ δοκοῦμεν ἔχειν, φοβούμεθα δὲ μὴ ἔχειν αὐτά· οἷον εἰ
ῥήτωρ εἶναι δοκῶ καὶ ταῦτα μὴ ὤν, φοβοῦμαι μή πως ἀπελεγχθῶ μὴ ὢν
10 ῥήτωρ, καὶ διὰ τοῦτο, εἴ τίς με ἐπαινεῖ ὡς ὄντα ῥήτορα, φιλῶ αὐτὸν ὡς
ἐπιβεβαιοῦντα, ὃ δοκῶ μὲν ἔχειν, φοβοῦμαι δέ, μή πως ἀπολέσω αὐτὸ καὶ
μὴ ἔχειν ἀπελεγχθῶ. [b 1] φιλοῦμεν καὶ τοὺς καθα|ρίους περὶ f. 32v
ὄψιν ἤτοι τοὺς εὐειδεῖς καὶ μὴ θέλοντας ῥυπαροὺς περιπατεῖν· καὶ τοὺς
καθαροὺς περὶ ἀμπεχόνας ἤτοι ἱμάτια ἤτοι τοὺς μὴ ῥυπαρὰ ἐνδεδυμένους
15 ἱμάτια· καὶ τοὺς μὴ ὀνειδιστὰς τῶν ἁμαρτημάτων, ἤτοι ὅτι † ἔπταισάς
με τὸ μήποτε ὀνειδίζοντας, ὅτι εὐηργέτησά σέ ποτε. [b 5] οἵους γὰρ ὑπο-
λάβωσιν εἶναι, ἤτοι εἰ γὰρ πρὸς τοὺς ἄλλους πταίσαντάς εἰσιν εὐδιάλλακτοι, 5
λοιπὸν καὶ πρὸς ἡμᾶς αὐτοὺς τοιοῦτοι ἔσονται, εἴ γέ τι πταίσομεν. [b 7] καὶ
μὴ εἰδότας μήτε τὰ κακὰ τῶν πλησίον ἤτοι τῶν φίλων μήτε τὰ
20 αὐτῶν ἤτοι τὰ οἰκεῖα· ὁ γὰρ ἀγαθὸς ταῦτα μόνα ὁρᾷ τὰ ἀγαθά. φιλοῦμεν
καὶ τοὺς μὴ ἀντιτείνοντας τοῖς σπουδάζουσιν, ἤτοι εἰ σπουδάζω ὡς
ῥήτωρ ἐπιδείκνυσθαι, φιλῶ τὸν μὴ ἀντιπίπτοντά μοι, πρὸς ὃ σπουδάζω.
[b 10] καὶ τοὺς πρὸς αὐτοὺς ὡσαύτως ἔχοντας ἤτοι φιλῶ καὶ τοὺς 10
ἔχοντας πρὸς ἐμὲ οὕτως, ὡς ἐγὼ πρὸς αὐτοὺς ἔχω, ἤτοι οἵαν διάθεσιν
25 ἔχω πρὸς αὐτούς, εἰ ἔχουσι καὶ αὐτοὶ τὴν αὐτὴν πρὸς ἐμέ. [b 13] φιλοῦ-
μεν καὶ τοὺς πεπονθότας τὰ αὐτὰ ἡμῖν, περὶ ἃ βουλόμεθα θαυμά-
ζεσθαι, οἷον εἰ βουλόμενος θαυμάζεσθαι ἐπὶ γεωμετρίᾳ ἐξωδίασα πολλὰ
καὶ ἐκοπίασα, ἴδω δέ τινα ἐξοδιάσαντα πολλὰ καὶ κοπιάσαντα ἐπὶ τῇ
ταύτης κτήσει, φιλῶ τοῦτον. [b 14] ἢ σπουδαίους δοκεῖν ἤτοι ἐναρέτους.
30 καὶ τοὺς τὰ αὐτὰ ἐπιτηδεύοντας, οἷον εἴ τίς ἐστι γεωμέτρης, εἰμὶ 15
δὲ καὶ αὐτός, φιλῶ αὐτόν, εἰ μή που παρενοχλεῖ μοι, οἷον εἰ ὁ βίος καὶ
τὸ ζῆν μοί ἐστιν ὁμοίως δὲ καὶ ἐκείνῳ ἀπὸ τοῦ αὐτοῦ ἔργου ἤτοι ἀπὸ
τοῦ διδάσκειν τὴν γεωμετρίαν καὶ ἐκ τοῦ διδομένου μοι μισθοῦ πορίζομαι

---

1 καὶ τῶι παῖσαι Arist. AEYbB man. rec.: καὶ τωθάσαι Arist. cet. 2 ὑβρίσῃ n
3 ἀνεχόμενοι n ταὐτὰ V Arist. vulg.: ταὐτὸ Arist. A: ταῦτα n 12 τοὺς
evanuit V 14 ἀμπεχόνας n: ἀμπεχόν V: ἀμπεχόνην Arist. 15 μήτε τῶν ἁμαρ-
τημάτων μήτε τῶν εὐεργετημάτων Arist. 16 τὸ V: τὸν n ὀνειδίζοντας V:
ὀνειδίζοντά σοι n γὰρ ἂν Arist. 16. 17 ὑπολάβωσιν Vn Arist. vulg.: ὑπολαμβάνωσιν
Arist. A 17 εἶναι πρὸς τοὺς ἄλλους, καὶ πρὸς αὐτοὺς οἴονται Arist. πταίσαντές n
19 τὰ om. n μήτε τὰ τῶν πλησίον κακὰ Arist. 21 τοῖς ὀργιζομένοις ἢ τοῖς (vulg.;
τοῖς om. A) σπουδάζουσιν Arist. 23 ὡσαύτως Vn Arist. vulg.: σπουδαίως πως Arist. A
26 καὶ om. n 29 σπουδαίους n: σπου V: σπουδαῖοι Arist. 30 τοὺς ὁμοίους καὶ
ταὐτὰ Arist. 32 τὸ om. n ταὐτοῦ Arist.

τὰ πρὸς τὸ ζῆν ἀναγκαιότατα, παρενοχλεῖ μοι οὗτος σπουδάζων τοὺς ἐμοὺς f. 32v
μαθητὰς ἀποσυλᾶν, τότε μισῶ αὐτόν· εἰ δὲ ἀμφότεροι ἦμεν ἀνενδεεῖς, ἢ
θάτερος μέν ἐστιν ἀνενδεὴς θέλων δὲ μόνον ἐπὶ τῇ γεωμετρίᾳ σπουδάζειν, 20
θάτερος δὲ ἀποζῇ ἀπὸ τοῦ διδάσκειν ταύτην, οὐδὲν τὸ κωλύον φίλον ἔχειν
5 αὐτόν· εἰ γὰρ ἀπὸ τοῦ αὐτοῦ ἔργου ὁ βίος ἐστί, γίνεταί μοι τότε φθόνος·
τοῦτο γὰρ δηλοῖ τὸ [b 16] 'κεραμεὺς ⟨κεραμεῖ⟩'. καὶ τοὺς ἐπιθυ-
μοῦντας τῶν αὐτῶν, ὧν ἐνδέχεται ἅμα μετέχειν· οἷον εἰ δύο τινὲς
ἐπιθυμοῦσι μητροπολῖται γενέσθαι. εἰκὸς ἅμα καὶ τοὺς δύο γενέσθαι ἐπ'
ἄλλῃ καὶ ἄλλῃ μητροπόλει, καὶ οὗτοι φίλοι ἀλλήλοις εἰσίν· εἰ δὲ μὴ ἤτοι 25
10 εἰ δὲ μὴ δυνατὸν τυχεῖν ἅμα καὶ τοὺς δύο, ὧν ἐφίενται, οἷον ἐπιθυμοῦσί
τινες γενέσθαι ῥήτορες καὶ ῥητορεῖον λαβεῖν, ἅμα μὲν καὶ τοὺς δύο τὸ
ῥητορεῖον λαβεῖν ἀδύνατον, ἀνάγκη δὲ τὸν ἕτερον λαβεῖν τὸ ῥητορεῖον, ἐπεὶ
γοῦν οὐκ ἔστι δυνατὸν καὶ ἀμφοτέρους ἐπιτυχεῖν, οὗ ἐπιθυμοῦσι. [b 18]
καὶ οὕτω συμβαίνει τὸ αὐτό, ἤτοι τὸ 'κεραμεὺς κεραμεῖ κοτέει'
15 ἤτοι φθόνος. φιλοῦμεν καὶ ἐκείνους, πρὸς οὓς οὐκ αἰσχυνόμεθα τὰ πρὸς 30
δόξαν ἤτοι ὥστε ἀδοξῆσαι· οἷον εἰ φιλῶ τινα, οὐκ αἰσχύνομαι ἔμπροσθεν
ἐκείνου ἄτακτόν τι ποιῆσαι, ἵνα μή με ἀδοξήσῃ· οὐκ αἰσχύνομαι δὲ
ἀτακτῆσαι οὐχ ὡς καταφρονῶν αὐτοῦ, ἀλλ' ὡς θαρρῶν ἐν αὐτῷ. [b 20]
καὶ πρὸς οὓς αἰσχύνονται τὰ πρὸς ἀλήθειαν, ἤτοι καὶ τούτους
20 φιλοῦμεν, πρὸς οὓς αἰσχυνόμεθα ψεύδεσθαι. φιλοῦμεν καὶ πρὸς οὓς
φιλοτιμοῦνται ἤτοι ἐπιδείκνυνται. καὶ ἐκείνους φιλοῦμεν, ὑφ' ὧν
βουλόμεθα ζηλοῦσθαι ἤτοι ζηλωτοὶ φαίνεσθαι καὶ μὴ τοὐναντίον 35
φθονεῖσθαι. [b 23] φιλοῦμεν καὶ οἷς συμπράττομεν καὶ συναγωνιζό-
μεθα εἰς τὸ κτήσασθαι τὰ ἀγαθά, οἷον εἰ συναγωνίζομαί τινι εἰς τὸ
25 κτήσασθαι τὴν βασιλείαν, εἰ μή που μέλλομεν μείζω παθεῖν κακὰ ἢ
παρ' αὐτῶν, ὅτε βασιλεύσουσι, ἢ παρ' ἄλλων, εἴ γε νοηθῶμεν, ὡς
συμπράττομεν τῷ τυραννῆσαι μελετῶντι· διὸ φιλοῦμεν καὶ τοὺς φιλοῦντας
τοὺς τεθνεῶτας. [b 27] φιλοῦμεν καὶ τοὺς μὴ ἐγκαταλείποντας ἡμᾶς 40
ἐν καιρῷ πειρασμῶν ἢ ἐν πολέμῳ· καὶ γὰρ ἀπὸ τῶν ἀγαθῶν μάλιστα
30 φιλοῦμεν τοὺς ἀγαθοὺς εἰς τὸ φιλεῖν. φιλοῦμεν καὶ τοὺς μὴ πλαττο-
μένους καὶ κρύπτοντάς τι περὶ αὐτοὺς ἤτοι πρὸς ἡμᾶς ἢ καὶ τοὺς
μὴ πλαττομένους ἤτοι τοὺς ἁπλάστους εἰς ἑαυτούς. [b 30] εἴρηται
γάρ, ὅτι πρὸς τοὺς φίλους οὐκ αἰσχυνόμεθα τὰ πρὸς δόξαν. f. 33r
ἤτοι οὐκ αἰσχυνόμεθα ἀτακτῆσαι, ἵνα μὴ ἀδοξήσωμεν. εἰ οὖν ὁ αἰσχυ-
35 νόμενος εἰπεῖν τὸ ἀληθές, ἵνα μὴ ἀδοξήσῃ, οὐ φίλος, ὁ μὴ αἰσχυνό-

---

1 post ζῆν (fin. folii 86v) unum folium intercidit in V; itaque ad hanc partem (p. 98,1 ἀναγκαιότατα — p. 100,11 ἐπεί) enotavi lectiones codicis Parisini gr. 1869 fort. παρενοχλεῖ ⟨δὲ⟩ σπουδάζειν Paris. 1869 6 τὸ κεραμεὺς Paris. 1869 n Arist. vulg.: καὶ κεραμεὺς Arist. AC κεραμεῖ n Arist.: om. Paris. 1869 6. 7 τῶν αὐτῶν ἐπιθυμοῦντας Arist. 14 ταὐτὸ καὶ οὕτω συμβαίνει Arist. 24 τἀγαθὰ Arist. 25 μέλλωμεν n 26 ὅτε, ο ex ει corr., Paris. 1869 28 ἐγκαταλείποντας Paris. 1869 n Arist. vulg.: ἐγκαταλιπόντας Arist. A 31 περὶ αὐτοὺς Paris. 1869 n: πρὸς ἑαυτούς Aristotelis codices 33 τὰ πρὸς δόξαν οὐκ αἰσχυνόμεθα Arist.

μενος εἰπεῖν τὸ ἀληθὲς φίλος ἐστί. φιλοῦμεν καὶ τοὺς μὴ φοβερούς. f. 33r
[b 34] ἑταιρία ἐστὶν ἡ ἀπὸ κοινωνίας φιλία, οἷον εἰ κοινωνοὶ ἦσαν ἐπὶ
πράγματί τινι. οἰκειότης ἐστὶν ἡ φιλία ἡ ἀπὸ πράξεως, οἷον εἰ συνήρ- 5
γησέ τινι ἐπιχειροῦντι πρᾶξαί τι ἢ ἐν πολέμῳ ἐβοήθησεν, ἔκτοτε οἰκειοῦται
5 αὐτῷ. [b 35] καὶ τὸ μὴ δεηθέντος ποιῆσαι, ἤτοι καὶ εἰ ποιήσαι τις,
ὃ ἤθελον ἀξιῶσαι αὐτὸν ποιῆσαι, καὶ ταῦτα μὴ δεηθεὶς καὶ ἀξιώσας αὐτόν,
ἔχω φίλον αὐτόν, καὶ μετὰ τὸ ποιῆσαι, ὃ ἤθελον ἀξιῶσαι αὐτόν, μὴ
δηλῶσαι καὶ εἰπεῖν ὅτι 'εὐηργέτησά σε'· καὶ γὰρ φαίνεται ἢ οὕτως
ποιήσας ἤτοι εὐεργετήσας με οὐ δι' ἕτερόν τι ἀλλ' αὐτοῦ ἕνεκα ἤτοι
10 ἕνεκα ἐμοῦ τοῦ φίλου. [1382 a 1] ἐκ τῶν ἐναντίων δεῖ θεωρεῖν ἤτοι 10
ἐκ τῶν περὶ φιλίας τόπων. ἡ μὲν ὀργὴ γίνεται ἐκ τῶν κακῶν τῶν πρὸς
αὐτόν, ἤτοι ὀργὴ γίνεται, ὅταν τις λυπῆσαι σπουδάζῃ τινά, ἐξ οὗ ἐλυπήθη
καὶ ἔπαθέ τι κακόν· ἔχθρα δὲ καὶ ἄνευ τῶν πρὸς αὐτόν, ἤτοι ἐχθραί-
νομαι δὲ καὶ μισῶ τὸν Τανισμάνην, κἂν οὐδέν τι κακὸν οὗτος πρὸς ἐμὲ
15 ἔδρασε. [a 6] μισεῖν δὲ λέγομαι οὐ τὸν Καλλίαν, ἀλλὰ τὸ γένος ὅλων
τῶν Περσῶν ἢ τῶν συκοφαντῶν. καὶ τὸ μὲν ἤτοι τὸ ὀργίζεσθαί ἐστιν 15
ἰατὸν τῷ χρόνῳ, τὸ δὲ μῖσος ἀνίατον· καὶ ἡ μὲν ὀργὴ ἐφίεται τοῦ
μόνον λυπῆσαι, ἡ δὲ ἔχθρα ἐφίεται τοῦ κακῶσαι ἤτοι χαλάσαι καὶ
ἀπολέσαι, ὥστε μὴ ζῆν. [a 8] ἐπεὶ γὰρ ὁ ὀργιζόμενος βούλεται
20 αἴσθεσθαι καὶ νοῆσαι, πρὸς ὃν ὀργίζεται, ὅτι κατ' αὐτοῦ ὀργίζεται,
φαίνεται, ὅτι μερικῷ ὀργίζεται ὁ ὀργιζόμενος· τῷ δέ, τῷ ἐχθραίνοντι,
οὐδὲν διαφέρει καὶ συμβάλλεται, εἴτε νοήσει ὁ ἄνθρωπος, πρὸς ὃν
ἐχθραίνεται, ὅτι κατ' αὐτοῦ ἐχθραίνεται καὶ μελετᾷ ποιῆσαί τι κακόν, 20
εἴτε καὶ μὴ νοήσει. [a 9] τὰ μὲν οὖν λυπηρὰ πάντα εἰσὶν αἰσθητὰ
25 ἤτοι μετὰ αἰσθήσεως γινόμενα· ἐπαισθάνεται γὰρ ὁ πάσχων τῆς λύπης.
τὰ δὲ μᾶλλον κακὰ οὐδαμῶς εἰσιν αἰσθητά· ἡ γὰρ παρουσία τῆς
ἀδικίας οὐ λυπεῖ τὸν ἔχοντα, ἀλλὰ μὴ οἷον αἰσθανόμενος ταύτης φαίνεται·
ὁμοίως δὲ καὶ ὁ ἄφρων οὐκ αἰσθάνεται τῆς ἀφροσύνης. [a 13] ὁ δὲ μισῶν
οὐ λυπεῖται. καὶ ὁ μὲν ὀργιζόμενος ἐλεήσει τὸν καθ' οὗ ὀργίζεται
30 πολλῶν γινομένων, ἤτοι εἰ προσπέσῃ αὐτῷ ἢ εἰ μετάμελον σχῇ, ὁ δὲ 25
ἐχθραινόμενος οὐδενός, ἤτοι εἴ τι ἂν ποιήσῃ ὁ, πρὸς ὃν ἐχθραίνεται,
οὐκ ἐλεήσει αὐτόν. ὁ μὲν γάρ, ὁ ὀργιζόμενος, βούλεται ἀντιπαθεῖν

---

2 φιλίας n 3. 4 συνήργησα Paris. 1869 9 εὐηργέτησάς n δι' ἕτερόν τι Paris. 1869 n: διά τι ἕτερον Arist. A: τι om. Arist. vulg. 10 δεῖ Paris. 1869 n Arist. vulg.: ἐστὶ Arist. A 12 αὐτόν scripsi ex Aristotele: αὐτῶν Paris. 1869 n 13 τῶν Paris. 1869 n Arist. vulg.: τοῦ Arist. A ἀυτῶν n 13. 14 αἰχθραίνομαι Paris. 1869 14 ἐμὲ Paris. 1869: με n 15 fort. ὅλον καὶ ἡ μὲν τοῦ λυπῆσαι ἐφίεται, ἡ δὲ τοῦ κακῶσαι μᾶλλον Arist. vulg.: καὶ τὸ μὲν λύπης ἔφεσις, τὸ δὲ κακοῦ Arist. A 16 ἐστὶ n 18 χαλάσαι Paris. 1869: κολάσαι n 20 αἴσθεσθαι Paris. 1869 n Arist. A: αἰσθάνεσθαι Arist. vulg. 23 αἰχθραίνεται (ante καὶ) n 26 παρουσία scripsi ex Aristotele: παρρησία Paris. 1869 n 29 τὸν — εἰ (30) om. n 30 πολλῶν ἂν γενομένων ἐλεήσειεν Arist. εἰ μετάμελον Paris. 1869: ἂν μεταμελλοῦντα n 31 οὐδενὸς Paris. 1869 Arist.: οὐδένα n αἰχθραίνεται Paris. 1869 32 ἀντιπαθεῖν βούλεται Arist.

καὶ ἀντιλυπῆσαι τόν, πρὸς ὃν ὀργίζεται, ὁ δὲ μισῶν βούλεται μηδὲ ὅλως f. 33r
εἶναι καὶ ζῆν τόν, ὃν μισεῖ. [a 16] ἐκ τούτων τῶν τόπων δείξει τις καὶ
τὸν μὴ ὄντα καὶ φαινόμενον ἐχθρόν, ὅτι ἔστιν ἐχθρός, καὶ τὸν φάσκοντα
ἐχθρὸν εἶναι διαλύειν καὶ δεικνύειν, ὅτι οὐκ ἔστιν ἐχθρός, καὶ δεικνύειν τόν τε
5 φιλονεικοῦντα δι' ὀργὴν καὶ πάλιν τὸν φιλονεικοῦντα δι' ἔχθραν· καὶ οἵαν 30
ἂν βούληται, δείξει, εἴτε ὅτι δι' ἔχθραν φιλονεικεῖ, εἴτε δι' ὀργήν.

5. Ὁ φόβος λύπη ἐστὶν ἐκ τοῦ φαντάζεσθαι καὶ ἀνατυποῦν τῇ διανοίᾳ ἢ μέλλον γενέσθαι κακὸν ἢ φθαρτικόν. [a 23] ἢ βραδὺς εἰς τὸ νοεῖν. ἀλλ' ἐκεῖνα φοβεῖταί τις, ὅσα δύνανται προξενεῖν μεγάλας λύπας. καὶ
10 ταῦτα φοβούμεθα, ἃ μὴ πόρρω εἰσίν· ὁ γὰρ θάνατος, εἰ καὶ φοβερόν ἐστιν, ἀλλ' ἐπεί ἐστι πόρρω καὶ οὐ σύνεγγυς (μετὰ γὰρ τριάκοντα χρόνους τις 35
θνήσκει ἢ πεντήκοντα), διὰ τοῦτο αὐτὸν οὐ φοβούμεθα. [a 25] ὥστε μέλλειν ἤτοι ὀφείλειν ἤδη γίνεσθαι σύνεγγυς· οἷον εἰ τοὺς πολεμίους βλέπω ἤδη ἐγγίζοντάς μοι. [a 30] τὰ σημεῖα τῶν τοιούτων οἷον τῶν
15 νόσων φοβερά εἰσιν· ὁ γὰρ κίνδυνός ἐστι πλησιασμὸς τοῦ φοβεροῦ. τοιαῦτα δὲ ἤτοι φοβερά εἰσιν ἡ ἔχθρα καὶ ἡ ὀργὴ τῶν ἐνδόξων τῶν δυναμένων ποιεῖν ἤτοι βλάπτειν. [a 34] ὥστε, εἰ βούλονται καὶ δύνανται βλάπτειν, λοιπὸν ἐγγύς εἰσι τοῦ ποιεῖν· εἰ γὰρ ἠβούλοντο μέν, οὐκ ἠδύναντο δέ, πόρρω ἂν ἦσαν. καὶ ἡ ἀδικία δύναμιν ἔχουσα 40
20 φοβερόν, οἷον εἰ ἄδικος μέν ἐστι καὶ δύναται καὶ βλάπτειν, φοβερός ἐστι. [a 35] καὶ ἀρετὴ ὑβριζομένη δύναμιν ἔχουσα, ἤτοι εἰ ἔστι τις ἀνδρεῖος ἅμα καὶ δυνατὸς ἤτοι ἔνδοξος καὶ παραδυναστεύων βασιλεῖ, φοβερός ἐστι τῷ ἐπιχειρήσαντι τῷ ὑβρίσαι αὐτόν. [b 2] καὶ φόβος τῶν δυναμένων τι ποιῆσαι, ἤτοι καὶ φοβούμεθα τοὺς δυναμένους βλάπτειν· f. 33v
25 ἀνάγκη γὰρ εἶναι τὸν τοιοῦτον ἤτοι τὸν δυνάμενον βλάπτειν ἐν παρασκευῇ ἤτοι ἕτοιμον εἰς τὸ βλάπτειν. [b 5] φοβερὸν τὸ ἐπ' ἄλλῳ αὐτὸν εἶναι ἤτοι τὸ ἐλπίζειν ζῆν ἐπ' ἄλλῳ καὶ τὸ κεῖσθαι τὴν σωτηρίαν αὐτοῦ παρ' ἄλλῳ· ἴσως γὰρ διὰ κέρδος ἀπόσχωνται αὐτοῦ ἢ διὰ δειλίαν· εἰ γάρ τις σύνοιδεν ἐμοὶ ἐπιβουλεύοντι τῷ βασιλεῖ, φοβερός ἐστιν ἐμοί, μή πως 5
30 κατείπῃ μου ἀφορῶν ἐκ τῆς προσαγγελίας κερδῆσαι ἢ πολλάκις δειλιάσας, μή πως ἁλῷ ὡς συνειδὼς καὶ διὰ τοῦτο τιμωρηθῇ· ἢ ἐν καιρῷ κινδύνου καταλείψουσι. [b 8] καὶ οἱ δυνάμενοι ἀεὶ ἀδικεῖν φοβεροὶ τοῖς δυναμένοις ἀδικεῖσθαι. καὶ οἱ ἠδικημένοι φοβεροί εἰσιν ἢ οἱ νομίζοντες ἀδικεῖσθαι καὶ ἀεὶ ἐπιτηροῦσι καιρόν, ἵνα τὸν ἀδικήσαντα βλάψωσι.
35 καὶ οἱ ἀδικήσαντες ἀεί εἰσι φοβεροί· δεδιότες γάρ, μή πως οἱ ἀδικηθέντες

---

7 ὁ Vn Arist. A: om. Arist. vulg. ἐστὶ n 9 δύνανται Paris. 1869 Arist. vulg.: δύναται n Arist. A ἢ (ἢ om. A) λύπας μεγάλας Arist. 10 φοβερός n 11 ab ἐστι incipit fol. 88r (ηιδ) V οὐ add. manu altera V 14 ἐγγύζοντας V τὰ V: καὶ τὰ n Arist. 16 ἔχθρα τε καὶ ὀργή Arist. A: τε om. Arist. vulg. 17 ποιεῖν τι Arist. εἰ om. n 17. 18 βούλονταί τε καὶ δύνανται Arist. vulg.: τε καὶ δύναντα om. Arist. A 19 ἡ om. Arist. 20 καὶ (post δύναται) om. n βλάττειν n 25 εἶναι καὶ Arist. 26 φοβερὸν ὡς ἐπὶ τὸ πολὺ τὸ Arist. 28 ἀπόσχονται n 32 ἀδικεῖν ἀεὶ Arist. vulg.: ἀεὶ om. Arist. A 34 καὶ ἀεὶ Vn: ἀεὶ γὰρ Arist.

ἰσχύσωσι καὶ ἀντιβλάψωσιν αὐτούς, ἀεὶ σπεύδουσιν ἐκτρῖψαι αὐτούς· f. 33v
[b 12] ἐπέκειτο γὰρ φοβερὸν τὸ τοιοῦτον ἤτοι τὸ ἀντιπαθεῖν. καὶ 11
οἱ τῶν αὐτῶν ἀγωνισταί εἰσι φοβεροὶ πρὸς ἀλλήλους· οἷον εἰ ὑπὲρ
βασιλείας ἀγωνίζονται δύο τινές, ἐπεὶ οὐκ ἐνδέχεται ἀμφοτέροις τὴν βασι-
5 λείαν περιελθεῖν ἅμα, διὰ τοῦτο φοβοῦνται ἀλλήλους. [b 14] αἰεὶ γὰρ
πολεμοῦσι πρὸς τοὺς τοιούτους ἤτοι πρὸς ἀλλήλους. καὶ οἱ φοβεροὶ
τοῖς κρείττοσι καὶ αὐτοῖς τοῖς ἐλάττοσι φοβεροί. [b 16] φοβεροί εἰσι 15
καὶ οὓς φοβοῦνται οἱ κρείττους διὰ τὸ αὐτὸ ἤτοι διὰ τὸ δύνασθαι
καὶ σὲ τὸν ἐλάττω βλάψαι, ὥσπερ καὶ τὸν κρείττω· [b 18] ἢ γὰρ ἤδη
10 εἰσὶ φοβεροὶ οἱ καὶ τοῖς κρείττοσιν ἐπιτιθέμενοι ἢ προσδοκῶνται
ἔτι μᾶλλον γενέσθαι φοβεροί, εἴ γε αὔξησιν τῆς ἑαυτῶν δυναστείας λάβωσι
καὶ ἐπίτασιν. γράφεται καὶ οἱ τοῖς ἥττοσιν ἐπιτιθέμενοι· οὗτοι γὰρ
εἰ ἔτι αὐξηθῶσι, καὶ κατὰ τῶν κρειττόνων ἐπιχειρήσουσι. [b 19] φοβεροί
εἰσι καὶ οἱ φίλοι τῶν ἀδικηθέντων παρ' ἡμῶν καὶ οἱ τῶν ἐχθρῶν τῶν 20
15 ἡμετέρων φίλοι καὶ οἱ φίλοι τῶν ἀντιπάλων καὶ τῶν ἀνταγωνιστῶν ἡμῖν.
οὐδὲ οἱ ὀξύθυμοί εἰσι φοβεροί· οἱ γὰρ πρᾶοί εἰσι φοβεροί, καθ' ὃ
ἄδηλοί εἰσιν, εἰ ἐχθροί εἰσιν ἡμῶν, καὶ διὰ τοῦτο οὐδὲ φυλάττονται παρ'
ἡμῶν, [b 21] ἢ ἐγγύς, ἤτοι ὡς ἐγγίζοντες καὶ φίλοι ἡμῶν φαινόμενοι·
ὥστε οἱ ὀξύθυμοι ⟨οὐκ⟩ εἰσι φοβεροί, διότι πόρρω εἰσὶν ἡμῶν καὶ οὐ
20 φαίνονται τὴν φιλίαν πρὸς ἡμᾶς ὑποκρινόμενοι καὶ διὰ τοῦτο ἀεὶ παρα-
φυλάττονται παρ' ἡμῶν· ἢ καὶ διότι, ὃ ἔχουσιν ἐν τῇ ψυχῇ, τοῦτο προ- 25
φέρουσι καὶ ἐκτὸς καὶ ἔστι δήλη ἡ αὐτῶν κακία, οἱ δὲ πρᾶοι ἐνδομυχοῦσιν
ἐντὸς καὶ διὰ τοῦτο φοβεροὶ ὡς κακοὶ ὄντες ἀφανεῖς. [b 22] πάντα δὲ
τὰ φοβερὰ γίνονται φοβερώτερα, ὅσα, ἐὰν ἁμάρτωσι καὶ γένωνται,
25 οὐ δύνανται ἐπανορθωθῆναι, ἀλλ' ἢ ὅλως ἀδύνατα ἢ οὐχὶ ἐπ' αὐτοῖς
ἤτοι ἐπὶ τῇ ἐξουσίᾳ αὐτῶν κεῖται τὸ ἐπανορθώσασθαι τὸ ἁμάρτημα, ἀλλ'
ἐπὶ τοῖς ἐναντίοις· οἷον εἰ δι' ἐμὲ ἐάσαντά σε ἐν τῷ πολέμῳ μόνον
αἰχμάλωτος γέγονας, παρὰ τῇ ἐξουσίᾳ τῶν ἐναντίων ἤτοι τῶν πολεμίων 30
κεῖται τὸ ἀπολυθῆναί σε, οὐ παρ' ἐμοί. [b 25] καὶ ὧν βοήθειαι μή
30 εἰσιν· οἷον εἰ ἐπιχειρήσω βασιλεῦσαι καὶ ἀποτύχω τούτου καὶ κρατηθῶ,
οὐδεὶς ἔσται ὁ βοηθήσων· ἢ εἰ καὶ ἔσται βοηθηθῆναί με, ἀλλ' οὐ ῥᾳδίως.
καὶ ὅλως φοβερά εἰσιν ἐκεῖνα, ἃ εἰ ἴδω ἐπὶ ἑτέρων γινόμενα,

---

2 ὑπέκειτο γὰρ τὸ τοιοῦτο φοβερόν Arist. 3 ἀνταγωνισταὶ Arist. 5 ἀεὶ Arist.
6 τοὺς Vn Arist. A: om. Arist. vulg. 6. 7 καὶ οἱ τοῖς κρείττοσιν φοβεροὶ καὶ αὐτοῖς φοβεροί Arist. vulg.: καὶ οἱ τοῖς κρείττοσιν αὐτῶν φοβεροί Arist. 8 κρείττους αὐτῶν διὰ ταὐτό Arist. 10 καὶ οἱ τοῖς ἥττοσιν (κρείττοσιν B man. rec.: *melioribus* Tr.) αὐτῶν ἐπιτιθέμενοι· ἢ γὰρ ἤδη φοβεροὶ ἢ αὐξηθέντες Arist. προσδοκοῦνται n
11 δυναστείας, δυν evan., V 15 τῶν (post καὶ) om. n 16 ὃ om. n 17 εἰ om. n εἰσιν om. n 18 ἢ Vn: ἢ Arist. A: οἱ Arist. vulg. 19 οὐκ addidi, cf. Arist. ὥστε οὐδέποτε φανερὸν (vulg.; φανεροὶ A) ὅτι πόρρω 21. 22 προσφέρουσι n 24 φοβερώτερα, ὡτερα evan., V ὅσα ἂν ἁμάρτωσιν Arist. vulg. (ἁμαρτάνωσιν C): ὅσα ἁμαρτάνουσιν Arist. A man. 1 (ἂν ἁμαρτάνωσιν corr. man. rec.)
25 οὐχὶ Vn: μὴ Arist. ἐπ' αὐτοῖς Vn Arist. A: ἐφ' ἑαυτοῖς Arist. vulg.
31 εἰ om. n 32 γιγνόμενα ἢ μέλλοντα Arist.

ἐλεεινά μοι δοκοῦσιν, οἷον εἰ μαστιγούμενον ἴδω τινά, ἐλεῶ αὐτόν. f. 33v
[b 29] ὡς δὲ διακείμενοι ἤτοι πῶς δὲ διακείμενοι φοβοῦνται, λέγωμεν.
[b 32] οὐδὲ τούτους φοβεῖται, ὑφ' ὧν μὴ οἴεται βλαβῆναι, οὐδὲ τότε
ἤτοι οὐδὲ ἐλπίζει τότε βλαβῆναι, ὅτε οὐκ οἴεται. ἐκεῖνοι γοῦν φοβοῦνται
5 οἰόμενοι παθεῖν τι δεινόν, καὶ οἰόμενοι βλαβῆναι ὑπὸ τούτων ἤτοι ὑπὸ
ἐνδόξων ἀνδρῶν καὶ δυναστῶν καὶ ταῦτα ἤτοι μεγάλα τινὰ βλαβῆναι καὶ
τότε ἤτοι κατὰ τοῦτον τὸν καιρὸν φοβοῦνται, ὅτε καὶ ἐλπίζουσι βλαβῆναι.
[b 35] οὔτε δὲ οἱ εὐτυχοῦντες φοβοῦνται οὔτε οἱ δοκοῦντες παρ' ἑαυτοῖς
εὐτυχεῖν καὶ διὰ τὸ μὴ φοβεῖσθαί εἰσιν ὑβρισταὶ καὶ ὀλίγωροι. οὔτε
10 φοβοῦνται οἱ παθόντες πάντα τὰ δεινὰ καὶ διὰ τοῦτο ἀπεψυγμένοι
καὶ ἀποκαραδοκοῦντες εἰς τὸ μέλλον· ἐπεὶ γάρ, εἴ τι ἂν εἶχον, ἀπώλεσαν,
οὐκέτι φοβοῦνται ἀπολέσαι τι. [1383a 5] ὥσπερ ἀποτυμπανιζόμενοι
ἤτοι ἀποκεφαλιζόμενοι· οἴονται γὰρ οἷον ἀποκεφαλισθῆναι· τούτου δὲ οὐδὲν
φοβερώτερον· ὁ γὰρ φοβούμενος ἐν δεινοῖς ὢν οὕτω φοβεῖται ἐν τῷ
15 ἐλπίζειν σωτηρίαν καὶ | ἀπαλλαγὴν ἔχειν τῶν δεινῶν, περὶ ὧν ἀγωνίζονται f. 34r
ἀπαλλαγῆναι, καὶ φοβοῦνται, μή πως οὐκ ἰσχύσωσιν ἀπαλλαγῆναι τῶν κιν-
δύνων. [a 6] σημεῖον δὲ τοῦ τότε φοβεῖσθαι, ὅτε ἐλπίδα ἔχουσι σωτη-
ρίας, διότι, εἰ φοβούμεθα, καὶ βουλευόμεθα, πῶς ἀπαλλαγησόμεθα· ὥστε,
εἰ οὐκ ἐλπίζομεν, οὐκ ἂν ἐβουλευόμεθα. [a 8] ὥστε, εἰ συμβουλευόμεθά
20 τινι τὰ λυσιτελῆ, δεῖ αὐτοὺς παρασκευάζειν τοιούτους ἤτοι φοβητικούς,
εἴ γε καλόν ἐστι τὸ φοβεῖσθαι αὐτούς, ποιεῖν δὲ αὐτοὺς περιφόβους
ἐν τῷ δεικνύειν, ὅτι δυνατοί εἰσι τοῦ παθεῖν παρὰ τοῦδε καὶ ἀδικηθῆναι,
ἐπεὶ καὶ ἄλλοι μείζους καὶ κρείττους αὐτῶν ἔπαθον ἤτοι ἠδικήθησαν
παρ' αὐτοῦ· καὶ ὅτι οἱ ὅμοιοι αὐτοῖς, οἷς καὶ συμβουλεύουσι, πάσχουσιν
25 ἢ ἔπαθον καὶ ἠδικήθησαν παρὰ τοῦδε. [a 11] καὶ ὑπὸ τούτων ἐβλά-
βησαν, ὑφ' ὧν οὐκ ᾤοντο βλαβῆναι. [a 16] θάρρος δέ ἐστι τὸ ἐλπίζειν
καὶ φαντάζεσθαι, ὅτι ἡ μὲν σωτηρία ἐστὶν ἐγγὺς καὶ ἤδη ἔστιν ἡ σωτηρία,
τὰ δὲ φοβερὰ ἢ οὐκ εἰσιν ἢ ὅτι μακράν εἰσιν. [a 19] καὶ τὰ θαρραλέα
ἐγγύς εἰσιν ἤτοι τὰ σωτήρια. θαρροῦμεν καὶ ὅτε περιπεσόντες πειρασμοῖς
30 ἔχομεν ἐπανορθώσεις καὶ βοηθείας καὶ μεγάλας καὶ πολλάς. καὶ εἰ μήτε
ἠδικήθημεν παρά τινος μήτε ἠδικήσαμεν, καὶ οὕτω θαρροῦμεν, ὡς οὐκ ἄν
ποτε βλαβῶμεν παρά τινος. [a 22] καὶ ὅτε ἢ ὅλως ἀνταγωνιστὰς καὶ
ἀντιπάλους οὐκ ἔχομεν ἢ ἔχομεν ἀντιπάλους ἀδυνάτους δέ. ἢ θαρροῦμεν
καὶ ὅτε ἔχομεν ἀντιπάλους δυνατούς, εἰσὶ δὲ οὗτοι φίλοι ἡμῶν, ἢ ὅτι
35 ἐποιήσαμεν αὐτοὺς εὖ ἤτοι ὅτι εὐηργετήσαμεν αὐτούς ποτε. ἢ ὅτι ἐπάθομεν
καὶ εὐηργετήθημεν παρ' αὐτῶν ποτε καὶ λοιπὸν οὐδὲ νῦν βλαβησόμεθά
ποτε παρ' αὐτῶν. ἢ θαρροῦμεν καὶ ὅτε ἐλπίζομεν ἀδικηθῆναι παρά τινος,
εἰσὶ δὲ καὶ ἄλλοι πολλοὶ οἱ μέλλοντες τὰ αὐτὰ ἐμοὶ δεινὰ παθεῖν καὶ διὰ

---

6 δυνατῶν n 8 δοκοῦντες Vn Arist. ACTr.: om. Arist. cet. 10 πάντα om. n 11 ἀποκαταδοκοῦντες n 12 ὥσπερ οἱ Arist. 18 καὶ post εἰ add. n 20 τοιούτους παρασκευάζειν Arist. 25 ὑπὸ τοιούτων Arist. 26 θάρρος V: θάρσος n Arist. 33 ἀδυνάτους—ἀντιπάλους (34) om. n 35 ἤτοι V: ἢ n αὐτοὺς V: αὐτοῖς n

τοῦτο συμφέρει αὐτοῖς, ὃ καὶ ἐμοί, ἤγοῦν τὸ ἀποκρούσασθαι τὸν ἀδικη- f. 34r
σαντα· θαρροῦμεν γοῦν, ὅτι ὁ ἀδικήσων ἐστὶν εἷς, ἡμεῖς δὲ πολλοὶ καὶ 20
διὰ τοῦτο ἰσχύσομεν νικῆσαι αὐτόν. ἢ εἰ πολλοὶ μὲν οὐκ εἰσιν οἱ ταὐτὰ
παθεῖν ἐμοὶ κινδυνεύοντες, ὀλίγοι δὲ πλὴν ἰσχυροὶ καὶ κρείττους, διὰ
5 τοῦτο θαρροῦμεν κρείττους γενέσθαι τοῦ ἀδικήσαντος· [a 25] ἢ εἴ εἰσιν
οἱ μέλλοντες τὰ αὐτὰ παθεῖν ἐμοὶ ἄμφω ἤτοι καὶ κρείττους ἤγουν καὶ
ἰσχυροὶ καὶ πολλοί. [a 28] διχῶς οἱ ἄνθρωποι γίνονται ἀπαθεῖς ἤτοι
θαρραλέοι, ἢ τῷ μηδέποτε πεπειρᾶσθαι κακοῦ — καὶ διὰ τοῦτο, κἂν
πειρασμοῖς ἐμπέσωσι, θαρροῦσιν ἀποφυγεῖν — ἢ ἐν τῷ ἔχειν βοηθείας 25
10 πολλάς, δι' ὧν ἀποφύγωσι τὰ δεινά· [a 29] ὥσπερ εἴ τις ἐν θαλάσσῃ
περιπέσῃ κλύδωνι ἄπειρος τοῦ χειμῶνος ἤτοι μὴ ἰδών ποτε κλύδωνα καὶ
τὰ ἐκ τούτου κακά, θαρρεῖ περὶ τὸ μέλλον, ὡς οὐ κινδυνεύσει· ἀλλὰ
θαρρεῖ καὶ ὁ ἐμπεσὼν κλύδωνι, ἔχων δὲ βοήθειαν ἐκ τῆς τέχνης καὶ
ἐμπειρίας· ἴσως γὰρ εἴη ναύτης καλός. [a 32] καὶ ἐὰν τοῖς ὁμοίοις
15 φοβερὸν μὴ ᾖ, ἤτοι εἰ καὶ τοῖς συνναύταις αὐτοῦ οὐ δοκεῖ ὁ κλύδων 30
φοβερός, οὐδὲ αὐτῷ ἔσται φοβερός. καὶ εἰ μηδὲ τοῖς ἥττοσιν αὐτοῦ
ἤτοι τοῖς μὴ ναύταις οὖσιν οὐ δοκεῖ φοβερός, πολλῷ μᾶλλον αὐτῷ οὐκ
ἔσται. κεκρατήκασι δὲ πολλάκις ἢ τῶν κρειττόνων ἢ τῶν ὁμοίων αὐτοῖς
καὶ θαρροῦσιν, ἐὰν οἷόν τε ἔχειν πλείους δυνάμεις ἢ μείζους· οἷον εἰ οἱ
20 πολέμιοι ἔχουσιν ἑκατὸν τοξότας, ἡμεῖς δὲ διακοσίους, ἢ εἰ ἐκεῖνοι ἔχουσι
τοξότας μόνους, ἡμεῖς δὲ καὶ τοξότας καὶ κονταράτους. [b 2] ἰσχὺς
σωμάτων, ἤγουν εἰ δυνατοί εἰσιν ἢ ἐὰν φίλους πολλοὺς ἔχωμεν ἢ χώραν
μεγάλην καὶ δύσβατον, θαρροῦμεν κατὰ τῶν πολεμίων. καὶ ἐὰν πάσας 35
τὰς παρασκευὰς ἔχωμεν τὰς πρὸς πόλεμον, οἷον τοξότας, ἀκοντιστάς,
25 πεζούς, ἱππεῖς· ἢ εἰ μὴ πάσας ἔχομεν, ἀλλ' οὖν τὰς μεγίστας. [b 3]
θαρροῦμεν καὶ εἰ οὐκ ἠδικήσαμεν τούτους, παρ' ὧν φοβούμεθα ἀδικη-
θῆναι· εἰ γὰρ οὐκ ἠδικήσαμεν αὐτούς, οὐδὲ βλαβησόμεθα παρ' αὐτῶν.
[b 5] καὶ ὅλως θαρροῦμεν, ἐὰν τὰ πρὸς θεοὺς καλῶς ἔχωμεν ἤτοι
εὐσεβοῦμεν· τοῦτο δὲ τὸ παρὰ τῶν θεῶν σκέπεσθαι· ἢ ἐὰν ἀπὸ σημείων, 40
30 ἢ ἐὰν ἀπὸ τῶν λογίων, οἷον εἰ μάντις τις ἐξεῖπε τὸ εὐμενεῖς εἶναι πρὸς
ἡμᾶς τοὺς θεούς. ἀλλὰ καὶ ἡ ὀργὴ ἤτοι τὸ οἴεσθαι ὀργίζεσθαι τὸ θεῖον
κατὰ τῶν πολεμίων θαρραλέους ποιεῖ ἡμᾶς· τὸ γὰρ ἀδικεῖν ἐκμαίνει τὸ
θεῖον. [b 9] καὶ ὅταν προεπιχειροῦντές ἐσμεν, καὶ προεπιχειροῦντες
τοῖς πολεμίοις ἐπιτεθῶμεν ἀφανῶς ἀνετοίμοις οὖσι, θαρ|ροῦμεν ὡς f. 34v

---

2 ὁ om. n 5 εἴ om. n 6 καὶ (ante κρείττους) non certo cognoscitur V fort. καὶ ⟨πλείους καὶ⟩ κρείττους 9 βοηθείας ἔχειν Arist. 10 ἀποφεύγωσι n 13 ἔχων n: ἔχω V 14 καὶ ὅταν Arist. 16 φοβερὸν μὴ ᾖ V Arist. A: φοβερὸς μὴ ᾖ n: μὴ ᾖ φοβερόν Arist. vulg. 17 φοβερὸν n 19 οἷόν τε Vn: fort. οἴονται scribendum ex Aristotele 20 εἰ om. n 28 ἂν Arist. τὰ πρὸς Vn Arist. vulg.: πρὸς τοὺς Arist. A αὐτοῖς καλῶς ἔχῃ Arist. 29 εὐσεβῶμεν n σκέπτεσθαι n 30 λογείων V (λογίων, ι in litura, Arist. A) 33 προεπιχειροῦντες Vn Arist. vulg.: ἐπιχειροῦντες Arist. A

προεπιχειρήσαντες καὶ προετοιμασθέντες, ἢ μηδὲν παθεῖν παρὰ τῶν f. 34v
πολεμίων ἢ κατορθῶσαι καὶ νικῆσαι.

6. Ἔστι δὲ αἰσχύνη λύπη καὶ ταραχὴ ἀπὸ τῶν κακῶν περὶ τὰ κακὰ τὰ εἰς ἀδοξίαν φέροντα, κἂν τε πάρεισι ταῦτα κἂν τε μέλλωσι γενέσθαι. [b 16] ἀναίσχυντος δέ ἐστιν ὁ καταφρονῶν τῶν τοιούτων κακῶν τῶν εἰς ἀδοξίαν φερόντων καὶ μηδὲν πάσχων ὑπὸ τῶν τοιούτων, ὅσα δοκοῦσιν αἰσχρὰ εἶναι ἢ αὐτῷ ἢ ὧν φροντίζει, ἤτοι φίλων, παίδων. [b 22] καὶ τὸ συγγενέσθαι, οἷς οὐ δεῖ, ἤτοι τῇ αὑτοῦ μητρυιᾷ, ἢ ὅπου οὐ δεῖ, ἤτοι εἰ ἐν ἐκκλησίᾳ ἐμοίχευσεν, ἢ ὅτε μὴ δεῖ, ἤτοι ἐν καιρῷ νηστείας καὶ προσευχῆς. καὶ τὸ σπουδάζειν ἁρπάζειν καὶ κερδαίνειν ἀπὸ τῶν μικρῶν ἤτοι τῶν πτωχῶν ἢ ἀπὸ αἰσχρῶν ἤτοι ἀπὸ τοῦ μαυλίζειν ἢ ἀπὸ τοῦ πορνοβοσκὸν εἶναι· [b 25] ὅθεν καὶ ἡ παροιμία λέγεται ἐπὶ τῶν σπουδαζόντων κερδαίνειν καὶ ἀπὸ τῶν τεθνεώτων τὸ κἂν καὶ ἀπὸ τῶν νεκρῶν φέρειν· ἐκδύουσι γὰρ τὰ σάβανα αὐτῶν, ὡς οἱ λωποδύται. [b 27] καὶ τὸ τὸν δυνάμενον βοηθῆσαι τῷ κινδυνεύοντι μεγάλως ἧττον ἤτοι μικρῶς βοηθῆσαι αἰσχύνης ἐστὶν ἄξιον τοῦτο δοκεῖν. αἰσχύνεσθαι δὲ δεῖ καὶ τὸ σὲ ἔνδοξον ὄντα βοηθεῖσθαι παρὰ τῶν ἥττον εὐπόρων ἤτοι τῶν πτωχῶν. καὶ τὸ δανείζεσθαι, ὅτε δόξει αἰτεῖν· οἷον εἰσί τινες ζητοῦντες λαβεῖν ἀπό τινων χρήματα μὴ ἔχοντες καὶ οὐ ζητοῦσιν ἐξ ὀρθοῦ. ἀλλὰ δανειακῶς ζητοῦσι νομίσματα. [b 30] αἰσχύνεσθαι δὲ δεῖ καὶ τὸ ἐπαινεῖν τινα, ἵνα δόξῃ αἰτεῖν, ἤτοι διὰ τὸ λαβεῖν ἀπ' αὐτοῦ τι· κολακεύει γὰρ τοῦτο. καὶ τό, ἐὰν ζητήσῃ τινὰ καὶ ἀποτύχῃ ἤτοι οὐ λάβῃ ἀπ' αὐτοῦ τι, μηδὲν ἧττον ζητεῖν πάλιν. [b 32] καὶ τὸ ἐπαινεῖν μὲν τὰ ἀγαθὰ καὶ τὰ κατορθώματά τινος. συναλείφειν δὲ καὶ μειοῦν καὶ σμικρύνειν τὰ φαῦλα ἤτοι τὰ κακά. καὶ τὸ παρών τινι λυπουμένῳ δοκεῖν συλλυπεῖσθαι ἐκείνῳ καὶ ἐπέκεινα αὐτοῦ. [b 35] καὶ τὸ μὴ ὑπομένειν πόνους, οὓς οἱ πρεσβύτεροι, οἷον εἰ οἱ γηραιοὶ ἢ οἱ ἐν ἐξουσίᾳ ἑαυτοὺς λούουσι, σὺ δὲ βούλει ὑπ' ἄλλων λούεσθαι. [1384 a 5] καὶ τὸ περὶ ἑαυτοῦ λέγειν καὶ ἐπαγγέλλεσθαι μεγάλα ἤτοι τὸ ἐπαινεῖν ἑαυτόν. καὶ τὸ φάσκειν τὰ ἀλλότρια πράγματα εἶναι ἑαυτοῦ· οἷον εἰ τὸ κτῆμα τὸ ἀλλότριον λέγω ἐμὸν εἶναι. [a 7] ὁμοίως καὶ τὰ ἔργα τῶν ἄλλων κακιῶν τῶν ἠθικῶν εἰσιν αἰσχρὰ καὶ ἄξια αἰσχύνης. αἰσχυντικόν ἐστι καί, εἰ μὴ μετέχει τις τοῦ ἀγαθοῦ, οὗ πάντες μετέχουσι· [a 13] κἂν ἐπὶ τοσοῦτον ἤγουν ἐπὶ μικρόν· οἷον εἰ πάντες

1 ἂν παθεῖν Arist. 3 ἔστω Arist. καὶ Vn: τις καὶ Arist. vulg.: τις ἢ Arist. A
6. 7 ὅσα αἰσχρὰ δοκεῖ εἶναι ἢ αὐτῷ Arist. A: ἃ δοκεῖ αἰσχρὰ εἶναι αὐτῷ Arist. vulg.
7 ὧν Vn Arist. vulg.: ὧι Arist. A φίλων καὶ παίδων n 9 ὅπου Vn Arist. vulg.: οὗ Arist. A εἰ om. n ἢ ὅτε μὴ δεῖ V Arist. vulg.: ἢ ὅτε οὐ μὴ δεῖ n: om. Arist. A 11 ἢ ἀπ' Arist. vulg.: ἀπ' om. Arist. A 14 κἂν Vn Arist. vulg.: om. Arist. A καὶ V: om. n Arist. ἀπὸ νεκροῦ Arist. 16 ἧττον V: ἢ ἥττον n Arist. 18 τὸ om. Arist. 20 ζητοῦσι νομίσματα (per comp.) V: ζητοῦσίν τινα n
28 οἱ ἐν Vn Arist. vulg.: οἱ om. Arist. A ἑαυτοὺς V: αὐτοὺς n 29 περὶ αὑτοῦ Arist. λέγειν Vn Arist. vulg.: πάντα λέγειν Arist. A 30. 31 τἀλλότρια αὑτοῦ φάσκειν Arist. 34 ἐπὶ om. n τοσοῦτο n

μετέχουσι παιδεύσεως καὶ τῶν ἄλλων, οἷον γραμματικῆς, σὺ μόνος f. 34v
ἐστέρησαι· πάντα γοῦν ταῦτά εἰσιν αἰσχυντικά, εἴ γε φαίνεταί τις μείνας
ἀπαίδευτος δι' ἑαυτόν, ἤτοι εἰ αὐτὸς ἐγένετο αἴτιος ἑαυτῷ τοῦ μεῖναι
ἀπαίδευτος καὶ τῶν ἑτέρων κακῶν ἢ τῶν ὑπαρχόντων, ἤτοι ὧν ἔχει,
5 ἢ τῶν μελλόντων, φαίνεται φαύλης καὶ κακῆς γνώμης ὤν. [a 18] εἰς
ὑπηρετήσεις σώματος, οἷον εἰ δουλεύει τινὶ ἢ εἰ δώσει τὸ ἑαυτοῦ σῶμα 30
εἰς τὸ πορνεύεσθαι παρ' ἄλλων, ἢ αἰσχρῶν ἔργων, ὧν ἐστι τὸ ὑβρί-
ζεσθαι ἤγουν τὸ μαστροπεύειν. αἰσχρόν ἐστι καὶ τὸ πάσχειν μὲν τὰ
πρὸς ἀκολασίαν, εἴτε ἑκών τις ταῦτα πάσχει εἴτε καὶ ἄκων, αἰσχυντηλόν
10 ἐστιν. [a 20] εἶτα λέγει καὶ τίνα εἰσὶ τὰ πρὸς ἀκολασίαν ἄκοντα καί φησι
'φημὶ δὲ ἄκοντα τὰ πρὸς βίαν', οἷον βίᾳ τις συσχεθεὶς ἐφθάρη παρὰ
τοῦ κατασχόντος· ἄνανδρος γὰρ φαίνεται ὁ τοιοῦτος ὡς ὑπομείνας καὶ ἄκων 35
τὴν οἰκείαν ὕβριν. αἰσχυντικόν ἐστι καὶ εἰ ἐβλάβην παρά τινος καὶ οὐκ
ἀμύνωμαι αὐτόν. [a 23] ἐπεὶ δὲ ἡ αἰσχύνη ἐστὶ φαντασία περὶ
15 ἀδοξίας ἤτοι τὸ φαντάζεσθαι, ὅτι θέλω ἀτιμηθῆναι καὶ ἀδοξασθῆναι,
καὶ ταύτης αὐτῆς χάριν ἤτοι καὶ φαντάζεσθαι ἀτιμηθῆναι χάριν ταύτης
αὐτῆς ἤτοι χάριν αὐτοῦ τοῦ ἀτιμηθῆναι, ἀλλὰ μὴ φαντάζεσθαι ἀτιμηθῆναι
ἕνεκεν τῶν ἀποβαινόντων ἤτοι ἐκ τοῦ ἀφαιρεθῆναι τὰ οἰκεῖα χρήματα
ἤτοι τοῦ ἐλπίζειν ἡττηθῆναι εἰ πολεμήσει, οὐδεὶς δὲ φροντίζει τῆς
20 δόξης ἀλλ' ἢ διὰ τοὺς δοξάζοντας, ἀνάγκη αἰσχύνεσθαι τούτους, 40
ὧν ἔχει λόγον ἤτοι ὧν φροντίζει. [a 27] φροντίζει δὲ τῶν θαυμα-
ζόντων αὐτόν, ἵνα μὴ παρ' ἐκείνοις ἄδοξος νομισθῇ, καὶ οὓς θαυμάζει·
ἐπειδὴ γὰρ θαυμάζει αὐτούς, δῆλον, ὡς καλοὺς ὄντας θαυμάζει αὐτοὺς
καὶ διὰ τοῦτο φροντίζει, μή πως ἄδοξος φανῇ παρ' αὐτοῖς ἀγαθοῖς οὖσι.
25 [a 28] καὶ πρὸς οὓς φιλοτιμεῖται καὶ ἐπιδείκνυται, καὶ ὧν τις δόξης
οὐ καταφρονεῖ ἤτοι καὶ | ὑφ' ὧν δοξάζεται, οὐ καταφρονεῖ. [a 30] οἱ f. 35r
ἔχουσί τι ἀγαθὸν τῶν τιμίων, οἷον ἡ σοφία τίμιόν ἐστι καὶ ἡ ἀρετή.
θαυμάζουσι καὶ ἐκείνους, ὧν δέονται σφόδρα ἕνεκά τινος, ὧν οὗτοί εἰσι
κύριοι, οἷον οἱ ἐρῶντες θαυμάζουσι τοὺς ἐρωμένους, ἵνα παρ' αὐτῶν
30 τύχωσιν ἢ ὁμιλίας ἢ συνουσίας, ἧς κύριοί εἰσιν οἱ ἐρώμενοι. [a 32] φιλο-
τιμοῦνται δὲ πρὸς τοὺς ὁμοίους, οἷον οἱ φιλόσοφοι πρὸς τοὺς φιλο- 5
σόφους. μᾶλλον δὲ φροντίζουσι τῶν φρονίμων, διότι οὗτοι ἀληθεύου-
σιν, εἴ τι ἂν καὶ εἴπωσι. [a 34] τοιοῦτοι δὲ ἤτοι φρόνιμοί εἰσιν οἱ
πρεσβύτεροι καὶ οἱ γηραιότεροι διὰ τὸν χρόνον καὶ οἱ πεπαιδευ-
35 μένοι ἤτοι οἱ σοφοί. αἰσχύνονται καὶ τὰ ἐν ὀφθαλμοῖς ἤτοι

---

3 εἰ scripsi: ἢ Vn ἑαυ V: ἑαυτοῦ n 4 ἢ V: ἤτοι n 6 ἢ σώματος Arist. 7 ἔργων αἰσχρῶν Arist. 14 ἀμύνομαι n 14. 15 περὶ ἀδοξίας φαντασία ἐστὶν ἡ αἰσχύνη Arist. 16 χάριν ταύτης – φαντάζεσθαι ἀτιμηθῆναι (17) om. n 19. 20 τῆς δόξης φροντίζει Arist. 20 ἀλλ' ἢ διὰ τοὺς δοξάζοντας Vn Arist. vulg.: ἀλλὰ διὰ τοὺς δόξαντας Arist. A 20. 21 τούτους αἰσχύνεσθαι, ὧν λόγον ἔχει Arist. 22 ἢ ante ἵνα add. n 25. 26 καὶ ὧν μὴ καταφρονεῖ τῆς δόξης Arist. 26 οἱ scripsi ex Arist. vulg.: οἷον Vn: ὅσοι Arist. A 27 ἔχουσί τι Vn Arist. vulg.: τι ἔχουσιν Arist. A 33. 34 οἵ τε πρεσβύτεροι Arist. 34 γηραιότεροι editionis alterum exemplar, γεραιότεροι alterum

τὰ φανερά, οἷόν τινες ἐπιτηδεύονται· τὰ μὲν μανίκια τῶν ὑποκαμίσων f. 35r
ποιοῦσι καὶ καθαρὰ καὶ ψιλά (αἰσχύνονται γάρ, εἴ γε ταῦτα μὴ τοιαῦτά
εἰσι, διὰ τὸ φανερὰ εἶναι), τὸ δὲ ὅλον κορμίον καὶ ῥυπαρὸν καὶ τραχὺ 10
ποιοῦσιν. [a 35] ὅθεν καὶ ἡ παροιμία τὸ εἶναι αἰδῶ καὶ ἐντροπὴν ἐν
5 τοῖς κειμένοις ὀφθαλμοῖς ἤτοι εἰς τὸ φανερόν. καὶ διὰ τοῦτο αἰσχύ-
νονται τοὺς αἰεὶ παρεσομένους ἤτοι τοὺς ἀνθρώπους, μεθ' ὧν ἀεὶ συν-
διάγουσι, καὶ τοὺς προσέχοντας καὶ παρατηροῦντας αὐτοὺς ἀεί, διότι
ἐν ὀφθαλμοῖς ἐστι καὶ τῶν συνδιαγόντων αὐτοῖς ἀεὶ καὶ τῶν παρατηρούν-
των. [b 1] καὶ τοὺς μὴ περὶ ταὐτὰ ἐνόχους, οἷον ὁ κάπηλος αἰσχυνθῇ
10 ἂν τὸν μὴ ὄντα κάπηλον, κάπηλος δὲ κάπηλον οὐδέποτε αἰσχύνεται· 15
δῆλον γάρ, ὅτι οἱ μὴ ἔνοχοι τοῖς αὐτοῖς ἐγκλήμασιν ἤτοι οἱ μὴ κάπηλοι
ὄντες τἀναντία δοξάζουσι τοῖς καπήλοις. [b 2] καὶ τοὺς μὴ συγγνω-
μονοῦντας, εἴ τινα ἴδωσιν ἁμαρτήσαντα· ἃ γάρ τις αὐτὸς ποιεῖ ἤτοι εἰ
κλέπτης ἐστί τις καὶ ἄδικος, λέγει μὴ νεμεσᾶν καὶ μέμφεσθαι τοῖς
15 πέλας, εἴ γε καὶ οὗτοι δρῶσι ταῦτα ἤτοι τὸ κλέπτειν καὶ τὸ ἀδικεῖν, ὁ
δὲ μὴ ποιῶν ἤτοι ὁ μὴ κλέπτων δῆλον ὅτι νεμεσᾷ τῷ κλέπτῃ. [b 5]
καὶ τοὺς ἐξαγγελτικοὺς ἤτοι τοὺς μὴ φυλάσσοντας μυστήριον, ἀλλ' εἴ 20
τι ἂν ἀκούσωσι, τοῦτο καὶ λέγουσι· τὸ γὰρ μὴ δοκεῖν ἤτοι συνιέναι, οἷοί
εἰσιν οἱ ἀναίσθητοι. καὶ συναισθάνεσθαι καὶ τὸ μὴ ἐξαγγέλλειν καὶ λέγειν,
20 ἃ ἀκούσωσι, ταὐτά εἰσιν. [b 7] ἐξαγγελτικοὶ δέ εἰσιν οἱ ἀδικηθέντες παρά
τινος καὶ διὰ τοῦτο παρατηροῦντες, μή πως ἀκούσωσιν αὐτοῦ εἰπόντος
λόγον τινά, καὶ οἱ κακολόγοι ἤτοι οἱ λοίδοροι· εἰ γὰρ ὑβρίζουσι τοὺς
μὴ ἁμαρτήσαντας, πολλῷ μᾶλλον ὑβρίζουσι τοὺς ἁμαρτήσαντας. [b 11]
αἰσχύνονται καὶ ἐκείνους, ἐν οἷς μηδὲν ἀποτετυχήκασιν ἤτοι ἐν οἷς 25
25 οὐδέποτε ἀπέτυχον δεηθέντες· καὶ διὰ τοῦτο φοβοῦνται, μή ποτε νοηθέντες
αὐτῷ φαῦλοι οὐκ ἂν ἐπιτύχωσιν, οὗ δέονται. γράφεται καὶ [b 13] οὐδέν
πω ἠδοξηκότες. αἰσχυνόμεθα καὶ τοὺς πρώτόν τι δεηθέντας ἡμῶν,
εἴ γε οὐδέποτε ἐφάνημεν αὐτοῖς ἄδοξοι, ἀλλ' ὡς ἀεὶ τιμώμενοι παρ' αὐτῶν
ἐκτελοῦμεν καὶ τὴν αἴτησιν· εἰ γὰρ βουλόμεθα φίλοι τούτοις γενέσθαι, οὐκ
30 ἀποπεμπόμεθα αὐτοὺς πρώτως δεηθέντας· [b 15] τὰ γὰρ βέλτιστα 30
τίθενται ἤτοι οὐκ ἠδόξησάν ποτε παρ' αὐτοῖς, εἴπερ φιλῆσαι θέλουσιν.
[b 16] Εὐριπίδης πρὸς τοὺς Συρρακουσίους πρέσβυς ἀποσταλεὶς καὶ περὶ
εἰρήνης καὶ φιλίας δεόμενος, ὡς ἐκεῖνοι ἀνένευον, εἶπεν 'ἔδει, ἄνδρες
Συρρακούσιοι, εἰ καὶ διὰ μηδὲν ἄλλο, ἀλλά γε διὰ τὸ ἄρτι ὑμῶν δέεσθαι

1 fort. ἐπιτηδεύονται, ⟨οἱ⟩ 4. 5 τὸ ἐν ὀφθαλμοῖς εἶναι αἰδῶ Arist. 5 καὶ Vn Arist. vulg.: om. Arist. A 6 τοὺς ἀεὶ παρεσομένους μᾶλλον αἰσχύνονται Arist. 14 λέγει Vn: λέγεται Arist. 18 οἷοι V: οἷον n 20 ἠδικηθέντες n 22 λοίδωροι n 23 πολλῷ — ἁμαρτήσαντας om. n 26 αὐτῷ V: αὐτοῖς n οὗ (ante δέονται) man. δ' 1, ου ex οὗ corr. man. 2, V 27 πω V Arist.: πως n ἠδοξηκότες Vn Arist. (sed ἠξιωκότες BD, *dignificati* Tr.) τι δεηθέντας Vn Arist. vulg.: δεηθέντας τι Arist. A 29 τούτοις φίλοι n 31 τίθενται Vn: *proponuntur* Arist. Tr.: τεθέανται Arist. cet. ἡ τοῦ εὐριπίδου ἀπόκρισις post θέλουσιν add. n ex Aristotele 34 ὑμῶν, ὑ ex ἡ corr., V: ἡμῶν n

αἰσχύνεσθαι ἡμᾶς ὡς θαυμάζοντας'. τὸ δὲ ὅλον τοιοῦτόν ἐστι· φησὶν ὁ f. 35r
Εὐριπίδης πρὸς τοὺς Συρρακουσίους ὡς 'οὐ δεῖ ἀποπεμφθῆναι παρ' ὑμῶν, 35
διότι ἅπαξ ὑμῶν ἐδεήθημεν ὡς ὑμᾶς θαυμάζοντες'. [b 16] καὶ ἀπὸ τῶν
πάλαι γνωρίμων οἱ μηδὲν καθ' ἡμῶν συνειδότες κακὸν αἰσχύνονται
5 ἡμᾶς. [b 19] ἀλλὰ καὶ τὰ σημεῖα αὐτοῦ, οἷον τὸ τζιμπίσαι. καὶ
οὐ μόνον ποιοῦντες τὰ αἰσχρά, ἀλλὰ καὶ λέγοντες· ἔλεγε γὰρ καὶ
ὁ Δημόκριτος 'λόγος ἔργου σκιή'. [b 23] ὧν πολὺ καταφρονοῦσι τῆς
δόξης τοῦ ἀληθεύειν· καταφρονοῦσι γὰρ αὐτῶν, διότι, εἰ καὶ κατ' αὐτῶν
εἴπωσί τι, ἀλλ' οὐ δόξωσιν ἀληθεύειν. [b 25] ἀλλὰ τοὺς μὲν γνωρί- 40
10 μους αἰσχύνονται τὰ πρὸς ἀλήθειαν κακά, ἤτοι μή πως νομισθῶσιν,
ὅτι εἰσὶ φαῦλοι ἐν τοῖς κατὰ ἀλήθειαν οὖσι κακοῖς, οἷον ὅτι εἰσὶν ἀκόλαστοι
ἢ ἠλίθιοι. τοὺς δὲ ἄποθεν αἰσχύνονται τὰ πρὸς τὸν νόμον, ἤτοι μή
πως φωραθῶσι παρ' αὐτῶν ποιήσαντες ἐκεῖνα, ἃ τῷ νόμῳ κολάζονται,
οἷον εἰ προδότης ἐστίν· εἴ που γὰρ προσαγγείλῃ | τῷ βασιλεῖ, ὅτι προ- f. 35v
15 δότης εἰμί, κολασθήσομαι παρ' αὐτοῦ· ὁ γὰρ νόμος τοὺς προδότας κολάζει.
γράφεται καὶ τοὺς δὲ ἄποθεν τὰ πρὸς δόξαν μόνον, ἤτοι ἵνα μὴ νομι-
σθῶσι παρ' αὐτοῖς φαῦλοι ἐν τοῖς κατὰ δόξαν οὖσι κακοῖς· εἰσὶ γάρ τινα μὴ
κατὰ ἀλήθειαν ὄντα κακὰ ἀλλὰ φαινόμενα καὶ δοκοῦντά τισι κακά. [b 28]
πρῶτον μέν, εἴ τινες ὑπάρχουσιν ἔχοντες πρὸς αὐτοὺς οὕτως, ὥσπερ 5
20 ἔχειν ἔφαμεν, οὓς αὐτοὶ αἰσχύνονται· οἷον ἐπεὶ αἰσχυνόμεθα τοὺς θαυμά-
ζοντας ἡμᾶς, δηλονότι καὶ ἄλλοι αἰσχυνθῶσιν ἡμᾶς, εἴ γε διάκεινται οὗτοι
πρὸς ἡμᾶς οὕτως, ὡς ποιεῖν αὐτοὺς θαυμάζεσθαι παρ' ἡμῶν· καὶ εἰ
αἰσχυνόμεθα ἐκείνους, παρ' ὧν θαυμαζόμεθα, λοιπὸν καὶ ἄλλοι ἡμᾶς
αἰσχυνθῶσιν, εἴ γε παρ' ἡμῶν θαυμάζονται. [b 31] ἢ ὧν δέονται
25 κατά τινα χρείαν, ὧντινων οὐκ ἂν ἐπιτύχωσιν, εἴ γε δόξουσιν ἐκείνοις 10
ἄδοξοι ὡς ἀπαίδευτοι· οὐ γὰρ τὰ τῶν μυσαττομένων παρ' ἡμῶν ἐκτε-
λοῦμεν αἰτήματα. [b 32] καὶ οὗτοι οἱ θαυμάζοντες ἢ εἴ εἰσιν ὁρῶντες
ἡμᾶς, μέλλουσιν αἰσθήσεσθαι καὶ νοῆσαι ἡμᾶς ὡς πράξαντάς τι κακόν. οἱ
Λακεδαιμόνιοι καὶ οἱ Ἀθηναῖοι ἀμφισβητοῦντες, τίνι ἀνήκει ἡ Σάμος,
30 ἔθεντο κλήρους περὶ αὐτῆς. ὁ Κυδίας Λακεδαιμόνιος ἦν. [b 36] διὸ
καὶ ὁρᾶσθαι ἀτυχοῦντες· οἷον εἰ εὐδαίμων ὢν εἶχον πολλοὺς τοὺς
ζηλοῦντάς με, εἰ δυστυχήσω, αἰσχύνομαι βλέπειν ἐκείνους τοὺς ζηλοῦντας
ἐμέ. [1385 a 1] αἰσχύνονται καὶ ὅταν ἔχωσιν ἔργα τοιαῦτα, ἃ καται- 15
σχυνοῦσι τὰ ἔργα καὶ τὰς πράξεις ἢ αὐτῶν ἢ τῶν προγόνων ἢ
35 φίλων, ὑπὲρ ὧν αἰσχύνονται οὗτοι. [a 4] καὶ οἱ εἰς αὐτοὺς ἀναφερό-
μενοι· οἷον εἰ διδάσκαλος ὢν τοῦ Σωκράτους ἐποίησά τι, δι' οὗ ἀπε-
φάνθην ἀμαθής, δηλονότι καὶ τὸν μαθητήν μου ἀμαθῆ ἀπέδειξα· ὁ γὰρ
μαθητὴς πρὸς τὸν διδάσκαλον ἀναφέρεται. καὶ εἰ συνεβουλευσάμην τινὶ

---

5 αὐτοῦ Vn Arist. A: αὐτῶν Arist. vulg. τζιμπίσαι V: τεριμπίσαι editionis alterum exemplar, τελιμπίσαι alterum 7 Δημόκριτος] fr. 105 Natorp. πολὺ V Arist. A: πολλοὶ n Arist. vulg. 8 εἰ καὶ V: καὶ εἰ n 12 ἄπωθεν Arist. 16 πρὸς δόξαν μόνον Arist. E 26 τῶν n: evanuit V 33. 34 καταισχυνοῦσι V Arist. vulg.: καταισχύνουσι n: *erubescunt* Arist. Tr.: καταισχύνωσι Arist. A

ποιῆσαι τό, εἶτα ἐφάνη κακόν τι ποιήσας καὶ ἀλόγιστον, κατήσχυνα καὶ f. 35v
τὸν ἐμοὶ χρησάμενον συμβούλῳ ὡς ἀπατηθέντα καὶ μὴ χρησάμενον ἀγαθῷ 20
συμβούλῳ. [a 6] ἢ ἐὰν ὦσιν ἕτεροι ὅμοιοι, πρὸς οὓς φιλοτιμοῦνται, ἤτοι εἰ σοφοί εἰσι, πρὸς οὓς ἐπιδεικνύμεθα σοφοὶ ὄντες καὶ αὐτοί,
5 αἰσχυνόμεθα αὐτούς· καὶ δι' αὐτούς, εἰ ἐνεργοῦμεν, πολλὰ ποιοῦσι καὶ παρὰ τὴν οἰκείαν προαίρεσιν καὶ οὐ ποιοῦσι δι' αἰδῶ. [a 8] καὶ εἴ μέ τις σύνοιδεν ὡς πόρνον, εἰ μέλλω τούτῳ ὁρᾶσθαι καὶ συνδιάγειν αὐτῷ ὡς συνειδότι, αἰσχύνομαι.

7. Ἔστω δὴ χάρις, ὅταν τις ὑπουργῇ καὶ βοηθῇ τῷ δεομένῳ 25
10 χάριν ἤτοι δωρεὰν καὶ μὴ ἀντί τινος ἤτοι καὶ μὴ διότι ἔπαθε παρ' αὐτοῦ τι ἀγαθόν ποτε οὐδὲ ἐβοήθησεν αὐτῷ ὡς ἐλπίζων αὐτὸς ὁ ὑπουργήσας καὶ βοηθήσας εὑρεῖν τι ἀγαθὸν παρὰ τοῦ βοηθηθέντος, οὐδ' ἵνα αὐτῷ τῷ βοηθοῦντι γένηταί τι ὕστερον ἀγαθόν. ἀλλ' ἵνα ἐκείνῳ ἤτοι ἀλλ' ἁπλῶς δι' ἐκεῖνον τὸν δεόμενον ἐποίησεν, ὃ ἐποίησε, καὶ ἐβοήθησε.
15 [a 20] μεγάλη δὲ χάρις ἐστίν, ἐὰν ἡ χάρις καὶ ἡ βοήθεια πρός τινας 30
δεομένους σφόδρα καὶ χρείαν ἔχοντας τοῦ βοηθήσοντος· ἢ εἰ δέονται μεγάλων καὶ δυσκόλων καὶ βοηθήσομεν αὐτοῖς, καὶ οὕτω μεγάλη χάρις, ἢ εἰ ἐβοήθησα αὐτῷ τῷ δεομένῳ ἐν καιρῷ τοιούτῳ ἤτοι ἐν πολέμῳ ἤ, ὅτε παρὰ τοῦ βασιλέως δέσμιος ἐκρατεῖτο καὶ οὐ συνεχωρεῖτό τις δοῦναι αὐτῷ
20 ἄρτον, ἐγὼ δέδωκα τούτῳ ἄρτον, ἢ εἰ μόνος ἐγὼ αὐτῷ ἐβοήθησα, ἢ εἰ πολλῶν βοηθησάντων ἐγὼ πρῶτος ἐβοήθησα. [a 22] καὶ τούτων τῶν ὀρέξεων ἐκείνου αἱ ὀρέξεις τοῦ πράγματος τοῦ μὴ γινομένου μετὰ 35
λύπης, ἤτοι ὅ, ἐὰν ⟨μὴ⟩ γένηται, λύπην μοι προξενεῖ. καὶ ἐν ταῖς τοῦ σώματος κακώσεσιν, ἤτοι καὶ εἰ κολαζομένῳ τινὶ αὐτῷ ἐβοήθησα καὶ
25 ἀπήλλαξα τῆς κολάσεως. διὸ καὶ οἱ παριστάμενοι καὶ οἱ βοηθοῦντες τῷ ἐν πενίᾳ ὄντι ἢ ἐν φυγαῖς ἤτοι ἐξορίαις. [a 26] κἂν μικρὰ ὑπηρετήσωσι καὶ βοηθήσωσι διὰ τὸ μέγεθος τῆς αἰσθήσεως, ἤτοι διότι ἡσθάνθη ὁ παθὼν τὴν χάριν, ὅτι μεγάλη ἐστίν (ἐν καιρῷ γὰρ τοιούτῳ ἐβοήθησαν αὐτῷ), κεχαρισμένοι τούτῳ νομίζονται. [a 28] οἷον ὁ ἐν 40
30 Λυκείῳ τὸν φορμὸν διδοὺς ἤτοι μικρὸν καλαθίσκιον· κἂν γὰρ μικρὰ ἡ χάρις, ἀλλ' οὖν μεγάλη αὐτῷ ἐνομίσθη ὡς ἀποκεκλεισμένῳ ὄντι καὶ δι' αὐτοῦ ἐξελθόντι· ἐν τείχει γὰρ ἢ πύργῳ ἦν τις ἀποκεκλεισμένος, εἶτα διερχόμενός τις καὶ ἰδὼν αὐτὸν ἐναπόκλειστον, ἐπαφῆκε φορμὸν εἰς τὸν πύργον, οὗ ἐντὸς ἐμβληθεὶς καθῆκεν ἑαυτὸν διὰ | τοῦ πύργου ἢ τοῦ f. 36r
35 τείχους. [a 28] ἀνάγκη οὖν τὸν παθόντα ταύτην τὴν χάριν ἔχειν τὴν

1 τό V: τι n 2 συμβούλῳ scripsi: σύμβουλον Vn 3 ἢ Vn Arist. A: καὶ Arist. vulg. 7 αὐτὸ ὡς n 10 καὶ μὴ Vn: καὶ om. Arist. 11 ἐλπίζειν n 15 fort. ἐὰν ⟨ἡ⟩, cf. Arist. 17 καὶ (ante δυσκόλων) om. n 20 ἔδωκα n 22. 23 αἱ μετὰ λύπης τοῦ μὴ γιγνομένου Arist. ATr.: αἱ μετὰ λύπης τοῦ μεταγιγνομένου Arist. vulg. 23 μὴ addidit Brandis καὶ Vn Arist. vulg.: καὶ αἱ Arist. A 25 οἱ ἐν πενίᾳ παριστάμενοι καὶ φυγαῖς Arist. 27 αἰσθήσεως Vn Arist. E: αἰτήσεως Arist. vulg.: δεήσεως Arist. A 30 διδοὺς Vn: δοὺς Arist. 33 ἐπαφῆκε V: ἀφῆκε n

ὑπουργίαν ἤτοι τὴν ἀνθυπουργίαν καὶ τὴν ἀντίχαριν ποιεῖν εἰς τοιαῦτα f. 36r
ἤτοι ἐν καιρῷ φυλακῆς ἢ πολέμου καὶ αὐτὸν ποιῆσαι τὴν αὐτὴν ἀντίχαριν
πρὸς αὐτόν, ἤτοι καλαθίσκον δοῦναι αὐτῷ ἢ ἄρτον, εἰ ἔλαβεν ἄρτον.
[a 29] εἰ δὲ μὴ τὰ αὐτὰ δύναται ποιῆσαι, ἀλλ' οὖν τὰ ἴσα ἢ τὰ μείζω. 5
5 καὶ πῶς ἔχουσιν ἤτοι διακειμένοις ἡ χάρις δίδοται αὐτοῖς. φανερόν
ἐστιν ἐκ τούτων, πῶς ἰσχύσομεν δεῖξαι μὲν τούτους ὄντας τοιούτους ἤτοι
δεομένους βοηθείας, ἢ ὅτι ποτὲ ἐδεήθησαν καὶ ἐγένοντο ἐν τοιαύτῃ
λύπῃ ἤτοι μεγάλης δεομένῃ παρηγορίας καὶ ἐν δεήσει, ἤτοι ἑαυτοὺς δὲ
δείξομεν ὑπηρετηκότας καὶ βοηθήσαντας αὐτοῖς ἐν χρείᾳ οὖσι βοηθείας.
10 καὶ ποιεῖν ἑαυτοὺς εὐχαρίστους ἤτοι μὴ παθόντας χάριν παρὰ τοῦ
δεῖνος κατὰ τὸν τότε καιρὸν ἢ ἀεὶ καὶ ὑπηρετοῦντας καὶ βοηθοῦντας. 10
[a 34] φανερὸν δὲ καὶ ἐκ τίνων δεῖ ἀφαιρεῖν τὴν χάριν καὶ ποιεῖν
εὐχαρίστους· ἔστι γὰρ λέγειν ὅτι, εἰ καὶ ἐβοήθησάς μοι, ἀλλὰ χάριν
ἑαυτοῦ ὑπηρέτησας καὶ ἐβοήθησας ἐμοὶ ἢ ὑπηρετεῖς· ἔδει γὰρ βοηθῆσαί
15 μοι, ἢ διότι ἐγὼ μεῖζόν σοι ἐβοήθησά ποτε, σὺ δὲ ἔλαττον ἐβοήθησας,
ἢ ὅτι ἐβοήθησά σοι καὶ ταῦτα μὴ δεηθέντι. [b 2] τοῦτο δὲ οὐκ ἦν
χάρις ἤτοι τὸ βοηθῆσαί μοι χάριν ἑαυτοῦ ἤτοι διὰ τὸ ἐλπίζειν μᾶλλον
ἑαυτὸν ὠφεληθῆναι ἐκ τῆς πρὸς ἐμέ σου βοηθείας ἢ τὸ ἔλαττον βοηθῆσαί 15
μοι καὶ ταῦτα βοηθήσαντί σοι καὶ μὴ δεηθέντι. ἢ ὅτι ἀπὸ τύχης μοι
20 ἐβοήθησας ἤτοι κατὰ τύχην ἢ κατὰ τύχην ἔσυρας τὸν φορμόν, ὁ δὲ εἰς
τὸν πύργον ἔπεσεν. [b 2] ἢ ἠναγκάσθησαν ἤτοι ὅτι βίᾳ· βιασθεὶς γὰρ
ἐβοήθησάς μοι. ἢ ὅτι ἀπέδωκαν· οἷον παθών σου ἀγαθὰ πολλὰ παρ'
ἐμοῦ ἀπέδωκάς μοι τὴν ἀντίχαριν· χρεώστην σε γὰρ εἶχον. εἴτε εἰδότες
εἰσὶν ἤτοι γνωρίζοντες ὅτι, ὃ ἐποίησας εἰς ἐμέ, ἀπόδοσίς ἐστι καὶ χάρις, 20
25 εἴτε καὶ μή, ἢ ὅτι μεῖζον ἐγὼ εὐηργέτησα αὐτούς, αὐτοὶ δὲ ἔλαττόν μοι
ἀπέδωκαν, ἢ ὅτι ὑπηρέτησαν καὶ ἐβοήθησαν ἐμοὶ μὴ δεηθέντες καὶ παρα-
καλεσθέντες παρ' ἐμοῦ, ἀλλὰ διότι εὐηργετήθησαν αὐτοὶ πολλὰ παρ' ἐμοῦ·
τοῦτο δὲ οὐκ ἦν χάρις τὸ ἐνδείξασθαι εἰς ἐμὲ τοιαῦτα, ἃ ἐγώ ποτε εἰς
αὐτούς· [b 4] ἀμφοτέρως γάρ, εἴτε ἐγίνωσκον παρ' ἐμοῦ εὐεργετη-
30 θέντες εἴτε καὶ μή, τὶ ἀντί τινός ἐστιν ἤτοι ἀντίχαρίς ἐστιν, ὃ ἐποίησαν
εἰς ἐμέ, καὶ οὐ χάρις. [b 5] καὶ περὶ ἁπάσας τὰς δέκα κατηγορίας 25
σκεπτέον, εἰ τὸ γενόμενον χάρις ἐστίν. ἢ ὅτι τοδὶ δέδωκας αὐτῷ ἤτοι
ζῷον ἢ δοῦλον ἢ τοσονδὶ ἤτοι δέκα λίτρας ἢ τοιονδὶ οἷον σκεῦός τι
χρυσοῦν, αὐτὸς δὲ δέδωκέ σοι φορμὸν ἢ ἄρτον, καὶ ποτὲ ἐβοήθησας αὐτῷ
35 ἤτοι ἐν καιρῷ περιστάσεως καὶ ποῦ ἤτοι ἐν τόπῳ τοιούτῳ, ἔνθα οὐκ ἦν

---

1 τοιαῦτα Vn Arist. vulg.: ταῦτα Arist. A 7 ἐν Vn Arist. vulg.: ἐν τῇ Arist. A
8 λύπῃ καὶ δεήσει Arist. A: δεήσει καὶ λύπῃ Arist. vulg. fort. post δεήσει ἤτοι interpretamentum verbi δεήσει excidit 10 εὐχαρίστους Vn: ἀχαρίστους Arist., quod hoc locum rectum est; infra v. 13 εὐχαρίστους mutandum non est. auctor duo scholia diversa descripsisse videtur ratione non habita diversae eorum lectionis 20 ἢ V: οἷον n
21 ἠναγκάσθησαν Vn Arist. vulg.: συνηναγκάσθησαν Arist. A 23. 25 εἴτε εἰδότες εἴτε μή Arist. vulg.: εἴτε εἰδὼς εἴτε μὴ εἰδώς Arist. A 28 τοῦτο n: evanuit V
29. 30 εὐεργετηθέντος n 30 τὶ Vn Arist. vulg.: τὸ Arist. A 33 τοσονδὶ Vn Arist. vulg.: τοσόνδε Arist. A τοιονδὶ Vn Arist. vulg.: τοιόνδε Arist. A

δυνατόν τινα εἰσελθεῖν, αὐτὸς δὲ ἐβοήθησέ σοι οὐκ ἐν καιρῷ περιστάσεως f. 36r
οὐδ' ἐν τοιούτῳ τόπῳ. [b 7] σημεῖον δὲ τοῦ μὴ εἶναι χάριν, εἰ μὴ 30
ὑπηρέτησεν ὅδε ποτὲ τῷ βοηθήσαντι αὐτῷ νῦν ἔλαττον ἤτοι ὀλίγον,
αὐτὸς δὲ νῦν ὀλίγον ὑπηρέτησε· καὶ εἰ τοῖς ἐχθροῖς ἢ ταὐτὰ ἢ τὰ
5 ἴσα ἢ μείζω, ἤτοι εἰ μὴ μόνον εἰς ἐμὲ φίλον ὄντα τοιαῦτα ἐνεδείξατο
ἀγαθά, ἀλλὰ καὶ εἰς τοὺς ἐχθροὺς αὐτοῦ τοιαῦτα ἐνδείκνυται ἢ ἴσα ἢ
μείζω ἢ ταῦτα ἃ ἐποίησεν εἰς ἐμὲ τὰ ἀγαθά, οὐ χάριν ἐμοῦ ταῦτα
ἐποίησεν, ἀλλὰ διότι ἐκ τούτου καὶ εἰς αὐτὸν ἀνέτρεχέ τις ὠφέλεια, ἢ
δέδωκέ μοι τόνδε τὸν ἵππον εἰδὼς αὐτὸν φαῦλον ἤτοι στασιάριν ἤ τι ἄλλο 35
10 πάθος ἔχοντα· φαύλου δὲ οὐδεὶς δέεται.

8. Ὁ ἔλεός ἐστι λύπη ἐπὶ φαινομένῳ κακῷ φθαρτικῷ, ἤτοι
ὅταν τις λυπῆται ἐπί τινι παθόντι φαινόμενον κακὸν φθαρτικὸν καὶ λυπηρὸν
καὶ ταῦτα μὴ ὄντι ἀξίῳ παθεῖν τοιαῦτα κακὰ ἀλλὰ μᾶλλον ἀγαθά, ἅτινα
(τὰ κακὰ τὰ ἐπισυμβάντα τῷδε τῷ ἀνθρώπῳ) προσδοκήσει καὶ οὗτος ὁ
15 λυπούμενος παθεῖν, ἤ τις τῶν αὐτοῦ ἤτοι ἢ φίλων ἢ συγγενῶν· καὶ
μᾶλλον, εἰ φαίνονται ταῦτα τὰ κακὰ πλησίον ἤδη ἐγγίζοντα καὶ ἐπιφερό- 40
μενα τῷ λυπουμένῳ καὶ ἐλεοῦντι. [b 18] καὶ τοιοῦτον κακὸν ἤτοι
φθαρτικόν, οἷον εἴπομεν ἐν τῷ ὅρῳ, τὸ μὲν ὅμοιόν ἐστι τὸ ἀπαραλ-
λάκτως ὂν τοιοῦτον, τὸ δὲ παραπλήσιόν ἐστι τὸ πῇ μὲν ἐοικὸς ἑαυτῷ,
20 πῇ δὲ καὶ διαλλάττον. οὔτε γοῦν ἐλεοῦσιν οἱ παντελῶς ἀπολωλότες
ἤτοι παθόν|τες πάντα τὰ δεινὰ καὶ μηκέτι προσδοκῶντες παθεῖν τι διὰ τὸ f. 36v
μηδέν τι καταλειφθῆναι τῶν κακῶν, ὃ οὐκ ἔπαθον, οὔτε ⟨οἱ⟩ ὑπερευδαι-
μονεῖν οἰόμενοι ἤτοι οἱ εἰς ἄκρον εὐδαιμονίας ἐλθόντες ἐλεοῦσιν, ἀλλ'
ὑβρίζουσι καὶ ὑπερηφανεύονται· ἐπειδὴ γὰρ πάντα τὰ ἀγαθὰ ἔχουσιν,
25 ἔστι δὲ ἀπὸ τῶν ἀγαθῶν καὶ τὸ μὴ ἐνδέχεσθαι παθεῖν τι κακόν,
λοιπὸν καὶ τοῦτο τὸ μὴ ἐνδέχεσθαι παθεῖν τι κακὸν ὑπάρχει αὐτῷ. [b 24] 5
εἰσὶ δὲ τοιοῦτοι, οἷοι νομίζειν παθεῖν ἄν, ἤτοι οἱ δυνάμενοι παθεῖν
κακόν τι, οἱ πεπονθότες κακόν τι καὶ διαπεφευγότες· οἱ γὰρ γηραιό-
τεροι διά τε τὸ φρονεῖν καὶ τὴν πολυπειρίαν πάντα ἐλπίζουσι παθεῖν τὰ
30 δεινά· ἀλλὰ καὶ οἱ πεπαιδευμένοι εὐλόγιστοί εἰσιν ἤτοι συλλογίζονται
παθεῖν ποτε τὰ δεινά. [b 28] ἐλπίζουσι παθεῖν τὰ δεινὰ καὶ οἱ ἔχοντες
γονεῖς ἢ τέκνα ἢ γυναῖκας· καὶ γὰρ ταῦτα, ἅτινα πάσχουσιν οἱ παῖδες ἢ 10
αἱ γυναῖκες, αὐτοῦ εἰσιν ἤτοι ὡς ἴδια κακὰ λογίζεται τὰ ἐπεισφρήσαντα
τῇ γυναικὶ ἢ τῷ παιδὶ κακά, καὶ δυνατά εἰσιν αὐτὰ τὰ τέκνα καὶ αἱ
35 γυναῖκες παθεῖν τὰ εἰρημένα ἤτοι τὰ φθαρτικὰ κακά. [b 30] καὶ γὰρ

---

2 εἰ ἔλαττον μὴ Arist. 3 ὑπηρέτησεν Vn Arist. vulg.: ὑπηρέτησαν Arist. A 4 ὑπηρέτησεν n τὰ om. Arist. 7 ἢ ταυτὰ n 11 ὁ om. n Arist. λύπη τις ἐπὶ Arist. 14 καὶ οὗτος Vn: κἂν αὐτὸς Arist. 15 ἑαυτοῦ n 16. 17 ἐπιφερόμενα V: ἐπιφαινόμενα n 17 τοιοῦτο Arist. 20 ἐλεοῦσιν post ἀπολωλότες Arist. 22 ἔπαθεν n: ἔπαθον V οἱ addidi ex Aristotele 25 τι Vn Arist. vulg.: μηδὲν Arist. A 28 οἱ Vn Arist. vulg.: οἵ τε Arist. A πεπονθότες ἤδη Arist. 30 εὐλόγιστοι γάρ Arist. 31 δὲ post ἐλπίζουσι add. n 35 τὰ εἰρημένα Vn Arist. A: διὰ τὰ εἰρημένα Arist. vulg.

ταῦτα ἤτοι ἡ ὀργὴ καὶ τὸ θάρρος ἀλόγιστά εἰσιν ἤτοι ποιοῦσι τὸν f. 36ᵛ
ὀργιζόμενον ἢ τὸν θαρροῦντα μὴ λογίζεσθαι, ὡς ἐπισυμβήσεται αὐτοῖς τι
κακόν· διὰ τοῦτο γὰρ καὶ οἱ ἀνδρεῖοι ὡς θαρροῦντες καὶ ὀργίλοι οὐκ
ἐλεοῦσιν. [b 31] ἀλλὰ καὶ οἱ μὴ ὄντες ἐν ὑβριστικῇ διαθέσει ἤτοι 15
5 οἱ μὴ διακείμενοι καὶ μὴ θέλοντες πάντας ὑβρίζειν ἐλεοῦσι καὶ οὗτοι· καὶ
γὰρ οὐδὲ οὗτοι οἱ ὑβρισταὶ λογίζονται παθεῖν τι κακὸν καὶ διὰ τοῦτο οὐκ
ἐλεοῦσιν· ἀλλ' οἱ μεταξὺ τούτων ἐλεοῦσιν οἱ μήτε πάντῃ ὀργίλοι ὄντες
μήτε πάντῃ θαρροῦντες, ἀλλ' οἱ μέσον πως ἔχοντες. [b 33] οὔτε οἱ
φοβούμενοι σφόδρα· οἱ γὰρ ἐκπεπληγμένοι διὰ τὸν φόβον οὐκ
10 ἐλεοῦσι διὰ τὸ εἶναι πρὸς τῷ οἰκείῳ πάθει ἤτοι διὰ τὸ ὅλοι τοῦ 20
πάθους γενέσθαι· καὶ γὰρ οἱ ἐν κλύδωνι κατασχεθέντες καὶ κινδυνεύοντες
ποντισθῆναι, εἰ ἐκπλαγεῖς τῷ φόβῳ γένωνται, οὐκ ἄν ποτε ἐλεήσωσι τὸν
συμπλέοντα αὐτοῖς, εἴ γε ὁρῶσιν αὐτὸν ἐλεεινὰ θρηνοῦντα διὰ τὸν κίνδυνον·
εἰ δὲ μήτε ἄγαν φοβηθῶσι τὸν κλύδωνα μήτε πάλιν πολλὰ θαρροῦσιν,
15 ἐλεήσουσιν οὗτοι τὸν συμπλέοντα καὶ παραθαρρυνοῦσιν. ἐλεοῦσι καὶ τοὺς
ἐπιεικεῖς· [b 35] ὁ γὰρ μηδένα οἰόμενος ἐπιεικῆ οἰήσεται πάντας
ἀξίους τοῦ παθεῖν τὰ κακά. [1386 a 1] καὶ ὅλως ἐλεοῦσι βλέποντές τινα 25
κακῶς πάσχοντα οἱ ἀναμιμνησκόμενοι, ὅτι τοιαῦτά ποτε καὶ αὐτοὶ ἔπαθον
ἢ φίλοι αὐτῶν, ἢ καὶ ἐλπίζοντες παθεῖν ποτε τοιαῦτα. [a 11] ἐλεεινόν
20 ἐστι καὶ τὸ αἶσχος ἤτοι τὸ δυσειδὲς καὶ ἡ ἀσθένεια καὶ ἡ ἀναπηρία
ἤτοι τὸ βεβλαμμένον. καὶ τὸ ὅθεν προσῆκεν ἀγαθὸν πρᾶξαι ἤτοι
καὶ τὸ παθεῖν τι κακόν, ἀφ' οὗ ἤλπιζε καὶ ἔδει παθεῖν τι ἀγαθόν. καὶ
τὸ γενέσθαι τι ἀγαθὸν τῷ πεπονθότι, οἷον ὁ Διοπείθης ἔπαθέ τι 30
κακὸν ἤγουν τὸ ἐξορισθῆναι παρὰ βασιλέως· καὶ ὅτε ἔμελλεν ἐπισυμβῆναι
25 αὐτῷ τι ἀγαθὸν ἤτοι ὅτε ἤδη ἤγγιζεν ἡ βασιλικὴ πρόσταξις ἡ συμπαθοῦσα
αὐτὸν καὶ ἐπανακαλουμένη τῆς ἐξορίας καὶ ἤδη ἦλθεν εἰς τὸν τόπον, ἔνθα
ἐξωρίσθη, ἀπέθανεν ὁ Διοπείθης· ἐλεεινὸν γοῦν ἐστι τὸ ἀποθανεῖν αὐτὸν
πρὸ τοῦ ἐπαπολαῦσαι τῆς συμπαθείας. [a 15] ἐλεεινόν ἐστι καὶ τὸ μηδὲν
παθεῖν ποτε ἀγαθὸν ἢ γενομένων τινὶ ἀγαθῶν μὴ ἐπαπολαῦσαι αὐτῶν,
30 ἀλλ' ἢ θανεῖν ἢ ἐξορισθῆναι. [a 17] ἐλεοῦσι τοὺς γνωρίμους, ἀλλ' οὐχὶ 35
πρὸς οὓς ἔχουσι πολλὴν τὴν οἰκειότητα καὶ συγγένειαν· τούτους γάρ, πρὸς
οὓς ἔχουσι τὴν συγγένειαν, ὡς ἑαυτοὺς ἡγοῦνται καὶ διὰ τοῦτο, εἰ ἐπισυμβῇ
τι αὐτοῖς κακόν, ὡς οἰκεῖον ἡγοῦνται. [a 21] καὶ γὰρ τοῦτο μὲν τὸ
προσαιτεῖν τὸν φίλον ἐλεεινόν ἐστιν, ἐκεῖνο δὲ τὸ ἀποθανεῖν τὸν υἱὸν
35 δεινόν· τὸ γὰρ δεινὸν ἐπίτασίς ἐστι τοῦ ἐλεεινοῦ. [a 22] καὶ πολ-
λάκις τῷ ἐναντίῳ χρήσιμον ἤτοι καὶ πολλάκις τὸ δεινὸν χρησιμεύει 40

---

7 οἱ μεταξὺ Vn Arist. A: ἀεὶ μετάξυ Arist. vulg. 12 γίνονται n 15 παραθαρρύνουσιν Vn 16. 17 πάντας οἰήσεται ἀξίους εἶναι κακοῦ Arist. 19 φίλος n αὐτῶν scripsi: αὐτοῦ Vn ἐλπίζων n 21 ἀγαθόν τι Arist. 22 ἤδει n 22. 23 καὶ τὸ πεπονθότος γενέσθαι τι ἀγαθόν Arist. vulg.: καὶ τὸ πεπονθὸς γενέσθαι τὸ ἀγαθόν Arist. A 23 διοπάθης n 27 διοπάθης n 28 μηδὲν Vn Arist. vulg.: ἢ μηδὲν Arist. A 30 θανεῖν, θα evan., V 31 καὶ n: evan. V 33 τοῦτο τὸ μὲν τὸ n 34 ἐστι n

εἰς τὸ ἐναντίον ἤτοι τὸ μὴ ἐλεεῖν· διὰ γὰρ τὴν πολλὴν λύπην οὐκ ἐλεοῦσι f. 36v
τοὺς αἰτοῦντας- [a 23] ἐλεοῦσι καὶ τοὺς ὄντας ἐγγὺς τοῦ δεινοῦ· καὶ
ἁπλῶς, ὅσα φοβεῖταί τις παθεῖν, ἐὰν ἴδῃ ταῦτα ἐπισυμβάντα ἄλλῳ, ἐλεεῖ
αὐτόν, τὰ δὲ ἐπισυμβάντα πρὸ μυρίων χρόνων τινὶ ἢ τὸν μέλλοντα παθεῖν
5 μετὰ πεντήκοντα χρόνους τι δεινὸν οὐκ ἐλε|οῦσι. [a 31] συναπεργά- f. 37r
ζεσθαί ἐστιν, ὅταν σὺν τῷ πάθει ἐργάζηταί τις καὶ ὑποκρίνηται καὶ τὰ
σχήματα τῶν πασχόντων καὶ τὰς φωνάς· [a 33] ὁ γὰρ ὑποκρινόμενος
ταῦτα πρὸ ὀφθαλμῶν ποιεῖ τὰ δεινὰ ἢ ὡς μέλλοντα ἤδη γενέσθαι ἢ ὡς
ἤδη γεγονότα. [b 4] καὶ μάλιστα, ἐὰν τελευτῶντες σπουδαῖοι καὶ ἀγαθοὶ
10 φαίνωνται ἐν τῷ καιρῷ τοῦ θανάτου· ἀγαθὸς δέ ἐστιν, εἰ σπουδάζει μὴ 5
ἀσχημονῆσαι ἐν καιρῷ τοῦ θανάτου· ὡς ὁ Εὐριπίδης παρεισάγει τὴν Πολυξένην σφαζομένην πρόνοιαν πολλὴν ποιουμένην τοῦ σώματος· [b 7] τὸ γὰρ θνήσκειν τοὺς σπουδαίους ἐλεεινόν ἐστι κατ' ἄμφω, ὡς ἀναξίους τε ὄντας τοῦ παθεῖν καὶ ὡς τοῦ πάθους ὄντος πρὸ ὀφθαλμῶν·
15 9. Τὸ γοῦν ἐλεεῖν ἐστιν, ὅταν τις λυπῆται ἐπί τινι ἀναξίως πάσχοντι
καὶ κακοπραγοῦντι, νεμεσᾶν δέ ἐστι τὸ λυπεῖσθαι ἐπὶ τῷ ἀναξίως εὐπρα- 10
γοῦντι ὡς πονηρῷ· δεῖ γὰρ λυπεῖσθαι μὲν ἐπὶ τοῖς ἀναξίως πράττουσιν ἤτοι δυσπραγοῦσι, νεμεσᾶν δὲ ἐπὶ τοῖς ἀναξίως εὖ πράττουσιν ἤτοι ἐπὶ τοῖς ἀναξίως εὐπραγοῦσι· [b 15] διὸ καὶ τοὺς θεοὺς νεμεσᾶν λέγομεν·
20 'Ζεὺς γάρ οἱ νεμεσᾷ'. [b 19] ὁ μὲν φθόνος ἐστὶ λύπη εἰς εὐπραγίαν,
ἤτοι ὅταν τις λυπῆται ἐπὶ ἀγαθῷ ἀνθρώπῳ εὐπραγοῦντι. [b 21] ἅπασι
δὲ ἤγουν καὶ τῷ φθονερῷ ἀνθρώπῳ καὶ τῷ νεμεσητικῷ δεῖ ὑπάρχειν 15
ὁμοίως τὸ λυπεῖσθαι ἐπὶ τῷ πλησίον εὐπραγοῦντι. οὐχ ἵνα μὴ ἐπισυμβῇ
αὐτῷ τι κακὸν ἀπὸ τοῦ εὐπραγῆσαι τὸν πλησίον, ἀλλ' ἵνα λυπῆται διὰ τὸ
25 εὐπραγῆσαι αὐτὸν τὸν πλησίον, καὶ ταῦτα μὴ ὑποπτεύων παθεῖν τι κακὸν
ἐκ τοῦ πλουτῆσαι ἐκεῖνον· ὅταν γὰρ λυπῆταί τις ἐπὶ τῷ πλησίον εὐπρα-
γοῦντι δι' αὐτὸ τοῦτο ἤτοι διὰ τὸ ὑπάρξαι αὐτῷ τι φαῦλον καὶ κακὸν
ἀπὸ τῆς ἐκείνου εὐπραγίας, φόβος ἐστὶ τοῦτο. ἀλλ' οὐ νέμεσις. [b 26] 20
εἰ γοῦν τις λυπεῖται, ἐὰν ἴδῃ τινὰ ἀναξίως κακοπραγοῦντα, πάντως ἡσθή-
30 σεται, ἐὰν ἴδῃ τινὰ κακὸν κακοπραγοῦντα ἀξίως· ὡσαύτως δὲ εὐφρανθῇ,
καὶ ἐὰν ἴδῃ τινὰ ἀγαθὸν εὖ πράττοντα κατ' ἀξίαν· [b 32] διὰ τοῦτο γὰρ
χαίρει, διότι ἐλπίζει αὐτῷ ἀγαθῷ ὄντι ὑπάρξαι τὰ ὅμοια, ἐπεὶ καὶ τῷ
ὁμοίῳ ἤτοι τῷ ἐπιεικεῖ ταῦτα συνέβησαν. τὰ δ' ἐναντία ἤτοι τὸ λυπεῖσθαι
ἐπὶ τοῖς ἀξίως εὐπραγοῦσιν εἰσὶ τοῦ ἐναντίου ἤτοι τοῦ φθόνου. φθόνος 25
35 μέν ἐστι λύπη ἐπὶ τῷ ἐπιγινομένῳ ἀγαθῷ τινι τῶν πλησίον· [b 34]

2 ἔτι ἐλεοῦσιν ἐγγὺς (ἐγγὺς post δεινοῦ BCYb) αὐτοῖς (A; αὐτοῦ vulg.) τοῦ δεινοῦ ὄντος Arist. 7 οἱ γὰρ ὑποκρινόμενοι n 8 πρὸς n ποιεῖ scripsi: ποιοῦσι Vn 10 φαίνονται n 11 Εὐριπίδης] Hec. 569 12 σφαζομένην n 13 κατ' n: καὶ V 13. 14 ἀναξίου ὄντος Arist. ATr.: ἀναξίου τε ὄντος Arist. BC: ἀναξίους τε ὄντας Arist. cet. 16 ὃ καλοῦσι νεμεσᾶν post κακοπραγοῦντι add. n ex Aristotele (manu posteriore in marg. add. V) 20 Ζεὺς κτλ.] Hom. A 543 νεμέσασκε vel νεμέσησ' Arist. p. 1387a35 εἰς εὐπραγίαν Vn Arist. vulg.: ἐπὶ εὐπραγίᾳ Arist. A (ἐπὶ man. rec., quae et v delevit) 21 ἅπασιν Arist. A: πᾶσιν Arist. vulg. 22. 23 ὁμοίως δεῖ ὑπάρχειν Arist. 24 διὰ τὸ V: ἀπὸ τοῦ n 27 δι' αὐτὸ τοῦτο Arist. vulg.: διὰ τοῦτο Arist. A 30 κακὸν om. n 31 ἀγαθὸν ex ἀγαθὰ corr. V: ἀγαθὰ n

ἐπιχαιρέκακος δέ ἐστιν, ὅταν τις χαίρῃ, εἰ ἴδῃ τὸν πλησίον στερηθέντα f. 37r
τοῦ ἐνόντος αὐτῷ ἀγαθοῦ. [1387a4] ὥστε ταῦτα, ἃ εἴπομεν, χρησι-
μεύουσί σοι, ὥστε δεικνύειν μὴ ἐλεεινὰ ὄντα τὰ ἐπισυμβάντα τινὶ ἐκ τοῦ
λέγειν, ὅτι ἀξίως τοῦτο πέπονθεν. [a 11] οὐδεὶς γὰρ νεμεσᾷ τῷ ἀνδρείῳ
5 ἢ τῷ ἔχοντι ἄλλην τινὰ ἀρετήν, ἐπεὶ οὐδὲ ἐλεοῦμεν τοὺς ἐναντίους τούτοις
ἤτοι τοὺς δειλοὺς καὶ τοὺς ἀδίκους, ἀλλὰ νεμεσᾷ τις ἐπὶ πλούτῳ καὶ 30
δυνάμει καὶ τοῖς τοιούτοις. εἰ δὲ δύο τινὲς ἔχουσι τὸν πλοῦτον, ὁ
μὲν νεωστὶ τοῦτον κτησάμενος, ὁ δὲ ἔκπαλαι, νεμεσῶμεν μᾶλλον τῷ
νεωστὶ τοῦτον κτησαμένῳ. [a 20] καὶ διὰ γένους ἤτοι ἐκ γένους τὸν
10 πλοῦτον ἔχοντες. κἂν διὰ ταῦτα ἤτοι τὸ εἶναι πολυφίλοις ἐπιγένηται
αὐτοῖς τι ἀγαθόν, ὡσαύτως νεμεσῶσιν· ἐλλειπτικῶς νοητέον, ὡσαύτως
νεμεσῶσιν, εἰ ἐκ νέου αὐτοῖς ἐπιγένηται. [a 25] ὅτι οἱ μὲν ἤτοι οἱ
ἀρχαιόπλουτοι δοκοῦσιν ἔχειν τὰ οἰκεῖα, οἱ δέ, οἱ νεόπλουτοι, οὐ δοκοῦσιν 35
ἔχειν τὰ οἰκεῖα· τὸ γὰρ ἀεὶ καὶ ἔκπαλαι φαινόμενον οὕτως ἔχον
15 ἀληθές· ὥστε οἱ ἕτεροι, οἱ νεόπλουτοι, οὐ τὰ αὐτὰ ἔχειν δοκοῦσιν
ἀλλὰ τὰ ἀλλότρια. [a 27] καὶ ἐπεὶ ἕκαστον ἀγαθὸν οὐχὶ ἁρμόζει τῷ
τυχόντι, ἀλλ' ἔστι τις ἀναλογία καὶ ἐπ' αὐτῷ, οἷον τῷ μὲν ἀνδρείῳ
ἁρμόττει τὸ κάλλος τῶν ὅπλων καὶ οἱ γάμοι οἱ διαφέροντες ἤτοι
ὑπερβάλλοντες ἁρμόττουσι τοῖς εὐγενέσιν, εἰ γοῦν ἐπιγένηταί τινι ἀγαθόν, 40
20 οὐχὶ ἀναλόγως νεμεσῶμεν τούτῳ. [a 32] νεμεσῶμεν καὶ εἰ ὁ ἥττων
ἀμφισβητεῖ τῷ κρείττονι, καὶ μάλιστα νεμεσῶμεν τοὺς ἐπὶ τῷ αὐτῷ,
οἷον εἴ εἰσιν οἱ δύο ἀνδρεῖοι ἢ μουσικοί, εἰ ὁ ἥττων ἀμφισβητεῖ τῷ
κρείττονι ("Αἴαντος δ' ἀλέεινε μάχην" ὁ Ἕκτωρ), εἰ δὲ μὴ ἤτοι
εἰ δὲ μή εἰσιν | ὁμότεχνοι ἢ τὴν αὐτὴν ἔχουσιν ἀρετήν, ἀλλ' οὖν νεμε- f. 37v
25 σῶμεν τὸν ἔχοντα τὴν ἥττονα τέχνην ἢ τὴν ἀρετήν, εἴ γε ἀμφισβητεῖ τῷ
ἔχοντι μείζονα τέχνην ἢ μείζονα ἀρετήν. [b 2] ἡ δικαιοσύνη κρείττων
τῆς μουσικῆς. νεμεσητικοὶ δέ εἰσιν οἱ μεγάλων ἀγαθῶν ὄντες
ἄξιοι· καὶ ταῦτα ἔχοντες νεμεσῶσιν, εἴ γε ἴδωσί τινα μὴ ὄντα ἄξιον
τούτων τῶν ἀγαθῶν μηδὲ ὅμοιον ὄντα αὐτοῖς ἢ τῇ ἀρετῇ ἢ τῇ εὐγενείᾳ 5
30 ἔχοντα ταῦτα τὰ ἀγαθά. [b 7] δεύτερον δέ, ἂν ὦσί τινες ἀγαθοὶ καὶ
σπουδαῖοι ἤτοι ἐνάρετοι ⟨καὶ⟩ τυγχάνουσιν ἐκείνων τῶν ἀγαθῶν· οἱ τοιοῦ-
τοι γὰρ κρίνουσιν εὖ καί, εἰ ἴδωσι μὴ σπουδαῖον ἔχοντα τὰ ἀγαθὰ ταῦτα,
νεμεσῶσι τοῦτον καὶ μισοῦσιν ὡς ἄδικον. [b 9] καὶ ὀρεγόμενοί τινων
μεγάλων πράξεων νεμεσητικοὶ καὶ οὗτοι. [b 11] καὶ ὅλως οἱ ἀξιοῦντες

---

1 χαίρει n 2 ἃ V: om. n 3 τὰ ἐπισυμβάντα om. n 4 οὐδεὶς γὰρ Vn Arist. vulg.: οὐ γὰρ Arist. A νεμεσᾷ Vn Arist. vulg.: νεμεσήσει Arist. A 9 γένους Vn Arist. ABCDYbZb: γένος Arist. cet. 10 κἂν Vn Arist. vulg.: καὶ ἂν Arist. A πολυφίλους n 13 τὰ αὐτῶν ἔχειν Arist. οἱ (post δέ) om. n 14 καὶ om. n οὕτω φαινόμενον ἔχειν Arist. 15 οἱ (post ἕτεροι) om. n αὐτὰ Vn: αὐτῶν Arist. 17 ἀλλά τις ἔστιν Arist. 18 γάμοι διαφέροντες Arist. vulg.: γάμοι ἁρμόττοντες Arist. A 20 οὐχὶ V: οὐχ ἵνα n 21 ἐπὶ Vn: ἐν Arist. 23 Αἴαντος κτλ.] Hom. Λ 540 30 τὰ om. n ὦσι τινὲς Vn: ὄντες Arist. 31 καὶ add. n: om. V τυγχάνουσιν V: τυγχάνωσιν n Arist. 34 πράξεων Vn Arist. vulg.: πραγμάτων Arist. AC

ἑαυτοὺς ἀγαθῶν, ὧν ἄλλους μὴ ἀξιοῦσιν ἤτοι ἀναξίους κρίνουσι, νεμε- f. 37v
σητικοὶ τούτοις εἰσὶν [ὡς ἔχοντες] ὡς ἔχουσιν, ὧν ἀνάξιοί εἰσιν ἔχειν, 10
καὶ τούτων ἕνεκεν τῶν ἀγαθῶν. [b 15] ἢ μὴ τυγχάνουσιν, ὧν
ζητοῦσιν ἀγαθῶν, δεῖ χαίρειν καὶ ἀλύπως ἔχειν. ὥστε ἂν ὁ λόγος
5 παρασκευάσῃ τοὺς κριτὰς τοιούτους ἤτοι νεμεσητικοὺς καὶ δείξῃ μὴ
ὄντας ἀξίους τυχεῖν ἐλέους τὸν ἀξιοῦντα ἐλεηθῆναι, ἀδύνατον τοὺς κριτὰς
ἐλεεῖν τοὺς ἀξιοῦντας ἐλεηθῆναι· ὁ γὰρ λόγος ἐκβολὴν ἐλέους ἐποίησεν.

10. Ὁ φθόνος λύπη τίς ἐστι περὶ τοὺς ὁμοίους ἢ τῇ δόξῃ ἢ
τῇ εὐγενείᾳ· φθονοῦσι δὲ αὐτοῖς οὐχί, διότι αὐτοῖς μέλλει γενέσθαι τι 15
10 κακὸν ἐκ τῆς ἐκείνων εὐπραγίας, ἀλλὰ δι' ἐκείνους τοὺς πλησίον λυποῦνται,
ὅτι εὐημέρησαν. [b 25] εἰσί τινες ὅμοιοι ἢ τῇ ἀληθείᾳ ἢ φαίνονται
μέν, οὐκ εἰσὶ δέ. φθονοῦσι καὶ οἱ ἔχοντες πάντα τὰ ἀγαθά· ἐπεὶ γὰρ
πάντα ἔχουσι τὰ ἀγαθά, ὡς οἰκεῖα ταῦτα ἡγοῦνται καὶ διὰ τοῦτο. εἰ ἴδῃ
τινὰ ἔχοντά τι τῶν ἐνόντων αὐτῷ ἀγαθῶν, φθονεῖ τούτῳ ὡς ἔχοντι τὸ
15 ἑαυτοῦ· [b 29] πάντας γὰρ τοὺς ἔχοντάς τι ἀγαθὸν οἴονται φέρειν 20
καὶ ἔχειν τὰ ἑαυτῶν ἀγαθά. καὶ οἱ τιμώμενοι ἐπὶ σοφίᾳ φθονοῦσιν,
εἰ ἀκούσουσιν ἕτερον ὄντα σοφόν. [b 33] καὶ οἱ μικρόψυχοι φθονεροί·
διότι γὰρ δοκεῖ αὐτοῖς πάντα μεγάλα, διὰ τοῦτο, κἂν ἴδωσί τινα φοροῦντα
ζωνάριον, μέγα τοῦτο δοκεῖ αὐτοῖς καὶ διὰ τοῦτο φθονοῦσι. [1388 a 4]
20 καὶ περὶ ταῦτα τὰ πράγματα καταγίνεται ὁ φθόνος, ὧν τῇ κτήσει ἢ
μικρῷ ὑπερέχουσί τινων ἐχόντων καὶ ἐκείνων ταῦτα ἢ μικρῷ ἐλλεί- 25
πουσι, καὶ διὰ τοῦτο φθονοῦσι καὶ τοῖς ἔχουσι ταῦτα, ὧν ἢ μικρῷ ὑπερ-
έχουσιν ἢ μικρῷ ἐλλείπουσι. φθονοῦσι γὰρ τῷ ἐγγὺς ἢ χρόνῳ ἤτοι
τοῖς ὁμήλιξιν· οὐδέποτε γὰρ ὁ παῖς φθονήσει τῷ γέροντι. οὐδὲ ὁ ἐν
25 Ἀλεξανδρείᾳ φθονήσει τῷ Μακεδόνι· οἱ γὰρ ὁμόχωροι ἀλλήλοις φθονοῦσι.
[a 7] τοῦ Αἰσχύλου τοῦ ποιητοῦ ἐστι

"τὸ συγγενὲς γὰρ καὶ φθονεῖν ἐπίσταται".

[a 8] φιλοτιμοῦνται δὲ καὶ ἐπιδείκνυνται πρὸς τοὺς εἰρημένους ἤτοι
τοὺς ἐγγὺς καὶ τόπῳ καὶ χρόνῳ καὶ ἡλικίᾳ. οὐδεὶς φθονεῖ οὔτε τῷ ὄντι 30
30 πρὸ μυρίων χρόνων οὔτε τῷ ἐσομένῳ μετὰ μυρίους χρόνους οὐδὲ τῷ ἐφ'
Ἡρακλείαις στήλαις ὄντι. οὐδὲ φθονοῦσι, ὧν κατὰ πολὺ λείπονται,
εἴτε αὐτοὶ ἑαυτοὺς οἴονται ἐκείνων λείπεσθαι, εἴτε ἄλλοι νομίζουσιν
ἐκείνων τούτους λείπεσθαι. [a 12] ὡσαύτως καὶ πρὸς τούτους
τοὺς ὁμοίους ἤτοι τοὺς ὁμοιοτέχνους ὁ φθόνος γίνεται ἢ ὁμοφύλους

---

1 αὐτοὶ αὐτοὺς Arist. ἀναξίως n 2 ὡς ἔχοντες V: οὕτως ἔχοντες n: delevi
4 καὶ V: om. n: ἢ Arist. δεῖ post ἔχειν Arist. 4. 5 ὥστ' ἐὰν τούς τε κριτὰς τοιούτους παρασκευάσῃ ὁ λόγος Arist. 6 τὸν ἀξιοῦντα Vn: exspectaris τοὺς ἀξιοῦντας
9 αὐτοῖς (post δὲ) V: αὐτοὺς n 10 τοὺς V: τὸν n 15. 16 τὰ αὐτῶν φέρειν Arist.
17 οἱ Vn Arist. vulg.: om. Arist. A 20 τῇ κτήσει ἢ Vn: τῇ κτήσει Arist. A: αὐτοὶ τῇ κτήσει Arist. vulg. 23 τῷ Vn: τοῖς Arist. ἢ V: καὶ Arist.: ἢ τῷ n 24 ὁμθλιξιν n 25 ἀλλήλους n 26 Αἰσχύλου] fr. 305. F. T. G.² p. 95 N. 27 γὰρ καὶ Vn Arist. vulg.: καὶ γὰρ Arist. A 31 φθονοῦσιν n
33 τούτους καὶ περὶ τὰ τοιαῦτα Arist. vulg.: τοὺς περὶ τὰ τοιαῦτα Arist. A
34 ὁμοφυλους V

ἢ ὁμήλικας· καὶ περὶ τὰ τοιαῦτα ἃ εἴπομεν ἀγαθὰ ἀνάγκη τούτοις τοῖς f. 37ᵛ
ἀνταγωνισταῖς φθονεῖν καὶ ἀντερασταῖς. καὶ οἱ μόλις κτησάμενοι ἢ πλοῦτον 36
ἢ σοφίαν ἢ ἄλλο τι φθονοῦσι τοῖς ταχέως ταῦτα κτησαμένοις. καὶ οἱ μὴ
τυχόντες τούτων τῶν ἀγαθῶν βραδέως φθονοῦσι τοῖς τυχοῦσι τούτων
5 ταχέως. [a 17] φθονοῦμεν καὶ περὶ ἐκεῖνα, ἃ εἰ κατορθωθῶσιν ἄλλοις
καὶ εἰ ταῦτα ἄλλοι κέκτηνται, ἡμεῖς δὲ ταῦτα οὐ κατορθώσομεν, ὄνειδος
ἡμῖν ἐπιγίνεται. εἰσὶ δὲ καὶ οὗτοι οἱ κατορθώσαντες ταῦτα καὶ ἐγγὺς 40
ἡμῶν καὶ τῷ τόπῳ καὶ τῷ χρόνῳ καὶ ὅμοιοι, οἷον εἰ ἴδωσί τινες τὸν
ὁμήλικά μοι καὶ ὁμότεχνον γενόμενον ἄρχοντα, ἐμὲ δὲ μὴ γενόμενον,
10 ὀνειδίζουσί με· [a 19] φαίνεται γάρ, ὅτι παρ' αὐτοὺς ἤτοι δι' ἐμέ, ἤτοι
ἐγὼ ἐγενόμην αἴτιος ἑαυτῷ τοῦ μὴ γενέσθαι με ἄρχοντα ποιήσας ἑαυτὸν
φαῦλον καὶ ἀνάξιον τῆς τοιαύτης | δόξης. ὥστε τοῦτο τὸ ὀνειδίζεσθαί f. 38ʳ
με παρὰ πάντων διὰ τὸ ἐκεῖνον μὲν γενέσθαι ἄρχοντα, ἐμὲ δὲ οὔ, λυποῦν
ἐμὲ ἀπογεννᾷ τὸν φθόνον ἐν ἐμοί. [a 21] φθονοῦμεν καὶ τοῖς ἔχουσι
15 ταῦτα, ὅσα προσῆκεν ἡμῖν ἔχειν, ἤτοι ὅσα ἡμεῖς ἔχομεν, ἢ εἴχομέν
ποτε. [a 25] ὥστε ἂν αὐτοὶ μὲν ἢ οἱ δικασταὶ ἢ ἀκροαταὶ ἢ οἱ κύριοι
παρασκευασθῶσιν οὕτως ἔχειν, ὡς νομίζειν ἐκείνους τοὺς ἐλεη- 5
θῆναι αἰτοῦντας μὴ ἀξίους τοιούτων καὶ ἐλέους, οἱ δὲ ἀξιούμενοι ἐλεεῖσθαί
εἰσι τοιοῦτοι, οἷοι οἱ εἰρημένοι, ἤτοι ἀνάξιοι ἐλέους τυχεῖν ἤ τινος
20 ἀγαθοῦ, δῆλον ὡς οὐκ ἐλεηθήσονται παρὰ τῶν κυρίων ἤτοι τῶν
δικαστῶν ἢ τῶν ἀκροατῶν.

11. Ἐὰν γὰρ ὁ ζῆλος λύπη τίς ἐστι παρὰ τοὺς ὁμοίους τῇ
φύσει. τότε γὰρ ζηλοῖ τις, ὅταν ἴδῃ τὸν ὅμοιον ἑαυτῷ ἢ τῷ χρόνῳ ἢ
τῇ εὐγενείᾳ τυχόντα τινῶν ἀγαθῶν ἐνδεχομένων καὶ αὐτῷ λαβεῖν,
25 ἤτοι ἃ ἐνεδέχετο καὶ αὐτὸν ἔχειν. ζηλοῖ δὲ αὐτόν, οὐχ ὅτι ἄλλῳ ἤτοι 10
οὐχ ὅτι ἐνεδέχετο ἄλλον ἔχειν ταῦτα τὰ ἀγαθά, ἀλλ' ὅτι οὐχὶ καὶ
αὐτῷ ἤτοι ὅτι οὐδὲ αὐτὸς ταῦτα ἔχει. [a 34] ὁ μὲν γὰρ ζηλῶν ἑαυτὸν
παρασκευάζει τυχεῖν τῶν ἀγαθῶν τῶν προσόντων τῷ πλησίον, ὁ δὲ
φθονῶν παρασκευάζει τὸν πλησίον μὴ ἔχειν, ἃ ἔχει ἀγαθά, διὰ τὸν
30 φθόνον. [a 36] ζηλωτικοὶ μὲν οὖν εἰσιν οἱ ἀξιοῦντες αὑτοὺς ἤτοι οἵτινες
κρίνουσι καὶ ἑαυτοὺς ἀξίους ἔχειν τὰ ἀγαθά, ἃ ἔχει ἕτερος ὅμοιος αὐτῷ· 15
ζηλοῦσι γὰρ τὰ τοιαῦτα ἀγαθὰ διὰ τὸ οἴεσθαι αὑτοὺς ἀγαθοὺς εἶναι καὶ
διὰ τοῦτο ἔχειν τὰ ἀγαθά, ἃ προσήκει ἔχειν τοὺς ἀγαθούς. [b 7] ζηλοῦσι
καὶ ἐκεῖνοι, οὓς οἱ ἄλλοι ἀξιοῦσιν ἤτοι ἀξίους τῶν τοιούτων νομίζουσιν.
35 οἰκεῖα γὰρ ἑαυτοῖς οἴονται εἶναι ταῦτα τὰ ἀγαθά. [b 13] καὶ ὅσων

---

1 ὁμήλικας n ἀνάγκη (per compend.) V: ἀνὰ n 8 καὶ ὅμοιοι Vn Arist. A: καὶ om. Arist. vulg. 9 ὁμήλικά n γενόμενον V: δεόμενον n 12 τοῦ^το τὸ V: τοῦτο om. n 13 μὲν V: μὴ n 15 ταῦτα ἢ κεκτημένοις, ὅσα (A; εἰ vulg.) αὐτοῖς προσῆκεν Arist. 16 ἢ οἱ ἀκροαταὶ n 18 τοὺς V: τοῦ n τοιούτων V: τούτων n 19 οἷοι Vn Arist. vulg.: in rasura om. Arist. A 22 παρὰ Vn: περὶ Arist. 24 ἀγαθῶν ἐντίμων καὶ ἐνδεχομένων αὐτῷ Arist. 25 ἐνδέχετο n 25. 26 ἄλλῳ ἤτοι οὐχ ὅτι om. n 26 ἐνδέχετο n 27 ὅτι om. n αὐτὸν Arist. 28 διὰ τὸν ζῆλον τυγχάνειν Arist. 34 ἐκείνους n 35 οἴονται αὐτοῖς Arist.

ἀγαθῶν ἀπόλαυσις τοῖς πλησίον ἐστίν, ἤτοι καὶ ὧν ἀρετῶν τὸ f. 38r
ἀγαθὸν παρεκτείνεται οὐ μόνον εἰς τὸν ἔχοντα ταύτας ἀλλὰ καὶ εἰς ἄλλους,
οἷον τὸ τῆς ἀνδρίας ἀγαθὸν καὶ τὸ τῆς ἐλευθεριότητος παρεκτείνεται καὶ 20
εἰς τοὺς μὴ ἔχοντας αὐτὰς καὶ τὸ τοῦ κάλλους ἀγαθὸν παρεκτείνεται οὐ
5 μόνον εἰς τὸν εὐειδῆ ἀλλὰ καὶ εἰς τοὺς ἐραστάς. [b 19] ζηλωτοί εἰσι καὶ
ἐκεῖνοι, οἷς πολλοὶ βούλονται εἶναι ὅμοιοι, ἢ οὓς πολλοὶ γνωρίζειν
θέλουσιν ἢ φίλους ἔχειν. ζηλωτοί εἰσι καὶ ἐκεῖνοι, οὓς αὐτοὶ καὶ ἡμεῖς
θαυμάζομεν. [b 24] ἀνάγκη δὲ τοὺς ἔχοντας οὕτως, ὥστε ἢ ζηλοῦ-
σθαι παρ' ἄλλων ἢ ἄλλους ζηλοῦν αὐτούς, καταφρονεῖν τούτων, ὅσοι 25
10 ἔχουσι τὰ ἀγαθῶν ἐναντία κακὰ τῶν ζηλωτῶν. τίνα δέ εἰσι ταῦτα,
ἐφθημεν εἰπόντες. [b 27] καταφρονοῦνται οἱ εὐτυχοῦντες, εἴ γε καὶ τὰ
ἔντιμα ἀγαθὰ οὐκ ἔχουσιν, οἷον ἀνδρία, κάλλος καὶ τὰ τοιαῦτα.

12. Ποῖοι δέ εἰσι κατὰ τὰ ἤθη καὶ τὰ πάθη, διέλθωμεν. [b 35]
καὶ ποῖα προαιρεῖται ἕκαστος, ἤγουν ὁ νέος, ὁ ἀνδρεῖος καὶ ὁ γηραιός,
15 καὶ τίνων εἰσὶ πρακτικοὶ ὁ νέος καὶ ὁ γηραιὸς καὶ ὁ ἀνδρεῖος. [1389a6]
ἀψίκοροι περὶ τὰς ἐπιθυμίας· συντόμως γὰρ ἐρῶσι καὶ μετὰ τὴν τοῦ 30
ἔρωτος ἀποπλήρωσιν πάλιν συντόμως μισοῦσι τὸ ἐρώμενον. καὶ οἷοι
ἀκολουθεῖν τῇ τοῦ θεοῦ ὁρμῇ. [a 10] διὰ γὰρ φιλοτιμίαν ἤτοι διὰ
τὸ φιλεῖν τὸ τιμᾶσθαι οὐκ ἀνέχονται ὀλιγωρούμενοι ἤτοι καταφρονού-
20 μενοι παρά τινων. [a 14] καὶ εἰσὶ μᾶλλον ταῦτα ἄμφω ἤτοι φιλότιμοι
καὶ φιλόνικοι παρ' ὃ φιλοχρήματοι. [a 16] ὁ Πιττακὸς ἐδίδου τῷ Ἀμφια- 35
ράῳ τῷ μάντει χρήματα. ὁ δ' οὐκ ἤθελε λαβεῖν· ὅθεν καὶ ὁ Πιττακὸς
λέγει πρὸς αὐτὸν 'σὺ δ' οὔπω χρυσῶν ἔρωτος ἐγεύσω· ἢ γὰρ ἂν χεῖρας
ἑτοίμους εἶχες λαβεῖν'. εὐήθεις εἰσίν, ὧν τὸ ἦθος εὐπεριάγωγον. καὶ
25 εὔπιστοι ἤτοι ῥᾳδίως πιστεύουσιν. [a 19] ὥσπερ γὰρ οἱ οἰνωμένοι
ἤτοι οἱ μεθύοντες ἀναλογίζονται καὶ φαντάζονται, ὡς βασιλεύσουσιν ἢ πάθωσί
τι ἕτερον ἀγαθόν, οὕτω καὶ οἱ νέοι διάθερμοι ὄντες ὑπὸ τῆς φύσεως 40
καὶ ἐκπυροούμενοι φαντάζονται τὰ ὑπὲρ αὐτοὺς ἤτοι ὡς βασιλεύσουσιν.
[a 21] εἰκότως δὲ οἱ νέοι ζῶσι τὰ πλεῖστα ἐν ἐλπίδι, διότι τὸ μὲν
30 παρεληλυθὸς αὐτῶν ἐστιν ὀλίγον καὶ διὰ τοῦτο οὐκ ἔχουσιν ἀναμνημο-
νεύειν πολλά· ἐπεὶ δὲ τὸ μέλλον αὐτοῖς ἐστι πολύ, ἡ δὲ ἐλπὶς τοῦ
μέλλοντος, διὰ τοῦτο ζῶσι καὶ ἐν ἐλπίδι. [a 24] τῇ γὰρ πρώτῃ
ἡμέρᾳ, καθ' ἣν γεννηθῶσι, μέμνηνται μὲν οὐδενός, ἐλπίζουσι δὲ πολλά. f. 38v
καὶ εὐεξαπάτητοί εἰσι διὰ τὸ εἰρημένον ἤτοι διὰ τὸ μήπω ἠπα-
35 τῆσθαι· ἐλπίζουσι γὰρ ἤτοι πιστεύουσι γὰρ ῥᾳδίως τοῖς λεγομένοις.

---

1 ἀγαθῶν Arist.: ὧν evan. V: ἀγαθῶν ἡ n 3 ἀνδρείας n (per comp. V)
6 ὅμοιοι βούλονται εἶναι Arist. 8 οὕτως ἔχοντας ὥστε ζηλῶσαί τινας ἢ ζηλοῦσθαι Arist. 9 τουτόν n 9. 10 τούτων τε καὶ ἐπὶ τούτοις, ὅσοι τὰ ἐναντία κακὰ ἔχουσι τῶν ἀγαθῶν τῶν ζηλωτῶν Arist. 11 εἰπόντες, εἰπ evan., V 12 ἀνδρεία n (per comp. V) 13 καὶ τὰ V: καὶ κατὰ τὰ n 16 περὶ Vn: πρὸς Arist. 17 τὸ V: τὸν n 18 fort. θυμοῦ ὁρμῇ Vn Arist. vulg.: ὀργῇ Arist. A 21 φιλόνεικοι n ὥσπερ τὸ πιττακοῦ ἔχει ἀπόφθεγμα ante ὁ add. n ex Aristotele 22 ἠθέλησε n 26 ἀναλογίζονται, ονται evan., V βασιλεύσωσιν n 26. 27 πάθωσί τι n: πάθω τί V 27 οὕτω διάθερμοί εἰσιν οἱ νέοι Arist. 29 ἐν om. Arist.

[a 27] ὧν τὸ μὲν ἡγοῦν τὸ θυμῶδες ποιεῖ αὐτοὺς μὴ φοβεῖσθαι, τὸ f. 38v
δέ, τὸ εὔελπι, ποιεῖ αὐτοὺς θαρρεῖν. [a 29] καὶ αἰσχυντηλοί· αἰσχύ-
νονται γὰρ κλέπτειν, ἕτερα γὰρ καλὰ οὐκ ἐπίστανται, ἀλλ' ὑπὸ τοῦ 5
νόμου ἐπαιδεύθησαν, οἷον τὸ μὴ κλέπτειν, τὸ μὴ μοιχεύειν, τὸ μὴ πορ-
5 νεύειν· ταῦτα γὰρ καλά εἰσιν ὡς τῷ νόμῳ διαγορευόμενα· ἡ δὲ ἀνδρία
καὶ ἡ σωφροσύνη καλὰ μέν εἰσιν, ἀλλ' οὐ τῷ νόμῳ διαγορευόμενα. [a 32]
ἄπειροι γάρ εἰσι τῶν ἀναγκαίων ἤτοι τῶν πρὸς τὸ ζῆν ἐπιτηδείων.
μεγαλόψυχος δέ ἐστιν ὁ μεγάλων ἀγαθῶν καὶ τιμῶν ἀξιῶν ἑαυτὸν ἡγοῦν
ἡγούμενος ἑαυτὸν ἄξιον. [a 33] τοῦτο δὲ τὸ ἀγαθὸν εὐέλπιδός ἐστι 10
10 τὸ ἀξιοῦν ἑαυτὸν μεγάλων. καὶ πράττουσι τὰ καλὰ μᾶλλον τῶν συμφε-
ρόντων. καλὸν μέν ἐστι τὸ φανερῶς καὶ ἀδόλως κατατροπῶσαι τοὺς
πολεμίους· ἀνδρείου γὰρ ἔργον τοῦτο· τὸ δὲ νύκτωρ καὶ μετὰ δόλου ἐπι-
τεθῆναι αὐτοῖς συμφέρον μέν ἐστιν, οὐ καλὸν δέ. [a 35] τῷ γὰρ ἤθει
τουτέστι τῇ ἠθικῇ ζῶσιν ἀρετῇ παρ' ὃ τῷ λογισμῷ τῷ κριτικῷ τοῦ
15 συμφέροντος. [b 1] καὶ μήπω πρὸς τὸ συμφέρον κρίνειν μηδέν· οὐ 15
γὰρ δύνανται κρῖναι καὶ συννοῆσαι, ἃ συμφέρει αὐτοῖς. μὴ συζῆν τοῖς
φίλοις· ἐκ γὰρ τοῦ συνδιημερεύειν αὐτοῖς συμβαίνει καταδαπανᾶν τὴν
οἰκείαν περιουσίαν· ὥστε οὐδὲ τοὺς φίλους κρῖναι δύνανται. [b 2] καὶ
πάντα ἐπὶ τὸ μᾶλλον ποιοῦσιν· ἄγαν γὰρ φιλοῦσι καὶ ἄγαν μισοῦσι.
20 [b 6] τοῦτο γὰρ τὸ διισχυρίζεσθαι πάντα εἰδέναι τοῦ πάντα ἄγαν
ποιεῖν. εἰσὶ δὲ καὶ ἐλεητικοὶ διὰ τὸ πάντας χρηστοὺς ὑπολαμ-
βάνειν.

13. Καὶ τὰ πλείω τῶν πραγμάτων φαῦλα εἶναι ἤτοι καὶ τὰ 20
πλείω τῶν πραγμάτων κακῶς καὶ ἐπὶ τὸ χεῖρον ἐκβαίνουσιν. [b 16] οὐ
25 διαβεβαιοῦνται, ὅτι καλῶς μέλλει ἀποβῆναι τόδε· ἐλπίζει γὰρ τὸ ἐναντίον
ἀποβῆναι. καὶ ἅπαντα ἥττονά γε ἤτοι ἔλαττον οἴονται ἀποβῆναι καλῶς, ἔλαττον
παρ' ὃ δεῖ· ὡς ἐπὶ τὸ πλεῖστον γὰρ τὰ χείρω σκοποῦσι γενέσθαι. [b 17]
καὶ οἴονται, ἤτοι εἴ τι μέλλει εἰπεῖν, οὐ τοῦτο λέγει ὡς ἐπιστάμενος ἀλλ'
ὡς ἐνδοιάζων καὶ ἀμφιβάλλων, εἴτε γενήσεται εἴτε καὶ μή. [b 19] καὶ 25
30 πάντα λέγουσιν οὕτως ἤτοι μετὰ δισταγμοῦ, παγίως δὲ ἤτοι βεβαίως
δὲ οὐδὲν λέγουσι διὰ τὸ εἰδέναι τὰ πράγματα ἀβέβαιά τε καὶ ἄστατα.
καὶ κακοήθεις ἤτοι πάντα ὑπολαμβάνοντες ἐπὶ τὸ χεῖρον. [b 21]
ἔτι δέ εἰσι καχύποπτοι ἤτοι ὑποπτεύοντες ἀεὶ τὰ κακὰ γενέσθαι διὰ
τὴν ἀπιστίαν καὶ ἀβεβαίωσιν τῶν πραγμάτων. [b 24] διὰ τὸ ταπεινω-
35 θῆναι καὶ καταδαρῆναι πολλὰ ἐν τῷ βίῳ εἰσὶ καὶ μικρόψυχοι. ἀλλ' 30

---

2 εὐέλπιδες n ποιεῖν V θαρρεῖν ποιεῖ Arist. 5 ἀνδρεία n (per comp. V) 8 ἀξιῶν καὶ τιμῶν n 9 εὐέλπιδές n 14 παρὸ V: παρὰ n: μᾶλλον ἢ Arist. 16 δύναται κρίνειν n 19 ἅπαντα Arist. 20 fort. εἰδέναι ⟨αἴτιόν ἐστι καὶ⟩ ex Aristotele scribendum 21 ἐλεειτικοὶ n χρηστοὺς καὶ βελτίους Arist. 23 φαῦλα εἶναι τῶν πραγμάτων Arist. καὶ V: ὅτι n 26 ἥττονά γε Vn: ἥττόν τε ἄγαν Arist. 28 εἰπεῖν ex εἶπον corr. V ὡς n: evanuit V 30 οὕτως n Arist.: οὔτ evan. V 32 κακοήθεις ex Aristotele scripsi: κακοβοήθεις Vn 33 καχύποπτοι V Arist. ATr.: ταχύποπτοι Arist. EQ 35 εἰσὶ καὶ μικρόψυχοι ante διὰ (34) ponit n; cf. Arist. καὶ μικρόψυχοι διὰ τὸ τεταπεινῶσθαι ὑπὸ τοῦ βίου

ἐπιθυμοῦσι μόνα ἔχειν τὰ πρὸς τὸν βίον ἤτοι τὰ πρὸς τὸ ζῆν συμ- f. 38v
βαλλόμενα. [b 27] καὶ ἀνελεύθεροι ἤτοι μὴ θέλοντες διδόναι ὧν
ἔχουσί τι. ἡ γὰρ οὐσία ἤτοι ἡ περιουσία ἐστὶν ἕν τι τῶν ἀναγκαίων
ἤτοι τῶν πρὸς τὸ ζῆν ἐπιτηδείων. [b 33] καὶ μάλιστα ἐν τῇ τελευ-
5 ταίᾳ ἡμέρᾳ ἤτοι ἐν τῇ τελευτῇ ἐρῶσι τῆς ζωῆς, διότι ἡ ἐπιθυμία τοῦ
ἀπόντος ἐστίν· ἐπεὶ δὲ καὶ ἡ ζωὴ ἤδη ἄπεστιν, ἐρῶσιν αὐτῆς ὡς ἀπούσης.
[b 34] καὶ τούτου μάλιστα ἐπιθυμοῦσιν, οὗ εἰσιν ἐνδεεῖς· ἐνδεεῖς 35
δέ εἰσι τῶν ἡμερῶν· ὥστε τῶν ἡμερῶν ἐπιθυμοῦσι. [b 35] καὶ φίλαυτοι,
ἀγαπῶντες αὐτούς, μᾶλλον παρ' ὃ δεῖ. καὶ πρὸς τὸ συμφέρον
10 ζῶσι μᾶλλον παρ' ὃ δεῖ, ἀλλ' οὐ πρὸς τὸ καλόν, ἤτοι οὐ φροντίζουσιν
εἶναι καλοὶ ἤγουν δίκαιοι, ἀλλὰ τὸ συμφέρον ἀεὶ ζητοῦσιν ἤτοι τὸ περι-
συνάγειν τὰ πρὸς τὸ ζῆν ἐπιτήδεια καὶ διὰ τὸ φροντίζειν τοῦ συμφέροντος
ἀδικοῦσι καὶ ἁρπάζουσι. [b 37] τὸ μὲν γὰρ συμφέρον ἐστὶν ἀγαθὸν 40
αὐτῷ μόνῳ· αὐτῷ γὰρ περιποιεῖται τὸ ζῆν· τὸ δὲ καλὸν ἤτοι τὸ δίκαιον
15 ἁπλῶς ἐστιν ἀγαθόν. καὶ διὰ τὸ φροντίζειν τοῦ συμφέροντος καὶ τοῦ ζῆν
εἰσιν ἀναίσχυντοι καὶ οὐκ αἰσχύνονται ἀναισχυντεῖν καὶ ἅρπαγες φαί-
νεσθαι. [1390a3] ὀλιγωροῦσι τοῦ δοκεῖν εἶναι κακοί τε καὶ ἄδικοι.
καὶ δυσέλπιδες ἤτοι ἀεὶ τὰ φαῦλα | προσδοκῶσιν. [a 9] εἰσὶ δὲ καὶ f. 39r
ἀδόλεσχοι· ἀφηγοῦνται ἔργα ἀνδρῶν παλαιῶν καὶ οἰκεῖα. [a 11] καὶ οἱ
20 θυμοὶ αὐτῶν ὀξεῖς ἤτοι καὶ συντόμως θυμοῦνται καὶ πάλιν συντόμως
ἀσθενεῖ καὶ παύεται ὁ θυμὸς αὐτῶν. [a 13] οὔτε πρακτικοὶ κατὰ τὰς
ἐπιθυμίας ἤτοι κατὰ πάσας τὰς ἐπιθυμίας ἢ κατὰ τὰ ἀφροδίσια, ἀλλὰ
κερδαίνειν ἀεὶ ἀφορῶσιν. [a 15] αἱ γὰρ ἐπιθυμίαι ἀνείκασιν ἤγουν 5
ἐνέδωκαν. ἕκαστος ζῇ κατὰ τὸ οἰκεῖον ἦθος· ὁ θυμώδης ζῇ ἤθει θυμώδει,
25 ὁ ἀνδρεῖος ἀνδρικῷ ἤθει, ὁ σώφρων σώφρονι ἤθει· ὁ δὲ γηραιὸς οὐ ζῇ
κατὰ τὸ ἦθος ἤτοι ἀκολουθῶν ἤθει θυμώδει ἢ ἀνδρικῷ, ἀλλὰ κατὰ
λογισμόν, ἤτοι σκοπεῖ, πῶς θέλει ζῆν κατὰ τὸ συμφέρον. [a 17] τὸ δὲ
ἦθος κρίνεται ἑκάστου ἀπὸ τῆς ἐνούσης ἀρετῆς ἑκάστῳ, ἤγουν ἀνδρίας,
σωφροσύνης καὶ τῶν λοιπῶν. [a 20] οἱ μὲν γὰρ νέοι ἐλεοῦσι διὰ φιλαν-
30 θρωπίαν ἤτοι διὰ τὸ οἴεσθαι πάντας ἀγαθούς, οἱ δέ εἰσιν ἐλεεινοὶ δι' 10
ἀσθένειαν· εἰ γὰρ ἴδωσί τινα κακῶς πάσχοντα, ἐλεοῦσιν αὐτὸν διὰ τὸ
ἐλπίζειν ἑαυτοὺς τῷ αὐτῷ πάθει περιπεσεῖν. [a 25] ὥστε ἐπεὶ ἀποδέ-
χονται πάντες, ἅνπερ ἀκούσωσί τινα λέγοντα, λόγους οἰκείους τῷ ἤθει
αὐτῶν, οἱ ἀνδρεῖοι λόγους ἀνδρικοὺς ἀποδέχονται καὶ οἱ σώφρονες σωφρο-
35 νικοὺς καὶ ὅλως τοὺς ὁμοίους τῷ ἤθει αὐτῶν, οὐκ ἄδηλον, πῶς χρώ-

---

1 περὶ τὸν Arist. BDQZb: πρὸς τὸν Arist. cet. 3 ἔχουσί τι V: ἔχουσιν n ἓν γάρ τι τῶν ἀναγκαίων ἡ οὐσία Arist. ἤτοι ἡ περιουσία om. n 4 μάλιστα Vn Arist. vulg.: μᾶλλον Arist. ATr. ἐν Vn: ἐπὶ Arist. 7 ἐπιθυμοῦσιν Vn Arist. vulg.: ἐπιθυμεῖν Arist. A 8 δέ om. n φίλαυτοι Vn Arist. ACDTr.: φιλαίτιοι Arist. cet. 13. 14 αὐτῷ (vulg.; αὐτῶν A) ἀγαθόν ἐστι Arist. 18 προσδοκοῦσιν n 22 τὰς n: evanuit V 23 αἵ τε γὰρ Arist. 25 σώφρονικῷ ἤθει n γεραιὸς n 27 κατὰ scripsi: καὶ Vn 28 ἀνδρείας n (per comp. V) 30 γεραιοί ante εἰσιν add. n

μενοι τοῖς λόγοις δείξομεν οὓς λέγομεν λόγους οἰκείους τῷ ἤθει τῶν f. 39r
ἀκροατῶν ἢ τῶν δικαστῶν. 15

14. Οἱ δὲ ἀκμάζοντες ἔχουσι τὸ ἦθος μεταξὺ τούτων ἤτοι τῶν νέων καὶ τῶν γηραιῶν, ἀλλ' ἔχουσιν ἄμφω, ἤτοι τὸ φοβεῖσθαι καὶ τὸ θαρρεῖν, ὡς δεῖ· [b 1] καὶ οὔτε πρὸς φειδὼ ζῶσιν, ἤγουν οὔτε φειδωλοὶ καὶ κνιποί εἰσιν, οὔτε ἐξοδιασταὶ καὶ ἄσωτοι. [b 4] ἐν γὰρ τοῖς νέοις καὶ τοῖς γέρουσι διῄρηται ταῦτα, ἡ σωφροσύνη καὶ ἡ ἀνδρία· οἱ μὲν γὰρ νέοι εἰσὶν ἀνδρεῖοι, οἱ δὲ γέροντες σώφρονες. [b 7] ὅσα μὲν διῄρηνται ἤτοι ὅσα διῃρημένως ἔχουσιν ἥ τε νεότης καὶ τὸ γῆρας, ταῦτα ἄμφω ἔχουσιν οἱ ἀκμάζοντες. τούτων τὸ μέτριον ἤτοι τὸ σύμμετρον ἔχουσι. περὶ τὴν πέμπτην ἡλικίαν ἀκμάζει τὸ σῶμα· πεντάκις γὰρ ἑπτὰ λε'. περὶ δὲ τῷ τέλει τῆς ἑβδόμης ἡλικίας παρακμάζει καὶ ἡ ψυχή· ἑπτάκις γὰρ ἑπτὰ τεσσαρακονταεννέα. [b 12] ποίων ἠθῶν ἐστιν ἕκαστον ἤτοι νεότης καὶ τὸ γῆρας, εἴρηται.

15. Δι' ὅσα αὐτῶν τῶν τυχηρῶν ἀγαθῶν καὶ τὰ ἤθη τῶν ἀνθρώπων συμβαίνει εἶναι ποιά, ἤτοι μεταλλάσσονται καὶ ἀλλοιοῦνται· εἰ γὰρ πλουτήσει τις, καὶ ἐπῃρμένον ἦθος κτᾶται. [b 16] τὸ φιλότιμον εἶναι ἤτοι τὸ ἀγαπᾶν τὰς τιμάς. πάντες γάρ, ὅταν ὑπάρχῃ τι αὐτοῖς ἀγαθόν, πρὸς τοῦτο πάντα ἐπισωρεύουσιν· εἰ μὲν ὑπάρχουσι φιλότιμοι, ἐπισωρεύουσι πάντα χάριν τοῦ τιμᾶσθαι, εἰ δὲ ἀφροδισιακοί, ἐπισωρεύουσι πάντα πρὸς ἀποπλήρωσιν τῆς ἐπιθυμίας. καὶ εὐγένεια προγόνων μὲν ἐντιμότης ἤτοι ἀπὸ τοῦ ἔχειν προγόνους ἐντίμους καὶ ἐνδόξους. [b 19] οἱ εὐγενεῖς εἰσι καταφρονητικοὶ καὶ τῶν ὁμοίων τοῖς προγόνοις αὐτῶν, οἷον ἐάν εἰσί τινες πλούσιοι καὶ ἔνδοξοι ὡς οἱ πρόγονοι αὐτῶν, καταφρονοῦσιν αὐτῶν ὡς νεοπλούτων, διότι τὸ μὲν πλουτεῖν καὶ τὸ ἔνδοξον πάλαι ὑπῆρχε τοῖς προγόνοις αὐτῶν, οὗτοι δὲ νέον ταῦτα ἐκτήσαντο. [b 20] ταὐτὰ γὰρ πόρρω τισὶν ἐπιγινόμενα ἤτοι πάλαι καὶ ἐκ χρόνων πολλῶν παρ' ὃ ἐγγὺς ἤτοι νεωστὶ ἐντιμότερά εἰσι. καὶ εὐαλαζόνευτον ἤτοι ἐπιτηδειότερον εἰς τὸ ποιῆσαι ἀλαζονείαν. [b 22] ἡ μὲν εὐγένεια κρίνεται κατὰ τὴν ἀρετὴν τοῦ γένους ἤγουν τὴν ἐντιμότητα. γενναῖον δέ ἐστι τὸ μὴ ἐξίστασθαι ἐκ τῆς φύσεως ἤτοι τὸ συντηρῆσαι τὴν εὐγένειαν ἢ τὴν δόξαν τὴν ἐνοῦσαν τοῖς προγόνοις ἢ τὴν ἀνδρίαν σώαν. ὅπερ, τοῦτο τὸ μὴ ἐξίστασθαι, ὡς ἐπὶ τὸ πολὺ οὐ συμβαίνει

---

4 γεραιῶν n ἔχουσι n καλῶς πρὸς ante ἄμφω add. n ex Aristotele 7 ἀνδρεία n (per comp. V) 8 ὅσα n Arist.: ὅσοι V 9 διήρηνται V: διῄρηται n Arist. ὅσα V: ὅσοι n τε om. Arist. 10 γῆρας τῶν ὠφελίμων, ταῦτα Arist. ἄμφω Vn Arist. ATr: om. Arist. vulg. ἔχουσιν, ὅσα δὲ ὑπερβάλλουσιν ἢ ἐλλείπουσι, τούτων Arist. 13 καὶ om. n γὰρ om. n ποίων n Arist.: ποία V 14 ἐστιν ἕκαστον Vn Arist. vulg.: ἕκαστόν ἐστιν Arist. A 17 φιλοτιμότερον Arist. 18 πάντες Vn Arist. vulg.: ἅπαντες Arist. A 21. 22 ἐντιμότης (τις add. vulg.) προγόνων ἐστίν Arist. 23 τοῖς Vn Arist. vulg.: ἐστὶν τοῖς Arist. A 24 αὐτῶν Vn Arist. A: τοῖς αὐτῶν Arist. vulg. 27 ταῦτα Vn τισὶ n 28 νεωστὶ ἐντιμότερά V: νεῶς ἐντιμώτερά n 28. 29 εὐαλαζόνευτα Arist. 30 τοῦ γένους ἀρετήν Arist. 31 ἐστι τὸ Vn: κατὰ τὸ Arist. ἐκ Vn Arist. vulg.: om. Arist. A ἤτοι V: ἤγουν n 32 ἀνδρείαν n (per comp. V) 33 σώην n ὡς Vn Arist. A: om. Arist. vulg. ἐπὶ τὸ evan. V πολὺ· οὐ n

γὰρ εὐγενέσι· πολλάκις γὰρ οἱ μὲν πατέρες εἰσὶ πλούσιοι καὶ ἔνδοξοι καὶ f. 39r
ἀνδρεῖοι, τὰ δὲ τέκνα καὶ πένητες καὶ ἀσθενεῖς, καὶ οὐχὶ προβαίνει ἄχρι
μιᾶς εἴτε καὶ δευτέρας γενεᾶς τὸ τῶν πατέρων ἔνδοξον καὶ ἐπὶ τοὺς ἐκ- 10
γόνους. [b 25] ὥσπερ συμβαίνει καὶ ἐπὶ τοῖς κατὰ χώραν γινομένοις
5 φορά τις· πολλάκις γὰρ ἡ γῆ τῆσδε τῆς χώρας δύο καὶ τρεῖς ἐνιαυτοὺς
εὐφορεῖ, ἔκτοτε δὲ ἀφορεῖ. καὶ ἐπὶ τῆς γενεᾶς, ἐὰν ᾖ τὸ γένος ἀγαθόν,
γίνονται ἐξ αὐτοῦ ἄνδρες περιττοὶ ἤγουν κομψοὶ καὶ ἔντιμοι. εἶτα πάλιν
ἀναδίδωσιν ἤτοι ἀνάπαλιν | χείρονες ἐξ αὐτοῦ γίνονται καὶ ἀναποδίζει f. 39v
εἰς τὸ ἀπογεννᾶν κακούς. [b 29] ὁ Ἀλκιβιάδης εὐφυὴς λέγεται εἶναι.
10 τὰ δὲ γένη τὰ στάσιμα ἤτοι τὰ βεβηκὸς φρόνημα ἔχοντα ἔχουσιν ἐκγόνους
ἀβελτέρους καὶ νωθροὺς ἤτοι μωρούς. ἐπιπολῆς ἤτοι ῥᾷον ἔστιν ἰδεῖν.

16. Πάσχοντές τι ἤτοι ἀλλοιούμενοι ὑπὸ τοῦ πλούτου. [1391a1]
ὁ γὰρ πλοῦτός ἐστιν οἷον τιμὴ καὶ ἀγορὰ πάντων· ὁ γὰρ πλούσιος διὰ 5
τῆς τῶν χρημάτων δόσεως ἀγοράζει καὶ σοφούς, ὥστε ἔχειν αὐτοὺς ὑπο-
15 χειρίους καὶ ἐμμίσθους, καὶ ἀξιώματα μεγάλα. [a 3] τρυφεροὺς μὲν λέγει
αὐτοὺς διὰ τὸ τρυφᾶν, σαλάκωνας δὲ καὶ σολοίκους ὡς ἀπειροκάλους· ἡ
γὰρ σαλακωνία ὑπερβολὴ τῆς μεγαλοπρεπείας. ὡς γὰρ οἱ σολοικίζοντες
ἄρχονται μὲν τοῦ λόγου σῴου καὶ εὖ ἔχοντος κατὰ τὴν ἀρχήν, κατὰ δὲ
τὸ τέλος διαφθείρουσιν αὐτὸν κατὰ τὴν σύνταξιν, οὕτως οἱ πλούσιοι ἀπό
20 τινος μὲν χρείας ὁρμῶνται, εἶτα παραφθείρουσι ταύτην ὡς παραχρώμενοι· 10
οἷον ὑποδημάτων χρῄζουσι καὶ ποιοῦσιν αὐτὰ μετὰ μαργάρων καὶ λίθων
καὶ παραχρῶνται τῇ χρήσει περὶ τὸν πλοῦτον τὸν ἐρώμενον καὶ θαυμα-
ζόμενον ὑπ' αὐτῶν. [a 7] ἅμα δὲ καὶ εἰκότως πάσχουσι ταῦτα
ἤτοι τὸ ὑπερήφανοι καὶ ὑβρισταὶ εἶναι. πολλοὶ γάρ εἰσιν οἱ δεόμενοι
25 τῶν ἐχόντων αὐτὰ ἤτοι τὰ τυχηρὰ ἀγαθά. [a 12] καὶ οἴονται ἑαυτοὺς
ἀξίους ἄρχειν. καὶ ὅλως ὁ πλοῦτός ἐστιν ἤθους ἀνοήτου εὐδαίμονος 15
ἤτοι μωροῦ. τὸ μὲν ἦθος τῶν ἐχόντων πάλαι καὶ ἐκ προγόνων τὸν πλοῦτόν
ἐστι μετριώτερον ὡς ἤδη εἰθισμένων τῷ πλούτῳ, τὸ δὲ ἦθος τῶν νεο-
πλούτων ἐστὶ φαυλότερον· ἀλαζονικώτερον γάρ ἐστι καὶ ἐπηρμένον, καὶ
30 εἰσὶν οἱ νεόπλουτοι ἀκρατευταὶ εἰς μοιχείαν ἤτοι ἀκόλαστοι.

17. Ὁμοίως δὲ καὶ περὶ δυνάμεως ἤτοι στρατηγίας, σατραπίας
καὶ ἑτέρας τινὸς ἐξουσίας ἐχούσης πολλὴν δύναμιν παρ' ἑαυτῆς καὶ τὰ
ἤθη τῶν στρατηγῶν καὶ τῶν σατραπῶν φανερά εἰσιν· ἡ γὰρ δύναμις 20
αὕτη οἷον οἱ στρατηγοὶ καὶ οἱ σατράπαι τὰ μὲν ἔχουσι τὰ αὐτὰ τῷ

---

1 γὰρ (ante εὐγενέσι) om. Arist. καὶ (ante ἀνδρεῖοι) evan. V 3 εἴτε V: εἶτα n 4 ἐν τοῖς κατὰ τὰς χώρας Arist. 7 ἤγουν V: ἤτοι n 9 οἱ ἀπὸ ἀλκιβιάδου ante ὁ add. n ex Aristotele 12 τι Vn Arist. A: om. Arist. vulg. ἀλλοιούμενοι V: ἀλγούμενοι n 19 διαθφείρουσι n 20 ὡρμῶνται n 21 χρήσουσι n 23 ταῦτα πάσχουσιν Arist. vulg.: τοῦτο πάσχουσιν Arist. A 24 εἰσιν Vn Arist. A: om. Arist. vulg. 26 ἀνοήτου εὐδαίμονος ἤθους ὁ πλοῦτός ἐστιν Arist. vulg.: ἀνοήτου εὐδαίμονος ἦθος πλούτου (man. rec. πλοῦτος) ἐστίν Arist. A, cf. Tr. 28 ἐστὶν μετριότερον n ἐθισμένων n 30 ἀκραταὶ n 31 δὲ καὶ Vn Arist. AC: καὶ om. Arist. cet. 32 ἑαυ V: ἑαυτοῦ n

πλουσίῳ ἤθη. ἄλλα δὲ καὶ βελτίω καὶ κρείττω διὰ τὸ ἐφίεσθαι ἔργων f. 39v
μεγάλων, ὅσα ἐξουσία ἐστὶν αὐτοῖς πράττειν· θέλουσι γὰρ κτίζειν
πόλεις μεγάλας καὶ ναοὺς περικαλλεῖς· ἔχουσι γὰρ δύναμιν καὶ λαὸν πολύν.
[a 25] καὶ ἀεὶ ὄντες ἐν ἐπιμελείᾳ ἤτοι φροντίδι καὶ μεριμνῇ φαίνονται
5 σπουδαστικώτεροι. ἐμμέριμνοι δέ εἰσι διὰ τὸ ἐπισκοπεῖν τὰ περὶ τὴν 25
δύναμιν, ἤτοι ὅπως συντηρήσωσι τὴν δύναμιν αὐτῶν ἤγουν τὸ ὑπήκοον
καὶ τὴν δυναστείαν ἂν μὴ ἀπολέσωσι. [a 27] βαρεῖς λέγονται οἱ φρόνημα
ἔχοντες ἐπῃρμένον καὶ μὴ θέλοντες ἰδεῖν τινα συγκαθίσαι ἢ συντυχεῖν δι'
ἀλαζονείαν. τὸ γὰρ ἀξίωμα ἤτοι ἡ δύναμις καὶ ἡ στρατηγία καὶ ἡ ἄλλη
10 ἐξουσία ποιεῖ αὐτοὺς ἐμφανεστέρους ἤτοι ἐνδόξους καὶ ἀλαζονικούς.
[a 28] ἡ δὲ σεμνότης ἐστὶ μαλακὴ βαρύτης ἤγουν τὸ ἀξίωμα· οἱ
γὰρ σεμνοὶ βαρεῖς, μαλακοί, ἤτοι ἀλαζονεύονται μὲν καὶ αὐτοί, πλὴν με- 30
τρίως, καὶ συγκάθηνται καὶ συνομιλοῦσι τοῖς ἐντυγχάνουσι. [a 30] τὰ δὲ
μόρια τῆς εὐτυχίας εἰσὶ τὰ ἤθη τῶν εἰρημένων ἤτοι τῶν πλουσίων
15 καὶ τῶν δυνατῶν· καὶ γὰρ αἱ δοκοῦσαι μέγισται εὐτυχίαι συντείνουσιν εἰς
ταῦτα ἤτοι εἰς τὸν πλοῦτον καὶ τὴν δύναμιν. καὶ ἡ εὐτυχία ποιεῖ τοὺς
ἔχοντας αὐτὴν πλεονεκτεῖν κατὰ τὰ ἀγαθὰ τὰ κατὰ τὸ σῶμα· εἰσὶ γὰρ
καὶ οὗτοι εὐειδεῖς καὶ ποιοῦσι καὶ τὰ παιδία εὐειδῆ. καὶ ἀλογικώτεροι 35
ἤτοι ἀλαζονικώτεροι καὶ μωρότεροι. [b 2] εἰσὶ δὲ φιλόθεοι· οἴονται
20 γὰρ διὰ τὸ πλουτεῖν, ὡς τὸ θεῖον εὐμενῶς ἔχει πρὸς αὐτούς, καὶ διὰ τοῦτο
σέβονται αὐτό.

18. Ἐπεὶ δὲ ἡ τῶν πιθανῶν λόγων χρῆσις ἤτοι ἐπεὶ δὲ χρώ-
μεθα τοῖς πιθανοῖς λόγοις καὶ πιστευτικοῖς ἀφορῶντες πρὸς τὴν κρίσιν.
κρίσιν δὲ νοητέον καὶ ἐπὶ τοῦ δικανικοῦ καὶ συμβουλευτικοῦ καὶ τοῦ πανη-
25 γυρικοῦ καὶ μὴ μόνον ἐπὶ τοῦ δικανικοῦ· καὶ γὰρ ἐπὶ τοῦ συμβουλευτικοῦ 40
κριτής ἐστι, πρὸς ὃν γίνεται ἡ συμβουλὴ ἢ πρὸς οὕς· κρίνει γὰρ οὗτος,
εἴτε τὰ λεγόμενά εἰσι συμφέροντα εἴτε καὶ μή. ἀλλὰ καὶ ὁ πανηγυριστὴς
κριτὴν ἔχει τὸν ἀκροατήν· οὗτος γὰρ κρίνει, εἴτε ἀφ' ὧν εἶπεν ὁ πανηγυ-
ρίζων ἐδείχθη τῶν ἀγαθῶν ὁ ἐπαινούμενος εἴτε καὶ μή. [b 9] οὐδὲ γὰρ
30 δεόμεθα λόγου καὶ ἀποδείξεως περὶ τῶν ὁμολογουμένων, ὧν ἴσμεν ἤτοι
πίστιν | ἔχομεν ἀκριβῆ. ἔστι δὲ κρίσις καὶ ἐπὶ τοῦ συμβουλευτικοῦ, f. 40r
ἄν τέ τις προτρέπῃ εἴτε ἀποτρέπῃ χρώμενος τῷ λόγῳ καὶ τῇ συμ-
βουλῇ πρὸς ἕνα. [b 11] νουθετοῦντας λέγομεν τοὺς συμβουλεύοντας,
πείθοντας δὲ τοὺς συνομιλοῦντάς τινι ἁπλῶς καὶ σπουδάζοντας πεῖσαι·
35 καὶ γὰρ οὗτός ἐστιν ὁ κριτής, ὃν σπουδάζει πεῖσαι ταῖς συμβουλαῖς
καὶ δι' ὃν τὴν συμβουλὴν ἐνέστησεν. ἄν τε γάρ τις λέγῃ ἤτοι ποιῆται 5
τὸν λόγον καὶ τὴν συμβουλὴν πρὸς τὸν ἀμφισβητοῦντα ἤτοι τῇ ἀληθείᾳ

---

3 περικαλεῖς n 7 δυναστείαν '' | fin. vers. | μὴ man. 1; II—III litterae abscissae sunt, in charta agglutinata manu posteriore suppletum est αν, V 10 ἐμφανεστέρους Vn Arist. vulg.: σεμνοτέρους Arist. ATr. 11 ἔστι δὲ ἡ σεμνότης μαλακὴ καὶ εὐσχήμων βαρύτης Arist. 15 μέγισται Vn Arist. ATr.: om. Arist. vulg. συντείνουσι n 18 ἀλογιστότεροι Arist. 32 χρώμενος τῷ λόγῳ Vn Arist. vulg.: τῷ λόγῳ χρώμενος Arist. A 34 πειθοῦντας n 36 τις om. n ποιεῖται n

ἀγωνιζόμενον καὶ σπουδάζοντα δεῖξαι τόνδε ἱερόσυλον, ὡς ἐπὶ τοῦ δικανι- f. 40r
κοῦ, ἢ δεῖξαι τόδε συμφέρον, ὡς ἐπὶ τοῦ συμβουλευτικοῦ, ἄν τε καὶ πρὸς
ὑπόθεσιν ἤτοι καθ' ὑπόθεσιν καὶ χάριν γυμνασίας πλάττῃ ὑπόθεσιν ἢ
δικανικὴν ἢ συμβουλευτικήν, ὡς αἱ μελέται Λιβανίου, καὶ περὶ ἐκείνης
5 ποιεῖται τὸν λόγον, οἷοί εἰσιν οἱ πλασματογράφοι, καὶ ἀμφότεροι ἀκροατὴν 10
καὶ κριτὴν ἔχουσιν ἐκεῖνον, πρὸς ὃν ποιοῦνται τοὺς λόγους. [b 15] τὰ
ἐναντία λέγει τὰς ἀντιθέσεις καὶ ἐνστάσεις· κἂν γὰρ κατ' ἀλήθειαν ἀγω-
νιζώμεθα, εἴτε δικαζόμενοι εἴτε συμβουλευόμενοι, ἔχομεν τὰς ἀντιθέσεις
τὰς ἐκ τῶν ἀντιδίκων, ἃς ἀνάγκη λύειν καὶ ἀναιρεῖν ἡμᾶς χρωμένους τῷ
10 λόγῳ ἤτοι τῷ πιθανῷ λόγῳ, κἂν καθ' ὑπόθεσιν ἀγωνιζώμεθα πλάσματα
ποιήσαντες, ὡς ἂν τὴν οἰκείαν γνῶμεν δύναμιν, καὶ ἐπὶ τούτου λαμβάνομεν 15
ἀντιθέσεις, ἃς εἰκὸς προβαλεῖν τινα, εἴ γε ἔχομέν τινα ἀντιδικοῦντα ἡμῖν,
ἃς καὶ ἀναιροῦμεν καὶ λύομεν διὰ λόγων πιθανῶν. [b 15] πρὸς ἃ τἀναντία
ἤτοι πρὸς ἃς τὰς ἀντιθέσεις ὥσπερ ἀμφισβητοῦντα ἤτοι εἰσαχθείσας
15 ὥσπερ ἀπὸ ἀντιδικοῦντός τινος ποιεῖται τὸν λόγον ἤτοι τὴν ἀπολογίαν
καὶ τὴν λύσιν. ἢ τὸ μὲν [b 13] πρὸς ἀμφισβητοῦντα ληπτέον ἐπὶ
τοῦ δικανικοῦ, τὸ δὲ ἐάν τε πρὸς ὑπόθεσιν ληπτέον ἐπὶ τοῦ συμβουλευ-
τικοῦ· καὶ τοῦτο δῆλον, ὡς οὕτως δεῖ ἐκλαβεῖν, ἀπὸ τοῦ λέγειν αὐτὸν 20
κάτωθεν [b 19] τά τε γὰρ ἀμφισβητούμενα ζητεῖται πῶς ἔχει καὶ
20 περὶ ὧν βουλεύονται. [b 17] θεωρὸς λέγεται ὁ ἀκροατὴς τοῦ πανη-
γυρίζοντος· κρίνει γὰρ καὶ οὗτος, εἴτε καλῶς ἐπῄνεσε τὸν καὶ ἀληθῆ ἔλεγεν
εἴτε καὶ μή· ὁ γὰρ ἐν πολιτικοῖς ἀγῶσιν ἤτοι τοῖς δικανικοῖς. [b 20]
περὶ δὲ τῶν κατὰ τὰς πολιτείας ἠθῶν. τὰ δὲ ἤθη τὰ μιᾷ ἑκάστῃ
πολιτείᾳ ἀνάλογα ἔφθημεν εἰπεῖν ἤτοι τὰ τῇ δημοκρατίᾳ ἀνάλογα καὶ τὰ 25
25 τῇ ἀριστοκρατίᾳ. ὥστε διωρισμένον ἂν εἴη. τοῦ [b 8] ἐπεὶ δ' ἡ
τῶν πιθανῶν λόγων χρῆσις πρὸς κρίσιν ἐστίν ἀπόδοσίς ἐστι τὸ
[b 21] ὥστε διωρισμένον ἂν εἴη, πῶς ποιήσομεν οὓς γράφομεν λόγους
ἠθικοὺς ἤτοι καταλλήλους τῷ τῆς πολιτείας ἤθει. [b 23] ἐπεὶ δὲ
ἕκαστον γένος καὶ εἶδος τῆς ῥητορικῆς τέλος οἰκεῖον ἔχει περὶ τὴν τῶν
30 τελῶν ἑνὸς ἑκάστου εἴδους, αἱ δόξαι καὶ αἱ προτάσεις, ἐξ ὧν ἀπο- 30
δεικνύομεν τόδε ἄδικον ἢ συμφέρον, εἰλημμέναι εἰσὶν ἤτοι δεδιδαγμέναι·
περὶ γὰρ τούτων τῶν προτάσεων ἔφθημεν διαλαβεῖν καὶ εἰπεῖν ὄπισθεν·
[b 26] ἔτι καὶ ἐξ ὧν τοὺς λόγους ποιήσομεν ἠθικοὺς ἤτοι καταλλήλους
τῷ τῆς πολιτείας ἤθει· ῥητέον δὲ νῦν περὶ τῶν κοινῶν. [b 28] κοινὰ
35 λέγει τὰ τελικὰ κεφάλαια, τὸ δυνατὸν καὶ τὸ ἀδύνατον, καὶ ἄλλους μὲν
λόγους δεικνύειν, ὡς ἔσται, ἤτοι ὅτι δυνατὸν γενέσθαι, ὅτι ἐγένετο. ἔτι
δέ ἐστι κοινὸν καὶ τὸ μεγεθύνειν τὸ πρᾶγμα ἢ μειοῦν. [1392a4] τὴν

---

1 τόνδε n: τόν τε V 2 τόδε V: τὸ n 7. 8 ἀγωνιζόμεθα n 9 ἃς scripsi: ἃ Vn 13 τὰ ἐναντία n 15 τὸν λόγον ποιεῖται Arist. 18 οὕτω n 22 γὰρ ἐν n: ἐν γὰρ V 30 καὶ Vn Arist. vulg.: om. Arist. ATr. 31 δεδαγμέναι n 33 ἠθικοὺς τοὺς λόγους Arist. 36 fort. ⟨ἄλλους δέ,⟩ ὅτι ἐγένετο ἔτι scripsi ex Aristotele: ὅτι Vn

ἐξ ἀρχῆς πρόθεσιν ἤτοι τὸ δύνασθαι πιθανῶς λέγειν καὶ ὅσα ἐνδέ- f. 40r
χεται περὶ ἑκάστου πράγματος.

19. Ἡ γὰρ αὐτὴ δύναμις τῶν ἐναντίων ἐστίν· ἀφ' ἧς γὰρ δυνάμεως καὶ τεχνῶν σώσει τις τὸ πλοῖον, ἀπὸ τῆς αὐτῆς ἂν τέχνης ἀπολέσῃ αὐτό (ὧν τὸ μὲν καθ' ἑαυτὸ ποιεῖ, τὸ δὲ κατὰ συμβεβηκός), καὶ ἀφ'. ἧς ἂν τέχνης ποιήσῃ ὑγείαν, ἀπὸ τῆς αὐτῆς ἂν ποιήσῃ καὶ νόσον. [a 16] καὶ οὗ ἡ ἀρχὴ δυνατή, καὶ τὸ τέλος· τοῖς γὰρ ἀδυνάτοις οὐδὲ ὅλως ἀρχόμεθα ἐγχειρεῖν. [a 24] ἡ μὲν ἐπιθυμία λέγεται ἐπὶ πάντων, ὁ δὲ ἔρως ἐπὶ τῶν σωμάτων· καὶ εἰ ἔστιν ἔρως καὶ ἐπιθυμία, εἰσὶ λοιπὸν καὶ τὰ πράγματα, ὧν ἐρῶμεν· καὶ ὧν πραγμάτων ἐστὶν ἐπιστήμη, ἀνάγκη καὶ ταῦτα τὰ ἐπιστητὰ πράγματα εἶναι. [a 27] ἀνάγκη καὶ ἐκεῖνα τὰ πράγματα γενέσθαι, ὧν ἡ ἀρχὴ τῆς γενέσεως καὶ τῆς πράξεως ἐν τούτοις ἐστίν, οὓς ἡμεῖς ἢ ἀναγκάσαι δυνάμεθα ἢ πεῖσαι· οἷον ἐὰν ἡ ἀρχὴ τοῦ γενέσθαι τόδε τὸ πρᾶγμα παρὰ τοῖς φίλοις | μού ἐστιν ἢ παρὰ f. 40v
τοῖς δούλοις μου, δύναμαι τοὺς μὲν φίλους μου πεῖσαι χαλάσαι τόδε τὸ τεῖχος, εἰ τοῦτο δύναμαι ποιῆσαι, τοὺς δὲ δούλους καταναγκάσαι. τὸ δὲ [a 27] τούτοις ἐπὶ οὐδετέρου εἴληπται. ταῦτα δὲ τὸ ἀναγκάσαι καὶ πεῖσαι ἐπὶ ἐκείνων θεωρεῖται ἤτοι ἐκείνους δύναμαι ἀναγκάσαι, ὧν κρείσσων καὶ δεσπότης εἰμὶ ἢ κύριος ἢ φίλος. [a 31] πρόσχισμα λέγεται τὸ ἔμπροσθεν τῆς τραχηλέας τοῦ ὑποκαμίσου, κεφαλὶς δὲ ἡ τραχηλέα. καὶ πάλιν ἐπὶ τοῦ καλιγίου πρόσχισμα τὸ κοῖλον, κεφαλὶς δὲ τὸ καύκαλον. [b 5] καὶ εἰ ἄνευ τέχνης ὑπόδημα δυνηθῶ ποιῆσαι, πολλῷ μᾶλλον, εἰ τὴν τέχνην μάθω, τοῦτο ποιήσω. [b 7] ὁ Ἀγάθων ποιητὴς ὧν εἴρηκε 'τὰ μὲν τύχῃ γίνονται' ἤτοι χωρὶς τέχνης, 'τὰ δὲ ἡμῖν καὶ τῇ τέχνῃ' ἤτοι καὶ ἐκ τέχνης καὶ ἐκ τύχης. [b 11] δεινὸν γάρ, εἰ ὁ Εὐθύνους ἄφρων ὢν καὶ ἀνόητος ἔμαθεν, αὐτὸς δὲ μὴ δυνήσομαι εὑρεῖν καὶ μαθεῖν. [b 20] ἔτι εἰ ἐβούλετο ποιῆσαί τι καὶ μηδὲν τῶν ἔξω ἐκώλυεν ἤτοι καὶ τὸ ἐμποδίζον οὐκ ἦν, καὶ ἐποίησεν ἂν τοῦτο. καὶ εἰ ὠργίσθη καὶ ἠδύνατο βλάψαι, καὶ ἔβλαψεν ἄν. καὶ εἰ ἐπεθύμει καὶ ἠδύνατο πληρῶσαι καὶ τὴν ἐπιθυμίαν, καὶ ἐποίησεν ἂν αὐτήν. [b 24] καὶ εἰ ἔμελλέ τι γενέσθαι, ἀνάγκη καὶ τοῦτο ποιεῖν· εἰκὸς γὰρ τὸν μέλλοντα ποιῆσαί τι καὶ ποιῆσαι τοῦτο. καὶ εἰ ἐπείρασε πωλῆσαι τὸ βιβλίον, καὶ ἔπρασεν ἄν. [b 27] ἡμῖν ὕστερον γίνεται

---

3 τῶν V Arist.: καὶ τῶν n 4 τεχνῶν Vn: fort. τέχνης 6 ποιήσῃ (ante καὶ) n: σῃ evan. V 7 δυνατή Vn: δυνατὴ γενέσθαι Arist. vulg.: δύναται γενέσθαι Arist. A 9 εἰ om. n 12 ὧν Vn: ὅσων Arist. 13 οὓς Vn (ceterum cf. infr. v. 17): ἃ Arist. A: ἃ καὶ Arist. vulg. δυνάμεθα V: δεόμεθα n 18 δύναμαι n: δύναται V 20 τραχηλέας V: τραχηλαίας n 21 τραχη V: τραχηλαία n καληγίου n 23 ὁ ἀγαθῶν n Ἀγάθων] fr. 8. F. T. G.² p. 765 N. 25 τέχνῃ n: τύχῃ V 26 εὔθυνος Arist. A: εὔθυμος Arist. QY^bZ^b 27 ἔτι Vn Arist. AC: καὶ Arist. cet. 28 τὸ om. n 29 ὀργίσθη n 30 καὶ εἰ ἐδύνατο n 32. 33 ἐπείρησε n 33 εἰ ἤστραψε, καὶ ἐβρόντησε ante ἡμῖν add. n ex Aristotele

ἡ βροντή, πρῶτον δὲ ἡ ἀστραπή· εἰ τὸ ὕστερον οὖν γέγονεν, ἀνάγκη καὶ f. 40v
τὸ πρῶτον γενέσθαι· ἡ ἀστραπὴ χάριν τῆς βροντῆς γίνεται. [b 31] τὰ
μὲν ἐξ ἀνάγκης τὴν ἀκολούθησιν γίνεται ἔχοντα, οἷον εἰ ἐβρόντησεν,
ἀνάγκη καὶ ἀστράψαι, καὶ εἰ οἰκία ἐγένετο, ἀνάγκη καὶ θεμέλιον· τὰ δὲ
5 ὡς ἐπὶ τὸ πολὺ ἤτοι οὐκ ἐξ ἀνάγκης τὴν ἀκολούθησιν ἔχουσιν· οὐ γάρ,
εἰ θεμέλιος, ἀνάγκη καὶ οἰκίαν γενέσθαι. [1393a1] τό τε γὰρ ἐν δυ-
νάμει καὶ βουλήσει ὄν, οἷον εἰ βούλομαί τι καὶ δύναμαι καὶ τοῦτο 20
ποιῆσαι, ἔσται ἤτοι γενήσεται, καὶ εἰ ἐπιθυμῶ τινος καὶ λογίζομαι τοῦτο
ποιῆσαι, καὶ εἰ ὀργίζομαι κατά τινος, δύναμαι δὲ καὶ ποιῆσαι καὶ βλάψαι,
10 καὶ ἔσται ἤτοι γενήσεται. καὶ εἰ ἐν ὁρμῇ τοῦτο ποιεῖν, ἤτοι καὶ εἰ
ὁρμῶ ποιῆσαί τι, καὶ ἐν μελλήσει, ἤτοι καὶ φροντίζω τοῦτο ποιῆσαι,
καὶ ἔσται ἤτοι καὶ γενήσεται· [a 4] τὰ γὰρ μέλλοντα γενέσθαι ὡς
ἐπὶ τὸ πολὺ καὶ ἀποβαίνουσι καὶ γίνονται παρ' ὃ τὰ μὴ μέλλοντα
γενέσθαι. [a 15] φανερόν, ὅτι δι' ἐκείνων ἤτοι ἀπὸ τῶν τόπων,
15 ἀφ' ὧν δεικνύομεν τόδε συμφορώτερον ἢ δικαιότερον ἢ μεῖζον καλόν, 25
μέλλομεν ἐπιχειρεῖν, ὥστε αὔξειν τόδε καὶ δεικνύειν αὐτὸ καὶ μεῖζον δίκαιον
καὶ μεῖζον συμφέρον. [a 16] τὸ δὲ ζητεῖν περὶ τοῦ ἁπλῶς μεγέθους
ἤτοι περὶ αὐτοῦ τοῦ καθ' ὅλου μεγέθους ἤτοι περὶ αὐτοῦ καθ' ἑαυτὸ τοῦ
μεγέθους μὴ ἐν ὑποκειμένῳ καὶ ἔν τινι θεωρουμένου κενολογεῖν ἤτοι
20 ματαιολογεῖν ἐστιν· ὥστε περὶ τῶν καθ' ἕκαστα μεγεθῶν θεωρητέον
ἤτοι περὶ τοῦ ἐν τῷ δικαίῳ ἢ τῷ συμφέροντι μεγέθους θεωρητέον ἢ τῷ
καλῷ. 30

20. Ἡ γὰρ γνώμη μέρος ἐστὶ τοῦ ἐνθυμήματος ἤτοι ἢ τὸ ἐν
τῷ ἐνθυμήματι συμπέρασμα ἢ ἡ ἐν τῷ ἐνθυμήματι μείζων πρότασις·
25 γνώμη γάρ ἐστιν οἷον τὸ

"αἴ, αἴ, τὸ δοῦλον ὡς κακὸν πεφυκέναι",

ὅ ἐστι συμπέρασμα τοῦ ἐνθυμήματος 'ὁ δεῖνα δοῦλος· αἴ αἴ τὸ δοῦλον ὡς
κακὸν πεφυκέναι· αἴ αἴ ἄρα τὸ δοῦλον ὡς κακὸν πεφυκέναι τὸν δεῖνα.'
[a 26] ἡ δὲ ἐπαγωγή ἐστιν ἀρχὴ βεβαιώσεως καὶ ἀποδείξεως. [a 29]
30 ἓν δὲ τὸ αὐτὸν καὶ σὲ ποιεῖν καὶ πλάττειν τὰ παραδείγματα. τούτου 35
δὲ τοῦ αὐτὸν καὶ σὲ ποιεῖν τὰ παραδείγματα ἓν μέν ἐστι παραβολή, ἤτοι
γὰρ ἐξ ἀναλογίας, οἷον εἰ ὁ ποιμὴν ἐπαγρυπνεῖ διὰ τὸ ποίμνιον, λοιπὸν
καὶ τὸν βασιλέα δεῖ ἀγρυπνεῖν διὰ τὸ ἐπήκοον· ἕτερον δὲ οἱ λόγοι ἤτοι
μύθους πλάττειν καταλλήλους τῷ πράγματι. [b 2] λαβὼν δὲ διέβη εἰς
35 τὴν Ἑλλάδα, ὥστε καὶ οὗτος ὁ βασιλεύς, εἰ λάβῃ τὴν Αἴγυπτον, διαβῇ

---

3 ἔχοντα, superscr. γρ. ἔχουσιν, V 7 βουλήσει Vn: ἐν βουλήσει Arist. ATr.: ἐν βουλῇ Arist. vulg. 8 ἔσται — ποιῆσαι (9) om. n 10 γενήσεται n: γενήσονται V εἰ Vn Arist. vulg.: om. Arist. A τοῦτο Vn: τοῦ Arist. 11 μελλήσει scripsi ex Aristotele: μελήσει Vn 13 μὴ om. n 14 ἐκείνων ex ἐκεῖνον corr. V: ἐκείνων Arist.: ἐκεῖνον n 17 περὶ μεγέθους ἁπλῶς Arist. 18 ἤτοι περὶ αὐτοῦ τοῦ καθ' ὅλου μεγέθους om. n αὐτοῦ (ante καθ') scripsi: ἑαυτοῦ Vn 20 ἕκαστα Vn Arist. AC: ἕκαστον Arist. cet. 23 μέρος ἐνθυμήματός ἐστιν Arist. 24 ἡ om. n 26 αἴ, αἴ κτλ.] Eurip. Hec. 332 32 γὰρ Vn: exspectes τὸ ἀγρυπνεῖ n 34 πράττειν n

εἰς τὴν Ἑλλάδα· διὸ οὐκ ἐπιτρεπτέον ἑλεῖν τὴν Αἴγυπτον. [b 4] κλη- f. 40v
ρωτοί εἰσι, διότι ἔβαλλον κλήρους ἤτοι βόλια, καὶ οὗ κλῆρος ἐξῆλθεν, 10
οὗτος καὶ βασιλεὺς ἐγένετο ἢ στρατηγός. καὶ ἐὰν οἱ ἀθληταὶ κληρωτοί
εἰσι, τύχῃ καὶ ὁ ἄναλκις κληρωθεὶς εἰς τὸ ἀγωνίζεσθαι. [b 8] λόγος δέ
5 ἐστιν ἤτοι μῦθος, οἷός ἐστιν ὁ τοῦ Στησιχόρου· τῶν γὰρ Ἱμεραίων
ἑλομένων τὸν Φάλαριν στρατηγὸν ἐζήτει ὁ Φάλαρις στρατιώτας χάριν
φυλακῆς. [b 17] συνομολογήσαντος δὲ ἤ|τοι θελήσαντος τοῦ ἐλάφου. f. 41r
ὡς ἂν ἐπιβῇ * [b 23] δημαγωγὸς ἐν Σάμῳ καταναλώσας δημοσιακὰ
πράγματα κατεκρίθη θανεῖν. [b 26] κυνοραισταὶ λέγονται τὰ τζιμούρια ἢ
10 αἱ λεγόμεναι ἀλογομυῖαι παρὰ τὸ ῥαίζειν καὶ κείρειν τοὺς κύνας. [1394a3]
τὸ μὲν οὖν εὑρεῖν πράγματα πάλαι γεγενημένα, ὡς λαβεῖν αὐτὰ εἰς
παράδειγμα, δύσκολον, τὸ δὲ πλάττειν λόγους καὶ μύθους ῥᾷον. [a 4] 5
ποιεῖν δὲ δεῖ μύθους ὥσπερ καὶ παραβολάς· εἰ γὰρ δύναταί τις συνορᾶν
τὰς ὁμοιότητας τῶν πραγμάτων, οἷον ὁ βασιλεὺς καὶ ὁ ποιμὴν ὁμοιότητά
15 τινα ἔχουσι, εὐκόλως ἂν ποιήσῃ παραβολάς· ὅπερ, τοῦτο τὸ βλέπειν τὰς
ὁμοιότητας, ἐν τῇ φιλοσοφίᾳ ἤγουν τῇ διαλεκτικῇ παρεδώκαμεν καὶ ἐκεῖθέν
ἐστι ῥᾷον λαβεῖν αὐτάς. [a 6] τὰ μὲν οὖν παραδείγματα τὰ διὰ τῶν
λόγων ἤτοι τὰ ἐκ τῶν μύθων πλαττόμενα εὔκολόν ἐστι λαβεῖν, τὰ δὲ 10
διὰ τῶν πραγμάτων, τὰ δὲ παραδείγματα τὰ ἐκ τῶν πραγμάτων λαμ-
20 βανόμενα, τῶν δὲ γεγενημένων πάλαι, ἃ καὶ ἐξ ἱστορίας ἔχομεν, δύσκολόν
ἐστι λαβεῖν· οὐ γάρ ἐστι δυνατὸν συναγαγεῖν τοιαῦτα πολλά· εἰ δὲ καὶ
εὑρεθῶσι, χρήσιμά εἰσι πρὸς συμβουλήν. [a 9] εἰ μὲν οὐκ ἔχομεν ἐνθυ-
μήματα, χρηστέον τοῖς παραδείγμασιν ὡς ἀποδείξεσιν, εἰ δὲ
ἔχομεν, δεῖ λαβεῖν τὰ παραδείγματα ὡς μαρτύρια ἐπιλογικὰ μετὰ τοῦ ἐνθυ-
25 μήματος· τὸ γὰρ [a 11] ἐπιλόγοις ὡς ἓν μέρος λόγου ληπτέον, ὡς 15
μετὰ τὰ ἐνθυμήματα λεγομένοις· καὶ εἰ μὲν πρὸ τῶν ἐνθυμημάτων λέγομεν
τὰ παραδείγματα, ἀνάγκη πολλὰ λέγειν τοιαῦτα, εἰ δὲ μετὰ τοῦ ἐνθυ-
μήματος, ἀρκεῖ καὶ ἓν παράδειγμα ὡς μαρτυρία ληφθῆναι. [a 16] εἴδη
παραδειγμάτων εἰσὶ δύο, τό τε διὰ λόγων καὶ μύθων καὶ τὸ διὰ
30 γεγενημένων πραγμάτων. [a 17] καὶ πῶς αὐτοῖς χρηστέον, ἤτοι εἰ
μὲν ἐνθυμήματα οὐκ ἔχομεν, χρηστέον αὐτοῖς ὡς ἀποδείξεσιν, εἰ δὲ ἐνθυ- 20

---

2 ἔβαλον n 4 ἀγωνίζεσθαι scripsi ex Aristotele: ἀναγινώσκεσθαι Vn δέ Vn Arist. A: om. Arist. vulg. 5 οἷος scripsi ex Aristotele: evanuit in V, quod manu priore scriptum erat; manu posteriore in charta agglutinata ὁς suppletum est: ὅ n ἐστι n 7 συνομολογήσαντος, pr. ο ex ω corr., V: συνομολογήσαντες n ἐλάφου Vn: immo ἵππου 8 post ἐπιβῇ quinque fere litterae evanuerunt in V; quae manu posteriore in charta agglutinata suppleta sunt, αὐ τ ό, ne ipsa quidem certo leguntur; ceterum ς ante δημαγωγὸς manu priore scriptum fuisse cognoscitur: αὐτῷ. ὁ supplet n 9 κατακριθῇ n τεριμούρια n 10 ἀλογομῦλαι n 19 ἤτοι post πραγμάτων add. n 20 δὲ om. n δύσκολόν n: evanuit V 22 ἃ ante χρήσιμα add. n 25 ἐπιλόγοις Vn Arist. vulg.: ἐπι λόγωι Arist. A man. 1 ἓν n: ἑνὸς V 26 λεγομένοις scripsi: λεγομ V, cetera evanuerunt: λεγόμενα n 28 μαρτυρίαν n πόσα μὲν οὖν εἴδη παραδειγμάτων τὰ ante εἴδη add. n ex Aristotele 29 τὸ n: τῶν V 30 αὐτοῖς καὶ πότε χρηστέον Arist.

μήματα ἔχομεν, χρηστέον αὐτοῖς ὡς μαρτυρίαις. καὶ πότε, ἤτοι ἐν μὲν f. 41r
τοῖς δημηγορικοῖς λόγοις χρηστέον τοῖς διὰ τῶν λόγων καὶ τῶν μύθων
παραδείγμασιν, ἐν δὲ τοῖς συμβουλευτικοῖς χρηστέον τοῖς διὰ τῶν γεγενη-
μένων πραγμάτων παραδείγμασι· διὰ τοῦτο γὰρ καὶ ἀνωτέρω εἴρηκε
5 [a 6] 'ῥᾷον μὲν γάρ ἐστιν ἐν τοῖς δημηγορικοῖς λόγοις πορίσασθαι τὰ διὰ
τῶν λόγων καὶ μύθων παραδείγματα, πρὸς δὲ τὴν συμβουλὴν χρησιμώ- 25
τερά εἰσι τὰ διὰ τῶν γεγενημένων παραδείγματα· τὰ γὰρ μέλλοντα πράγ-
ματα γενέσθαι ὅμοιά εἰσι τοῖς προγεγονόσι'.

21. Γνώμη δέ ἐστιν ἀπόφανσις περὶ τῶν καθ' ὅλου, ἀλλ' οὐ
10 περὶ πάντων τῶν καθ' ὅλου, οἷον ὅτι πᾶν εὐθὺ ἐναντίον ἐστὶ
παντὶ καμπύλῳ, ἀλλὰ περὶ ὧν αἱ πράξεις, ἤτοι περὶ τῶν καθ' ὅλου
τῶν πρακτῶν καὶ τῶν αἱρετῶν πρὸς τὸ πράττειν ἢ φευκτῶν. [a 26] ἐπεὶ
γὰρ τὰ ἐνθυμήματα οὐκ ἄλλο τί ἐστιν ἀλλ' ὁ συλλογισμὸς ὁ περὶ
τῶν τοιούτων ἤτοι τῶν πρακτῶν, τῶν αἱρετῶν καὶ τῶν φευκτῶν, τὰ 30
15 συμπεράσματα τῶν ἐνθυμημάτων ἀφαιρεθέντος τοῦ συλλογισμοῦ
ἤτοι τοῦ μέσου ὅρου, δι' οὗ ὁ συλλογισμὸς γίνεται, γνῶμαί εἰσιν. [a 27]
ἔτι δὲ καὶ αἱ ἄμεσοι ἀπαρχαὶ τῶν ἐνθυμημάτων κἀκεῖναι γνῶμαί εἰσιν·
εἰ μὲν εἴπω οὕτως 'τὸν δεῖνα ἀνάγκη εἶναι ἀργὸν καὶ φθόνον ἔχειν παρ'
ἀστῶν· διὰ δὲ τὸ μὴ εἶναι ἀργὸν καὶ φθόνον ἔχειν παρὰ τῶν ἀστῶν οὐ
20 χρὴ τὸν ἀρτίφρονα παῖδας περισσῶς καὶ κομψῶς ἐκδιδάσκειν· τὸν δεῖνα ἄρα 35
οὐ χρὴ τοὺς παῖδας περισσῶς ἐκδιδάσκειν', ἐστὶ γνώμη. [a 34] τὸ ἀλφάνω
δηλοῖ τὸ λαμβάνω ἢ τὸ εὑρίσκω. [b 5] σὺν δὲ τῷ ἐχομένῳ ἤτοι τῷ αἰτίῳ
ἐνθύμημά ἐστιν. [b 8] ἢ γὰρ μετὰ ἐπιλόγου καὶ αἰτίας ἐστὶν ἢ ἄνευ
ἐπιλόγου καὶ αἰτίας. αἱ μὲν παράδοξόν τι λέγουσαι καὶ ἀμφισβητού-
25 μεναι· διὰ τὸ δοκεῖν παράδοξόν τι λέγειν δεῖ καὶ τὴν ἀπόδειξιν καὶ τὴν αἰτίαν
λέγειν· εἰ γὰρ οὔ, παράδοξόν τι δοκεῖ λέγειν ὁ λέγων ὡς 'οὐ χρὴ τὸν ἀρτί-
φρονα τοὺς παῖδας περισσῶς ἐκδιδάσκειν', εἰ δὲ καὶ τὴν αἰτίαν προσθήσει, 40
οὐκέτι παράδοξον δοκεῖ. [b 10] ὅσαι δὲ οὐ δοκοῦσι παράδοξον λέγειν, ἄνευ
ἐπιλόγου ἤτοι αἰτίας εἰσακτέον αὐτάς. τούτων δὲ τῶν ἄνευ αἰτίας εἰσα-
30 γομένων ἀνάγκη τὰς μὲν μὴ δεῖσθαι αἰτίας διὰ τὸ προδιεγνῶσθαι
καὶ εἶναι φανεράς· συναναφαίνεται γὰρ καὶ τὸ αἴτιον, διότι [b 16] πᾶς
ἐρα|στής, ἢ ἐραστής, ἐρᾷ καὶ φιλεῖ· [b 13] οἷον τὸ 'ἄριστόν ἐστι τὸ f. 41v
ὑγιαίνειν τὸν ἄνδρα' προδιέγνωσται πᾶσι καὶ αἰτίας οὐ δέεται· αἱ δέ, κἂν

---

1 μαρτυρίαις n: μαρτυρίας V 4 γὰρ om. n 9 ἀλλ' οὐ—καθ' ὅλου (10) om. n
10 πάντων καθ' ὅλου Arist. vulg.: καθ' ὅλου om. Arist. A 11 ὧν Vn: ὅσων
Arist. 13. 14 ὁ περὶ τοιούτων (ATr.; τούτων vulg.) συλλογισμός Arist. 14 τὰ
Vn Arist. A: τά τε Arist. vulg. 15 ἐνθυμημάτων καὶ αἱ ἀρχαὶ Arist. 17 αἱ
ἄμεσοι ἀπαρχαὶ V: οἱ μέσοι καὶ αἱ ἀρχαί n 18 οὕτω n ἀργὸν V: ἄρα n
18. 19 φθόνον παρ' ἀστῶν κτλ.] cf. Eurip. Med. 294 sq. 20 παῖδας om. n
τὸν δεῖνα—ἐκδιδάσκειν (21) om. n 21 ἀλφάνω V: ἐμφαίνω n (cf. ἀλφάνουσι Arist.
A: ἀμφάνουσι aut ἀμφανοῦσι Arist. vulg.) 23. 24 ἀποδείξεως μὲν οὖν δεόμεναί εἰσιν
(αἱ μετὰ ἐπιλόγου add. vulg.), ὅσαι παράδοξόν τι λέγουσιν ἢ ἀμφισβητούμενον Arist.
26 εἰ n: ἢ V λέγειν, ει ex ω corr., V 30 διὰ τὸ προεγνῶσθαι μηδὲν δεῖσθαι ἐπιλόγου
Arist. 32 ἐραστής κτλ.] cf. Eurip. Troad. 1051 ἄριστον κτλ.] scol. 8 Bergk.

μὴ προδιεγνωσμέναι εἰσίν. ἀλλ' οὖν λεγόμεναι ἤτοι ἅμα τῷ ῥηθῆναι δῆλαι f. 41v
γίνονται καὶ διὰ τοῦτο οὐδὲ προσθεῖναι δέονται, ὡς τὸ 'οὐδεὶς ἐραστής, ὃς
οὐκ αἰεὶ φιλεῖ'. [b 17] αἱ μέν εἰσι μέρος ἐνθυμήματος ἤτοι ἢ ὡς
συμπέρασμα ἢ ὡς μία τῶν προτάσεων τοῦ ἐνθυμήματος, αἱ δὲ ἐνθυμη- 5
5 ματικαί. ἐνθυμηματικαί εἰσιν αἱ συμβαλλόμεναι εἰς τὸ ἐνθύμημα, αἳ
λαμβάνονται πρὸς κατασκευὴν μιᾶς τῶν ληφθεισῶν προτάσεων ἐν τῷ ἐνθυ-
μήματι· αἱ γὰρ ἐν τῷ ἐνθυμήματι ληφθεῖσαι προτάσεις, εἰ δέονται κατα-
σκευῆς αἱ προτάσεις αἱ ληφθεῖσαι πρὸς κατασκευὴν τῶν προτάσεων,
λέγονται ἐνθυμηματικαί, αἳ καὶ εὐδοκιμοῦσιν ἤτοι ἐπαινοῦνται ὡς κατα- 10
10 σκευαστικαὶ τῶν προτάσεων. [b 20] εἰσὶ δὲ αὗται, ἐν ὅσαις ἐμφαί-
νεται ἡ αἰτία τῶν λεγομένων προτάσεων· τὸ γὰρ θνητὸν εἶναι αἰτία ἐστὶ
τοῦ λεγομένου ἤτοι τοῦ μὴ δεῖν ἀθάνατον ὀργίζεσθαι. κρεῖττον δέ
ἐστιν, εἰ εἴπωμεν ἐνθυμηματικὰς τὰς προτάσεις ἐχούσας καὶ τὴν αἰτίαν
συνεμφαινομένην· καὶ ἐνθυμηματικαὶ μὲν λέγονται, ᾗ τὸ αἴτιον ἔχουσι,
15 καθ' ὃ δὲ οὐ πρόδηλόν ἐστι τὸ αἴτιον, οὐκ ἔστιν ἐνθύμημα· τὸ γὰρ ἐνθύ-
μημα ἔχει καὶ τὸ αἴτιον πρόδηλον. ἡ δὲ ἀναίτιος γνώμη ἐστὶ μέρος τοῦ 15
ἐνθυμήματος, εἴ γε καὶ κατασκευῆς δέεται χρῆσθαι τῷ συμπεράσματι τοῦ
ἐνθυμήματος καὶ τῇ γνώμῃ προσθέντος καὶ τὴν αἰτίαν ὕστερον· [b 31] ἢ
προειπεῖν δεῖν καὶ τὴν αἰτίαν, εἶτα καὶ τὸ συμπέρασμα ἐπαγαγεῖν. [b 31]
20 ἔμπροσθεν λέγει τὸ [b 29] ἐγὼ μέν, ἐπειδὴ οὔτε φθονεῖσθαι δεῖ.
[b 33] στρογγύλως λέγει τις, ὃς περιοδικῶς καὶ συντόμως καὶ συντετμη-
μένως εἴπῃ τὸ πρᾶγμα, συμπεριλαβὼν καὶ τὴν αἰτίαν. Λακωνικὰ ἀπο- 20
φθέγματα λέγει τὰ σύντομα, ὡς τὸ 'οὐ δεῖ ὑβριστὰς εἶναι, ἵνα μὴ ὑπὸ
τῶν ἐχθρῶν οὕτω διαφθαρῶμεν, ὡς μηδὲ δένδρον ἢ ξύλον ἀπομεῖναι ἐν
25 τῇ χώρᾳ ἡμῶν, ἵνα κἂν οἱ τέττιγες καθήμενοι ᾄδωσι.' Λακωνικόν ἐστι
καὶ τὸ 'ποτὶ πονηρὸν οὐκ ἄχρηστον ὅπλον ἁ πονηρία.' [1395a2] τοῖς
πρεσβυτέροις δὲ ἁρμόττει τὸ γνωμολογεῖν καὶ περὶ ἐκείνων τῶν
πραγμάτων, ὧν ἔμπειροί εἰσιν· ἀπρεπὲς γάρ ἐστιν, εἴ γε ὁ μὴ τηλι- 25
κοῦτος ἤτοι ὁ νεώτερος γνωμολογεῖ· ὥσπερ καὶ τὸ μυθολογεῖν τοῖς
30 πρεσβυτέροις ἀνήκει· τὸ δέ, περὶ ὧν οὐκ ἐπίσταταί τις, εἰ γνωμολογεῖ,
ἠλίθιον κρίνεται. [a 7] γνωμοτύποι εἰσὶν ἤτοι πολύπειροι καὶ διὰ
τοῦτο ῥᾳδίως γνώμας ἀποφαίνονται. καθ' ὅλου δὲ μὴ ὄντος τοῦ
πράγματος, εἴ τις θέλει τοῦτο καθ' ὅλου ἀποφήνασθαι, μάλιστα ἁρμόζει,
εἴ γε μετὰ σχετλιασμοῦ καὶ δεινώσεως ἤτοι δεινοπαθείας ἐκφέρει τις 30

---

1 οὖν scripsi: οὐ manu posteriore in charta agglutinata V: εἰ n 2 ἐραστὴς Vn Arist. vulg.: ἐρασθεὶς Arist. A 2. 3 ὃς οὐκ αἰεὶ V: ὃς οὐκ ἀεὶ n: ὅστις οὐκ ἀεὶ Arist. vulg., Eurip: ὅστις οὐχὶ καὶ Arist. A 3 ἐνθυμήματος μέρος Arist. 10. 11 ἐμφαίνηται n 13 εἴπομεν n 15 ἔστι ἐνθύμημα n 20 μὲν οὖν Arist. 26 ποτὶ Plut. Quom. ad. p. 21 E: ποτὲ Vn τὸν πονηρὸν Plut. ἁ πονηρία Plut.: ἀπονηρία Vn 27 πρεσβυτέροις Vn Arist. DEYbZb: πρεσβυτέρῳ Arist. Q: πρεσβύτερον Arist. BTr.: πρεσβυτέρων Arist. A 29 ὁ scripsi: ἡ Vn 30 τὸ δὲ περὶ Vn Arist. vulg.: περὶ δὲ Arist. A

31 ἠλίθιον Arist.: ἠλίθι V: ἠλίθιος n 33 θέλει V: μέλλει n μάλιστα Vn Arist. A: om. Arist. DEQZb ἁρμόττει Arist. 34 δεινώσεως V: δυνώτητος n

τοῦτο· εἰ δὲ ἄνευ δεινοπαθείας τοῦτο ἐκφέρει, μεμπτέος ἂν δόξῃ· οἷον εἴ f. 41v
τις ἱερέα ἰδὼν εἰς τὸ πορνεῖον εἰσελθόντα, εἰ μὲν εἴπῃ οὕτως 'οὐ χρὴ
τοὺς ἱερεῖς τιμᾶν', μεμπτέος ἂν δόξῃ· εἰ δὲ σχετλιάσας τοῦτο ἐρεῖ, οἷον
'ὦ τῆς συμφορᾶς· οὐ χρὴ τοὺς ἱερεῖς τιμᾶν', φαίνεται, ὅτι ὑπὸ τοῦ πάθους
5 κινηθεὶς τῶν ἱερέων κατέδραμεν. [a 9] καὶ ἐν τούτοις ἤτοι τῷ σχε-
τλιασμῷ καὶ τῇ δεινώσει ἢ ἀρχόμενον ἤτοι πρὸ τῶν ἐνθυμημάτων δεῖ
σε σχετλιάσαντα εἰπεῖν ἢ μετὰ τὰ ἐνθυμήματα καὶ τὰς ἀποδείξεις. καὶ * 35
τεθρυλλημέναι γνῶμαί εἰσιν, ἃς καὶ πάντες ὁμολογοῦσι, τὸ

[a 13] "εἷς οἰωνὸς ἄριστος, ἀμύνεσθαι περὶ πάτρης."

10 ἔχουσί τινες ἔθος μὴ ἄλλως ἐξέρχεσθαι εἰς τὸν πόλεμον, εἰ μὴ πρότερον
θύσουσιν· εἴ τις γοῦν παρακαλεῖ τινας ἐξελθεῖν εἰς τὸν πόλεμον καὶ ταῦτα
μὴ πρότερον θύσαντας, εἰπάτω τὸ τοῦ Πολυδάμαντος τὸ "εἷς οἰωνὸς
ἄριστος." καὶ πάλιν, εἴ τις παρακαλεῖ τοὺς Λακεδαιμονίους ἢ τοὺς Ἀθη-
ναίους ἢ ἄλλους τινὰς ἐξελθεῖν εἰς τοὺς πολεμίους καὶ ταῦτα πολλῷ 40
15 ἥττους καὶ ὀλιγωτέρους ὄντας τῶν πολεμίων, εἰπάτω παραθαρρύνων
αὐτοὺς τὸ [a 15] 'κοινὸς Ἐνυάλιος', ἤτοι 'ὁ πόλεμος ποτέ ἐστι μεθ'
ἡμῶν, ποτὲ μετὰ τῶν πολεμίων· ὥστε θαρρεῖτε'. καὶ τῷ παρακαλοῦντί
τινας ἐπὶ τὸ ἐξελθεῖν ἐπὶ τοὺς πολεμίους καὶ ταῦτα ἥττους ὄντας αὐτῶν
τῶν πολεμίων καὶ τῷ παρακαλοῦντι ἐπὶ τὸ ἀναιρεῖν τὰ τῶν ἐχθρῶν
20 τέκνα τινὲς παροιμίαι εἰσὶ καὶ ὡς γνῶμαι· οἷον ἡ παροιμία αὕτη [a 18] f. 42r
''Ἀττικὸς πάροικος'. οἱ Ἀθηναῖοι ἔπεμψαν, ὡς ὁ Κράτερός φησιν ἢ
καὶ ὁ Δοῦρις ἐν τῷ βιβλίῳ τῶν παροιμιῶν Ζηνοβίου ἀπὸ τῶν τοῦ Ταρραίου,
εἰς Σάμον ἀποίκους. εἴ τις γοῦν συμβουλεύει τισίν, οἷον Λακεδαιμονίοις
ἢ Κορινθίοις, στεῖλαί τινας ἐξ αὐτῶν εἰς μετοικίαν, εἰπάτω ''Ἀττικὸς
25 πάροικος'· εἰ γὰρ οἱ Ἀττικοὶ ἔστειλαν εἰς μετοικίαν πολλοὺς τῶν ἐποίκων, 5
πολλῷ μᾶλλον ἡμᾶς δεῖ τοῦτο ποιῆσαι. ἢ καὶ οὕτως· οἱ Ἀθηναῖοι ἀεὶ
ἠδίκουν τοὺς γειτνιῶντας καὶ παροικοῦντας αὐτοῖς· ἔσπευδον γὰρ ἀεὶ
ταπεινοῦν αὐτούς. εἴ τις οὖν συμβουλεύει Λακεδαιμονίοις ταπεινοῦν καὶ
συντρίβειν τοὺς γειτνιῶντας αὐτοῖς εἰπάτω τὸ ''Ἀττικὸς πάροικος'· εἰ
30 γὰρ οἱ Ἀθηναῖοι ἐταπείνουν τοὺς γειτνιῶντας αὐτοῖς, πολλῷ μᾶλλον δεῖ
τοῦτο ἡμᾶς ποιεῖν. [a 18] δεῖ δὲ καὶ τὰς γνώμας ταύτας τὰς κοινὰς
λέγειν παρὰ τὰ δεδημοσιευμένα, ἤτοι παρ' ὃ λέγει ταύτας ὁ δῆμος
καὶ τὸ πλῆθος, ἤτοι οὐ δεῖ λέγειν αὐτὰς ἀπαραλλάκτως, ὡς οἱ πολλοὶ 10
λέγουσιν, ἀλλὰ παραλλάσσειν αὐτός, εἴ γε μέλλει ὁ λέγων αὐτὰς φαίνειν
35 τὸ ἑαυτοῦ ἦθος βέλτιον καὶ ἀγαθὴν ἔχειν προαίρεσιν φαίνεσθαι· ἢ εἰ

1 μεμπτέος ἂν, πτέος ἂν evan., V: μεμπταῖος ἂν n 2 εἴπω n 3 μεμπταῖος n
5 κατέδρακεν n 8 ante τεθρυλλημέναι VII fere litterae evanuerunt V (αἱ αυτ non certo cognoscuntur) ὁμολογοῦσιν ὡς τὸ n 9 εἷς οἰωνὸς κτλ.] Hom. M 243
ἄριστος bis V ἀμύνεσθαι V Arist.: ἀμύνασθαι n 16 ξυνὸς Arist., Hom. Σ 309
19. 20 τῶν ἐχθρῶν τὰ τέκνα Arist. 20 εἰσὶν n 22 Ζηνοβίου] II 28 τῶν om. n 28 λακεδαιμονίοις, ἵοις evan., V 29 εἰπάτω — αὐτοῖς (30) om. n
30 μᾶλλον om. n 32 παρὰ Vn: καὶ παρὰ Arist. vulg.: καὶ πάντα Arist. A
33 αὐτὰς V: αὐτοὺς n ἀπαραλλάκτους n 34 καὶ post ἀλλὰ add. n αὐτός V: αὐτούς n

βούλεται παθητικῶς καὶ σχετλιαστικῶς λέγειν αὐτάς, ἀνάγκη ταύτας f. 42r
παραλλάσσειν, εἶτα μεταξὺ λέγειν καὶ τίνες εἰσὶν αἱ δεδημοσιευμέναι γνῶμαι,
καί φησι τὸ μηδὲν ἄγαν. [a 23] παθητικῶς ἂν εἴποις τοῦτο, εἴ γε
εἴποις αὐτὸ οὕτως 'ψεῦδός ἐστιν, ὡς δεῖ γινώσκειν αὐτόν· οὗτος 15
γάρ, εἰ ἑαυτὸν ἐγίνωσκεν, οὐκ ἂν εἵλετο στρατηγεῖν'. [a 25]
δείξει δέ τις τὸ ἑαυτοῦ ἦθος βέλτιον καὶ ἀγαθόν, εἴ γε οὕτως ἐρεῖ
ὅτι 'οὐ δεῖ φιλεῖν τινα ὡς μισήσοντα, ἀλλὰ μᾶλλον μισεῖν ὡς
φιλήσοντα'· οὕτως γὰρ εἰπὼν φαίνεται ἀγαθὸς εἶναι ὡς ὀρεγόμενος τῶν
κρειττόνων. σὺν δὲ τῷ λέγειν τὰς κοινὰς γνώμας παρηλλαγμένως δεῖ ἢ
τὴν προαίρεσιν ἀποφαίνειν ἐν τῇ λέξει καὶ ἐν τῷ λόγῳ ἢ τὴν αἰτίαν· 20
[a 28] τοῦ μὲν εἰπεῖν καὶ τὴν αἰτίαν παράδειγμα τὸ ὅτι 'δεῖ φιλεῖν
οὐχ ὥσπερ φασίν, ἤτοι ὡς μισήσοντα, ἀλλ' ὡς ἀεὶ φιλήσοντα·' τὸ
γὰρ ἕτερον ἤτοι τὸ φιλεῖν ὡς μισήσοντα ἐπιβουλή ἐστι· τοῦτο ἡ αἰτία.
ἢ οὕτω ῥητέον (τοῦτο παράδειγμα τοῦ τὴν προαίρεσιν τῇ λέξει παραδηλοῦν)
'οὐκ ἀρέσκει δέ μοι τὸ λεγόμενον' ἤτοι τὸ 'δεῖ φιλεῖν ὡς μισήσοντα'·
εἶτα κατασκευὴ τούτου 'τὸν γὰρ ἀληθινὸν φίλον δεῖ φιλεῖν ὡς ἀεὶ φιλή-
σοντα'· ἀπὸ γὰρ τοῦ εἰπεῖν 'οὐκ ἀρέσκει δέ μοι τὸ λεγόμενον' ἀπὸ 25
τοῦ λόγου τούτου δηλοῖ τὴν προαίρεσιν αὐτοῦ, ὡς ἔστιν ἀγαθὴ καὶ μὴ
ἀρεσκομένη φαύλῳ ἤτοι τῷ φιλεῖν ὡς μισήσοντα. [a 31] καὶ οὐδὲ
ἀρέσκει μοι τὸ μηδὲν ἄγαν· τοὺς γὰρ κακοὺς ἄγαν μισητέον. ἔχουσι
δὲ βοήθειαν εἰς τοὺς λόγους ἤτοι εἰς τὸ προφέρειν τὰς γνώμας καὶ
ἀποδέχεσθαι παρὰ τῶν ἀκροατῶν καὶ τὴν φορτικότητα καὶ τὴν ἀγροι-
κίαν καὶ τὴν χωρικίαν τῶν ἀκροατῶν· χωρικοὶ γὰρ ὄντες ἀποδέχονται 30
τὸν παραλλάξαντα τὴν γνώμην ταύτην τὴν 'μηδὲν ἄγαν' καὶ εἰπόντα ὡς
'οὐκ ἀρέσκει μοι τὸ μηδὲν ἄγαν, ἀλλὰ τοὐναντίον τὸ ἄγαν μισεῖν τοὺς
κακούς'. [b 7] εἰ γὰρ οἱ ἀκροαταὶ δοξάζουσιν, ὅτι φαῦλόν ἐστι τὸ γειτο-
νεῖν τινι διὰ τὸ ἐντυχεῖν φαύλοις γείτοσιν, ἀποδέξαιτ' ἂν τὸν εἰπόντα καθ'
ὅλου ὡς οὐδὲν γειτονίας χαλεπώτερον. ὥστε δεῖ τὸν μέλλοντα εἰπεῖν
γνώμην ἀποβλέπειν εἰς τοὺς ἀκροατὰς καὶ στοχάζεσθαι, τίνων οὗτοι ὀρέ-
γονται καὶ τί δοξάζουσι, καὶ οὕτως ἃ δοξάζουσιν οὗτοι, κἂν μερικὰ ὦσιν, 35
ἀποφαίνεσθαι περὶ τούτων καθ' ὅλου· οἷον εἰ ὁ ἀκροατής μου δοξάζει, ὡς
κακὸν τὸ τεκνοποιῆσαι, διὰ τὸ ἐντυχεῖν φαύλῳ τέκνῳ, εἰ εἴπω ὡς οὐδὲν
ἠλιθιώτερον καὶ χεῖρον τεκνοποιίας, καὶ μάλα ἄν με καὶ αὐτὸς ἀπο-
δέξαιτο. [b 10] ὥστε δεῖ στοχάζεσθαι, πῶς τυγχάνουσιν ἔχοντες

---

3 φησὶν n 4 ἐστι n 5 γὰρ Vn Arist. Tr.: γοῦν Arist. A: μὲν οὖν Arist. E: om. Arist. D: οὖν Arist. cet. ἐγίγνωσκεν ἑαυτόν Arist. ἕλοιτο n 7 δεῖ, ὥσπερ φασίν, φιλεῖν Arist. μισήσοντα Vn Arist. vulg.: μισήσοντας Arist. A 8 φιλήσοντα Vn Arist. vulg. (φιλήσαντα Zb): φιλήσαντας Arist. A γὰρ V: ἄρα n 9. 10 ἢ τὴν V: ἤτοι n 11 δεῖ Vn Arist. vulg.: δεῖ δὲ Arist. A 13 ἐπιβούλου γὰρ θάτερον Arist. 14 τοῦτο τὸ παράδειγμα n 21 δ' εἰς τοὺς λόγους βοήθειαν Arist. εἰς (post ἤτοι) om. n 22 ἀποδέχεται V φορτικώτητα n 22. 23 ἀγρικίαν n 27 γείτωσιν n ἀποδέξαιτ' V: ἀποδέξαντ' n: exspectes ἀποδέξαιντ' 28 δεῖ V: δοκεῖ n 29. 30 ὀρέγονται—οὗτοι om. n 30 μερικαὶ n 33 μάλιστα n 34. p. 130,1 πῶς τυγχάνουσι ποῖα προϋπολαμβάνοντες Arist. A: ποῖα τυγχάνουσι προϋπολαμβάνοντες Arist. vulg.

οἱ ἀκροαταὶ καὶ ποῖα ὑπολαμβάνουσι καὶ δοξάζουσιν. εἶτα περὶ τούτων f. 42r
ἀποφαίνεσθαι καθ' ὅλου. [b 12] ταύτην δεῖ μίαν χρῆσιν τοὺς γνω-
μολογοῦντας ἤτοι τὸ βλέπειν καὶ στοχάζεσθαι, τίνα δοξάζουσιν οἱ ἀκροαταί, 40
καὶ οὕτως ἀποφαίνεσθαι περὶ αὐτῶν, εἰ βούλεται ἀποδέχεσθαι παρὰ τῶν
5 ἀκροατῶν, γνωμολογοῦντα, καὶ ἑτέραν χρῆσιν κρείττω, ἥτις καὶ δείκνυσι
τὸ ἦθος τοῦ γνωμολογοῦντος βέλτιον· [b 13] ἡ γὰρ τοιαύτη χρῆσις τῶν
γνωμῶν, ἣν καὶ εἰπεῖν μέλλει, ποιεῖ τοὺς λόγους ἠθικοὺς ἤτοι παρεμ-
φαίνοντας | τὸ ἦθος τῶν λεγόντων τὰς γνώμας, εἴτε φαῦλόν ἐστιν, εἴτε f. 42v
ἀγαθόν. ἐκεῖνοι δὲ οἱ λόγοι ἔχουσιν ἦθος, ἐν οἷς παρεμφαίνεται ἡ
10 προαίρεσις τοῦ λέγοντος, εἴτε ἀγαθή ἐστιν, εἴτε φαύλη. [b 14] αἱ γὰρ
γνῶμαι πᾶσαι τοῦτο ποιοῦσιν ἤτοι τὸ παρεμφαίνειν τὸ ἦθος τοῦ
λέγοντος οἷόν ἐστι, διότι ὁ λέγων τὰς γνώμας περὶ τῶν προαιρετῶν
ἀποφαίνεται ἤτοι περὶ ἐκείνων ἀποφαίνεται, περὶ ὧν προαιρεῖται καὶ 5
βούλεται.

15 22. Ἄλλο γὰρ εἶδος ἑκατέρου τούτων ἤτοι ἄλλος ἐστὶν ὁ
τρόπος, καθ' ὃν δεῖ λαμβάνειν αὐτά, ἤτοι ἐν τῷ ἀποβλέπειν εἰς τὰ ὑπάρ-
χοντα τῷ ἐπαινουμένῳ ἢ τῷ ψεγομένῳ, καὶ ἄλλοι εἰσὶν οἱ τόποι, ἐξ ὧν
ἐπιχειρεῖν μέλλομεν. [b 23] καὶ πῶς ἐστι συλλογισμὸς ἤτοι ἀτελής,
καὶ τί διαφέρει τῶν διαλεκτικῶν, ὅτι ὁ μὲν διαλεκτικὸς τέλειός ἐστι,
20 τὸ δὲ ἐνθύμημα συλλογισμὸς ἀτελής, ἢ ὅτι ὁ μὲν διαλεκτικὸς συλλογισμὸς
περὶ παντὸς προτεθέντος γίνεται, τὸ δὲ ἐνθύμημα συλλογισμός ἐστι περὶ τὰ 10
πολιτικὰ μόνα θεωρούμενος. [b 24] οὔτε γὰρ πόρρωθεν γίνονται συλλο-
γισμοί, ὅταν λάβωμεν τὰς προτάσεις τοῦ συλλογισμοῦ καὶ τὰς προτάσεις
τῶν προσυλλογισμῶν τῶν προτάσεων ἐν τοῖς ἐνθυμήμασιν, οὔτε δεῖ πάντα
25 ἤτοι πάσας τὰς προτάσεις λαμβάνειν, καὶ τὴν μείζονα καὶ τὴν ἐλάττονα,
καὶ συνάγειν τὸ συμπέρασμα· ἀρκεῖ γὰρ εἰπεῖν τὴν ἐλάττονα, τὴν δὲ
μείζονα ὡς γνώριμον παρεῶσι. [b 25] τὸ μὲν γὰρ ἤτοι τὸ λαμβάνειν 15
πόρρωθεν ἤτοι καὶ τὰς προτάσεις τῶν προσυλλογισμῶν ἀσάφειαν ποιεῖ διὰ
τὸ μῆκος, τὸ δὲ ἤτοι τὸ λαμβάνειν πάντα ἤτοι καὶ τὰς προτάσεις ἀδο-
30 λεσχία ἐστίν· ἀδολεσχία γὰρ νομίζεται, ὅταν τὴν μείζονα πρότασιν γνώ-
ριμον οὖσαν καὶ ταῦτα μὴ παρεάσωμεν ἀλλ' εἴπωμεν. [b 26] καὶ γὰρ

---

1 ὑπολαμβάνουσιν n οὕτως εἶτα Arist. DEQZb: εἶθ' οὕτως Arist. cet. 2 ταύτην τε (δὲ BD) δεῖ μίαν χρῆσιν ἔχειν Arist. vulg.: ταύτην δὲ δὴ (δεῖ corr. man. rec.) ἔχειν μίαν χρῆσιν Arist. A 3 καὶ τὸ στοχάζεσθαι n δοξάζουσιν scripsi: δόξουσιν Vn 5 γνωμολογοῦν V: δοξολογοῦντα n 7 ἠθικοὺς γὰρ ποιεῖ τοὺς λόγους Arist. λόγους om. n 9 ἦθος δὲ ἔχουσιν οἱ (A; οἱ om. vulg.) λόγοι Arist. οἷς Vn Arist. vulg.: ὅσοις Arist. AC 10 αἱ γὰρ Vn Arist. vulg.: αἱ δὲ Arist. AC 11 ἦθος n: evanuit V 12 προαιρετῶν Vn Arist. vulg.: προαιρέσεων Arist. AC 15 ἑκατέρου Vn Arist. vulg.: ἑκάτερον Arist. A τούτων evanuit V ἐστὶ n 17 ψεγουμένῳ n 18 ἐστιν n 19 ἐστιν n 21. 22 τὰ πολιτικὰ μόνα n: evanuerunt V 24 προσυλλογισμῶν V τῶν om. n ἐν δὲ τοῖς n οὔτε scripsi, cf. Arist.: οὐ Vn 27 παρεῶσιν n 28 πρσυλλογισμῶν V: συλλογισμῶν n 30. 31 exspectes καὶ ταῦτα γνώριμον οὖσαν

τοῦτο ἤτοι τὸ βραχυλογεῖν καὶ μὴ πάντα λαμβάνειν ἐστὶν αἴτιον καὶ f. 42v
τοὺς χωρικοὺς ἀπαιδεύτους πιθανωτέρους καὶ ἀληθεστέρους τῶν 20
πεπαιδευμένων καὶ σοφῶν· ὅθεν καὶ Εὐριπίδης φησὶν
"ἐγὼ δ' ἄκομψος πρὸς ὄχλον δοῦναι λόγον".
[b 28] ὥσπερ καὶ οἱ ποιηταί, οἷον ὁ Εὐριπίδης φησὶ τοὺς ἀπαιδεύ-
τους ἤτοι τοὺς χωρικοὺς μουσικωτέρους καὶ πιθανωτέρους παρὰ τῷ
ὄχλῳ φαίνεσθαι, καθ' ὅσον βραχυλογοῦσι. καὶ ἀπεριεργότεροι ἐντεῦθεν
φαίνονται· οἱ μὲν γάρ, οἱ πεπαιδευμένοι καὶ οἱ σοφοί, λέγουσι τὰ
κοινὰ καὶ τὰ καθ' ὅλου καὶ τὰ πόρρω τοῦ πράγματος, οἱ δὲ ἤτοι οἱ 25
ἀπαίδευτοι καὶ χωρικοὶ λέγουσιν ἐκεῖνα, ἃ πάντες ἴσασι, καὶ τὰ ἐγγὺς
τοῦ πράγματος. [b 31] καὶ λεκτέον καὶ ἐπιχειρητέον ἐκ τῶν ὡρισ-
μένων καὶ ἐγνωσμένων ἢ τοῖς κρίνουσιν ἢ ἐκείνοις, οὓς ἀποδέχονται
οἱ κρίνοντες, εἴτε νομοθέται εἰσὶν εἴτε ποιηταὶ οἱ παρὰ τῶν κρινόντων ἀπο-
δεχόμενοι· ἐπεί τοί γε, εἰ μὴ ἐπιχειρεῖς, ἐξ ὧν γινώσκουσιν ἢ οἱ κρίνοντες
ἢ οἱ παρὰ τῶν κρινόντων ἀποδεχόμενοι, οὐδὲν ἀνύσεις οὐδὲ πείσεις.
[1396a 1] καὶ τοῦτο, ὃ λέγεις, ἔστω δῆλον καὶ γνώριμον, ὅτι οὕτω 30
φαίνεται καὶ δοκεῖ, ἢ πᾶσι τοῖς κρίνουσιν ἢ τοῖς πλείστοις. καὶ μὴ
μόνον συνάγειν καὶ συλλογίζεσθαι ἐν τῷ λαμβάνειν ἀναγκαίας προτάσεις,
ἀλλ' ἐν τῷ λαμβάνειν καὶ τὰς ὡς ἐπὶ τὸ πολὺ ἤτοι τὰς ἐνδεχομένας.
[a 3] πρῶτον μὲν δεῖ λαβεῖν τὸ πρόβλημα, περὶ οὗ δεῖ λέγειν καὶ
συλλογίζεσθαι, εἴτε πολιτικῷ καὶ ῥητορικῷ συλλογισμῷ εἴτε
ὁποιῳοῦν, εἶτα θεωρεῖν τὰ ὑπάρχοντα τούτοις· [a 6] μηδὲν γὰρ ἔχων
καὶ λαβὼν ἀπὸ τῶν ὑπαρχόντων τῷ πράγματι, περὶ οὗ ὁ λόγος, ἐξ οὐδε- 35
νὸς ἂν συλλογίσῃ· πῶς γὰρ ἂν δυνησόμεθα συμβουλεύσασθαι, πῶς δεῖ
πολεμῆσαι τοῖς Ἀθηναίοις ἢ μὴ πολεμῆσαι, εἰ μὴ ἔχομεν, τίς ἡ δύναμις
αὐτῶν; [a 12] καὶ πάλιν πῶς δεῖ ἐπαινεῖν τοὺς Ἀθηναίους, εἰ μὴ
ἔχοιμεν, πῶς ἐν Σαλαμῖνι οἱ Ἀθηναῖοι ἐπολέμησαν; [a 13] ἢ τὰ
ὑπὲρ Ἡρακλειδῶν πραχθέντα. οἱ Λακεδαιμόνιοι ἐξῶσαν τοὺς Ἡρα-
κλείδας, οὗτοι δὲ διωχθέντες ἀπῆλθον εἰς τοὺς Ἀθηναίους, οἱ δὲ ἀσμένως
αὐτοὺς ἐδέξαντο καὶ ἐτύπωσαν αὐτοὺς ἐκ τοῦ δημοσίου τρέφεσθαι. τοῖς 40
Ἀθηναίοις συνεμάχησαν εἰς τὸν κατὰ τοῦ Ξέρξου πόλεμον Αἰγινῆται καὶ
Ποτιδαιᾶται, εἶτα ὕστερον ἠνδραπόδισαν καὶ ἐδούλωσαν αὐτούς. [a 4] εἴτε
πολιτικῷ συλλογισμῷ ἤτοι ἐνθυμήματι (τὸ γὰρ ἐνθύμημά ἐστι πολι-
τικὸς συλλογισμός), εἴθ' ὁποιῳοῦν ἄλλῳ ἤτοι διαλεκτικῷ ἢ ἐπαγωγῇ ἢ

---

1. 2 αἴτιον καὶ τοῦ (τὸ BEZb) πιθανωτέρους εἶναι τοὺς ἀπαιδεύτους Arist. 2 fort. χωρικοὺς ⟨καὶ⟩ 3 Εὐριπίδης] Hipp. 986 4 πρὸς Vn: εἰς Eurip.
6 μουσικωτέρους Vn Arist. A: μουσικωτέρως Arist. QYbZbTr.: μουσικώτερον Arist. E
7 βραχυλογοῦσιν n 8 fort. οἱ ante σοφοί del. λέγουσιν n 8. 9 τὰ κοινὰ καὶ τὰ (τὰ om. A) καθ' ὅλου λέγουσιν Arist. 10 ἴσασιν n 11 καὶ (ante λεκτέον) V: ὥστε n 12 ἢ ἐκείνοις om. n 17 ἢ πᾶσι Vn Arist. vulg.: ἅπασιν Arist. A 20 μὲν οὖν Arist. 24 δυνησώμεθα n 25 ἡ Vn Arist. A: om. Arist. vulg. 27 ἔχομεν n 28 ὑπὲρ V: περὶ n: ὑπὲρ τῶν Arist. 29 ἀπῆλθεν n
31 συνεμάχεσαν n 32 ἠνδραπόδισαν V: ἠνδραπόδησαν n: ἠνδραποδίσαντο Arist.
33 ἐστιν n

τοιούτῳ τινί. | [a 33] ἐπεὶ καὶ πάντες οὕτω φαίνονται ἀποδει- f. 43r
κνύντες ἐν τῷ ἀποβλέπειν εἰς τὰ ὑπάρχοντα τῷ πράγματι, περὶ οὗ ἐστιν
ὁ συλλογισμὸς καὶ ἡ ἀπόδειξις, ἀκριβέστερον συλλογίζονται οἱ ἀπο-
δεικνύοντες, μαλακώτερον δὲ οἱ διαλεγόμενοι ὡς ἀπὸ ἐνδόξων προτάσεων
5 ἐπιχειροῦντες. [b 2] ἀλλ' ἐκ τῶν περὶ ἕκαστα ὑπαρχόντων καὶ
διὰ τοῦ λόγου ἤτοι τοῦ συλλογισμοῦ καὶ τῆς δείξεως, ὥσπερ ἐν τοῖς 5
Τοπικοῖς πρῶτον εἴπομεν εἶναι ἀναγκαῖον ἐκλέγεσθαι περὶ ἑκάστου
πράγματος τά τε ἐνδεχομένως ὑπάρχοντα αὐτῷ καὶ τὰ ἐπικαιροτάτως ἤτοι
ἀναγκαίως καθ' ἑαυτοὺς καὶ πρὸ τῆς διαλέξεως. [b 6] ἀλλὰ καὶ περὶ
10 τῶν ἐξ ὑπογόου γινομένων ἤτοι περὶ τῶν ἐγγὺς γινομένων πραγμάτων
καὶ ἐξαίφνης παρεμπεσόντων εἰς τὴν διάλεξιν κατὰ τὸν αὐτὸν τρόπον
δεῖ σκοπεῖν καὶ ἀποβλέπειν εἰς τὰ ὑπάρχοντα αὐτῷ, καὶ οὐ δεῖ ἀπο-
βλέπειν εἰς τὰ ἀόριστα ἤτοι εἰς τὰ κοινὰ τὰ ὑπάρχοντα καὶ ἐκείνῳ τῷ 10
πράγματι, περὶ οὗ ὁ λόγος ἐστίν, ἀποβλεπτέον. [b 17] ὁ Κύκνος παῖς τοῦ
15 Ἄρεως, ὃς ἐκώλυε τοὺς Ἕλληνας ἀποβῆσαι εἰς τὸν αἰγιαλὸν τῶν Τρώων
ἐκ τῶν νηῶν. [b 18] καὶ ὅτι νεώτερος ὢν καὶ οὐκ ἔνορκος. ὁ Τυν-
δάρεως, ὁ πατὴρ Ἑλένης, κατέσχε τοὺς μνηστῆρας ὅρκῳ, ὥστε στρατεύεσθαι
ὑπὲρ τοῦ προκριθέντος παρ' αὐτοῦ. [b 21] ὁ τοπικὸς κατάλληλος τοῖς
τοπικοῖς· ὁ συλλογισμός, ἐπεὶ δηλωτικός ἐστι πράγματός τινος, λοιπὸν ἔχει 15
20 καὶ στοιχεῖα καὶ ἀρχὰς τοῦ πράγματος, ἔχει καὶ στοιχεῖα καὶ ἀρχὰς τοῦ
συμπεράσματος. καὶ στοιχεῖα μέν εἰσι τοῦ πράγματος τὰ καθ' αὑτὸ
ὑπάρχοντα τῷ πράγματι, περὶ οὗ ὁ συλλογισμός, περὶ ὧν φθάσαντες παρε-
δώκαμεν. στοιχεῖα δὲ τοῦ συμπεράσματος τοῦ τοιοῦδε καὶ τοῦ συλλογισμοῦ ἡ
τοιάδε σύνθεσις τῶν προτάσεων καὶ ἡ τοιάδε ἐπιχείρησις. περὶ γοῦν τοῦ
25 στοιχείου τοῦ συμπεράσματος ὑπισχνεῖται νῦν εἰπεῖν· στοιχεῖα γὰρ ἐνθυ-
μημάτων νοητέον τὴν τοιάνδε τῶν προτάσεων σύνθεσιν καὶ τὴν τοιάνδε 20
ἐπιχείρησιν. [b 24] τὰ μὲν γὰρ τῶν ἐνθυμημάτων εἰσὶ δεικτικά, ἃ
δεικνύουσιν, ὅτι ἔστι τι ἢ οὐκ ἔστιν, ἤτοι Ἀχιλλεὺς ἀνδρεῖός ἐστιν ἢ
οὐκ ἔστιν. ἐλεγκτικὰ ἐνθυμήματά εἰσι τὰ λαβόντα τὸν λόγον τοῦ ἀντι-
30 θέτου καὶ ἐξ αὐτοῦ συνάξαντα ἄτοπόν τι καὶ ἀδύνατον, ὅπερ ἐστὶν ἡ εἰς
ἀδύνατον ἀπαγωγή· ἐλεγκτικὰ δέ εἰσιν ἐνθυμήματα, ὅταν τις συνάγῃ δι'
αὐτῶν ἀνομολογούμενα καὶ ἀσύμφωνα, ἤτοι ὅταν τις δεικνύῃ τὸν ἀντιλέγοντα
καὶ προσδιαλεγόμενον λέγοντα ἀνομολογούμενα καὶ ἀσύμφωνα ἢ ἑαυτῷ ἢ 25

---

1 ἐπεὶ Vn: ἐπειδὴ Arist. πάντες Vn Arist. vulg.: οἱ πάντες Arist. A 2 τῷ (ante πράγματι) V: om. n πράγματα n 4 δεικνῦντες n 5 ἕκαστον Arist. 6. 7 ἐν τοῖς Τοπικοῖς] Top. A 14 p. 105b13 9 ἑαυτοὺς V: ἑαυτὸ n πρὸ τῆς V: πρώτης n 13 fort. κοινά, ⟨ἀλλ' εἰς⟩ τὰ ὑπάρχοντα [καὶ] ἐκείνῳ; cf. Arist. μὴ εἰς ἀόριστα ἀλλ' εἰς (A; ἀλλὰ, om. εἰς, vulg.) τὰ ὑπάρχοντα 14 τὸν κύκνον post ἀποβλεπτέον add. n ex Aristotele παῖς n: ταῖς V 15 ἄρεος V ἀποδῆσαι n 16 νεώτατος Arist. ὢν post ἔνορκος Arist. εὔορκος n 19 ἐστιν n 20. 21 ἔχει καὶ στοιχεῖα καὶ ἀρχὰς τοῦ συμπεράσματος om. n 27 εἰσὶν n 28 δείκνυσιν n ἔστι τι Vn: ἔστιν Arist. 30 ἐστὶ n 31 ἐπαγωγή n 32 ἀνομολογούμενα ex Aristotele scripsi: ὁμολογούμενα Vn

ταῖς κοιναῖς δόξαις καὶ ταῖς τῶν σοφῶν. [b 28] σχεδὸν μὲν ἡμῖν περὶ f. 43r
ἕκαστον τῶν εἰδῶν τῶν τε ἐλεγκτικῶν καὶ τῶν δεικτικῶν ἐνθυμημάτων
οἱ τόποι οἱ παραδοθησόμενοι ἔχονται τῶν χρησίμων καὶ τῶν ἀναγ-
καίων ἤτοι παραδιδόασι, ποῖά εἰσι χρήσιμα καὶ ἀναγκαῖα εἰς τὰ ἐλεγκτικὰ
5 ἐνθυμήματα καὶ ποῖα εἰς τὰ δεικτικά. [b 30] καὶ γὰρ αἱ προτάσεις αἱ
χρησιμεύουσαι περὶ ἕκαστον εἶδος ἤτοι περὶ τὸ ἐλεγκτικὸν καὶ περὶ τὸ 30
ἐπιδεικτικόν, εἰσὶν ἐξειλεγμέναι. ἐφθάσαμεν δὲ παραδόντες τόπους καὶ
περὶ τοῦ καλοῦ καὶ τοῦ δικαίου καὶ περὶ τῶν παθῶν ἤτοι φόβου καὶ
ὀργῆς καὶ ζήλου. [1397 a 1] ἔτι δὲ καθ' ὅλου λέγωμεν περὶ πάντων
10 τῶν τόπων τῶν χρησιμευόντων εἰς τὰ ἐλεγκτικὰ καὶ τὰ δεικτικὰ παρασημαινόμενοι μόνον, ὅτι οἵδε οἱ τόποι χρησιμεύουσιν εἰς τὰ δεικτικὰ ἐνθυμήματα καὶ οἵδε εἰς τὰ ἐλεγκτικά.

23. Ἢ ὡς ἐν τῷ Μεσηνιακῷ. οἱ Μεσηνιᾶται ἄποικοί εἰσι τῶν Λακεδαιμονίων· καὶ διότι συνεμάχησαν καὶ προσετέθησαν τοῖς Ἀθηναίοις, 35
15 ὡρμήθησαν οἱ Λακεδαιμόνιοι καταδουλῶσαι αὐτούς. συμβουλεύει γοῦν ὁ Ἀλκιδάμας τοῖς Λακεδαιμονίοις καταδουλῶσαι τοὺς ἐν Μεσήνῃ ἐπιχειρῶν ἐκ τοῦ ἐναντίου· [a 11] εἰ γὰρ ὁ πόλεμος, φησί, προυξένησε τάδε τὰ κακά, εἰρήνη πάλιν ταῦτα ἐπανορθώσεται. καὶ εἴ τις οὐκ ὀργίζεται κατὰ τοῦ ἀκουσίως κακόν τι δράσαντος εἰς αὐτόν, λοιπὸν οὐδὲ χάριν ὀφείλει
20 νέμειν τῷ εὐεργετήσαντι αὐτὸν ἀκουσίως καὶ ἐν τῷ καταναγκασθῆναι παρ' ἑτέρου. [a 17] καὶ εἰ ἔστιν ἐν βροτοῖς ψευδηγορεῖν πιθανὰ ἤτοι 40
ψεύδεσθαι καὶ δοκεῖν πιθανὰ τοῖς πολλοῖς καὶ ἀληθῆ λέγειν, οὐ μέντοι γε δὲ ψευδῆ, χρὴ νομίζειν καὶ τὸ ἐναντίον, ἤτοι ὅτι συμβαίνει πολλάκις ἀληθῆ μὲν λέγειν τινά, ἄπιστα δὲ καὶ ψευδῆ νομίζεσθαι τοῖς ἀκροαταῖς. [a 21]
25 εἰ πᾶν δίκαιον ἀγαθόν, ἦν ἂν καὶ πᾶν τὸ δικαίως γινόμενον ἀγαθόν· ἀλλὰ μὴν τὸ δικαίως ἀποθανεῖν | οὐκ ἄν τις αἱρήσεται· δικαίως γὰρ ἀπο- f. 43v
θνήσκει ὁ μοιχὸς ἢ ὁ φονεύς. [a 23] ἄλλος τόπος ἐκ τῶν πρὸς ἄλληλα ἤτοι τῶν πρός τι· εἰ γὰρ τῷ ἑτέρῳ ὑπάρχει ἤγουν τῷ φονεύσαντι τὸ καλῶς καὶ δικαίως ποιῆσαι, καὶ τῷ φονευθέντι ὑπάρχει τὸ καλῶς
30 πεπονθέναι· καὶ εἰ καλῶς ἐκέλευσεν ὁ Σωκράτης τὸν Πλάτωνα ποιῆσαι τόδε, καὶ ὁ Πλάτων τόδε καλῶς ἐποίησεν. [a 26] ὁ Διομέδων Ἀθη- 5
ναῖος ἦν καὶ ἠγόρασε τὸ φορολογεῖν ἀπὸ τοῦ δημοσίου, εἶτα ὠνειδίζετο

---

1 μὲν οὖν Arist. 2 ἕκαστον Vn Arist. Tr.: ἑκάστων Arist. AC: ἕκαστα Arist. cet. 3. 4 τῶν χρησίμων καὶ ἀναγκαίων ἔχονται οἱ τόποι Arist. 5 εἰς V: εἰσι n 7 ἐξειλεγμέναι scripsi ex Aristotele: ἐξηλεγμέναι V: ἐξηκλεγμέναι n 8 παθῶν Vn: παθημάτων Arist. 9 δὲ ἄλλον τρόπον καθ' Arist. πάντων Vn Arist. vulg.: ἁπάντων Arist. A 10 καὶ τὰ — δεικτικὰ (11) om. n 12 οἵδε εἰς V: οἷά εἰσι n 13 ἐν τῷ Μεσηνιακῷ] Alcidam. fr. 2 Sauppe μεσηνιακῷ Vn Arist. QYbZb: μεσσηνιακῷ Arist. cet. εἰσιν n 15 γοῦν V: οὖν n 17 προηξένησε n 18 ἐπανορθώσατο n ὀργίζεται V: ἐργάζεται n 19 ἑκουσίως n 21 ἔστιν ἐν κτλ.] Eurip. fr. 396. F. T. G.² p. 481 N. ψευδηγορεῖν Vn et ex corr. Arist. AC: ψευδολογεῖν Arist. cet. πιθανὰ Vn Arist. A: πιθανόν Arist. vulg. 26 αἱρήσηται n γὰρ om. n 27 ἐκ scripsi ex Aristotele: ἔνι V: ἐνὶ n 28 θατέρῳ Arist. 29 καὶ Vn: καὶ τὸ Arist. vulg.: ἢ Arist. A ποιῆσθαι n

παρὰ τῶν ἀρχόντων ἐν Ἀθήναις τῶν καὶ πωλησάντων αὐτῷ τὸ φορολογεῖν, f. 43ᵛ
διότι τοῦτο ἐποίησε, καί φησιν ὅτι 'εἰ μὴ ὑμῖν αἰσχρὸν τὸ πωλεῖν,
οὐδ' ἐμοὶ λοιπὸν τὸ ἀγοράσαι'. [a 30] εἰ γὰρ δικαίως ἀπέθανεν ἡ Κλυ-
ταιμνήστρα ὡς φονεύσασα τὸν ἄνδρα αὐτῆς, ἀλλ' οὐχ ὑπὸ σοῦ τοῦ
5 Ὀρέστου τοῦ υἱοῦ αὐτῆς ἔδει αὐτὴν ἀποκτανθῆναι. διὸ σκοπητέον
χωρὶς καὶ ἰδίᾳ, εἰ καὶ ὁ παθὼν ἄξιος ἦν παθεῖν καὶ ὁ ποιήσας ἄξιος 10
ἦν ποιῆσαι· οὐ μέντοι γε δὲ προσῆκον ἦν τὸν Ὀρέστην φονεῦσαι αὐτὴν
ἀλλ' ἕτερον. [b 1] εἶτα χρήσασθαι, ὁποτέρως ἁρμόττει καὶ συμφέρει
σοι· εἰ γὰρ μέλλεις δεῖξαι. ὅτι ὁ παθὼν ἄξιος ἦν τοῦ παθεῖν καὶ ὁ ποιήσας
10 ἄξιος ἦν τοῦ ποιῆσαι, ἐπιχείρησον τοῦτο δεῖξαι, εἰ καὶ εὑρήσεις τὸν
παθόντα ἄξιον τοῦ παθεῖν καὶ τὸν ποιήσαντα ἄξιον τοῦ ποιῆσαι. εἰ δὲ
μέλλεις δεῖξαι, ὅτι ὁ μὲν παθὼν ἄξιος ἦν τοῦ παθεῖν, οὐ μέντοι γε δὲ ὁ
ποιήσας ἄξιος τοῦ ποιῆσαι. ἐπιχείρησον τοῦτο δεῖξαι. εἴ γε τέως εὑρήσεις 15
καὶ τὸν μὲν παθόντα ἄξιον τοῦ παθεῖν, οὐ μέντοι γε τὸν ποιήσαντα ἄξιον
15 τοῦ ποιῆσαι. [b 2] ἐνίοτε γὰρ διαφωνεῖ τὸ τοιοῦτο καὶ ὁ μὲν παθὼν
ἄξιός ἐστι τοῦ παθεῖν, οὐ μέντοι γε δὲ ὁ ποιήσας ἄξιός ἐστι τοῦ ποιῆσαι,
ὡς ἐπὶ τῆς Κλυταιμνήστρας. ὁ Θεοδέκτης τραγικὸς ἦν. ὁποτέρως
ἁρμόττει, εἴτε καὶ οἱ δύο δικαίως εἴτε καὶ ὁ εἷς. [b 3] ὁ Ἀλκμαίων
υἱὸς ἦν τοῦ Ἀμφιαράου τοῦ μάντεως, ὃς ἀπέκτεινε τὴν αὐτοῦ μητέρα.
20 [b 2] καὶ οὐδὲν κωλύει διαφωνεῖν ἤγουν τὸν μὲν παθόντα δικαίως 20
παθεῖν, τὸν δὲ ποιήσαντα μὴ δικαίως ποιῆσαι. εἰσάγει δὲ ὁ Θεοδέκτης
τινὰ ἐρωτῶντα τὸν Ἀλκμαίωνα 'οὐδεὶς τῶν ἀνθρώπων ἐστύγει τὴν
μητέρα τὴν σήν;' [b 4] φησὶ δὲ ἀποκρινόμενος τὸ ναί. πῶς
ἐστύγει; τοῦτο τοῦ Ἀριστοτέλους. ἀλλὰ διαλαβόντα καὶ διελόντα ἰδίᾳ
25 τὸν παθόντα καὶ ἰδίᾳ τὸν ποιήσαντα χρὴ σκοπεῖν, εἰ καὶ ὁ παθὼν ἀξίως
ἔπαθε καὶ ὁ ποιήσας ἀξίως ἐποίησε· τοῦτο γὰρ δηλοῖ τὸ τί ἐστι τὸ συμ-
βαῖνον. εἶτα παρεισάγει ὁ Θεοδέκτης τὴν Ἀλφεσίβοιαν ἐρωτῶσαν 'καὶ 25
πῶς σε κατέκριναν, ὦ Ἀλκμαίων;' ὁ δὲ Ἀλκμαίων ὑπολαβών φησι 'διότι
τὴν μὲν ἔκριναν ἀξίαν τοῦ θανεῖν ὡς φαύλην, ἐμὲ δὲ οὐκ ἄξιον ἔκριναν
30 τοῦ κτανεῖν τὴν μητέρα, ἀλλ' ὑπὸ ἄλλου ἔδει φονευθῆναι αὐτήν'. ἡ Ἐρι-
φύλη ἦν ἡ μήτηρ τοῦ Ἀλκμαίωνος. [a 17] "ἀλλ' εἴπερ ἔστιν ἐν βροτοῖς
ψευδηγορεῖν πιθανά." Εὐριπίδης ταῦτά φησι πρὸς τὸν Θυέστην, ὃς ταῦτά
φησι πρὸς τὸν Ἀτρέα τὸν ἀδελφὸν αὐτοῦ. [b 7] τοῦ Ἀλεξάνδρου τελευ-

---

2 φησι n μὴ Vn: γὰρ μηδ' Arist. 3 οὐδὲ n ἀπέθανεν V Arist. vulg.: ἔπαθέν τι Arist. A: ἀπέθανε (om. ἡ) n 3. 4 κληταιμνῆστρα n 4 ὡς V: ἡ n ἀλλ' ἴσως οὐχ Arist. 8 χρήσασθαι Vn Arist. vulg.: χρῆσθαι Arist. A ἁρμόττει Vn Arist. A: ἂν ἁρμόττοι Arist. C: ἂν ἁρμόττῃ Arist. cet. 10 ἐπιχείρησον τοῦτο δεῖξαι om. n 15 τοιοῦτον n Arist. 16 ἐστιν τοῦ ποιῆσαι n 17 κληταιμνήστρας n θεόδεκτος Vn 19 ἀμφιάρου V 21 θεόδεκτος Vn 22 οὐδεὶς V: οὐ τὶς n 24 διαλαβόντα Vn Arist. AC: διαλαβόντας Arist. cet. 25 χρὴ Vn Arist. A: om. Arist. vulg. 26 ἔπαθεν n ἐποίησεν n ἐστιν n 27 θεόδεκτος Vn 28 ὑπολαβών—ἄξιον (29) om. n 29 ἔκρινε (post ἄξιον) n 30. 31 ἐριφίλη n: ἐριφύλλη V 32 πιθανά V Arist. A: πιθικόν n: πιθανόν Arist. vulg. εὐριπὶ V: εὐριπίδου n Eurip. fr. 396. F. T. G.² p. 481 N. 33 τῶν ἀποκτεινάντων νικάνωρα ante τοῦ add. n ex Aristotele

τήσαντος ἡ Μακεδονία διῃρέθη εἰς ἀρχὰς πολλάς. καὶ ὁ Νικάνωρ Μακεδὼν f. 43v
ἦν· λαβὼν καὶ αὐτὸς μέρος τῆς Μακεδονίας καὶ ἄρχων ἐν αὐτῷ ἔσπευδε 30
καταδουλῶσαι τὴν Ἑλλάδα· τέως γοῦν ἀνῃρέθη παρὰ τῶν συγγενῶν. ὁ
γοῦν ῥήτωρ δικάζεται εἰς πρόσωπον τοῦ Νικάνορος μετὰ τῶν ἀποκτεινάντων
5 τὸν Νικάνορα. [b 8] ἐπεὶ γὰρ ἐκρίθησαν δικαίως ἀποκτεῖναι,
ἔδοξε καὶ δικαίως ἀποθανεῖν ὁ Νικάνωρ· ἀλλὰ μὴν οὐ δίκαιον ἦν ἀπο-
θανεῖν παρὰ τῶν ὁμογενῶν· δίκαιον γὰρ ἦν θανεῖν παρὰ τῶν Ἑλλήνων,
οὓς καὶ καταδουλοῦν ἔσπευδεν, οὐ μὴν δὲ παρὰ τῶν ὁμογενῶν. [b 9] 35
Θήβησι θανὼν ἦν ὁ Τιμόλαος, περὶ οὗ ἐκέλευεν ὁ κατηγορούμενος
10 κρῖναι καὶ ἐξετάσαι, εἰ δίκαιος ἦν οὗτος ἀποθανεῖν, ἐπεὶ οὐκ ἄδικόν
ἐστιν ἀποκτεῖναι τὸν δικαίως ἀποθανόντα. [b 16] ἐκ τοῦ εἰ τὸ
ἧττον ὑπάρχει, ἤτοι εἰ τὸ ἧττον ὀφεῖλον ὑπάρχειν τῷδε ὑπάρχει αὐτῷ
(ἔστι δὲ τὸ τύπτειν τὸν πατέρα), καὶ τὸ μᾶλλον ὑπάρξει αὐτῷ ἤτοι
πολὺ μᾶλλον ὑπάρξει αὐτῷ τὸ τύπτειν τοὺς πλησίον. καθ' ὁπότερον
15 ἂν δέῃ δεῖξαι, ἤτοι εἴτε κατασκευάσαι εἴτε ἀνασκευάσαι, χρήσιμος οὗτος 40
ὁ τόπος· ἀντίστρεψον γὰρ καὶ εἰπὲ 'εἰ τοὺς πλησίον οὗτος οὐ τύπτει, οὓς
δεῖ μᾶλλον τύπτειν, πολλῷ μᾶλλον οὐδὲ τὸν πατέρα, ὃν ἧττον δεῖ τύπτειν'.
[b 20] κλεινότατον γόνον λέγει τὸν Μελέαγρον. καὶ ὅτι εἰ μὴ
Θησεὺς ἀφελὼν τὴν Ἑλένην ἠδίκησεν, οὐδὲ Ἀλέξανδρος. [b 25]
20 οὐδ' οἱ σοφισταὶ λοιπόν εἰσι φαῦλοι, | εἴ γε πολλάκις ἡττῶνται παρὰ f. 44r
τῶν προσδιαλεγομένων. λέγουσιν οἱ τῶν Ἀθηναίων ἐξάρχοντες ῥήτορες
ὅτι 'οἱ ἰδιῶται σπουδάζουσιν ἡμᾶς δοξάζεσθαι· δεῖ λοιπὸν καὶ ἡμᾶς τοὺς
Ἀθηναίους, ὅπως φροντίζωμεν, πῶς ἂν οἱ Ἕλληνες δοξάζωνται'. [b 28]
ὁ Ἁρμόδιος καὶ ὁ Ἀριστογείτων ἀπέκτειναν τὸν Ἵππαρχον τὸν Πεισιστράτου
25 τυραννοῦντα· καὶ ἀξιοῖ Ἰφικράτης στῆσαι τούτοις εἰκόνας καί φησιν ὅτι 5
'εἰ πρὸ τοῦ ποιῆσαι ἤτοι εἰ πρὸ τοῦ φονεῦσαι αὐτοὺς τὸν Πεισίστρατον ὁ
δῆμος ἠξίου καὶ ὑπισχνεῖτο εἰκόνα στῆσαι, ἐὰν ποιήσῃ ἤτοι φονεύσῃ,
οὐ δώσετε δὲ τὸ ὑποσχεθὲν τῷ ποιήσαντι τὸν φόνον;' [b 31] ὁ Φίλιππος
ἐβοήθει τοῖς Θηβαίοις πολεμοῦσι τοῖς Φωκεῦσιν ὑποσχομένοις βοηθῆσαι
30 αὐτῷ εἰς τὸν κατὰ τῶν Ἀθηναίων πόλεμον. καὶ πάλιν πρὸς τὸ τοὺς
Θηβαίους διιέναι καὶ πέμψαι καὶ διαβιβάσαι τὸν Φίλιππον πρὸς τὴν 10

---

1 ἡ scripsi: ἐν Vn πολλὰς ἀρχάς n 2 αὐτῶ V: αὐτῇ n 4 νικάνωρος n
5 νικάνωρα n ἐπεὶ Vn Arist. A: ἐπειδὴ Arist. vulg. δικαίως ἐκρίθησαν Arist.
6 δικαίως ἔδοξεν ἀποθανεῖν Arist. 9 ἐκέλευεν V: ἐκέλευσεν n Arist. vulg.: κελεύει Arist.
ATr. 10 κρῖναι Vn Arist. vulg.: κρίνεσθαι Arist. ATr. 11 εἰ τὸ om. n 12 ὑπάρ-
χειν (ante ἤτοι) n ὑπάρχει (ante αὐτῷ) n: χει evan. V 13 ὑπάρξει Vn: ὑπάρχει
Arist. 18 κλεινότατον Vn Arist. vulg.: κλεινὸν Arist. A (adesp. fr. 81. F. T. G.[2]
p. 855 N.) μὴ Vn Arist. vulg.: μὴ δὲ Arist. A 19 ἠδίκησε n 20 οὐδὲ V: οὐδὲ n
22 fort. ⟨εἰ⟩ οἱ ἰδιῶται, cf. Arist. δοξάζεσθαι V: δέξασθαι n 23 πρὸς ἁρμόδιον
post δοξάζωνται add. n ex Aristotele 24 πισειστράτου n 26 πισείστρατον n: immo
Ἵππαρχον (num τὸν Πεισιστράτου scrib.?) 27 ποιήσῃ Vn Arist. vulg. et A man. 1:
ποιήσω corr. Arist. A man. rec. φονεύσῃ, η ex αι corr., V fort. ἔδοτε ἄν post
φονεύσῃ addendum, cf. Arist. 29 ἐβοήθη n 30 τὸ τοὺς Vn: τοὺς om. Arist.
A: τὸ om. Arist. vulg. 31 διιέναι Vn Arist. vulg.: δεῖ εἶναι Arist. A man. 1 (man.
rec. corr. διιέναι vel διεῖναι) πρὸς Vn Arist. vulg.: εἰς Arist. A

Ἀττικήν, ὅτι ὑπέσχοντο ἂν οἱ Θηβαῖοι διαβιβάσαι τὸν Φίλιππον εἰς f. 44r
τὴν Ἀττικήν, εἰ ὁ Φίλιππος ἠξίου αὐτοὺς τοῦτο τὸ διαβιβάσαι αὐτὸν πρὸ
τοῦ βοηθῆσαι αὐτοῖς εἰς τοὺς Φωκεῖς. [1398 a 2] ἄτοπον οὖν, εἰ,
διότι προεῖτο καὶ ἐνέδωκεν εἰς τὸ βοηθῆσαι αὐτοῖς κατὰ τῶν Φωκέων
5 καὶ πιστεύσας αὐτοῖς ὡς ὑποσχεθεῖσι διαβιβάσαι αὐτὸν εἰς τὴν Ἀττικήν,
οὐ μὴν διήσουσι καὶ διαβιβάσουσι νῦν αὐτόν. [a 3] ἄλλος τόπος ἐκ τῶν 15
εἰρημένων καθ' ἑαυτούς, ἤτοι ἐξ ὧν εἶπον καὶ ἔπραξαν ἂν ἐκεῖνοι
οἱ ἀξιοῦντες τόδε γενέσθαι, ἐπιχειρητέον· οἷον ὁ Ἀντιφῶν ἠρώτησε τὸν
Ἰφικράτην, εἰ προδώσει τὰς νῆας, ὁ δὲ ἀνταπεκρίθη 'σὺ μὲν Ἀντιφῶν
10 ὢν καὶ προδότης οὐκ ἂν τοῦτο ἔδρασας, καὶ ἐμὲ ἀξιοῖς τοῦτο δρᾶσαι;'
[a 4] διαφέρει δὲ οὗτος ὁ τρόπος· εἰ μὲν γὰρ ὁ ἀξιῶν κλέπτης ἐστὶ
καὶ διαβαλλόμενος, ἔστι τούτῳ τῷ τρόπῳ χρήσασθαι ὅτι 'σὺ μὲν τοῦτο
οὐκ ἂν ἐποίησας· ἐγὼ δὲ τοῦτο πῶς ποιήσω;' δεῖ γὰρ ἐκεῖνον τὸν ἀξιοῦντα 20
δοκεῖν εἶναι ἄδικον καὶ κλέπτην. [a 9] εἰ δ' οὐκ ἔστι τοιοῦτος ἄδικος,
15 οἷον ὁ Ἀριστείδης, γελοῖος ἂν φανῇ ὁ χρησάμενος τούτῳ τῷ τρόπῳ ἐπὶ
τοῦ Ἀριστείδου ὅτι 'σὺ μὲν ὢν Ἀριστείδης οὐκ ἂν προέδωκας, καὶ ἐμὲ
ἀξιοῖς προδοῦναι;' τὸν γὰρ κατήγορον δεῖ εἶναι ἄπιστον καὶ ἄδικον, ἵνα
πρὸς τὴν ἀπιστίαν αὐτοῦ ἀποβλέπων εἴποι ὁ κατηγορούμενος ὅτι 'σὺ μὲν
ἄπιστος ὢν οὐκ ἂν τοῦτο ἐποίησας'. [a 4] οἷον ἐν τῷ Τεύκρῳ. 25
20 Τεῦκρος ποιητής ἐστιν. ὁ Ἰφικράτης στρατηγὸς ἦν εὐφυὴς εἰς τὰς
ἀποκρίσεις. [a 12] δεῖ οὖν ἀεὶ ἐξελέγχειν τοῦτο, ὅτι οὐ κρείττων ὁ
κατήγορος· οἷον διεβλήθη Σωκράτης ὡς μὴ εἶναι λέγων θεοὺς καὶ ὡς
καινῶν δαιμονίων καταγγελεύς· δείξει τις ὅτι εἰσὶ θεοὶ ἐκ τοῦ ὁρισμοῦ τοῦ
δαιμονίου· εἰ γὰρ τὸ δαιμόνιόν ἐστιν ἔργον θεοῦ, ἀνάγκη εἶναι καὶ θεοὺς
25 τοὺς δημιουργήσαντας· κατὰ Σωκράτην λοιπὸν τὸ δαιμόνιον. [a 18] καὶ
πάλιν ὅτι δὲ ὁ βέλτιστός ἐστι γενναιότατος, μᾶλλον δῆλον ἐκ τοῦ 30
τὸν Ἁρμόδιον καὶ Ἀριστογείτονα μὴ ἄλλως κληθῆναι καὶ γενναίους, εἰ
μὴ γενναῖόν τι εἰργάσαντο· καὶ ἐγὼ συγγενέστερος ἤτοι ἐγγίζω μᾶλλον
τῷ Ἁρμοδίῳ καὶ τῷ Ἀριστογείτονι παρ' ὃ σύ, διότι καὶ τὰ ἐμὰ ἔργα
30 ἐγγίζουσι τοῖς ἐκείνων ἔργοις παρ' ὃ τὰ σά· καὶ τοῦτο ἐκ τοῦ ὁρισμοῦ·
ἐκεῖνον γάρ φαμεν συγγενῆ τῶνδε, οὗ τὰ ἔργα ἐγγίζουσι τοῖς ἔργοις αὐτῶν.
[a 22] κατηγορεῖ τις τοῦ Ἀλεξάνδρου ὡς ἀκολάστου καί φησιν, ὅτι μὴ
κόσμιος ἤτοι ἀκόλαστος ᾗ μὴ ἐρῶν ἑνὸς σώματος· ὁ γὰρ σώφρων ἑνὸς 35
ἐρᾷ· ἐπεὶ δὲ καὶ ὁ Ἀλέξανδρος πολλῶν σωμάτων ἐρᾷ, λοιπὸν κόσμιός

---

1 ὅτι ὑπέσχετο ἂν οἱ θηβαῖοι διαβιβάσαι τὸν φίλιππον πρὸς τὴν ἀττικήν ante ὅτι ὑπέσχοντο add. n 2 αὐτοὺς V: αὐτὸς n 4 ποιεῖτο n 5 πιστεῦσαι n 6 οὐ μὴν Vn: μὴ Arist. διήσουσιν n διαβιβάσουσιν n 7 αὐτοὺς Arist. 8 ἠρώτησεν n 10 τοῦτο om. n 11 ἐστὶν n 14 οὐκ Vn: οὐ Arist. vulg.: μὴ Arist. A 19. 20 οἷον τεῦκρος ποιητὴς ἐστὶν· οἷον ἐν τῶ τεύκρω V: corr. n 21 ἐξελέγχειν V Arist.: ἐλέγχειν n κρεῖττον n 23 καταγγελεύς V: καταγελῶν n cf. Act. apost. 17,18 ξένων δαιμονίων δοκεῖ καταγγελεὺς εἶναι 28 ἠργάσαντο n 31 ἐκεῖνου n ἐγγίζουσιν n 33 et 34 κόσμ V

ἐστιν οὔ. [a 24] καὶ πάλιν Σωκράτης ἐρωτηθείς, διὰ τί οὐ βαδίζει f. 44r
πρὸς τὸν Ἀρχέλαον τὸν βασιλέα τῶν Μακεδόνων καὶ ταῦτα πολλὰ παρ'
αὐτοῦ εὐεργετηθείς, ἔφη 'διότι εὖ παθὼν παρ' αὐτοῦ οὐ δύναμαι ὁμοίως
καὶ ἐπ' ἴσης ἀμῦναι καὶ βοηθῆσαι αὐτῷ καὶ ὠφελῆσαι αὐτόν, ὥσπερ τῷ
5 παθόντι κακῶς παρά τινος ὕβρις ἐστὶ τὸ μὴ δύνασθαι ἀντιδρᾶσαι ὁμοίως
αὐτὸν κακῶς καὶ ἀνταμῦναι'. [a 29] τὸ ὀρθὸν σημαίνει πολλά· λαμβά- 10
νεται γὰρ καὶ ἐπὶ ξύλου, ὅτι ὀρθόν ἐστι τόδε τὸ ξύλον, καὶ ἐπὶ λόγου
'ὀρθὸς ὁ λόγος ἐστί' καὶ 'ὀρθῶς ἐδίδαξας'. [a 31] εἰ γοῦν ἐγὼ διὰ τὰ
δύο οὐκ ἠδίκησά σε, διὰ δὲ τὸ τρίτον οὐδὲ αὐτοὶ λέγετε ἀδικηθῆναι
10 παρ' ἐμοῦ, λοιπὸν ὑμᾶς οὐκ ἠδίκησα. [a 32] ἡ Πεπάρηθος ἢ νῆσός
ἐστιν ἢ γυνὴ ἐκ τῆς Πεπαρήθου· φησὶν αὕτη, ὅτι περὶ τῶν τέκνων αἱ
γυναῖ|κες ἤτοι αἱ μητέρες διορίζουσι καὶ μαρτυροῦσι τὸ ἀληθές, f. 44v
εἴτε νόθα τὰ τέκνα εἰσὶν εἴτε καὶ μή. ἠμφισβήτει ὁ Μαντίας περὶ τοῦ
οἰκείου υἱοῦ, ὅτι νόθος ἐστὶ καὶ οὐχὶ αὐτοῦ, ἀλλ' ἡ γυνὴ τοῦ Μαντίου
15 ἐμαρτύρησε τὸν παῖδα εἶναι σπέρμα αὐτοῦ. [b 2] ἀπέφηνεν ἤτοι ἐμαρ- 5
τύρησεν. ἡ Δωδωνὶς γυνὴ ἦν τοῦ Ἰσμηνίου παῖδα ἔχουσα τὸν Θετταλίσκον· ὁ γοῦν Ἰσμηνίας λέγων τὸν Θετταλίσκον μὴ εἶναι παῖδα αὐτοῦ,
ἡ Δωδωνὶς ἡ μήτηρ ἐμαρτύρησεν αὐτὸν εἶναι σπέρμα αὐτοῦ. [b 5] κακῶς
ἐπεμελήθη ὁ Σωκράτης τῶν ἀλλοτρίων ἵππων, οὐ δεῖ παραδοῦναι αὐτῷ
20 καὶ τοὺς ἐμοὺς ἵππους· οὐδὲ δεῖ ἐπιδοῦναι τὰς οἰκείας ναῦς τοῖς ἀνατρέψασι τὰς ἀλλοτρίας. [b 10] τοὺς σοφοὺς εἶπε περὶ ὁτουοῦν·
ἐκ τούτου ἐδήλωσε 'πάντα ἐπιστήμονα καίπερ βλασφημήσαντα εἰς
αὐτὸν τετιμήκασι'. [b 13] καὶ Λακεδαιμόνιοι ἐποίησαν τὸν Χίλωνα
ἀπὸ τῶν γερόντων ἤτοι τῶν ἐντίμων· τοὺς γὰρ ἄρχοντας γέροντας ὡς 10
25 ἐντίμους ἐκάλουν. [b 18] οἱ προστάται ἤτοι οἱ ἄρχοντες. ἄλλος
τόπος ὁ ἐκ τῆς κρίσεως περὶ τοῦ αὐτοῦ. εἰ περί τινος λέγεις, ὃ
ἔφθασε κριθῆναι, λέγε, ὅτι οὕτως τοῦτο ἔφθασε κριθῆναι. ἢ ὁμοίου,
ἤτοι εἰ ἔφθασε κριθῆναί τι ὅμοιον ὂν τούτῳ, περὶ οὗ λέγεις, λέγε, ὅτι
ὅμοιον τούτῳ πάλαι ἐκρίθη. ἢ τοῦ ἐναντίου, ἤτοι ἢ εἰ, περὶ οὗ λέγεις,
30 τοῦτό ἐστιν ἐναντίον ᾧ ἔφθασε πάλαι κριθῆναι, λέγε, εἰ, ὃ ἐκρίθη

---

1 διὰ τί V: διότι n 4 ἀμῦναι, μῦναι in ras., V 5 παρὰ — κακῶς (6) om. n 8 ἐστίν n εἰ πάντες τριῶν ἕνεκεν ante εἰ add. n ex Aristotele 9 αὐτοὶ V: αὐτὸς n λέγετε scripsi: λέγεται Vn 11 ἐστι n τῆς editionis alterum exemplum: τοῦ alterum exemplum: τῶν V πεπαρη V 12 μαρτυροῦσιν n τἀληθές Arist. 13 καὶ om. n μαντείας n 14 ἐστὶν n μαντείου n 18 ἐκ τοῦ θεοδέκτου post αὐτοῦ add. n; cf. Arist. κακῶς scripsi ex Aristotele: καλ, tum foramen, V: καὶ εἰ n 20. 21 ἀνατρέψασι V Arist. (ἀναστρέψασι Yᵇ Zᵇ et A man. 1): ἀνατρέψασιν n 21 εἶπε V: τιμῶσι n ex Aristotele περὶ ὁτουοῦν Vn Arist. vulg.: om. Arist. A 22 ἐδήλωσεν n πάντα Vn: Πάριοι Arist. βλασφημήσαντα Vn Arist. vulg.: βλάσφημον ὄντα Arist. ATr. 23 τετιμηκέναι n χείλωνα n 23. 24 χίλωνα τῶν Arist. vulg.: χείλωνα καὶ τῶν Arist. A 26 ὃ V: εἰ n 28 ἔφθασεν n 28 et 29 τοῦ V: τούτου n 29 πάλαι V: πάλιν n 30 ἐστι n 30 ᾧ — ἐναντίον (p. 138,1) om. n

πάλαι, τοῦτό ἐστιν ἐναντίον τῷ νῦν λεγομένῳ καὶ ἐξεταζομένῳ· 'εἰ τῷ f. 44ᵛ
ἐναντίῳ τὸ ἐναντίον, λοιπὸν καὶ τῷ ἐναντίῳ τὸ ἐναντίον.' μάλιστα μέν, εἰ, 16
ὃ λέγεις, ἔφθασαν πάντες τοῦτο κρῖναι ἢ οἱ πλεῖστοι καὶ ἀεὶ τοῦτο οὕτως
κρίνουσι πάντες. [b 22] ἢ ἐὰν οἱ κρίνοντες αὐτοὶ ἢ οὓς ἀποδέχονται οἱ
5 κρίνοντες τοῦτο οὕτως ἔκριναν, ἢ εἰ τοῦτο ἔκριναν οἱ κύριοι, οἷς τὰ ἐναντία
κρῖναι τὸν ὑπὸ χεῖρα ἀδύνατον. ἢ εἰ ἔκρινε τοῦτο πατὴρ ἢ θεὸς ἢ διδάσκαλος,
οἷς τὰ ἐναντία κρῖναι ἀδύνατον· οὐ γὰρ δύναται ὁ υἱὸς τἀναντία κρῖναι οἷς
ἔκρινεν ὁ πατήρ. [b 25] ὁ Μιξιδημίδης ἤγετο εἰς κρίσιν· καὶ ἔλεγόν τινες 20
μὴ δεῖν τὸν Μιξιδημίδην κριθῆναι ἔνδοξον ὄντα, εἶτα ὁ Αὐτοκλῆς ἀντι-
10 λέγων φησὶν 'ἄτοπον, εἰ αἱ σεμναὶ θεαὶ ἤτοι αἱ Ἐριννύες ἐκρίθησαν μετὰ
τοῦ Ὀρέστου ἐν Ἀρείῳ πάγῳ. Μιξιδημίδης δὲ οὐ κριθήσεται', ἐπιχείρησις
ἐκ κρίσεως πάλαι κριθείσης. [b 30] εἰπόντα ἤτοι ὑποσχεθέντα ἐπαγγελ-
τικώτερον ἤτοι λεπτομερέστερον εἰπεῖν καὶ ἀφηγήσασθαί τι· εἰπεῖν ὅτι
ὁ Σωκράτης ἑταῖρος ἡμῶν οὐδὲν τοιοῦτον ἔλεγεν' ἤτοι λεπτομερῶς
15 οὐ δεῖν ἔλεγεν ἀφηγεῖσθαι καὶ ἐν μακρηγορίᾳ, ἀλλὰ βραχυλογεῖν ἀεὶ ἐδί- 25
δασκεν· ἐνταῦθα ἐκ τῆς κρίσεως τοῦ διδασκάλου ἐπεχείρησε· διδάσκαλος
δὲ ὁ Σωκράτης τοῦ Πλάτωνος. [b 32] καὶ ὁ Ἡγησίπολις κεχρημένος
καὶ μαντευσάμενος ἐν ταῖς Ὀλυμπιάσιν ἤτοι τῷ Διί· ἠρώτησε γὰρ τὸν Δία
περί τινος, εἶθ' οὕτως ἐν Δελφοῖς ἐπειρᾶτο τὸν Ἀπόλλωνα, εἰ ταὐτὰ δοκεῖ
20 τῷ Ἀπόλλωνι, ἅπερ καὶ τῷ πατρὶ ἤγουν τῷ Διί· αἰσχρὸν δὲ ἦν
εἰπεῖν τὸν Ἀπόλλωνα τἀναντία τῷ πατρί. [1399 a 2] καὶ ὁ Ἰσο-
κράτης ἔγραψεν, ὅτι σπουδαία ἦν ἡ Ἑλένη, ἐπεὶ καὶ ὁ Θησεὺς 30
σπουδαίαν κρίνας αὐτὴν ἥρπαξεν. ὁ Ἀλέξανδρος φρόνιμος ἦν καὶ παρ'
αὐτοῦ ἠρετίσαντο αἱ θεαὶ κρίνεσθαι καὶ ἔκρινε τῇ καλῇ τὸ μῆλον· ὃν αἱ
25 θεαὶ προὔκριναν. [a 4] καὶ πάλιν ὁ Ἰσοκράτης φησίν, ὅτι Εὐαγόρας
σπουδαῖος· δῆλον δέ ἐστι. διότι καὶ ὁ Κόνων στρατηγὸς ὢν τῶν Ἀθη-
ναίων καὶ ἔνδοξος δυστυχήσας εἰς τὸν Εὐαγόραν ἦλθε κρίνας αὐτὸν
σπουδαῖον· ἔχομεν ἐκ τῆς κρίσεως τοῦ Κόνωνος, ὅτι ὁ Εὐαγόρας σπουδαῖος.
[a 7] ὅτι δὲ ἡ ψυχὴ κίνησις οὐκ ἔστι, δῆλόν ἐστιν ἐκ τοῦ λαβεῖν τὰ μέρη τῆς 35
30 κινήσεως· ἐπειδὴ γὰρ ἡ ψυχὴ οὔτε ἥδε ἡ κίνησίς ἐστιν ἤτοι γένεσις
οὔτε ἥδε ἤτοι φθορὰ οὔτε αὔξησις οὔτε φθίσις οὔτε κατὰ τόπον μεταβολή,

2 μὲν V: δὲ n 3. 4 οὕτω κρίνουσιν n 4 αὐτοὶ (αὐτοὶ om. QZᵇ) οἱ κρίνοντες Arist.
4. 5 οἱ κρίνοντες (ante τοῦτο) Vn Arist. ATr.: om. Arist. vulg. 7 υἱὸς τὰ ἐναντία n 8 τὸ
εἰς μιξιδημήδην post πατὴρ add. n; cf. Arist. μιξιδημήδης n: μιξημήδης V 9 μιξιδη-
μήδην n: μιξιμήδην V αὐτοτελὴς V 11 μιξιδημήδης n: μιξιμήδης V 12 κρι-
θείσης n: σης evan. V εἰπόντα Vn Arist. A: om. Arist. vulg. 13 λεπτομερέστερον —
ἤτοι (14) om. n 13 fort. εἶπεν ὅτι 14 οὐδὲν Vn: ἔφη οὐθὲν Arist. 15 μακρη-
γορίᾳ n 16 ἐπεχείρησε V: ἐπιχείρησιν n 17 ἡγήσιππος n Arist. 19 ἐν ἀδελφοῖς n
20 καὶ Vn Arist. Tr.: om. Arist. cet. πατέρι n δὲ om. n 21 πατέρι n
21. 22 Ἰσοκράτης] 10, 18 sq. 24 ἠρατήσαντο n 24. 25 ὃν αἱ θεαὶ προὔκριναν
fort. ante 23 ὁ Ἀλέξανδρος ponend. αἱ θεαὶ Vn Arist. AC: οἱ θεοὶ Arist. cet.
25 προέκριναν Arist. Ἰσοκράτης] 9,51 sq. φησὶ n 26 κώνων n
27 ἦλθεν n 28 κώνωνος n 29 ποία κινεῖ ἡ ψυχή ante ὅτι add. n; cf. Arist.
30 ἡ (post ἥδε) om. n ἐστι n 31 φθίσις V: μείωσις n μεταβολήν n

λοιπὸν κίνησις οὐκ ἔστι ψυχή. καὶ παράδειγμα ἐκ τοῦ Σωκράτους, f. 44v
περὶ οὗ Θεοδέκτης ποιητὴς ὧν φησι λαβὼν καὶ διαιρήσας τὰ τεμένη τῆς
πόλεώς φησιν 'εἰς ποῖον ἱερὸν ἠσέβηκεν ὁ Σωκράτης; ἢ τίνας θεοὺς
οὐ τετίμηκεν;' ἀσεβὴς γὰρ ἐκρίνετο. [a 10] ὡς ἐπὶ τὸ πολὺ συμβαίνει
ἕπεσθαι τῷ αὐτῷ καὶ ἑνὶ πράγματι, εἰ καὶ ἀγαθόν, καὶ κακόν.
[a 12] οἷον τῇ παιδεύσει ἕπεται τὸ φθονεῖσθαι κακὸν ὄν, ὁμοίως
ἕπεται αὐτῷ καὶ τὸ σοφὸν γενέσθαι ἀγαθὸν ὄν. δεῖ γοῦν ἐκ τοῦ ἀκο-
λουθοῦντος καὶ τοῦ ὑστέρου προτρέπειν ὅτι 'δεῖ παιδεύεσθαι, ἵν' ἐκ
τούτου σοφὸς γένηται' ἢ ἀποτρέπειν οἷον 'οὐ δεῖ παιδεύεσθαί τινα, ἵνα
μὴ φθονῆται παρὰ τῶν πολιτῶν'. [a 16] ὁ Κάλλιππος ἦν ῥήτωρ· καὶ ἡ
τέχνη αὐτοῦ οὗτος ὁ λόγος ἦν ἤτοι τοῦτο ἐδίδασκε τὸ ἐπιχειρεῖν ἐκ
τοῦ ἑπομένου προσλαμβάνουσα καὶ τὸ δυνατὸν καὶ τὰ ἄλλα ἤτοι τὸ |
ἀδύνατον, τὸ συμφέρον, τὸ ἀσύμφορον, οἷον 'δεῖ παιδεύεσθαι· δυνατὸν f. 45r
γὰρ ἢ συμφέρον ἐστὶ σοφὸν γενέσθαι'· ἢ ἐὰν ἀποτρέπῃς, ἐπιχείρει λέγων
'οὐ δεῖ παιδεύεσθαι· ἀδύνατον γὰρ σοφόν τινα γενέσθαι'. [a 17] ἄλλος
τόπος χρησιμεύων εἰς τὸ προτρέπειν ἢ ἀποτρέπειν, ὅταν λάβῃς δύο
ἀντικείμενα, οἷόν ἐστι τὸ δίκαιον καὶ τὸ ἄδικον, καὶ ἐπιχειρήσῃς ἐξ αὐτῶν,
οἷον 'εἰ τὰ δίκαια λέγεις, μισήσουσί σε οἱ ἄνθρωποι'. [a 18] ἔστι δὲ τῷ
προτέρῳ τρόπῳ χρῆσθαι καὶ ἐπ' ἀμφοῖν ἤτοι τῷ προτρέπειν καὶ ἀπο-
τρέπειν. πρότερον τρόπον λέγει, ἐν ᾧ ἔλεγεν 'εἰ λάβῃς τὰ ἑπόμενά τινι,
εἴ γε αὐτῷ καὶ ἀγαθὸν καὶ κακόν'. [a 19] διαφέρει δὲ οὗτος ὁ τρόπος
τοῦ προτέρου, διότι ἐν μὲν τῷ τρόπῳ τούτῳ λαμβάνομεν ἐναντία κυρίως,
οἷον δίκαιον καὶ ἄδικον, ἐν δὲ τῷ προτέρῳ τρόπῳ ἐλαμβάνομεν τὰ
τυχόντα ἐναντία, οἷον τῇ παιδείᾳ ἐλέγομεν ἕπεσθαι τὰ τυχόντα ἐναντία
ἤτοι τὸ φιλοσοφεῖν καὶ τὸ φθονεῖσθαι· ταῦτα δέ, τὸ φθονεῖσθαι καὶ τὸ
φιλοσοφεῖν, κυρίως ἐναντία οὔκ εἰσιν. [a 25] καὶ τὸ ἕλος καὶ οἱ ἅλες
ἀντικείμενά εἰσιν οὐ κυρίως, καὶ τῷ μὲν ἕλει ἕπεται τὸ σύνδενδρον, τὸ
εὔκρανὲς τοῦ ἀέρος καὶ εὔκρατον, τῷ δὲ ἅλατι ἕπεται τὸ ἐπὶ σήψει λαμβά-
νεσθαι. εἰσὶ δὲ καὶ τὰ ἑπόμενα ἀντικείμενα. [a 26] βλαισοὶ πόδες
λέγονται οἱ τῆς σαύρας· τὸ μὲν γὰρ μέρος τοῦ ποδὸς αὐτῆς ἐστιν ἔξω, τὸ
δὲ ἔσω· καὶ βλαίσωσις τοῦτό ἐστιν, ὅταν λάβῃς δύο ἀντικείμενα
καὶ ἕπεται τῷ ἑνὶ καὶ ἀγαθὸν καὶ κακὸν καὶ πάλιν τῷ ἑτέρῳ ὁμοίως

---

2 φησι om. n τεμένη V: μέρη n 3 ἠσέβηκεν editionis alterum exemplar: εἰσέβηκεν alterum ἢ alterum exemplar: εἰ alterum: om. Arist. θεοὺς Vn: θεῶν Arist. 4. 5 συμβαίνει ὥστε ἕπεσθαί τι τῷ (τῷ om. vulg.) αὐτῷ (αὐτοῖς A) Arist. 5 καὶ (ante ἑνὶ) om. n εἴ γε καὶ n 7 ἀγαθὸν — παιδεύεσθαί (9) om. n 10 κάλιππος V 11 οὗτος ὁ λόγος Vn Arist. vulg.: ὁ τόπος οὗτος Arist. ATr. ἐδίδασκεν n 12 προσλαβοῦσα Arist. καὶ τὸ Vn Arist. vulg.: καὶ om. Arist. A τἄλλα n, cf. Arist. 13 τὸ ἀσύμφορον om. n 14 ἐστὶν n ἀποτρέπειν n ἐπιχείρῃ n 15 τινα om. n 19 ἀμφοῖν, φοῖν evan., V 20 πρότε[ρον evan.] τρόπον λέγει V: ὃ πρότερον προλέγει n 22 τἀναντία Arist. 24 ἐλέγομεν] p. 139,6 25 ἤτοι τὸ n: ἤτοι τῷ V καὶ τὸ n: καὶ τῷ V 29 βλαισσοὶ V 30 ἔξω V: ἔσω n 31 ἔσω V: ἔξω n βλαίσσωσις V 32 ἕπεται V: ἕπηται n Arist.

ἕπεται καὶ ἀγαθὸν καὶ κακόν, ὃ λέγεται ἔσω καὶ ἔξω. [a 27] εἰσὶ δὲ f. 45r
ἑκάτερα τὰ ἑπόμενα ἑκατέροις ἐναντία, οἷον τόδε τὸ ἀγαθόν ἐστιν
ἐναντίον ⟨τῷδε⟩ τῷ ἀγαθῷ καὶ τὸ κακὸν τῷ κακῷ. [a 28] φανερῶς
μὲν καὶ πρὸς τὸν δῆμον δημηγοροῦντες ἐπαινοῦσι τὰ δίκαια, ἄλλα δὲ
5 βούλονται ἰδίᾳ καὶ καθ' ἑαυτοὺς ἢ καὶ πρὸς ἕνα λέγοντες ἐπαινοῦσι τὰ 20
συμφέροντα καὶ ταῦτα ἄδικα ὄντα· ἐκ τούτων ἐπιχειρεῖν τὸ ἕτερον,
οἷον 'εἰ καὶ τὰ δίκαια λέγεις εἰς πλῆθος, ἀλλ' ἕτερον βούλει καὶ ἰδίᾳ συμ-
βουλεύεις' ἢ τοὐναντίον 'εἰ καὶ ἰδίᾳ συμβουλεύεις τὸ συμφέρον, ἀλλ' εἰς
πλῆθος λέγεις τὰ δίκαια'. [b 2] τοὺς μὲν μισθοφόρους ἐπιεικεῖς ὄντας
10 καὶ ἀγαθοὺς ποιεῖσθε πολίτας, τοὺς δὲ πεπραγμένους ἀνήκεστα καὶ
φαῦλα οὐ ποιήσετε φυγαδίας καὶ ἐξορίστους; [b 4] ἕτερος τόπος, 25
ὅταν τὸ συμβαῖνον καὶ τὸ ἀποτέλεσμά ἐστι ταὐτὸ καὶ ἕν, οἷον τὸ μὴ
εἶναι θεούς, εἰσὶ δὲ δύο· οἷον τὸ γενέσθαι θεοὺς καὶ τὸ θνήσκειν, ἐξ ὧν
συνέβη τὸ μὴ εἶναι θεούς· εἴτε γὰρ δώσεις τὸ γενέσθαι τοὺς θεούς, συμ-
15 βαίνει τὸ μὴ εἶναί ποτε τοὺς θεούς, εἴτε δὲ δώσεις τὸ θνήσκειν
τοὺς θεούς, συμβαίνει πάλιν τὸ αὐτὸ ἤτοι τὸ εἶναι καιρόν, καθ' ὃν θεοὶ
οὐκ ἦσαν· ἐπεὶ οὖν ἐκ τῶν δύο τὸ αὐτὸ συμβαίνει ἀποτέλεσμα, καὶ αὐτά
εἰσι ταὐτά. [b 8] καὶ ὅλως λαμβάνειν, ὅτι ταὐτόν ἐστι καὶ ἓν ἀεί, ὃ
συμβαίνει ἐξ ἑκάστου ἤτοι τοῦ θνήσκειν καὶ τοῦ γενέσθαι τοὺς θεούς.
20 καὶ πάλιν πρὸς τοὺς κατακρίνοντας τὸν Σωκράτην καὶ θανάτου κρίνοντας 30
ἄξιον, ὅτι ἐκ τοῦ κρίνειν τὸν Σωκράτην ἀποβαίνει τὸ μὴ δεῖν τινα φιλοσο-
φεῖν· ὥστε οὐ τὸν Σωκράτην κρίνετε, εἰ χρὴ θανεῖν ἢ μή, ἀλλὰ τὸ ἐπι-
τήδευμα αὐτοῦ ἤτοι τὴν φιλοσοφίαν, εἰ χρὴ φιλοσοφεῖν ἢ μή. [b 11]
καὶ ὅτι ἐκ τοῦ διδόναι γῆν καὶ ὕδωρ τῷ Ξέρξῃ ἀποβαίνει τὸ δου-
25 λεύειν τῷ Ξέρξῃ. ὁ Φίλιππος κατηνάγκαζε τοὺς Ἀθηναίους, ἵν' εἰρη-
νεύωσι μετ' αὐτοῦ, ὥσπερ καὶ αἱ ἄλλαι χῶραι, ὁ δὲ Δημοσθένης λέγει 35
ἀντιπίπτων ὅτι 'τὸ μετέχειν τῆς κοινῆς εἰρήνης ἤτοι τὸ εἰρηνεύειν
μετὰ τοῦ Φιλίππου ἡμᾶς ὡς καὶ τοὺς λοιποὺς πάντας ἐστὶ τὸ ποιεῖν, ὃ
προστάττει ὁ Φίλιππος'. [b 13] ληπτέον δὲ τὸν τόπον τοῦτον τὸν ἀπὸ
30 τοῦ συμβαίνοντος, πρὸς ὁπότερον χρησιμεύει σοι, ἤτοι εἴτε κατηγορεῖν
ὀφείλεις εἴτε ἀπολογεῖσθαι· καὶ εἴτε προτρέπειν ὀφείλεις, χρησιμεύει σοι
ὁ τόπος, εἴτε πάλιν ἀποτρέπειν, καὶ οὕτως ὁ τόπος χρησιμεύει σοι. [b 13] 40
ἄλλος τόπος ἐκ τοῦ μὴ τὸ αὐτὸ τοὺς αὐτοὺς ἀεὶ αἱρεῖσθαι· οἷον

---

1 ἕπηται n 2 ἐναντία ἑκάτερα ἑκατέροις Arist. vulg.: ἑκάτερα om. Arist. AQ 3 τῷδε n: om. V φανερῶς καὶ ἀφανῶς ante φανερῶς add. n ex Aristotele 5 βούλονται n Arist.: βούλεται V 6 θάτερον Arist. 7 βούλεις n fort. βούλει ἰδίᾳ καὶ 10 ποιεῖσθε n Arist. vulg.: ποιεῖσθαι Arist. A: ποιεῖται V: fort. ποιεῖτε πεπραγμένους Vn Arist. vulg.: διαπεπραγμένους Arist. A 11 ποιήσετε n Arist.: ποιήσεται V φυγαδίας V: φυγάδας n Arist. τόπος V: δὲ τρόπος n 12 ἐστὶν n ταὐτόν Arist. 13 καὶ τὸ—θεούς (14) om. n 15 ποτε τοὺς θεούς V Arist. vulg.: τοὺς θεούς ποτε Arist. A 19 ἑκάστου Vn Arist. A: ἑκατέρου Arist. vulg. μέλλετε δὲ κρίνειν post θεούς add. n ex Aristotele 25 τῷ Ξέρξῃ ὁ om. n κατηνάγκασε n 25. 26 εἰρηνεύωσιν n 26 Δημοσθένης] cf. 17,30 29 τρόπον n 32 οὕτος ὁ τρόπος n χρησιμεύσει n 33 ταὐτὸ Arist. τοὺς αὐτοὺς Vn Arist. vulg.: om. Arist. A

τινὲς ἐγένοντο φυγάδες καὶ ἐξόριστοι τῆς πατρίδος καὶ κατιέναι παρεκάλουν f. 45r
εἰς τὴν πατρίδα· εἶτα πολεμουμένῃ τῇ πατρίδι ἐβοήθησαν καὶ κατῆλθον
εἰς τὴν πατρίδα· εἶτα μετὰ τὸ εἰσελθεῖν εἰς τὴν πατρίδα ἐγένετο πάλιν
πόλεμος· καὶ βουλευόμενοι πάλιν φυγεῖν, ἵνα μὴ πολεμῶσιν, εἰ συμ- f. 45v
5 βουλεύει τις αὐτοῖς μὴ δεῖν φυγεῖν, ἐρεῖ [b 15] 'ἄτοπον, εἰ φεύγοντες
μὲν καὶ ἐξόριστοι ὄντες ἐμαχόμεθα τοῖς πολεμοῦσι τὴν πατρίδα, ἵνα
συγχωρηθῶμεν κατελθεῖν παρὰ τῶν πολιτῶν, κατελθόντες δὲ εἰς τὴν
πατρίδα ἐκ ταύτης φευξόμεθα, ἵνα μὴ πολεμῶμεν· ὁτὲ μὲν γὰρ φυγάδες
ὄντες ἠρετισάμεθα μένειν ἐν τῇ πατρίδι ἀντὶ τοῦ μάχεσθαι ἤτοι ἀντὶ 5
10 τοῦ πολέμου, οἳ ἐπολεμήσαμεν τοὺς πολεμοῦντας τὴν πατρίδα, ὁτὲ δὲ
αἱρετισόμεθα τὸ μὴ μένειν ἐν τῇ πατρίδι, ἵνα μὴ μαχώμεθα καὶ πολε-
μῶμεν.' [b 19] ἄλλος τόπος τὸ οὗ ἕνεκα ἂν εἴη· οἷον ἔδωκά τινι
νομίσματα σκοπὸν ἔχων πάλιν ταῦτα λαβεῖν ἀπ' αὐτοῦ, ἵνα οὕτως αὐτὸν
λυπήσω, ὡς ἀφαιρεθέντων, ἃ ᾤετό με χαρίσαι αὐτῷ· εἰ οὖν ἐγκαλοῦμαι
15 παρ' αὐτοῦ 'διὰ τί, ἃ μοι ἐχάρισας νομίσματα, ταῦτα πάλιν ἀφείλου ἀπ' 10
ἐμοῦ;' ἐρῶ 'διότι τούτου ἕνεκά σοι ταῦτα ἐχάρισα, ἵνα λαβὼν ταῦτα
ἀπὸ σοῦ λυπήσω σε'· † τὸ γὰρ εἰπεῖν ἀνῆκον ἀνιαρὸν εἰς ἀφαίρεσιν. τὸ
φάναι ἐν τῷ ἀνακρίνεσθαι διὰ τὸ ἀφαιρεῖν αὐτὸν τὰ νομίσματα τούτου
ἕνεκα εἶναι ἢ γεγενῆσθαι ἤτοι 'ἔλαβον ἀπὸ σοῦ τὰ νομίσματα, ἵνα
20 σε λυπήσω', οὗτινος ἕνεκα εἶναι ἤτοι 'δίδωμί σοι τὰ νομίσματα', ἢ γένοιτο
ἤτοι 'ἔδωκα'. [b 22] 'πολλοῖς ὁ δαίμων πλοῦτον δίδωσιν οὐ δι' εὔνοιαν'
ἤτοι οὐ διὰ τὸ φιλεῖν αὐτούς, 'ἀλλὰ διὰ τὸ ἵνα λυπήσῃ αὐτοὺς ἐπιφανε- 15
στέρως καὶ λαμπρῶς ἐν τῷ λαβεῖν πάλιν ταῦτα ἀπ' αὐτοῦ'. [b 25] περὶ
οὗ Μελεάγρου ὁ Ἀντιφῶν γράφει, ὅτι συνῆλθον τῷ Οἰνεῖ τῷ πατρὶ τοῦ
25 Μελεάγρου οἱ ἔκκριτοι τῶν Αἰτωλῶν, οὐχ ἵνα κτάνωσι τὸν σῦν τὸν ἐξελ-
θόντα τὸν Ἐρυμάνθιον, ἀλλ' ἵν' ἴδωσι τὸν Μελέαγρον, ὅπως τὸν θῆρα
ἀπέκτεινε, καὶ μαρτυρῶσι τοῦτο. [b 28] καὶ ὁ Θεοδέκτης λέγει, ὅτι ὁ 20
Διομήδης ἔλαβε τὸν Ὀδυσσέα ἐξελθὼν εἰς τὸ ἑλεῖν τινα Τρωικόν, ὅτε
ἐκράτησε καὶ τὸν Δόλωνα, οὐ τιμῶν καὶ προτιμῶν αὐτὸν τοῦ Αἴαντος,
30 ἀλλ' ἵνα ᾖ ὁ ἀκολουθῶν αὐτῷ ἐλάττων. [b 30] ἐνδέχεται γὰρ
ποιῆσαι τοῦτο ἤτοι τὸ λαβεῖν μεθ' ἑαυτοῦ τὸν Ὀδυσσέα ἕνεκεν τούτου
ἤτοι τοῦ εἶναι αὐτὸν ἐλάττονα αὐτοῦ κατὰ τὴν ἀνδρίαν, ἵνα μὴ τὸ τρό-
παιον λογισθῇ τοῦ ἀκολουθοῦντος αὐτῷ. τοῖς ἀμφισβητοῦσιν ἤτοι
τοῖς δικαζομένοις, ὡς ἐπὶ τῶν δικανικῶν. [b 25] δρᾶμα τοῦ λεγομένου 25

---

4 βουλόμενοι n 4. 5 πολεμῶσι συμβουλεύων n 8 ταύτης superscr. V
9 et 11 ἠρετησάμεθα n 15 δια τί V: διότι n ἀφέλου n
18. 19 τούτου ἕνεκα φάναι εἶναι Arist. 20 εἶναι Vn: ἂν εἴη Arist. διὸ post ἤτοι add. n ἢ Vn Arist. C (ex corr.): εἰ μὴ Arist. cet. 21 πολλοὺς V (cf. adesp. fr. 82. F. T. G.² p. 855 N.) 23 exspectes ἀπ' αὐτῶν ἐκ τοῦ μελεάγρου ante περὶ add. n ex Aristotele 24 Ἀντιφῶν] fr. 2. F. T. G.² p. 792 N. πατέρι n
25. 26 κτάνωσι τὸν συνεξελθόντα n 26 ἐρυμάντιον n ἵνα n 27 καὶ ἐκ τοῦ αἴαντος post τοῦτο add. n ex Aristotele Θεοδέκτης] F. T. G.² p. 801 N.
30 ἵνα ἥττων ᾖ ὁ Arist. 31 τούτου ἕνεκα ποιῆσαι Arist. ἕνεκεν V: ἕνεκα n Arist. 32 ἀνδρεῖαν n (per comp. V)

Μελεάγρου ἐποίησεν ὁ Ἀντιφῶν. [b 31] καὶ σκοπεῖν καὶ ἐκεῖνα, ὧν f. 45v
ἕνεκα καὶ πράττουσι καὶ φεύγουσι τὴν πρᾶξιν. [b 33] εἰσὶ δὲ
ταῦτα τὸ δυνατόν, τὸ ῥᾴδιον, τὸ ὠφέλιμον, ἅτινα, ταῦτα εἰ μὴ ὑπάρχει
ἤτοι εἰ μὲν ὑπάρχει τὸ δυνατὸν γενέσθαι καὶ ῥᾳδίως τῷ πράγματι, ἔστι
5 δὲ δυνατὸν ἢ αὐτῷ τῷ ἐπιχειροῦντι ποιῆσαι ἢ τῷ φίλῳ, δεῖ πράττειν.
ὁμοίως δεῖ πράττειν, καὶ εἰ ἔστι βλαβερὸν τοῖς ἐχθροῖς. [b 35] ἢ εἰ
μὲν τὸ πρᾶγμα, ὃ δεῖ ποιῆσαι, ἐστὶ πολλοῦ ἄξιον, ἡ δὲ ζημία, ἣν ἔπαθεν 30
εἰς τὸ κτήσασθαι τὸ πρᾶγμα. ⟨ἐλάττων⟩ (ἴσως γὰρ κατεβάλου νομίσματα εἰς
τὴν κτῆσιν αὐτοῦ), ἐπιχειρητέον εἰς τὸ ποιῆσαι τὸ πρᾶγμα. [b 36] προ-
10 τρέπονται εἰς τὸ ποιῆσαι ἐκ τούτων ἤτοι ἐκ τοῦ εἶναι ἐκεῖνο δυνατὸν
ἢ ὠφέλιμον, ἀποτρέπονται δέ, ὥστε μὴ πρᾶξαι, ἐκ τῶν ἐναντίων
ἤτοι ἐκ τοῦ εἶναι ἀδύνατον ἢ βλαβερόν, καὶ διὰ τοῦτο δεῖ ἀποφυγεῖν ὡς
βλαβερόν. [1400a 4] ὁ Πάμφιλος καὶ ὁ Καλλιππός εἰσι ῥήτορες· ἡ γοῦν 35
ῥητορικὴ τέχνη αὐτῶν ὅλη ἐστὶν ὁ τόπος οὗτος· διδάσκει γὰρ ἐπιχειρεῖν
15 ἐκ τοῦ δυνατοῦ καὶ ὠφελίμου καὶ ἀδυνάτου. [a 5] ἄλλος τόπος ἐκ τῶν
δοκούντων μέν, ἀπίστων δέ. ἄπιστα δὲ νοητέον ἐνταῦθα οὐχὶ τὰ
πάντα ἀδύνατα καὶ ψευδῆ πάμπαν, ἀλλὰ τὰ ἀμφίβολα καὶ εἰκὸς πιστευ-
θῆναι καὶ μή· εἰ γοῦν ἐστιν ἄπιστον τοιοῦτον, οἷον εἴπομεν, ὑπελήφθη
δέ τινι, ἀνάγκη εἶναι καὶ ἀληθές· οὐ γὰρ ἂν ἔδοξέ τι καὶ ὑπέλαβεν, ὅτι 40
20 οἱ Σίφνιοι καὶ οἱ Μαρωνῖται βουλεύονται περὶ τῆς τῶν Ἑλλήνων ἀρχῆς,
εἰ μὴ ἦν ἢ ὂν καὶ ἀληθὲς ἢ τῆς ἀληθείας ἐγγὺς καὶ μᾶλλον ὂν καὶ
ἀληθές· [a 7] πάντες γὰρ ἢ τὰ ὄντα ὑπολαμβάνουσιν ἢ τὰ εἰκότα ἤτοι
τὰ ἐγγὺς τῆς ἀληθείας. εἰ οὖν τοῦτο, ὃ ὑπελήφθη, ἄπιστόν ἐστι, τοιοῦτον
δὲ ἄπιστον ἀμφίβολον καὶ οἷον εἴπομεν καὶ οὐδὲ εἰκὸς λέγεις τοῦτο, f. 46r
25 λοιπὸν ἀληθές ἐστιν· ὃ γάρ τις ὑπολάβῃ γενέσθαι, εἰ μή ἐστιν εἰκός,
ἀνάγκη εἶναι ἀληθές· πᾶν γὰρ τὸ δοξαζόμενον ἢ εἰκὸς ἢ ἀληθές ἐστιν.
[a 8] οὐ γὰρ δοκεῖ οὕτως ἤτοι οὐ γὰρ ὑπελήφθη τοῦτο καὶ ἐδοξάσθη
διὰ τὸ εἰκὸς καὶ τὸ πιθανόν· καὶ ἐπεὶ οὐχ ὑπελήφθη τοῦτο οὔτε διὰ
τὸ εἰκὸς οὔτε διὰ τὸ πιθανόν, ἔστι λοιπὸν ἀληθές. [a 11] ἐπεὶ καὶ οἱ 5
30 ἰχθύες δέονται τοῦ ἁλός, ἵνα μὴ σαπῶσιν· ἁλατίζονται γάρ· καίτοι
ἔδει μὴ δεῖσθαι ἁλὸς καὶ ἁλατίζεσθαι, διότι ἐν ἅλμῃ τρέφονται. [a 13]
στέμφυλα λέγει τὰ τζίπουρα τῶν ἐλαιῶν, ἅτινα ἀνέφυρον οἱ παλαιοὶ μετὰ
τοῦ ἐλαίου καὶ ἔτρωγον. [a 15] τὸ σκοπεῖν τὰ ἀνομολογούμενα καὶ

---

2 πράττουσιν n 3 ἅτινα κτλ.] ταῦτα γάρ ἐστιν, ἅ (vulg.; ἅ om. A), ἐὰν μὲν ὑπάρχῃ, δεῖ πράττειν, ἐὰν δὲ μὴ ὑπάρχῃ, μὴ πράττειν Arist. C et marg. Yb: ἐὰν δὲ—πράττειν om. Arist. cet. 3. 4 μὴ ὑπάρχει ἤτοι εἰ μὲν ὑπάρχει τὸ V: μὴ ὑπῆρχον τὸ n
5 ὃ ante δεῖ add. n 8 ἐλάττων addidi ex Aristotele: om. V: μείζων n
κατέβαλλον n 9. 10 προτρέπονται V Arist.: προτρέποντάς n 13 ὅλη τέχνη ἥ τε παμφίλου καὶ ἡ καλλίππου post βλαβερόν add. n ex Aristotele 16 γίγνεσθαι post μὲν add. Arist. 17 πάντα Vn: fort. πάντῃ fort. ἀμφίβολα, ⟨ἃ⟩ καὶ 18 ὃ ante ὑπελήφθη add. n 21 ἢ ὂν καὶ V: ἢ οὐκ n 22 ἢ τὰ εἰκότα ὑπολαμβάνουσιν Arist. 23 ἐστιν n 24 λέγει n 27 οὐ γὰρ διά γε τὸ εἰκὸς καὶ πιθανὸν δοκεῖ οὕτως Arist. καὶ ἐδοξάσθη V: οὔτε n 31 ἐν om. n 32 τρίπουρα n
33 τὸ τὰ ἀνομολογούμενα σκοπεῖν χωρὶς Arist.

ἀσύμφωνα χωρὶς μὲν ἐπὶ τοῦ ἀμφισβητοῦντος καὶ ἀντιδικοῦντος f. 46r
ἐμοί, εἰ ἀνομολογούμενον καὶ ἀσύμφωνόν ἐστιν, ἢ τῷ χρόνῳ, οἷον ἐν
τῷδε τῷ χρόνῳ πρᾶξαί τι ἐνίσταται, καθ' ὃν οὐκ ἦν εἰκὸς γενέσθαι. ἢ εἰ, 10
ὃ ἔπραξε νῦν ἢ εἶπεν ἀσύμφωνον, ἐναντίον ἐστὶν ἢ οἷς πάλαι ἔπραξεν ἢ
5 εἶπεν, οἷον λέγει πρός τινα τῶν Ἀθηναίων προδότην ὅτι 'λέγεις μὲν ἡμᾶς
τοὺς Ἀθηναίους φιλεῖν, συνώμοσας δὲ τοῖς τριάκοντα τυράννοις καὶ ἐσπείσω·
ὡς ὃ ἔπραξας ἐναντίον ἐστὶν οἷς λέγεις.' [a 18] χωρὶς δέ, εἰ ἀπολο-
γούμενος ἐφ' ἑαυτῷ ἤτοι ἑαυτῷ ἀσύμφωνόν τι λέγει, ὅτι 'σὺ μὲν ἑαυτὸν
φῂς εἶναι φιλόδικον, οὐκ ἔχεις δὲ ἀποδεῖξαι ὡς ἐδίκασας δίκαιον'· 15
10 [a 20] ἢ ἐφ' ἑαυτοῦ ὀφείλεις σκοπεῖν τὸ ἀσύμφωνον καὶ τοῦ ἀμφισβη-
τοῦντος ἤτοι δεῖ σε σκοπεῖν, εἰ ὃ ἐποίησας ἀσύμφωνόν ἐστιν οἷς ὁ ἀντί-
δικός σου λέγει ποιῆσαι, ὅτι 'σὺ μὲν λιμοῦ ὄντος οὐ δεδάνεικας οὐδέτινι
τῶν Ἀθηναίων ἢ αἰχμαλώτων πολλῶν κρατηθέντων οὐδενὶ ἐδάνεισας πρὸς
τὸ ἀγορασθῆναι, ἐγὼ δὲ πολλοὺς ἔλυσα καὶ ἠλευθέρωσα τῶν αἰχμαλώτων 20
15 δοὺς νομίσματα'. [a 22] ἄλλος τόπος· εἰ προεβλήθη τις ἢ ἀληθῶς ἢ
ὅτι ἔστι τοιοῦτος, οἷος διεβλήθη, λύσις ἔσται τῆς διαβολῆς, εἴ γε εἴπῃ τὴν
αἰτίαν, δι' ἣν ἡ παράδοξος αὕτη διαβολὴ ἐρρέθη· ἢ κἂν οὐ προεβλήθη,
ἀλλ' οὖν οὐ δοκεῖ τοιοῦτος οἷος ἦν, (ἔστι γάρ τι αἴτιον, δι' ὃ φαίνεται),
ἢ διαβληθείς, εἰ μὲν δοκεῖ τοιοῦτος, οἷος ἦν· [a 24] οἷον γυνή τις ἠσπά-
20 ζετο τὸν υἱὸν αὐτῆς καὶ ἀεὶ συνῆν ἐκείνῳ καὶ συνεκοιμᾶτο καὶ ἐδόκει,
ὅτι μοιχεύεται παρ' αὐτοῦ· εἰπούσης δὲ τὴν αἰτίαν, δι' ἣν αὐτὸν φιλεῖ (ἢ 25
γὰρ διότι πολλὰ παρ' αὐτοῦ ὠφελήθη ἢ διότι ἐστὶ σώφρων), ἐλύθη ἡ
διαβολή. ἢ ὥσπερ ἐν τοῖς Ῥωμαίοις ἦν ναὸς τῆς Ῥέας· τὸ δὲ εἴδωλον
ταύτης ἦν ἐν Περγάμῳ· εἶτα παρακαθισάντων τῶν πολεμίων τὴν Ῥώμην
25 χρησμὸς ἐξῆλθε μὴ εἶναι δυνατὸν ἄλλως τῆς πολιορκίας ἀπαλλαγῆναι, εἰ
μὴ ἐκ τοῦ Περγάμου τὸ εἴδωλον τῆς Ῥέας κομίσωσιν. ἐστάλησαν ἐκεῖ
τινες καὶ λαβόντες αὐτὸ τὸ εἴδωλον ἀπεκόμιζον ὡς πρὸς τὴν Ῥώμην διὰ
θαλάσσης· εἶτα ἔστη ἐν τῷ πελάγει ἡ ναῦς καὶ οὐκ ἐκινεῖτο ἐπὶ τὸ 30
ἔμπροσθεν, ἡ δὲ ἱέρεια ἡ ἐν τῷ ναῷ τῆς Ῥέας ἐγέλα ἀμέτρως καὶ διεβάλλετο
30 παρὰ τοῦ τότε ἀρχιερέως τοῦ Θύμβριδος ἐπὶ μοιχείᾳ, εἶτα στᾶσα ἐπὶ τοῦ
αἰγιαλοῦ ηὔξατο πρὸς τὸ εἴδωλον εἰποῦσα ὅτι 'εἰ παρθένος εἰμί, δεῖξον
τοῦτο σήμερον'· τὸ δὲ εἴδωλον πηδῆσαν ἀπὸ τῆς νηὸς ἦλθε πρὸς τὰς

---

1 ἐπὶ om. n 2 εἴ τι Arist. 3 ἦν V: ἂν n 4 ἔπραξεν scripsi: ἔπραξαν Vn
5 τὶς post λέγει add. n προδοτῶν n 6 συνωμώσας n 8 ἐφ' ἑαυτῷ Vn:
ἐφ' αὐτοῦ Arist. C: ἐπ' αὐτοῦ Arist. cet. ἤτοι ἑαυτῷ om. n λέγει n: λέγειν V
9 δίκαιον Vn: δίκην Arist. 10 ἐφ' ἑαυτοῦ Vn: ἐφ' αὐτοῦ Arist. C: ἐπ' αὐτοῦ Arist.
cet. ὀφείλει V 12 οὐδέ τινι V: οὐδενὶ n 13 τῶν ἀθηναίων ἢ αἰχμα-
λώτων τινῶν κρατηθέντων οὐδενὶ ante τῶν add. n 15 νομίσματα V (per compend.):
ἤγουν n εἴπερ προελήφθη n (cf. προδιαβεβλημένοις Arist. A: διαβεβλημένοις Arist.
vulg.) ἢ (post τις) om. n 15. 16 ἢ ὅτι—διαβολῆς om. n 17 ἡ ex
εἰ corr. V προελήφθη n 18 δοκεῖ n: δοκῶν V 25 ἐξῆλθεν n
πολιορκείας n 27 τὸ εἴδωλον αὐτὸ n 28 θαλάττης n 29 Ῥέας scripsi: ῥώμης
Vn 30 θύβριδος n μοιχίᾳ n 32 δὲ om. n νεὼς n

χεῖρας τῆς ἱερείας. [a 27] καὶ ὥσπερ ὁ Ὀδυσσεὺς εἰπὼν τὴν αἰτίαν, f. 46r
δι' ἣν ἀνδρειότερος αὐτοῦ δοκεῖ ὁ Αἴας καὶ ταῦτα τοῦ Ὀδυσσέως ὄντος 35
ἀνδρειοτέρου, εἶπεν ὅτι 'ὁ Αἴας τοιοῦτος δοκεῖ, διότι τολμητίας ἐστὶ καὶ
μωρὸς καὶ ἀνόητος'. [a 29] ἄλλος τόπος ἐπιχειρῶν ἀπὸ τοῦ αἰτίου.
5 ἂν γὰρ ὑπάρχῃ τὸ αἴτιον, δῆλον ὅτι ἔστι καὶ τὸ αἰτιατόν, κἂν οὐχ
ὑπάρχῃ τὸ αἴτιον, δῆλον ὅτι οὐκ ἔστι τὸ αἰτιατόν· τὸ γὰρ αἴτιον τὸ
ποιητικόν φησιν ἅμα εἶναι τῷ αἰτιατῷ. καίτοι ἐνδέχεται οἰκοδόμον μὲν
εἶναί τινα, οἰκίαν δὲ μὴ οἰκοδομεῖσθαι παρ' αὐτοῦ· καί φαμεν ὅτι, εἰ 40
ἐνεργείᾳ ἐστὶν οἰκοδόμος, ἀνάγκη εἶναι ἅμα καὶ τὸ οἰκοδομούμενον, καὶ εἰ
10 δυνάμει ἐστὶν ὁ οἰκοδόμος, καὶ τὸ οἰκοδομούμενόν ἐστι δυνάμει· ὥστε
ἅμα αὐτὴν εἶπε, καθ' ὃ ἢ ἄμφω εἰσὶ δυνάμει ἢ ἄμφω ἐνεργείᾳ. [a 31]
καὶ ἄνευ αἰτίου οὐδέν ἐστιν αἰτιατὸν γενόμενον. [a 31] ὁ δῆμος τῶν
Ἀθηναίων ἔστησε στήλην ἐν τῇ ἀκροπόλει, ἐπάνω δὲ τῆς στήλης ἔθεντο f. 46v
κύρβιν ἤτοι σανίδιον, ἐν ᾧ κατέγραφον τὰ ὀνόματα τῶν προδοτῶν τῆς
15 πόλεως καὶ τῶν πρὸς λύμην ὄντων τῆς πόλεως καὶ τῶν προστεθειμένων
τοῖς τριάκοντα· κατήγορος ἦν ὁ Λεωδάμας τοῦ Θρασυβούλου, ὅτι ἦν
στηλίτης ἤτοι 'ἀναγεγραμμένον ἦν τὸ ὄνομά σου ἐν τῇ κύρβει μετὰ τῶν
προδοτῶν'· εἶτα τοῦ Θρασυβούλου λέγοντος ὅτι 'ψεύδῃ· οὐ γὰρ ἀναγέγραπται 5
ἐν τῇ κύρβει τὸ ὄνομά μου νῦν', εἶτα ὁ Λεωδάμας 'ἦν μὲν τὸ ὄνομά σου
20 ἀναγεγραμμένον ἐν τῇ κύρβει, σὺ δὲ τὸ μέρος τῆς σανίδος, ἐν ᾧ ἀναγε-
γραμμένον ἦν τὸ ὄνομά σου, ἐξέκοψας ἐπὶ τῶν τριάκοντα τυράννων'. ὁ δὲ
Θρασύβουλος ἔφη 'οὐκ ἐνδέχεται ἐμὲ ἐκκόψαι καὶ ἀφαιρῆσαι τὸ ὄνομά μου
ἀπὸ τῆς κύρβεως καὶ ταῦτα τυραννούντων τῶν τριάκοντα· μάλιστα γὰρ
ἐπίστευον ἂν ἐμοὶ καὶ ἐθάρρουν οἱ τύραννοι ὡς ἐχθρῷ ὄντι τοῦ δήμου· 10
25 ἐδόκουν δὲ ἐχθρὸς πρὸς τὸν δῆμον, εἰ ἐθεώρουν τὸ ὄνομά μου ἀναγεγραμ-
μένον ἐν τῷ σανιδίῳ'. [a 35] ἄλλος, εἰ ἐνεδέχετο βέλτιον ἄλλως.
εἰ ὁ Σωκράτης ἔπραξέ τι καὶ διαβάλλεται ἐπὶ τῇ πράξει, σκοπητέον, εἰ
ἐνεδέχετο καὶ ἐχώρει βελτιώτερον, ἢ συμβουλευθῇ, γενέσθαι τοῦτο, ὃ ἐγέ-
νετο, τοῦ, οὗ ὁ Σωκράτης ἐποίησεν ἢ συνεβούλευσεν, ἢ εἰ ἐνδέχεται βελ-
30 τιώτερον συμβουλεῦσαι ἢ ποιῆσαι ὡς ἐπὶ ἐνεστῶτος χρόνου, ἤτοι εἰ συμ-
βουλεύσει ὁ Σωκράτης γενέσθαι τι, οὗ φαίνεται ἐναντίον τι πράξας πρότερον, 15
καὶ κατηγορεῖται ὡς ἄλλο τι πράξας πρότερον, παρ' ὃ ὃ συμβουλεύει· δεῖ
γοῦν τὸν Σωκράτην ἀπολογήσασθαι ὡς 'οὐκ ἐνεχώρει κρεῖττόν τι γενέσθαι

---

3 ἐστὶν n 5 ἂν γὰρ Vn: ἄν τε Arist. vulg.: ἂν δὲ Arist. A ἔστι om. n
κἂν μὴ Arist. 10 ἐστὶ ὁ n ἐστιν n 11 αὐτὴν V: αὐτὸν n:
exspectes αὐτὰ εἶπεν n 12 οὐδέν Vn: οὐθέν Arist. ἐστι n
ὅτι ἦν στηλίτης ante ὁ δῆμος add. n ex Aristotele 13 ἔστησεν n ἐν τῇ ἀκρο-
πόλει· ἐπάνω δὲ τῆς στήλης ἔθεντο κύρβιν V: ἐν ᾗ ἔθεντο κύρβι n 15 καὶ προστιθε-
μένων n 16 κατηγόρ ἦν V: κατηγόρει οὖν n λεοδάμας n Λεωδάμας ἀπολο-
γούμενος ἔλεγε κατηγορήσαντος Θρασυβούλου Arist. 17 σου V: αὐτοῦ n
κύρβι n 19 κύρβι n λεοδάμας n 20 κύρβι n 22 ἐνδέχεσθαι V
26 ἄλλως V Arist. A: οἷον n: om. Arist. vulg. 28 fort. ἢ συμβουλευθῇ del.
29 ἐποίησε n 30 ἐπὶ τοῦ ἐνεστῶτος n 31 τι (post ἐναντίον) om. n 32 παρὸ ὃ
V: παρ' ὃ n 33 ὡς om. n

τοῦ, οὗ συμβουλεύω νῦν, καὶ [b 1] εἰ μὴ οὕτως ἔχει ἤτοι καὶ εἰ μὴ f. 46ᵛ
ἐνεχώρει κρεῖττόν τι γενέσθαι τοῦ, οὗ συμβουλεύω νῦν, λοιπὸν οὐ πέπρα-
κται τοιοῦτον, οἷον λέγεις· πᾶν γάρ, ὃ ἔμελλον ποιῆσαι καὶ ἐποίησα, εἰ
ἕτερον ἦν τοῦ, οὗ νῦν συμβουλεύω, λοιπὸν οὐ κακόν ἐστιν· οὐδεὶς γὰρ
5 γινώσκων τόδε, ὅτι κακόν ἐστι, προαιρήσεται τοῦτο ποιῆσαι· καὶ ἐγὼ πῶς
ἂν ἐποίησα τόδε, εἰ φαῦλον ἦν; ταὐτὰ ὀφείλει λέγειν, καὶ εἰ κατηγορεῖται, 20
ὅτι βελτιώτερον πρότερον ἐποίησε τοῦ, οὗ νῦν ποιεῖ· φήσει γάρ, ὡς οὐκ
ἐγχωρεῖ βελτιώτερον τούτου γενέσθαι, οὗ νῦν ποιεῖ· πᾶν γάρ, ὃ καὶ ἐγένετο
παρὰ τοῦτο, φαῦλον ἂν εἴη, οὐδεὶς δὲ τὰ φαῦλα πράττειν αἱρήσεται.
10 [b 2] ἔστι δὲ τοῦτο ψεῦδος· ἴσως γὰρ πρότερον ἄδηλον ἦν τὸ πῶς
ἔδει τοῦτο ποιῆσαι καὶ τὸ βέλτιον ἠγνόεις, ὕστερον δὲ πολλάκις δῆλον
γίνεται τὸ βέλτιον καὶ γινώσκεις τοῦτο, πῶς δεῖ βελτιώτερον ποιῆσαι· ὥστε
εἰ καί συ πρότερον ἠγνόεις τὸ βέλτιον καὶ διὰ τοῦτο οὐ καλῶς τοῦτο
ἐποίησας, ἀλλ' ὕστερον οὐκ ἠγνόεις τοῦτο, ἀλλ' ἑκὼν ἔπραξας τὰ φαῦλα 25
15 ἢ συνεβούλευσας καὶ ταῦτα γινώσκων τὸ βέλτιον· συμβαίνει γὰρ πολλάκις
τὸ μὲν καλὸν πρότερον ἀγνοεῖν, ὕστερον δὲ νοῆσαι. σὺ γοῦν νοήσας τοῦτο
ἀπέκρυψας. [b 4] ἄλλος τόπος, εἰ τοῖς πεπραγμένοις μέλλει πράτ-
τεσθαί τι ἐναντίον ἅμα, ἤτοι εἰ ἅμα, ἐν οἷς πράττεται τόδε, γίνεται καὶ
πράττεται τὸ ἐναντίον αὐτῷ, [b 6] οἷον ἐν οἷς ἔθυον τῇ Λευκοθέᾳ, ἔπραττον
20 καὶ τὸ ἐναντίον αὐτῇ ἤτοι ἔκλαιον· ἐναντίαι γὰρ αἱ πράξεις αὗται ἤτοι τὸ 30
θύειν καὶ τὸ κλαίειν· ἢ μὲν ἔθυον, ὡς θεὰν αὐτὴν ἐτίμων, ἢ δὲ ἐθρήνουν,
ὡς θνητὴν αὐτὴν ἡγοῦντο· εἰ γοῦν ἔθυον, οὐκ ἔδει θρηνεῖν, ἢ εἰ ἐθρήνουν,
οὐκ ἔδει θύειν· οὕτω γὰρ ἂν οὐκ ἂν ἔπραττον ἅμα τὰ ἐναντία. ἡ Ἰνὼ
εἰσῆλθε μετὰ τοῦ υἱοῦ αὐτῆς τοῦ Μελικέρτου καὶ Κλεάρχου εἰς τὴν θά-
25 λασσαν διωκομένη ὑπὸ τοῦ Ἀθάμαντος τοῦ ἀνδρὸς αὐτῆς μανέντος ὑπὸ
τῆς Ἥρας διὰ τὴν ζηλοτυπίαν, ὅτι συνῆλθε τῇ Ἰνοῖ ὁ Ζεύς, καὶ ἀπηθανα- 35
τίσθη ἡ Ἰνώ· διὰ τοῦτο ὡς μὲν δεινὰ παθούσῃ ἐπιθρηνοῦσιν, ὡς δ' ἀπο-
θανατισθείσῃ θύουσιν. [b 8] ἄλλος τόπος τὸ κατηγορεῖν ἐκ τῶν
ἁμαρτηθέντων. ὁ Καρκίνος τραγικὸς ἦν ποιητής. [b 10] κατηγο-
30 ροῦσι τῆς Μηδείας, ὅτι τοὺς παῖδας ἀπέκτεινε· καὶ τοῦτο δῆλόν
ἐστιν, ὅτι αὐτοὺς ἀπέκτεινεν, ἀπὸ τοῦ μὴ φαίνεσθαι αὐτοὺς ἀλλ' ἀφανεῖς
γενέσθαι. ἥμαρτε γὰρ ἡ Μήδεια περὶ τὴν τῶν παίδων ἀπο-

---

1 τοῦ οὗ V: τῶν ἄλλων ὧν n καὶ εἰ μὴ οὕτως—νῦν (2) om. n 4 κακόν n: καλόν V 4. 5 οὐδεὶς—ἐστι V: καὶ n 6 ταὐτα Vn λέγειν n: λέγει V 7 φήσει—ποιεῖ (8) om. n 9 τούτῳ n πράττων n 10 ἔστι δὲ Vn Arist. A: ἔστι γὰρ Arist. vulg. τὸ om. n 11 τοῦτον V εἰ καὶ τὸ n 12 γινώσκεις scripsi: γινώσκει Vn 14 ἀλλὰ ἑκὼν n 16 ὃ post γοῦν add. n 17. 18 ὅταν τι ἐναντίον μέλλῃ πράττεσθαι τοῖς πεπραγμένοις, ἅμα σκοπεῖν Arist. 20 αυτ V: αὐτῆς n 21 γὰρ post μὲν add. n 22 αὐτὴν om. n εἰ (ante γοῦν) V: ἢ n 23 ἂν (post γὰρ) om. n 25 exspectes μανεῖσα 26 ζηλοτυπείαν n 26. 27 ἀπεθανατίσθη n 27 δὲ n 28. 29 ἐκ τῶν ἁμαρτηθέντων κατηγορεῖν Arist. 29 ἦν V: ὧν n 30 ἀπέκτεινεν n 31 ἐστι n 32 ἥμαρται n τὴν ἀποστολὴν τῶν παίδων Arist.

σκευὴν ἤτοι ἀπόκτανσιν. ἡ δὲ ἀπολογεῖται ὅτι 'εἰ ἔμελλον ἀποκτεῖναι, f. 46v
τὸν Ἰάσονα ἂν ἀπέκτεινα ὡς λυπήσαντα, οὐχὶ τοὺς παῖδας· οὐδὲ γὰρ 41
οἱ παῖδές με ἐλύπησαν'. [b 14] εἴπερ γοῦν τὸ ἕτερον ἐποίησεν ἤτοι
τὸ ἀποκτεῖναι τοὺς παῖδας, μᾶλλον ἥμαρτεν ὡς μὴ ποιήσασα τὸ ἕτερον
5 ἤτοι τὸ τὸν Ἰάσονα ἀποκτεῖναι. [b 16] ἡ γοῦν ῥητορικὴ τοῦ Θεοδώρου
τοῦτον τὸν τόπον παρεδίδου ἤτοι τὸ ἐκ τῶν ἁμαρτηθέντων τινὶ ἐπιχειρεῖν.
[b 17] ἡ Σι|δηρὼ κόρη τις ἦν καὶ ἐβιάζετο παρά τινος, ἡ δὲ οὐχ ὑπή- f. 47r
κουεν· ἀπὸ γοῦν τοῦ ὀνόματος ἐπιχειρητέον ὅτι 'καλῶς ὠνομάσθη Σιδηρὼ
ὡς φοροῦσα καὶ φέρουσα τὸ ὄνομα τοῦ σιδήρου· ἀκαμπὴς γὰρ εἶ ὡς
10 σίδηρος'. καὶ ἐν τοῖς ἐπαίνοις τῶν θεῶν οὕτω λέγομεν, ὅτι σοφῶς
ὠνομάσθη ὁ Ποσειδῶν Ποσειδῶν ὡς συνδεσμῶν καὶ συνέχων τὴν πόσιν
ἤτοι τὴν θάλασσαν, ἢ ὅτι καλῶς ὠνομάσθη ὁ Ζεὺς Ζεὺς ὡς χορηγὸς τῆς 5
ζωῆς. [b 18] καὶ ὁ Κόνων πρὸς τὸν Θρασύβουλον 'σοφῶς ὠνομάσθη
Θρασύβουλος· θρασὺς γὰρ εἶ καὶ τολμητίας καὶ τολμηρὰ βουλευόμενος'.
15 καὶ πρὸς τὸν Θρασύμαχον 'ἀεὶ θρασὺς εἶ περὶ τὰς μάχας'. σὺ αἰεὶ
πῶλος ἤτοι ἀεὶ λάρος εἶ, ὦ Πῶλε. [b 23] καὶ πρὸς τὴν Ἀφροδίτην
'ὀρθῶς ἔχεις τὸ ὄνομα ἤτοι ὠνομάσθης Ἀφροδίτη· ἀφροσύνης γὰρ ἄρχεις'.
[b 24] ὡς ὁ Χαιρήμων λέγει. ὁ Πενθεὺς ἐκλήθη Πενθεὺς ὡς ἐπώνυ- 10
μος τῆς ἑπομένης συμφορᾶς. ὁ Κάδμος γεννᾷ Σεμέλην καὶ Ἰνώ· ἐκ τῆς
20 Σεμέλης ὁ Διόνυσος. τοῦτον ὁ τοῦ Κάδμου υἱὸς ὁ Πενθεὺς οὐκ ἐκάλει
θεόν· βουλόμενος δὲ δεῖξαι ὁ Διόνυσος, ὡς ἔστι θεός, ἔσεισε καὶ ἐξῆλθεν
ὁ Πενθεὺς εἰς τὸ ὄρος καὶ διεσπάσθη ὑπὸ τῶν μαινάδων πρώτης τῆς
μητρὸς καταρξαμένης τῶν σπαραγμῶν. ὁ Χαιρήμων ποιητὴς ἦν. [b 19]
ὁ δὲ Ἡρόδικος Ἀθηναῖος ἱστορικός. ὁ Πῶλος μαθητὴς καὶ παῖς ἦν τοῦ
25 Γοργίου. [b 23] ἐν ταῖς Τρωάσι τῷ δράματι εἰσάγει τὴν Ἑκάβην λέγουσαν 15
πρὸς τὴν Ἀφροδίτην. [b 17] φησὶν ὁ βιάζων πρὸς τὴν Σιδηρὼ

"αὕτη δὲ μάχιμός ἐστιν ὡς κεχρημένη
σαφῶς σιδήρῳ καὶ φέρουσα τοὔνομα
οὐκ οἴεται δύσκλειαν ἐκ τούτου φέρειν".

30 [b 11] πρὸς τὴν Γλαύκην, ἣν ἀνελάβετο ὁ Ἰάσων, ἔπεμψεν ἡ Μήδεια τοὺς αὐτῆς
παῖδας, καὶ πτοηθεῖσα, μὴ ἀναιρεθῶσιν ὑπὸ τῶν θεραπόντων τῆς Γλαύκης,

---

3 εἴπερ καὶ θάτερον Arist. 4 ἀποκτεῖναι—ἤτοι τὸ (5) om. n 4 ἥμαρτεν ἂν Arist. 5 θεοδώρου τέχνη post ἀποκτεῖναι add. n ex Aristotele ἡ γοῦν V: ἤγουν ἡ n 6 παρεδίδου V: παρέδωκεν n 8 fort. ὠνομάσθης 9 ὡς Vn: καὶ Arist. καὶ V: ἤτοι n τοὔνομα Arist. εἶ V: ἦν n 10 καὶ Vn, cf. Arist. Tr.: καὶ ὡς Arist. cet. τῶν θεῶν ἐπαίνοις Arist. 11 post συνέχων III litterae erasae V 13 κόνων n fort. ὠνομάσθης 14 εἶ V: ἦν n καὶ post τολμηρὰ erasum V 15 εἶ om. n αἰεὶ V: ἀεὶ n Arist. ἀεὶ σὺ πῶλος εἶ Arist. 16 ἀεὶ λάρος Brinkmann: ἀείδαρος Vn 17 ὀρθῶς κτλ.] Eurip. Troad. 990 ὠνομάσθης n: ὠνομάσθη V 18 Χαιρήμων (χαρήμων V)] fr. 4. F. T. G.² p. 783 N. ὁ om. n 19 ἑσομένης Arist. σεμήλην n 20 σεμήλης n 21 ἔσεισε V: ἐσείσθη n 23 μητέρος n 24 ἱστορικός Vn: ἰατρός Diels 25 ἐν ταῖς Τρωάσι] Eurip. Troad. 990 26 ἅ φησιν n 27 αὕτη δὲ κτλ.] Soph. fr. 597. F. T. G.² p. 274 N. ἐστι n 28 σιδήρῳ Vn Arist. A: σιδηρώ Arist. vulg. φοροῦσα Arist. (cf. supra v. 9) 29 φέρειν om. n 31 ἀναιρεθεῖσιν n

προανηρέθησαν παρ' αὐτῆς. [b 18] ὁ Κόνων στρατηγὸς Ἀθηναῖος, Θρασύ- f. 47r
βουλος δὲ κατήγορος. [b 26] διὰ τὸ εἶναι τὸ ἐλεγκτικὸν ἐνθύμημα 20
συναγωγὴν τῶν ἐναντίων ἐν μικρῷ, οἷον 'καλὸν ὁ γάμος ἢ κακόν· καὶ
εἰ μὲν καλόν, φθονεῖς τῷ παιδί, εἰ δὲ κακόν, ἵνα τί μήτηρ ἐγένου;' ἐναντία τὸ
5 καλὸν καὶ τὸ οὐ καλόν· παρ' ἄλληλα γὰρ κείμενα τὸ καλὸν καὶ τὸ κακὸν καὶ ἐν
παραθέσει. [b 28] μᾶλλον γίνονται φανερὰ καὶ γνώριμα τῷ ἀκροατῇ,
ὅσα τῶν ἐνθυμημάτων ἅμα τῷ ἄρξασθαι τὸν ῥήτορα λέγειν εὐθὺς προορῶσι
καὶ συνιᾶσιν οἱ ἀκροαταὶ τὴν δύναμιν αὐτῶν, οἷον ὁ Δημοσθένης λέγει πρὸς 25
τὸν Αἰσχίνην 'παρῆς ἢ οὐ παρῆς, ὅτε ταῦτα ἔλεγον; καὶ ἐγίνωσκες τὸ
10 μέλλον ἢ οὐκ ἐγίνωσκες;' καὶ εἰ μὲν ἐγίνωσκες, τί οὐκ ἔλεγες;' [b 30]
προορῶσι δὲ ταῦτα οὐκ ἐν τῷ εἶναι ἐπιπολῆς ἤτοι ἐπιπόλαια καὶ
εὔκολα (ἔχουσι γὰρ καὶ αὐτὰ βάθος) ἀλλ' ἐν τῷ ἔχειν ἀκολουθίαν· ἐκ γὰρ
τῆς ἀκολουθίας νοοῦσι τὰς δυνάμεις αὐτῶν· ἅμα γὰρ καὶ χαίρουσιν οἱ
ἀκροαταὶ ἐν τῷ προαισθάνεσθαι, ὃ μέλλει εἰπεῖν ὁ δημηγορῶν. [b 32]
15 ἔτι δὲ καὶ ἐκεῖνα τῶν ἐνθυμημάτων θορυβοῦσι τὸν ἀντίδικον, ὅσων το- 30
σοῦτον ὑστερίζουσι πρὸς τὸ νοῆσαι αὐτά, ὥστε ἅμα τῷ ῥηθῆναι
εὐθὺς γνωρίζειν αὐτά, ἤτοι ἃ ἐξ ἀρχῆς μὲν καὶ ἅμα τῷ ἄρξασθαι
λέγεσθαι οὐ γνωρίζονται τοῖς ἀκροαταῖς, μετὰ δὲ τὸ ῥηθῆναι εὐθὺς ταῦτα
γνωρίζουσιν.

20 24. Ὥσπερ ἐν τοῖς διαλεκτικοῖς ἤτοι τοῖς σοφίσμασι· λέγεται
γὰρ καὶ ἡ σοφιστικὴ διαλεκτική τις. [1401 a 2] τὸ μὴ συλλογισάμενον
ἐπαγαγεῖν τὸ συμπέρασμα καὶ εἰπεῖν 'οὐκ ἄρα λοιπὸν τὸ καὶ τό'. καὶ ὁ
μὲν διδάσκαλος οὕτως τὸ παρὸν ῥητὸν ἡρμήνευσεν, ὅτι [a 1] παρὰ τὴν 35
λέξιν τὸ τοιοῦτον ἐκάλεσεν ὡς ταὐτὸν ὂν [a 7] παρὰ τὸ σχῆμα τῆς
25 λέξεως· καὶ γὰρ ὁ λαβὼν προτάσεις ἀπροσδιορίστους, ὅτι ὁ ἄνθρωπος
ζῷον, τὸ ζῷον οὐσία, ὁ ἄνθρωπος ἄρα οὐσία, φαίνεται μέν, ὅτι συνελο-
γίσατο, ὅσον ἀπὸ τοῦ σχήματος τῶν λέξεων, ἤτοι καθ' ὃ ὅρους ἔλαβε καὶ
συνέπλεξεν αὐτούς, ἀλλ' οὐ συνελογίσατο, ἀλλὰ συνεπέρανε μόνον ἄνευ τοῦ
εἰπεῖν προτάσεις· αἱ γὰρ ἀπροσδιόριστοι προτάσεις ἰσοδυναμοῦσι ταῖς μερι-
30 καῖς· τοῦτο δὲ γίνεται ἐν τῷ παρὰ μικρὸν ἤτοι διὰ τὸ μηδὲν οἴεσθαι 40
διαφέρειν εἰπεῖν 'ὁ ἄνθρωπος ζῷόν ἐστι' καὶ 'πᾶς ἄνθρωπος ζῷόν ἐστιν'.
εὗρον δὲ σχόλιον οὕτως αὐτὸ ἑρμηνεῦον, ὅτι λέγεται τοῦτο παρὰ τὴν
λέξιν τὸ ἐνθύμημα, διότι ἐλλιπής ἐστιν ὁ συλλογισμός· συμπέρασμα γὰρ
εἴπομεν ἄνευ τοῦ προλαβεῖν ἐνθύμημά ἐστι συλλογισμὸς ἀτελὴς ἐλλιποῦς
35 οὔσης μιᾶς προτά|σεως. [a 5] φαίνεται ἐνθύμημα καὶ τὸ εἰπεῖν f. 47v
συνεστραμμένως, ἤτοι βραχέως, συντόμως, τὰ ἀντικείμενα ἐν τοῖς ἐνθυ-

---

1 κώνων n 2. 3 διὰ τὸ συναγωγὴν μὲν ἐναντίων εἶναι ἐν μικρῷ τὸ ἐλεγκτικὸν ἐνθύμημα Arist. 3 συναγωγὴ V 5 κείμενα τὸ κακὸν καὶ τὸ καλὸν n 6 γὰρ post μᾶλλον add. n 9 παρῆς κτλ.] cf. Demosth. 18,191 10 καὶ εἰ μὲν ἐγίνωσκες om. n 16 ὑστερίσουσιν n νοῆσθαι n 18 ταῦτα V: αὐτὰ n 20 σοφίσμασιν n 23 ἡρμήνευσε n 24 ἐκάλεσεν scripsi: ἐκέλευσεν V: ἐκέλευσε n 27 ἔλαβεν n 31 ἐστιν V: ἐστι n 34 cf. p. 130,18 sq. ἀτελὴς om. n 36 συνεστραμμένως Vn Arist. vulg.: συνεστραμμένον Arist. A καὶ post βραχέως add. n

μήμασιν, ἃ οὐδὲ ἀντικείμενα ἂν εἴη κυρίως ἀλλὰ φαινομένως, οἷον εἰ ἀγα- f. 47v
θὸν ἡ ἀνδρία, τὸ ἀκολασταίνειν οὐκ ἀγαθόν· φαίνεται γὰρ ἡ ἀκολασία καὶ
ἡ ἀνδρία ἐναντία, οὐκ εἰσὶ δέ. ἢ καὶ οὕτως· συνεστραμμένως μὲν
ἤτοι συντόμως διὰ τὸ τὴν μίαν πρότασιν τὴν μείζω λείπειν, ἀντικει- 5
5 μένως δέ, διότι ἡ μείζων ἡ λείπουσα πρότασις ψευδὴς οὖσα ἀντίκειται τῇ
ἐλάττονι τῇ μερικῇ ἀληθεῖ οὔσῃ. [a 6] ἡ γὰρ τοιαύτη λέξις, ἤτοι
τὸ εἰπεῖν πρότασιν μίαν, τὴν δὲ ἑτέραν ἐᾶσαι, χώρα μέν ἐστιν
ἐνθυμήματος ἤτοι ἔοικεν εἶναι ἐνθύμημα, οὐκ ἔστι δέ, καὶ τοῦτο
φαινόμενον ἐνθύμημα ἤτοι τὸ συνεστραμμένως λέγειν τὰ ἀντικείμενα παρὰ
10 τὸ σχῆμα τῆς λέξεως, ἤτοι ὅσον ἀπὸ τῆς λέξεως φαίνεται ἐνθύμημα, ἤτοι 10
ἀπὸ τοῦ λαβεῖν τὴν μίαν πρότασιν. [a 8] ἔστι δὲ χρήσιμον εἰς τὰ ἐνθυ-
μήματα τὰ ἐν τῇ λέξει ἤτοι τὰ παρὰ τὸ σχῆμα τῆς λέξεως γινόμενα τὸ
λέγειν κεφάλαια ἤτοι προτάσεις ἀπὸ ἄλλων πολλῶν συλλογισμῶν,
οἷον ὅτι τοὺς μὲν ἔσωσεν, αὕτη ἡ πρότασις ἀπὸ ἄλλου συλλογισμοῦ,
15 ἄλλοις δὲ ἐτιμώρησε, καὶ αὕτη ἡ πρότασις μία ἦν ἀπὸ ἄλλου συλλογισμοῦ.
τοὺς δὲ Ἕλληνας ἐθεράπευσε, καὶ αὕτη ἀπὸ ἄλλου. [a 11] ἑκάστη
μὲν τῶν ῥηθεισῶν προτάσεων ἀπεδείχθη ἀπὸ ἄλλων συλλογισμῶν ἤτοι 15
ἄλλων καὶ ἄλλων συλλογισμῶν προτάσεις καὶ συντεθέντες φαίνονται ὅτι
ἐποίησαν ἐνθύμημα, οὐκ ἔστι δέ· πῶς γὰρ ποιήσουσι συλλογισμὸν αἱ ἀσυν-
20 άρτητοι προτάσεις, εἰ συντεθῶσι καὶ ἅμα ληφθῶσι συλλογιστικῶς;
[1400 a 29] ἄλλος ἀπὸ τοῦ αἰτίου, ἄν τε ὑπάρχῃ, ὅτι ἔστιν, οἷον
εἰ φιλόπατρίς ἐστι, καὶ τὸν ὑπὲρ τῆς πατρίδος ἕληται κίνδυνον, εἰ δὲ οὐκ
ἔστι φιλόπατρις, οὐδὲ τὸν κίνδυνον ἕληται. [1401 a 12] ἕτερον τὸ παρὰ
τὴν ὁμωνυμίαν, οἷον εἴ τις εἴπῃ, ὅτι ὁ μῦς σπουδαῖός ἐστι καὶ ἀγαθόν· 20
25 ὅτι ἀγαθόν ἐστι, δῆλον ἀπὸ τοῦ παρονομασθῆναι ἀπὸ τοῦ μῦς τὴν τελετὴν
τὴν τιμιωτέραν πασῶν τῶν τελετῶν μυστήρια· οὐκ ἀπὸ τοῦ μῦς δὲ ἐπω-
νομάσθη, ἀλλ' ἀπὸ τοῦ μῶ, τὸ μανθάνω. [a 15] ἢ συμπεριλάβῃ
καὶ τὸν Πᾶνα, ἐν τῷ τοῦ κυνὸς ἐγκωμίῳ. 'ὦ μάκαρ', τὸν Πᾶνα λέγομεν
μάκαρα, 'ὃν κοινά', ἀντὶ τοῦ κοινῶς, 'καλοῦσιν οἱ Ὀλύμπιοι παντοδαπὸν
30 ἀπὸ τῆς μεγάλης θεοῦ' ἤτοι τῆς Ῥέας. παντοδαπὸν δὲ τοῦτον λέγουσι, 25
διότι πάντες συνεδοιάσθησαν τῇ Ῥέᾳ καὶ ἀπεσπέρμηναν, ἐξ οὗ συνέβη ἀπ'
αὐτῆς γεννηθῆναι τὸν Πᾶνα. τινὰ δὲ τῶν βιβλίων ἔχουσι καὶ κύνα, τὸ κῦ

---

2 et 3 ἀνδρεία n (per comp. V) 5 ἡ λείπουσα V: ἐλλείπουσα n 13 συλλογισμῶν πολλῶν Arist. 14 ἔσωσε n ἡ πρότασις om. n 15 ἄλλοις δὲ scripsi: ἄλλος δὲ V: ἄλλους δὲ n: τοῖς δ' ἑτέροις Arist. A: τοῖς δ' ἡμετέροις Arist. vulg. μία n: μῦς V 18 καὶ (post προτάσεις) Vn: fort. οἱ συντεθέντες scripsi: συντιθέντες Vn 20 συντιθῶσιν n 21 ὁ ante ἄλλος add. n τε Vn Arist. vulg.: δὲ Arist. A 22 et 24 ἐστιν n 24. 25 ἀγαθός· ὅτι ἀγαθός ἐστιν n 25 παρωνομασθῆναι n τοῦ μῦς V: τούτου n 27 μῶ Vn: fort. μυῶ ἢ om. Arist. εἴ τις post ἢ add. n 27. 28 συμπεριλάβῃ καὶ Vn: συμπεριλαμβάνει ἢ Arist. B: συμπαραλαμβανοίη Arist. A: συμπαραλαμβάνει ἢ Arist. cet. 29 κοινὰ Vn: κύνα Arist. 30 λέγουσιν n 31 ἀπεσπήρμηναν Vn 32 ἔχουσιν n κῦνα V: κῦνα n τὸ κ̄ ῡ ψιλὸν V: διὰ τοῦ ῡ ψιλοῦ n

ψιλόν· ἔστι δὲ καὶ ὡς παρήχησις κῦνα κοινά. [a 18] ἢ ὅτι εἰ τὸ f. 47ᵛ
μηδὲν εἶναι κοινὰ ἤτοι εἰ τὸ μὴ ἔχειν κοινωνίαν πρός τινα ἀτιμό-
τατόν ἐστι (θηριῶδες γὰρ τὸ μὴ συναγελαστικόν), τὸ κοινὰ δηλονότι
ἤτοι τὸ συναγελαστικὸν δηλονότι καὶ κοινωνικὸν τίμιόν ἐστι· καὶ τοῦτο
5 τὸ κυνὰ γράφουσι καὶ διὰ τοῦ υ ψιλοῦ. καὶ ὅτι μόνος τῶν ἄλλων θεῶν 30
ὁ Ἑρμῆς κοινωνικός ἐστιν· Ἑρμῆς γὰρ λέγεται ὁ λόγος· κοινωνοῦμεν γὰρ
ἀλλήλοις διὰ τοῦ λόγου. καὶ πάλιν ὅτι ὁ λόγος ἐστὶ σπουδαῖον, δῆλόν
ἐστιν ἐκ τοῦ μὴ λέγεσθαι τοὺς ἀγαθοὺς ἄνδρας ἀξίους χρημάτων ἀλλ'
ἀξίους λόγου· τὸ γὰρ λόγου ἄξιον οὐχ ἁπλῶς λόγου ἄξιον λέγεται ἀλλ' ὡς
10 ἀγαθόν. [a 25] ἐπεὶ γὰρ ταὐτὸν δοκεῖ τό, εἴτε διῃρημένως λάβῃς τὸ
'ἑκατὸν ἀνδρῶν πεντήκοντα λίπε δῖος Ἀχιλλεύς' εἴτε συνημμένως, καὶ
ταῦτα μὴ ὂν ταὐτόν, ὁποτέρως σοι χρησιμεύει τοῦτο, οὕτως ληπτέον· εἰ 35
μὲν κατηγορεῖς τινος, διαίρει τὸ ἑκατόν καὶ λέγε ὅτι 'ἀδιανόητα λέγεις τὸ
καταλειφθῆναι ἀπὸ τῶν πεντήκοντα ἑκατόν', εἰ δὲ ἀπολογῇ, λέγε 'ἀπὸ τῶν
15 ἑκατὸν ἀνδρῶν ἔφησε καταλειφθῆναι πεντήκοντα'. καὶ πάλιν παρὰ τὴν
σύνθεσιν τοῦτο [a 27] 'ἆρ' οἶδας τὰς ἐν Πειραιεῖ νῆας;' 'οὔ.' τοῦτο τὸ
πρόβλημα. 'τί δέ; οἶδας, τί ἐστι τριήρης;' 'ναί.' 'οἶδας δὲ τὸν Πειραιᾶ;'
'ναί.' εἶτα συντίθησιν· 'οἶδας ἄρα τὰς ἐν Πειραιεῖ νῆας.' ἡ λύσις· οὐ
γάρ, εἰ ἕκαστον οἶδα διῃρημένως, ἀναγκαῖον καὶ ὁμοῦ συντιθέναι καὶ 40
20 γινώσκειν ταῦτα. [a 28] καὶ πάλιν 'ἆρ' οἶδας τόδε τὸ ἔπος τὸ "μῆνιν
ἄειδε θεά";' 'οὔ.' 'τί δέ; οὐ γινώσκεις τὰ στοιχεῖα, οἷον τὸ μ, τὸ η, τὸ ν,
τὸ ι, ἐξ ὧν σύγκειται τόδε τὸ ἔπος;' 'ναί.' 'οἶδας ἄρα τὸ ἔπος τὸ "μῆνιν
ἄειδε θεά".' οὐ γάρ, εἰ τὰ στοιχεῖα (τὰ κδ' δηλονότι γράμματα) γινώσκω,
ἐξ ὧν πᾶς λόγος καὶ πᾶν ἔπος σύγκειται, ἀνάγκη | καὶ πάντα τὰ ἔπη f. 48ʳ
25 καὶ πάντα τὰ βιβλία γινώσκειν· οὐ γὰρ τὸ ἔπος ταὐτόν ἐστι τοῖς στοιχείοις,
ὡς σὺ φῄς, κἂν ἐξ αὐτῶν σύγκειται. [a 30] καὶ πάλιν ἐπεὶ τὸ δὶς
τοσοῦτον νοσῶδες, ἤτοι ἐπεὶ νοσώδη εἰσὶ τὰ δύο ἑξάγια ἡ ἐντεριόνη,
λοιπὸν οὐδὲ τὸ ἓν ἑξάγιον ἡ ἐντεριόνη ἐστὶν ὑγιεινόν· ἄτοπον γὰρ
εἰπεῖν τὸ ἓν εἶναι κακόν, εἰ τὰ δύο ἀγαθά. τοῦτο δὲ ψεῦδος· συμβαίνει
30 γὰρ τὸ ἓν εἶναι κακόν, [ἢ τὰ δύο ἀγαθά. τοῦτο δὲ ψεῦδος· συμβαίνει γὰρ 5
τὸ ἓν εἶναι κακόν,] καὶ ταῦτα τῶν δύο ὄντων ἀγαθῶν· εἰ γὰρ τὸ βιβλίον

---

1 κῦνα κοινὰ V εἰ om. Arist. 2 μηδένα εἶναι κύνα Arist. (vulg.; κύν' A) ἔχον n 2. 3 ἀτιμώτατόν n 3 συναγελαστικόν n: γελαστικόν V τὸ κοινὰ Vn Arist. Zᵇ: τὸ κῦνα Arist. Q: τὸ κύνα Arist. E: τὸν κύνα Arist. BCYᵇ (cf. A τὸν κύν' ἄδηλον) 4 ἐστιν n 5 μόνον n 6 κοινωνικός V: κοινωνός n ἐστι n 7 σπουδαῖος n 8 ἐστι n 9 τὸ γὰρ λόγου ἄξιον οὐχ ἁπλῶς λόγου om. n 10 τό (post δοκεῖ) om. Arist.: fort. del. 13 ἀδιανόητα V: οὐκ διανόητα n λέγει n 14 καταληφθῆναι n ἀπολογεῖς n 15 ἔφησεν n κατηλεφθῆναι n 17 τριήρεις n δὲ (post οἶδας) om. n 18 ναῦς n 19 εἰ V: ὃ n οἶδας n 19. 20 fort. συντεθέντα γινώσκειν 20 μῆνιν κτλ.] Hom. A 1 23 εἰ om. n γινώσκω scripsi: γινώσκων Vn 26 ἐπεὶ Vn Arist. vulg.: ἐπὶ Arist. A 27 ἐπεὶ νοσώδης ἐστιν, τὰ n ἐντεριώνη n 28 ἐντεριώνη n ἐστὶ n 29 εἰ V: καὶ n 30 ἢ—κακόν (31) delevi ἢ V: καὶ n τοῦτο δὲ ψεῦδος om. n

μου πωλούμενον. εἰ λάβω δύο νομίσματα, ἀγαθόν ἐστιν, ἐπεὶ καὶ ἄξιόν f. 48r
ἐστι δύο νομισμάτων, εἰ δὲ λάβω ἓν νόμισμα, ἐστὶ κακόν, [a 31] οὕτως
μὲν οὖν ἐστιν ἐλεγκτικὸν τὸ λέγειν ὅτι, εἰ τὰ δύο ἐστὶν ἀγαθά, καὶ τὸ
ἕν ἐστιν ἀγαθόν· ἄτοπον γάρ ἐστι τὸ λέγειν τὸ ἓν εἶναι κακόν, εἰ τὰ δύο
5 εἰσὶν ἀγαθά· ἀνάγκη γὰρ καὶ τὸ ἓν εἶναι ἀγαθόν. οὕτως δέ ἐστιν ἀπο-
δεικτικόν, εἴ τις λέγει ὅτι, εἰ τὰ δύο ἀγαθά εἰσι, λοιπὸν τὸ ἓν κακὸν 10
οὐκ ἔστιν. [a 34] ὁ Πολυκράτης ῥήτωρ ὢν ἔπαινον ἐποίησεν εἰς Θρασύ-
βουλον, ἐν ᾧ ἐδείκνυεν αὐτὸν τριάκοντα ἀποκτεῖναι τυράννους ἐκ τοῦ λέγειν,
ὅτι κατὰ τὸν δεῖνα καιρὸν ἀπέκτεινε τύραννον καὶ κατὰ τὸν δεῖνα ἀπέκτεινεν
10 ἕτερον τύραννον καὶ κατὰ τὸν δεῖνα ἕτερον· εἶτα συντιθεὶς συνεπέρανε 'καὶ
λοιπὸν ἄρα τριάκοντα τυράννους ἀπέκτεινε'. τοῦτο δὲ ψεῦδος· οὐ γάρ,
ἐὰν ἰδίᾳ τριάκοντα ἀπέκτεινεν, ἤδη ἀληθές ἐστιν εἰπεῖν, ὅτι ὁμοῦ τούτους 15
ἀπέκτεινε. [a 36] καὶ πάλιν ἐκ διαιρέσεως 'δίκαιόν ἐστιν, εἴ τις γυνὴ
ἀπέκτεινε τὸν πόσιν, ἀποκτεῖναι αὐτήν' ἤγουν τὴν Κλυταιμνήστραν, καὶ
15 πάλιν δίκαιόν ἐστι τὸν υἱόν, ὡς τὸν Ὀρέστην, τιμωρεῖν καὶ βοηθεῖν
τῷ πατρί. ταῦτα δὲ καὶ ἐπράχθησαν· καὶ γὰρ καὶ ἡ Κλυταιμνήστρα
τὸν ἄνδρα αὐτῆς ἀπέκτεινε καὶ ὁ Ὀρέστης βοηθῶν τῷ πατρὶ τὴν Κλυται-
μνήστραν ἀπέκτεινεν. ἰδίᾳ μὲν γὰρ καὶ ἰδίᾳ λεγόμενόν ἐστι δίκαιον· δίκαιον
μὲν γάρ ἐστι θνήσκειν καὶ τὴν ἀποκτείνουσαν τὸν ἑαυτῆς ἄνδρα, καὶ πάλιν 20
20 δίκαιόν ἐστι τὸν υἱὸν βοηθεῖν τῷ πατρί· οὐκ ἔστι δὲ δίκαιον συντιθέναι
καὶ εἰπεῖν, ὡς δίκαιόν ἐστι κτεῖναι τὴν ἀποκτείνουσαν τὸν ἑαυτῆς ἄνδρα
καὶ τὸν υἱὸν αὐτῆς τιμωρεῖν τῷ πατρί· οὐ γὰρ δίκαιόν ἐστι τὴν μητέρα
κτείνεσθαι παρὰ τοῦ υἱοῦ. [b 2] εἴη δ' ἂν καὶ παρὰ τὴν ἔλλειψιν·
οὐ γὰρ δίκαιον, παρὰ τίνος κεῖται κτείνεσθαι τὴν μητέρα. εὗρον δὲ
25 σχόλιον εἰς τὸ [a 34] κατέλυσε τριάκοντα τυράννους τοιοῦτον· κατέ-
λυσε τύραννον, καὶ τύραννον καὶ γυναῖκα· συντίθησι γοῦν καὶ ποιεῖ τρία· 25
εἶτα τύραννον καὶ γυναῖκα καὶ θυγατέρα, εἶτα τύραννον καὶ γυναῖκα καὶ
θυγατέρα καὶ υἱόν. [b 3] ἄλλος δὲ τόπος τὸ ἐν δεινώσει κατα-
σκευάζειν· τὸ δὲ δεινώσει κατασκευάζειν τοῦτό ἐστιν, ὅταν ὁ κατηγορῶν
30 μὴ δείξας, ὅτι ἐποίησεν ὅδε τὸν φόνον, ἤτοι ὅταν πρὸ τοῦ δεῖξαι, ὅτι
ὅδε ἐφόνευσεν, αὐξήσῃ τὸ πρᾶγμα ὡς μέγα, 'δεινὸν τὸ παρὰ τοῦδε
πραχθέν'· δοκεῖ γάρ, ὡς οὐκ ἂν ἄλλως πρὸς αὔξησιν ἐχώρησε τοῦ
πράγματος, εἰ μὴ ἔδειξεν ὁμολογουμένως τόνδε φονεύσαντα· [b 6] ὅταν

---

1 ἐστι n 2 ἐστιν δύο n οὕτω n 3 οὖν ἐστὶ n 4 εἰ V: εἶτα n
5 καὶ τὸ om. n ἐστι n 5. 6 ἀποδεικτικόν Vn: δεικτικόν Arist.
6 εἰ om. n εἰσιν n 7 ἔστι n ἐποίησε n 9 ἀπέκτεινε V:
ἀπέκτεινεν ἕτερον n 10 τύραννον om. n συνεπέρηνε n 11 ἀπέκτεινεν n
12 ἀπέκτεινε n 13 ἀπέκτεινεν n ἐστι n 14 ἤγουν n: εἰ οὖν V
16 τὸ πατέρι n 17 πατέρι n 18 ἀπέκτεινε n 20 πατέρι n
21 ἐστιν n 22 πατέρι n ἐστιν n 25 τριάκοντα τυράννους κατέλυσε Arist.
26 cf. p. 38,37 καὶ τύραννον om. n καὶ υἱόν ante συντίθησι add. n 27 εἶτα
(post θυγατέρα) — θυγατέρα (28) om. n 28 ἐν om. Arist. 29 τὸ δὲ δεινώσει
κατασκευάζειν om. n ἐστι n ὅταν n: ταν evan. V 30 ἐποίησε n ἤτοι post
ὅδε add. n φόνον n: φθόνον V 31 ἐφόνευσε n

γὰρ ὁ τὴν αἰτίαν ἔχων ἤτοι ὁ κατηγορούμενος καὶ ἀπολογούμενος f. 48r
αὔξῃ, ὡς δεινὸν ἢ ἡ συκοφαντία ἢ ὁ φόνος, δοκεῖ προαποδεῖξαι, ὅτι οὐκ 31
ἐποίησε φόνον. ὁμοίως δὲ πάλιν καὶ ὁ κατηγορῶν, ἐὰν ὀργίζηται
καὶ αὔξῃ, ὡς δεινὸν ὁ φόνος, δοκεῖ προαποδεῖξαι, ὅτι πεποίηκεν ὁ φεύγων
5 τὸν φόνον, καὶ ταῦτα μὴ δείξας τοῦτο αὐτό· ὁ γὰρ ἀκροατὴς παραλογί-
ζεται καὶ ἀπατᾶται καὶ οἴεται τὸν κατηγοροῦντα ἀποδεῖξαι, ὅτι ἐποίησεν
ὁ φεύγων τὸν φόνον, ἐν τῷ ἀκούειν αὐτοῦ χωροῦντος πρὸς αὔξην τοῦ
πράγματος· μετὰ γὰρ τὰς ἀποδείξεις αἱ αὐξήσεις. [b 9] ἀσυλλόγιστόν 35
ἐστι καὶ τὸ ἐκ σημείου ἐνθύμημα, διότι ἐν δευτέρῳ σχήματι ἀπὸ δύο
10 καταφατικῶν συλλογίζεται ἢ ἐν τρίτῳ σχήματι. ὁ Ἁρμόδιος καὶ Ἀριστο-
γείτων ἀλλήλων ἥρων. [b 12] ἀσυλλόγιστον λέγει τὸν συλλογισμὸν τὸν
τοῦ Διονυσίου διὰ τὸ ψευδῆ εἶναι τὴν μείζονα πρότασιν· οὐ γὰρ πᾶς
πονηρὸς κλέπτης. [b 16] διατραγόντες τὰς νευράς. Πολέμων
ἱστορεῖ τοὺς ἀμφὶ Τρωάδα κατοικοῦντας ἀπὸ χρησμῶν τινων τοὺς ἐπιχω- 40
15 ρίους μῦς σέβεσθαι διὰ τὸ τὰς νευρὰς τῶν τόξων τῶν πολεμίων φαγεῖν,
πρὸς δὲ καὶ τοὺς ὀχεῖς τῶν ἀσπίδων ἤτοι τοὺς λώρους. ἐμήνισεν ὁ
Ἀχιλλεὺς διὰ τὸ μὴ κληθῆναι παρὰ τοῦ Ἀγαμέμνονος τοὺς ἀρίστους
καλέσαντος. [b 21] οὐ γὰρ ἐὰν οἱ μεγαλόψυχοι ὑπερορῶσιν, ἤδη καὶ πᾶς
ὑπερορῶν εἴη ἂν μεγαλόψυχος· πολλάκις | γάρ τινες διὰ λύπην ἢ ὀργὴν f. 48v
20 ἢ μανίαν φεύγουσι τὴν μετ' ἀνθρώπων διατριβήν. [b 25] οὐδὲ εἰ οἱ
πτωχοὶ ᾄδουσι καὶ ὀρχοῦνται ἐν ταῖς ἑορταῖς, ἤδη καὶ πάντες οἱ
ᾄδοντες ἐν ταῖς ἑορταῖς καὶ ὀρχούμενοι πτωχοί εἰσιν, ἐπεὶ καὶ οἱ πλούσιοι καὶ
οἱ χορηγοὶ τῆς ἑορτῆς ᾄδουσι καὶ ὀρχοῦνται· οὐδὲ γάρ, εἰ τοῖς εὐδαίμοσιν
ὑπάρχει ταῦτα ἤτοι τὸ οἰκεῖν, ἔνθα ἂν ἐθέλωσιν, ἤδη καὶ οἷς ἂν ὑπάρχῃ 5
25 ταῦτα ἤτοι τὸ οἰκεῖν, ἔνθα θέλουσιν, εἰσὶν εὐδαίμονες· ἔχουσι γὰρ ταῦτα
καὶ οἱ φυγάδες. [b 28] διαφέρει δέ, ὅτι οἱ μὲν φυγάδες οἰκοῦσιν,
ἔνθα βούλονται, διὰ τὸ κωλύεσθαι ἀπὸ τῆς πατρίδος ἤτοι ἄκοντες, οἱ δὲ
εὐδαίμονες οἰκοῦσιν ἑκόντες, ἔνθα βούλονται. [b 30] οἷον εἴ τις αἰτιᾶται
τὸ διότι ἀπέβη ὕστερον, καὶ ταῦτα ὄντος ἐκείνου τοῦ αἰτίου· [b 32] οἷον
30 ὁ Δημάδης ἔλεγε τὴν τοῦ Δημοσθένους πολιτείαν αἰτίαν πάντων
τῶν κακῶν· καὶ μήν, εἰ τοῦ Δημοσθένους ἤκουον καὶ ἀφώρων πρὸς τὴν 10

---

2 συκοφαντεία n φθόνος n 3 fort. ⟨τὸν⟩ φόνον ὁ V: οὐ n ὀργίζηται Vn Arist. vulg.: ὄρσηι Arist. A 4 φόνος scripsi: φόβος Vn πεποίηκε n 6 ἐποίησε n 7 αὔξησιν n 8 ἄλλος τὸ ἐκ σημείου ante μετὰ add. n ex Aristotele αἱ αὐξήσεις ἀσυλλόγιστον V: συλλογισμός n 13 διατρωγόντες n πολέμων Vn: de Polycrate loquitur Aristoteles οἷον ὃ λέγει Πολυκράτης εἰς τοὺς μῦς, ὅτι ἐβοήθησαν διατραγόντες τὰς νευράς; cf. Clem. Alex. Protr. 2, 39 p. 34 P. (41, 8 Dindorf.) Πολέμων δὲ τοὺς ἀμφὶ τὴν Τρωάδα κατοικοῦντας ἱστορεῖ τοὺς ἐπιχωρίους μῦς, οὓς σμίνθους καλοῦσιν ⟨scil. σέβειν⟩, ὅτι τὰς νευρὰς τῶν πολεμίων διέτρωγον τῶν τόξων. Preller, Polem. perieg. fragm. p. 63. Gutschmid, *Vermischte Schriften* V 47 annot. 16 ἐμήνησε n 18 ὅτι μεγαλόψυχος ante οὐ add. n ex Aristotele 20 φεύγουσιν n μετὰ n 21 καὶ ᾄδουσι καὶ Arist.

24 ὑπάρχῃ n: ὑπάρ V 25 θέλουσιν V: ἂν θέλωσιν n 28 ἄλλος παρ' ἀναίτιον ὡς αἴτιον ante οἷον add. n ex Aristotele οἷον Vn Arist. Q: οἷον ὡς Arist. cet. 30 ἔλεγεν n: om. Arist. τοῦ om. Arist. 30. 31 πάντων τῶν κακῶν αἰτίαν Arist.

πολιτείαν ἐκείνου, οὐδὲν ἂν κακὸν συνέβη τῇ πόλει, ἀλλὰ πᾶν εἴ τι f. 48v
ἀγαθόν. [b 36] οὐ γὰρ ἀεὶ ἦν ἡ αἵρεσις αὕτη τῆς Ἑλένης, ἀλλὰ τὸ
πρῶτον, ὅτε ἔμελλεν ἄνδρα λαβεῖν· καὶ γὰρ καὶ ὁ πατὴρ μέχρι τού-
του ἦν κύριος τῆς Ἑλένης, μέχρις οὗ ἄνδρα ἔλαβεν· ὥστε οὐχ ἁπλῶς
5 ἀλλὰ ποτὲ ἐδόθη αὕτη ἡ αἵρεσις τῇ Ἑλένῃ. [1402 a 2] οὐ γὰρ ἁπλῶς
ἐστιν ὕβρις τὸ τύπτειν τοὺς ἐλευθέρους· εἰ γὰρ τυφθῶ παρὰ τοῦ ἐλευ-
θέρου καὶ ἀντιτύψω κἀγὼ τοῦτον, τοῦτο ὕβρις οὐκ ἔστιν· ἀλλὰ πῇ, ἤτοι 15
ὅταν μηδὲν παθὼν κακὸν παρὰ τοῦ ἐλευθέρου ἄρξωμαι χειρῶν ἀδίκων
ἤτοι τύψω τὸν ἐλεύθερον· τότε γάρ ἐστιν ὕβρις. τοιοῦτόν ἐστι καὶ παρὰ
10 τῷ Θεολόγῳ. ἐὰν δὲ λεγόντων ἡμῶν, ὅτι μείζων τῷ αἰτίῳ ὁ πατὴρ τοῦ
υἱοῦ, προσλαβόντες τὴν 'τὸ δὲ αἴτιον φύσει' πρότασιν ἔπειτα τὸ 'μεῖζον
τῇ φύσει' συνάγουσιν, οὐκ οἶδα, πότερον ἑαυτοὺς παραλογίζονται ἢ τούς,
πρὸς οὓς ὁ λόγος. ἀλλ' οἶμαι παρὰ τὸ πῇ καὶ ἁπλῶς οὗτος ὁ παραλογισμός, 20
ὡς τοῖς περὶ ταῦτα τεχνολόγοις σύνηθες. [a 4] ἐν μὲν τοῖς διαλεκτι-
15 κοῖς· χρώμεθα γὰρ καὶ ἐν ταῖς διαλέξεσι σοφίσμασιν, οἷον συνάγουσι
συμπέρασμα, ὅτι τὸ μὴ ὂν ὄν ἐστι, καὶ συνάγουσι τοῦτο οὕτως 'ὁ τραγέλαφος
δοξαστόν ἐστιν, ὁ τραγέλαφος μὴ ὄν, τὸ μὴ ὂν ἄρα ὄν ἐστιν'· καταλιμπά-
νεται γὰρ τὸ δοξαστόν· ὥστε τὸ μὴ ὂν πῇ ὄν ἐστιν ἤτοι δοξαστόν ἐστιν,
οὐχ ὅτι ἔστιν, ἀλλ' ὅτι μὴ ὄν ἐστιν ἤτοι οὐκ ἔστιν· ὥστε τὸ μὴ ὂν πῇ
20 ὄν ἐστιν ἤτοι ὡς δοξαστόν. καὶ πάλιν συνάγουσιν, ὅτι τὸ ἄγνωστον ἐπι-
στητόν ἐστιν· τὸ γοῦν ἄγνωστόν ἐστιν ἐπιστητὸν οὐχ ἁπλῶς ἀλλὰ πῇ·
ἐπιστητὸν γάρ ἐστιν οὐχ ὡς γνωστὸν ἀλλ' ὡς ἄγνωστον. [a 7] καὶ ἐν
τοῖς ῥητορικοῖς ἐνθύμημα φαινόμενον γίνεται παρὰ τὸ μὴ ἁπλῶς 25
εἰκὸς ἀλλὰ τὶ εἰκὸς ἤτοι πῇ εἰκός· ἔστι δὲ τοῦτο τὸ πῇ εἰκὸς οὐ
25 καθ' ὅλου· ὥσπερ καὶ ὁ Ἀγάθων λέγει 'εἰκὸς πολλὰ οὐκ εἰκότα ἐν
βροτοῖσι γίνεσθαι'· γίνεται γάρ τι καὶ παρὰ τὸ εἰκὸς ἐν βροτοῖς.
[a 13] εἰ δὲ τοῦτο, ἤτοι εἰ δὲ εἰκὸς τὸ μὴ εἰκὸς γίνεσθαι, λοιπὸν τὸ
μὴ εἰκός ἐστιν εἰκός, πλὴν οὐχ ἁπλῶς ἔσται εἰκὸς ἀλλὰ πῇ εἰκὸς
ἤτοι ὡς γινόμενον· καὶ εἰκὸς γὰρ γίνεσθαι τὸ μὴ εἰκὸς ἐν τοῖς βροτοῖς,
30 οὐ μὴν τὸ μὴ εἰκός ἐστιν ἁπλῶς εἰκός. [a 15] καὶ ἐνταῦθα οὖν γίνεται 30
ὁ παραλογισμὸς καὶ ἡ ἀπάτη παρὰ τὸ λαμβάνειν τὸ εἰκὸς οὐχὶ ἁπλῶς,
ἀλλ' ὡς πῇ εἰκὸς ἤτοι ὡς γίνεσθαι τὰ μὴ εἰκότα, ὥσπερ καὶ ἐν τοῖς
σοφιστικοῖς μὴ προστεθὲν τὸ πῇ καὶ τὸ πρός τι ποιεῖ τὴν συκοφαν-
τίαν καὶ τὴν ἀπάτην· τὸ γὰρ εἰκὸς οὐχ ἁπλῶς μὴ εἰκὸς ἀλλὰ μετὰ τοῦ

---

1 οὐ γὰρ ἀεὶ ἴσως ante ἀλλὰ add. n ex Aristotele 2 ἡ αἵρεσις V: διαίρεσις n
3 πρῶτον V: αἱρεῖν n 4 ὅταν ἄρχῃ χειρῶν ἀδίκων ante ὥστε add. n ex Aristotele
5 ἀλλὰ—ἁπλῶς om. n γὰρ πάντως Arist. 7 τοῦτον V: αὐτὸν n 8 ἄρξομαι n
9 ἐστι, ὕβρις n 16 ὄν ἐστι—μὴ ὂν (17) om. n 17 ἄρα ὄν V: ἄρα οὐκ n 18 πῇ
n: μὴ V δοξαστόν ἐστιν—ὄν ἐστιν ἤτοι (20) om. n 21 ἐστι· τὸ n 22 τὸ
γοῦν post γὰρ add. n 23 ἐστι φαινόμενον ἐνθύμημα Arist. 25 ὁ om. Arist.
Ἀγάθων] fr. 9. F. T. G.² p. 765 N. 26 τι καὶ Vn: τὸ Arist. 27 τὸ ante
εἰκὸς τὸ add. n γίνεται n 28 ἐστιν Vn: fort. ἔσται ex Aristotele
29 γὰρ γίνεται n 31 ἡ om. n 33 προστεθὲν scripsi: προστιθὲν Vn:
προστιθέμενα Arist.

γίνεσθαι· οἷον εἰκὸς γίνεσθαι τὸ μὴ εἰκός. ὁ Τισίας μαθητὴς τοῦ Κόρακος, f. 48v
ἐξ οὗ καὶ τὸ 'ᾠὸν κακὸν κακοῦ Κόρακος'. [a 17] ἐκ τοῦ τόπου τούτου 35
οὖν παρὰ τὸ πῇ καὶ ἁπλῶς καὶ ἡ τοῦ Κόρακος τέχνη ἐπιχειρεῖ· ἐάν
τε γὰρ ἀσθενής τις ᾖ καὶ ἀνίσχυρος, οὐκ ἔστιν ἔνοχος τοιαύτῃ κατη-
5 γορίᾳ, ὅτι τὸν δεῖνα ἔτυψε· πῶς γὰρ ἀσθενὴς ὢν ἠδυνήθη τοῦτο ποιῆσαι;
καὶ ἔστιν εἰπεῖν καὶ ἐπ' αὐτοῦ κατηγορουμένου αἰκίας τὸ εἰκὸς οἷον 'εἰκὸς
μὴ αἰκίσαι'· κἂν εὐσθενής τις ᾖ καὶ ἰσχυρὸς καὶ διὰ τοῦτο ἔνοχος τῇ
τοιαύτῃ κατηγορίᾳ, εἰ φεύγει καὶ οὗτος αἰκίας, ἔστι καὶ ἐπ' αὐτοῦ χρή-
σασθαι τῷ εἰκότι οἷον 'εἰκὸς μὴ αἰκίσαι, ἵνα μὴ φωραθῇ ὡς αἰκίσας'· οὐ 40
10 γὰρ εἰκὸς αἰκίσαι τὸν δεῖνα, ὅτι ἔμελλεν εἰκὸς δόξαι ὡς αἰκίσας. εἴτε
γοῦν ἔνοχός ἐστι τῇ αἰτίᾳ ταύτῃ ἤτοι τῷ αἰκίσαι ὡς εὐσθενὴς εἴτε μὴ
ἔνοχος ὡς ἀσθενής, ἀλλ' οὖν ἐπ' ἀμφοτέρων, καὶ τοῦ εὐσθενοῦς καὶ τοῦ
μὴ εὐσθενοῦς, ἔστι χρήσασθαι τῷ εἰκότι· πλήν, εἰ καὶ ἐπ' ἀμφοτέρων
ἔστι χρήσασθαι τῷ εἰκότι, ἀλλ' οὖν διαφέρει κατὰ τοῦτο, ὅτι τὸ μὲν
15 ἤτοι ἐπὶ τοῦ ἀσθενοῦς τοῦ κατηγορουμένου αἰκίας χρώμεθα τῷ εἰκότι,
οὐχ ἁπλῶς ἀλλὰ πῇ, οἷον 'εἰκὸς μὴ αἰκίσαι, ἵνα μὴ δόξῃ ὡς αἰκίσας'.
[a 23] καὶ τοῦτό ἐστι τὸ ποιεῖν τὸν | ἥττω λόγον μείζω τὸ χρᾶσθαι f. 49r
τῷ εἰκότι πῇ· εἰ γὰρ καὶ ὁ κατηγορῶν τοῦ εὐσθενοῦς αἰκίας τὴν μείζονα
μοῖραν ἔχει, ὁ δὲ ἀπολογούμενος τὴν ἥττω, ἀλλ' εἰ ὁ ἀπολογούμενος χρή-
20 σεται τῷ πῇ εἰκότι, μεῖζον ἰσχύσει καὶ πλέον λέγων εἰκὸς μὴ αἰκίσαι,
ἵνα μὴ φωραθῇ· ὅθεν καὶ ὁ Πρωταγόρας ἐπηγγέλλετο ποιῆσαι τὸν ἥττονα
λόγον μείζονα. [a 26] ἀλλὰ φαινόμενόν ἐστιν ἀληθὲς καὶ εἰκός, ὃ 5
ὑπισχνεῖτο ὁ Πρωταγόρας· οὐδεμία γὰρ ἄλλη τέχνη ἀλλ' ἢ ἡ ῥητορικὴ
καὶ ἡ ἐριστικὴ δύναται πιθανολογεῖν καὶ τὸ ψεῦδος ποιεῖν ἀληθές.
25 25. Τὸ μὲν ἀντισυλλογίσασθαι καὶ προκομίσαι ἕτερον συλλο-
γισμὸν ἀναιρετικὸν τοῦ συλλογισμοῦ τοῦ ῥηθέντος παρὰ τοῦ προσδιαλεγο-
μένου αὐτῷ δυνατόν· ἐνδέχεται γὰρ ἀπὸ τοῦ αὐτοῦ τόπου ἐπιχειρῆσαι
τὸν ἐνιστάμενον, ἀφ' οὗ καὶ ὁ προσδιαλεγόμενος ἐπεχείρησε· καὶ γὰρ ἀπὸ
τοῦ ἴσου καὶ ἀμφότεροι θέλουσιν ἐπιχειρῆσαι ἢ ἀπὸ τοῦ μείζονος ἢ ἀπὸ 10
30 τοῦ ἐναντίου, οἷον ἡ ἀνδρία ἐστὶ καλὸν διὰ τὰ γέρα καὶ τὰ κλέα καὶ ἡ
ἀνδρία ἐστὶ κακὸν διὰ τὰ τραύματα· εἰ γοῦν συλλογίσεται ἐκεῖνος, ὅτι
ἀγαθὸν ἡ ἀνδρία, χρησάμενος τῇ τιμῇ, ὁ ἐνιστάμενος ἀντισυλλογίσεται,
ὡς κακὸν ἡ ἀνδρία, λαβὼν τὰ τραύματα μέσον ὅρον. [a 34] μᾶλλον δὲ

---

2 ἐκ τοῦ τόπου τούτου Vn: *ex hoc loco* Arist. Tr.: τούτου τοῦ τόπου Arist. vulg.: τοῦτο τοῦ τόπου Arist. A 2. 3 οὖν τούτου n 4 ἦ V: ἦν n 5 ἔτυψεν n 6 ἐπ' V: ἀπ' n οἷον εἰκὸς om. n 7 εὐσθενής n: ἀσθενής V 9 τῷ ex τὸ V φοραθῇ n 9 οὐ—αἰκίσας (10) om. n 10 ὅτι εἰκὸς ἔμελλε δόξειν Arist. 11 γοῦν V: οὖν n ἐστιν n τῷ V: τὸ n 12. 13 καὶ τοῦ εὐσθενοῦς καὶ τοῦ μὴ εὐσθενοῦς om. n 13 ἐστὶν n 13 πλὴν—εἰκότι (14) om. n 16 fort. ⟨τὸ δὲ⟩ οὐχ ἁπλῶς ex Aristotele scrib. 17 χρῆσθαι n 21 fort. φωραθῷ ἐπηγγείλατο n 24 καὶ ἡ ἐριστικὴ om. n 25 μὲν V: μὲν οὖν n Arist. ἀντισυλλογίζεσθαι Arist. 30. 31. 32. 33 ἀνδρεῖα n (per comp. V) 31 συλλογίζεται n 32 ὁ n: evanuit V 33 ὅρον, ον evanuit, V

ἐναντία ἀλλήλοις εἰσὶ δοκοῦντα ἤτοι ἔνδοξα, οἷον τὸ δοξάζειν τὴν f. 49r
ἀνδρίαν καὶ ἀγαθὸν καὶ κακὸν ἐναντία εἰσὶν ἀλλήλοις· εἰσὶ δὲ καὶ ἄμφω
ἔνδοξα. ἀπ' αὐτοῦ μὲν τοῦ πράγματος ἐνίσταταί τις, οἷον εἴ τις εἴπῃ, 15
ὅτι σπουδαῖον ὁ ἔρως, διχῶς ἐνσταίη ὁ ἐνιστάμενος· [b 1] ἢ γὰρ καθ'
5 ὅλου, ὅτι οὐδεὶς ἔρως ἀγαθόν, διότι ὁ ἐρῶν ἐρᾷ ἐνδεὴς ὢν καὶ ἐλλειπό-
μενος ἐκείνου, οὗ ἐρᾷ, πᾶσα δὲ ἔνδεια πονηρόν, ἔνδεια δὲ καὶ ὁ ἔρως,
καὶ λοιπὸν ἄρα φαῦλόν ἐστιν· ἢ μερικῶς ἐνσταίη· οὐ πάντες ⟨οἱ ἐρῶντές⟩
εἰσι σπουδαῖοι· εἰσὶ γὰρ καὶ τινὲς τῶν ἐρώντων πονηροὶ καὶ φαῦλοι. [b 6]
ἀλλ' οὐδὲ ὁ μοχθηρὸς πάντας τοὺς φίλους κακῶς ποιεῖ. [b 11]
10 ἔνστασις· οὔκουν ὁ Πιττακὸς ᾤετο δεῖν συγγνωμονεῖν τοῖς μεθύουσι· 20
καὶ γὰρ ὁ Πιττακὸς ἐνομοθέτησε μειζόνως κολάζεσθαι τὸν μεθύοντα, εἴ
γε ἁμαρτήσει τὰ αὐτὰ τοῖς οὐ μεθύουσι, διότι αὐτὸς ἑαυτῷ αἴτιος ἐγένετο
τοῦ κακοῦ· εἰ μὴ γὰρ ἐμέθυσεν, οὐκ ἂν ἐποίησε τόδε τὸ κακόν. [b 14]
τὰ μὲν ἐνθυμήματα τὰ συναχθέντα ἐκ τῶν ὡς ἐπὶ τὸ πολὺ ὄντων ἢ
15 ἐκ τῶν ὡς ἐπὶ τὸ πολὺ δοκούντων εἰσὶν ἐκ τῶν εἰκότων ἐνθυμήματα.
ἐὰν δὲ γίνηται τὸ ἐνθύμημα δι' ἐπαγωγῆς ἤτοι ἀπὸ τοῦ ἐπαγαγεῖν τὸ
ὅμοιον, καὶ τοῦτο τὸ ἐπαγόμενον ὅμοιον ἢ ἓν ὅμοιον ὀφείλει εἶναι ἢ 25
πολλὰ διὰ παραδείγματος· οἷον 'οὐ δεῖ τῷ Πεισιστράτῳ δοῦναι φυλακήν'.
[b 17] εἶτα μεταξὺ λέγει καὶ τὴν φύσιν τοῦ καθ' ὅλου καί φησιν, ὅτι
20 ἐπαγωγή ἐστιν, ὅταν τις λαβὼν τὸ καθ' ὅλου συλλογίσηται καὶ ἀπο-
δείξῃ αὐτὸ ἐκ τῶν κατὰ μέρος. τὰ δὲ ἐνθυμήματα τὰ διὰ τοῦ ἀναγ-
καίου, εἰ καὶ τὸ ἀναγκαῖόν ἐστι καὶ ὄν, λέγονται τεκμήρια· οἷον ἀναγκαῖόν
ἐστι τὴν γάλα ἔχουσαν τεκεῖν, ἔστι τοῦτο καὶ ὄν. τὰ δὲ ἐνθυμήματα, ἃ 30
γίνονται ἐκ τοῦ καθ' ὅλου ἤτοι ἐκ τοῦ λαβεῖν πολλά (καὶ γὰρ καὶ τὸ
25 καθ' ὅλου πλῆθος σημαίνει) ἢ ἐκ τοῦ λαβεῖν ἓν μερικόν, ἐάν τε ὄν, ἤτοι
εἴτε καταφατικὸν συναχθῇ, εἴτε μὴ ὄν, ἤτοι εἴτε ἀποφατικόν, σημεῖον
λέγεται. [b 21] εἰκὸς δέ ἐστιν οὐ τὸ ἀεὶ οὕτως ἔχον ἀλλὰ τὸ ὡς
ἐπὶ τὸ πολύ. [a 17] ἐκ τοῦ Τισίου ἐλήφθη καὶ τὸ 'κακοῦ Κόρακος
κακὸν ᾠόν'. [b 24] πρὸς γὰρ τὸν λέγοντα 'εἰκὸς τόδε γενέσθαι' οὐκ ἐνί-
30 σταται λέγων 'οὐκ εἰκός' ἀλλ' ὅτι 'οὐκ ἀναγκαῖον'· ὃ δὲ οὐκ ἔστιν 35
ἀναγκαῖον, τοῦτο οὐκ ἔστι μὴ εἰκὸς ἀλλ' εἰκός· τὸ γὰρ οὐκ ἀναγκαῖον οὐκ
ἔστιν ἀναιρετικὸν τοῦ εἰκότος ἀλλὰ τὸ οὐκ εἰκός. [b 25] διὸ καὶ ὁ ἀπο-
λογούμενος μᾶλλον πλεονεκτεῖ ἤτοι εὐπορίαν ἔχει ἐπιχειρημάτων, καθ' ὃ

---

1 ἐναντίον n 2 ἀνδρεῖαν n (per comp. V) 3 ἀφ' ἑαυτοῦ μέν Arist. 6 οὗ V: ὄν n καὶ om. n 7 ἐστι n οἱ ἐρῶντές addidi: ἐρῶντες add. n et in margine man. post. V 8 εἰσιν n καὶ (post γάρ) om. n 10 ἔνστασις Vn Arist. DE: ἔνστασις ὅτι Arist. cet. Πιττακὸς αἰνετός Arist. 12 ἁμαρτήσῃ n μεθύουσιν n 14 τὸ Vn Arist. vulg.: om. Arist. A ὄντων post ὄντων lineola del. V ἢ ὄντων ἢ Arist. 16 γένηται n 20 ὅλου εἶτα Arist. 22 ἐστιν n ὄν V: om. n 26 τι ante καταφατικὸν add. n 27 ἐστι n 28 ἐκ τοῦ Τισίου κτλ.] ad p. 153, 2 29 οὐ γὰρ ὅτι οὐκ εἰκός ante πρὸς add. n ex Aristotele οὐ n 30 ὅτι post λέγων add. n, cf. Arist. ὁ 31 ἔστιν n 32 τὸ οὐκ εἰκ V: τοῦ οὐκ εἰκότος n

ἐπιχειρεῖ διττῶς· ἢ γὰρ οὐκ εἰκὸς λέγει ἀναιρῶν τὸ εἰκός, ὅπερ ἐστὶ καὶ f. 49r
κυρία λύσις αὐτοῦ, ἢ οὐκ ἀναγκαῖον, ὅπερ ἐστὶ φαινομένη λύσις· τὸ γὰρ
οὐκ ἀναγκαῖον οὐκ ἀναιρεῖ τὸ εἰκός. [b 26] ὁ μὲν κατηγορῶν διὰ τῶν
εἰκότων ἀποδείκνυσι λέγων 'εἰκὸς ἐστι τόδε γενέσθαι'. ἔστι δὲ αὐτὸ 40
5 τὸ εἰκὸς λῦσαι ἢ ἐν τῷ εἰπεῖν 'οὐκ εἰκός' ἢ ὅτι 'οὐκ ἀναγκαῖον'·
ἀεὶ γὰρ ἔχει ἔνστασιν ἤτοι ἀεὶ γὰρ δύναταί τις φέρειν ἔνστασιν πρὸς
τὸ ὡς ἐπὶ τὸ πολὺ γινόμενον· οἷον εἰ λέγει τις 'πᾶς ἄνθρωπος πεντα-
δάκτυλος', κομίσω τινὰ τετραδάκτυλον ἐνιστάμενος. πρὸς δὲ τὸ ἀναγκαῖον
ἅτε ἀεὶ οὕτως ἔχον οὐ δύναταί τις ἐν|στῆναι· εἰ γὰρ πρὸς τὸ εἰκὸς οὐκ f. 49v
10 ἦν δυνατὸν ἐνστῆναι, λοιπὸν ὡς ἐπὶ τὸ πολὺ καὶ εἰκὸς οὐκ ἔστιν ἀλλ'
ἀναγκαῖον· τὸ γὰρ ὡς ἐπὶ πολὺ εἰκὸς πέφυκεν ἔχειν ἔνστασιν. [b 30] ὁ
δὲ κριτὴς ἐὰν ἀκούσῃ τινὸς φέροντος ἔνστασιν πρὸς τὸ εἰκός, λέγει, ὅτι
λοιπὸν οὐδὲ εἰκός ἐστι· τοῦτο δὲ λέγει, ὥσπερ εἰ ἦν τὸ εἰκὸς ἀναγκαῖον,
οὐ μὴν δὲ ὡς ἐπὶ τὸ πολύ. [b 34] οὔκουν ἱκανὸν εἰς τὸ λῦσαι τὸ 5
15 εἰκὸς τὸ εἰπεῖν 'οὐκ ἀναγκαῖον', εἰ μὴ εἴπῃ τὸ 'οὐκ εἰκός'. τοῦτο δὲ
συμβήσεται τὸ δεῖξαι, ὅτι οὐκ εἰκός ἐστιν, ἐὰν ἐνστῇ ὡς ἐπὶ τὸ πολύ·
ἐπεὶ γὰρ τὸ εἰκὸς ὡς ἐπὶ τὸ πολύ ἐστι, καὶ ὁ ἐνιστάμενος πρὸς αὐτὸ ἀπὸ
τῶν ὡς ἐπὶ τὸ πολὺ ὀφείλει ἐπιχειρεῖν. ὁ δὲ φέρων ἔνστασιν ἀπὸ τοῦ
ὡς ἐπὶ τὸ πολὺ ἢ ἀπὸ τοῦ χρόνου ὀφείλει ἐπιχειρεῖν ἢ ἀπὸ τοῦ πράγ-
20 ματος ἢ καὶ ἀπ' ἀμφοτέρων ἤτοι τοῦ χρόνου καὶ τοῦ πράγματος·
[1403 a 1] φησὶ γὰρ ὁ κατηγορῶν 'εἰ τὰ πλείονα τῶν πραγμάτων καὶ
πλεονάκις ἤτοι ἐπὶ πολλῶν χρόνων οὕτως ἔχει τοῦτο, ὃ λέγω, ἤτοι τὸ
μὴ τὰς τετοκυίας εἶναι εὔχρους, λοιπὸν μᾶλλον τοῦτό ἐστιν εἰκός,
ὃ λέγω, ἤτοι τὸ τὰς τετοκυίας μὴ εἶναι εὔχρους· οὐ μὴν δὲ ὃ λέγεις σὺ 10
25 ἀπολογούμενος, εἰκός, ἤτοι τὸ τὰς τετοκυίας εὔχρους εἶναι. [a 3] κἂν ᾖ
ὑπάρχοντα ἤτοι ἀληθῆ καὶ ὄντα, ὡς συνέβη τὸν Πιττακὸν καὶ σπουδαῖον
καὶ σοφόν, ὡς ἐλέχθη ἐν τοῖς πρώτοις ἤτοι ἐν τοῖς δευτέροις τῶν
προτέρων. ἤτοι ὅτι οὐ συνελογίσω· ἢ γὰρ ἐκ δύο μερικῶν ἢ ἐκ δύο κατα-
φατικῶν ἐν δευτέρῳ σχήματι. [a 5] πρὸς δὲ τὰ παραδειγματώδη
30 ἐνθυμήματα ⟨καὶ⟩ τὰ εἰκότα ἡ αὐτὴ λύσις ἐστίν· εἰ γὰρ ἔχομεν δεῖξαί
τι, ἐφ' οὗ οὐχ οὕτως ἔχει, ὡς λέγει ὁ ἀντίδικος, οἷον ὅτι τῷ δεῖνι ἐδόθη 15
φυλακὴ καὶ οὐκ ἐτυράννησεν, εἰ δείξομεν, λέλυται ὁ τοῦ ἀντιδίκου λόγος

---

2 ἀναγκαῖον ὅπερ, ον ὅ evan., V 3 οὐκ (post γὰρ) om. n 4 ἀποδείκνυσι Vn Arist. A: ἐπιδείκνυσιν Arist. vulg. 6 γὰρ Vn: δ' Arist. 7. 8 πεντοδάκτυλος V 10 καὶ om. n 11 ἐπιτοπολὺ n ἔχειν, ειν evan., V 16 ἐνστῇ n: στῇ evan. V: ᾖ ἡ ἔνστασις Arist. 17 ἐστι — πολὺ (19) om. n 22 πλεονάκις V Arist. vulg.: πλειονάκις n Arist. A 23 τὰς τετοκυίας om. n λοιπὸν — εὔχρους (24) om. n τοῦτ' ἔστιν εἰκὸς μᾶλλον Arist. 26 καὶ ὄντα V: καὶ om. n fort. σπουδαῖον ⟨εἶναι⟩ 27 ὡς Vn: ὥσπερ Arist. ἐν τοῖς πρώτοις] Art. rhet. I 2 p. 1357b13 27. 28 ἐν τοῖς δευτέροις τῶν προτέρων Analytica priora (II 27) monstrat; cf. Arist. ὅτι γὰρ ἀσυλλόγιστόν ἐστι πᾶν σημεῖον, δῆλον ἡμῖν ἐκ τῶν Ἀναλυτικῶν 28 ὅτ' n 29 παραδειγματώδη V Arist. ABCDE: παραδείγματα Arist. QYbZbTr.: πραγματώδη n 30 καὶ n Arist.: om. V ἡ αὐτὴ λύσις καὶ τὰ εἰκότα Arist. 31 τι om. n εἰ post οἷον add. n 32 εἰ om. n

ὁ λέγων ὅτι 'πᾶς ὁ λαβὼν φυλακὴν ἐτυράννησε' καὶ δείκνυται, ὅτι οὐκ f. 49v
ἀναγκαῖόν ἐστι πάντα τὸν λαβόντα φυλακὴν τυραννεῖν· οὐ μόνον δὲ ἐὰν
δείξῃ ἐπὶ ἑνός, ὃ μὴ ἔχει οὕτως, ἀναιρεθήσεται τὸ 'πᾶς ὁ λαβὼν φυλακὴν
ἐτυράννησεν', [a 7] ἀλλ' εἰ καὶ τὰ πλείω ἢ πλεονάκις, ἤτοι ἀλλ' εἰ
καὶ πολλοὺς δείξομεν λαβόντας μὲν φυλακὴν μὴ τυραννήσαντας δέ, ἢ καὶ
πλεονάκις ἤτοι ἐπὶ πολλῶν χρόνων εἴδομεν τοῦτο οὕτως ἔχον, καὶ οὕτως
ἀναιρεῖται ὁ τοῦ ἀντιδίκου λόγος ὁ λέγων 'πᾶς ὁ λαβὼν φυλακὴν ἐτυράν-
νησε.' [a 8] καὶ τὰ πλείω καὶ τὰ πολλάκις, ἤτοι εἰ δὲ πολλοὺς
εἴδομεν οὕτως, ὡς ὁ ἀντίδικος, ἤτοι λαβόντας φυλακὴν καὶ τυραννήσαντας,
ἢ ὅτι αἱ πλείους τῶν γυναικῶν τῶν τετοκυιῶν εἰσιν ὠχραὶ καὶ πλεονάκις
εἴδομεν τοῦτο οὕτως ἔχον, λοιπὸν καὶ ἥδε ἡ γυνὴ ὠχρὰ οὖσα τέτοκε,
μαχητέον πρὸς τὸν ἀντίδικον, ὅτι ἄλλο τὸ παρὸν ἤτοι 'ἡ ἐνοῦσα
ὠχρότης τῇδε τῇ γυναικί, ἣν λέγεις τετοκέναι, οὐκ ἔστιν ὁμοία τῇ ὠχρό-
τητι, ἣν ἔχουσιν αἱ τετοκυῖαι γυναῖκες.' ἢ ὅμοιαι μέν εἰσι, πλὴν ἔχουσι
διαφοράν τινα μικράν. [a 10] οὐκ ἔστι δὲ δυνατὸν λῦσαι τὰ τεκμήρια
ἀπὸ τοῦ δεικνύειν, ὅτι ἀσυλλόγιστά εἰσιν· ἀσυλλόγιστα γὰρ τεκμήρια οὐκ
εἰσι· λείπεται δὲ μόνον δεῖξαι, ὅτι ὑπάρχει· οἷον εἰ δείξω, ὅτι ἐνταῦθα
πῦρ ἦν, ὅπου καὶ τέφρα ἐστί, λείπεται δεῖξαι, ὅτι καὶ ἡ τέφρα ἐνταῦθα
ἐγένετο· εἰκὸς γὰρ ἄνεμον ἀποκομίσαι αὐτὴν ἐνταῦθα ἀπὸ ἄλλου τόπου,
καὶ εἰ τοῦτο δειχθῇ, ἔμεινε πάντῃ ἄλυτον. [a 13] εἰ δὲ καὶ φανερόν
ἐστι τοῦτο, ὅτι ἡ τέφρα ἐνταῦθα ἦν καὶ ὅτι τεκμήριόν ἐστιν, ἐστὶν
ἀπόδειξις φανερὰ καὶ ἄλυτον. [1402 b 30] ὁ δὲ κριτής, ἐὰν λυθῇ
τὸ εἰκὸς καὶ φέρῃ τις πρὸς αὐτὸ ἔνστασιν, οἴεται, ὅτι οὐδὲ εἰκός ἐστιν
(ὥσπερ εἰ μὴ ἦν τὸ εἰκὸς λύσιμον καὶ ὡς ἐπὶ τὸ πολύ), καὶ ἢ λέγει, ὅτι
τοῦτο οὐκ ἔστιν εἰκὸς ἢ ὅτι οὐκ αὐτῷ κριτέον, ἤτοι ἢ ὅτι οὐκ ἀνήκει
ἐμοὶ τὸ περὶ τούτου κρῖναι· τοῦτο δὲ λέγει παραλογιζόμενος καὶ ἀπα-
τώμενος. [1402 b 33] ἀλλὰ καὶ ἐκ τῶν εἰκότων ἤτοι τῶν ὡς ἐπὶ τὸ
πολύ· τὸ γὰρ γνώμῃ τῇ ἀρίστῃ κρίνειν τοῦτό ἐστι τὸ μὴ ἀεὶ
κρίνειν ἀπὸ τῶν κειμένων νόμων μηδὲ προσέχειν τοῖς νόμοις. ἀλλὰ τὰ
ζητήματα λύεσθαι τῇ δοκιμασίᾳ καὶ κρίσει καὶ οἰκονομίᾳ τοῦ κρίνοντος.

26. Τὸ δὲ αὔξειν τὸ προκείμενον ἔγκλημα ἢ μειοῦν οὐκ ἔστι
στοιχεῖον καὶ τόπος ἐνθυμήματος. [1403 a 19] στοιχεῖον δὲ λέγω καὶ
τόπον, εἰς ὃ πολλὰ ἐνθυμήματα ἤτοι τὰ κατὰ μέρος ἀνάγονται. ἔστι

---

1 ἐτυράννησεν n 2 ἐστιν n 4 ἐτυράννησε n ἢ κατὰ Arist. A: ἢ καὶ Arist. QZb: εἰ καὶ τὰ Arist. cet. πλειονάκις n 7. 8 ἐτυράννησεν n 8 ἐὰν (ἑναν A) δὲ καὶ τὰ πλείω Arist. πολλάκις Vn: πλεονάκις Arist. 9 ὁ om. n 11 τέτοκεν n 12 μαχητέον Vn Arist. vulg.: μάχεται ὄν Arist. A 14 εἰσιν n 15 οὐκ ἔστι n Arist. BCYbTr.: οὐκ ἔσται Arist. cet.: οὐκε | fin. vers. | (initium versus abscissum) ϊ V 17 εἰσίν n οὐχ ὑπάρχει Arist. BTr.: οὐχ om. Arist. cet. 18 ἐνταῦθ' n 21 ἐστι, ἐστὶ n 22 ἀπόδειξις Vn Arist. ATr.: ἀποδείξει Arist. cet. 23 αὐτὸ scripsi: αὐτὸν V: αὐτῶν n ἐστι n 25 ἔστι n 28 ἐστιν n τοῦτο γάρ ἐστι τὸ γνώμῃ Arist. 31 ἢ Vn: καὶ Arist. 32 ἐνθυμήματος στοιχεῖον Arist. 32. 33 ἔστι γὰρ στοιχεῖον καὶ τόπος Arist. 33 ἐμπίπτει post ἐνθυμήματα add. n ex Aristotele

δὲ εἴδη ἐνθυμήματος τὸ ἀπὸ τοῦ ἴσου, τὸ ἀπὸ τοῦ ἐναντίου καὶ τὰ λοιπά. f. 49v
[a 20] τὸ δὲ αὔξειν καὶ μειοῦν ἐνθυμήματά εἰσι δεικνύοντα, ὅτι
τόδε τὸ γεγονὸς ἢ μέγα ἐστὶν ἢ μικρόν, ὥσπερ δὴ καὶ | τὸ ὅτι τόδε f. 50r
ἐστὶν ἀγαθὸν ἢ κακὸν ἢ δίκαιον ἢ ἄδικον, ἃ ἐνθυμήματα καὶ στοιχεῖα
5 ἐνθυμήματος οὔκ εἰσιν ἀλλὰ προβλήματα, περὶ ἃ καταγίνονται οἱ συλλο-
γισμοὶ καὶ τὰ ἐνθυμήματα· ὥστε, εἰ ἕκαστον τούτων, οἷον ὅτι δίκαιον
ἢ ἀγαθὸν ἢ κακόν, τόπος καὶ στοιχεῖον ἐνθυμημάτων οὐκ ἔστι, λοιπὸν
οὐδὲ τὸ αὔξειν καὶ μειοῦν τόποι ἐνθυμήματός εἰσιν. [a 25] οὐδὲ τὰ 5
λυτικὰ ἐπιχειρήματα εἶδος καὶ τόπος ἐστὶν ἐνθυμήματος· δῆλον γὰρ
10 ὅτι ἕκαστος ἐνιστάμενος λύει τὰ ἐνθυμήματα ἢ ἐν τῷ ἀνταποδεῖξαι καὶ
ἀντισυλλογίσασθαι ἢ ἐν τῷ ἐπενεγκεῖν ἔνστασιν. [a 27] ὁ ἐνιστάμενος
ἀντιδείκνυσιν ἀεὶ τὸ ἀντικείμενον· οἷον εἰ ὁ κατηγορῶν δείξει,
ὅτι γέγονεν, ὁ ἐνιστάμενος δείξει, ὅτι οὐ γέγονεν, εἰ δὲ δείξει ἐκεῖνος,
ὅτι οὐ γέγονεν, οὗτος δείκνυσιν, ὅτι [οὐ] γέγονεν. ὥστε κατὰ τοῦτο
15 οὐ διαφέρει· τοῖς γὰρ αὐτοῖς τόποις ἀμφότεροι χρῶνται· καὶ γὰρ 10
καὶ ὁ κατηγορῶν καὶ ὁ ἀπολογούμενος ἐκ τῶν αὐτῶν τόπων ἐπιχειροῦσιν
ἤτοι ἀπὸ τοῦ ἐναντίου, ἀπὸ τοῦ ἴσου καὶ τῶν λοιπῶν· καὶ γὰρ ἀμφότεροι
φέρουσιν ἐνθυμήματα πρὸς τὸ δεῖξαι, ὅτι τόδε ἢ ὅτι τόδε οὐκ ἔστιν.
[a 31] ἡ δὲ ἔνστασίς ἐστι τὸ εἰπεῖν καὶ κομίσαι δόξαν τινὰ ἤτοι
20 ἔνδοξόν τινα πρότασιν, ἐξ ἧς ἔσται δῆλον, ὅτι ὁ ἀντίδικος αὐτό, πρὸς
ὃ καὶ τὴν ἔνστασιν ἔφερεν, οὐ συλλελόγισται ἢ ὅτι ψευδῆ πρότασιν
ἔλαβεν· ἡ γὰρ ἔνστασις οὐκ ἄλλο τί ἐστιν ἢ πρότασις ἐναντία τῇ προκο- 15
μισθείσῃ προτάσει παρὰ τοῦ ἀντιδικοῦντος.

---

2 ἐστὶν ἐνθυμήματα Arist. 3 δὴ V: δὲ n: om. Arist. 7 στοι V: στοιχεῖα n 10 ἀποδεῖξαι n 11 ἀντιλογίσασθαι n ἔκστασιν V 12 ἀντιδείκνυσιν V: ἀνταποδείκνυσιν n Arist. DETr.: ἀνταποδεικνύουσιν Arist. cet. ἔδειξε Arist. 14 οὐ V: om. n Arist. 15 τοῖς αὐτοῖς γὰρ χρῶνται ἀμφότεροι Arist. 20 αὐτό scripsi: αὐτοῦ Vn 23 subscr. τέλος τοῦ δευτέρου βιβλίου τῆς ῥητορικῆς V: τέλος τοῦ εἰς τὸ δεύτερον ὑπομνήματος n

⟨ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ ΤΗΣ ΡΗΤΟΡΙΚΗΣ.⟩ f. 50r

1. Δεύτερον δὲ τὸ περὶ τὴν λέξιν, ἤτοι διὰ ποίων λέξεων θέλομεν ἐξαγγέλλειν τὰ πράγματα. [b 8] τρίτον πῶς δεῖ τὰ μέρη τοῦ λόγου τάττειν, ἤτοι ποῖον τῶν ἐνθυμημάτων δεῖ πρῶτον λέγειν καὶ ποῖον δεύτερον, ὅπερ ἐστὶ τῆς μεθόδου ἴδιον. καὶ ὁ Ἑρμογένης τὸ ἐνθύμημα ἐκεῖνό φησι δεῖν πρῶτον τάττεσθαι, ὅπερ ἐστὶ τοῦ ἑτέρου προκλητικόν· ὅταν δὲ μέλλῃς συγχῶσαι καὶ ταράξαι τὸν ἀντίδικον καὶ τὸν ἀκροατήν, τότε δεῖ ἀνατρέπειν τὴν τάξιν καὶ τὸ δεύτερον λέγειν πρῶτον. [b 10] ἢ γὰρ τῷ αὐτοὶ πεπονθέναι οἱ κριταί τι ἤτοι ἢ ἐν τῷ εἰς ὀργὴν παρακινηθῆναι ἢ εἰς οἶκτον, ἢ ἐν τῷ εἶναι τοὺς λέγοντας ποιούς τινας ἤτοι ἀγαθοὺς ἢ πονηρούς, ἢ πείθονται ἐν τῷ ἀποδεδεῖχθαι ἤτοι ἐν τῷ εἶναι ὁμολογούμενα καὶ ἀποδεδειγμένα, ἃ ἐλάβομεν εἰς πίστιν ἐνθυμήματος. [b 14] ἔστι γὰρ τὰ μὲν εἴδη τῶν ἐνθυμημάτων, εἰσὶ δὲ τὰ εἴδη τῶν ἐνθυμημάτων δύο, ἐλεγκτικὰ ἢ δεικτικά, τὰ δὲ τόποι, ὅθεν δεῖ λαμβάνειν τὰ ἐνθυμήματα, τὸ ἀπὸ τοῦ ἐναντίου, τὸ ἀπὸ τοῦ ἴσου καὶ τὰ λοιπά. ἀλλ' ἀνάγκη καὶ ταῦτα τὰ ἐνθυμήματα εἰπεῖν ἤτοι ἐξαγγέλλειν καὶ ἐκφράζειν, ὡς δεῖ· καὶ γὰρ ἡ λέξις, δι' ἧς ἀπαγγέλλομεν τὰ πράγματα, συμβάλλεται μεγάλα πρὸς τὸ φανῆναι τὸν λόγον ποιόν τινα ἤτοι πιθανόν. [b 18] τὰ πράγματα φύσει εἰσὶ πρῶτα, δεύτερον δὲ τὸ διαθέσθαι καὶ ἀπαγγέλλειν ταῦτα τῇ λέξει, τρίτον δὲ τούτων τὰ περὶ τὴν ὑποκριτικὴν ἤτοι τὸ ὑποκριτικὸν καὶ ἀπαγγελτικόν· δεῖ γὰρ ἐν ταῖς ἀναγνώσεσι τῶν λόγων ὑποκρίνεσθαι καὶ ποτὲ μὲν ἐπιτείνειν τὴν φωνὴν ἐπὶ τὸ ὀξύ, εἰ περὶ γυναικός τινος λέγομεν, ποτὲ δὲ ὑφειμένα λέγειν καὶ ἀνα-

---

1 superscriptionem addidi coll. p. 87,1: om. V: εἰς τὸ τρίτον βιβλίον ὑπόμνημα n
2 τὸ om. Arist. 3 τρίτον δὲ πῶς Arist. 5 Ἑρμογένης] cf. de inv. Γ 13 p. 229,2 Sp. 7 συγχύσαι V 9 αὐτοί τι Arist. 11 ἢ τῷ ἀποδεδεῖχθαι πείθονται Arist. 14 ἢ V: καὶ n 15 ἐνθυμήματα ὡς τὸ n 16 ἀνάγκη καὶ Arist.: ἂν καὶ n: ἀν (litteram quandam — fort. α — supra ν scriptam fuisse cognoscitur) | finis versus | καὶ V 16. 17 ὡς δεῖ εἰπεῖν Arist. 17 ἐπαγγέλλομεν n 18 ποιόν τινα τὸν λόγον Arist. 19 τὰ μὲν πράγματα n δεύτερον δὲ superscr. V: post τὸ posuit n 19. 20 ταῦτα τῇ λέξει διαθέσθαι Arist. 20 καὶ om. n δὲ καὶ τούτων n 21. 22 ἀναγνώσεσιν n

γινώσκειν, εἰ τὸ πρόσωπον ἐκεῖνο, περὶ οὗ ὁ λόγος, ἀσθενές ἐστι καὶ οὐ f. 50r
δύναται λαβραγορεῖν, ποτὲ δὲ διὰ βαρείας φωνῆς ἀναγινώσκειν, εἴ γε περὶ 40
ἥρωος λέγομεν· μεγάλα γὰρ συμβάλλεται ἐν ταῖς ἀναγνώσεσι τῶν ῥητο-
ρικῶν λόγων τὸ ὑποκριτικόν, [b 21] ὃ οὔπω ἐπικεχείρηται καὶ παρε-
5 δόθη. καὶ γὰρ αὐτοὶ οἱ ποιηταὶ ὑπεκρίνοντο τὰς τραγῳδίας, οἷον ὁ
Σοφοκλῆς, ὅταν παρεισῆγε δούλους λέγοντας, ἐμιμεῖτο αὐτοὺς καὶ ἔλεγε
φωνὰς βαρβαρικάς, ὅταν δὲ παρεισῆγε γυναῖκας λεγούσας, ἔλεγεν ὡς f. 50v
γυνή, καθάπερ καὶ νῦν οἱ ἀναγινώσκοντες τὰ μαρτυρογράφια ποιοῦσιν. εἰ
καὶ ὄπισθεν ἐν τῇ ἀρχῇ τοῦδε τοῦ τρίτου βιβλίου τρίτην ἔταξε τὴν μέθο-
10 δον, ἀλλ' οὖν ἐνταῦθα τρίτον ἔταξε τὸ ὑποκριτικόν. [b 24] δῆλον οὖν,
ὅτι καὶ τὸ περὶ τὴν ῥητορικήν ἐστι τοιοῦτον ἤγουν ὑποκριτικόν
(μεγάλα γὰρ ἐν τοῖς ῥήτορσι τὸ ὑποκριτικὸν ἐν τῇ ἀναγνώσει συμβάλλεται),
ὥσπερ καὶ ἐν τῇ ποιήσει· ὃ (τὸ ὑποκριτικόν) ἐπραγματεύθη καὶ ἐπετη- 5
δεύθη καὶ παρὰ τοῦ Γλαύκωνος. [b 27] ἔστι δὲ αὕτη ἡ τῆς ὑποκρί-
15 σεως μέθοδος θεωρουμένη ἐν τῇ φωνῇ ἤτοι ἐν τῇ ἀναγνώσει, πῶς δεῖ
χρᾶσθαι τῇ ἀναγνώσει πρὸς τὰ πάθη· εἰ γὰρ ὀργιζόμενόν ἐστι τὸ πρόσωπον,
περὶ οὗ ὁ λόγος, δεῖ χρᾶσθαι μεγάλῃ φωνῇ καὶ τραχείᾳ, εἰ δὲ λυπούμενον καὶ θρηνοῦν, δεῖ χρᾶσθαι ὀξείᾳ φωνῇ, εἰ δὲ νοσαζόμενον, μέσῃ.
[b 29] καὶ πῶς τοῖς τόνοις τῆς φωνῆς χρηστέον· ἢ γὰρ ὀξεῖαν φωνὴν
20 ἀφιέναι μέλλομεν, εἰ θρηνεῖ τὸ πρόσωπον, περὶ οὗ ὁ λόγος, ἢ βαρεῖαν, 10
εἰ ἡρωικόν ἐστι τὸ πρόσωπον καὶ ὀργιζόμενον. ὁ ῥυθμὸς σύγκειται καὶ
ἀναφαίνεται ἐκ τῆς τοιᾶσδε συνθήκης· ἄλλος γὰρ ῥυθμὸς γίνεται, εἰ πρῶτον
ἀναπαίστους εἴπωμεν, εἶτα δακτύλους, καὶ ἄλλος ἂν ἀποτελεσθῇ, ἢ ταπεινὸς
δηλονότι ἢ μέσος, εἰ τοὺς δακτύλους πρῶτον εἴπωμεν, εἶτα τοὺς ἀνα-
25 παίστους· καὶ γὰρ πρὸς τὰ πάθη ὀφείλει καὶ ὁ ῥυθμὸς ἐξαλλάττεσθαι.
[b 30] τρία δέ εἰσι, περὶ ἃ σκοποῦσιν οἱ ῥήτορες· μέγεθος, ἤτοι εἰ
μεγάλην δεῖ ἀφιέναι φωνὴν εἴτε μικράν· ἁρμονία ἤτοι συνθήκη· ἀλλαχοῦ 15
μὲν τιθέασι πρῶτον τοὺς δακτύλους, ἀλλαχοῦ δὲ τοὐναντίον· ὁ δὲ ῥυθμὸς ἐκ
τῆς τοιᾶσδε συνθήκης τοιόσδε ἢ τοιόσδε ἀναφαίνεται. ἢ μέγεθος νοητέον τὰ
30 κῶλα, ἡ μὲν ἁρμονία ἐν τῇ μουσικῇ περὶ τὰς ὀξείας καὶ μικρὰς καὶ
μέσας καὶ μεγάλας φωνὰς γίνεται, ὁ δὲ ῥυθμὸς περὶ τὸ ταχὺ καὶ βραδύ.
[b 32] οὗτοι μὲν οἱ ὑποκριτικοὶ ἤτοι οἱ δυνάμενοι καλῶς ἐν ταῖς ἀνα-
γνώσεσιν ὑποκρίνεσθαι τὰ πρόσωπα, περὶ ὧν ὁ λόγος, λαμβάνουσι τὰ 20
ἆθλα καὶ τὰ βραβεῖα ἐν τῷ ἀγωνίζεσθαι. προσέθηκε δὲ τὸ σχεδόν, ἵνα
35 ὅτι οὐκ ἀεὶ οὗτοι λαμβάνουσι τὰ ἆθλα· ἀλλ' εἰ μὲν οἱ ἀκροαταί εἰσι σοφοί,

---

1 ἐστιν n 3 ἀναγνώσεσιν n 4 οὔπω δ' Arist. 5 ὑπεκρίνοντο γὰρ αὐτοὶ (BCQYᵇ; αὐτοῖς ATr.; αὐτὰς DEZᵇ) τὰς τραγῳδίας οἱ ποιηταὶ τὸ πρῶτον Arist. 6 Σοφοκλῆς] cf. fr. 53. 574. 563 ed. alt. Nauckianae 7 λεγούσας om. n 9 ὄπισθεν] III 1 p. 1403ᵇ8 ἔταξεν n 10 δῆλον—ὑποκριτικόν (11) om. n 11 καὶ τὸ cod. Laudens. gr. 49: καὶ τὰ V: καὶ Arist. τὸ τοιοῦτον Arist. 13 ὃ om. n 14 καὶ om. n 14. 15 δὲ αὐτὴ μὲν ἐν Arist. 22 συνθήκης V: συνθέσεως n 24 εἰ V: ἢ εἰ n 26 ἃ Vn Arist. A: ὧν Arist. vulg. 28 τιθέασιν n 29 φαίνεται n

οὐ θαυμάζουσι τοὺς ὑποκρινομένους τὰ πρόσωπα, περὶ ὧν ὁ λόγος ἐν ταῖς f. 50v
ἀναγνώσεσιν, ἀλλὰ μᾶλλον τοὺς ποιητὰς ἤτοι τοὺς ποιήσαντας καὶ συγγρα-
ψαμένους αὐτά· πολλάκις γὰρ ἄλλοι μὲν συγγράφονται τὰ ποιήματα, μὴ
ἔχοντες δὲ εὐφυῶς καὶ ἐπιτηδείως εἰς τὸ ἀναγινώσκειν αὐτὰ διὰ τὸ κακό- 25
φωνον προβάλλονται ἄλλους εἰς τὸ ἀναγινώσκειν αὐτά. εἰ δὲ μή εἰσιν οἱ
ἀκροαταὶ σοφοί, τότε θαυμάζουσι μᾶλλον τοὺς ἀναγινώσκοντας καὶ ὑπο-
κρινομένους παρὰ τοὺς ποιητὰς ἤτοι τοὺς συγγραψαμένους. [b 33] καὶ
καθάπερ ἐκεῖ ἤτοι ἐπὶ τῶν τραγικῶν οἱ ὑποκριταὶ ἤτοι οἱ καλῶς
ὑποκρινόμενοι μεῖζον δύνανται ἐν τοῖς ἀγῶσι καὶ ἐπαινοῦνται μᾶλλον
τῶν ποιητῶν ἤτοι τῶν συγγραψάντων, οὕτως καὶ κατὰ τοὺς πολι- 30
τικοὺς ἀγῶνας διὰ τὴν μοχθηρίαν τῶν πολιτειῶν ἤτοι διὰ τὸ
φθαρῆναι τὰς πολιτείας ἐν τοῖς ῥητορικοῖς ἀγῶσι μᾶλλον δύνανται καὶ
ἐπαινοῦνται οἱ ἀναγινώσκοντες τοὺς λόγους τοὺς ῥητορικοὺς ἐπὶ συνεδρίου καὶ
καλῶς ὑποκρινόμενοι παρὰ αὐτοὺς τοὺς ῥήτορας τοὺς συγγράψαντας. τοῦτο
δὲ συμβαίνει τὸ ἐπαινεῖσθαι τοὺς ὑποκρινομένους μᾶλλον αὐτῶν τῶν
ῥητόρων τῶν συγγραψάντων διὰ τὸ μὴ εἶναι ὅλους τοὺς ἀκροατὰς ἐν ταῖς
πολιτείαις σοφούς· ἐν τῷ διαφθαρῆναι γὰρ τὰς πολιτείας διεφθάρησαν καὶ 35
οἱ ἀκροαταί. [b 35] οὔπω δὲ σύγκειται ἤτοι ἐξετέθη καὶ ἐγένετο
τέχνη τις περὶ αὐτῶν ἤτοι τῶν ὑποκρίσεων, ἤτοι οὐκ ἐτέχνωσε δέ τις
ταύτας καὶ συνεγράψατο περὶ αὐτῶν, ἐπεὶ καὶ τὸ περὶ τὴν λέξιν ἤτοι
τὸ κομμωτικαῖς χρᾶσθαι λέξεσι καὶ ἀνθηραῖς καὶ ὑπογαργαλιζούσαις τὰς
τῶν ἀκροατῶν ἀκοὰς ὀψέ ποτε ἦλθε καὶ εὑρέθη· οἱ γὰρ παλαιοὶ τῶν
ῥητόρων οὐ τῆς λέξεως ἐφρόντιζον καὶ τῆς φράσεως τῆς ἀποκρότου καὶ 40
τῆς καλλιεπείας ἀλλὰ τῶν πραγμάτων, πῶς ἂν αὐτὰ τὰ πράγματα παρα-
στήσωσιν. οἱ δὲ νέοι ῥήτορες ἐλθόντες τοῦ κάλλους τῆς λέξεως ἐφρόντισαν
μᾶλλον τοῦ παριστᾶν τὰ πράγματα. [b 36] καὶ δοκεῖ τοῦτο φορτικὸν
ἤτοι τὸ ἀφορᾶν πρὸς λέξιν καὶ πρὸς κάλλος λόγου παρ' ὃ πρὸς παράστασιν
τῶν πραγμάτων, καλῶς ὑπολαμβανόμε|νον καὶ νομιζόμενον φορτικὸν f. 51r
τὸ τοιοῦτον ἤτοι τὸ πρὸς λέξιν καὶ κάλλος τοῦ λόγου ἀφορᾶν παρ' ὃ
πρὸς τὴν τῶν πραγμάτων παράστασιν. φορτικὸν δὲ νομίζεται τοῖς σοφοῖς,
ἐπεὶ καὶ ὁ Πλάτων ἀπεδίωκε τῆς αὐτοῦ διατριβῆς τὸν Δημοσθένην ὡς
θηρολέκτην. [1404 a 1] ἀλλ' ὅλης οὔσης τῆς πραγματείας τῆς περὶ
τὴν ῥητορικὴν ἀφορώσης πρὸς δόξαν (οἱ γὰρ ῥήτορες ἀφώρων πρὸς 5
τὸ δοξάζεσθαι διὰ τὸ ἀφορᾶν πρὸς δόξαν) ποιητέον τὴν ἐπιμέλειαν
καὶ τῆς λέξεως καὶ τοῦ κάλλους οὐ διὰ τὸ ἔχειν ὀρθῶς τοῦτο τὸ φροντίζειν
τῆς λέξεως, ἀλλὰ διότι ἐστὶν ἀναγκαῖον νῦν τὸ φροντίζειν τοῦ κάλλους καὶ

---

1 θαυμάζουσιν n 7 συγγραψομένους n 9 δύνανται Vn Arist. vulg.: δύνανται νῦν Arist. A 11 πολιτῶν n 12 ἀγῶσιν n 13 συνεδρίου ex συνεδρίων corr. V 14 παρ' n 16 τῶν συγγραψάντων om. n 17 διαφθάρεισαν καὶ n 18 ἐξετάθη n 21 κομματικαῖς χρῆσθαι λέξεσιν n 22 ὀψὲ προῆλθεν Arist. 24 ἂν om. n 25 κάλλους καὶ τῆς n 26 φορτικὸν εἶναι Arist. 32 οὔσης πρὸς δόξαν τῆς Arist. 34 τὴν ἐπιμέλειαν ποιητέον Arist. 35 καὶ (post λέξεως) n: nil praeter accentum cognoscitur in V τὸ (post τοῦτο) om. n 36 ἀναγκαῖον, ἂν evanuit, V

τῆς λέξεως, διὰ τοῦτο ἐπιμελητέον τῆς λέξεως. ἐπεὶ κατὰ τὸ δίκαιον f. 51r
οὐδὲν ἄλλο ἔδει ζητεῖν ἐν τῷ λόγῳ ἢ τοῦτο ἤτοι τὸ μήτε λυπεῖν τοὺς
ἀκροατὰς ἐν τῷ λαμβάνειν λέξεις τροπικὰς καὶ μεταφορικὰς (πολλάκις γὰρ
καί τινες λέξεις τροπικαὶ λυποῦσι καὶ τὸν ἀναγινώσκοντα ἐν τῷ μὴ 10
5 δύνασθαι ἐκφωνεῖν ταύτας καλῶς) μήτε εὐφραίνειν καὶ γαργαλίζειν τὰς
τῶν ἀκροατῶν ἀκοὰς τῷ ἀνθηρῷ τῆς λέξεως· [a 5] δίκαιον γὰρ ἦν
αὐτοῖς χρᾶσθαι τοῖς πράγμασιν, ἤτοι † οὐ δυνατὸν ἦν, ἔδει αὐτὰ τὰ
πράγματα ψιλὰ παριστᾶν τὸν ῥήτορα καὶ μὴ σπουδάζειν διὰ λέξεων αὐτὰ
παριστᾶν· ἀλλ' εἰ ἦν ἡ ζήτησις περὶ κυνός, αὐτὸν ἔδει τὸν κύνα ἐπὶ
10 μέσον παράγειν, μὴ μέντοι γε ἀνθηραῖς χρᾶσθαι ταῖς λέξεσιν. [a 6]
ὥστε τὰ ἄλλα ἤτοι τὰ προοίμια καὶ τὸ κάλλος τῆς λέξεως ἐν τοῖς ῥητο- 15
ρικοῖς λόγοις περιττά εἰσιν ἄνευ τῶν ἀποδείξεων· ἀλλ' ὅμως καὶ ἡ λέξις
συμβάλλεται μεγάλα εἰς τὸ δοξάζεσθαι διὰ τὴν μοχθηρίαν καὶ ἀγροικίαν
τῶν ἀκροατῶν. [a 8] τὸ μὲν τῆς λέξεως συμβάλλεται μικρὸν ἐν πάσῃ
15 διδασκαλίᾳ· διαφέρει γὰρ καὶ συμβάλλεται ἡ λέξις πρὸς τὸ δηλοῦν
τὰ πράγματα ὡδὶ ἢ ὡδὶ ἤτοι τοιῶσδε ἢ τοιῶσδε· εἰ γὰρ αἱ λέξεις εἰσὶ
σαφεῖς, καὶ τὸ πρᾶγμα φανερῶς δηλοῦται, εἰ δὲ τροπικαί εἰσιν, οὐ παρι- 20
στῶσι τὸ πρᾶγμα φανερῶς. [a 10] οὐ μέντοι τοσοῦτον ἤτοι μεγάλως
συμβάλλονται, ἀλλ' ἅπαντα ταῦτα ἤτοι τὰ προοίμια καὶ αἱ λέξεις καὶ
20 τὸ κομμωτικὸν αὐτῶν φαντασίαι εἰσὶν ἤτοι ἐπιδείξεις καὶ πρὸς τὸν
ἀκροατὴν ἤτοι καὶ πρὸς ἡδονὴν ἀφορῶσι τοῦ ἀκροατοῦ, οὐ μέντοι γε δὲ
περὶ τὰς ἀποδείξεις συμβάλλεται· διὸ οὕτως ἤτοι διὰ τῶν λέξεων μόνων
οὐδεὶς διδάσκει τὴν γεωμετρίαν, εἰ μὴ χρήσεται αὐτοῖς τοῖς πράγμασι καὶ
καταγραφαῖς ἐν τῇ σανίδι. [a 12] ἐκείνη μὲν ἡ λέξις, ὅταν ἔλθῃ,
25 δύναται ταὐτὸν τῇ ὑποκριτικῇ· ὡς γὰρ τὸ ὑποκρίνεσθαι καὶ ἀπομι- 25
μεῖσθαι τὰ πρόσωπα καὶ αὐτὰ τὰ πράγματα τῆς ἐπιτηδειότητός ἐστιν
ἑκάστου καὶ τῆς φύσεως, οὐχὶ τέχνης, οὕτω καὶ ἐκείνη ἡ τέχνη ἡ περὶ
λέξεων διαλαμβάνουσα, ἐὰν ἔλθῃ, οὐδὲν ἄλλο ποιῆσαι δυνηθῇ, ἢ ὃ ἡ
φύσις δίδωσιν ἤγουν τὸ στομφάζειν καὶ στομφαστικῶς καὶ κομπηρῶς ἐκφέ-
30 ρειν αὐτάς· ἡ γοῦν τέχνη οὐ δίδωσι τὸ στομφάζειν, ἀλλ' ἡ διάπλασις τῆς
ἀρτηρίας καὶ τῆς γλώττης καὶ τῆς ὑπερῴας ἡ ὑπὸ τῆς φύσεως δημιουρ- 30
γηθεῖσα. [a 13] τινὲς δὲ τῶν παλαιῶν ἐπεχείρησαν ἐπ' ὀλίγον εἰπεῖν
περὶ λέξεως. ὁ Θρασύμαχος περὶ ἐλέους ἔγραψε. καὶ τὸ ὑποκριτικὸν
ἤτοι τὸ στομφάζειν ἐν τῇ ἀναγνώσει καὶ λαβραγορεῖν τῆς φύσεώς ἐστιν

---

1 ἐπιμηχητέον n. 7 οὐ Vn: fort. εἰ ἔδει αὐτὰ V: ἃ δεῖ ἂν n 10 παράγειν V: πάρεισάγειν n (cf. infra p. 165,1 sq.) 11 τἆλλα Arist. 13 γλ' με V: μεγάλως n 14 μὲν V: μὲν οὖν n Arist. μικρὸν ἀναγκαῖον Arist. 19. 20 φαντασία ταῦτ' ἐστὶ Arist. 19 ταῦτα om. n καὶ (post λέξεις) — ἀκροατοῦ (21) om. n 21 δὲ V: δὴ n 22 οὐδεὶς post διὸ add. n ex Aristotele οὕτως n Arist. 23 πράγμασιν n 24 μὲν οὖν Arist. 25 ταὐτὸ ποιήσει τῇ Arist. καὶ om. n 27 οὕτω καὶ V: οὕτως n 28 λέξιν n 29 ἤγουν V: ἢ n κομπηρῶς, κομ evanuit, V: κάμπηρῶς n 31 ὑπερώας, ας evanuit, V 33 ἔγραψεν n 34 ἐστι n

ἤτοι ἡ φύσις δίδωσι καὶ ἄτεχνόν ἐστιν ἤτοι ἡ τέχνη οὐ δίδωσι· περὶ f. 51r
δὲ τὴν λέξιν ἤτοι τὸ λαμβάνειν δὲ λέξεις τοιάσδε ἢ τοιάσδε καὶ τὸ περὶ
τὴν λέξιν ὑποκριτικόν ἐστιν ἔντεχνον· [a 16] διὸ καὶ τοῖς δυναμένοις
εὐδοκιμεῖν κατὰ τοῦτο τὸ ὑποκριτικὸν ἤτοι τὸ στομφαστικόν, ὅπερ ἡ φύσις
5 δίδωσιν, οὐχ ἡ τέχνη, πάλιν παρὰ τῶν ἀκροατῶν δίδονται ἆθλα ἤτοι 35
ἔπαινοι καὶ νῖκαι (εἰ γάρ τις ἀκούσει τινὸς στομφάζοντος, οἷάπερ εἰώθει
γίνεσθαι, ἐπαινοῦσιν αὐτὸν καὶ θαυμάζουσιν), ὥσπερ καὶ τοῖς ῥήτορσι τοῖς
κατὰ τὸ ὑποκριτικὸν ἤγουν τοῖς ὑποκρινομένοις περὶ τὴν ἀνάγνωσιν καὶ
ὑποκρινομένοις καὶ τὰ πρόσωπα καὶ τὰ πράγματα. περὶ ὧν ὁ λόγος. καὶ
10 ποτὲ μὲν ἀφιεῖσι φωνὴν ὀξεῖαν, ποτὲ δὲ βαρεῖαν. [a 18] οἱ γὰρ γραφό-
μενοι λόγοι μεῖζον δύνανται διὰ τὸ ἀνθηρὸν τῆς λέξεως παρ' ὃ διὰ 40
τὴν διάνοιαν· οἱ γὰρ ἀκροαταὶ προσέχουσιν οὐ τῷ νῷ καὶ τῇ διανοίᾳ
ἀλλὰ τῷ κάλλει καὶ τῷ ἀνθηρῷ τῆς λέξεως. [a 19] πρῶτον μὲν ἤρξαντο
οἱ ποιηταὶ κινῆσαι τὰ περὶ τὴν λέξιν καὶ χρᾶσθαι τῇ λέξει καὶ κατα-
15 γίνεσθαι περὶ ταύτην, ὥσπερ καὶ πέφυκεν ἤτοι προσῆκόν ἐστι· τῶν γὰρ
ποιητῶν ἰδιόν ἐστι τὸ καταγίνεσθαι περὶ τὴν λέξιν. | τὰ γὰρ ὀνόματα f. 51v
ἤτοι αἱ λέξεις, αἷς χρῶνται οἱ ποιηταί, μιμήματά εἰσι καὶ ὠνοματοπε-
ποίηνται ἀπὸ τῆς τῶν πραγμάτων ἰδιότητος, οἷον ἀπὸ τοῦ ἤχου τῆς
θαλάσσης ὠνοματοποιήθη ὁ φλοῖσβος. ἀπὸ δὲ τοῦ πυρὸς ὁ ῥοῖζος. [a 21]
20 ἔστι δὲ καὶ ἡ φωνὴ ἡμῶν μιμητικωτέρα· καὶ διὰ τὸ τὴν φωνὴν ἡμῶν
ἀπομιμεῖσθαι πάντα διὰ τοῦτο καὶ ἡ ῥαψῳδία συνέστηκε καὶ ἡ ὑπο- 5
κριτικὴ ἤτοι ἡ τραγικὴ καὶ αἱ ἄλλαι ἤτοι ἡ κωμῳδία. τινὰ ἔχουσιν
[a 24] ἀήθη ἤτοι λέξεις ἀήθεις καὶ παραξένους· διὰ γοῦν τὸ λέγειν λέξεις
ἀήθεις τοῖς πολλοῖς διὰ τοῦτο ἐκτήσαντο δόξαν παρὰ τῶν ἀνθρώπων. τινὰ
25 δὲ τῶν βιβλίων ἔχουσιν εὐήθη· νοεῖται δὲ οὕτως, ὅτι οἱ ποιηταί, εἰ καὶ
εὐήθη καὶ μωρὰ καὶ μυθώδη εἶπον, ἀλλ' οὖν διὰ τὸ χρᾶσθαι λέξεσιν
ἀήθεσιν ἐδοξάσθησαν. Γοργίαν ἐνταῦθα μὴ τὸν ῥήτορα νοητέον ἀλλὰ
ποιητήν τινα πρὸ αὐτοῦ. [a 27] τοὺς τοιούτους οἴονται κάλλιστα 10
διαλέγεσθαι τοὺς χρωμένους ἀήθεσι λέξεσι καὶ ποιητικαῖς. νοεῖται καὶ
30 οὕτως· [a 25] διὰ τοῦτο καὶ ἡ ποιητικὴ λέξις πρώτη ἤτοι προτιμοτέρα
τῶν ἄλλων ἐνομίσθη παρὰ τοῖς ῥήτορσιν, ὡς ἂν δόξαν κτῶνται. [a 19] ἤρ-
ξαντο μὲν κινῆσαι. νοεῖται τοῦτο καὶ οὕτως· ἤρξαντο οἱ ποιηταὶ κινῆσαι
καὶ μεταβαλεῖν καὶ ἐκστῆσαι τὸ ἀρχαῖον ἔθος, ὥσπερ κατὰ φύσιν ἤτοι τοῦ
κατὰ φύσιν. [a 27] οὐκ ἔστι δὲ ἐπαινετὸν τοῦτο ἤτοι τὸ ποιητικαῖς λέξεσι 15

---

1 καὶ (αἱ evan.) ἄτεχνον — δίδωσι V: om. n (ἀτεχνότερον Arist.) 3 τοῖς τοῦτο δυνα-
τ
μένοις Arist. 7 ῥήτορσιν n 8 τὸ ὑποκριτικὸν scripsi: τὸν ὑπόκρι V: τὸν ὑπό-
κριτον n: τὴν ὑπόκρισιν Arist. 10 ἀφίησι n 12 οὐ V: ἐν n 13 ἀλλὰ
V: παρὸ n 15 ἐστιν n 16 ἐστιν n 20 μιμητικώτατον Arist.
AC: μιμητικωτάτη Arist. cet. τὸ V: τοῦτο n 21 ἀπομιμεῖται n διὰ τοῦτο
V: διὸ n συνέστησε n 23 εὐήθη Arist. 24 ἀήθεις om. n
τὰς πολλὰς n ἐκτίσαντο n 28. 29 διαλέγεσθαι κάλλιστα Arist. 30 προτιμω-
τέρα n 32 οἱ ante μὲν add. n μὲν οὖν Arist. κινεῖσθαι n νοεῖ-
ται, ει ex η corr., V 33 ἐκστῆναι n 34 λέξεσιν n

χρᾶσθαι ἐν τῷ πεζῷ λόγῳ· ἑτέρα γάρ ἐστιν ἡ λέξις τοῦ λόγου τοῦ πεζοῦ f. 51v
καὶ ἑτέρα ἡ τῆς ποιήσεως. δηλοῖ δὲ τὸ συμβαῖνον, ἤτοι εἰ δὲ καὶ οἱ
παλαιοὶ ῥήτορες ἐχρῶντο ποιητικαῖς λέξεσιν, ἀλλ' οὖν νῦν μετέπεσον καὶ
ἐξέστησαν τοῦ ταύταις χρῆσθαι διὰ τὸ συνιέναι ἄλλην εἶναι τὴν ποιητικὴν
5 λέξιν παρὰ τὴν τοῦ πεζοῦ λόγου. καὶ δῆλόν ἐστι τὸ ἐκστῆναι αὐτοὺς ἀπὸ
τοῦ συμβάντος· [a 30] ὥσπερ καὶ οἱ τραγῳδοὶ τετραμέτροις στίχοις χρώ-
μενοι κατέλειψαν τὸ τετράμετρον καὶ χρῶνται τῷ ἰαμβείῳ διὰ τὸ μόνον 20
τὸν ἴαμβον ἀπὸ πάντων τῶν ἄλλων μέτρων ἐγγίζειν τῷ λόγῳ τῷ πεζῷ,
οὕτω καὶ οἱ ῥήτορες ἀφήκασι τὸ χρᾶσθαι λέξεσιν, ὅσαι εἰσὶ παρὰ τὴν
10 διάλεκτον, ἤτοι τῆς ποιητικῆς διαλέκτου. [a 31] τετράμετρον λέγει τὸ
ἀναπαιστικόν· ἴσως γὰρ ἐχρῶντο ὀκτὼ ἀναπαίστοις· ἐπεὶ δὲ κατὰ διποδίαν
ἐμετροῦντο οἱ στίχοι, λοιπὸν κατὰ διποδίαν μετρησάντων καὶ τὸ ἀναπαιστι-
κὸν τετράμετρον γίνεται. ἀφήκασι δὲ οἱ νῦν τραγῳδοὶ τά, οἷς πρότερον 25
τραγῳδοὶ ἐκόσμουν τὴν οἰκείαν ποίησιν καὶ ἔτι καὶ νῦν κοσμοῦσιν οἱ τὰ
15 ἑξάμετρα ἤτοι τὰ ἡρωικὰ ποιοῦντες. [a 35] διὸ γελοῖόν ἐστι
μιμεῖσθαι τούτους ἤτοι ἢ τοὺς ῥήτορας τοὺς παλαιοὺς τοὺς χρωμένους
λέξεσι ποιητικαῖς διὰ τὸ πάλαι τοῦτο καταργηθῆναι ἢ τούτους τοὺς τραγῳ-
δούς. διὸ οὐκ ἀκριβολογητέον περὶ λέξεως εἰπεῖν ἢ ἁπλῶς περὶ πάσης
λέξεως, ἀλλ' ἀκριβολογητέον περὶ τῆς τοιαύτης λέξεως, οἵας λέγομεν,
20 ἤτοι ἀνηκούσης τῷ ῥήτορι. [a 38] περὶ δὲ ἐκείνης τῆς ποιητικῆς 30
εἴπομεν ἐν τῇ Περὶ τῆς ποιητικῆς πραγματείᾳ.

2. Καὶ ἔστω ἐκεῖνα τὰ περὶ τῆς ποιητικῆς λέξεως τεθεωρημένα
καὶ ἐγνωσμένα ἀπὸ τῆς Περὶ ποιητικῆς πραγματείας. [b 1] ἀρετὴ δὲ
λέξεώς ἐστι τὸ εἶναι ταύτην σαφῆ· καὶ γὰρ ὁ λόγος σημεῖόν τί ἐστιν
25 ἤτοι σημαντικόν ἐστι πράγματος· ὥστε ἂν ὁ λόγος ἀσαφὴς ὢν οὐ δηλοῖ
καὶ οὐ σημαίνει τι, λοιπὸν οὐ ποιεῖ τὸ ἔργον αὐτοῦ ἤτοι τὸ σημαίνειν.
[b 3] καὶ οὔτε ταπεινὴ ὀφείλει εἶναι ἡ λέξις ἀλλὰ πρέπουσα καὶ κατάλ- 35
ληλος τῷ ὑποκειμένῳ πράγματι. ταπεινή ἐστι λέξις ἡ κοινὴ καὶ ᾗ
χρῶνται οἱ τυχόντες· ὑπὲρ δὲ τὸ ἀξίωμά ἐστιν ἡ ἀκατάλληλος τῷ
30 πράγματι· οἷον εἰ περὶ Θερσίτου ἐστὶν ὁ λόγος, οὐκ ὀφείλω εἰπεῖν 'ὁ πολύ-
μητις Θερσίτης'· τὸ γὰρ πολύμητις ἀκατάλληλόν ἐστι τῷ Θερσίτῃ. ἀλλὰ
πρέπουσα ὀφείλει εἶναι τῷ πεζῷ λόγῳ. [b 4] ἡ γὰρ ποιητικὴ ἴσως
οὐ ταπεινή. εἶπε δὲ τὸ ἴσως διὰ τὸ εἶναι καί τινας λέξεις ποιητικὰς 40
ταπεινάς. ἀλλ' οὐ πρέπουσα τῷ λόγῳ τῷ πεζῷ. κύρια ὀνόματα
35 λέγει τὰς κυριολεξίας. [b 8] τὸ γὰρ ἐξαλλάξαι ἤτοι ἡ ἐναλλαγὴ τῶν
ὀνομάτων καὶ τῶν ῥημάτων ποιεῖ φαίνεσθαι τὴν λέξιν σεμνήν· οἷον ἐν

---

1 λόγου τοῦ πεζοῦ V: πεζοῦ λόγου n 2 ἡ om. n δὲ (post εἰ) om. n 5 ἐστιν n
9 εἰσὶν n 11 ἐπεὶ δὲ V: ἐπειδὴ n 13 fort. οἷς ⟨οἱ⟩ 14 οἱ V: οἳ n 15 ποιοῦν-
ται n ἐστιν n 18 ἢ V: ἤτοι n 21 πραγματείας n ἐν τῇ Περὶ τῆς ποιητικῆς
πραγματείᾳ] c. 20—22 22 ἔστω οὖν ἐκεῖνα Arist. 24 τί ἐστι n 29 καὶ post
χρῶνται add. n: fuit fortasse etiam in V (cognosci nequit, quia initium versus periit)
ἀκατάλληλός n 32 ὀφείλει n: ὀφείλεφει V 33 τινες n 35 ἐξαλλάξαι Vn:
ἐξαλαπάξαι Arist. (ἐξαπαλάξαι Victorii cod. p) 36 καὶ τῶν ῥημάτων om. n

οἷς λέγω τῷ ῥητορικῷ λόγῳ τῷ πεζῷ λέξεις πρεπούσας, ἐναλλάξω καὶ f. 51ᵛ
χρήσομαι ἐν τῷ μεταξὺ καὶ ποιητικῇ λέξει, ἡ ποιητικὴ λέξις παρεμπεσοῦσα
μεταξὺ ἐπὶ τοῦ πεζοῦ λόγου φαίνεται σεμνή. [b 9] ὅπερ γὰρ συμβαίνει f. 52ʳ
περὶ τοὺς ξένους καὶ περὶ τοὺς πολίτας (τὸν μὲν γὰρ πολίτην καὶ ὁμό-
5 φυλον ὁρῶντες παρατρέχομεν ὡς συνήθη, ἡνίκα δὲ ἴδωμεν ξένον τινὰ
ἐλθόντα εἰς τὴν ἡμετέραν πόλιν, οἷον Πέρσην ἢ Σκύθην, καὶ ταῦτα εἰ
μήτε ἦλθε Σκύθης εἰς τὴν πόλιν μήτε ἀλλαχοῦ εἴδομεν, εὐθὺς ξενιζόμεθα
ἐπὶ τῷ θεάματι καὶ πάντες συναθροιζόμεθα εἰς τὴν τοῦ Σκύθου θέαν), 5
τὸ αὐτὸ πάσχουσι καὶ περὶ τὴν λέξιν· εἰ μὲν ὁ λογογραφῶν χρᾶται
10 λέξεσι ῥητορικαῖς, οἱ ἀκροαταὶ παρατρέχουσιν αὐτὰς ὡς συνήθεις, εἰ δὲ
μεταξὺ χρήσεται καὶ λέξει ποιητικῇ, εὐθὺς οἱ ἀκροαταὶ ταύτην ξενίζονται
ὡς ξενικὴν καὶ παράξενον καὶ θαυμάζουσι. [b 10] διὸ δεῖ τοὺς λογο-
γραφοῦντας ποιεῖν τὴν διάλεκτον ξένην ἤτοι παράξενον διὰ τοῦ χρᾶσθαι
ποιητικαῖς λέξεσιν· οἱ γὰρ ἄνθρωποι ἀεὶ εἰώθασι θαυμάζειν τὰ ἀπόντα, 10
15 ἤτοι ἃ οὐκ εἰώθασιν ἀεὶ ἢ ὡς ἐπὶ τὸ πολὺ βλέπειν, καὶ οἱ ἀκροαταὶ θαυ-
μάζουσιν ἐκείνας τῶν λέξεων, ἃς οὐκ εἰώθασιν ἀεὶ ἢ ὡς ἐπὶ τὸ πολὺ
ἀκούειν· καὶ διὰ τοῦτο, ἡνίκα παρεμπέσῃ τις λέξις ποιητική, εὐθὺς θαυ-
μάζεται παρ' αὐτῶν ὡς ἀσυνήθης. διὸ καὶ ὁ Ἑρμογένης παρακελεύεται
χρᾶσθαι καὶ ἐν τῷ μεταξὺ τοῦ λόγου στίχῳ ἡρωικῷ, πλὴν καὶ παραφθεί-
20 ρειν αὐτόν, ἵνα μὴ ᾖ πάντῃ ἔμμετρος, ἀλλὰ καὶ τελευτᾶν εἰς πεζόν.
[b 12] ἐπὶ μὲν τῶν μέτρων ἤτοι τῶν ἐμμέτρων λόγων ἤτοι τῶν ἡρωι- 15
κῶν στίχων πολλὰ δύναται τοῦτο ἤτοι τὸ ποιητικαῖς χρᾶσθαι λέξεσι καὶ
ἁρμόττει τοῦτο ἤτοι ἡ τῶν ποιητικῶν λέξεων χρῆσις ἐκεῖ ἤτοι ⟨περὶ⟩
τοὺς ἡρωικοὺς στίχους· τὰ γὰρ πράγματα, περὶ ἃ ἡ ποίησις καταγίνεται,
25 καὶ τὰ πρόσωπα, περὶ οὓς ἤτοι περὶ ἃ ὁ ποιητικὸς λόγος καταγίνεται,
κατὰ πολὺ διαφέρουσι τῶν προσώπων καὶ τῶν πραγμάτων, περὶ ἃ ἡ ῥητο-
ρικὴ καὶ ὁ ῥήτωρ καταγίνεται· ἐκεῖ μὲν γὰρ ἐπὶ τῆς ποιήσεως οἱ ἀκροαταὶ τῶν 20
ποιητικῶν λόγων σοφοί. ἐνταῦθα δὲ ἐπὶ τῶν ῥητορικῶν λόγων οἱ ἀκροαταὶ
πολλοὶ ἤτοι χυδαῖοι καὶ διὰ τοῦτο δεῖ τοὺς ῥήτορας χρᾶσθαι λέξεσι συνήθεσι·
30 καὶ ἐπὶ μὲν τῆς ῥητορικῆς τὰ πράγματα πολιτικά, ἐπὶ δὲ τῶν ποιητικῶν λόγων
τὰ πράγματά εἰσιν ἱστορικὰ καὶ πεπλασμένα· ὥστε κατὰ πολὺ ἐξέστηκεν
ἤτοι διαφέρει. [b 14] ἐν δὲ τοῖς ψιλοῖς λόγοις ἤτοι τοῖς ῥητορικοῖς
χρώμεθα κατὰ πολὺ ἐλάττοσι πράγμασιν· τὰ γὰρ πολιτικὰ ἐλάττω εἰσὶ τῶν 25
ἱστορικῶν· αἱ γὰρ ἱστορίαι πράγματα μεγάλα ἀφηγοῦνται. [b 15] ἡ γὰρ
35 ὑπόθεσις, ᾗ χρᾶται ὁ ῥήτωρ, ἐλάττων ἐστίν· ἡ γὰρ πολιτικὴ ὑπόθεσις
ἐλάττων ἐστὶ τῆς ἱστορικῆς· ἐπεὶ καὶ ἐνταῦθα ἤτοι ἐπὶ τῆς ποιήσεως,

---

1 ἐναλλάξω V: οὐκ ἀλλάξω n: fort. ⟨εἰ⟩ ἐναλλάξω 3 ὅπερ V Arist. CYᵇ: ὥσπερ n Arist. cet. 6 οἷον om. n 7 μήτε (ante ἦλθε) V: μὴ n 9 περὶ Vn: πρὸς Arist. 12 θαυμάζουσιν n 13 ξένην τὴν διάλεκτον Arist. 17. 18 θαυμάζονται n 18 ἀσυνήθεις n Ἑρμογένης] cf. π. μεθ. δειν. 30 p. 450,21 Sp. 21 μὲν οὖν Arist. 23 περὶ add. n: om. V (fort. ἤτοι τοῖς ἡρωικοῖς στίχοις) 24 πλέον γὰρ ἐξέστηκε περὶ ἃ καὶ περὶ οὓς ὁ λόγος ἤτοι ante τὰ add. n, cf. Arist. 25 περὶ οὓς ἤτοι om. n 26 διαφέρουσιν n 31 ἐξέστηκε n 35 ἐστί n

εἰ παρεισάγεται παρὰ τοῦ ποιητοῦ δοῦλος καλλιεπείᾳ χρώμενος καὶ ῥητο- f. 52r
ρικῶς δημηγορῶν ἢ λίαν νέος οἷον πέντε χρόνων ὢν εἰ παρεισάγεται δημη-
γορῶν ἀνθηραῖς λέξεσι χρώμενος, ἀπρεπές ἐστι· δεῖ γὰρ τὸν δοῦλον 30
παρεισάγειν βαρβαρικὰ λέγοντα καὶ ἀνάλογα ἑαυτῷ καὶ τὸν λίαν νέον
5 παρεισάγειν τραυλίζοντα καὶ παιδικὰ λέγοντα καὶ μὴ κομψά· τοῦτο γάρ ἐστι
τὸ ἄριστον ὑποκριτικόν. [b 16] ἢ περὶ λίαν μικρῶν, ἤτοι ἐάν εἰσι τὰ
πράγματα μικρά, οὐ δεῖ μεγαληγορεῖν καὶ κομψεύεσθαι ἐν τούτοις ἀλλὰ
ταπεινῶς πάλιν ἐπαγγέλλειν αὐτά. ἀλλ' ἔστιν ἐν τούτοις πρέπον τὸ
συστέλλειν καὶ ταπεινοῦν τὸν λόγον, εἰ καὶ τὰ πράγματά εἰσι ταπεινά, ἢ
10 αὐξάνειν καὶ μεγεθύνειν, εἰ καὶ τὰ πράγματά εἰσι μεγάλα καὶ ἔνδοξα, καὶ 35
ὅλως ἀπομιμεῖσθαι τὰ πράγματα· εἰ γὰρ ταπεινῶν ὄντων τῶν ὑποκειμένων
πραγμάτων ἐπιχειρήσεις αὔξειν αὐτά, περίεργος ἂν δόξῃς καὶ ἐπιβουλεύων
καὶ σπεύδων ἀπατῆσαι τοὺς ἀκροατάς. [b 18] διὸ δεῖ τοὺς ῥήτορας
ποιοῦντας ἤτοι ποιητικῶς λέγοντας λανθάνειν τοὺς ἀκροατάς, ὅτι ποιη-
15 τικῷ στίχῳ ἐχρήσαντο, διὰ τὸ καταφθείρειν τὸν ποιητικὸν στίχον, ὡς
παρακαταλήγειν εἰς λόγον πεζόν. καὶ δεῖ τὸν ῥήτορα μὴ δοκεῖν λέγειν 40
πεπλασμένως· πεπλασμένως δὲ δοκεῖ λέγειν καὶ ἀπατητικῶς καὶ ἐπιβου-
λευτικῶς, ὅταν μικρῶν ὄντων τῶν πραγμάτων ἐπιχειρήσῃς αὔξειν ταῦτα
καὶ δεικνύειν μεγάλα ταῦτα καὶ ἐν τούτοις κομψεύεσθαι. ἀλλὰ πεφυ-
20 κότως, ἤτοι ἀλλὰ δεῖ ἐξαγγέλλειν αὐτά, ὡς πεφύκασιν ἤτοι ὡς ἔχουσι
φύσεως. [b 19] τοῦτο γὰρ τὸ λέγειν αὐτὰ τὰ | πράγματα, ὡς ἔχουσι f. 52v
φύσεως, πιθανόν ἐστιν, ἐκεῖνο δὲ ἤτοι τὸ μὴ ἐξαγγέλλειν τὰ πράγματα,
ὡς ἔχουσι φύσεως, τοὐναντίον ἤτοι οὐκ ἔστι πιθανόν. [b 20] διαβάλ-
λονται γάρ, ἤτοι διαβάλλουσι γὰρ αὐτοὺς τοὺς μὴ λέγοντας καὶ ἀπαγγέλ-
25 λοντας τὰ πράγματα, ὡς πεφύκασιν, ἤτοι ὡς ἔχουσι φύσεως, ὡς ἐπιβου-
λεύοντας ἤτοι ἐπιβουλευομένους τοὺς ἀκροατάς· καὶ παρὰ τῶν ἀκροατῶν 5
ὑφορῶνται ὡς ἐπίβουλοι, ὥσπερ καὶ τοὺς οἴνους τοὺς μεμιγμένους οἱ
προσφερόμενοι αὐτοὺς διαβάλλουσιν ὡς συναναμιχθέντας καὶ συναναφυρ-
θέντας ὕδατι. [b 22] ἡ Θεοδώρου φωνὴ ἦν φυσικὴ φαινομένη πρὸς
30 πᾶσαν ὑπόκρισιν, καθ' ἣν τὰ πράγματα ἐξήγγελλε καὶ ἄλλο ἢ ἄλλο ἐμι-
μεῖτο πρόσωπον, αἱ δὲ φωναὶ τῶν ἄλλων ὑποκριτῶν, καθ' ἣν ἀπήγγελλον
τὰ πράγματα, ἀλλότριαι ἦσαν ὁρώμεναι καὶ οὐκ οἰκεῖαι αὐτῶν τῶν, οὓς
ἐμιμοῦντο. [b 24] κλέπτεται δὲ εὖ ἡ ἀλλοτρία λέξις, ὡς μηδὲ νομί- 10
ζεσθαι ἀλλοτρία ἀλλὰ φυσική, ἐάν τις ἐκλέγων καὶ λαβὼν λέξεις ἀπὸ
35 διαλέκτου εἰωθυίας ἤτοι συνήθους ἐγγιζούσης τῇ οἰκείᾳ αὐτοῦ διαλέκτῳ

---

1. 2 ῥητορι V: τῇ ῥητορικῇ n 2 δημηγορῶν post δοῦλος (1) ponit n νέος n Arist.: νέοι V ὢν om. n εἰ V: ἂν n 5 ἐστιν n 6 λίαν Vn Arist. AC: om. Arist. cet. 8 πάλιν om. n 12 ἐπιχειρήσῃς n 14 λανθάνειν ποιοῦντας Arist. (ποιοῦντος A) ἐχρήσατο n 17 fort. δοκεῖς 18 ἐπιχειρήσῃ n 22 ἐκεῖνο Vn Arist. AC: ἐκεῖ Arist. cet. 25 ἔχουσιν n 25. 26 ἐπιβουλεύοντας Vn Arist. CTr.: ἐπιβουλεύοντα Arist. cet. 26 παρὰ scripsi: περὶ Vn 28 fort. προσφερόμενοι αὐτοῖς 30 ἐξήγγειλε n 31 ἄλλων superscr. V ἦν n: evanuit V 34. 35 ἐκ τῆς εἰωθυίας διαλέκτου ἐκλέγων Arist.

ἤτοι εἰ λαβὼν ἀπὸ τῆς Ἀττικῆς διαλέκτου ὁ Ἀθηναῖος καὶ μὴ ἀπὸ τῆς f. 52ᵛ
Δωρίδος ἢ Ἰωνικῆς συντιθῇ αὐτὰς καὶ ποιεῖ λόγον. δεῖ γοῦν, ὡς πέφυκεν
ἕκαστος λέγειν καὶ ὡς εἴωθεν ἀπαγγέλλειν τὰ πράγματα, οὕτω σπουδάζειν
ἀπαγγέλλειν τὰ πράγματα· εἰ γὰρ οὐχ οὕτως ποιεῖ ἀλλὰ ποιητικαῖς χρᾶται
5 λέξεσιν, οὐ δοκεῖ ἡ φράσις αὐτοῦ οἰκεία ἀλλ' ἀλλοτρία καὶ ἀπωθεῖται ὡς 15
πρὸς ἀπάτην ἀφορῶν. [b 27] εἴδη δέ εἰσι τῶν ὀνομάτων τοσαῦτα,
ὅσα ἐν τῷ Περὶ ποιήσεως λόγῳ παραδεδώκαμεν· αἱ μὲν γάρ εἰσι γλῶτται
Δωρικαί, αἱ δὲ Ἰωνικαί, αἱ δὲ Ἀττικαί. ταύταις ταῖς γλώτταις ἤγουν
ταῖς διαλέκτοις καὶ τοῖς διπλοῖς ὀνόμασιν ἤτοι τοῖς συνθέτοις (σύνθετα
10 δὲ ὀνόματα, ὡς τὸ Καλλίστρατος, Καλλίνικος) καὶ τοῖς πεποιημένοις
(πεποιημένα δὲ ὀνόματά εἰσι τὰ ἐκ τῶν ἤχων καὶ ψόφων τῶν ἀψύχων 20
καὶ ἀφώνων παρωνομασμένα, ὡς τὸ δοῦπος, φλοῖσβος, ῥοῖζος)· τὸ δὲ διὰ
τί ὀλιγάκις χρηστέον τοῖς τοιούτοις ὀνόμασιν ὕστερον ἐροῦμεν· [b 31]
τὰ γὰρ τοιαῦτα ὀνόματα ἐξαλλάττει ἤτοι ἐξαλλαγὴν ποιοῦσι τοῦ πρέ-
15 ποντος ἐπὶ τὸ μεῖζον. πρέπον δέ ἐστι τὸ τὰ μικρὰ πράγματα ἐξαγγέλλειν
δι' εὐτελῶν καὶ συνήθων λέξεων· εἰ δέ τις ἐπὶ τῇ τῶν μικρῶν πραγμάτων
ἐπαγγελίᾳ χρήσεται Ἀττικῆς ὀνόμασι καὶ Δωρικῆς διαλέκτου ἢ καὶ πεποιη- 25
μένοις, ἐξαλλάττει τὸ πρᾶγμα ἐπὶ τὸ μεῖζον ἤτοι μεγεθύνει τὸ πρᾶγμα
καὶ ἀξίωμα τούτῳ ἐπιτίθησι· καὶ μέγα τι δοκεῖ καὶ ἡρωικόν, κἂν τῇ
20 αὐτῶν φύσει εὐτελὲς καὶ μικρόν ἐστι. κύρια ὀνόματα λέγει τὰ κατὰ κυριο-
λεξίαν λαμβανόμενα· ἐκ παραλλήλου δὲ ἔλαβε τὸ κύριον καὶ τὸ οἰκεῖον ὡς
ταὐτὰ ὄντα. [b 33] ψιλοὺς δὲ λόγους νοητέον τοὺς πεζούς. σημεῖον δὲ
τοῦ δεῖν ἐν τοῖς πεζοῖς λόγοις κυρίοις ὀνόμασι χρᾶσθαι, διότι πάντες οἱ
παλαιοὶ ῥήτορες τούτοις χρῶνται· πάντες γὰρ διαλέγονται ἤτοι ἀλλή- 30
25 λοις συνομιλοῦσιν ἐν μεταφορικοῖς ὀνόμασι καὶ οὐ κυρίοις· ὥστε δῆλον,
ὅτι, ἐὰν ποιῇ τις εὖ, ἤτοι ἐὰν ταῖς ποιητικαῖς λέξεσι καλῶς χρῆται
καὶ ὡς ἡ τέχνη ἀπαιτῇ, ἔσται καὶ ἡ λέξις ἡ ποιητικὴ καὶ ἡ μεταφορικὴ
καλῶς ληφθεῖσα τὸ ξενικὸν ἔχουσα, τουτέστι τὸ παράδοξον καὶ τὸ θαυ-
μαστόν. [b 36] ἀλλὰ καὶ ἐνδέχεται τὸν ῥήτορα λανθάνειν τοὺς ἀκροα-
30 τάς, ὡς τὸν Νέστορα καὶ δεῖνα καὶ δεῖνα, ὡς λέξεσι ποιητικαῖς καὶ μετα- 35
φορικαῖς ἐχρήσατο. καὶ σαφηνιεῖ ἤτοι ἐνδέχεται εἶναι καὶ τὸν λόγον
σαφῆ· τοῦ γὰρ ῥητορικοῦ λόγου ἡ σαφήνεια ἀρετή. [b 39] συνωνυ-
μίας ἐνταῦθα λέγει τὰς πολυωνυμίας, ὡς τὸ ἄορ, τὸ ξίφος, τὸ φάσγανον,

---

2 ποιῇ n γοῦν V: οὖν n 3 ὡς om. n οὕτω — πράγματα (4) om. n
4 χρῆται n 6 εἰσιν n 7 Περὶ ποιήσεως] 21 p. 1457ᵃ31 sq. 8 ταύταις
ταῖς Vn: τούτων Arist. 10 εἰσιν ante ὡς add. n καὶ πεποιημένοις ὀλιγάκις καὶ
ὀλιγαχοῦ χρηστέον Arist. 11 εἰσιν n 14 ποιοῦσιν n 17 ἀττικοῖς ὀνόμασιν
καὶ δωρικῇ διαλέκτῳ n 17. 18 πεποιη V: πεποιημένῃ n 19 τούτῳ n: τοῦτο V
καὶ (ante μέγα) n: evanuit V 20 αὐτοῦ n 20. 21 κυριολογίαν n 23 ὀνό-
μασιν χρῆσθαι n 24 τούτοις μόνοις πάντες χρῶνται Arist. μεταφοραῖς διαλέ-
γονται Arist. 25 ὀνόμασιν n 26 ὅτι om. n ὅτι ἂν εὖ ποιῇ τις Arist.
27 ἀπαιτεῖ n 30 ὡς (ante λέξεσι) Vn: fort. ὅς 32 ἡ σαφήνια ἡ ἀρετή n
33. p. 167,1 λέγω δὲ κύριά τε καὶ συνώνυμα οἷον τὸ πορεύεσθαι Arist.

τὸ πορεύεσθαι καὶ τὸ βαδίζειν κύριά εἰσιν ἤτοι κυριολεξίαι εἰσὶ καὶ f. 52ᵛ πολυώνυμα. [1405a4] καὶ ὅτι αἱ μεταφοραὶ μεγάλα δύνανται καὶ ἐν τῇ ποιήσει καὶ ἐν τοῖς λόγοις τοῖς ῥητορικοῖς, εἴρηται ἐν τῇ Περὶ ποιητικῆς πραγματείᾳ, καθάπερ ἐλέγομεν. [a 6] τοσοῦτον δὲ δεῖ 40
5 φιλοπονεῖσθαι περὶ αὐτῶν ἤτοι τῶν μεταφορικῶν λέξεων ἐν τῷ λόγῳ τῷ πεζῷ, ὅσον ὁ λόγος ὁ πεζός ἐστιν ἐκ βοηθημάτων καὶ θεραπείας ἐλάττονος καὶ μικρᾶς παρὰ τὰ μέτρα ἤτοι τὰ ἔμμετρα καὶ ἡρωικά· ἐν μὲν γὰρ τῷ πεζῷ λόγῳ, κἂν μεταφορικαῖς χρησώμεθα, ἀλλ' οὖν μικρᾶς σαφη- | νείας τούτου δεόμεθα, ἐν δὲ τοῖς ἐμμέτροις στίχοις, εἰ μεταφορικαῖς f. 53ʳ
10 χρησόμεθα, πλείονος καὶ τῆς σαφηνείας χρήζομεν τούτου· οἷον εἰ σπέρμα πυρὸς εἴπομεν, ἀρκεῖ εἰπεῖν εἰς σαφήνειαν τούτου, ὅτι σπέρμα λόγον ἐπέχει ἀρχῆς. [a 8] ἔχει δὲ ἡ μεταφορικὴ λέξις καὶ τὸ σαφές· οὐ γάρ ἐστιν ἀσαφὴς πάντῃ· ἔχει δὲ καὶ τὸ ξενικὸν ἤτοι τὸ παράξενον ὡς ἐξ ἄλλου 5
15 μετακομισθεῖσα. καὶ οὐκ ἔστι λαβεῖν αὐτὴν παρ' ἄλλου ἤτοι οὐ δέεταί τινος τοῦ ἑρμηνεύοντος. ἔσται δὲ τοῦτο ἤτοι τὸ ἁρμοττούσας λέγειν τὰς μεταφοράς, εἴ τις τηρήσει τὴν ἀναλογίαν ἀρίστην, οἷον σπέρμα λέγεται πυρὸς κατὰ ἀναλογίαν τοῦ σπέρματος τοῦ ἀνθρώπου· ὡς γὰρ τὸ σπέρμα τοῦ ἀνθρώπου ἀρχή ἐστι τοῦ βρέφους, οὕτω καὶ ἡ ἀρχὴ τοῦ πυρὸς λέγεται σπέρμα· καὶ ὡς τὸ σπέρμα τοῦ ἀνθρώπου μικρὸν ὂν μεῖζόν τι ἐξαίφνης 10
20 δημιουργεῖ, οὕτω καὶ ἡ ἀρχὴ τοῦ πυρὸς σπέρμα λέγεται, διότι μικρὰ οὖσα κατὰ τὴν ἀρχὴν ἐξαίφνης πυρκαϊὰν μεγάλην ἐξανάπτει ὅλης δραξάμενον. [a 11] εἰ δὲ μή, ἤτοι εἰ δὲ οὐ φυλάξει τὴν ἀναλογίαν ἀρίστην, ἀπρεπὴς φανεῖται μᾶλλον ἡ ἀναφορὰ καὶ μὴ ἁρμόττουσα, διότι ἐν τῇ ἀναλογίᾳ παρ' ἄλληλα κεῖνται τὰ ἐναντία καὶ ἐν παραθέσει θεωροῦνται, οἷον
25 λέγεις 'ὡς τὸ σπέρμα τοῦ ἀνθρώπου βραχὺ ὂν μεῖζόν τι ποιεῖ, οὕτω καὶ 15 τὸ σπέρμα τοῦ πυρός'· εἰσὶ δὲ ἐναντία, διότι τὸ σπέρμα τοῦ ἀνθρώπου ἐστὶν ἀρχὴ ἐμψύχου, τὸ δὲ σπέρμα τοῦ πυρὸς ἀρχὴ ἀψύχου, τὸ δὲ ἔμψυχον καὶ ἄψυχον ἐναντία, καὶ ἐπεί εἰσιν ἐναντία, διὰ τοῦτο παρ' ἄλληλα κειμένων καὶ ἐν παραθέσει, εἰ μὴ σῴζει ἡ ἀναλογία, ἐναργεστάτη φαίνεται·
30 ἡ κακία τῆς παραθέσεως. [a 13] φοινικές ἐστι τὸ πορφυροῦν ἱμάτιον· ἄλλη ἐστὶν ἐσθὴς ἡ τῷ νέῳ ἁρμόζουσα (ἔστι δὲ ἡ πορφύρα) καὶ ἄλλη

---

1 καὶ Vn Arist. A: τε καὶ Arist. vulg. εἰσὶν καὶ n 2 μεγάλαι V 3 τοῖς ῥητορικοῖς V: τῆς ῥητορικῆς n 4 τοσοῦτον Vn Arist. vulg.: οὕτω Arist. A: *tanto* Arist. Tr. 4. 5 δ' ἐν λόγῳ (vel λόγοις) δεῖ μᾶλλον φιλοπονεῖσθαι Arist. 5 αὐτῶν n Arist.: αὐτοῦ V 6 ὅσον Vn Arist. vulg.: ὅσῳ Arist. A: *quanto* Arist. Tr. 8 et 9 μεταφορι V: μεταφορικῶς n 10 χρήσομεν n 10. 11 σπέρμα πυρός] Hom. ε 490 11 fort. εἴπωμεν 14 λαβεῖν οὐκ ἔστιν Arist. 15 ἔσται V Arist.: ἔστι n 16 ἐκ τοῦ ἀναλόγου ἤγουν post μεταφοράς add. n et in marg. man. post. V; cf. Arist. τῇ ῥήσει n φυλάξει post ἀρίστην add. n et in marg. man. post. V 19 σπέρμα (ante καὶ) om. n 22 ἀπρεπὲς Arist. 27 ἐμψύχου cod. Ambros. B 3 inf.: ἔμψυχος Vn ἀψύχου V manu priore: ἄψυχος n et man. post. corr. V 28 καὶ (ante ἐπεί) om. n 29 τὴν ἀναλογίαν ἐναργεστάτην n 30 φοινικές Vn Arist. QZᵇ: φοίνικες Arist. ADE: φοινικὶς Arist. BCTr.Yᵇ ex corr. 31 νέῳ Arist. vulg.: νέοι Arist. A

ἢ τῷ γέροντι. [a 11] τὸ σπέρμα τοῦ ἀνθρώπου καὶ τὸ σπέρμα τοῦ f. 53r
πυρὸς ὑπὸ τὸ αὐτὸ γένος ἀνάγονται ἤτοι τὴν ἀρχήν. [a 14] καὶ εἰ βούλει 21
κοσμεῖν τὸν λόγον, ἀεὶ μετακόμιζε τὰς μεταφορὰς ἀπὸ τοῦ βελτίονος
καὶ τοῦ τιμιωτέρου· τιμιώτερον δέ ἐστι τὸ ἔμψυχον τοῦ ἀψύχου, καὶ λοιπὸν
5 τὸ ἀπὸ τοῦ ἐμψύχου μεταφέρειν ἐπὶ τὰ ἄψυχα τὰ ὀνόματα βέλτιον. ὥστε
εἰ μὲν ἐπαινεῖς, μετακόμιζε τὰ ὀνόματα ἀπὸ τῶν ἐμψύχων ἐπὶ τὰ ἄψυχα
καὶ ὅλως ἀπὸ τοῦ βελτίονος, εἰ δὲ βούλει ψέγειν, ἀπὸ τῶν χειρόνων 25
μετακόμιζε τὰς μεταφορὰς ἐπὶ τὸ βέλτιον, εἴτε ἔμψυχόν ἐστι τὸ χεῖρον
εἴτε ἄψυχον· οἷον ὡς οἱ στρουθοὶ εἰς τὰ δίκτυα ἐμπεσόντες πειρῶνται
10 διαφυγεῖν, οὕτως καὶ ὁ δειλὸς ἐμπεσὼν πρὸς τὸν πόλεμον σπουδάζει διαδρᾶσαι· τιμιώτερον δὲ ὁ ἄνθρωπος τοῦ στρουθοῦ ὡς λογικόν. [a 17]
λέγω δὲ οἷον ἐπὶ τὸ ἐναντίον, ἤτοι τὸ πτωχεύειν καὶ τὸ εὔχεσθαι,
εἰσὶν ἐν τῷ αὐτῷ γένει· ὑπὸ γὰρ τὸ αἰτεῖν ἄμφω ἀνάγονται· καὶ ὁ
πτωχὸς γὰρ καὶ ὁ εὐχόμενος αἰτοῦσιν· ὥστε εἰ μὲν εἴπω τὸν πτωχεύοντα 30
15 εὐχόμενον ἤτοι αἰτοῦντα, ἀπὸ τοῦ βελτίονος ἐποίησα τὴν μεταφοράν· τὸ
γὰρ εὔχεσθαι τιμιώτερον τοῦ πτωχεύειν· εἰ δὲ εἴπω τὸν εὐχόμενον πτωχεύοντα ἤτοι αἰτοῦντα, ἀπὸ τοῦ χείρονος ἐποίησα τὴν μεταφοράν. [a 19]
διὰ τοῦτο ἔστι ποιεῖν τὸ εἰρημένον, ἤτοι διότι ὑπὸ τὸ αὐτὸ γένος ἀνάγονται τὸ αἰτεῖν καὶ ὁ πτωχὸς καὶ ὁ εὐχόμενος, διὰ τοῦτο καὶ τὸν πτωχὸν
20 λέγω εὐχόμενον καὶ τὸν εὐχόμενον πτωχόν. [a 20] οἱ μὲν λέγουσι μιτρα- 35
γύρτην τὸν τὰς ζώνας συνάγοντα, οἱ δὲ ἀνθρώπους τινὰς εἶναι λέγουσιν ἔχοντας τὰς ἑαυτῶν κεφαλὰς δεδεμένας ὑπὸ μίτρας ὡς κεφαλοδεσμίων καὶ διαδέτων καὶ ἄνω καὶ κάτω τῆς πανηγύρεως διαστρεφομένους. δᾳδοῦχοι ἐλέγοντο οἱ τὰς δᾷδας βαστάζοντες, ὅτε ἐτελοῦντο τὰ τῆς Δήμητρος
25 μυστήρια. καὶ τὸ μιτραγυρτεῖν καὶ τὸ δᾳδουχεῖν εἰσι περὶ θεὸν ἤτοι πρὸς ὑπηρεσίαν τῆς θεοῦ, τὸ μέν, τὸ δᾳδουχεῖν, τίμιον, τὸ δέ, τὸ μιτραγυρτεῖν, ἄτιμον. [a 23] τὸ τεχνίτης τιμιώτερόν ἐστι τοῦ διονυσοκόλακος· ἐλέγοντο δὲ διονυσοκόλακες οἱ τὸν Διόνυσον κολακεύοντες καὶ οἱ 40
περὶ αὐτὸν ἀναστρεφόμενοι. καὶ οἱ μὲν ἐκάλουν αὐτοὺς τοὺς περὶ τὸν
30 Διόνυσον διονυσοκόλακας — ἡ μεταφορὰ ἀπὸ τοῦ χείρονος —, οἱ δὲ τεχνίτας ἑαυτοὺς ἐκάλουν ὡς ἐπιστημονάρχας — ἀπὸ τοῦ | βελ- f. 53v
τίονος ἡ μεταφορά —. ἡ μὲν ἤτοι ἡ μεταφορὰ ἡ διονυσοκόλακας αὐτοὺς

---

1 γέροντι, ροντι evanuit, V 1. 2 τὸ σπέρμα τοῦ πυρὸς καὶ τὸ σπέρμα τοῦ ἀνθρώπου n
2 ὑπὸ, ὑ ex εἰ corr., V 3 τοῦ βελτίονος Vn Arist. ATr.: τῶν βελτιόνων Arist. cet.
4 ἐστιν n τοῦ ἀψύχου—ἐμψύχου (5) om. n 5 βέλτιον om. n 9 editionis alterum exemplar στρουθιοὶ, alterum στρουθοὶ praebet δείκτια n 10 οὕτω n
11 στρουθίου n 12 ἐπὶ Vn: ἐπεὶ Arist. τὸ ἐναντίον V: τὰ ἐναντία n Arist.
15 μεταφοράν scripsi: διαφοράν Vn 17 μεταφοράν V: διαφοράν n 18 καὶ post γένος add. n 19 ὁ (ante εὐχόμενος) om. n 20. 21 μιτραγύρτην ante οἱ μὲν add. n ex Aristotele μιτραγύρτην aut μητραγύρτην Aristotelis codd. 22 δεδεμένας om. n
23 διαδετῶν Vn 24 ἐλέγοντο scripsi: ἐγένοντο Vn 25 καὶ (post μυστήρια)—θεοῦ (26) om. n 26 τὸ μὲν τὸ V: καὶ τὸ μὲν n 27 fort. τεχνίτας ex Aristotele ἐστὶν n
27. 28 διονυσοκόλακας n 29 οἱ μὲν Vn Arist. vulg.: ὁ μὲν Arist. A τοὺς om. n
32 ἡ (ante μὲν) n: ἡ perisse videtur initio versus V διονυσιοκόλακας n

καλοῦσά ἐστι ῥυπαινόντων ἤτοι διαβαλλόντων, ὑβριζόντων, ἡ δὲ ἤτοι f. 53v
ἡ μεταφορὰ ἡ καλοῦσα αὐτοὺς τεχνίτας ἐστὶ τοὐναντίον ἤτοι ἐπαινοῦσα.
καὶ οἱ λῃσταὶ καλοῦσιν ἑαυτοὺς ποριστὰς μεταφορικῶς ἀπὸ τοῦ κρείττονος ὡς προσπορίζοντας ἑαυτοῖς πολλά. [a 26] τὸ μὲν ἁμαρτάνειν 5
5 λέγεται ἐπὶ τοῦ ἀποτυγχάνειν, τὸ δὲ ἀδικῆσαι ἐπὶ τοῦ ἁρπάζειν. ὁ λέγων μεταφορικῶς τὸν ἀδικήσαντα ἁμαρτάνοντα ἀπὸ τοῦ κρείττονος ἐποίησε τὴν μεταφοράν, ὁ δὲ λέγων ⟨ἁμαρτάνοντα⟩ ἀδικήσαντα ἀπὸ τοῦ χείρονος. [a 28] καὶ τὸν κλέψαντα εἰ εἴπωμεν, ὅτι ἐπόρθησεν, ἐποίησε τὴν μεταφορὰν ἀπὸ τοῦ βελτίονος· τὸ γὰρ πορθεῖν μέγα ἐστί· λέγεται γὰρ ἐπὶ
10 τροπαίων καὶ κατασχέσει πόλεων· εἰ δὲ εἴπωμεν, ὅτι ἔλαβεν, ἀπὸ τοῦ 10
χείρονος ἐποίησε τὴν μεταφοράν· χεῖρον γὰρ τὸ λαβεῖν. [a 29] κώπης εἶπεν ἀνάσσειν τὸν ναύαρχον τὸν ἐπιστατοῦντα τῶν κωπηλατῶν καὶ καταναγκάζοντα αὐτοὺς κωπηλατεῖν, ἤτοι τὸν κόμητα, τὸν δέκαρχον· μεταφορά ἐστι καὶ αὕτη ἀπὸ τοῦ βελτίονος. καὶ τὸ 'ἀποβὰς εἰς Μυσίαν ἐτραυμα-
15 τίσθη πολεμίῳ βραχίονι'· τὸ ἀποβὰς μεταφορικὴ ἡ λέξις ἀπὸ τοῦ βελτίονος ληφθεῖσα· τὸ γὰρ ἀποβάς ἐπὶ στόλου λέγεται, οὗτος δὲ ἐξελάβετο αὐτὸ ἐπὶ ἑνὸς ἀνθρώπου. [a 30] τὸ γοῦν ἀνάσσειν ἐπὶ βασιλέως λέγεται καὶ ἔστιν ἀξίωμα μεῖζον ἢ κατὰ ἀξίαν ἤτοι τοῦ ἀξιώματος τοῦ δεκάρχου 15
καὶ ναυάρχου ἤτοι τοῦ ἁρμόττοντος τῷ ἐπιστατοῦντι τῶν κωπηλατῶν.
20 [a 31] οὐ κέκλεπται ἤτοι οὐκ ἔλαθεν ἡ μεταφορὰ αὕτη ἡ μετακομίσασα τὸ ἀνάσσειν ἀπὸ τοῦ βασιλέως ἐπὶ τὸν ναύαρχον, ὡς ἔστι ψυχρά. ἔστι δὲ καὶ ἐν ταῖς συλλαβαῖς ἤτοι ταῖς λέξεσιν ἁμαρτάνειν, εἰ οὐκ εἰσὶν αἱ συλλαβαὶ σημεῖα φωνῆς ἡδείας, εἴ γε συγκρούσεις συμφώνων ἔχουσι· τραχύνουσι γὰρ τὴν γλῶτταν ὡς μὴ δυναμένην ῥᾳδίως ἐκφωνεῖν αὐτάς.
25 [a 32] χαλκοῦν Διονύσιον λέγει τὴν Διονυσίου στήλην· οὗτος οὖν τοῖς 20
ἐλεγείοις τοῖς ἀναγεγραμμένοις ἐν τῇ στήλῃ αὐτοῦ τὴν ποίησιν προσαγορεύει καὶ καλεῖ κραυγὴν Καλλιόπης· ἄμφω γὰρ ἤτοι καὶ ἡ κραυγὴ καὶ ἡ ποίησις φωναί εἰσι· τὸ γοῦν κραυ ἐν τῇ ἐκφωνήσει τῇ κραυγῆς τραχύνει τὴν φωνὴν καὶ λυπεῖ τὸν ἐκφωνοῦντα διὰ τὴν τῶν συμφώνων
30 παρεμπλοκήν. ἀσήμους φωνὰς λέγει τὰς τραχείας τὰς συγκρούσεις συμ-

---

1 ἐστὶν n καὶ post διαβαλλόντων add. n 4 αὐτοῖς n 5 ἐπὶ τὸ ἁρπάζειν n 7 ἁμαρτάνοντα n: om. V 8 εἰ ante τὸν ponit n εἴπωμεν n: εἴπομεν V ἐποίησε V: ἐποιήσομεν n 9 ἐστίν n 10 εἴπωμεν V: εἴπῃ n 11 ὡς ὁ τέλεφος εὐριπίδου ante κώπης add. n, cf. Arist. κώπης κτλ.] Eurip. Teleph. fr. 705. F. T. G.² p. 583 N. 12 ναύαρχον V: ἄρχοντα n τὸν ἐπιστατοῦντα—κόμητα (13) om. n λ 15 πολεμίῳ Nauck: πολέμῳ Vn ἐστι ante ἡ add. n 16 ἐπὶ στό V: ἐπιστολὴ n 16 οὗτος—λέγεται (17) om. n 18 ἐστι n 19 καὶ ante τῶν add. n 20 κέκλοπται V 22 ἁμαρτάνειν Vn Arist. C: ἁμαρτία, γρ. ἁμαρτάνειν Arist. B: ἁμαρτία Arist. cet. 22. 23 εἰσὶν αἱ V: εἰσὶ n 23 σημεῖα V: om. n post ἡδείας omisso verbo σημεῖα repetitur εἰ οὐκ εἰσὶν αἱ συλλαβαὶ φωνῆς ἡδείας V ἔχουσιν n 25. 26 ἐν τοῖς ἐλεγείοις Arist. 27 κραυγὴν Καλλιόπης] Dionys. Chalc. fr. 7 Bergk. 28 εἰσιν n κραυ V: κραυγὴ n τῇ V: τῆς n

φώνων ἐχούσας. [a 35] ἔτι δὲ οὐ δεῖ ποιεῖν τὰς μεταφορὰς πόρρωθεν, f. 53ᵛ
ἀλλ' ἐκ τῶν συγγενῶν καὶ ὁμοειδῶν τὰ ἀνώνυμα ὠνομασμένως, 25
ἤτοι ὅταν. ἐφ' οἷς οὐ κεῖται ὄνομα, εὑρεθῇ κατάλληλον ὄνομα ἀπὸ ἑτέρου
πράγματος, ὅπερ (τοῦτο τὸ εὑρεθὲν ὄνομα κατάλληλον) ῥηθὲν εὐθὺς
5 δηλώσει, ὅτι συγγενές ἐστιν, ἤτοι ὅτι ἀπὸ συγγενοῦς καὶ ὁμοειδοῦς
ἐλήφθη. [b 1] εὐδοκιμοῦν αἴνιγμα λέγει τὸ ἄριστον. πυρίχαλκον λέγει
τὸ ὑέλιον ὡς ἐν πυρὶ χαλκευθέν· λέγει δὲ πυρίχαλκον τὴν συκίαν ἤγουν τὸ
βικίον, δι' οὗ ἡ ὀλκὴ τοῦ αἵματος γίνεται· ὅπερ (τοῦτο τὸ βικίον) προσ- 30
κολλᾶται τῷ συκιαζομένῳ ἀνδρί· οὐ δεῖ οὖν τὴν μεταφορὰν ⟨ποιεῖν⟩ ἀπὸ
10 τῶν πόρρω καὶ ἀνομοειδῶν, ὥσπερ ἐν τῷ αἰνίγματι τούτῳ· αἴνιγμα γάρ
ἐστι τὸ "ἄνδρ' εἶδον πυρίχαλκον". οὐκ ἐγένετο ἡ μεταφορὰ ἀπὸ
ὁμοειδοῦς· ποίαν γὰρ κοινωνίαν ἔχει τὸ ὑέλινον βικίον πρὸς ἄνδρα; ἢ
ποίαν ἐγγύτητα ὡς ἐπονομάσαι ἄνδρα πυρίχαλκον τὸ ὑέλινον βικίον; ψυχρὰ
γοῦν ἐστιν ἡ μεταφορὰ αὕτη. [b 2] τὸ γὰρ πάθος ἤτοι ἡ ὀλκὴ τοῦ
15 αἵματος γινομένη διὰ τοῦ βικίου ἀνώνυμόν ἐστιν ἤτοι οὐκ ἔχει ὄνομα, 35
πῶς δεῖ καλεῖν αὐτήν, καὶ διὰ τοῦτο τὴν προσβολὴν τοῦ βικίου τὴν γινο-
μένην πρὸς τὸν ἄνδρα ἐπωνόμασε κόλλησιν· πάθος γὰρ λέγει τὴν προσ-
βολήν. ἔστι δὲ ἄμφω ἤτοι καὶ ἡ προσβολὴ καὶ ἡ κόλλησις προσθέσεις
τινές· καὶ γὰρ καὶ τὸ προσβαλὸν καὶ τὸ προσπεσόν τινι προστίθεται αὐτῷ
20 καὶ τὸ προσκολλώμενον προστίθεται. ἢ καὶ οὕτως· ἔστι δ' ἄμφω ἤτοι
τὸ πυρίχαλκον καὶ τὸ κολλήσαντα πρόσθεσίς τις· ἀλλ' οὔ μοι δοκεῖ 40
τοῦτο καλόν. ἢ καὶ οὕτως· ἔστι δ' ἄμφω ἤτοι ἡ τοῦ βικίου πρὸς τὸν
ἄνδρα προσβολὴ πρόσθεσίς τις καὶ ἡ τοῦ ἀνδρὸς πρὸς τὸν ἄνδρα προσ-
βολὴ πρόσθεσις· ὥσπερ γάρ, εἰ προσβάλῃ ἀνδρὶ ἀνὴρ καὶ προσπλακῇ,
25 προστίθεσθαι οὗτος τῷ ἑτέρῳ λέγεται, οὕτω καὶ τὸ βικίον προστίθεται τῷ
ἀνδρὶ ἐν τῷ προσβαλεῖν αὐτῷ. [b 4] καὶ ὅλως ἔστι λαβεῖν τὰς
μεταφορὰς ἐπιεικεῖς ἤτοι καλῶς μετενεχθείσας ἐκ τῶν εὖ ᾐνιγ- f. 54ʳ
μένων ἤτοι ἐκ τῶν ἐπαινουμένων αἰνιγμάτων· καὶ γὰρ καὶ αἱ μεταφοραὶ
αἰνίγματά εἰσι, καθ' ὅσον αἰνίττονται σκοτεινῶς καὶ οὐ καθαρῶς τὰ πράγ-
30 ματα· ἐπὶ πλέον δέ εἰσι τῶν μεταφορῶν τὰ αἰνίγματα· αἱ μὲν γὰρ μετα-
φοραὶ λέγονται καὶ αἰνίγματα, τὰ δὲ αἰνίγματα μεταφοραὶ οὐκ εἰσιν. ἢ 5
καὶ οὕτως· καὶ ὅλως ἐκ τῶν ἐπαινουμένων αἰνιγμάτων ἔστι λαβεῖν μετα-
φορὰς ἐπιεικεῖς ἤτοι συγγενεῖς τοῖς πράγμασιν, ἐξ ὧν καὶ μετεκομί-
σθησαν μεταφορικῶς· ἀρίστη γὰρ μεταφορά ἐστιν ἡ μετενεχθεῖσα ἀπὸ τῶν

---

1 ἔτι n Arist.: ὅτι V οὐ πόρρωθεν δεῖ Arist. 2 καὶ τῶν ὁμοειδῶν μεταφέρειν τὰ Arist. ὀνομασμένως n 7 ὑέλινον n συκίαν V: σικυάν n, cf. Arist. ἤγουν V: ἢ εἰ n 8 δι' — βικίον om. n 9 σικυαζομένῳ n ποιεῖν n: om. V 11 ἐστιν n ἄνδρ' κτλ.] Cleobulin. fr. 1 Bergk. μεταφορὰ scripsi: διαφορὰ Vn 15 ἐστι n 19 τινές om. n αυ V: αὐτῇ n 20 προκολλώμενον n 21 κολλήσαν V: κολλήσαντι n 22 καὶ om. n 23 ἀνδρὸς πρὸς τὸν om. n 24 προσβάλῃ scripsi: προσλάβῃ Vn 25 προστίθεται οὗτος n προστίθεσθαι τῷ n 26 ἐστὶν n 30 εἰσιν n 32 μεταφορὰς V Arist.: διαφορὰς n

ἐγγὺς καὶ ὁμοειδῶν, ὡς τὸ 'ποιμένα λαῶν' † εἴποι τις τὸν βασιλέα· τὸ γὰρ f. 54r
ποιμὴν μετηνέχθη ἀπὸ ὁμοίων ἤτοι ἐμψύχων ἤτοι τῶν βοσκῶν· ἄνθρωπος
γὰρ καὶ ὁ βασιλεύς, καὶ ὡς ἐκεῖνος ἡγεῖται τῶν προβάτων, οὕτω καὶ οὗτος 10
τοῦ λαοῦ. φαύλη δὲ καὶ ψυχρὰ μεταφορὰ ἡ μετενεχθεῖσα ἀπὸ τῶν πόρρω
5 καὶ τῶν ἀνομοειδῶν, ὥσπερ ἄν τις εἴπῃ 'χρυσέ, κακῶν ἀρχηγέ'· τὸ γὰρ
ἀρχηγεῖν καὶ βασιλεύειν τῶν ἀνθρώπων ἐστίν, οὐ τῶν ἀψύχων· ψυχρὸν
γοῦν ἐστι τὸ λέγειν τὸν χρυσὸν βασιλέα· ποία γὰρ ὁμοιότης καὶ ἐγγύτης
τοῖς ἐμψύχοις πρὸς τὰ ἄψυχα; [b 5] ὥστε δῆλον, ὅτι ἡ μεταφορά, ἐὰν
ὑπαινίττηται καὶ σημαίνῃ τι αἰνιγματωδῶς, καλῶς μετηνέχθη. καὶ ἀπὸ
10 καλῶν ἤτοι ὁμοειδῶν ἢ καλῶν ὀνομάτων. [1404 b 29] πεποιημένα λέγει 15
τὰ περὶ τὰς τῶν ἤχων ἰδιότητας μιμητικῶς εἰρημένα, οἷον φλοῖσβος, ῥοῖζος.
τὸ ἀτεράμων ἤτοι ὁ ἀνένδοτος μεταφορικὴ λέξις ἐστί. τετραχῇ ἡ μεταφορὰ
λέγεται· ἢ ἀπὸ ἐμψύχου εἰς ἔμψυχα ὡς τὸ 'ποιμένα λαῶν', ἢ ἀπὸ ἀψύχου
εἰς ἄψυχα ὡς τὸ 'σπέρμα σῴζων πυρός', ἢ ἀπὸ ἐμψύχου εἰς ἄψυχον ὡς
15 τὸ 'αἰχμὴν † δὲ ἐν γαίῃ πέσε λιλαιομένη χροὸς ἆσαι', ἢ ἀπὸ ἀψύχων εἰς
ἔμψυχα ὡς τὸ 'ῥέει λόγους'. 20

Περὶ κάλλους λέξεως.

Ὁ μὲν Λικύμνιος λέγει τὸ κάλλος τῶν λέξεων ἐν τοῖς ψόφοις
θεωρεῖσθαι ἤτοι ταῖς στομφαστικαῖς λέξεσι καὶ κρότον ἐχούσαις ἢ τῷ
20 σημαινομένῳ, ἤτοι κάλλος δὲ λέξεως καὶ ὀνομάτων τὸ σημαίνειν τι.
καὶ αἶσχος τῶν λέξεων καὶ τῶν ὀνομάτων ὡσαύτως τὸ μὴ ἔχειν
κρότον καὶ τὸ στομφαστικὸν ἢ τὸ σημαίνειν. [b 8] ἔτι δὲ τρίτον κάλλος
τῶν ὀνομάτων τὸ μὴ εἶναι ὁμώνυμον τὸ ὄνομα, καθ' ὃ (τὸ μὴ εἶναι 25
δηλονότι ὁμώνυμον) λύομεν τὰ περὶ τὴν ὁμωνυμίαν σοφίσματα. [b 9] ὁ
25 Βρύσων φιλόσοφος ἦν. ὁ Βρύσων ἔλεγε μηδένα αἰσχρολογεῖν καὶ
ἀκαλλῶς λέγειν, εἴπερ ἀντὶ τοῦ εἰπεῖν τοῦδε εἴπῃ τόδε· ταὐτὸν γὰρ
σημαίνειν καὶ τὸ τόδε καὶ τὸ τοῦδε ἔλεγε. καὶ οὕτως μὲν εὕρηται ἐν τοῖς
ἀντιγράφοις τὸ [b 10] εἴπερ τὸ αὐτὸ σημαίνει τόδε ἀντὶ τοῦ τοῦδε
εἰπεῖν. σφάλμα δέ ἐστι γραφικὸν τὸ εἰπεῖν ἀντὶ τοῦ τοῦδε· ἔδει γὰρ 30

---

1 τὸ V: ἂν τὸν n ποιμένα λαῶν] Hom. A 263 cet. ὡς τὸ κτλ.] cf. Anon. π. τρόπ. III 208, 5 sq. Sp. (οἷον εἰ λέγομεν κτλ.), Georg. Choerob. ib. 245, 20 (ὡς ὅταν κτλ.), al. 5 εἴποι n 9 ὑπαινίττεται n σημ V: σημαίνει n μετενέχθη n 11 ἰδιότητας V: ποιότητας n 12 ἐστίν n τετραχῇ κτλ.] cf. Tryphon. π. τρόπ. III 192,11 sq. Sp., alios 13 ποιμένα λαῶν] Hom. A 263 cet. 14 σπέρμα πυρὸς σῴζων Hom. ε 490 15 αἰχμὴν δὲ ἐν γαίῃ πέσε V: αἰχμῆς δὲ ἀναγκαίῃ πέσεν n (τὰ δὲ δοῦρα — ἐν γαίῃ ἵσταντο λιλαιόμενα χροὸς ἆσαι Hom. A 574. O 317: cf. infra ad Art. rhet. III 11 p.1411b35: αἰχμὴ scrib.) 16 fort. λόγος 17 περὶ κάλλους λέξεως V: om. n 18 Λικύμνιος] cf. Blass, *Att. Bereds.* I² 86² 20 δὲ om. n 22 τὸ (post καὶ) om. n 23 ὃ λύει τὸν σοφιστικὸν λόγον ἤγουν post ὀνομάτων add. n, cf. Arist. γὰρ post ὃ add. n 25 ἔλεγεν n 26 ἀκαλλῶς V: καλῶς n εἴπερ τὸ αὐτὸ σημαίνει τόδε ἀντὶ τοῦδε εἰπεῖν Arist. (A; sed τόδε ἀντὶ τοῦ τόδε εἰπεῖν vulg.) 27 σημ V: σημαίνει εἰ n 28 τόδε V: τοῦδε n τοῦδε Brandis: τόδε Vn

εἰπεῖν ἀντὶ τοῦ τόδε· καὶ ὅσα τῶν ἀντιγράφων εἰσὶ παλαιά, οὕτως εὕρηται f. 54r
ἔχοντα εἴπερ τὸ αὐτὸ σημαίνει τόδε ἀντὶ τοῦδε εἰπεῖν. ἔστι δὲ
τοιοῦτον· ἐπεὶ γὰρ τὸ τόδε καὶ τὸ τοῦτο καὶ εὐθεῖαν δηλοῦσι καὶ αἰτια-
τικήν, ἔλεγεν ὁ Βρύσων, ὡς οὐδεὶς αἰσχρολογεῖ, εἴπερ εἴπῃ τόδε καὶ ἐκλά-
5 βηται αὐτὸ ἐπὶ αἰτιατικῆς ἀντὶ τοῦ εἰπεῖν τόδε ἢ τόδε καὶ ἐκλαβέσθαι
αὐτὸ ἐπ' εὐθείας· ταὐτὸν γὰρ σημαίνει καὶ τὸ τόδε καὶ τὸ τοῦτο, κἂν ἐπ'
εὐθείας καὶ αἰτιατικῆς ληφθῇ, τὸ αὐτὸ σημαίνει· μεγάλη δέ ἐστιν ἡ δια- 35
φορὰ τοῦ λαβεῖν τὸ τόδε καὶ τὸ τοῦτο ἐπὶ αἰτιατικῆς, καὶ ταῦτα τοῦ λόγου
ἀπαιτοῦντος λαβεῖν ἐπ' εὐθείας· ἢ πάλιν εἰ ἐνδέχεται λαβεῖν ἐπ' αἰτια-
10 τικῆς αὐτὸ καὶ λάβωμεν αὐτὸ ἐπ' εὐθείας, μεγάλη ἐστὶν ἡ διαφορά·
ἀκαλλῆ γὰρ ποιεῖ τὸν λόγον καὶ σόλοικον καὶ ψευδῆ· οἷον 'ἆρ' ὃ ὁρᾷ,
τοῦτο ὁρᾷ', ὁ μὲν λόγος ἀπαιτεῖ λαβεῖν τὸ τοῦτο ἐνταῦθα αἰτιατικήν· εἰ
δὲ λάβοιμεν αὐτὸ ἐπ' εὐθείας, ψευδόμεθα· ἐντεῦθεν γὰρ καὶ ὁ σολοικισμὸς
παρὰ τοῖς σοφισταῖς γίνεται. [b 11] τοῦτο γάρ ἐστι ψεῦδος ἤτοι ψεύ- 40
15 δεται καὶ ψευδὴς ὁ λόγος γίνεται, εἴπερ τὸ 'τοῦτο ὁρᾷ' οὐ λάβω ἐπὶ αἰτια-
τικῆς ἀλλ' ἐπ' εὐθείας. καὶ πάλιν ἀλλαχοῦ ἀπαιτησόμεθα λαβεῖν τὸ τόδε
καὶ τὸ τοῦτο ἐπ' εὐθείας· εἰ δὲ λάβωμεν αὐτὸ ἐπὶ αἰτιατικῆς, ψευδῆ τὸν
λόγον ποιήσομεν. [b 11] ἔστι γὰρ ἄλλο ἄλλου κυριώτερον, ἤτοι ἐπὶ
τινῶν μέν ἐστιν | οἰκειότερον λαβεῖν τὸ τοῦτο καὶ τόδε ἐπ' εὐθείας, κἂν f. 54v
20 καὶ ὑπεμφαίνῃ καὶ αἰτιατικήν, καὶ ψευδὴς καὶ ἀκαλλὴς γίνεται, εἰ ληφθῇ
ἐπὶ αἰτιατικῆς, ἐπὶ τινῶν δὲ πάλιν ἐστὶν οἰκειότερον τὸ λαβεῖν ἐπὶ αἰτιατικῆς
αὐτό, κἂν καὶ παρεμφαίνῃ καὶ εὐθεῖαν· καὶ ἐπὶ τινῶν ὡς εὐθεῖα ληφθὲν
οἰκεῖον τῷ πράγματι φαίνεται καὶ παριστᾷ τὸ πρᾶγμα πρὸ ὀμμάτων 5
ἤτοι φανερόν. ἐπὶ τινῶν δὲ ὡς αἰτιατικὴ ληφθὲν οἰκεῖον τοῦ πράγματος
25 φαίνεται καὶ ποιεῖ αὐτὸ φανερόν· εἰ μὲν γὰρ εἴπω, ὡς τοῦτο ἔστι, δηλοῖ
εὐθεῖαν μᾶλλον, εἰ δὲ εἴπω τοῦτο εἶναι, δηλοῖ αἰτιατικήν. εἰ δὲ εἴπω
'τοῦτο ἔστιν εἶναι', δηλοῖ καὶ εὐθεῖαν καὶ αἰτιατικήν, ἡ δὲ σύνταξις παρεμ-
φαίνει, ποῖον μᾶλλον σημαίνει· πολλάκις γὰρ ἀπὸ τῆς συντάξεως οἰκειότερον
φαίνεται τὸ τοῦτο λαβεῖν ἐπ' εὐθείας, πολλάκις δὲ οἰκειότερον φαίνεται
30 τὸ τοῦτο λαβεῖν ἐπὶ αἰτιατικῆς. [b 13] ἔτι οὐχ ὁμοίως σημαίνει τὸ 10
τόδε ἐπ' εὐθείας καὶ τὸ τόδε ἐπὶ αἰτιατικῆς, ἀλλ' εἰ μὲν πρόσκειται αὐτῷ
τὸ ἔστι, σημαίνει εὐθεῖαν, εἰ δὲ τὸ εἶναι, αἰτιατικήν. κἂν ἔμφασιν ἔχῃ, ὅτι
σημαίνει καὶ εὐθεῖαν. [b 14] ὥστε καὶ οὕτως ἄλλο ἄλλου κάλλιον
καὶ αἴσχιον· οἷον ἐπὶ μὲν τῆς τοιᾶσδε συντάξεως καὶ ὅτε πρόσκειται

2 ἀντὶ τοῦ τοῦδε n 3 καὶ (ante εὐθεῖαν) om. n 4 εἴπερ V: εἰ n 5 ἢ τόδε om. n 7 ληφθῇ V: εὑρεθῇ n ἐστι n 11 ἀκαλῆ V 12 αἰτιατικήν — ψευδόμεθα (13) om. n 15 εἴπερ n: εἰπ V 19 τοῦ λαβεῖν n fort. ⟨τὸ⟩ τόδε 20 καὶ ὑπεμφαίνῃ καὶ V: ὑπεμφαίνει (omissis ceteris) n 22 καὶ om. n παρεμφαίνει n δὲ πάλιν ἐστὶν οἰκειότερον τὸ λαβεῖν ἐπὶ αἰτιατικῆς ante ὡς add. n ὡς εὐθεῖαν ληφθῆναι n 24 φανερόν, νερόν evan., V 25 ἐστιν n 27 ἐστι n ἡ ex εἰ corr. V 29 ἐπ' — λαβεῖν (30) om. n 33 ἄλλο ἄλλου Vn Arist. vulg.: ἄλλο ἄλλο Arist. A 34 οἵαν V τοιᾶσδε V: τοιαύτης n

αὐτῷ τὸ ἔστι, καλλιώτερόν ἐστι τὸ λαβεῖν αὐτὸ ἐπ' εὐθείας παρ' ὃ ἐπὶ f. 54v
αἰτιατικῆς· αἴσχιον γὰρ καὶ ἀκαλλές ἐστι τὸ λαβεῖν αὐτὸ ἐπὶ αἰτιατικῆς,
ὥσπερ ἐπὶ ἄλλης συντάξεως καὶ ὅτε ἔχει προσκείμενον τὸ εἶναι. κάλλιόν 15
ἐστι τὸ λαβεῖν αὐτὸ ἐπὶ αἰτιατικῆς παρ' ὃ ἐπ' εὐθείας, ἀκαλλὲς δέ ἐστι
5 τὸ λαβεῖν αὐτὸ ἐπ' εὐθείας καὶ αἴσχιον. [b 15] ἄμφω μὲν γὰρ τὸ τόδε
ἔστιν, ἤτοι ὅταν ἔχῃ τὸ ἔστι, καὶ τὸ καλὸν καὶ τὸ αἰσχρὸν σημαί-
νουσιν· ἧ μὲν καὶ εὐθεῖαν σημαίνει, ἔχει τὸ κάλλιον, εἰ οὕτω ληφθῇ, ἧ
δὲ καὶ ἔμφασιν ἔχει αἰτιατικῆς, ἔχει τὸ αἴσχιον, εἰ ἐπὶ αἰτιατικῆς ληφθῇ·
μᾶλλον γὰρ σημαίνει εὐθεῖαν παρ' ὃ αἰτιατικήν· καὶ τὸ τόδε εἶναι· εἰ γὰρ 20
10 καὶ εὐθεῖαν σημαίνει καὶ αἰτιατικήν, ἀλλὰ μᾶλλόν ἐστι κάλλιον τὸ λαβεῖν
αὐτὸ ἐπὶ αἰτιατικῆς, αἰσχρὸν δὲ καὶ ἀκαλλὲς τὸ λαβεῖν ἐπ' εὐθείας. ἄμφω
γάρ, τὸ τόδε ἔστι καὶ τὸ τόδε εἶναι (σημαίνει δὲ τὸ τόδε ἔστι καὶ τὸ τόδε εἶναι
τὸ καλὸν ἢ τὸ αἰσχρὸν οὐχὶ καθ' ὅ εἰσι καλὰ τῇ ἑαυτῶν φύσει οὐδὲ καθ' ὅ
εἰσιν αἰσχρὰ τῇ ἑαυτῶν φύσει, ἀλλὰ οὔτε φύσει ἔχουσι τὸ καλὸν οὔτε τὸ
15 αἰσχρόν, ἀλλὰ τῇ τοιᾷδε συντάξει καὶ συνθέσει ἔχουσι τὸ καλὸν ἢ τὸ
αἰσχρὸν ἢ τὸ τόδε ἔστι καὶ τὸ τόδε εἶναι), ταῦτα μὲν σημαίνουσιν ἤτοι 25
τὸ καλὸν καὶ τὸ αἰσχρόν, ἀλλὰ τῷ ἑτέρῳ μὲν αὐτῶν μᾶλλον μέν ἐστιν
οἰκεῖον καὶ καλὸν τὸ λαβεῖν ἐπ' εὐθείας, ἧττον δὲ καλὸν καὶ ἀνοίκειον τὸ
λαβεῖν ἐπὶ αἰτιατικῆς, καὶ μᾶλλον τοὐναντίον· πάλιν τῷ ἑτέρῳ μέν ἐστι
20 καλὸν καὶ οἰκεῖον τὸ λαβεῖν ἐπὶ αἰτιατικῆς, ἧττον δὲ καλὸν τὸ λαβεῖν ἐπ'
εὐθείας. [b 17] τὰς δὲ μεταφορὰς ὀφείλομεν κομίζειν ἀπὸ καλῶν
λέξεων ἢ τῇ φωνῇ ἢ τῇ δυνάμει ἢ τῇ ὄψει. καλὸν μέν ἐστι τῇ
δυνάμει ἤτοι τῇ ἀναλογίᾳ καὶ τῇ φύσει τοῦ πράγματος, ὥσπερ λέγομεν 30
ποιμένα λαῶν' τὸν βασιλέα διὰ τὸ ἔχειν τὴν αὐτὴν δύναμιν πρὸς τὸν
25 ποιμένα τῶν προβάτων· ὡς γὰρ ὁ βοσκὸς ἡγεῖται τῶν προβάτων, οὕτω
καὶ ὁ βασιλεὺς τοῦ λαοῦ ἡγεῖται. ἢ καλὸν τῇ ὄψει, ὥσπερ τὸ ῥόδον
κάλλιόν ἐστι καὶ ἡδὺ τῇ ὄψει παρ' ὃ τὸ φοινικοῦν· καὶ διὰ τοῦτο,
εἰ μετακομίσομεν μεταφορικῶς τῇ ἠοῖ ὄνομα ἀπὸ τοῦ ῥόδου, κάλλιόν
ἐστι παρ' ὃ ἀπὸ τοῦ φοινικοῦ, οἷον "ῥοδοδάκτυλος ἠώς". ἡδὺ δὲ
30 τῇ φωνῇ ἤτοι τῇ ἐκφωνήσει, ὅταν οὐ τραχεῖά ἐστι διὰ τὴν σύγκρουσιν 35
τῶν συμφώνων καὶ λυποῦσα τὸν λέγοντα αὐτὴν ὡς μὴ δυνάμενον ῥαδίως
ἐκφωνῆσαι, ὡς τὸ μισγάγκεια καὶ ἁρπός· ὥστε δεῖ τὰς μεταφορὰς μετα-
φέρειν καὶ μετακομίζειν ἀπὸ ὀνομάτων καλῶν ἢ τῇ φωνῇ ἢ τῇ ὄψει ἢ
τῇ δυνάμει ἤτοι τῇ σημασίᾳ καὶ τῇ ἀναλογίᾳ. [b 21] καὶ τὰ ἐπίθετα
35 ὀφείλομεν μεταφέρειν ἀπὸ καλῶν, εἰ ἐπαινοῦμέν τινα, καὶ ἐπιτιθέναι τοῖς
πράγμασιν ἢ ἀπὸ φαύλων ὀφείλομεν μεταφέρειν αὐτά, εἰ ψέγομεν· οἷον τὸν 40

---

3 ὥσπερ V: ὡς n ἄλλης, λης evan., V ἔχῃ n 4 δέ ἐστιν n 5 μὲν om. n 6 ἐστί n ἔχω n καλὸν καὶ Vn Arist. vulg.: καλὸν ἢ Arist. A 12 ἔστι (prius) V: ἐστὶν n τὸ (post δὲ) om. n 14 αὐτῶν n φύσιν ἔχουσιν n 16 ἐστὶν n 17 ἐστι n 22 ἢ τῇ ὄψει — δυνάμει (23) om. n 24 cf. p. 171, 1 28 τῇ om. n 29 ῥοδοδάκτυλος ἠώς] Hom. β 1 cet. 30 ἐστὶν n 31 αὐτὸν n 32 μισγάγκεια V Hom. Δ 453: μισγάμεια n

Ὀρέστην ψέγοντες μὲν ἐπιθήσομεν αὐτῷ ὄνομα τὸ μητροφόντης ἀπὸ f. 54v
φαύλου ἔργου ἤτοι τοῦ φονεῦσαι τὴν μητέρα. ἐπαινοῦντες δὲ ἐπιθήσομεν
αὐτῷ ἐπίθετον ὄνομα ἀμύντωρ πατρὸς ἀπὸ ἔργου καλοῦ τοῦ βοηθῆσαι
πατρί. [b 24] ὁ Σιμωνίδης ἦν λυρικός· καὶ οἱ τρέχοντες | μετὰ f. 55r
5 ἵππων ἢ ἡμιόνων καὶ [μὴ] νικῶντες κατηνάγκαζον αὐτὸν καὶ ἠξίουν στιχίζειν, καὶ εἰ μὲν ἔδωκαν αὐτῷ πολλά, ἐποίει, εἰ δὲ μή, παρῃτεῖτο· οἷον καί τις νικήσας ἐν τῷ δραμεῖν μετὰ τῶν ὀρέων ἡμιόνων ἠξίωσεν αὐτὸν ἐπαινέσαι διὰ στίχων τοὺς ὀρεῖς καὶ ταῦτα μὴ δοὺς μισθὸν τοῦ κόπου, ὁ δὲ οὐκ ἠθέλησε λέγων 'ἡμιόνους οὐ δύναμαι ἐπαινεῖν· ἐξ ὄνου γὰρ ἔχουσι
10 τὴν γένεσιν'. ψέγων γοῦν τοὺς ὀρεῖς πρὸς τὸν ὄνον ἀπιδὼν ἀπὸ τοῦ 5
χείρονος ἤτοι τοῦ ὄνου εἶπεν αὐτοῖς ἐπίθετον τὸ ἡμίονοι. ἐπὰν δὲ ἔλαβε μισθόν, καὶ θέλων αὐτοὺς ἐπαινέσαι θυγατέρας ἵππων αὐτὰς εἶπεν ἀπὸ τοῦ κρείττονος ἤτοι τοῦ ἵππου, σιγήσας τὸ καὶ ἐξ ὄνων γεννηθῆναι. [b 27] ἀελλόποδες λέγονται οἱ ποδήνεμοι, οἱ ταχεῖς, ἐκ τοῦ ἄελλα. ἔτι συμβάλ-
15 λεται εἰς τὸ ψέγειν καὶ τὸ ὑποκορίζειν καὶ εἰς τὸ ἐπαινεῖν· ὁ γὰρ ὑποκορισμὸς σμικρύνων τὸ μεῖζον ἀγαθόν, οἷον ἀρετίδιον, ψέγει καὶ πάλιν 10
σμικρύνων τὸ μεῖζον κακὸν ἐπαινεῖ αὐτό. [b 30] ὁ Ἀριστοφάνης δρᾶμα ἐποίησεν εἰς τοὺς Βαβυλωνίους. [b 33] καὶ παρατηρεῖν ἐν ἀμφοτέροις ἤτοι καὶ ἐν τῇ μειώσει τοῦ ἀγαθοῦ καὶ ἐν τῇ ὑποκορίσει καὶ
20 ἐν τῇ τοῦ κακοῦ ὑποκορίσει τὸ μέτριον· οὐ δεῖ γὰρ ὑπερβολικοὺς καὶ μεγάλους ποιεῖν τοὺς ὑποκορισμούς, ἀλλ' οὐ πυκνοὺς ποιεῖν ἐν τῷ λόγῳ.

3. Διπλοῦν ὄνομά ἐστι τὸ πολυπρόσωπον ἤτοι σύνθετον· τὸ γοῦν καλέσαι τὸν οὐρανὸν πολυπρόσωπον διὰ τὰ ἄστρα καὶ τὰ ζῴδιά ἐστι ψυχρόν. [b 36] καὶ ἡ μελανοκόρυφος λέξις ψυχρά ἐστι· ψυχρὸν γάρ ἐστι 15
25 τὸ καλέσαι κορυφὴν τῆς γῆς τὰ ὄρη. Λυκόφρων ἄλλος καὶ οὐχ ὁ ποιητής. καὶ τὸ καλέσαι τὴν ἀκτὴν ἤτοι τὸν αἰγιαλὸν στενοπόρον ψυχρόν ἐστι· στενοπόρος γὰρ λέγεται ὁ ἰσθμός. στενοπόρος ἡ τρυμαλιὰ τῆς ῥαφίδος. ἰσθμὸς δέ ἐστιν ἡ στενοτάτη γῆ καὶ δίκην αὐλοῦ ἐπιτα-
θεῖσα στενοῦ μεταξὺ δύο γαιῶν. [b 37] πτωχόμουσον ἤτοι τὸν πένητα
30 κατὰ τὸ λέγειν καὶ κολακεύειν καὶ ἀνεπιτήδειον· οὐ γὰρ πρὸς κόλακα ἡ 20
τοιαύτη λέξις ἁρμόζει ῥηθῆναι ἀνεπιτήδειον, ἀλλὰ πρὸς γραμματικὸν κακόν. τὸ ἐπιορκῆσαι λέγεται ἐπὶ τοῦ ψευδῶς ὀμόσαντος, οὐχ ἁρμόζει δὲ τὸν ἁπλῶς ψευσάμενον εἰπεῖν ἐπιορκήσαντα· καὶ τὸ κατευορκῆσαι λέγεται ἐπὶ τοῦ ἀληθῶς ὀμόσαντος, οὐχ ἁρμόζει δὲ ἡ λέξις αὕτη ῥηθῆναι ἐπὶ τοῦ
35 ἁπλῶς εἰπόντος τι ἀληθές, οἷον ὅτι ὑπὲρ γῆν ὄντος τοῦ ἡλίου ἡμέρα ἐστί.

---

1 ἐπιθήσομεν om. n 3 πατρὸς ἀμύντωρ Arist., Eurip. Orest. 1588 4 πατέρι n Σιμωνίδης] cf. fr. 7 Bergk. 5 μὴ om. n 7 ἐν τῷ V: αὐτῷ n ἠξίωσε n 9 ἠθέλησεν n 10 ἀπειδὼν n 11 τὸ om. n 12 αὐτὰς n: αὐτοὺς V 16 σμικρύνων n ἀγαθόν – μεῖζον (17) om. n 17 ὁ Vn Arist. AC: om. Arist. cet. 18 ἐποίησε n 19 et 20 ὑποκορήσει n 25 τῆς μεγαλοκορύφου γῆς Arist. 28 ἐστι n 30 κόλακα scripsi: κολ$^{\alpha}$, cetera abscissa sunt, V: κόλασιν n 31 κακόν om. n 32 δὲ om. n 34 οὐκ n

[1406 a 1] καὶ ὡς Ἀλκιδάμας εἶπε πρός τινα ὀργίλον μένους ἤτοι f. 55r
ὀργῆς· τὸ δὲ λέγειν τὸν ὀργίλον ἔχειν τὴν ὄψιν πυρίχρων ἤτοι ὡς
πῦρ εἶναι τὴν ὄψιν αὐτοῦ ἀνοίκειόν ἐστι καὶ ψυχρόν. τὸ τελεσφόρον
λέγεται ἐπὶ κυήματος ἢ ἐπὶ καρποῦ, οὐ μὴν δὲ ἐπὶ προθυμίας ἢ πειθοῦς.
[a 5] ἔδαφος λέγειν τὴν ἐπιφάνειαν τῆς θαλάσσης καὶ πάνυ ἐστὶ ψυχρόν·
καὶ πάλιν εἰπεῖν τὴν θάλασσαν χροιὰν ἔχειν κυανίζουσαν καὶ πάνυ ἐστὶν
αἰσχρόν. [a 7] τὸ χρῆσθαι γλώτταις ἤτοι διαλέκτοις ποιητικόν ἐστι.
τὸ πελώριον ἀντὶ τοῦ μέγα καὶ τὸ σίνις ὁ βλαπτικὸς ποιητικόν ἐστι,
τὸ Σκίρων δὲ ὄνομα κύριον. [a 9] τὴν ποίησιν εἶπεν ἄθυρμα ἤτοι
παίγνιον, καὶ τὸ ἀθύρω τὸ παίζω ποιητικόν ἐστι· καὶ τὴν βλάβην τῆς
φύσεως ἔδει εἰπεῖν ἀνωμαλίαν καὶ εἶπεν ἀτασθαλίαν· καὶ τὸ τεθηγ-
μένον ποιητικόν ἐστιν ἐπὶ σπάθης κυρίως λεγόμενον καὶ οὐκ ἐπὶ ὀργῆς.
[a 10] τρίτον ψυχρόν ἐστι καὶ τὸ χρᾶσθαι ἐπιθέτοις μακροῖς, ὡς ὁ
Ἀριστοφάνης ἐν ταῖς Νεφέλαις 'σφραγιδονυχαργοκομήτης'. [a 12] ἄκαιρόν
ἐστι καὶ ἀπρεπὲς τὸ ἐν λόγῳ πεζῷ χρᾶσθαι τῇ περιφράσει καὶ εἰπεῖν
'γάλα λευκόν'· τοῦτο γὰρ ἀδολεσχία ἐστίν· ἤρκει γὰρ ἐν τῷ πεζῷ λόγῳ
τὸ εἰπεῖν γάλα μόνον, ἐν ποιήσει δὲ καὶ λίαν ἐστὶν εὔκαιρον 'γάλα λευκόν'
εἰπεῖν καὶ 'βίη Ἡρακλείη' καὶ ἁπλῶς χρᾶσθαι ταῖς περιφράσεσιν. ὁμοίως
ἀτερπές ἐστι καὶ τὸ χρᾶσθαι πυκνότερον τοῖς ποιητικοῖς. ἐν δὲ λόγῳ
πεζῷ ἄλλα μὲν τῶν ποιητικῶν λέξεών ἐστιν ἀπρεπὲς λέγειν, ἄλλα δὲ τῶν
ποιητικῶν, εἰ χρώμεθα αὐτοῖς κατακόρως καὶ πυκνῶς καὶ οὐχὶ καθάπαξ
ἢ δίς, ἀπρεπές ἐστι. καὶ τὸ χρᾶσθαι συχνῶς ταῖς ποιητικαῖς λέξεσιν ἐν
λόγῳ πεζῷ ποιεῖ τὸν λόγον μὴ πεζὸν ἀλλὰ ποίησιν φαίνεσθαι, ἐπεὶ δεῖ
μὲν χρᾶσθαι ταῖς ποιητικαῖς λέξεσιν ἐν αὐτῷ τῷ πεζῷ λόγῳ ἀλλὰ
σπανίως καὶ ὀλιγάκις· [a 15] ἡ γὰρ ποιητικὴ λέξις ἐμπεσοῦσα καθάπαξ
τῷ πεζῷ λόγῳ ποιεῖ τὸ εἰωθὸς ἤτοι τὸ ἔθος καὶ τὸ ἰδίωμα τῆς γραφῆς
τοῦ ῥήτορος παρηλ|λαγμένον καὶ θαυμαστόν· ξενικὴ γὰρ καὶ παράξενος f. 55v
ἡ τοιαύτη λέξις δοκεῖ. [a 16] ἀλλὰ δεῖ στοχάζεσθαι τοῦ μετρίου
ἤτοι τοῦ συμμέτρου ἤτοι συμμέτρως δεῖ χρᾶσθαι ταῖς λέξεσι ταῖς ποιητι-
καῖς ἐν τῷ πεζῷ λόγῳ· εἰ δὲ μὴ ἤτοι εἰ δὲ μὴ χρᾶται συμμέτρως, τὸ
χρᾶσθαι κατακόρως ταῖς ποιητικαῖς λέξεσιν ἐν λόγῳ πεζῷ μεῖζόν ἐστι

---

1 ὡς om. n Ἀλκιδάμας] fr. V (10 sq.) Sauppe εἶπεν n μένους, ους evanuit, V
2 πυρίχρων δὲ τὴν ὄψιν Arist. 3 τὴν n: abscissum V 6 ἐστὶν om. n 8 πε-
λώριον Vn Arist. vulg.: πέλωρον Arist. ATr. σίνις V: σίνης n: σινὴς Arist. C: σίννος
Arist. B: οἰνὶς Arist. A: σίννις Arist. cet. 9 Σκίρων scripsi ex Aristotele: σκείρρων
V: σκίρρων n 10 ἐστιν n 11 ἀνομαλίαν n 12 ἐστι n 13 et 15 χρᾶσθαι V
manu priore: χρῆσθαι n et man. post. V 14 Ἀριστοφάνης ἐν ταῖς Νεφέλαις] v. 332
σφραγιδονυχαργοκομίτης V 16 γάλα λευκόν] Hom. Δ 434 cet. 17 ἐστὶ n
18 βίη Ἡρακλείη] cf. Hom. E 638 cet. 18. 19. 22. 24 χρᾶσθαι V manu priore:
χρῆσθαι n et man. post. V 19 ἀτερπές V: ἀπρεπὲς n 23 ποιεῖν n
πεζῷ
26 πεζῷ n: ποιτικῷ V 26 ἔθος V: ἦθος n 29 χρῆσθαι n λέξεσιν n
30 χρῆται n 30. 31 τὸ χρᾶσθαι scripsi: τῷ χρᾶσθαι V: ἀλλὰ χρῆται n
31 λέξεσι n

κακὸν παρὰ τὸ λέγειν εἰκῇ ἤτοι τὸ μὴ χρᾶσθαι ἐν τῷ πεζῷ ποιητι- f. 55v
καῖς λέξεσιν· ἔλαττον γάρ ἐστι κακὸν τὸ εἰκῇ ἤτοι χωρὶς ποιητικῆς λέξεως 5
εἶναι τὸν λόγον· [a 17] ἡ μὲν γὰρ λέξις ἡ ἁπλῆ καὶ πεζὴ οὐκ ἔχει τὸ
εὖ, ἡ δὲ ἡ ἐπίθετος λέξις καὶ ποιητικὴ ἔχει τὸ κακὸν ἤτοι ψεκτή ἐστιν.
ἥδυσμά ἐστι τὸ ὀλίγον καὶ προτιθέμενον καὶ χρώμενον ὡς τὰ γρανάτα,
ἐδέσματα δὲ λέγονται τὰ πληθυντικῶς καὶ προτιθέμενα καὶ χρώμενα. ὁ
γοῦν Ἀλκιδάμας οὐκ ἐχρᾶτο ὀλίγοις καὶ ὡς ἡδύσμασι ταῖς ποιητικαῖς
λέξεσιν, ἀλλ' ὡς ἐδέσμασιν ἤτοι πυκνῶς καὶ κατακόρως. [a 21] 'ὑγρὸς
ἱδρώς' περίφρασις. Ἴσθμια ἑορτὴ καὶ πανήγυρις ἐπὶ τοῖς τελουμένοις 10
ἐν Ἀθήναις. [a 22] ἐπεὶ καὶ ὁ νόμος ἄρχειν λέγεται καὶ βασιλεύειν τῶν
πόλεων. [a 27] ὁ ῥήτωρ λέγεται οἰκονόμος τῆς τῶν ἀκουσόντων
ἡδονῆς. περίφρασίς ἐστι τοῦτο· ἤρκει γὰρ εἰπεῖν 'ὁ τοὺς ἀκροατὰς θέλ-
γων'. τοῖς κλάδοις τῆς ὕλης ἤτοι τῆς συνδένδρου τοποθεσίας.
παρήμπισχεν ἀντὶ τοῦ ἔκρυπτεν. [a 29] ἀντίμιμον ἤτοι ἴσα τοῖς 15
μιμητικοῖς δυναμένην. ὁ δὲ μητροπολίτης οὕτως ἡρμήνευσεν· ἀντίμιμον,
καθ' ὅσον ἡ τῆς ψυχῆς ἐπιθυμία ἐναντία ἐστὶ καὶ ἀντιπράττουσα τῇ ἐπι-
θυμίᾳ καὶ τῷ θελήματι τοῦ σώματος. [a 30] τοῦτο δὲ τὸ ἀντίμιμον
καὶ διπλοῦν ἐστι καὶ ἐπίθετον, ὥστε ποίημα, ἤτοι ποιητικόν ἐστιν.
ἔξεδρος ἤτοι ἐκπίπτουσα τοῦ πρέποντος ἡ ὑπερβολὴ τῆς μοχθηρίας
ἤτοι τῆς ψυχρολογίας καὶ ἀπρεπείας. [a 32] διὸ οἱ λέγοντες ἐν τῷ πεζῷ
λόγῳ καὶ καταχρώμενοι ταῖς ποιητικαῖς λέξεσιν ἅμα τῇ ἀπρεπείᾳ ἐμποι- 20
οῦσι καὶ τὸ γελοῖον. ὅταν γὰρ ἐπεμβάλῃ ἤτοι χρήσηται τῇ περι-
φράσει ἐν τῷ γινώσκοντι ἀνθρώπῳ τὴν φύσιν τοῦ λευκοῦ καὶ εἴπῃ
'γάλα λευκόν', διαλύει τὸ σαφὲς καὶ ἀδολεσχίαν ποιεῖ ἐν τῷ ἐπισκο-
τεῖν· ὅταν δὲ τὸ πρᾶγμα ᾖ ἀνώνυμον ἤτοι οἰκεῖον ὄνομα οὐκ ἔχῃ,
τότε χρώμεθα τοῖς διπλοῖς ἤτοι τοῖς ἐπιθέτοις, καὶ ὅταν ὁ λόγος ᾖ
εὐσύνθετος (ἀπὸ κοινοῦ γὰρ τὸ ὅταν ληπτέον)· [a 37] οἷον τὸ χρο-
νοτριβεῖν καὶ ἐπίθετός ἐστι λέξις καὶ εὐσύνθετος καὶ κεῖται ἐπὶ πράγ- 25
ματι μὴ ἔχοντι ὄνομα· τῇ γὰρ ἐπί τινι πράγματι χρονίσει οὐκ ἔθεντο οἱ
παλαιοὶ ὄνομα. ἀλλ' ἂν πολὺ ἤτοι κατακόρως χρώμεθα τοῖς ἐπιθέτοις.
δόξει ποιητικὸν ἤτοι ποίησις ὁ πεζὸς λόγος. [b 1] διθύραμβοι λέγονται
οἱ λυρικοὶ ὡς ὁ Πίνδαρος καὶ ἁπλῶς οἱ πρὸς τὸν Διόνυσον ὕμνοι· ὁ γὰρ
Διόνυσος διθύραμβος ἐλέγετο, καθ' ὃ εἶχε καὶ αἰδοῖον ἀνδρὸς καὶ αἰδοῖον

---

1 τοῦ εἰκῇ λέγειν Arist. τὸ μὴ—ἤτοι (2) om. n 4 τὸ κακῶς Arist.
5 ἐστι ἥδισμα n παρατιθέμενον n καὶ χρώμενον om. n 7 ἐχρῆτο n
ἡδύσμασιν n 10 τῶν πόλεων βασιλεῖς νόμους ante ἐπεὶ add. n, cf. Arist.
11 οἰκονομία τῆς τῶν ἀκουσάντων ἡδονῆς καὶ ante ὁ ῥήτωρ add. n, cf. Arist. (D et ed. Aldin.) ἀκουσόντων V: ἀκουσάντων n: ἀκουόντων Arist. 12 δέ ante ἐστι add. n
13 τοῖς (AC; τοῖς om. cet.) τῆς ὕλης κλάδοις Arist. 14 παρήμπισχε n ἀντίμιμον V Arist. C et var. lect. in Yb: τίμιον Arist. cet.: ἀντίσιμον n 15 μιτροπολίτης n
ἡρμήνευσε n ἀντίσιμον n 17 τοῦτο δ' ἅμα Arist. ἀντίσιμον n
18 ἐστι n 19 ἔξεδρος V: ἔξεδρας n: ἐξεῦρον Aristotelis codices 22 ὅταν γὰρ γιγνώσκοντι ἐπεμβάλῃ (vulg.; ἐπεμβάλλῃ A) Arist. 25 ὅταν ἀνώνυμον ᾖ καὶ ὁ λόγος εὐσύνθετος Arist. 26 ᾖ V: ἦν n

γυναικὸς καὶ ἐτέλει καὶ τὰ τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν· οἱ δὲ εἶπον f. 55v
διθύραμβα τὰ ἔχοντα ἐρωτήσεις καὶ ἀποκρίσεις. [b 2] οὗτοι γὰρ οἱ 31
διθυραμβοποιοὶ ψοφώδεσιν ἤτοι κομπηραῖς λέξεσι χρῶνται. αἱ δὲ γλῶτται
ἤτοι αἱ διάλεκτοι χρήσιμοι τοῖς ἐποποιοῖς· τὸ σεμνὸν γὰρ ἤτοι τὸ
5 ὀγκηρὸν τῆς λέξεως καὶ τὸ αὔθαδες ἤτοι ἡ ψόφον ἀποτελοῦσα λέξις, ὃ
ἔχουσιν αἱ διάλεκτοι, ἁρμόζει τοῖς ἔπεσιν. ὁ μὲν Πλάτων ἐτυμολογεῖ τὸ
αὔθαδες ἐκ τοῦ ἁδεῖν καὶ ἀρέσκειν ἑαυτῷ· κατεβιβάσθη γὰρ τὸ πνεῦμα 35
τοῦ ε εἰς τὸ ἄλφα· οἱ δὲ λέγουσι παρὰ τὸ ἅδης εἶναι ἑαυτοῦ. [b 3] ἡ
δὲ μεταφορικὴ λέξις ἁρμόζει τοῖς ἰαμβείοις στίχοις· τούτοις γὰρ τοῖς
10 ἰαμβείοις χρῶνται νῦν. [b 6] αἱ μέν εἰσι γελοῖαι· οἷον εἰ εἴπῃς τι
ἀναίσχυντον, οἷον ὅτι καὶ τοὺς ὄρχεις ἐδάρδαψεν. ἀσαφεῖς δὲ γίνονται
αἱ μεταφοραί, εἰ πόρρωθεν καὶ ἀπὸ ἀνομοειδῶν μετακομίζονται. [b 9]
τὰ πράγματά εἰσι συμβεβηκότα, τὸ δὲ ἄναιμον καὶ χλωρὸν ἐπὶ ζῴων 40
λέγεται· ὥστε ἀπὸ τῶν πόρρω μετεκομίσθη. πάλιν τὸ σπείρειν καὶ τὸ
15 θερίζειν ἐπὶ καρπῶν λέγεται· ἀπρεπὲς γοῦν ἐστι τὸ λέγειν σπείρειν τὰ
πράγματα μεταφορικῶς καὶ πάλιν θερίζειν. [b 11] τὴν φιλοσοφίαν
ἔλεγεν ἐπιτείχισμα ἤτοι βοηθὸν καὶ φυλακὴν τῶν νόμων. ψυχρὰ ἡ
μεταφορὰ καὶ αὕτη· ἐπὶ γὰρ τῶν πόλεων λέγεται τὸ ἐπιτείχισμα. [b 13]
καὶ οὐδὲν τοιοῦτον | ἄθυρμα ἐν τῷ λόγῳ τοῦ Ἀλκιδάμαντος γράφει· f. 56r
20 καὶ τὸ ἄθυρμα ψυχρὰ μεταφορά, ληφθὲν ἐπὶ ἡδονῆς. [b 14] ἅπαντα
ταῦτα ἀπίθανα δοκοῦσι διὰ τὰ εἰρημένα ἤτοι διὰ τὸ εἶναι τὰς μετα-
φορὰς ἀπὸ τῶν πόρρω καὶ ἀνομοειδῶν. ἡ χελιδὼν ἔχεσε τὸν Γοργίαν· 5
τὸ περίττωμα γάρ ἐστι κόπρος. ὁ Γοργίας ἄριστα ἤτοι κρειττόνως
πάντων τῶν τραγικῶν ἐχρήσατο τῇ μεταφορᾷ εἰπὼν 'αἰσχρόν, ὦ
25 Φιλομήλα, ἐποίησας'· ἀπέσκωψε γὰρ αὐτὴν ὡς παρθένον, οὐχ ὡς ὄρνιν·
† τὸ γὰρ αἰσχρόν, εἰ ὡς ὄρνις τοῦτο ἐποίησεν· αὕτη δὲ ἦν πρώτη παρθένος,
ἧς τὸ ὄνομα Φιλομήλα, καὶ ἀπωρνεώθη. [b 18] εἰπὼν ὃ ἦν — ἦν
γὰρ παρθένος —, ἀλλ' οὐχ ὃ ἔστιν — ἔστι γὰρ ὄρνις —. [b 6] οἱ
γὰρ κωμῳδοποιοὶ χρῶνται τοιαύταις μεταφοραῖς γέλωτα κινούσαις.
30 [b 7] αἱ δέ εἰσιν ἀπρεπεῖς διὰ τὸ σεμνὸν ἄγαν ἤτοι διὰ τὸ ὀγκηραῖς 10
λέξεσι χρᾶσθαι· τοῦτο γὰρ δηλοῖ τὸ σεμνὸν ἐνταῦθα· οἱ γὰρ τραγικοὶ
εὐτελῆ πράγματα λέγοντες ἀποσεμνύνουσιν αὐτὰ καὶ ἐξαίρουσι σεμναῖς
ἤτοι ὀγκηραῖς λέξεσιν.

---

1 καὶ τὰ τῶν γυναικῶν n 2 οἱ om. n 6 Πλάτων] immo Arist. Magn. Moral. I 29 p. 1192ᵇ33 8 ἄλφα V: α n μεταφορὰ δὲ ἤτοι ante ἡ add. n, cf. Arist. 10 νῦν χρῶνται Arist. γελοῖον n εἴποις n 11 cf. Arist. Nub. 711 sqq., unde ὅτι ⟨χόρις⟩ καὶ conicit Diels 12 κατακομίζονται n 13 ἔναιμον n (ἔναιμα Arist. ADE: ἄναιμα Arist. cet.) 15 γοῦν V: οὖν n 16 εἰ post πάλιν add. n φιλοσοφίαν V: σοφίαν n 17 βοήθειαν n 19 Ἀλκιδάμαντος] fr. 14 Sauppe 20 ληφθεὶς n 20. 21 ἅπαντα γὰρ ταῦτα Arist. 22 τόδε γοργίου εἰς τὴν χελιδόνα ante ἡ add. n ex Aristotele ἔχεσε V (man. post. add. υ): ἔχευσε n 24 αἰσχρόν γε Arist. 25 ἀπέσκοψεν n 26 fort. τί vel οὐ pro τὸ scrib. ἐποίησε n fort. πρῶτον 29 ταῖς τοιαύταις n 30 σεμνῶς n 31 λέξεσι n

4. Ἔστι δὲ καὶ ἡ εἰκὼν μεταφορά· διαφέρει δὲ ἡ εἰκὼν ταύ- f. 56r
τῃς, διότι ἡ εἰκών ἐστιν ἀσαφής, ἡ δὲ μεταφορὰ δήλη. διαφέρει καὶ κατὰ τοῦτο
ἤτοι κατὰ τὴν ἐκφώνησιν καὶ φράσιν· ἐπὶ μὲν γὰρ τῆς εἰκόνος λέγεις τὸ ὥς
καὶ τὸ καθά καὶ ἠύ καὶ ἠύτε καὶ τὸ καθάπερ, ἐπὶ δὲ τῶν μεταφορῶν οὔτε 15
5 τὸ ὥς κεῖται οὔτε τὸ ἠύ οὔτε ἄλλο τι ὧν εἴπομεν. [b 23] ἐπεὶ γὰρ ἄμφω
ἤτοι καὶ ὁ λέων καὶ ὁ Ἀχιλλεὺς ἀνδρεῖοί εἰσι, διὰ τοῦτο μεταφορικῶς
εἶπε τὸν Ἀχιλλέα λέοντα. καὶ ἐν λόγῳ δὲ πεζῷ χρησιμεύει καὶ ἡ
εἰκών, πλὴν ὀλιγάκις ἤτοι σπανιάκις δεῖ χρᾶσθαι αὐταῖς ἐν τῷ πεζῷ
λόγῳ· τὸ γὰρ πλειστάκις χρῆσθαι ταῖς εἰκόσι ποιητικόν ἐστιν. [b 25]
10 ὥσπερ δὲ αἱ μεταφοραί εἰσιν οἷσταί, ἤτοι ὥσπερ ταῖς μεταφοραῖς
ὀλιγάκις χρώμεθα ἐν τῷ πεζῷ λόγῳ, οὕτως δεῖ ἐν αὐτῷ χρᾶσθαι καὶ 20
ταῖς εἰκόσιν ὀλιγάκις· ἐπεὶ καὶ αἱ εἰκόνες μεταφοραί εἰσι, κατὰ τοῦτο δὲ
καὶ μόνον διαφέρουσι τῶν μεταφορῶν, διότι ἐν μὲν ταῖς μεταφοραῖς οὔτε
⟨τὸ⟩ ὥς κεῖται οὔτε τὸ καθώς, ἐν δὲ ταῖς εἰκόσι κεῖται τὸ ὥς καὶ τὸ
15 καθώς. ἥντινα εἰκόνα ὁ Ἀνδροτίων εἰς τὸν ἰδριέα ἤτοι συκοφάντην,
ὅτι ὁ ἰδριεὺς ὅμοιός ἐστι τοῖς κυνιδίοις τοῖς ἀπολυθεῖσιν ἐκ τῶν δε-
σμῶν· καὶ ὁ ἰδριεὺς ἀπολυθεὶς ἐκ τῶν δεσμῶν, ἤτοι εἰ ἀπολύσομεν
ἐκ τοῦ δεσμωτηρίου, πάλιν καταβλάψει ἡμᾶς· ἢ τὸ Ἰδριεὺς ληπτέον ὡς 25
ὄνομα κύριον. [b 30] εἰ ὁ Ἀρχίδαμος ἔοικε τῷ Εὐξείνῳ μὴ εἰδότι γεω-
20 μετρεῖν. λοιπὸν ἄρα καὶ ὁ Εὔξεινος ἔοικε τῷ Ἀρχιδάμῳ· ἀγεωμέτρητος
ἄρα κατὰ τοῦτο ὁ Ἀρχίδαμος, τὸ δὲ Ἀρχίδαμος γεωμετρικός ἤτοι
ἀγεωμέτρητος. [b 33] ὅτι οἱ δέροντες τοὺς τεθνεῶτας διὰ τὸ ἀμύνα-
σθαι αὐτοὺς ἐοίκασι τοῖς κυνιδίοις, ἃ τῶν μὲν ἀφιέντων τοὺς λίθους
οὐχ ἅπτονται, δάκνουσι δὲ τοὺς λίθους· ζῶντας γὰρ ἔδει τούτους ἀμύνα-
25 σθαι. καὶ ἡ εἰκὼν ἡ ῥηθεῖσα εἰς τὸν δῆμον παρὰ τοῦ Δημοσθένους, 30
ὅτι ὁ δῆμος ἔοικε ναυκλήρῳ ἰσχυρῷ μὲν εἰς τὸ ἀποκρούσασθαι τὰ
ἐπιφερόμενα κύματα, κωφῷ δέ· καὶ ὁ δῆμος ἰσχυρὸς μέν ἐστιν εἰς τὸ
ἀποκρούσασθαι τοὺς καὶ τὰ τῆς πόλεως καταλυμαινομένους, οὐκ ἀκούει δὲ
τῶν λεγόντων καὶ συμβουλευόντων τὰ λυσιτελῆ καὶ πῶς δεῖ ταῦτα ποιῆ-
30 σαι. [b 36] καὶ ἡ εἰκὼν ἡ ῥηθεῖσα εἰς τὰ μέτρα τῶν ποιητῶν·
ὡραίους λέγει ἄνευ κάλλους τοὺς μὴ ὄντας μὲν ἀμόρφους φύσει, τῇ ἐπι-
χρίσει δὲ τῶν φυκαρίων δοκοῦντας εὐμόρφους· οὗτοι γὰρ εἰ ἀπανθήσουσιν 35

---

2 ἐστι n 7 εἶπεν n καὶ (ante ἡ) om. n 8 χρᾶσθαι, ᾶ in ῆ corr., V: χρῆσθαι n 9 ἐστι n 10 οἱσταὶ V: οἱστέαι n Arist. 11 οὕτω n χρᾶσθαι, ᾶ in ῆ corr., V καὶ om. n 12 εἰσιν n 13 διαφέρουσιν n διότι V: ὅτι n 14 τὸ (ante ὥς) add. n: om. V 14. 15 καὶ τὸ καθώς om. n 15 ἰδριέα scripsi ex Aristotele (cf. infra ad v. 18): ἰδνέα V: ἰδρέα n 16 ἰδριεὺς scripsi: ἰδνεὺς V: ἰδρεὺς n 17 ἰδριεὺς scripsi: ἰδνιεὺς V: ἰδρεὺς n 18 ἰδριεὺς V: ἰδρεὺς n 19 ὡς θεοδάμας ante εἰ add. n ex Aristotele Εὐξένῳ Arist. 21 ὁ ἀρχίδαμος κατὰ τοῦτο n 22 ὅτι οἱ δέροντες om. n 23 ἐοίκασιν n 24 δάκνονται n 25 καὶ ἡ εἰς τὸν δῆμον Arist. A: καὶ ὡς ὁ δημοσθένης εἰς τὸν δῆμον Arist. vulg. παρὰ scripsi: περὶ Vn 26 ἔοικεν n εἰς om. n ἀποκρύσασθαι n 27 ἐστι n 28 καὶ om. n καταλυμαινομένους ex καταλυμαίνοντας corr. V

ἐν τῷ ἀπονίψασθαι καὶ ἐκβαλεῖν φυκάριον δι' ὕδατος, ἀκαλλεῖς εἰσι. καὶ f. 56r
τὰ μέτρα, οἷον τὸ "μῆνιν ἄειδε, θεά", ⟨εἰ⟩ διαλύσεις εἰς τὸ μ καὶ τὸ η
καὶ ἁπλῶς εἰς τὰ στοιχεῖα, ἐξ ὧν συνετέθη, φαίνονται οὐδὲν καὶ ἄρρυθμα. [1407a1] καὶ ἡ εἰκών, ἣν ὁ Περικλῆς εἰς Σαμίους εἴρηκεν
5 'οὕτως οἱ Σάμιοι δέχονται μὲν τὰς εὐεργεσίας παρὰ τῆς πόλεως, δυσχεραίνουσι δὲ ἐν τῷ λαμβάνειν αὐτάς'. [a 3] ὁ πρῖνος μόνος αὐτὸς ὑφ' ἑαυτοῦ θρύπτεται· † εὔθρυπτον γάρ. [a 5] ὥσπερ γὰρ οἱ ἐν τῷ πλοίῳ 40
ὄντες ὑπὸ τοῦ σάλου τῶν κυμάτων ταρασσόμενοι ναυτιῶσι καὶ ἁπλῶς ἀφορῶντες πρὸς τὴν θάλασσαν, οὕτω καὶ ὁ δῆμος ναυτιᾷ καὶ ἰλιγγιᾷ
10 ἀφορῶν πρὸς τὰ πράγματα. [a 7] αἵτινες, αἱ τίτθαι, τὸν ψωμὸν μασσώμεναι τὸν μὲν ἐκ τούτου χυμὸν καταπίνουσι καὶ τὸ εὔχρηστον, τὸ δὲ ἄχρηστον καὶ πιτυρῶδες παραβάλλουσι τὰ παιδία· καὶ οἱ ῥήτορες τὰ f. 56v
μὲν λυσιτελοῦντα τὴν πόλιν παρακατέχουσι καὶ οὐ λέγουσι, τὰ δέ γε ἀλυσιτελοῦντα λέγουσιν. [a 9] ὁ Κηφισόδοτος ὄνομα κύριον. τὰ μὲν τῶν
15 ἀντιγράφων ἔχουσι τὸν λεπτόν· λεπτὸς γὰρ ἦν καὶ ἀσθενὴς καὶ ἰσχνός· τὰ δὲ τῷ λεπτῷ, ἐπεὶ καὶ ὁ λιβανωτός, ὅταν λεπτυνθῇ καὶ τριβεὶς κατακερματισθῇ εἰς μικρά, τότε καὶ τὴν εὐωδίαν προΐησιν. [a 10] ὅτι ὁ 5
λιβανωτὸς ἀπολλύμενος ἤτοι καιόμενος καὶ ἀφανιζόμενος ὑπὸ τοῦ πυρὸς εὐφραίνει· ἀφίησι γὰρ εὐωδίαν· καὶ ὁ Κηφισόδοτος εἰ φονευθῇ ἢ λεπτυνθῇ,
20 ἐν τῷ λαβεῖν πᾶσαν τὴν οὐσίαν αὐτοῦ ὠφεληθείη ἡ πόλις· βλαπτικὸς γὰρ ἦν. πάντα γὰρ ταῦτα ἔστι λέγειν καὶ ὡς εἰκόνας καὶ ὡς μεταφοράς· εἰ μὲν λέγομεν αὐτὰ μετὰ τοῦ ὥς ἢ τοῦ καθώς, λέγονται εἰκόνες, εἰ δὲ χωρὶς τοῦ ὥς καὶ τοῦ καθώς λέγονται, εἰσὶ μεταφοραί· ὥστε τῇ προσθήκῃ τοῦ 10
ὡς καὶ πάλιν τῇ ἀφαιρέσει τοῦ ὡς τὸ αὐτὸ ῥηθήσεται πῇ μὲν εἰκών, πῇ
25 δὲ μεταφορά. [a 11] ὥστε ὅσαι μεταφοραὶ εὐδοκιμοῦσιν ἤτοι ἄρισταί εἰσι, δῆλον ὡς καὶ αὗται καὶ εἰκόνες ἔσονται τῇ προσθήκῃ τοῦ ὡς καὶ αἱ εἰκόνες αὗται πάλιν τῇ ἀφαιρέσει τοῦ ὡς ἔσονται μεταφοραὶ λόγου δεόμεναι ἤτοι οἰκονομίας· δεῖ γὰρ ἀφελεῖν τὸ ὡς ἐξ αὐτῶν. ἢ τὸ λόγου δεόμεναι ἤτοι ἑρμηνείας· αἱ γὰρ εἰκόνες ἀσαφέστεραί εἰσι τῶν
30 μεταφορῶν καὶ διὰ τοῦτο προσθήκῃ τινὸς σαφεστέρας ταύτας ποιήσομεν, σὺν τῷ ἀφελέσθαι καὶ τὸ ὡς ἔσονται μεταφοραί. [a 14] ἀεὶ δὲ δεῖ 15
τὴν μεταφορὰν τὴν ἐκ τοῦ ἀνάλογον ἀνταποδιδόναι καὶ ἀντιστρέφειν ἐπὶ τὸ ἕτερον. καὶ ἐπὶ τῶν ὁμογενῶν δεῖ τὴν ἐκ τοῦ ἀνάλογον μεταφορὰν ἀντιστρέφειν· ὁμογενῆ γάρ εἰσιν ἡ ἀσπὶς καὶ ἡ φιάλη, καθ'

---

1 εἰσιν n 2 μῆνιν κτλ.] Hom. A 1 εἰ add. n: om. V 3 συνετήθη n
3. 4 ἄρυθμα V 5 fort. ante οὕτως quaedam exciderunt, cf. Arist. ἐοικέναι αὐτοὺς τοῖς παιδίοις, ἃ τὸν ψωμὸν δέχεται μέν, κλαίοντα δέ 7 δύσθρυπτον Diels ὁ δημοσθένης τὸν δῆμον ante ὥσπερ add. n ex Aristotele 8 καὶ post σάλου add. n ναυτιῶσιν n
9 ἀφορῶντες scripsi: ἀφορῶν Vn ἡλιγγιᾷ n 10. 11 μασσόμεναι n 12 alterum editionis exemplar παιδία, alterum παιδεῖα exspectes τοῖς παιδίοις 13 παρακατέχουσιν n
14 ὁ Vn: fort. τὸ 15 ἔχουσι om. n τὸν λεπτὸν Arist. (γρ. τῷ λεπτῷ Yᵇ)
19 ἀφίεισι n 20 βλαττικὸς n 22 λέγωμεν n 25 ἄριστοί V 26 εἰσιν n καὶ εἰκόνες—αὗται (27) om. n 27 μεταφοραὶ scripsi ex Aristotele: διαφοραὶ Vn 28 δεόμενα n 33 καὶ ἐπὶ θάτερα Arist. (θατέρου Zᵇ)

ὃ ἀνάγονται ὑπὸ τὸ ἄψυχον· οἷον εἰ ἡ φιάλη ἤτοι ὁ κώθων ὁ μέγας f. 56ᵛ
ἀσπίς ἐστι τοῦ Διονύσου· ὁ γὰρ Διόνυσος ἅτε μέθυσος ὢν ὡς ἀσπίδα
ἔχει τὸν κώθωνα τὸν μέγαν † τὴν ἀσπίδα· ἀεὶ γὰρ ἔχαιρε ταύτῃ, ὡς ἄλλος
τῷ κώθωνι. ἢ καὶ ἐπὶ τῶν ὁμογενῶν νοητέον ἤτοι ἐπὶ τῶν θεῶν·
ὡς γὰρ ἐν τοῖς ἄλλοις τοῖς ἐν τῇ γενέσει χρώμεθα τῇ ἐκ τοῦ ἀνάλογον
μεταφορᾷ, οὕτω δεῖ καὶ ἐπὶ τῶν θεῶν χρᾶσθαι τῇ ἐκ τοῦ ἀνάλογον
μεταφορᾷ· θεοὶ γὰρ ἄμφω, ὅ τε Ἄρης καὶ ὁ Διόνυσος. [a 17] ὁ μὲν
οὖν λόγος συντίθεται ἐκ τούτων ἤτοι εἰκόνων καὶ μεταφορῶν.

5. Περὶ σαφηνείας ἐντεῦθεν. ἀρχὴ δὲ τῆς λέξεως τῆς σαφοῦς
τὸ ἑλληνίζειν ἤτοι Ἑλληνικὰς λέξεις λέγειν καὶ σαφεῖς. μὴ βαρβαρι- 25
κάς. τοῦτο δὲ τὸ ἑλληνίζειν ἐν πέντε θεωρεῖται· [a 20] πρῶτον μὲν
γίνεται σαφήνεια, ἐὰν [δὲ] ἀποδιδῷ τις τοὺς συνδέσμους, ὡς πεφύκα-
σιν ἀποδίδοσθαι, τὸν πρῶτον πρῶτον καὶ τὸν ὕστερον ὕστερον· οἷον ὁ
μὲν πέφυκε πρῶτος ἀποδίδοσθαι καὶ τεθεὶς πρῶτος ἀπαιτεῖ ἀποδοθῆναι
τὸν δέ, οἷον 'ὁ μὲν ἐποίησε τόδε, ὁ δὲ τόδε'· καὶ ὁ ἐγὼ πρῶτος τίθεται,
εἶτα οὗτος ἀπαιτεῖ καὶ τὸ οὗτος, οἷον 'ἐγὼ μὲν ἐποίησα τόδε, ὁ δὲ τόδε'.
εἰ δὲ πρῶτον εἴπῃς τὸ δέ, εἶθ' οὕτω τὸ μέν, ποιεῖς ἀσάφειαν. [a 23] 30
δεῖ δὲ ἀνταποδιδόναι ἀλλήλοις τοὺς συνδέσμους, οἷον τῷ μέν τὸν δέ,
συντόμως, ἕως οὗ μέμνηται ὁ ἀκροατής· οἷον ἡνίκα εἴπῃς τὸ ὁ μέν,
εὐθὺς ὀφείλεις ἐπαγαγεῖν τὸν δέ, ἵνα ἔτι ἐν μνήμῃ ἔχῃ ὁ ἀκροατὴς τὴν
ἀπόδοσιν τοῦ δέ· ἐὰν δὲ εἰπὼν 'ὁ μέν' ἐπάξῃς πολλὰς ἐπεμβολὰς πρὸ τοῦ
ἀποδοῦναι τὸν δέ, ἀσάφεια γίνεται καὶ εἰς λήθην ἔρχεται ὁ ἀκροατὴς τοῦ
ὅτι ἐρρήθη τὸ μέν καὶ διὰ τοῦτο τοῦ δέ μετὰ τὸ εἰπεῖν τὸ μέν ἐν τῷ 35
ἐπεμβάλλειν πολλὰ μεταξὺ πρὸ τῆς τοῦ δέ ἀποδόσεως. [a 24] καὶ μὴ
σύνδεσμον πρὸ τοῦ συνδέσμου ἀποδοῦναι τοῦ ἀναγκαίου· οἷον
μετὰ τὸ ῥηθῆναι τὸν μέν ἀναγκαῖόν ἐστιν ἀποδοθῆναι τὸν δέ σύνδεσμον·
εἰ δὲ εἰπὼν τὸ μέν ἐπάξεις τὸ γάρ καὶ μετὰ τοῦτο τὸ ἐπεί καὶ οὕτω τὸν
δέ, μεγάλην ἀσάφειαν ἐποίησας. [a 25] ὀλιγαχοῦ γὰρ δεῖ· καὶ ἀπαιτεῖ
καὶ ἡ τέχνη πρὸ τῆς ἀποδόσεως τοῦ δέ μετὰ τὸ εἰπεῖν τὸ μέν ἑτέρους
συνδέσμους ἐπεμβαλεῖν μεταξύ, τὸν γάρ καὶ τὸν ἐπεί, ἔνθα δεόμεθα κατα- 40
σκευῶν τῶν πραγμάτων καὶ ἐγκατάσκευον τὸν λόγον ποιῆσαι· οἷον ἐὰν εἴπῃς
[a 26] 'ἐγὼ δὲ ἐπορευόμην παραλαβὼν αὐτούς', σαφῆ ἐποίησας τὸν
λόγον· ἀπεδόθη γὰρ τὸ ἐγώ εἰς τὸ ἐπορευόμην· ἐὰν δὲ εἰπὼν τὸ ἐγώ οὐκ
εὐθὺς ἐπάξῃς τὸ ἐπορευόμην, ἀλλὰ πρὸ τοῦ ἐπορευόμην ἐπεμβάλῃς ἑτέρους
ἄλλους συνδέσμους, οἷον 'ἐπεί μοι εἶπεν· ἦλθέ τε γὰρ κλαίων |

1 ὑπὸ V: ἐπὶ n ἡ κώθων n 2 ἐστιν n 5 τοῦ om. n 6 χρῆσθαι n τοῦ V: τῶν n 8 μεταφορῶν V: διαφορῶν n 12 ἂν Arist. δὲ V: om. n Arist. 15 ὁ (ante ἐγώ) om. n 16 οὗτος (post εἶτα) V: om. n: fort. οὕτως 17 οὕτως n 19 τὸ ὁ V: τὸν n 23 ἐρήθη V τοῦ V: οὐ n τὸ μέν V: τὸν μέν n 25 ἀποδιδόναι Arist. 26 ἐστι n 27 ἐπάξῃς n 29 τοῦ scripsi: τὸν Vn τὸν μέν n 30 τὸν (ante γάρ) om. n 31 καὶ ἐγκατασκευῶν n 35 τε Vn Arist. EQYᵇZᵇ: om. Arist. cet. κλαίων Vn: Κλέων Arist. (καὶ κλέων YᵇZᵇ)

δεόμενός τε καὶ ἀξιῶν', εἶτα ἀποδώσεις τὸ ἐπορευόμην, ἀσαφῆ f. 57r
τὸν λόγον ἐποίησας· ἐν τούτοις γὰρ πολλοὶ προβέβληνται σύνδεσμοι
καὶ ἐνεβλήθησαν μεταξύ, ἤγουν ὁ ἐπεί καὶ γάρ, πρὸ τοῦ ἀποδοθησο-
μένου συνδέσμου ἤτοι πρὸ τοῦ ἐπορευόμην, ὅπερ ἐστὶν ἀπόδοσις τοῦ
5 δέ συνδέσμου τοῦ κειμένου ἐν τῷ 'ἐγὼ δέ'. [a 29] ὅταν δὲ πολὺ γένη-
ται τὸ μεταξύ, ἤτοι ὅταν δὲ πολλαὶ γένωνται αἱ μεταξὺ ἐπεμβολαὶ τῶν 5
ἄλλων συνδέσμων, ἤτοι τοῦ ἐπεί καὶ τοῦ γάρ, πρὸ τοῦ ἀποδοῦναι τὸ ἐπο-
ρευόμην, ἀσαφῆ τὸν λόγον ἐποιήσω. σαφὲς δ' ἂν εἴη, εἴπερ εἶπεν 'ἐγὼ
δὲ ἐπορευόμην παραλαβὼν αὐτούς' ἀφεὶς τὰ μεταξὺ τὸ 'ἐπεί μοι εἶπε'
10 καὶ τὰ λοιπά. [a 30] ἓν μὲν δὴ τὸ εὖ ἤτοι καθ' ἕνα μὲν τρόπον τὸ
εὖ ἢ τὸ σαφὲς θεωρεῖται ἐν τοῖς συνδέσμοις ἤτοι ἐν τῷ συντόμως
ποιεῖν τὴν τῶν συνδέσμων ἀπόδοσιν. δεύτερος δὲ τρόπος ποιῶν σαφήνειαν 10
τὸ τοῖς ἰδίοις καὶ κυρίοις ὀνόμασιν ἕκαστον ὀνομάζειν καὶ μὴ τοῖς
περιέχουσιν ἤτοι τοῖς καθ' ὅλου, οἷον τὸν Σωκράτην· σαφήνειαν ἂν
15 ποιήσῃς, εἰ Σωκράτην εἴπῃς παρ' ὃ εἰ ἄνθρωπον ἢ ζῷον. [a 31] καὶ
τρίτος τρόπος ποιῶν σαφήνειαν τὸ μὴ ἀμφιβόλοις ὀνόμασι χρᾶσθαι ἤτοι
ὁμωνύμοις· ταῦτα δὲ δεῖ παραφυλάττειν, ἤτοι τὸ τοῖς ἰδίοις ὀνόμασι
χρᾶσθαι καὶ μὴ τοῖς καθ' ὅλου, τὸ μὴ ὁμωνύμοις χρῆσθαι φωναῖς, ἃ 15
ποιοῦσιν ἀσάφειαν, ἐὰν μὴ προαιρῆται ὁ ῥήτωρ τἀναντία ἤτοι τὴν
20 ἀσάφειαν καὶ ἔμφασιν ποιῆσαι δεινότητος· εἰ γὰρ τοῦτο αἱρεῖται, χρησι-
μεύσῃ ἂν εἰς ἀσάφειαν καὶ τὸ τοῖς καθ' ὅλου χρᾶσθαι καὶ ὁμωνύμοις·
[a 33] ὅπερ, τοῦτο τὸ ὁμωνύμοις χρᾶσθαι, ποιοῦσιν οἱ ῥήτορες, καὶ τὸ
ἐπεμβάλλειν μεταξὺ πρὸ τῆς ἀποδόσεως συνδέσμους πολλούς, ὅταν μηδὲν
μὲν ἔχωσι λέγειν οἱ ῥήτορες, ἤτοι ὅταν τὰ πράγματα οὐ παρέχωσιν
25 αὐτοῖς ὕλην εἰς τὸ λέγειν, προσποιοῦνται δὲ ὕλην εἰς τὸ λέγειν ἔχειν·
καὶ διὰ τὸ προσποιεῖσθαι ἔχειν ὕλας πολλὰς εἰς τὸ λέγειν λέγουσι ταῦτα 20
ἤτοι ὁμωνύμως· ἐπεμβάλλουσι γὰρ μεταξὺ συνδέσμους πολλούς. [a 35]
φησὶ δὲ καὶ ὁ Ἐμπεδοκλῆς, ὅτι τὸ κύκλῳ ἤτοι τὸ παρεμβάλλειν
μεταξὺ πρὸ τῆς ἀποδόσεως συνδέσμους πολλούς, ἐὰν γένηται πολλὴ ἡ
30 περιβολή, φενακίζει καὶ ἀπατᾷ καὶ ἀσάφειαν ποιεῖ· κἀντεῦθεν συμβαίνει
τοὺς ἀκροατὰς πάσχειν καὶ μὴ νοεῖν ἐκ τοῦ λέγειν τοὺς ῥήτορας ἀμφίβολα·
ὥσπερ καὶ οἱ πολλοὶ συμπαρανεύουσι καὶ ἀμφιβάλλουσιν, ὅταν 25
ἀκούωσι τῶν μάντεων ἀμφίβολα λεγόντων. [b 1] ἔλαττον δέ ἐστιν

---

2 προβέβληνται V: προβάλλονται n: προεμβέβληνται Arist. 5 τοῦ κειμένου om. n
6 τὸ μεταξὺ γένηται Arist. πολλὰ n 8 ἀσαφῆ—ἐποιήσω om. n 9 εἶπε scripsi ex Aristotele: εἴτε Vn 10 δὴ V Arist.: δὲ n 12 ποιῶν σαφήνειαν n: οἷον σαφήνεια V 15 εἰ (post ὅ) V: ἢ n 16 ποιῶν n: ποιοῦν V ὀνόμασιν χρῆσθαι n 18 ὀνόμασιν χρῆσθαι n χρῆσθαι n: χρ, tum littera evanuit, manu posteriore in charta agglutinata σθαι, V 19 ἂν μὴ τἀναντία προαιρῆται Arist. ὁ ῥήτωρ—αἱρεῖται (20) om. n 21 καὶ τὸ—ὁμωνύμοις om. n 22 ὅπερ ποιοῦσιν Arist. vulg.: ὃ περιποιοῦσιν Arist. A τοῦτο om. n ὁμωνύμοις V: τοῖς καθόλου n χρῆσθαι n 23 μηθὲν Arist. 25 προσποιοῦνται V: προσποιῶνται n Arist. 26 cf. Arist. ἐν ποιήσει λέγουσι ταῦτα 30 φαινακίζει n 32 συμπαρανεύουσιν n 33 ἀκούωσιν n ἐστι n

ἁμάρτημα τὸ λέγειν τὰ πράγματα αὐτά, ἀλλὰ μὴ τὰ γένη αὐτά· καὶ f. 57r
διὰ τοῦτο καὶ οἱ μάντεις οὐ τὰ πράγματα λέγουσι διὰ τὸ εὐόλισθον,
ἀλλὰ τὰ γένη αὐτῶν· μᾶλλον γὰρ ἐπιτυγχάνει λέγων τὰ γένη, οἷον καὶ εἴ
τις ἐν τῇ χειρὶ αὐτοῦ περικαλύψει κυάμους δέκα ἢ δεκαπέντε, εἶτα προ-
5 τείνῃ τῷ ἑτέρῳ τὸ εἰπεῖν 'ζυγὰ τὰ λέγεις ἢ μόνας' ἐὰν ἀποκριθῇ ὁ ἐρω- 30
τώμενος ἄρτια ἢ περισσά, μᾶλλον ἐπιτύχῃ, παρ' ὃ ἐὰν εἴπῃ πόσα
εἰσίν, ἤτοι παρ' ὃ ἐὰν εἴπῃ τρία ἢ τέσσαρα ἢ πέντε· καὶ πάλιν ἐὰν εἴπῃ
τις, ὅτι ἔσται ἤτοι μέλλει γενέσθαι τόδε ἀορίστως, μᾶλλον ἐπιτύχῃ,
παρ' ὃ ἐὰν εἴπῃ πότε ἔσται ἤτοι μετὰ τρεῖς ἢ καὶ πέντε ἡμέρας, τουτ-
10 έστιν ὡρισμένως. [b 4] διὸ καὶ οἱ χρησμολόγοι ἤτοι οἱ μάντεις ἐρω- 35
τώμενοι καὶ πότε ἔσται, ἃ λέγουσι γενέσθαι, οὐ προσορίζονται τὸ
πότε ἤτοι τὸν καιρόν, ἀλλ' ἀορίστως λέγουσι τὸ 'μέλλει τόδε γενέσθαι.'
ἅπαντα δὴ ταῦτα, ἤτοι τὸ ἀντὶ τῶν πραγμάτων λέγειν τὰ γένη αὐτῶν,
τὸ μὴ ὡρισμένον λέγειν τὸν καιρόν, τὸ ἐπεμβολὰς ποιεῖν ἐκτεταμένας,
15 ὅμοιά εἰσιν ἤτοι ἀσάφειαν ποιοῦσιν· οἷον εἰ μὲν εἴπῃς ὅτι 'ἔμελλεν ἄρα
πολλὰς ἡμῖν ὑποθέσεις τῶν λόγων ἀεὶ προτιθεὶς ὁ μέγας Βασίλειος ἑαυτὸν
ἡμῖν νῦν προθήσειν ὑπόθεσιν'. σαφὴς ὁ λόγος διὰ τὸ σύντομον γενέσθαι
καὶ τὴν ἀπόδοσιν· ἐὰν δὲ εἰπὼν τὸ 'ἔμελλεν' ἐπεμβάλῃς μεταξὺ 'καὶ γὰρ 40
ἐφιλοτιμεῖτο', ἀσαφῆ τὸν λόγον ἐποίησας. [b 6] ὥστε φευκτέον τὰ
20 τοιαῦτα ἤτοι τὸ ἀορίστως λέγειν τὸ ὁμώνυμον, τὸ τὰ γένη ἀντὶ τῶν πραγ-
μάτων λέγειν, εἰ μὴ ἕνεκα τοιούτου τινός, ἤγουν εἰ μή που μέλλεις |
ἀσάφειαν ποιῆσαι· τότε γὰρ καὶ μάλα χρηστέον αὐτοῖς ὡς λυσιτελοῦσιν f. 57v
εἰς τὴν ἀσάφειαν· ἢ εἰ μή που ἔχων πράγματα λέγειν προσποιεῖται λέγειν,
καὶ τότε χρηστέον αὐτοῖς. [b 6] τέταρτος τρόπος σαφηνείας τὸ τὰ γένη
25 τῶν ὀνομάτων διαιρεῖν ἤτοι τὰ ἀρσενικά, τὰ θηλυκὰ καὶ τὰ σκεύη ἤτοι
τὰ οὐδέτερα, ὡς ὁ Πρωταγόρας ἔλεγεν· δεῖ γὰρ ἀποδιδόναι ταῦτα
τὰ γένη ὀρθῶς· οἷον εἰ ἀρσενικὰ λέγεις ὀνόματα, ὀφείλεις καὶ τὰς ἀπο- 5
δόσεις ἀρσενικὰς ποιεῖν, εἰ δὲ θηλυκὰ λέγεις ὀνόματα, ὀφείλεις ἐπισυνάπτειν
αὐτοῖς ὀνόματα θηλυκὰ καὶ τὰς ἀποδόσεις θηλυκάς· ὁ γὰρ Ψαλμῳδὸς ἐπι-
30 συνάψας τοῖς θηλυκοῖς καὶ ἀρσενικοῖς ὀνόμασι τὸ ἃ διὰ τοῦ ἃ ἐποίησεν
ἀσάφειαν, οἷον "σελήνην καὶ ἀστέρας, ἃ σὺ ἐθεμελίωσας". καὶ τοῖς οὐδε-
τέροις ὀνόμασι δεῖ ἐπισυνάπτειν οὐδέτερα ὀνόματα, οἷον [b 9] 'ἡ δ'
ἐλθοῦσα καὶ διαλεχθεῖσα'· ὁρᾷς, πῶς τοῖς θηλυκοῖς ὀνόμασι συγκατ- 10
έμιξε θηλυκά, οἷον καὶ διαλεχθεῖσα, καὶ οὐχὶ ἀρσενικὰ ἢ οὐδέτερα.
35 πέμπτος τρόπος σαφηνείας τὸ ὀνομάζειν τὰ πολλὰ ἤτοι τὸ τὰ πολλὰ
πληθυντικῶς λέγειν καὶ ἀποδιδόναι πληθυντικῶς, οἷον [b 10] 'οἱ δ' ἐλθόν-

3 οἷον ἐν τοῖς ἀρτιασμοῖς ante οἷον add. n, cf. Arist. καὶ om. n 4 ἀρτοῦ περικαλύψῃ n 5 μονά Vn ἐὰν δὲ n 6 περιττὰ n 7 καὶ V: ἢ n
9 καὶ om. n 11 καὶ om. n ἃ V: ὃ n γενέσθαι—λέγουσι (12) om. n
τὸ V Arist. Yb: om. Arist. cet. 12 γίνεσθαι n 19 τῶν λόγων ὑπόθεσιν infra p. 184,5 23 λέγειν (post προαιρεῖται) Vn: exspectes ἔχειν 26 καὶ ταῦτα Arist.
29 ὁ Ψαλμῳδός] 8,4 30 ὀνόμασιν n ἐποίησε n 31 ἐθεμελείωσας n
32 et 33 ὀνόμασιν n 36 καὶ τὸ ἀποδιδόναι n

τες ἐτύπτησάν με', οὐκ εἶπεν 'ἔτυπτέ με', καὶ τὸ τὰ ὀλίγα ἤτοι τὰ f. 57v
δοϊκὰ δοϊκῶς λέγειν καὶ τὴν ἀπόδοσιν ποιεῖν δοϊκήν, οἷον 'αὐτὼ δὲ μάρ-
τυρε ἦτον'· εἰκότως δὲ εἶπε τὰ δύο ὀλίγα, τῶν γὰρ δύο οὐδέν ἐστιν ὀλι- 15
γώτερον· καὶ τὸ ἓν ὀρθῶς ὀνομάζειν ἤτοι καὶ τὸ ἑνικὸν ἑνικῶς
5 ἀποδιδόναι, οἷον 'ὁ δ' ἐλθὼν ἔτυπτέ με'. [b 11] ὅλως δὲ δεῖ τὸ
γεγραμμένον εἶναι εὐανάγνωστον καὶ μὴ τραχὺ καὶ δυσχέρειαν ποιοῦν
περὶ τὴν ἐκφώνησιν· τοιαῦτα δ' εἰσὶ τὰ μὴ ἔχοντα συγκρούσεις συμ-
φώνων, ὡς τὸ ''Ατρεὺς σκῆπτρον κρούει'. καὶ τὸ λεγόμενον δεῖ εἶναι
εὔφραστον, ἤτοι ἃ δύναται ῥᾳδίως ἐκφωνεῖν ὁ ἀναγινώσκων καὶ
10 μὴ ἔχειν δυσχέρειαν περὶ τὴν φράσιν αὐτοῦ ὁ ἀναγινώσκων ὡς συγ-
κρούσεις ἔχον συμφώνων, ἤτοι δεῖ εἶναι εὐανάγνωστον. [b 12] ἔστι 20
δὲ τὸ αὐτὸ ἤτοι σαφὴς ὁ λόγος, εἰ εὐανάγνωστός ἐστιν. ὅπερ (τοῦτο
τὸ σαφές) οὐκ ἔχουσιν οἱ πολλοὶ σύνδεσμοι, ἤτοι ἔνθα παρεμπλοκὴ
γένηται συνδέσμων πολλῶν πρὸ τῆς ἀποδόσεως τοῦ λόγου. οὐδὲ ταῦτά
15 εἰσι σαφῆ, ἃ οὐ ῥᾴδιόν ἐστι διαστίξαι, ἤτοι οὕτως δεῖ ἀναγινώσκειν
ἤτοι 'Ηρακλέα χρυσοῦν' ἢ οὕτως 'χρυσοῦν ῥόπαλον'· ἀσάφεια γὰρ γίνεται
διὰ τὸ ἄδηλον εἶναι, τίνι δεῖ τὸ χρυσοῦν ἐπισυνάψαι, 'Ηρακλεῖ ἢ τῷ 25
ῥοπάλῳ. [b 14] διαστίξαι ἔργον ἤτοι δύσκολον· ἄδηλον γάρ ἐστι,
ποίῳ δεῖ προσκεῖσθαι τὸ ἀεί, τῷ προτέρῳ ἤτοι τῷ δέοντος, οἷον ''τοῦ
20 λόγου τοῦ δέοντος ἀεὶ ἀξύνετοι'', ἢ τῷ ὕστερον ἤτοι τῷ ἀξύνετοι,
οἷον ''τοῦ λόγου τοῦ δέοντος ἀεὶ ἀξύνετοι''. ἐντεῦθεν περὶ σολοι-
κισμοῦ. [b 18] σολοικίζειν ποιεῖ καὶ τὸ μὴ ἀποδιδόναι, ὅπερ
ἁρμόττει ὑποκείμενον ἀμφοῖν ἤτοι ἑκατέρᾳ αἰσθήσει, ἐὰν μὴ ἐπιζευγ-
νύῃς, ἤτοι ἐὰν μὴ καθ' ὅλου εἴπῃς· οἷον τῇ μὲν ὄψει ὑπόκειται τὰ 30
25 χρώματα, τῇ δὲ ἀκοῇ οἱ ψόφοι· εἰ μὲν οὖν εἴπῃς καθ' ὅλου ὅτι 'αἰσθά-
νομαι τῶν φωνῶν τῶν φωνούντων ὀξέα', οὐ σολοικίζεις, ἐὰν δὲ εἴπῃς
'εἶδον τὴν φωνήν', σολοικίζεις· οὐ γὰρ ἁρμόττει ἡ φωνὴ ὑποκείμενον εἶναι
τῇ ὄψει. ὁμοίως σολοικίζει καὶ ὁ λέγων 'εἶδε τὸ θερμόν'. [b 20] τὸ
μὲν οὖν ἰδὼν ἐστιν οὐ κοινὸν ἤτοι μερικόν, τὸ δὲ αἰσθάνομαί ἐστι
30 κοινὸν ἤτοι καθ' ὅλου. δεῖ γοῦν ἐπιζευγνύειν ἤτοι καθ' ὅλου λέγειν 35
'αἰσθάνομαι τῶν φωνῶν', ἀλλὰ μὴ 'εἶδον τὰς φωνάς'. ἀσαφὴς δὲ γίνεται
ὁ λόγος, ἐὰν μέλλων πολλὰ εἰπεῖν μεταξὺ καὶ ἐπεμβαλεῖν μὴ εἴπῃς πρὸ
τῆς ἐπεμβολῆς τὴν ἀπόδοσιν, οἷον τοῦ ἔμελλον ἐστὶν ἀπόδοσις τὸ πορεύ-
εσθαι· οἷον εἰπὼν [b 22] 'ἔμελλον διαλεχθεὶς ἐκείνῳ' μὴ εὐθὺς
35 ἀποδώσει τὸ πορεύεσθαι, ἀλλὰ μεταξὺ ἐπεμβάλῃ τὸ 'τάδε καὶ τάδε καὶ

---

1 ἐτύπτησάν V: ἔτυπτόν n Arist. 2 αὐτῷ n 3 εἶπεν n ἐστι n
3. 4 ὀλιγότερον n 6 δυσχαίρειαν n ποιοῦν ἔχον V: ἔχον n 9 ἃ V: ὃ n
καὶ — ἀναγινώσκων (10) om. n 13 οἱ πολλοὶ σύνδεσμοι οὐκ ἔχουσιν Arist. 15 ἃ μὴ
Arist. ἤτοι Vn: exspectes πότερον 16 cf. e. g. Syrian. in Hermog. II 202,6
τελευτῶν τις κατέλιπέ τινι τὴν οὐσίαν ἐφ' ᾧτε ἀναθεῖναι τῇ πόλει 'Ηρακλέα χρυσοῦν ῥόπαλον
ἔχοντα 17 ἐπισυνάψαι, ἅψαι evan., V 20 τοῦ δέοντος Vn Arist. A: τοῦ ὄντος
Arist. vulg.: τοῦδ' ἐόντος corr. Victorius 25 χρώματα n: χρήματα V 29 ἰδὼν V
Arist.: εἶδον n αἰσθόμενος Arist. 32 πρὸ V: πρὸς n 34 fort. οἷον
⟨εἰ⟩ ἔμελλον γὰρ Arist. 35 ἀποδώσῃ n ἐπεμβάλλῃ n

ὧδε.' εἶτα ἐπάξει τὴν ἀπόδοσιν, ἀσαφὴς ὁ λόγος γίνεται. ἐὰν δὲ εἴπῃς f. 57v
'ἔμελλον διαλεχθεὶς ἐκείνῳ πορεύεσθαι', εἶτα 'καὶ εἰπεῖν τάδε καὶ 11
τάδε καὶ ὧδε,' σαφὴς ὁ λόγος γίνεται. καὶ πάλιν ⟨εἰ⟩ εἴπῃς 'ἔμελλεν
ἄρα πολλὰς ἡμῖν ὑποθέσεις τῶν λόγων ἀεὶ προτιθεὶς ὁ μέγας Βασίλειος'
5 καὶ εὐθὺς ἐπάξεις τὴν ἀπόδοσιν 'ἑαυτὸν ἡμῖν νῦν προθήσειν τῶν λόγων
ὑπόθεσιν', εἶτα 'ἐφιλοτιμεῖτο γὰρ τοῖς ἑαυτοῦ λόγοις', σαφὴς ὁ λόγος f. 58r
ἐγένετο. τὸ δὲ ποιεῖν μέγεθος τῷ λόγῳ ἐστὶ τῆς σεμνότητος. εἰ δὲ
εἰπὼν 'ἔμελλεν ἄρα πολλὰς ἡμῖν ὑποθέσεις' ⟨καὶ⟩ τὰ λοιπὰ πρὸ τοῦ ἀπο-
διδόναι 'ἑαυτὸν ἡμῖν νῦν' ἐπεμβάλῃ 'καὶ γὰρ ἐφιλοτιμεῖτο τοῖς ἑαυτοῦ
10 λόγοις,' εἶτα ἀποδώσει τὸ 'ἑαυτὸν νῦν ἡμῖν προθήσειν', ἀσαφὴς ὁ λόγος
ἐγένετο.

6. Ὄγκον δὲ ἤτοι τὸ μέγεθος δὲ λέξει ἤτοι τῇ φράσει καὶ μῆκος 5
χαρίζεται τὸ λέγειν τὸν ὁρισμὸν ἀντὶ τοῦ ὀνόματος, οἷον μὴ εἰπεῖν
κύκλον, ἀλλὰ σχῆμα ἐπίπεδον, οὗ αἱ ἐκ τοῦ μέσου ἐκβληθεῖσαι περι-
15 φέρειαι ἴσαι ἀλλήλαις εἰσίν. [b 28] εἰ δὲ σύντομον καὶ γοργὸν τὸν λόγον
μέλλομεν ποιῆσαι, ἀντὶ τοῦ λόγου ἤτοι τοῦ ὁρισμοῦ δεῖ εἰπεῖν τὸ ὄνομα
ἤτοι κύκλον. ἂν δὲ ἐν τῷ ὀνόματι ᾖ τὸ αἰσχρόν, ἤτοι [τὸ] ἐπεὶ
αἰσχρόν ἐστι τὸ λέγειν 'ὁ δεῖνα τὴν δεῖνα διέφθειρε', δεῖ τὸν λέγοντα 10
λέγειν ὅτι "λῦσε δὲ παρθενικὴν ζώνην". [b 31] δεῖ δὲ δηλοῦν τὸ πρᾶγμα,
20 εἰ αἰσχρόν ἐστι, διὰ μεταφορῶν καὶ ἐπιθέτων, εὐλαβεῖσθαι δέ, ἵνα μὴ
πυκνοτέρως χρᾷ ταῖς μεταφοραῖς καὶ τοῖς ἐπιθέτοις, ἵνα μὴ ὁ λόγος δόξῃ
ποίησις. συμβάλλεται δὲ εἰς τὸν ὄγκον καὶ τὸ μέγεθος καὶ μῆκος τοῦ
λόγου τὸ ποιεῖν τὸ ἓν πολλά, οἷον μὴ λέγειν λιμένα ἀλλὰ λιμένας.
[b 35] μία ἐστὶν ἡ διαπτυχὴ τῆς δέλτου ἤτοι βίβλου καὶ εἴρηκε διαπτυ-
25 χαί. διαπτυχή ἐστιν ἡ τῶν δύο σανίδων συνοχὴ ἡ συνέχουσα ἐντὸς τὰ 15
τετράδια. διαπτυχή ἐστι καὶ ἐπὶ τοῦ οὐρανοῦ καὶ ἐπὶ θύρας συμβαλτῆς.
ἀπὸ τῆς δέλτου οὖν τῆς ἀνοιγομένης καὶ συγκλειομένης εἶπε καὶ περὶ τοῦ
οὐρανοῦ ἀνοίγεσθαι αὐτοῦ τὰς διαπτυχάς. [b 35] καὶ μὴ ἐπιζευγνύναι
τὰ δύο ὑπὸ τοῦ ἑνὸς ἄρθρου, οἷον τῆς ἡμετέρας γυναικός, ὅπερ ποιεῖ
30 συντομίαν, ἀλλ' ἑκάτερα, ἤτοι καὶ τῆς γυναικὸς καὶ τῆς ἡμετέρας, ἔχειν
ἑκάτερον ἤτοι τὰ οἰκεῖα ἄρθρα ἤτοι τῆς γυναικὸς τῆς ἡμετέρας. 20

---

1 ἐπάξῃ n 2 ἔμελλον γὰρ Arist. 3 καὶ (ante ὧδε) om. n εἰ add. n: om. V 5 ἐπάξῃς n ἡμῖν νῦν V, cf. supra p. 182,17: νῦν ἡμῖν n, cf. infra p. 194,3 τῶν λόγων om. p. 182, 17. 194,3 7 τὸ δὲ ποιεῖν – σεμνότητος ad v. 12 sq. spectant 8 καὶ add. n: om. V 9 ἐπεμβάλω V 14 τὸ ἐκ τοῦ μέσου ἴσον ἤτοι post ἐπίπεδον add. n, cf. Arist. ἐμβληθεῖσαι n 15 τὸν λόγον om. n 17 ἂν V: ἐὰν n Arist. τὸ (post ἤτοι) V: om. n 18 τὴν δεῖνα om. n διέφθειρεν n τὸν λόγον ante δεῖ add. n 19 λῦσε κτλ.] Hom. λ 245 (ubi παρθενίην legitur) λῦσε δὲ V: λῦσεν n 20 ἐστιν n 21 χρᾷ n: χρῶ V 23 τὸ (ante ἓν) V Arist.: om. n ἓν Vn Arist. BCD: om. Arist cet. 24 ἐστὶ n 24. 25 δέλτου — διαπτυχαί] Eurip. Iph. Taur. 727 25 ἐστι n 26 τετράδυα V συβαλτῆς n 27 εἶπεν n 30 ἑκάτερα scripsi: ἑκα V: ἑκατέρας n (ἑκατέρῳ τρ' ἑκάτερον Arist.) 31 ἑκάτερον V Arist.: ἑκάτερα n γυναικὸς καὶ τῆς n

[b 37] μετὰ συνδέσμου λέγω τοῦ καί, ἐὰν εἴπω πορευθεὶς καὶ διαλεχθείς· εἰ δὲ μέλλω σύντομον ποιῆσαι τὸν λόγον, ἄνευ συνδέσμου ἤτοι οὐ δεῖ χρᾶσθαι τοῖς συνδέσμοις· πλὴν κἂν ἄνευ συνδέσμου δεῖ λέγειν, ἀλλ' οὐχὶ καὶ ἀσύνδετος ἤτοι ἀναπόδοτος καὶ ἀσυνάρτητος, οἷον 'πορευθεὶς διελέχθην'· τὸ γὰρ διελέχθην ἀπόδοσις ὂν συνδέει καὶ τελειοῖ τὸν λόγον. τὸ δὲ 'πορευθεὶς καὶ διαλεχθείς' παράδειγμά ἐστι τοῦ μετὰ συνδέσμου λόγου· τὸ δὲ 'πορευθεὶς διελέχθην' παράδειγμά ἐστι τοῦ ἄνευ συνδέσμου λόγου, οὐκ ἀσυνδέτου δέ. [1408a1] καὶ τὸ Ἀντιμάχου χρήσιμον εἰς τὸ ποιεῖν μέγεθος τῷ λόγῳ, ἐξ ὧν μὴ ἔχει λέγειν ἤτοι ἐν οἷς μὴ ἔχει ὕλας εἰς τὸ λέγειν, ποιεῖ περιφράσεις ἢ μᾶλλον εἰπεῖν μεταφορὰς διὰ μέγεθος τοῦ λόγου. ὅπερ ἐκεῖνος ὁ Ἀντίμαχος ποιεῖ· ἀντὶ τοῦ εἰπεῖν 'ὁ Τευμησσὸς ὄρος ἐστί' λέγει 'ὁ Τευμησσός ἐστιν ἠνεμόεις ὀλίγος λόφος'. καὶ γὰρ οὕτως ὁ λόγος αὔξεται ἐπ' ἄπειρον ἤτοι ταῖς περιφράσεσιν· οἷον ⟨εἰ⟩ ἀντὶ τοῦ εἰπεῖν ''Ηρακλῆς' εἴποι τις 'ἔστι βίη Ἡρακλείη'. [a 4] ἔστι δὲ τοῦτο ποιεῖν καὶ ἐπὶ ἀγαθῶν καὶ κακῶν· κἂν γὰρ κακὸν ᾖ, ἔστι χρήσασθαι τῇ περιφράσει, κἂν ἀγαθὸν ᾖ, ἔστι χρήσασθαι καὶ ἐπ' αὐτῷ τῇ περιφράσει, ὁποτέρως ἄν σοι χρησιμεύῃ. εἰ μὲν μέγεθος μέλλεις τῷ λόγῳ ποιῆσαι, δεῖ ποιεῖσθαι τὰς περιφράσεις (οὕτως γὰρ αὔξεται, εἴτε τὸ προκείμενον ἀγαθόν ἐστιν εἴτε κακόν)· εἰ μέλει σοι συντομίας καὶ μειῶσαι τὸ προκείμενον ἀγαθὸν ἢ κακὸν θέλεις καὶ σμικρῦναι, οὐ δεῖ χρᾶσθαι ταῖς περιφράσεσιν, ἀλλὰ λέγειν 'ὁ Τευμησσὸς ὄρος ἐστί' καὶ ''Ηρακλῆς'. [a 5] ὅθεν ἤτοι τῇ περιφράσει οἱ ποιηταὶ τὰ ὀνόματα φέρουσιν· ἀντὶ γὰρ τοῦ εἰπεῖν 'μέλος' ἄλυρον λέγουσι μέλος καὶ ἄχορδον· ἐπιφέρουσι γὰρ τὰ ὀνόματα ἐν τοῖς πράγμασιν ἐκ τῶν στερήσεων ἤτοι α στερητικοῦ· τοῦτο γὰρ ἤτοι τὸ χρᾶσθαι τῇ περιφράσει καὶ ἐπιτιθέναι καὶ ὀνόματα τοῖς πράγμασιν ἐκ τῶν στερήσεων εὐδοκιμεῖ λεγόμενον ἐν ταῖς μεταφοραῖς ταῖς ἀνάλογον ἤτοι ταῖς ἀναλογίᾳ θεωρουμέναις· οἷον εἰ ἡ σάλπιγξ μέλος ἐστὶν ἄλυρον, λοιπὸν ἡ λύρα ἐστὶ μέλος εὔλυρον.

7. Καὶ ἀνάλογον ἤτοι ἁρμόζουσα τοῖς ὑποκειμένοις πράγμασιν ἠθική ἐστι λέξις ἡ ἐμφαίνουσα τὸ ἦθος τοῦ λέγοντος ὀργίλον ἢ χάριεν ἢ ἀληθευτικὸν ἢ σεμνόν. [a 12] αὐτοκιβδήλως ἤτοι ταπεινῶς καὶ εὐτελῶς.

f. 58r

---

1 λέγω V (ω ex ειν corr.): λέγειν n Arist. 2 ἄνευ μὲν Arist. 3 χρῆσθαι n
4 ἤτοι ἀναπόδοτος om. n 12 τευμησὸς V λέγει ὅτι ὁ n τευμησός V
13 λόφος n Arist.: ὄφος evanuit in V, man. post. in charta agglutinata ο suppletum est αὔξεται γὰρ οὕτως εἰς Arist. 14 εἰ add. n: om. V εἴπῃ n
16 κἂν ἀγαθὸν — περιφράσει (17) om. n 19 οὕτω n ἐστι n 20 μέλει scripsi: μέλλει Vn 21 χρῆσθαι n 21. 22 τευμησὸς V 22. 23 τὰ ὀνόματα οἱ ποιηταὶ Arist. 23. 24 τὸ ἄχορδον καὶ τὸ ἄλυρον μέλος Arist. (μέρος A) λέγουσιν n
25 ἤτοι τοῦ α n 26 χρῆσθαι n 27 ἐν ταῖς μεταφοραῖς λεγόμενον Arist.
28 ἀναλογίαν n ἐστὶ n 29 ἐστὶν n 32 αὐτοκιβδήλως Vn Arist. (γρ. αὐτοκαυδάλως YbC marg.)

γράφεται καὶ αὐτοκαβ|δάλως. λέγεται δὲ καὶ αὐτοκάβδαλον τὸ f. 58v
ταπεινὸν καὶ εὐτελὲς καὶ αὐτόξεστον καὶ αὐτοσχέδιον ἐκ μεταφορᾶς τῶν κονταρίων, ἐν οἷς οὐχὶ ἀπεξέσθη τὸ ἄκρον παρὰ τοῦ τέκτονος, ἐν ᾧ τὸ ἔῳρος ἐντίθεται. ἀλλὰ τοιοῦτόν ἐστι φύσει ἀπεξεσμένον πρὸς τὸ ὀξύ, ὥσπερ
5 εἰ ἀπεξέσθη παρὰ τοῦ τέκτονος πρὸς τὸ ὀξὺ καὶ ἐξεπίτηδες. τὸ δὲ ἀνάλογόν ἐστι καὶ ἁρμόζον ἐστὶ τοῖς ὑποκειμένοις πράγμασιν, εἴ γε τὰ 5
εὔογκα ἤτοι τὰ ἐξηρμένα καὶ μεγάλα πράγματα μὴ αὐτοκιβδήλως ἤτοι εὐτελῶς καὶ ταπεινῶς λέγηται ἤτοι ἀπαγγείληται, ἀλλὰ σεμνῶς καὶ μεμεγεθυσμένως· καὶ πάλιν τὰ εὐτελῆ δεῖ ταπεινῶς ἀπαγγέλλειν καὶ εὐτελῶς,
10 ἀλλὰ μὴ σεμνῶς καὶ ὀγκηρῶς καὶ διῃρημένως, ἤτοι τὰ εὔογκα πράγματα καὶ μέγεθος ἔχοντα δεῖ ἀπαγγέλλειν σεμνῶς καὶ διῃρημένως καὶ ὀγκηρῶς καὶ τὰ εὐτελῆ δεῖ ἀναλόγως ἀπαγγέλλειν εὐτελῶς καὶ ταπεινῶς. [a 13] 10
ἀλλ' οὐδὲ ἐπὶ τῷ εὐτελεῖ πράγματι ἢ ὀνόματι ἐπῇ κόσμος, ἤτοι κεκαλλωπισμένας λέξεις δεῖ λαμβάνειν· εἰ δὲ μή, ἤτοι εἰ δὲ ἐν τοῖς
15 εὐτελέσι πράγμασι χρώμεθα ὀνόμασι καὶ λέξεσι κεκαλλωπισμέναις, κωμῳδίαν ποιοῦμεν· οἱ γὰρ κωμῳδοὶ τὰ εὐτελῆ καὶ οὐδαμινὰ πράγματα ἀπαγγέλλουσι διὰ λέξεων κεκαλλωπισμένων. ταὐτὸν γάρ ἐστι βροντὴ καὶ σπουδή.
[a 15] καὶ γὰρ ὁ Κλεοφῶν ῥήτωρ ὢν ὁμοίως τοῖς κωμῳδοῖς ἔνια 15
ἔλεγεν ἤτοι τινὰ τῶν εὐτελῶν πραγμάτων ἀπήγγελλε καὶ ἔλεγε διὰ λέξεων
20 κεκαλλωπισμένων, οἷον εἰ εἴποιεν ὦ πότνια συκῆ· ἡ γὰρ συκῆ εὐτελὲς πρᾶγμα. τὸ δὲ πότνια θείοις καὶ θεοῖς ἁρμόζουσα. [a 16] παθητικὴ δὲ λέξις ἐστίν· εἰ μὲν ὑβρίζεις, ὀφείλεις λέγειν λέξιν ὑβριζομένου, οἷαν εἰκὸς λέγειν τὸν ὑβριζόμενον, οἷον

"οἰνοβαρές, κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο",

25 εἰ δὲ ἀσεβῆ καὶ αἰσχρά εἰσι τὰ πράγματα, δεῖ λέγειν αὐτὰ ὡς δυσχε- 20
ραίνων καὶ εὐλαβούμενος καὶ λυπούμενος ἐπ' αὐτοῖς. οἷον 'ὦ τῆς συμφορᾶς, ὡς δεινά μοι τὰ συναντήματα'. [a 18] εἰ δέ εἰσιν ἐπαινετά, δεῖ πάλιν ἀγαμένως καὶ θαυμαστικῶς ἀπαγγέλλειν αὐτά· ἡ γὰρ λέξις ἡ οἰκεία καὶ ἁρμόζουσα τῷ πράγματι, οἷον ἡ θαυμαστικὴ λέξις ἀνήκει τοῖς ἐπαινετοῖς
30 πράγμασι καὶ ἡ περιπαθὴς καὶ ἡ σχετλιαστικὴ ἀνήκει τοῖς λυπηροῖς καὶ ἐλεεινοῖς πράγμασι. πιθανὸν τὸ πρᾶγμα ποιεῖ καὶ ἀληθὲς δοκεῖ φαίνεσθαι· 25
[a 20] ἡ γὰρ ψυχὴ τοῦ ἀκούοντος παραλογίζεται καὶ ἀπατᾶται καὶ οἴεται ὡς ἀληθῶς λέγοντος, ἤτοι ὅτι ἀληθῶς λέγει ὁ ῥήτωρ, ἀπὸ τοῦ λέγειν λέξεις ἁρμοζούσας καὶ ἀναλόγους τοῖς πράγμασιν· ἐπὶ τοῖς τοι-

---

1 αὐτοκαβδάλως V: αὐτοκαυδάλως n δὲ om. n αὐτοκάβδαλον V: αὐτοκαύδαλον n 6 ἐστι om. n ἐστὶν τοῖς n 8 λέγηται V Arist.: ἐλέγετο n 8. 9 μεγεθυσμένως n 10 et 11 exspectes διῃρμένως 13 οὐδ' n ἐπῇ Vn Arist. vulg.: εἰ πῆι Arist. A 15 πράγμασιν n 16 τὰ evanuit V 19 ἀπήγγελλεν n ἔλεγεν n 20 εἰ Vn Arist. ATr.: om. Arist. vulg. εἰ εἴπειεν ἂν πότνια Arist. συκῆ Vn Arist. ATr.: σὺ Arist. cet. 22 ἐστί n ὑβρίζεις V: ὕβρις n ὑβριζομένου V: ὑβριζομένην n: ὀργιζομένου Arist. 24 οἰνοβαρές κτλ.] Hom. A 225 κραδίαν n 28 θαυμαστικῶς scripsi: θαυμαστῶς Vn 29 θαυμαστὴ n 30 πράγμασι om. n 31 πράγμασιν n καὶ ante πιθανον add. n 34 ἐπὶ — πράγμασιν (p. 187, 1) om. n

οὕτοις γὰρ πράγμασιν, οἷς καὶ ἀνάλογος λέξις παρὰ τοῦ ῥήτορος τίθεται, f. 58v
ἀπατᾶται ὁ ἀκροατὴς καὶ οἴεται, ὡς οὕτως ἔχουσι τὰ πράγματα, καθὼς
καὶ παρὰ τῷ ῥήτορι ἀπαγγέλλονται. [a 22] ὥστε οἱ ἀκροαταὶ οἴονται 30
οὕτως ἔχειν τὰ πράγματα, ὡς ὁ λέγων ἀπαγγέλλει αὐτά, κἂν καὶ μὴ
5 οὕτως ἔχωσιν. εἰ δὲ τῶν πραγμάτων λυπηρῶν ὄντων καὶ περιπαθῶν
θαυμαστικῶς ἀπαγγέλλει αὐτὰ ἢ τὰ ἐπαινετὰ ἀπαγγέλλει σχετλιαστικῶς
καὶ περιπαθῶς, ἀπίθανος δοκεῖ ὁ τοιοῦτος ῥήτωρ καὶ ψευδὴς καὶ πρὸς τὸ
ἀπατᾶν ἀφορῶν, καὶ διὰ τοῦτο ἀπεστραμμένως ἀπαγγέλλει τὰ πράγματα
καὶ οὐκ ἀναλόγως. [a 23] καὶ ὁ ἀκούων συλλυπεῖται τῷ λέγοντι περι- 35
10 παθῶς τὰ περιπαθῆ πράγματα, κἂν μηδὲν ἀληθὲς λέγῃ, ἀλλ' οὖν οἱ
ἀκροαταὶ οἴονται ἀληθεύειν αὐτόν· διὸ καὶ πολλοὶ ἀπὸ τοῦ σχετλιάζειν ἐν
τοῖς λυπηροῖς θορυβοῦσι τοὺς ἀκροατὰς ἀκούοντας αὐτοῦ λέγοντος 'ὦ
τῆς συμφορᾶς, οἷά μοι ἐπεσυνέβησαν'· ὁμοίως δὲ θορυβοῦνται οἱ ἀκροαταὶ
καὶ ἐὰν ἀκούσωσι τοῦ λέγοντος θαυμάζοντός τι, καὶ διὰ τοῦτο προσέχουσιν 40
15 αὐτῷ. [a 25] ἠθικὴ δέ ἐστι καὶ ἡ τῶν σημείων δεῖξις. ἄλλα εἰσὶ
σημεῖα τοῦ γέροντος, ἤτοι τὸ προβουλεύεσθαι, τὸ εἰδέναι τὰ ὄντα, τὰ προ-
όντα, τὰ μέλλοντα, καὶ ἄλλα εἰσὶ σημεῖα τοῦ νέου, ἤτοι τὸ θαρραλέον,
τὸ ἀνδρεῖον, οἷον 'νέῳ πάντ' ἔοικεν Ἄρεϊ δεδαϊγμένῳ ὀξέϊ χαλκῷ'· πρέπει
γὰρ καὶ τῷ νέῳ τὸ κεῖσθαι ἀπεκταμένῳ ἐν πολέμῳ. [a 26] ἡ ἁρμότ-
20 τουσα δεῖξις ἑκάστῳ γένει καὶ ἕξει. [a 29] ἕξ|εις δέ, καθ' ἃς f. 59r
ποιός τις λέγεται· ἢ γὰρ ἕξιν ἔχει τοῦ ὀργίζεσθαι, καθ' ἣν ὀργίλος
λέγεται, ἢ ἕξιν ἔχει τοῦ μὴ ὀργίζεσθαι, καθ' ἣν πρᾶος λέγεται· καὶ ἄλλα
μὲν ἁρμόττουσι τῷ ὀργίλῳ, ἄλλα δὲ τῷ πράῳ. οὐ γὰρ καθ' ἅπασαν
ἕξιν ποιός τις παρονομάζεται, ἤτοι οὐ γάρ, εἰ ἕξιν ἔχει τις τοῦ ἀσκεπὴς
25 περιπατεῖν ἢ βραδέως ἐσθίειν, ἤδη καὶ ἀπ' αὐτοῦ παρονομάζεται. [a 30]
καὶ τὰ ὀνόματα καὶ αἱ λέξεις οἰκεῖαι ὀφείλουσιν εἶναι ἑκάστου τῇ ἕξει· 5
ἄλλα γὰρ ὀνόματά εἰσιν οἰκεῖα τῷ ἀγροίκῳ καὶ ἄλλα οἰκεῖα τῷ πεπαιδευ-
μένῳ ἤτοι τῷ σοφῷ· οὕτω γάρ, εἰ λέγεις τὰ ὀνόματα τὰ οἰκεῖα ἑκάστῳ,
τὸ ἦθος ἑαυτοῦ μᾶλλον δείξεις, ὅτι ἐστὶν ἀληθευτικόν. [a 32] πάσχουσι
30 δὲ οἱ ἀκροαταὶ ἤτοι ἀπατῶνται καὶ τῷ συνήθει καὶ καθωμιλημένῳ καὶ
γνωρίμῳ τοῖς πᾶσιν, ᾧτινι πάντες οἱ λογογράφοι κατακόρως χρῶνται
καὶ ἀεὶ ἀπατῶντες, οἷον ὅταν τις εἰσελθὼν εἴπῃ ἐπὶ δικαστηρίου 'τοῦτο
δέ, ὃ μέλλω εἰπεῖν, πάντες ἴσασι καὶ οὐδεὶς ἀγνοεῖ'· [a 35] ὁ γοῦν ἀκροα- 10
τὴς ἢ καὶ ὁ δικαστὴς αἰσχυνόμενος τὸ θρυλλούμενον 'οὔτις τοι τῶνδ'

---

2 ἔχουσιν n 3 ὥστε n Arist.: ὥς γε V 7 τοιοῦτος ῥήτωρ V: ῥήτωρ οὗτος n
8 τὰ om. n 10 μηθὲν Arist. 11 αὐτά n 15 ἐστιν n ἡ ἐκ τῶν
Arist. 16 εἰδέναι κτλ.] fort. respicit Hom. A 70 Κάλχας—ὃς ᾔδει τά τ' ἐόντα τά τ'
ἐσσόμενα πρό τ' ἐόντα 18 πάντα n Hom. X 71 νέῳ δέ τε πάντ' ἐπέοικεν
ἀρηϊκταμένῳ (vel ἄρηι κταμένῳ vel ἄρει κτεινομένων) δεδαϊγμένῳ ὀξέϊ χαλκῷ
19. 20 ἁρμόττουσα V Arist.: ἁρμόζουσα n 21 ὀργίλος—ἣν (22) om. n 23 ἁρμόττου-
σιν n 24 τοῦ—ἐσθίειν (25) om. n 25 ἀπὸ αὐτῆς n 30 δέ τι οἱ Arist.
καθομιλημένῳ n 31 κατακόρως (vulg.; κατακόρει A) χρῶνται οἱ λογογράφοι Arist.
33 εἴσασιν n 34 τοι V: τὸ n

ἐπαίτιός ἐστι', μή πως δόξῃ ἀγνοῶν, ὅπερ οἱ ἄλλοι πάντες γινώσκουσι. f. 59r
δέχεται τὸ παρ' ἐκείνου λεγόμενον καὶ ὁμολογεῖ. τὸ δὲ χρᾶσθαι τούτῳ ἤτοι
τῷ λέγειν ὅτι 'τοῦτο, ὅ φημι, καὶ οἱ σκυτοτόμοι γινώσκουσιν', εὐκαίρως
ἢ ἀκαίρως κοινόν ἐστιν ἁπάντων τῶν εἰδῶν, ἤτοι καὶ ἐν τῷ δικανικῷ
5 καὶ συμβουλευτικῷ καὶ ἐν τῷ πανηγυρικῷ χρώμεθα τῷ λόγῳ τούτῳ ἤτοι
ὅτι πάντες τοῦτο γινώσκουσι, πλὴν ποτὲ μὲν εὐκαίρως ποτὲ δὲ ἀκαίρως.
ἢ τῶν εἰδῶν ἤτοι τοῦ παθητικοῦ καὶ ἠθικοῦ. [b 1] ἄκος δέ ἐστιν
ἐπὶ πάσης ὑπερβολῆς, ἤτοι ὅταν δὲ εἴπῃς τι ἀκαίρως καὶ ὑπερβάλλῃ 15
τὸ πρᾶγμα ἤτοι οὐκ ἔστι τοῦ πράγματος, τότε λέγε τὸ θρυλλούμενον
10 ἤτοι τότε δεῖ προσεπιπλήττειν ἑαυτὸν ἐν τῷ λέγειν 'οἷόν με φύγεν ἕρκος
ὀδόντων', ἢ ὅτι 'ἀλλ' οἷόν με διέλαθε καὶ εἶπον'· εἰ γὰρ οὕτως προσεπι-
πλήττεις ἑαυτόν, δοκεῖ τὸ λεγόμενον ἀεὶ παρὰ σοῦ εἶναι ἀληθὲς καὶ σὺ
ἀληθὴς δοκεῖς· λέγουσι γὰρ οἱ ἀκροαταί, ὅτι, εἰ μικρόν τι παρεγκλίνας τῆς
ἀληθείας καὶ εἰπὼν ἄκαιρον ἤτοι ὃ τοῦ παρόντος οὐκ ἔστι καιροῦ ἑαυτὸν 20
15 προσεμέμψατο καὶ συνέπληξε, λοιπὸν φιλαλήθης ἐστὶ καὶ τῆς ἀληθείας
ἐξέχεται. [b 3] ἐπεὶ τὸ προσεπιπλήττειν ἑαυτὸν οὐ λανθάνει τὸν λέγοντα
ἤτοι τὸν ῥήτορα, δι' ὃ ταῦτα ποιεῖ· ποιεῖ γὰρ τοῦτο ἤτοι τὸ ἑαυτὸν προσε-
πιπλήττειν, κἂν μικρόν τι τῆς ἀληθείας παρεκτραπῇ καὶ ἄκαιρα δοκῇ λέγειν,
ἵνα τὰ ἄλλα τὰ παρ' αὐτοῦ λεγόμενα δοκῶσιν ἀληθῆ τοῖς ἀκροαταῖς.
20 [b 4] ἔτι οὐ δεῖ χρᾶσθαι πᾶσιν ἀνάλογον ἤτοι ἀναλόγως τοῖς πράγμασιν, 25
ἤτοι οὐ δεῖ χρῆσθαι πᾶσι τοῖς τῷ πράγματι ἁρμόζουσιν· οὕτω γάρ, εἰ
μὴ πᾶσι τοῖς ἁρμόζουσι τῷ πράγματι ἅμα χρᾷ, κέκλεπται καὶ ἀπατᾶται
ὁ ἀκροατής. [b 5] οἷον εἰ τὰ ὀνόματα σκληρὰ ἤτοι αἱ λέξεις καὶ
τραχέα εἰσὶ καὶ ὑβριστικά, ἅτινα λέγεις πρός τινα ἀντιδικοῦντά σοι, οὐ δεῖ
25 ταύτας τὰς τραχείας λέξεις καὶ σημαινούσας ὕβριν ἐκφέρειν καὶ μετὰ φωνῆς
ἀγρίας καὶ τραχείας καὶ ἐν οἷς ταύτας λέγεις δεικνύειν καὶ πρόσωπον ὀργι- 30
ζομένου καὶ τὰ ἄλλα τὰ ἁρμόττοντα ἤτοι βλέμμα καὶ κίνημα καὶ ἰδίωμα
ἄγριον· ἀλλ' εἰ μὲν αἱ λέξεις εἰσὶν ὑβριστικαί, δεῖ σε ταύτας ἐκφέρειν μετὰ
φωνῆς ὑφειμένης καὶ μὴ ἀγρίας καὶ πρόσωπον ἔχειν ἵλαρὸν καὶ βλέμμα
30 πρᾶον, ἵνα τὸ τῶν λέξεων τραχὺ συγκαλύπτηται διὰ τῆς ὑφειμένης φωνῆς
καὶ τοῦ ἱλαροῦ προσώπου καὶ μὴ φαίνῃ μελάγχολος καὶ ὑβριστικός·
[b 7] εἰ δὲ μή, ἤτοι εἰ δὲ καὶ αἱ λέξεις εἰσὶ τραχεῖαι καὶ ἐκφέρεις ταύτας
μετὰ φωνῆς ἀγρίας καὶ πρόσωπον ἐνδείκνυσαι ἄγριον, φανερὸν γίνεται, 35
ὅτι μελάγχολος εἶ καὶ ψευδὴς καὶ ἐπίκεισαι τῷ, ὃν ἀδικεῖς. εἰ δὲ τόδε
35 μέν, ἤτοι εἰ δὲ αἱ λέξεις εἰσὶ σκληραὶ καὶ ὕβριν ὑποσημαίνουσαι, τόδε

1 ἐστιν n γινώσκουσιν n 2 δέχεται—γινώσκουσιν (3) om. n 4 ἐστι n τῶνδ' εἰδῶν n 6 γινώσκουσιν n 8 ἐπὶ πάσῃ ὑπερβολῇ Arist. 10 τότε V: τόδε n αὐτὸν αὐτῷ Arist. 11 ἀδόντων editionis alterum exemplar, ὀδόντων alterum διέλαθεν n 15 ἐστὶν n 18 προεκτραπῇ n 20 χρᾶσθαι V: χρῆσθαι n: χρήσασθαι Arist. 22 ἁρμόζουσιν n κέκλεπται V Arist. A: κλέπτεται n Arist. vulg. 24 εἰσὶν n ἀντιδικοῦντά n 25 τραχείας om. n 32 τραχεῖαι V: σκληραὶ n 33 ἐνδείκνυς n 34 εἶ καὶ V: εἶναι n ψεύδεις n ἐπίκεισαι V: ἐπεικὴς n 35 εἰσὶν n ὑποσημαίνουσιν n τόδε Vn: τὸ Arist.

δὲ μή, ἤτοι ἡ δὲ φωνή, δι' ἧς ταύτας ἐκφέρεις, ἐστὶ μαλακὴ καὶ ὑφει- f. 59r
μένη καὶ τὸ πρόσωπον ἐνδείκνυσαι ἱλαρόν. λανθάνεις ποιῶν τὸ αὐτὸ
ἤτοι λεληθότως ὑβρίζεις αὐτὸν καὶ οὐδὲ δοκεῖς ὕποπτος τοῖς ἀκροαταῖς·
τὸ αὐτὸ δὲ ποιεῖς λεληθότως ἤτοι τὸ ὑβρίσαι τὸν ἀντιδικοῦντα, ὅπερ ἂν 10
5 ἐποίησας, καὶ εἰ μετὰ τραχείας φωνῆς ἐξέφερες τὰς τραχείας λέξεις καὶ
ὑβριστικάς. εἰ δὲ βούλει δοκεῖν, ὡς ἃ λέγεις πιθανά εἰσι, δεῖ τὰ μαλακὰ
ὑφειμένως ἀπαγγέλλειν καὶ δι' εὐτελῶν λέξεων καὶ τὰ σκληρὰ πάλιν
σκληρῶς καὶ ὀγκηρῶς ἀπαγγέλλειν· [b 9] εἰ δὲ τὰ μαλακὰ καὶ τα|πεινὰ f. 59v
ἀπαγγέλλεις σκληρῶς καὶ ὀγκηρῶς, δόξεις περίεργος καὶ δολερὸς καὶ
10 μωρὸς ὡς σπουδάζων ἀντιστρέφειν τὰ πράγματα καὶ ἀπίθανα δόξεις λέγειν.
[b 11] τῷ δὲ λέγοντι παθητικῶς ἁρμόζουσιν αἱ ἐπίθετοι λέξεις ὡς τὸ
πελώριος καὶ διπλᾶ ὡς τὰς συνθέτους λέγειν ὡς τὸ οὐρανόμηκες καὶ
ξένας λέξεις ἤτοι διαλέκτου καὶ τῆσδε ἢ τῆσδε τῆς γλώττης· τῷ γὰρ
λέγοντι κακὸν οὐρανόμηκες συγγνώμη ἐστὶν ὡς ὀργιζομένῳ· δοκεῖ
15 γὰρ ὁ ὀργιζόμενος μὴ προσέχειν οἷς λέγει ὡς ὑπὸ τῆς ὀργῆς τὰς φρένας 5
ἐξεστηκώς, καὶ διὰ τοῦτο συγγνωμονοῦσιν αὐτῷ, κἂν ἀνοίκεια καὶ ἀκατάλληλα λέγῃ· τὸ γὰρ οὐρανόμηκες ἐπὶ θείων λέγεται, οὐ μὴν δὲ ἐπὶ κακῶν· εἴ τι γὰρ ἔλθῃ εἰς τὴν γλῶτταν τοῦ ὀργιζομένου, τοῦτο καὶ λέγει καὶ οὐ σκοπεῖ τὰ κατάλληλα. [b 13] καὶ ὅταν ἔχῃ ἤδη τοὺς ἀκροα-
20 τάς, ἤτοι ὅταν τοὺς ἀκροατὰς ποιήσῃ ὥστε αὐτῷ προσέχειν ὡς ἀληθῆ
λέγοντι, εἴτε ψέγει, εἴτε ἐπαινεῖ, εἴτε ὀργίζεται, ἤτοι ὅταν καὶ οἱ ἀκροαταὶ 10
χαίρωσι τοῖς ἐπαίνοις ἢ τοῖς ψόγοις καὶ κρίνωσι τὸν ῥήτορα δικαίως ὀργιζόμενον καθ' οὗ ὀργίζεται ἢ δικαίως ψέγοντα ὃν ψέγει ἢ δικαίως ἐπαινοῦντα καὶ οἷον ἐνθουσιῶσι, καὶ τότε δεῖ χρᾶσθαι τοῖς διπλοῖς καὶ ἐπιθέτοις ὀνό-
25 μασι, καὶ εἴ τι ἂν βούλοιο. [b 15] ὁ δὲ Ἰσοκράτης ἐγκώμιον ποιεῖται στρατιωτῶν πολεμησάντων καὶ τινῶν μὲν σφαγέντων τινῶν δὲ καὶ σωθέντων, καί φησιν ἐν τῷ τέλει τοῦ ἐγκωμίου 'φήμη δὲ πάντων καὶ ἡ γνώμη πάντων οὕτως ἔχειν ταῦτα, ἃ λέγω ἐπαινῶν, μαρτυροῦσι καὶ διαβεβαιοῦσι 15
καὶ μὴ ἄλλως· ἀλλὰ λέγουσι ταῦτα καὶ οἱ στρατιῶται οἱ τὸν τότε ὑπο-
30 στάντες πόλεμον, οἳ καὶ ἔτλησαν τὰ δεινὰ καὶ διεσώθησαν.' [b 17] φθέγγονται γὰρ τὰ τοιαῦτα ἤτοι τὰ παράλληλα, οἷον φήμη, γνώμη, ἐνθουσιάζοντες· ὥστε καὶ οἱ ἀκροαταὶ ὁμοίως ἔχοντες ἤτοι ἐνθουσιάζοντες καὶ ὅλοι γενόμενοι τοῦ λέγοντος ἀποδέχονται τοὺς ῥήτορας λέγοντας τοιαῦτα ἤτοι παράλληλα. [b 18] διὸ καὶ τὸ τὰ τοιαῦτα λέγειν 20
35 ἤτοι παράλληλα, ἐπεὶ καὶ τῶν ἐνθουσιαζόντων ἐστὶν ἡ ποίησις, λοιπὸν τῇ ποιήσει ἁρμόττει. ἢ δεῖ οὕτως λέγειν τὰ παράλληλα μεταποιῆσαι τοὺς

---

2 ἐνδείκνυσα n λανθάνει Arist. 3 καὶ om. n 6 εἰσιν n τὰ om. n 8 ταπεινὰ V: τὰ πιθανὰ n 12 διπλαῖ n 12. 13 καὶ ξένας — οὐρανόμηκες (14) om. n 13 fort. διαλέκτους (cf. p. 175,7. 177,4) τῷ cod. Paris. gr. 1869: evanuit V 14 ἐστὶ n 19 ἔχῃ ἤδη Vn Arist. A: ἤδη ἔχῃ Arist. vulg. 24 ἐνθουσιάζωσιν n χρήσασθαι n 24. 25 ὀνόμασιν n 25 βούλοιτο n 26 καὶ (post δὲ) om. n 27 φήμη κτλ.] cf. Isocr. 4,186 ἡ om. Arist. 28 μαρτυροῦσι δὲ καὶ n 29 λέγουσιν n 31 τε γὰρ Arist. 32 ἐνθυσιάζοντες n 36. p. 190,1 ἢ δὴ οὕτως δεῖ ἢ μετ' εἰρωνείας Arist.

ἀκροατὰς ἐνθουσιάζειν καὶ ἀποδέχεσθαι τοὺς λέγοντας ἢ μετ' εἰρωνείας f. 59v
ἤτοι ἢ δεῖ χρᾶσθαι τῇ εἰρωνείᾳ μετὰ τὸ ἀποδεῖξαι τὸν δεῖνα προδότην
τῆς πατρίδος καὶ λέγειν μετ' εἰρωνείας πάντα μετὰ τὰς ἀποδείξεις 'ὁ
καλὸς οὗτοσί, ὁ γενναῖος'. [b 20] οἱ λόγοι τοῦ Γοργίου, ὃν παρεισάγει 25
5 ὁ Πλάτων διαλεγόμενον, εἰρωνευτικοί εἰσιν ἅπαντες.

8. Τὸ μὲν γὰρ εἶναι τὴν λέξιν ἔμμετρον καὶ μετρικῷ ἀνήκουσαν
ἀνδρὶ ἐστὶν ἀπίθανον, ἤτοι ὁ ταῦτα λέγων τὰ ἔμμετρα ἀπίθανός ἐστι
καὶ ψευδής· [b 22] δοκεῖ γὰρ πεπλάσθαι ἤτοι ἐπιτηδεύειν τὰς τοιαύτας
ἐμμέτρους λέξεις διὰ τὸ ἀπατῆσαι, καὶ ἅμα ἡ τοιαύτη λέξις ἡ ἔμμετρος
10 ἐξίστησι τὸν ἀκροατὴν τοῦ οἰκείου λογισμοῦ καὶ τοῦ προσέχειν τῇ ἀπο-
δείξει· καὶ προσέχει πάλιν πότε ῥηθῇ καὶ ἔλθοι τοιαύτη ὁμοία λέξις· 30
ἀκούσας γὰρ τοιαύτης ἐμμέτρου λέξεως οἷον

"τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς"

πάλιν ἐξέχεται τοῦ ἀκοῦσαι καὶ ἑτέρου μέτρου, δι' οὗ δείκνυται, τίνα
15 εἰσὶ τὰ παρ' ἐκείνου ῥηθέντα. καὶ ἄλλως· ξενικὴ οὖσα ἡ λέξις καὶ παρά-
ξενος ἡ μετρικὴ ποιεῖ τὸν ἀκροατὴν γλιχόμενον καὶ πάλιν ἀκοῦσαι τοιαύτης
λέξεως. [b 25] τοῖς ἀπελευθέροις ἐδίδοντο πάλαι ἐπίτροποι, ἵνα αὐτῶν
ἀντιποιῶνται καὶ μὴ καταφρονῶνται· οὐ γὰρ τῆς αὐτῆς παρρησίας ἐτύγ- 35
χανον οἱ ἐλεύθεροι καὶ ἀπελεύθεροι καὶ διὰ τοῦτο εἶχον ἐπιτρόπους. τῶν
20 γοῦν κηρύκων προαναφωνούντων 'τίνα ἐπιτροπεῦσαι αὐτοῦ αἱρεῖται ὅδε ὁ
ἀπελεύθερος;' πρὸ τοῦ πληρῶσαι τοὺς κήρυκας τὴν ἀναφώνησιν ἔλεγον τὰ
παιδία 'τὸν Κλέωνα'. ὡς γοῦν ἀπὸ τῆς τῶν παίδων ἀναφωνῆς προλαμ-
βανούσης τὴν τῶν κηρύκων φωνὴν ἔχομεν προεγνωσμένον, ὃν αἱροῦνται
ἐπίτροπον οἱ ἀπελεύθεροι, οὕτως καὶ ἅμα τῷ ῥηθῆναι ξενικὴν ἤτοι ἔμμε- 40
25 τρον λέξιν εὐθὺς ἔχομεν ἐγνωσμένον καὶ ὅτι καὶ ἑτέραν τοιαύτην λέξιν
μέλλει ὁ λέγων εἰπεῖν. ἢ καὶ οὕτως· ἅμα τῷ ἀκοῦσαι "τὸν δ' ἀπαμει-
βόμενος προσέφη πόδας" εὐθὺς ἐγνωσμένον, ὅτι καὶ ἕτερον μέλλει στίχον
εἰπεῖν, δι' οὗ δηλώσει, τίνα εἶπεν ὁ Ἀχιλλεύς. [b 26] τὸ δὲ ἄρρυθμον
ἀπέραντόν ἐστιν ἤτοι οὐκ ἔχει ὡρισμένον ἀριθμὸν ὁ ἄρ|ρυθμος καὶ f. 60r
30 πεζὸς λόγος· ὁ μὲν ἔμμετρος λόγος οἷον ὁ στίχος ἔχει ὡρισμένον ἀριθμὸν
τὴν ἑξαποδίαν, ὁ δὲ ἄρρυθμος ἀόριστον ἔχει τὸ μέτρον· ποτὲ μὲν γὰρ τὸ
κῶλον ἔχει δεκαπέντε συλλαβάς, ποτὲ δὲ ιη', ποτὲ ιβ', ποτὲ κ'. δεῖ δὲ
καὶ τὸ ἄρρυθμον ἤτοι τὰ πεζὰ κῶλα πεπεράνθαι ἤτοι μετρεῖσθαι μέτρῳ
τινὶ ἀορίστῳ, ἀλλ' οὐ μέτρῳ ὡρισμένῳ, ὥσπερ τῇ ἑξαποδίᾳ ὁ ἡρωικὸς
35 καὶ ἰαμβικὸς στίχος τῇ διποδίᾳ, ἀλλὰ ποτὲ μὲν ιβ' συλλαβαῖς, ποτὲ ιη', 5

---

2 χρῆσθαι n 4 ὁ V: καὶ n ὥσπερ γοργίας ante οἱ λόγοι add. n ex Aristotele 5 ὁ om. n 7 ἀπίθανός ἐστιν n 9 καὶ ἅμα καὶ Arist. 11 πότε πάλιν ἥξει Arist. 13 τὸν δ' κτλ.] Hom. A 215 cet. 14 ἐξέρχεται n 15 ἡ om. n 17 ἐπίτροπον ante τοῖς add. n ex Aristotele ἵνα καὶ αὐτῶν n 24 οὕτω n 26 τὸν δ' κτλ.] Hom. A 215 cet. 27 πόδας, δας evan., V · fort. ⟨ἔχομεν⟩ ἐγνωσμένον, cf. v. 25 28 ἄρρυθμον n Arist. vulg.: ἄρυθμον V Arist. A 29 ἐστι n ἄρυθμος V 30 μὲν γὰρ n 31 τὴν V: τὸν n ἄρυθμος V 32 δεκαπέντε V: ιε' n ποτὲ δὲ ιβ' n 33 ἄρυθμον V δ'
35 διπο V: δίποδι n ἀλλὰ om. n 35. p. 191,1 συλλαβάς· ποτὲ δὲ ιή· ποτὲ δὲ κ' n

ποτὲ κ'· καὶ γὰρ τὸ ἄπειρον ἤτοι τὸ μηδ' ὅλως ὑποπῖπτον μέτρῳ τινὶ f. 60r
διὰ τὴν ἀπειρίαν ἀηδές ἐστι καὶ ἄγνωστον. [b 28] πάντα δὲ τὰ κῶλα
περαίνονται καὶ μετροῦνται ἀριθμῷ, οὐ μὴν ὡρισμένῳ ἀλλ' ἀορίστῳ·
ἢ γὰρ ιε' συλλαβαῖς ἢ ιη'. διὸ καὶ ὁ ἀριθμὸς τῆς λέξεως τοῦ σχήματος
5 ἤτοι τῶν κώλων ῥυθμός ἐστι καὶ ῥυθμὸν ἔχουσιν, οὗτινος (τοῦ σχήματος
τῆς λέξεως) τὰ μέτρα εἰσὶ τμητὰ ἤτοι ἀόριστα· ποτὲ μὲν γὰρ ιε' συλλα- 10
βαῖς περαίνεται τὸ κῶλον, ποτὲ δώδεκα. τὸ δὲ μέτρον τῶν ἡρωικῶν
στίχων ἐστὶν ἄτμητον· ἑξαποδίᾳ γὰρ μετρεῖται καὶ οὐκ ἔστι δυνατὸν μετρη-
θῆναι τετραποδίᾳ ἢ ἄλλῳ τινὶ μέτρῳ. [b 30] διὸ δεῖ τὸν λόγον τὸν
10 πεζὸν ἔχειν ῥυθμόν, οὐ μέντοι γε δὲ μέτρον ἢ ἡρωικὸν ἢ ἀναπαιστικὸν
ἢ ἰαμβεῖον· εἰ γὰρ ἔχει καὶ μέτρον, ἐστὶ ποίημα ἤτοι ποίησις· ἔχειν δὲ
ῥυθμὸν μὴ ἀκριβῆ ἀλλὰ παρεφθαρμένον· ἔστι δὲ τοῦτο ἤτοι τὸ μὴ
τηρεῖσθαι τὸν ῥυθμὸν ἀκριβῆ ἐν τῷ πεζῷ λόγῳ, ἐὰν μέχρι τινὸς ἤτοι 15
μέχρι τινῶν συλλαβῶν ἐστι τοῦ κώλου ὁ ῥυθμὸς τηρούμενος, εἶτα αἱ ἄλλαι
15 συλλαβαὶ τοῦ κώλου εἰσὶν ἀνειμέναι καὶ διεφθαρμέναι, οἷον εἰ τινὲς μὲν
λέξεις τοῦ κώλου εἰσὶ σπονδειακαὶ ἢ ἀναπαιστικαὶ ἢ δακτυλικαί, ἐν αἷς
καὶ θεωρεῖται ὁ ῥυθμός, αἱ δὲ ἄλλαι λέξεις οὔκ εἰσι μετρικαὶ ἤτοι σπον-
δειακαὶ ἢ δακτυλικαί, ἀλλὰ κοιναὶ καὶ ῥυθμὸν οὐκ ἔχουσι. τοιοῦτον δὲ
καὶ ὁ Ἑρμογένης παραδίδωσιν. [b 32] ὁ μὲν ἡρῷος ῥυθμός ἐστι 20
20 σεμνὸς ἤτοι ἀπόκροτος, στομφώδης καὶ λεκτικὸς ἤτοι μεγαλόφωνος καὶ
ἁρμονίας ἤτοι ῥυθμοῦ δεόμενος, ὁ δὲ ἴαμβός ἐστιν ἡ κοινὴ λέξις καὶ
συνήθης, ᾗ πάντες χρῶνται· διὸ πολλῶν ὄντων τῶν μέτρων, ἡρωικῶν,
ἀναπαιστικῶν, τροχαϊκῶν, ἀπὸ πάντων τῶν μέτρων μάλιστα χρῶνται τῷ
ἰαμβείῳ μέτρῳ καὶ ἰαμβεῖα φθέγγονται. ἐπεὶ δὲ τὸ ἰαμβεῖον μέτρον
25 ταπεινὸν τὸν λόγον ποιεῖ καὶ ἀνειμένον, δεῖ ἀναμεταξὺ χρᾶσθαι τῇ σε-
μνότητι καὶ ἐκστῆσαι καὶ ἐξᾶραι διὰ τῆς σεμνότητος τὸ τοῦ λόγου ταπεινόν· 25
ἡ γὰρ σεμνότης ἐξαίρει τὸ τοῦ λόγου ταπεινὸν ἅτε μέγεθος ποιοῦσα. [b 36]
ὁ δὲ τροχαῖος ῥυθμὸς κορδακικώτερός ἐστιν ἤτοι ἀνειμενώτερος. ἔστι
δὲ τὸ κορδακίζειν εἶδος ἀνειμένης ὀρχήσεως, ἢ τὸ κορδακικώτερον ἤτοι
30 συντομώτερον· κορδακίζειν γάρ ἐστι τὸ εἶδος τῆς ὀρχήσεως, ὃ οἱ Σθλάβοι
ὀρχοῦνται, τὸ εὐκίνητον· σύντομον δέ ἐστι, διότι συντόμως περατοῦται·
τετράμετρον γάρ ἐστιν· ἐπὶ γὰρ τῶν ἰαμβείων τοὺς δύο πόδας λαμβάνουσιν
ὡς ἓν καὶ κατὰ συζυγίαν μετροῦσιν αὐτούς, ὅθεν καὶ τρίμετροι λέγονται,
καὶ ἐπὶ τῶν τροχαίων κατὰ συζυγίαν μετροῦμεν. τροχαῖος δὲ λέγεται ἐκ 30
35 μεταφορᾶς τοῦ τροχοῦ· ὡς γὰρ ἐπὶ τοῦ τροχοῦ τὸ ἄνω μέρος τοῦ τροχοῦ

---

1 ὑποπίπτων n 2 ἐστιν n 4 συλλαβὰς n 5 ἔχει n 6 εἰσὶν n
9 τὸν (ante πεζὸν) om. n 10 ἀναπαιστικὸν scripsi: ἀνάπαιστον Vn 11 ἐστὶ Vn: ἔσται Arist. 12 ῥυθμὸν scripsi ex Aristotele: ἀριθμὸν Vn ἀκριβῶς Arist. τοῦτο δὲ ἔσται Arist. 13 μέχρι του ᾗ Arist. 16 εἰσὶν σπονδαϊκαὶ n
17. 18 σπονδαϊκαὶ n 18 ἔχουσιν n 19 καὶ om. n Ἑρμογένης] π. ἰδεῶν 279,29 sq. Sp. 20 ληκτικός n 23 πάντων V Arist. vulg.: τούτων n: πάντες Arist. A 24 ἰαμβείῳ V: ἰάμβῳ n ἰαμβεῖον V: ἰαμβικὸν n 25 χρῆσθαι n
27 ἡ — ταπεινὸν om. n ποιούσης n 29 ἀνειμένον n ἢ — ὀρχήσεως (30) om. n 30 σθλάβοι V: ἀθλάβοι n 31 περαίνεται n 32 ἐστι n

καὶ ἐφ' ὕψους ὂν χαμαὶ γίνεται καὶ ὑποκάτω, οὕτω καὶ ὁ τροχαῖος ἀπὸ f. 60r
μακροῦ ἀρχόμενος καταλήγει εἰς βραχύ. [1409 a 1] ὁ γὰρ τροχαῖος ῥυθμός
ἐστι τετράμετρος. περὶ μὲν τῶν ἄλλων μέτρων ἐτεχνολόγησαν, πῶς δεῖ
χρᾶσθαι αὐτοῖς καὶ οἷον ῥυθμὸν ἀποτελοῦσι· λείπεται δὴ παιάν, ἤτοι
5 περὶ δὲ τοῦ παιᾶνος οὔπω ἐφθάσαμεν εἰπεῖν. παιάν ἐστιν ὁ ἔχων συλλα- 35
βὴν μίαν μακρὰν καὶ τρεῖς συλλαβὰς βραχείας· ἐπίτριτος δὲ ὁ ἔχων μίαν
βραχεῖαν, τὰς δὲ ἑτέρας τρεῖς συλλαβὰς μακράς. [a 3] ἔχομεν μέτρον
ἡρωικὸν καὶ τροχαϊκὸν καὶ τρίτον παιανικὸν (τὸ γὰρ ἰαμβικὸν τῆς κοινῆς
διαλέκτου ἐστί) καὶ ἐχόμενον τῶν εἰρημένων μέτρων· ἐν γὰρ τῷ
10 παιανικῷ μέτρῳ εὑρήσεις καὶ τὸ δακτυλικὸν μέτρον καὶ τὸ τροχαϊκὸν καὶ
τὸ ἀναπαιστικόν· ἐν μὲν γὰρ τῷ πρώτῳ παιᾶνι, ἐν ᾧ ἐστι τὸ ἓν μακρόν,
τὰ δὲ τρία βραχέα, εὑρήσεις τὸν δάκτυλον, ἐν δὲ τῷ δευτέρῳ παιᾶνι τῷ 40
ἔχοντι τὴν πρώτην συλλαβὴν βραχεῖαν, τὴν δὲ δευτέραν μακράν, εὑρήσεις
τὸν ἴαμβον, ἐν δὲ τῷ τρίτῳ παιᾶνι τῷ ἔχοντι τὰς δύο συλλαβὰς βραχείας,
15 τὴν δὲ τρίτην μακράν, εὑρήσεις καὶ τὸν ἀνάπαιστον καὶ τὸν τροχαῖον· ἐπεὶ
γὰρ ἐν τῷ παιᾶνι ἡ μία συλλαβή ἐστι μακρά, αἱ δὲ τρεῖς βραχεῖαι, |
τὸ δὲ μακρὸν δύναμιν ἔχει δύο βραχέων, λοιπὸν ἐν αὐτῷ θεωρεῖται ὁ f. 60v
ἡμιόλιος λόγος· τὰ γὰρ τρία πρὸς τὰ δύο τὸν ἡμιόλιον λόγον ἔχουσιν.
[a 4] ἐκείνων δὲ τῶν ἄλλων μέτρων ὁ μὲν σπονδεῖός ἐστιν ἓν πρὸς
20 ἓν ἤτοι τὸν ἴσον λόγον ἔχει ὁ σπονδεῖος· τὰ γὰρ δύο μακρὰ ἔχει· ὁ δὲ
τροχαῖος καὶ ὁ ἴαμβος τὸν διπλάσιον λόγον ἔχουσι καὶ τὸν ἄνισον, ὃν
λόγον τὰ δύο πρὸς τὸ ἕν· καὶ γὰρ καὶ ὁ τροχαῖος ἐκ μακροῦ καὶ βρα- 5
χέος σύγκειται καὶ ὁ ἴαμβος βραχὺ ἔχει καὶ μακρόν, τὸ δὲ μακρὸν δύναμιν
ἔχει δύο διχρόνων, ὡς εἴπομεν. [a 6] ὁ δὲ ἡμιόλιος ἤτοι ὁ παιὰν
25 ὁ ἔχων τὸν λόγον τὸν ἡμιόλιον ἔχεται τῶν λόγων τούτων ἤτοι τοῦ
λόγου, ὃν ἔχει ὁ τρία πρὸς τὰ δύο, ὃν ἔχει αὐτὸς ὁ παιάν, καὶ τοῦ λόγου,
ὃν ἔχει τὰ δύο πρὸς τὸ ἕν, ὃν ἔχει ὁ τροχαῖος καὶ ὁ ἴαμβος. οἱ μὲν
ἄλλοι ἀφετέοι ἤτοι οἱ δάκτυλοι καὶ οἱ τροχαῖοι διὰ τὰ εἰρημένα, ἤτοι
διότι τῆς ποιήσεώς εἰσιν· ἀπὸ πάντων γὰρ τῶν ῥυθμῶν μόνος ὁ παιανικὸς 10
30 ῥυθμὸς οὐκ ἔστι μετρικός· οὐ γὰρ χρῶνται αὐτῷ οἱ ποιηταί· ὥστε διὰ
τὸ μὴ εἶναι μετρικὸν λανθάνει, εἰ χρώμεθα αὐτῷ ἐν τῷ πεζῷ λόγῳ,
τοὺς ἀκροατάς. [a 10] δεῖ δὲ τὴν τελευτὴν τοῦ λόγου διαφέρειν
τῆς ἀρχῆς τοῦ λόγου. [a 12] τὸ μὲν εἶδος τοῦ παιᾶνος τὸ ἕν, ἐν ᾧ
ἡ μὲν ἀρχὴ αὐτοῦ ἐστι μακρά, τὰ δὲ τρία βραχέα, ἁρμόζει τῇ ἀρχῇ
35 τοῦ λόγου· τὸ γὰρ μακρὸν ἔχει στάσεως λόγον καὶ ἠρεμίας, δεῖ δὲ ἐκ
στάσεως καὶ ἠρεμίας γενέσθαι τὴν κίνησιν· ἐξ ἀκινησίας γὰρ ἡ κίνησις 15

---

1 ὂν V: οὐ n 2 ῥυθμός V: ἀριθμός n 3 ἐστιν n μέτρων om. n 4 χρῆσθαι n δὴ Vn: δὲ Arist. 5 οὔπω scripsi: οὕτω V: οὕτως n 7 τρεῖς om. n 9 ἐστὶν n ἐχόμενος Arist. 15 καὶ (post εὑρήσεις) om. n 21 ἔχουσιν n 22. 23 βραχέως n 26 τὰ δύο — πρὸς (27) om. n 27. 28 οἱ μὲν οὖν ἄλλοι διά τε τὰ εἰρημένα ἀφετέοι Arist. 27 ad versum οἱ μὲν — διότι (29) in marg. ascript. οὐχί V 29 πάντων V: τούτων n 30 ῥυθμὸς V: ἀριθμὸς n 32. 33 διαφέρειν τὴν τελευτὴν τῆς ἀρχῆς Arist. 33 ἓν Vn Arist. A: om. Arist. vulg. 34 ἀρχῇ ἁρμόττει Arist.

γίνεται. [a 14] Δαλογενῆ λέγει τὸν Ἀπόλλωνα ὡς ἐν τῇ Δήλῳ γεννη- f. 60v
θέντα. "Δαλογενές, εἴτε Λύκιε † ἑκάετε", ἤτοι πόρρω βάλλων, τὸ δα
μακρόν ἐστι, τὰ δὲ τρία βραχέα. τὸ δὲ ἕτερον εἶδος τοῦ παιᾶνος ἐξ
ἐναντίας, ἤτοι ὁ τέταρτος παιὰν ἐξ ἐναντίας ἐστὶ τῷ πρώτῳ παιᾶνι,
5 οὗτινος αἱ μὲν ἐξ ἀρχῆς κείμεναι συλλαβαί εἰσι βραχεῖαι, τὸ δὲ τέλος τῆς
λέξεως μακρόν, οἷον "μετὰ δὲ γᾶν", τὸ γᾶν μακρόν, τὰ δὲ πρὸ αὐτοῦ 20
βραχέα, "ὕδατά τ' ὦ", τὸ τω μακρόν· ἔστι δὲ ἐκ τῆς θεογονίας καὶ
λέγει, ὅτι ἡ γῆ κρυπτομένη ἦν ὑπὸ τῶν ὑδάτων ἡμῖν ἀφανής. τοῦτο δὲ
τὸ εἶδος τοῦ παιᾶνος προσαρμόζει τῷ τέλει τοῦ λόγου· [a 17] τελευτὴν
10 γὰρ τοῦ λόγου ποιεῖ. καθ' ὃ εἰς μακρὸν λήγει, τὸ δὲ μακρὸν στάσιν
τινὰ καὶ ἠρεμίαν παρεμφαίνει· τὸ δὲ βραχὺ διὰ τὸ ἀτελὲς ἤτοι διὰ τὸ μὴ
ἀνήκειν τῷ τέλει τοῦ λόγου (κίνησιν γὰρ παρεμφαίνει, εἰ ὁ λόγος εἰς
βραχὺ λήγει) γίνεται κολοβὸς καὶ ἐλλιπής. [a 19] ἀλλὰ δεῖ τὸν λόγον 25
ἀποκόπτεσθαι ἤτοι ἠρεμεῖν καὶ ἵστασθαι καὶ βεβηκέναι καὶ τέλος λαμ-
15 βάνειν δῆλον οὐ διὰ τὸν γράφοντα, ἤτοι οὐ διὰ τὸ στίξαι τὸν γραφέα
ἄχρι τοῦδε φαίνεται ὡς ἔλαβεν ὁ λόγος τέλος, οὐδὲ διὰ τὴν παραγραφὴν
ἤτοι παραγράψαι στιγμήν, ἀλλὰ διὰ τὸν ῥυθμόν· λαμβάνει γὰρ τέλος
δῆλον ἀπὸ τοῦ ῥυθμοῦ, ὅταν καταλήγῃ καὶ τελευτᾷ ὁ λόγος εἰς μακρόν,
ὡς ἐπὶ τοῦ "μετὰ δὲ γᾶν ὕδατα" καταλήγει ὁ λόγος καὶ ἔλαβε τέλος 30
20 εἰς τὸ νύξ, ὅπερ ἐστὶ μακρόν. [a 22] καὶ τίνες ῥυθμοὶ ποιοῦσι τὸν
λόγον εὔρυθμον, οἱ τροχαϊκοὶ καὶ οἱ δακτυλικοί.

9. Περὶ λέξεως.

Τὴν δὲ λέξιν ἀνάγκη εἶναι εἰρομένην, εἶτα διὰ τοῦ καὶ τῷ
συνδέσμῳ μίαν ἐφερμηνεύει, τίς ἐστιν ἡ εἰρομένη, καί φησιν, ὅτι εἰρο-
25 μένη ἐστίν, ἥτις ἐστὶ μία τῷ συνδέσμῳ· κἂν γὰρ πολλὰς ὑποθέσεις ἀφη-
γῆται, ἀλλ' οὖν, καθ' ὃ ἡ λέξις εἴρεται καὶ συμπλέκεται τῷ συνδέσμῳ,
δοκεῖ τε καὶ ἡ λέξις μία τῷ συνδέσμῳ, κἂν πολλαί εἰσι, καὶ αἱ ὑποθέσεις 35
αἱ πολλαὶ ὡς μία τῷ συνδέσμῳ ὑπόθεσις δοκεῖ. [a 25] ἀναβολαὶ
λέγονται αἱ διὰ μακροῦ ἀποδόσεις, οἷον 'ἔμελλεν ἄρα πολλὰς ἡμῖν ὑπο-
30 θέσεις τῶν λόγων ἀεὶ προτιθεὶς ὁ μέγας Βασίλειος'· τὸ 'καὶ γὰρ ἐφιλοτι-
μεῖτο τοῖς ἑαυτοῦ λόγοις' τοῦτο ἄλλη ὑπόθεσις παρὰ τὸ 'ἔμελλεν ἄρα
πολλάς', ἀλλ' ὁ γάρ σύνδεσμος καὶ ὁ καί παρεμπεσόντες συνέπλεξαν
ταύτην τῇ ἑτέρᾳ καὶ δοκεῖ μία ὑπόθεσις τῷ συνδέσμῳ. εἰ δὲ εἶπον οὕτως
'ἐφιλοτιμεῖτο τοῖς ἑαυτοῦ λόγοις', ἀσυνδέτως εἶπον πολλὰς ὑποθέσεις. ὥστε 40

---

2 Δαλογενές κτλ.] Simonid. fr. 26b Bergk. εἴτε V Arist. A: ἥτε Arist. DEQYbZb: εἶτα n Λυκίαν Arist. ἑκάετε V: ἑκάεργε n: om. Arist. (illatum est ex p. 1409a 15 ἕκατε) δα V: δει n 4 παιὰν ἐξ ἐναντίας om. n 6 μετὰ δὲ κτλ.] cf. Simonid. fr. 26b annot. Bergk. 15 γράφοντα Vn Arist. vulg.: γραφέα Arist. A 16 τέλος om. n 17 γὰρ τὸ τέλος n 18 καταλήγει n 20 εὔρυθμον (ῥυθμὸν vulg.) ποιοῦσι ῥυθμοὶ Arist. ποιοῦσιν n 22 περὶ λέξεως V: om. n 23 εἶναι ἢ εἰρομένην Arist. 24 ἡ om. n 24. 25 εἰρομένη, ο ex η corr., V: εἰρημένη n 25 τῷ συνδέσμῳ Vn Arist. vulg.: τῶν συνδέσμων Arist. A 25. 26 ὑφηγεῖται n 26 εἴρηται n 27 τε V mihi suspectum: om. n εἰσι καὶ V: εἰσιν n 32 ἀλλὰ n

εἰρομένη ἐστὶ λέξις ἡ μία μὲν τῷ συνδέσμῳ, ὑποθέσεις δὲ πολλὰς ἔχουσα, f. 60v
δοκοῦσαι δὲ πᾶσαι τῷ συνδέσμῳ καὶ ἔχουσαι καὶ πᾶσαι μίαν ἀπόδοσιν τὸ
'ἑαυτὸν νῦν ἡμῖν προθήσειν ὑπόθεσιν'. [a 26] κατεστραμμένη ἡ συνεπτυγ-
μένη λέξις λέγεται ἡ ἄνευ συνδέσμων ἤτοι ἡ γοργός, ἡ σύντομος, ἡ ἐγγὺς
5 ἑαυτῆς στρεφομένη. ἡ τὴν ἀπόδοσιν | ἑαυτῆς ἔχουσα. οἷον 'ἐγὼ ἀπελθὼν f. 61r
ἐλυτρωσάμην αὐτόν', ἐγγὺς ἡ ἀπόδοσις· οἱ γὰρ σύνδεσμοι πλειόνων ὑποθέ-
σεών εἰσιν ἐφελκυστικοί. ἀντίστροφα λέγονται τὰ ἰσόστροφα, ἃ περὶ τὰ αὐτὰ
στρέφονται· περὶ τὰ αὐτὰ στρέφονται, διότι εἰσὶ σύντομα καὶ ἐγγὺς τὰς
ἀποδόσεις ἔχουσιν, οἷον "Χριστὸς γεννᾶται· δοξάσατε. Χριστὸς ἐξ οὐρανῶν·
10 ἀπαντήσατε". [a 27] 'Ηροδότου Θουρίου ἥδ' ἱστορίης ἀπόδειξις'.
ἐλλιπές ἐστι τὸ τοιοῦτον· τὴν γὰρ ἀπόδοσιν ἔχει διὰ μακροῦ ἀποδοθεῖσαν 5
καὶ ἀποταθεῖσαν. οἱ Ἁλικαρνασεῖς ἄποικοι τῶν Θουρίων. ἥδε ἡ ἀπό-
δειξίς ἐστι τῆς ἱστορίας τοῦ Ἡροδότου. [a 26] στροφή, ἀντιστροφὴ καὶ
ἐπῳδή. ἀντίστροφα λέγονται τὰ μικρά. [a 27] εἰρομένη δὲ λέξις ἐστὶν
15 ἡ μὴ ἔχουσα τὸ τέλος καὶ τὴν ἀπόδοσιν καθ' ἑαυτὴν ἤτοι ἐγγὺς
ἑαυτῆς καὶ συντόμως ἀποδιδόμενον, ἀλλὰ διὰ μακροῦ ἀποδιδόμενον, ἤτοι
ἡ μακρὰ καὶ μετὰ πολλὰ τὴν ἀπόδοσιν ἔχουσα. εἰ μὴ γὰρ καὶ τὸ
πρᾶγμα καὶ ἡ διάνοια τελειωθῇ, οὐκ ἀποδίδοται, κἂν δεκαπέντε κῶλα 10
εἴπῃς. [a 31] ἔστι δὲ ἀηδὴς διὰ τὸ ἄπειρον ἤτοι διὰ τὸ μετὰ [τὰ]
20 πολλὰ καὶ διὰ μακροῦ τὴν ἀπόδοσιν ἔχειν· ἕκαστος γὰρ τοῦ τέλους καὶ
τῆς ἀποδόσεως ἐφίεται, διὰ δὲ τὸ μὴ συντόμως ἀποδίδοσθαι τὴν ἀπόδοσιν
ἀηδιζόμεθα· ἀεὶ γὰρ ὀρεγόμεθα τοῦ τέλους καὶ τῆς ἀποδόσεως ἀκοῦσαι.
διὸ καὶ οἱ δρομεῖς πόρρω ὄντες τοῦ τέλους οὐ κάμνουσιν, ἡνίκα δὲ πλησιά-
σουσι τῷ τέλει, εὐθὺς κάμνουσι διὰ τὸ ἐφίεσθαι συντόμως τὸ τέλος κατα- 15
25 λαβεῖν· ὅτε καὶ ἑαυτοὺς μᾶλλον ἐπιτείνουσι διὰ τὴν τοῦ τέλους ἔφεσιν.
οὐ κάμνουσι πρότερον ἤτοι πόρρω ὄντες τοῦ τέλους. [a 34] κατε-
στραμμένη δὲ λέξις ἐστὶν ἡ ἐν περιόδοις θεωρουμένη ἤτοι ἡ γοργὸς
καὶ συνεπτυγμένη. περίοδος δέ ἐστι λέξις ἔχουσα ἀρχὴν καὶ τελευτὴν
ἤτοι ἀπόδοσιν αὐτὴν καθ' αὑτὴν ἤτοι εὐπεριόριστον καὶ ἐγγὺς τῆς ἀρχῆς
30 καὶ τέλος ἔχουσαν καὶ μέγεθος εὐσύνοπτον ἤτοι σύντομον ἤτοι μὴ
ὂν ἐπὶ μακρὸν ἀποτεταμένον· 'ὁ γὰρ οἷς ἂν ἐγὼ λῃφθείην κατασκευάζων'
τοῦτο ἡ ἀρχή, 'οὗτος ἐχθρὸς ἐμοί, κἂν μήπω βάλλῃ' τοῦτο ἡ ἀπόδοσις· 20
ὥστε ἐγγὺς τῆς ἀρχῆς ἀπεδόθη καὶ ἡ ἀπόδοσις. [b 1] ἡ τοιαύτη δὲ
λέξις ἡ σύντομον ἔχουσα καὶ τὴν ἀρχὴν καὶ τὴν ἀπόδοσιν ἐγγὺς ἤτοι ἡ
35 κατεστραμμένη ἐστὶ καὶ ἡδεῖα καὶ εὐμαθὴς ἤτοι εὐδιάγνωστος καὶ σαφὴς

1 ἐστὶν n 2 ἀναβολαὶ ante δοκοῦσαι add. n δὲ om. n. πᾶσαι τῷ Vn: fort. μία τῷ 3. 4 ἡ συνεπτυγμένη superscr. V: om. n 4 λέγεται om. n 7 τὰ (ante ἰσόστροφα) om. n 8 περὶ — στρέφονται om. n σύντομα V: σύνθετα n 9 Χριστὸς κτλ.] verba sunt Gregorii Naz. οὐρανοῦ n 10 Ἡροδότου κτλ.] Herod. I 1 11 τὸ om. n ἔχει om. n 12 ἀποτασθεῖσαν n 15 αὐτὴν Arist. 18 τελειωθῇ Vn Arist. A: τελειωθείη Arist. vulg. 19 ἀηδὴς V Arist. AC: ἀηδὲς n Arist. cet. τὰ V: om. n 23. 24 πλησιάσωσιν n 24 κάμνουσιν n 25 ἐπιτείνουσιν n 27 ἡ ἐν — λέξις (28) om. n περιόδοις scripsi ex Aristotele: προόδοις V 29 ἑαυτὴν n 30 καὶ τὸ τέλος n 31 ὁ γὰρ κτλ.] Demosth. 9, 17 32 ἡ (ante ἀρχή) om. n 33 ὑπεδόθη n

διὰ τὸ σύντομον διὰ τὸ ἐναντίως ἔχειν τῷ ἀπεράντῳ ἤτοι τῇ εἰρο- f. 61r
μένῃ λέξει τῇ διὰ μακροῦ ἐχούσῃ τὴν ἀπόδοσιν· καὶ ὅτι ὁ ἀκροατὴς ἀεί
τι ἔχει ἤτοι νοεῖ, καὶ διὰ τοῦτό ἐστι καὶ ἡδεῖα· σύντομον γὰρ ἔχει τὴν
ἀπόδοσιν· μυρία γὰρ ἐὰν εἴπῃς, οὔπω συνίησι, πρὸς τί ταῦτα συντείνουσιν, 25
5 εἰ μὴ τὴν ἀπόδοσιν ἐπάξεις. [b 3] καὶ πεπεράνθαι τι αὐτῷ ἤτοι
ἐνόησέ τι ὁ ἀκροατής. ἀηδὴς δέ ἐστιν ἡ εἰρομένη λέξις διὰ τὸ μηδὲν
προνοεῖν ἢ ἀνύειν, ἤτοι διὰ τὸ μηδὲν δύνασθαι νοῆσαι εὐθύς, ἡνίκα
ἄρξεται λέγειν ὁ ῥήτωρ, πολλῶν ῥηθέντων, εἰ μὴ ἡ ἀπόδοσις ἀποδοθῇ,
ἐπὶ τῆς κατεστραμμένης συνίησί τι ὁ ἀκροατὴς διὰ τὸ ἐγγὺς εἶναι τὴν
10 ἀπόδοσιν. εὐμαθὴς δέ ἐστιν ἡ κατεστραμμένη λέξις, διότι ἐστὶν εὐμνη-
μόνευτος. [b 5] τοῦτο δὲ τὸ εἶναι εὐμνημόνευτον ἔχει, διότι ἔχει ἀρι-
θμὸν βραχύτατον· μετρεῖται γὰρ τὸ κῶλον πέντε ἢ ἓξ ἢ ὀκτὼ συλλαβαῖς. 30
αὕτη δὲ ἡ κατεστραμμένη λέξις καὶ περίοδός ἐστι καὶ ἐν περιόδοις θεωρεῖ-
ται· ἔχει γοῦν ἡ τοιαύτη λέξις ἀριθμὸν τὸ μέτρον ἐκεῖνο, ὃ πάντων ἐστὶν
15 εὐμνημονευτότατον ἤτοι τὸ βραχύτατον μέτρον· τὰ γὰρ βραχέα καὶ
ὧν τὸ κῶλον ἔχει ἓξ ἢ ἑπτὰ συλλαβὰς εὐμνημόνευτα μᾶλλον τῶν χόδην
ἤτοι τῶν πεζῶν λόγων· ἡ γοῦν κατεστραμμένη λέξις ἀριθμὸν ἔχει, ἐν
ᾧ μετρεῖται, καὶ οὐκ ἔστιν ἄπειρος ὡς ἡ εἰρομένη. [b 8] δεῖ δὲ τὴν 35
περίοδον ἀπαρτίζειν διάνοιαν τελείαν, οἷά εἰσι καὶ τὰ τοῦ Σοφοκλέους
20 ἰαμβεῖα· καὶ τὰ τοιαῦτα γὰρ περιοδικά εἰσι καὶ ἐν δυσὶ κώλοις ἢ ἑνὶ
κώλῳ διάνοιαν ἀπαρτίζουσιν, ὡς τὸ

"ἀεὶ ⟨μέν⟩, ὦ παῖ Λαρτίου, δέδορκά σε
πεῖράν τιν' ἐχθρῶν ἁρπάσαι πειρώμενον."

τὰ δὲ τοῦ Εὐριπίδου ἰαμβεῖα εἰρομένην λέξιν ἔχουσι· μακρὰς γὰρ τὰς
25 ἀποδόσεις ἔχουσιν, ὡς τὸ "ἥκω νεκρῶν κευθμῶνα". ἡ ὅλη γοῦν περίοδος
ὀφείλει ἀπαρτίζειν διάνοιαν καὶ τὸ ὅλον κῶλον, μὴ μέντοι γε δὲ διακό- 40
πτεσθαι ταῖς στιγμαῖς, οἷά εἰσι τὰ κατὰ σύνθεσιν καὶ διαίρεσιν· καὶ ἐνταῦθα
μὲν διαστίξαντες ἄλλην διάνοιαν ἀπαρτίσομεν, ἐνταῦθα δὲ διαστίξαντες
ἄλλην, οἷόν ἐστι τὸ

30 'γένοιτο, Ζεῦ, τὸν σὸν καταβαλεῖν ἐμέ,'

καὶ οἷόν ἐστι καὶ τὸ

"Καλυδὼν ⟨μὲν⟩ ἥδε γαῖα Πελοπίας χθονός·"

εἰ μὲν γὰρ στίξομεν εἰς τὸ ἥδε, νοεῖται, ὅτι αὕτη ἡ Καλυδὼν ἐστι γῆ, |

---

3 ἤτοι — ἔχει om. n 5 ἐπάξῃς n καὶ πεπεράνθαι Vn: καὶ πεπεράσθαι Arist. A: τῷ ἀεὶ πεπεράνθαι Arist. vulg. 7 ἢ Vn: εἶναι μηδὲ Arist. (*aut nihil* Tr.) ἀνύειν Vn Arist. vulg.: ἀνοίγειν Arist. A (cf. Tr.) 8 ἄρξηται n 9 συνίησιν n τι — ἐστιν (10) om. n 10 διότι ἐστὶν post συνίησι ponit n 11 ἔχει (post διότι) om. n 12 γὰρ V: δὲ n 13 δὲ ἥδε ἡ n 18. 19 τὴν περίοδον Vn Arist. ATr.: τῇ περιόδῳ Arist. vulg. 19 et 20 εἰσιν n 22 ἀεὶ κτλ.] Soph. Aiac. 1. 2 μέν add. n: om. V 23 πειρώμενον Vn: θηρώμενον Soph. 24 ἔχουσιν n 25 ἥκω κτλ.] Eurip. Hec. 1 30 γένοιτο κτλ.] adesp. fr. 188. F. T. G.² p. 878 N. (ὦ Ζεῦ, γένοιτο καταβαλεῖν τὸν σὸν ἐμέ apud Hermog. π. μεθ. δειν. 444,27 Sp.) 32 Καλυδὼν κτλ.] Eurip. fr. 515. F. T. G.² p. 525 N. μὲν add. n: om. V 33 ἐστιν n

καὶ μέρος τῆς Πελοποννήσου, εἰ δὲ στίξομεν εἰς τὸ μέν, νοεῖται, ὅτι ἥδε f. 61v
ἡ γῆ τῆς Πελοποννήσου ἐστὶ Καλυδών, καὶ νοεῖται ἡ μὲν Καλυδὼν ὅλον,
ἡ δὲ Πελοπόννησος μέρος τῆς Καλυδῶνος, ὡς τὰ ὅλα ὀνομάζεσθαι Καλυ-
δών. [b 11] καὶ γὰρ ἐν τῷ διαιρεῖσθαι καὶ διακόπτεσθαι τὸ περιοδικὸν
5 κῶλον ταῖς τοιαῖσδε ἢ ταῖς τοιαῖσδε στίξεσιν ἔστιν ὑπολαβεῖν τὸ ἐναντίον,
ἤτοι ἄλλην διάνοιαν ἀπαρτίζει καὶ ἄλλην, ἀμφότεραι δὲ διάνοιαι αἱ ὑποση- 5
μαινόμεναι ταῖς τοιαῖσδε ἢ ταῖς τοιαῖσδε διαστίξεσίν εἰσιν ἐναντίαι· ὅπερ
ἔστιν ἰδεῖν καὶ ἐπὶ τοῦ εἰρημένου κώλου, τὸ "Καλυδὼν ἥδε γαῖα"·
ἐναντίας γὰρ παρεμφαίνει διανοίας ἡ ἄλλη καὶ ἄλλη διάστιξις, τὸ δὲ
10 τοιοῦτον ἀσάφειαν μᾶλλον ποιεῖ· ὥστε τὸ κῶλον τὸ περιοδικόν, ὅπερ θεω-
ρεῖται ἐν ταῖς κατεστραμμέναις λέξεσιν, οὐκ ὀφείλει εἶναι τοιοῦτον ὡς
δύνασθαι διακόπτεσθαι ταῖς διαστίξεσιν, ἵν', εἰ μὲν τοιῶσδε στίξομεν, 10
ἄλλην ἀπαρτίζῃ διάνοιαν, εἰ δὲ τοιῶσδε, ἄλλην, ἀλλὰ δεῖ εἶναι ἀδιάκοπον
καὶ μὴ δυνάμενον διαιρεῖσθαι, ὥστε τὴν αὐτὴν καὶ μίαν ἀπαρτίζειν διά-
15 νοιαν τὸ περιοδικὸν κῶλον. [b 13] ἡ δὲ περίοδός ἐστι διττή, ἡ μὲν
θεωρουμένη ἐν δυσὶ κώλοις, ὡς τὸ μὲν ἓν κῶλον εἶναι ἀρχήν, τὸ δὲ
ἕτερον ἀπόδοσιν, οἷόν ἐστιν 'ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθείην ταῦτα πράττων
καὶ κατασκευάζων', τοῦτο ἓν κῶλον καὶ ἀρχή, εἶτα τὸ ἕτερον κῶλον.
ὅπερ ἐστὶν ἡ ἀπόδοσις, 'οὗτός ἐστιν ὁ πολεμῶν, κἂν μήπω βάλλῃ μηδὲ 15
20 τοξεύῃ'· ἡ δ' ἑτέρα περίοδος ἡ μονόκωλος ἤτοι ἡ ἐν ἑνὶ κώλῳ τὴν διά-
νοιαν ἀπαρτίζουσά ἐστιν ἀφελὴς ἤτοι ἁπλουστέρα. [b 13] ἔστι δὲ ἐν
τοῖς κώλοις τοῖς δυσὶ τῆς περιόδου λέξις ἡ τετελειωμένη ἤτοι ἡ ἀπαρ-
τίζουσα καὶ τελειοῦσα διάνοιαν καὶ διῃρημένη ἤτοι σύντομος καὶ μὴ
ἔχουσα τὸ κῶλον ἐκτεταμένον καὶ διῆκον ἐπὶ πολὺ καὶ εὐανάπνευστος·
25 ἐπεὶ γὰρ μικρόν ἐστι τὸ κῶλον, δηλονότι καὶ εὐανάπνευστόν ἐστι διὰ 20
τὴν βραχύτητα καὶ οὐ διὰ τὴν διαίρεσιν· ὅταν γὰρ ᾖ μακρὸν τὸ κῶλον,
ὡς τὸ 'ἔμελλεν ἄρα', διὰ τὸ μὴ ἐξαρκεῖν τὸ πνεῦμα τοῦ ἀναγινώσκοντος
ἄχρι τοῦ τέλους τοῦ κώλου διαιρεῖ τὸ κῶλον καὶ ἐν τῷ μεταξὺ ὑποστίζει
καὶ ἀναπνεῖ. [b 16] ἀλλ' ὅλη ἡ λέξις ἤτοι ὅλον τὸ κῶλον διὰ τὴν
30 μικρότητά ἐστιν εὐανάπνευστον διὰ τὸ ἐξαρκεῖν τὸ πνεῦμα τοῦ ἀναγινώ-
σκοντος εἰς τὸ ἀπνευστὶ διελθεῖν τὸ κῶλον, οἷόν ἐστιν 'ὁ γὰρ οἷς ἂν ἐγὼ
ληφθείην'. διῃρημένη· ἀπαρτίζει γὰρ μίαν διάνοιαν καὶ ἓν κῶλον, ὡς 25
τὸ 'οἷς ἂν ἐγὼ ληφθείην', εἶτα λέγει καὶ τὴν ἀπόδοσιν, 'οὗτος ἐμοὶ πο-
λεμεῖ', καὶ ἔχει καὶ ἡ ἀπόδοσις ἑτέραν διάνοιαν· ὥστε διῄρηται ἡ ἀπό-

---

1 στίξωμεν n 3 ὅλα V: ἄλλα n 5 τοὐναντίον Arist. 6 ἀπαρτίζειν n δὲ om. n διάνοιαν n 7 διαστίξεσιν V: στίξεσιν n 8 ἐστὶ n τὸ V: τοῦ n 12 στίξω n 13 ἀπαρτίζω n ἀδιάκοπτον n 17 ὁ γὰρ κτλ.] Demosth. 9,17 19 ἐστι ἡ n ἐστὶ ὁ n fort. ⟨ἐμοὶ⟩ πολεμῶν, cf. p. 194,32. 196,33 et Demosth. βάλῃ n 20 ἡ δὲ n ἐν om. n 23 τε καὶ Arist. σύντομος n: σύντομον V 25 ἐστιν διὰ n 26 ᾖ om. n 27 ἔμελλεν ἄρα] cf. p. 193,29 28 τοῦ (post ἄχρι) om. n ὑποστίζει V 29. 30 διὰ τὴν μικρότητα superscr. V: om. n 31 ἀναπνευστὶ n ἐστὶ n 32 διῃρημένον n

δοσις τῆς ἀρχῆς. ἢ τὸ διῃρημένον ἤτοι βραχεῖα καὶ οὐχὶ ἀπέραντον f. 61v
καὶ μακρὸν ἔχει τὸ κῶλον, ὡς μὴ ἐξαρκεῖν τὸ πνεῦμα τοῦ ἀναγινώσκοντος
ἄχρι τοῦ τέλους τοῦ κώλου. [b 16] κῶλον δέ ἐστι τὸ ἓν μόριον
αὐτῆς· δυσὶ γὰρ κώλοις περατοῦται ἡ περίοδος. [b 10] "Καλυδὼν μὲν
5 ἥδε γαῖα." τοῦ Εὐριπίδου ἐστί· κεῖται δὲ ἐν τῷ Μελεάγρῳ 30
"ἐν ἀντιπόρθμοις πάντ' ἔχουσιν εὐδαιμονίαν·
Οἰνεὺς δ' ἀνάσσει τῆσδε γῆς Αἰτωλίας,
Πορθάονος παῖς, ὅς ποτ' Ἀλθαίαν γαμεῖ,
Λήδης ὅμαιμον, Θεστίου δὲ παρθένον".
10 ἢ τὸ [b 15] μὴ ἐν διαιρέσει νοεῖται οὕτως, ὥστε ἀναπνεῖν καὶ μὴ
πληρουμένης τῆς διανοίας διὰ τὸ διαιρῆσαι τὸ κῶλον μεταξύ. [b 18]
μυούρους ἤτοι πάνυ μικρούς, οἷον εἴ εἰσι τρισύλλαβοι ἢ τετρασύλλαβοι.
τὸ μὲν γὰρ μικρὸν πάνυ ποιεῖ τὸν ἀκροατὴν πολλάκις προσ-
πταίειν καὶ προσκρούειν· ἡ γὰρ τάσις τῆς φωνῆς τοῦ λέγοντος ἔχουσα 35
15 ἔτι ὁρμὴν ἀνακόπτεται καὶ ἀναχαιτίζεται καὶ ἵσταται καὶ ἠρεμεῖ καὶ πάλιν
ὁρμήσασα ἀνακόπτεται καὶ ἠρεμεῖ διὰ βραχυκωλίαν· ὅταν γὰρ ὁ ῥήτωρ
ἔχων τάσιν ἐν τῷ ἀναγινώσκειν ὁρμῶν ἐπὶ τὸ πόρρω ἔτι καὶ τὸ
μέτρον διὰ τὸ προσδοκᾶν εἶναι τὸ κῶλον σχοινοτενὲς ἀντισπασθῇ καὶ
ἀντικρουσθῇ ἀπὸ τῆς πρόσω ὁρμῆς παυσαμένου τοῦ ὅρου, οὗ ἔχει τὸ
20 κῶλον ἐν ἑαυτῷ, ἀνάγκη προσπταίειν διὰ τὴν ἀνάκρουσιν καὶ ἀναχαί- 40
τισιν τῆς τάσεως τῆς φωνῆς τὸν ἀναγινώσκοντα ῥήτορα, οἷά εἰσι τὰ
τοιαῦτα κῶλα 'προσέβαλεν ὁ ἀνήρ· συνεκροτήθη ὁ πόλεμος'. [b 22] εἰ
δὲ μακρά εἰσι τὰ κῶλα καὶ σχοινοτενῆ, ποιεῖ τὸν ῥήτορα τὸν ἀναγι-
νώσκοντα ἀπολείπεσθαι τῆς ἀποδόσεως καὶ στίζειν καὶ ἀναπνεῖν καὶ
25 ταῦτα τῆς ἀποδόσεως μήπω ἀποδοθείσης, οἷον λέγω 'ἔμελλεν ἄρα πολ-|
λὰς ἡμῖν ὑποθέσεις τῶν λόγων ἀεὶ προτιθεὶς ὁ μέγας Βασίλειος· καὶ f. 62r
γὰρ ἐφιλοτιμεῖτο τοῖς ἑαυτοῦ λόγοις ὡς οὔπω τις τῶν πάντων οὐδείς', διὰ
τὴν μακροκωλίαν οἴεται εἰς τὸ οὐδείς ἀποδίδοσθαι τὸν λόγον καὶ διὰ
τοῦτο στίζει καὶ ἠρεμεῖ ἐν αὐτῷ κἀντεῦθεν τῆς κυρίας ἀποδόσεως ἀπο-
30 λείπεται, ὥσπερ καὶ ὁ κάμπτων ἔξω τοῦ τέρματος ἀπολείπει τοὺς
συντρέχοντας αὐτῷ, ἅτε ἄλλην βαδίζων ὁδόν. μονόκωλος δὲ περίοδός 5
ἐστιν αὕτη 'ἐπ' οὐδενὸς οὖν τῶν ἁπάντων οὐκ ἔστιν ἐφ' ὅτῳ οὐχὶ τῶν
ἁπάντων'. [b 25] αἱ δὲ περίοδοι αἱ μακραί, οἷον 'ὁ γὰρ οἷς ἂν ἐγὼ
ληφθείην ταῦτα πράττων καὶ πολέμους ἀνεγείρων καὶ συκοφάντας συνιστῶν',

---

1 διῃρημένη Arist. 3. 4 τὸ ἕτερον μόριον ταύτης Arist. 4 παρατοῦται n
Καλυδὼν κτλ.] Eurip. fr. 515. F. T. G.² p. 525 N. 5 ἐστίν n 6 ἀντιπορέμοις n
ἐν ἀντιπόρθμοις πεδί' ἔχουσ' εὐδαίμονα apud Demetr. de eloc. 58 9 θετίου Vn
10 ἐν τῇ διαιρέσει Arist. 12 μυούρους Vn Arist. AC: μειούρους Arist. cet. εἴ
om. n 13. 14 προσπταίειν (vulg.; προπταίειν A) πολλάκις ποιεῖ τὸν ἀκροατὴν
Arist. 14 τάσις V: φύσις n 17 ἔτι ante ὁρμῶν Arist. 18 ἀντισπαθῇ n
19 πρόσω V: πόρρω n οὗ Vn Arist. BCTr.: οὔτε Arist. cet. 20 ἐν αὐτῷ n
ἀντίκρουσιν Arist. 20. 21 ἀναχαίτησιν n 22 συνεκροτήσθη n 25 fort.
οἷον ⟨εἰ⟩ 32 ἐστὶ ἐφ' n 33 ὁ γὰρ κτλ.] Demosth. 9,17

ἡ τοιαύτη οὖν σχοινοτενὴς περίοδός ἐστι λόγος καὶ ἔοικεν ἀναβολῇ ἤτοι f. 62r
τῇ διὰ μακροῦ ἀποδόσει. [b 27] ποιήσαντα ἤτοι ποιητικῶς ποιήσαντα
ἀναβολὰς ἤτοι διὰ μακροῦ ἀποδόσεις ἀντὶ τῶν ἀντιστρόφων ἤτοι 10
τῶν μικρῶν καὶ συνεστραμμένων περιόδων. ἀντίστροφα λέγονται τὰ δύο
5 κῶλα τῆς περιόδου, διότι στρέφονται περὶ τὰ ἴσα· καὶ τὸ κῶλον γὰρ τῆς
ἀρχῆς καὶ τὸ κῶλον τῆς ἀποδόσεως ἄμφω εἰσὶ μικρά. [b 29] ἡ δὲ
μακρὰ ἀναβολὴ ἤτοι ἡ διὰ μακροῦ ἀπόδοσις κακία ἐστὶ τοῦ ποιήσαντος
αὐτήν, ἤτοι κακίζεται δὲ ὁ ποιήσας μακρὰν ἀπόδοσιν. εὗρον καὶ σχόλιον
οὕτως ἑρμηνεῦον αὐτήν· ἡ δὲ μακρὰ ἀναβολὴ ἤτοι ἡ δὲ κακὴ βουλὴ
10 τῷ ποιήσαντι καὶ τῷ βουληθέντι ἐστὶ κακίστη. [b 30] ἁρμόττει 15
γοῦν τὸ τοιοῦτον ἤτοι τὸ προσπταίειν τὸν λέγοντα ἤτοι τὸν ἀκροατὴν
καὶ εἰς τὴν μακροκωλίαν· φθάνουσι γὰρ πρὸ τῆς ἀποδόσεως στίζοντες
οἰόμενοι ἐνταῦθα εἶναι καὶ τὴν ἀπόδοσιν, ἔνθα καὶ στίζουσιν· αἱ γὰρ λίαν
μικραὶ περίοδοι ποιοῦσι τὸν ἀκροατὴν προπετῆ ἤτοι προσπίπτοντα καὶ
15 προσκρούοντα· καὶ γὰρ ὁ ἀκροατὴς ἔχων τὸν νοῦν τεταμένον ἔτι πόρρω
διὰ τὸ οἴεσθαι ἐπὶ πλέον τὴν ἔννοιαν τείνεσθαι ἀναχαιτίζεται τῆς πορρω- 20
τέρω νοήσεως διὰ τὸ ἄγαν βραχύκωλον τῆς περιόδου. [b 33] διῃρημένη
δὲ λέξις ἐστὶν ἐν ταῖς περιόδοις, ὅταν ἡ ἐν τῷ ἑνὶ κώλῳ λέξις ἄλλην ἀπαρ-
τίζῃ διάνοιαν καὶ ἡ ἐν τῷ ἑτέρῳ κώλῳ λέξις ἄλλην· καὶ γὰρ τὸ γυμνι-
20 κοὺς ἀγῶνας καταστησάντων ἄλλην ἀπαρτίζει διάνοιαν. [b 35] ἀντι-
κειμένη δὲ λέξις ἐστίν, ὅταν τῶν δύο κώλων ἐναντίων ὄντων πρὸς ἄλληλα
ἡ μία ἀπόδοσις ἀποδίδοται ἢ ἑκάστῳ κώλῳ ἤτοι κατάλληλος ἑκάστῳ
κώλῳ σύγκειται ἤτοι ἀποδίδοται ἀπόδοσις. τὸ ἐπέζευκται ἀντὶ τοῦ ἀπο-
δίδοται. [1410a 1] οἷον 'ἀμφοτέρους ὤνησαν οἱ πρὸς βαρβάρους 25
25 στρατευσάμενοι, τούς τε μείναντας καὶ καταλειφθέντας οἴκοι καὶ τοὺς
ἀκολουθήσαντας αὐτοῖς'· ἰδοὺ δύο κῶλα ἔχοντα ἐναντία τό τε κατα-
λειφθῆναι καὶ τὸ ἀκολουθῆσαι, ἑκάστῳ δὲ κώλῳ οἰκεία καὶ κατάλληλος
ἀπεδόθη ἀπόδοσις· [a 2] 'τοῖς μὲν γὰρ ἤτοι τοῖς ἀκολουθήσασι προσε-
γένετο τὸ προσκτήσασθαι οἴκοι πλείω ὡς ἐκ τοῦ πολέμου πολλὰ κερδή-
30 σασι, τοῖς δὲ ἤτοι τοῖς ἀπομείνασι κατέλιπον τὴν οἴκοι ἔξοδον γενομένην 30
ἀνενδεῆ καὶ αὐτάρκη ἤτοι καὶ τοῖς ἀπομείνασι κατέλιπον εἰς διοίκησιν
πολλά', καὶ ἀποδόσεις ἤτοι τὸ πλεῖον καὶ ἀνενδεὲς καὶ ἱκανὸν ἐναντία εἰσίν·
εἰ τῷ ἐναντίῳ δὲ κώλῳ ἀπεδόθη τὸ ἐναντίον, καὶ τῷ ἐναντίῳ δὲ κώλῳ
ἀποδοθήσεται τὸ ἐναντίον. πάλιν ἄλλο παράδειγμα· [a 5] 'καὶ τοῖς

1 ἤτοι αὕτη n ἔστι δὲ n λόγος Vn Arist. vulg.: ἄλογος A ἀναβολὴ Arist. A: ἀναβολῆς Arist. BDEYbZb 3 ἀναβολὰς Vn Arist. AC: ἀναβολὴν Arist. cet. 6 μικρά V: μακρά n 12 καὶ om. n 14 μακραὶ n προπετῆ Vn Arist. A: προπετῶς Arist. vulg. 15 τεταμμένον n 18 δὲ V: μὲν n ἐστὶν — λέξις om. n 18. 19 ἀπαρτίζει n 24 ἀμφοτέρους κτλ.] Isocr. 4,35 δ' ὤνησαν Arist. 26 ἀκολουθήσαντας Vn Arist. vulg.: ἀκολουθήσοντας Arist. A 28 ἀκολουθοῦσιν n 28. 29 προεγένετο n 29. 30 κερδήσασιν n 30 ἀπομείνασιν n 30 et 31 exspectes ὑπομείνασι, cf. Arist. et Isocr. 31 ἀπομείνασιν n 33 ἀπεδόθη - κώλῳ om. n 34 καὶ τοῖς κτλ.] Isocr. 4,41

χρημάτων δεομένοις', ἓν κῶλον. 'καὶ τοῖς ἀπολαῦσαι βουλο- f. 62r
μένοις', ἕτερον κῶλον ἐναντίον τῷ προτέρῳ κώλῳ· ἡ γὰρ ἀπόλαυσις
τῇ κτήσει ἀντίκειται· τούτοις τοῖς δυσὶ κώλοις ἀπεδόθη ἀπόδοσις. 35
ἄλλο παράδειγμα· [a 6] 'πολλάκις συμβαίνει ἐν ταῖς πόλεσι ταύταις τοὺς
5 φρονίμους ἀτυχεῖν', ἓν κῶλον, 'καὶ τοὺς ἄφρονας κατορθοῦν' ἤτοι
εὐτυχεῖν, ἄλλο κῶλον ἐναντίον· ἐναντία γὰρ τὸ εὐτυχεῖν καὶ ἀτυχεῖν·
τούτοις ἀπεδόθη μία ἀπόδοσις. ἄλλο παράδειγμα· [a 8] 'εὐθὺς ἠξιώ-
θησαν τῶν ἀριστείων ἤτοι βραβείων, οὐ πολὺ δὲ ὕστερον καὶ τὴν
ἀρχὴν τῆς θαλάσσης ἔλαβον'· ἐναντία ταῦτα τὰ 'ἢ μὲν γὰρ ἠξιώ-
10 θησαν δωρεῶν, φαίνονται ὅτι ἐνδεεῖς ἦσαν', 'ἢ δὲ ἐξουσίαν τῆς θαλάσσης 10
ἔλαβον, εἰσὶν ἀνενδεεῖς'. ἄλλο· [a 10] 'καὶ πλεύσας μὲν ὁ Ξέρξης
διὰ τῆς ἠπείρου, πεζεύσας δὲ διὰ τῆς θαλάσσης'· ἐναντίον τὸ
πεζεῦσαι τῷ πλεῦσαι· ἀπόδοσις πρὸς μὲν τὸ πεζεῦσαι τὸ ζεῦξαι τὸν
Ἑλλήσποντον, πρὸς δὲ τὸ πλεῦσαι τὸ διορύξαι τὸν Ἄθων, ἐναντία δὲ
15 τὸ διορύττειν καὶ τὸ ζευγνύειν. ἄλλο· [a 12] 'καὶ οἱ μὲν πολῖται
ἐστερήθησαν καὶ ἐξωρίσθησαν τῆς πόλεως νόμῳ καὶ ψήφῳ τυ|ραννικῇ'. f. 62v
[a 13] 'οἱ μὲν γὰρ τῶν πολιτῶν κακῶς ἀπώλοντο, οἱ δὲ αἰσχρῶς
ἐσώθησαν' ἤτοι ἔφυγον. "ἔτι δὲ κοινῆς τῆς πατρίδος οὔσης τοὺς
μὲν τυραννεῖν τοὺς δὲ μετοικεῖν καὶ φύσει πολίτας ὄντας". "ὁρῶσα
20 δὲ περὶ τὰς ἄλλας πράξεις οὕτω ταραχώδεις οὔσας τὰς τύχας, ὥστε
πολλάκις ἐν ταύταις". "καὶ πρὸς ἅπαντας τοὺς κινδύνους διενεγκόντες
εὐθὺς μὲν τῶν ἀριστείων ἠξιώθησαν"· τοῦ Παναθηναϊκοῦ τοῦ Ἰσοκράτους 5
ἑπόμενον· λείπει δέ, ὅτι πρὸς εἰδότας, ὅτι τὰς μὲν τῶν σωμάτων
εὐτυχίας οὕτω μεγάλων δωρεῶν ἠξίωσαν, τοῖς δὲ ὑπὲρ τῶν κοινῶν
25 ἰδίᾳ πονήσασι καὶ τὰς αὐτῶν ψυχὰς οὕτω παρασκευάσασιν, ὥστε καὶ τοὺς
ἄλλους ὠφελεῖν δύνασθαι τούτους, τοῖς μὲν πλείω ἐπόρισαν, τοῖς δὲ ἀσφα-
λῶς ἔχειν τὰ προσόντα δεδώκασιν. ἄλλο· [a 14] 'καὶ ἰδίᾳ μὲν τοῖς
βαρβάροις χρῆσθαι ἱκέταις, κοινῇ δὲ πολλοὺς τῶν συμμάχων
περιορᾶν δουλεύοντας'. ἄτοπον γάρ φησιν· ἰδίᾳ μὲν ἱκετεύουσι τοῖς 10
30 βαρβάροις ὑπείκομεν, κοινῇ δὲ τοὺς συμμάχους περιορῶμεν καὶ μὴ βοη-

---

1 ἓν V: ἄλλο n 3 κτίσει n 4 πολλάκις κτλ.] Isocr. 4,48 5 ἓν κῶλον om. n 5. 6 ἤτοι εὐτυχεῖν om. n 7 μία om. n εὐθὺς κτλ.] Isocr. 4,72 7. 8 εὐθὺς μὲν τῶν ἀριστείων ἠξιώθησαν (ἠξιώθη BCQZᵇ) Arist. 9 θαλάττης Arist. τὰ V: om. n 11 πλεύσας κτλ.] Isocr. 4,89 πλεῦσαι Arist., Isocr. 12 πεζεῦσαι Arist., Isocr. τῆς om. n θαλάττης Arist. 13 ζεῦξαι τὸν V: ζεῦσαι τὴν n 14 Ἄθω Arist. 15 καὶ οἱ μὲν κτλ.] Isocr. 4,105 17 οἱ μὲν κτλ.] Isocr. 4, 149 καλῶς n 18 ἔτι δὲ κτλ.] Isocr. 4,105 19 ὁρῶσα κτλ.] Isocr. 4,48 20 περὶ μὲν τὰς Isocr. 20. 21 ὥστε πολλάκις ἐν αὐταῖς καὶ τοὺς φρονίμους ἀτυχεῖν καὶ τοὺς ἀνοήτους κατορθοῦν Isocr.; dubito, num in commentarii textu quaedam interciderint 21 καὶ πρὸς κτλ.] Isocr. 4,72 22 Παναθηναϊκοῦ] sunt ex Panegyrico (de hac significatione cf. Anon. ad III 17 p. 1418ᵃ31) 24 ἠξίωσαν n: ἠξιώθησαν V 25 πονήσασιν n 27 καὶ ἰδίᾳ κτλ.] Isocr. 4,181 28 χρῆσθαι ἱκέταις V: ἱκέταις χρῆσθαι Arist. vulg.: χρῆσθαι οἰκέταις n: οἰκέταις χρῆσθαι Arist. A (cf. Isocr.) 29 ἱκετεύουσιν n

δοῦμεν αὐτοῖς. ἐνταῦθα ἐναντίον τὸ δέχεσθαι τοὺς ἱκέτας καὶ τὸ περιορᾶν. f. 62v
πάλιν ἄλλο· [a 16] 'οὕτως ἐστράτευσαν εἰς τοὺς πολεμίους, ὥστε ἢ
ζῶντας αἰχμαλώτους ἄξειν αὐτοὺς ἢ σφάξαι καὶ καταλεῦψαι τελευτή-
σαντας'. [a 17] ὁ Πειθόλαος καὶ ὁ Λυκόφρων ῥήτορες. 'οὗτοι δὲ οἱ
5 τῆς πατρίδος προδόται οἴκοι μὲν ὄντες καὶ ἐν τῇ πατρίδι ἐπώλουν 15
ἡμᾶς, ἐλθόντες δὲ εἰς ἡμᾶς ἐώνηνται καὶ ἠγοράσθησαν παρ' ἡμῶν
κρατηθέντες παρὰ τῶν πολεμίων'· ἢ καὶ οὕτως 'οἴκοι μὲν καθήμενοι οἱ
ῥήτορες πωλοῦσιν ἡμᾶς, ἐλθόντες δὲ εἰς ἡμᾶς ἐώνηνται παρ' ἡμῶν· διδόα-
μεν γὰρ αὐτοῖς χρήματα καὶ ἀγοράζομεν αὐτούς, ἵνα μὴ εἴπωσι τὰ λυσι-
10 τελοῦντα τῇ πόλει'. [a 19] ἅπαντα γὰρ ταῦτα τὰ ῥηθέντα παρα-
δείγματα ποιοῦσι τὸ εἰρημένον ἤτοι τὸ τοῖς ἐναντίοις κώλοις ἀποδίδοσθαι
ἑκάστῳ κώλῳ καὶ ἀπόδοσιν κατάλληλον, ἵνα ᾖ, εἰ τὸ ἐναντίον τῷ ἐναντίῳ, 20
καὶ τὸ ἐναντίον τῷ ἐναντίῳ. ἡ τοιαύτη δὲ λέξις ἡ ἀντικειμένη ἤτοι ἡ
ἔχουσα ἐν τοῖς διττοῖς κώλοις τὰ ἀντικείμενά ἐστιν ἡμῖν ἡδεῖα, διότι τὰ
15 ἐναντία παράλληλα κείμενα γνωριμώτερα μᾶλλον γίνεται καὶ ὅτι ἔοικε
συλλογισμῷ· εἰ γὰρ τῷ ἐναντίῳ ἐστὶ τὸ ἐναντίον ἀπόδοσις, συλλογίζεται
ὁ ἀκροατής, καὶ τὸ ἐναντίον ἔσται ἀπόδοσις τοῦ ἑτέρου κώλου τοῦ ἐναντίου.
[a 22] ἐπεὶ καὶ ὁ ἔλεγχος συναγωγή ἐστι τῶν ἀντικειμένων· ὁ γὰρ
κυρίως ἐλέγχων λαμβάνει τὸ ἀντιφατικῶς ἀντικείμενον τῷ δειχθέντι καὶ 25
20 συναχθέντι συμπεράσματι. εἶτα ἐξ αὐτοῦ συνάγει ἄτοπόν τι καὶ ἐκ τοῦ
δειχθῆναι ἄτοπόν τι ἐκ τῆς ὑποτεθείσης ὑποθέσεως βεβαιοῖ τὸ συντεθὲν
συμπέρασμα ἐξ ἀρχῆς, ὅπερ ἐστὶν ἡ εἰς ἀδύνατον ἀπαγωγή. [a 22] ἀντί-
θεσις μέν ἐστι τὸ τοιοῦτον ἤτοι τὸ λαμβάνειν τὰ ἀντικείμενα ἐν τοῖς
κώλοις καὶ ἐν ταῖς ἀποδόσεσι. παρίσωσίς ἐστιν, ὅταν τὰ κῶλα ἴσας
25 ἔχωσι συλλαβάς. παρομοίωσις δέ ἐστι τὰ ὁμοιοτέλευτα, τὰ τὴν αὐτὴν 30
ἔχοντα τελευτὴν κῶλα, ἤτοι ὅταν ἑκάτερον τῶν κώλων ἔχωσι τὰ
ἔσχατα ὅμοια (ὅμοια δὲ κατὰ τὸν ψόφον τῆς φωνῆς)· καὶ ἀεὶ μὲν τὰ
πάρισα ἔχουσι † τὰ πάρισα τὴν αὐτὴν ἀρχὴν κατὰ τὸν ψόφον τῆς φωνῆς
καὶ τὰ αὐτὰ ὀνόματα ἔχουσι κατὰ τὸν ψόφον τῆς φωνῆς τὰ πάρισα.
30 [a 25] ἀνάγκη ἢ ἐπὶ τῆς ἀρχῆς ἔχειν τὰ αὐτὰ ὀνόματα τὰ πάρισα ἢ
ἐπὶ τῆς τελευτῆς. ἡ δὲ τελευτὴ τῶν παρίσων κώλων ἢ τὰς αὐτὰς
ἔχουσι συλλαβὰς τὰς ἐσχάτας ἢ τὴν αὐτὴν πτῶσιν τοῦ ὀνόματος τοῦ 35
αὐτοῦ, οἷον καὶ τὰ κῶλα τὰ δύο τελευτῶσιν εἰς τὸ αὐτὸ ὄνομα, ἤτοι ἢ εἰς

1 ἐναντία n 3 ζῶντας κτλ.] cf. Isocr. 4,186 ἄξειν Vn Arist. A: αὔξειν Arist. vulg.: ἕξειν Isocr. 5 ἐόντες Arist. A: ἐῶντες Arist. vulg. (ὄντας Q) 6 ἡμᾶς utrobique V Arist. vulg.: ὑμᾶς Arist. A: prius om. n, ante οἴκοι ponit Arist. 7 μὲν om. n 8. 9 δίδομεν n 11 ποιοῦσιν n 12 ἀπόδοσιν V: ἀποδίδοσιν n 13 καὶ τὸ—ἐναντίῳ om. n 15 ἔοικεν n 20 τοῦ—ἐκ (21) om. n 22 ἐστι n ἐπαγωγή n 23 μὲν Vn Arist. BCY^{b}Tr.: μὲν οὖν Arist. cet. 24 ἀποδόσεσιν n ἐστι n 26 ἑκάτερον Vn Arist. ABDE: ἑκατέρων Arist. C: ἑκάτερα Arist. QY^{b}Z^b τῶν κώλων Vn Arist. vulg.: τὸ κῶλον Arist. A ἔχῃ Arist. 28 τὰ πάρισα (post ἔχουσι) om. n 30 ἀνάγκη δὲ (γὰρ C) ἢ ἐν ἀρχῇ Arist. τὰ (ante πάρισα) om. n 31 τελευτῆς Vn Arist. A: τελευτῇ Arist. vulg. 32 ἔχουσιν n 33 καὶ V: εἰ n

θηλυκὸν ὄνομα ἢ εἰς ἀρσενικόν, καὶ εἰς τὴν αὐτὴν πτῶσιν, εἰς δοτικὴν καὶ f. 62v
δοτικὴν ἢ εἰς γενικὴν καὶ γενικήν, ἢ τὸ αὐτὸ ὄνομα, ἤτοι καὶ τὰ τέλη
τῶν δύο κώλων θηλυκοῦ ὀνόματός εἰσιν ἢ ἀρσενικοῦ (τὸ αὐτὸ δὲ ὄνομα
κατὰ τὸν ψόφον). [a 28] ἀγρὸν ἔλαβε, † τὸ κῶλον, ἀργὸν παρ'
5 αὐτοῦ. πάρισα τὰ κῶλα ἔχοντα ἐν τῇ ἀρχῇ τὸ αὐτὸ ὄνομα ἤτοι ἀγρόν
καὶ ἀργόν, τὸ αὐτὸ δὲ κατὰ τὸν ψόφον ἐστὶν ὄνομα τὸ ἀγρόν καὶ ἀργόν· 10
ἐκ τοῦ Ἀριστοφάνους. [a 29] 'δωρητοί τ' ἐπέλοντο παραρητοῖς
ἐπέεσι'. τὰ δύο ταῦτα τὰ κῶλα πάρισα ὄντα ἔχουσιν ἐν ἀρχῇ τὸ αὐτὸ
ὄνομα κατὰ τὸν ψόφον, δωρητοί καὶ παραρητοῖς, καὶ ἐκεῖ ρητοί καὶ
10 ἐνταῦθα ρητοῖς· καὶ ἔστι κατὰ τὸν ψόφον τῆς φωνῆς τὸ αὐτό· ἐν τῷ
ἰῶτα δὲ τοῦ Ὁμήρου ἐστίν, ἔνθα ὁ Νέστωρ πέμπεται πρὸς τὸν Ἀχιλλέα
πρέσβις. τὸ δωρητοί τοῦτο λέγει, ὅτι οἱ ἄνθρωποι ἢ ὑπὸ δώρων ἤτοι
λαβόντες δῶρα ἐξίστανται τῆς παλαιᾶς ἔχθρας ἢ παραρητοί εἰσιν ἤτοι f. 63r
ἱκετευόμενοι καὶ παρακαλούμενοι. [a 30] ἐν τῇ τελευτῇ δὲ ταῦτα τὰ
15 πάρισα ἔχουσι τὰς αὐτὰς συλλαβάς, τετοκέναι καὶ γεγονέναι, τὸ έναι
ἐν τῇ τελευτῇ ἑκατέρου τοῦ κώλου· πτῶσιν δὲ τοῦ αὐτοῦ ὀνόματος τὸ
φροντίσι καὶ τὸ ἐλπίσι, θηλυκοῦ ὀνόματός ἐστι καὶ τῆς αὐτῆς πτώσεως. 5
[a 32] ὁ δεῖνα μηδὲν ὠφελήσας πώποτε τὴν πόλιν ἀξιοῖ χαλκοῦς στῆναι
(ἀνδριάντα στῆσαι χαλκοῦν αὐτοῦ) μὴ ἄξιος ὢν χαλκοῦ. τὸ αὐτὸ ὄνομά
20 ἐστι κατὰ τὸν ψόφον τὸ χαλκοῦς καὶ τὸ χαλκοῦ. καὶ τὸ κακῶς καὶ
κακῶς τὸ αὐτὸ ὄνομα. ἀπὸ συλλαβῆς δὲ τῆς αὐτῆς, οἷον τὸ δεινόν
τὸ νόν καὶ τὸ ἀργόν τὸ γόν. [a 36] ἔστι δὲ εὑρεῖν κῶλα ἔχοντα
πάντα ἤτοι τὸ ἔχειν κατὰ τὴν ἀρχὴν τὸ αὐτὸ ὄνομα καὶ ἔσονται καὶ
ὁμοιοτέλευτα· ἤτοι τὸ αὐτὸ καὶ ἓν κῶλον ἔχον τὰ πάντα, καὶ τὸ αὐτὸ 10
25 κῶλον εὑρήσεις ἔχον καὶ πάρισον καὶ ἀντίθεσιν· τὸ δ' ἀληθὲς τοῦτό ἐστι,
τὸ αὐτὸ εἶδος τῆς περιόδου ἤτοι τὴν αὐτὴν περίοδον τὴν ἐν δυσὶ κώλοις
πεπεραιωμένην εὑρήσεις ἔχουσαν πάντα, ὥστε εἶναι τὰ ἐν αὐτῇ κῶλα καὶ
πάρισα καὶ ἀντίθεσιν ἔχοντα καὶ ὁμοιοτέλευτα. [b 2] πρὸς τὸν Θεοδέκτην
ἔγραφεν ὁ Ἀριστοτέλης Ῥητορικήν, ἐν ᾗ ἀπηριθμήσατο τὰς τῶν περιόδων
30 ἀρχάς, οἷαι ὀφείλουσιν εἶναι. ὁ Ἐπίχαρμος ποιητὴς κωμικός. [b 5] 15
τόκα μὲν ἤτοι τότε μὲν ἐγὼ ἦν ἐν τήνων ἤτοι ἐκείνων, τόκα δὲ (τότε δέ)

---

1 καὶ (ante εἰς) V: ἢ n πτῶσιν ἢ εἰς n 4 ἔλαβε V: ἔλαβον n: γὰρ ἔλαβεν Arist. scripsit fort. ἀγρὸν ἔλαβε, τὸ ⟨ἓν⟩ κῶλον, ἀργὸν παρ' αὐτοῦ ⟨,τὸ ἕτερον κῶλον⟩
5 πάρισα δὲ τὰ n 7 Ἀριστοφάνους] fr. 649. C. A. F. I 553 K. δωρητοί κτλ.] Hom. I 526 παρὰ ῥητοῖς V: παραῤῥητοὶ n: παράρρητοί τ' (δ' A) Arist., Hom. (non mutarim; cf. v. 9 et 10) 8 ἐπέεσσιν n Arist. τὰ (post ταῦτα) om. n
9 δωρητοί—ψόφον (10) om. n 12 πρέσβις V: πρεσβεύς n 13 παραῤῥητοί n
15 ἔχουσιν n εναι n: νέναι V 17 ἐλπίσιν ante ἐλπίσι add. n ἐστιν n
18 δεῖνα καὶ μηδὲν n χαλκοῦς V: χαλκοῦν n σταθῆναι Arist. 19 στῆσαι χαλκοῦν om. n 20 ἐστιν n χαλκοῦς scripsi: χαλκὸς V: χαλκοῦν n 22 τὸ νόν om. n τὸ γόν om. n 23 αὐτὸ om. n 24 αὐτὸ (post καὶ τὸ) om. n
25 ἐστιν n 28 ἐν τοῖς θεοδεκτίοις ante πρὸς add. n, cf. Arist. θεόδεκτον Vn
29 ἔγραφεν n: ἔγρ∠ V 31 τόκα μὲν ἐν τήνων ἐγὼν ἦν Arist. ἐν V: ἐκ n τότε δὲ om. n

ἦν παρὰ τήνοις ἤτοι παρ' ἐκείνοις· φαίνονται μὲν ταῦτα τὰ δύο f. 63r
κῶλα ἀντιθέσεις ἔχειν διὰ τὸ μέν καὶ δέ (εἰσὶ γὰρ οἱ σύνδεσμοι ὁ δέ καὶ
ὁ μέν ἑτέρων καὶ ἑτέρων ὀνομάτων ἐφελκυστικοί), οὐκ εἰσὶ δὲ τῇ ἀληθείᾳ
ἐναντίοι οἱ σύνδεσμοι.

5 10. Λεκτέον δέ, πόθεν γίνονται αἱ μεταφοραὶ αἱ ἀστεῖαι καὶ εὐδο-
κιμοῦσαι καὶ ἐπαινεταί. ἡ μὲν οὖν μέθοδος αὕτη παραδώσει, πόθεν ληφθή-
σονται αἱ μεταφοραί. ὁ δ' εὐφυὴς καὶ ἐγγυμνασθεὶς εἰς τὸ ποιεῖν ταύτας 20
ποιήσει ταύτας ῥᾳδίως. [b 10] τὸ γοῦν μανθάνειν τι ῥᾳδίως ἡδὺ
μὲν δοκεῖ· τὰ δὲ ὀνόματα πραγμάτων σημαντικά εἰσιν· ὥστε τῶν
10 ὀνομάτων ὅσα ποιοῦσιν ἡμῖν μάθησιν καὶ γνῶσίν τινα, ἥδιστα
δοκοῦσι. ποιοῦσι δὲ τὰ ὀνόματα ἡμῖν μάθησιν, ἐὰν τὰ ἐν ἄλλοις κείμενα
ὀνόματα εἰς ἄλλα μεταφέρωμεν, ὡς τὴν γυναῖκα εἴπῃ τις μαίνανδρον.
[b 12] αἱ μὲν οὖν γλῶτται ἤτοι αἱ διάλεκτοί εἰσιν ἀγνῶτες ἡμῖν καὶ 25
ἄγνωστοι, τὰ δὲ κύρια ἴσμεν ὀνόματα· ἡ δὲ μεταφορὰ ἡ εὐδοκιμοῦσα
15 (ἔστι δέ, ὅταν ἀπ' ἀλλήλων εἰς ἄλληλα μετασκευάζωμεν τὰ ὀνόματα)
τοῦτο ποιεῖ ἤτοι τὸ γνῶσιν ἡμῖν παρέχειν ἅμα τῷ ῥηθῆναι, εἰς ὃ
πρᾶγμα ἀπὸ ἄλλου μετεκομίσατο τὸ ὄνομα. [b 14] ἡ γοῦν καλάμη ἐπὶ
τῆς καλάμης τῶν ξηρῶν ἀσταχύων λέγεται· εἰ γοῦν ἐκεῖθεν μετακομίσει
τις τὸ ὄνομα εἰς τὸ γῆρας, ἐποίησεν ἅμα τῷ ῥηθῆναι καὶ γνῶσιν τοῦ
20 πράγματος καὶ παράστασιν διὰ τοῦ γένους, τουτέστι τῆς ἀπανθήσεως· 30
τὸ γὰρ γῆρας καὶ ἡ καλάμη ὑπὸ τὸ αὐτὸ γένος ἀνάγονται ἤτοι τὴν ἀπάν-
θησιν· καλάμη γὰρ λέγεται, ἧς ἐπὶ τὸ ἄκρον ἀναφύεται ὁ ἄσταχυς· ὡς
γοῦν τοῦ ἀστάχυος κοπέντος μένει ξηρὰ ἡ καλάμη, οὕτω καὶ τὸ γῆρας
ἐλθὸν διαφθείρει πᾶν, εἴ τι κάλλιστον ἔνεστιν ἐν τῷ ἀνθρώπῳ, ἤτοι ἰσχύν,
25 τὸ κάλλος, τὴν τρίχα, τἆλλα, καὶ ἀπομένει κατάξηρος ὁ ἄνθρωπος. [b 15]
καὶ γὰρ αἱ εἰκόνες καὶ αἱ παραβολαί, αἷς χρῶνται οἱ ποιηταί, ποιοῦσι
τὸ αὐτό, ἤτοι γνῶσιν παρέχουσιν ἡμῖν τοῦ πράγματος ἢ τὸ ἀστεῖον· 35
διόπερ ἐὰν εὖ ληφθῶσιν αἱ εἰκόνες παρὰ τῶν ποιητῶν (εὖ δὲ λαμβά-
νονται, ὅταν οὐκ εἰσὶ μακροαπόδοτοι καὶ ὅταν γνωρίζωσιν ἡμῖν τὸ πρᾶγμα
30 καὶ παριστῶσι), φαίνονται ἀστεῖαι καὶ θαυμασταί. [b 17] ἡ εἰκὼν δια-
φέρει τῆς μεταφορᾶς τῇ προθέσει· ἡ μὲν γὰρ εἰκὼν ἔχει τὸ ὥς ἢ τὸ
καθώς, ἡ δὲ μεταφορὰ οὔτε τὸ ὥς ἔχει οὔτε τὸ καθώς οὔτε ἄλλο τι
τοιοῦτον· ἡ δὲ εἰκὼν ὡς μακροαπόδοτος κακίζεται· ἔχει γὰρ τὸ ὥς, οἷόν 40
ἐστιν 'ὡς δ' ὅταν τις λέοντα ἰδών'. διὸ ἡ μεταφορὰ εἰ μακροτέρως ἀπο-
35 δοθῇ καὶ μακροαπόδοτος διὰ τὸ ὥς γένηται, οὐδαμῶς ἔχει τὸ ἡδύ· εἰ γὰρ
διὰ μακροῦ ἔχει τὴν ἀπόδοσιν, οὐκ εὔγνωστον ἡμῖν παριστᾷ τὸ πρᾶγμα

1 τήνοις ἐγών Arist. 2 καὶ τὸ δὲ n 2. 3 ὁ μεν καὶ ὁ δε n 4 ἐναντία n
7 δὲ n 9. 10 ὅσα τῶν ὀνομάτων ποιεῖ Arist. 11 δοκοῦσιν n 12 μεταφέρομεν n 15 ἄλληλα n: ἄλλα V 16 ποιεῖ τοῦτο μάλιστα Arist. 21 ἄγονται n 24 τὴν ἰσχὺν n 25 τἆλλα V: καὶ τὰ ἄλλα n 28 ἐὰν εὖ Vn: ἂν εὖ Arist. AC: εὖ om. Arist. cet. 29 ὅταν V: ὅτε n εἰσὶν μακροαπόδεικτοι n.
30 παριστῶσιν n ἡ om. n 31 προθέσει V Arist. A: προσθέσει n Arist. vulg.
33 μακροαπόδεικτος n 35 μακραπόδοτος n τὸ (ante ὥς) V: τοῦ n

ἀλλ' ἀσάφειαν ἐμποιεῖ. [b 19] καὶ οὐ λέγει ἡ μεταφορὰ 'ὡς τοῦτο f. 63v
ἤτοι ὡς ἐπὶ τούτου ἔχει, οὕτω καὶ ἐκεῖνο ἔχει'· τὸ γὰρ λέγειν 'ὡς τοῦτο
ἔχει, οὕτως καὶ ἐκεῖνο' τῆς εἰκόνος ἐστίν. ἢ καὶ οὕτως νοεῖται· καὶ
οὐ λέγει ἐκεῖνο ἤτοι ἡ εἰκὼν καὶ παριστᾷ τὸ πρᾶγμα ὡς τοῦτο ἤτοι
5 ἡ παραβολή. οὐδὲ ἡ ψυχὴ τοῦ ἀκροατοῦ ἐπὶ τῆς μεταφορᾶς ζητεῖ
τοῦτο ἤτοι τὴν ὁμοίωσιν, ἤτοι ὡς ἐπὶ τούτου ἔχει, οὕτω καὶ ἐκεῖνο ἔχει,
ἀλλ' εὐθὺς ἅμα τῷ ῥηθῆναι συνίησι ταχέως καὶ τὸ λεγόμενον ἐπὶ τῆς
μεταφορᾶς διὰ τὸ καὶ σύντομον εἶναι τὴν ταύτης ἀπόδοσιν· ὥστε καὶ τὰ 5
ἐνθυμήματα ταχέως παριστῶντα ἡμῖν τὸ πρᾶγμα ἐπαινετά εἰσι καὶ ἀστεῖα.
10 [b 23] καὶ ἃ μηδὲ δεῖ ζητεῖν διὰ τὸ σαφῆ εἶναι πάντα. οὔτε ὅσα
εἰρημένα οὐκ ἐμποιοῦσι γνῶσιν ἡμῖν, οὔτε εὐδοκιμεῖ καὶ ἐπαινετά εἰσι
τὰ ἀσαφῆ καὶ μηδαμῶς νοηθῆναι δυνάμενα, ἀλλ' ἐκεῖνα εὐδοκιμοῦσι καὶ
ἐπαινοῦνται, ὅσα ἅμα τῷ ῥηθῆναι νοοῦνται ἡμῖν καὶ γνῶσιν τοῦ πράγματος
ἐμποιοῦσιν. [b 25] εἰ καὶ μὴ πρότερον, ἤτοι εἰ καὶ πρὸ τοῦ ῥηθῆναι 10
15 καὶ τελειωθῆναι τὸν λόγον οὐ διάγνωσις ἡμῖν τοῦ πράγματος γίνεται, ἤγουν
ἅμα τῷ ῥηθῆναι εὐθὺς καὶ γνῶσις ἡμῖν ἐγγίνεται ἢ καὶ μετὰ τὸ ῥηθῆναι
ὑστερίζει ἡ διάνοια ἡμῶν καὶ ἐγχρονίζει εἰς τὸ νοῆσαι τὸ λεγόμενον,
τέως γοῦν νοεῖ αὐτό. [b 26] γίνεται γὰρ οἷον μάθησις καὶ γνῶσις
ἐκ τούτων, ἐκείνως δὲ ἤτοι τὰ παντελῶς ἀγνοούμενα οὔτε τὰ ἐπιπόλαια
20 καὶ πάντῃ γνώριμα οὐδέτερον ἐγγίνεται· οὔτε γὰρ ἅμα τῷ ῥηθῆναι 15
γνῶσις ἡμῖν ἐγγίνεται οὔτε μετὰ τὸ ῥηθῆναι ὑστερίζει ἡ διάνοια περὶ τὴν
νόησιν· τὸ μὲν γάρ ἐστι γνώριμον καὶ πρὸ τοῦ ῥηθῆναι, τὸ δέ ἐστι παντε-
λῶς ἄγνωστον. [b 28] κατὰ δὲ τὴν λέξιν ἐκεῖνα τῶν ἐνθυμημάτων
εὐδοκιμοῦσιν, ὅσα λέγονται ἀντικειμένως τῷ σχήματι, οἷον 'οἱ προδόται
25 τὴν κοινὴν εἰρήνην πόλεμον νομίζουσιν ἴδιον'· εἰρήνης γὰρ μὴ οὔσης
κερδαίνουσι λαμβάνοντες δῶρα καὶ προδιδόντες τὴν πατρίδα. ἀντικειμένως
ἔχει ἡ εἰρήνη καὶ ὁ πόλεμος. εὗρον δὲ καὶ σχόλιον λέγον, ὅτι ἐκ τοῦ 20
Ἰσοκράτους ἐστὶ τοῦτο· ὁμονοησάντων φησὶ τῶν Ἑλλήνων πάντων εἰς τὸν
κατὰ τοῦ Ξέρξου πόλεμον φησὶ 'πόλεμον νομίζομεν τὴν κοινὴν εἰρήνην
30 ἀμφισβητοῦντες περὶ τοῦ τίνας δεῖ ἄρχειν, Λακεδαιμονίους ἢ Ἀθηναίους'.
[b 31] ἐν δὲ τοῖς ὀνόμασίν ἐστιν εὐδοκίμησις, ἐὰν ἔχωσι τὰ ὀνόματα
μεταφορὰν μήτε ἀλλοτρίαν καὶ ἔξω τοῦ πράγματος καὶ ἀσαφῆ μήτε
ἐπιπόλαιον καὶ σαφῆ· εἰ γάρ ἐστι σαφὴς ἡ μεταφορά, οὐ ποιεῖ τὸν 25
νοῦν πάσχειν, οὐ κοπιᾶν περὶ τὴν νόησιν· ἐκείνη δὲ ἐπαινεῖται ἡ μετα-
35 φορὰ ἡ τὸν νοῦν βλάπτουσα. ἔτι ἐπαινεῖται ἡ μεταφορά, εἰ ποιεῖ τὸ
μεταφορικὸν ὄνομα τὸ πρᾶγμα τὸ λεγόμενον πρὸ ὀμμάτων ἤτοι φανερόν,
ὡς καὶ δοκεῖν ὁρᾶν τὸ πρᾶγμα. [b 34] δεῖ γὰρ μᾶλλον ὁρᾶν τὰ πρατ-

---

2 οὕτως n ἔχει τὸ — ἐκεῖνο (3) om. n 3 οὕτω νοεῖται n 8 σύντομον scripsi: σύντονον Vn 10 μηδὲ V: μὴ n: μηδὲν Arist. 11 εὐδοκιμοῦσιν n 12 τὰ om. n οὐδαμῶς n εὐδοκιμοῦσιν n 14 καὶ εἰ μὴ Arist. 20 παντὶ δῆλα Arist. 25 τὴν κοινὴν εἰρήνην κτλ.] cf. Isocr. 5,73 νομίζουσιν ἴδιον πόλεμον n ἴδιον, ἴ ex εἰ corr., V 32 μεταφορὰν καὶ ταύτην μήτ' Arist. 33 σαφῆ V: ἀσαφῆ n 34 οὐδὲ κοπιᾷν n 35 fort. ⟨οὐ⟩ βλάπτουσα 36 τὸ πρᾶγμα om. n

τόμενα. οὐχὶ τὰ μέλλοντα πράττεσθαι ὁρᾷ τις· ταῦτα γὰρ ἀφανῆ εἰσι. f. 63v
τινὰ τῶν ἀντιγράφων ἔχουσιν [b 36] ἐνεργείας, καὶ νοεῖται τοῦτο πρὸς
τὸ 'ὁρᾶν δεῖ τὰ πραττόμενα· ἐκεῖνα γὰρ ὁρᾷ τις τὰ ἐνεργείᾳ ὄντα'· 30
εἰ δὲ κεῖται ἐναργείας, νοεῖται πρὸς τὸ 'πρὸ ὀμμάτων δεῖ τὸ πρᾶγμα
5 ποιεῖν τὴν μεταφοράν, ὡς δοκεῖν εἶναι ἐναργὲς καὶ δῆλον'. ἐναργείας
ἤτοι φανερώσεως, ὡς καὶ ἐναργῶς παριστᾶν τὸ πρᾶγμα. [1411 a 4] ἡ
Λακεδαιμονία μέρος τὸ ἔκκριτον τῆς Ἑλλάδος· ἐπολεμεῖτο γοῦν αὕτη παρὰ
τοῦ Ξέρξου, καὶ ὁ Λεπτίνης συμβουλεύει τοῖς Ἀθηναίοις βοηθῆσαι τοῖς
Λακεδαίμοσιν· εἰ γὰρ ἐκ τῆς Ἑλλάδος ἀφαιρεθείη ἡ Λακεδαιμονία, ἔμεινεν 35
10 ἡ Ἑλλὰς ἑτερόφθαλμος καὶ ἀκαλλής. ὁ Κηφισόδοτος ῥήτωρ ἦν. ὁ δὲ
Χάρης στρατηγὸς ἦν τῶν Ἀθηναίων. ὁ Φίλιππος ἐκράτησε τὴν Ἠδόνην
καὶ τὴν Παγασὰν (Ἀθηναίων δὲ ταῦτα πολίχνια) καὶ δέδωκε ταῦτα τοῖς
Ὀλυνθίοις, εἶτα ἔγνων οἱ Ὀλύνθιοι τὸν Φίλιππον σπουδάζοντα καταδου-
λῶσαι αὐτοὺς ὡς καὶ τοὺς ἄλλους συμμάχους καὶ ἐάσαντες τὸ συμμαχεῖν
15 αὐτῷ συνεκρότησαν πόλεμον ἔχοντες καὶ τοὺς Ἀθηναίους συναρήγοντας 10
αὐτοῖς. εἶτα τοῦ πολέμου συστάντος πρὸς τὸν Φίλιππον ὁ Χάρης κατὰ
τὸν καιρὸν τοῦ πολέμου ἠνάγκαζεν εὐθύνας δοῦναι ἤτοι λογαριασθῆναι
ἐφ' οἷς ἐνήργησαν· [a 5] ὁ δὲ Κηφισόδοτος ἔφησε πρὸς τὸν Χάρητα 'ἵνα
τί πειρᾷ νῦν λογαριασθῆναι εὑρὼν τὸν δῆμον εἰς πνῖγμα;' ἤτοι εἰς
20 πνιγμοσύνην, ὅτε πνίγονται καὶ ἀναγκά|ζονται. [a 9] Εὔβοιά ἐστιν ὁ f. 64r
Εὔριπος. οἱ Θηβαῖοι ἐστράτευσαν κατὰ τῆς Εὐβοίας μετὰ στόλου, τὴν [f. 65r]
δὲ Εὔβοιαν εἶχον οἱ Ἀθηναῖοι σύμμαχον. οἱ Ἀθηναῖοι γοῦν ἐπεσίτισαν
ἤτοι ἔπεμψαν ἐπισιτισμοὺς καὶ τροφὰς εἰς Εὔβοιαν· καὶ παρακαλεῖ τις
αὐτοὺς ἐξιέναι καὶ ἀναγνωσθῆναι τὸ ψήφισμα τοῦ Μιλτιάδου· τοῦτο
25 δὲ ἔμελλεν εἰπεῖν 'ὥσπερ ὁ Μιλτιάδης μαθὼν τὸν Ξέρξην, ὅτι στρατεύεται 5
κατὰ τῆς Ἑλλάδος, μὴ βουλευσάμενος ἐξῄει κατὰ τοῦ Ξέρξου, οὕτω δεῖ
καὶ ὑμᾶς νῦν ἐξιέναι κατὰ τῶν Θηβαίων περιπλεομένων τὴν Εὔβοιαν μὴ
βουλευσαμένους ἀλλ' αὐθημερόν'· τὸ γὰρ ψήφισμα τοῦ Μιλτιάδου τοῦτο
ἦν τὸ μὴ βουλεύσασθαι. ὁρᾷς τὴν μεταφοράν, πῶς ἀντὶ τοῦ εἰπεῖν μὴ
30 βουλεύσασθαι εἶπε τὸ τοῦ Μιλτιάδου ψήφισμα. [a 5] καὶ τὸ ἑτερό-
φθαλμον μεταφορά· κυρίως γὰρ ἡ λέξις αὕτη λέγεται ἐπὶ τῶν ἀνθρώπων
τῶν ἐχόντων ἕνα ὀφθαλμόν. [a 7] τὸ πνῖγμα μεταφορά ἐστιν· λέγεται 10
γὰρ ἐπὶ τῶν πνιγομένων. [a 11] καὶ τὴν Ἐπίδαυρον καὶ τὴν παρα-
λίαν ἐκούρσευον οἱ Ἀθηναῖοι. ἐξ ὧν ἐκέρδαινον πολλά, καὶ εἶχον ταῦτα
35 καὶ πρὸς τοὺς πολέμους ἐφόδια. εἶτα ἐσπείσαντο οἱ Ἀθηναῖοι τῇ Ἐπιδαύρῳ
καὶ τῇ παραλίᾳ. ἠγανάκτει γοῦν φάσκων αὐτοὺς παρῃρῆσθαι

1 εἰσιν n 2 ἐνεργείας Arist. CDTr.: ἐναργείας Arist. cet. 3 γὰρ δεῖ Arist. 4 ἐναργείας n: ἐνεργείας V 6 τὸ om. n 9 λακεδαίμοσιν V: λακεδαιμονίοις n ἐκ om. n 10 κηφισσόδοτος V 11 ἐκράτησεν n 12 δέδωκεν n 17 εὐθύναν n 18 κηφισσόδοτος V ἔφησεν n 20 ἐστι n 21 εὔριπος n 23 τὴν εὔβοιαν n 26 ἐξῄει V: ἐξῆλθεν n 30 εἶπεν n 33 ἐπίδαυρον Vn Arist. ATr.: ἐπίδαμνον Arist. vulg. 35 πολεμίους n 36 παρῃρῆσθαι post πολέμου Arist.

καὶ ἐστερῆσθαι τὰ ἐφόδια τοῦ πολέμου· ὅταν γὰρ οὐκ εἶχον χρήματα f. 64r
εἰς τοὺς πολέμους, ἐπορίζοντο ἐκ τῆς Ἐπιδαύρου ἁρπάζοντες καὶ κουρ- [f. 65r]
σεύοντες αὐτήν. τὸ γοῦν ἐφόδιον μεταφορά ἐστιν· λέγονται γὰρ ἐπὶ τῶν 15
περιπατούντων καὶ στελλομένων εἰς ὁδοιπορίαν μακράν, οὐχὶ ἐπὶ χωρῶν καὶ
5 κάστρων. [a 13] ὁ Πειθόλαος ῥήτωρ ἦν. τὴν πάραλον ἔλεγεν ἤτοι
τὴν Σαλαμῖνα ἀντικρὺ οὖσαν τοῦ Πειραιέως καὶ τῶν Ἀθηνῶν ῥόπαλον
τοῦ δήμου· ἐν γὰρ ταῖς Ἀθήναις ὅτε ἐνεωτέρισέ τι καὶ ἠτάκτησεν ὁ
δῆμος, ἐμήνυον εἰς Σαλαμῖνα καὶ ἐλάμβανον ἐκεῖθεν συμμαχίαν καὶ ἐσω-
φρόνουν τοὺς νεωτερίσαντας καὶ ἐκόλαζον. τὸ ῥόπαλον μεταφορικὴ λέξις. 20
10 γράφεται καὶ πάραλον τοῦ Μίδου· ὡς γοῦν ἡ πάραλος ἦν τηλία καὶ
παίγνιον τοῦ Μίδου, οὕτω καὶ ἡ Σηστὸς τηλία καὶ παίγνιον τοῦ Πειραιέως
ἤτοι τοῦ στόλου τῶν ἐν Πειραιεῖ· ἐκεῖ γὰρ ὡς τὰ πολλὰ τὸ ναυτικὸν ἐξήρ-
γετο καὶ ἔπαιζε. [a 13] μεταφορά ἐστι τὸ λέγειν τὴν Σηστὸν παιγνίδιον.
οἱ δὲ λέγουσι τὴν τηλίαν εἶναι καλαθίσκον τετράγωνον, ἐν ᾧ ἀπετίθουν
15 τὰ ἄλφιτα· ὁ γοῦν στόλος ὁ ἐν Πειραιεῖ ὡς καλαθίσκον εἶχε τὴν Σηστὸν
φυλάττοντα τὰ πρὸς τροφὴν ἐπιτήδεια ὡς ὁ Μίδας τὴν πάραλον, καὶ ὅταν 25
οὐκ εἶχον τραφῆναι, ἀπήρχοντο ἐκεῖ εἰς τὴν Σηστὸν καὶ ἐλάμβανον ἐκεῖθεν,
εἴ τι ἦν αὐτοῖς χρήσιμον πρὸς τροφήν, ὥσπερ εἰ ἐν τῇ Σηστῷ ἐναπετί-
θουν τὰ πρὸς τροφὴν αὐτοῖς ἐπιτήδεια. [a 14] ἡ Αἴγινα πλησίον ἦν τῶν
20 Ἀθηναίων, καὶ εἴ τι ἤκουσεν, ὅτι βουλεύονται οἱ Ἀθηναῖοι κατὰ τοῦ Φι-
λίππου, ἐμήνυε τοῦτο πρὸς τὸν Φίλιππον· λέγει οὖν ὁ Περικλῆς δεῖν ἀφα-
νίσαι τὴν Αἴγιναν ὡς λήμην τοῦ Πειραιέως ἤτοι τοῦ στόλου. ἡ λήμη
μεταφορική ἐστι λέξις· λέγεται γὰρ ἐπὶ τῶν ὀφθαλμῶν. [a 15] ὁ Μοιρο- 30
κλῆς κατηγορεῖτο παρά τινος ἐπιεικοῦς ὡς πονηρός· ὠνόμασε γοῦν αὐτὸν
25 τὸν ἐπιεικῆ πονηρότερον καί φησι 'σὺ μὲν πονηρεύῃ ἐπιτρίτων τόκων
ἤτοι ἀπὸ τρίτης γενεᾶς εἶ πονηρός· ὁ πάππος σου γὰρ ἦν πονηρός, εἶτα
ὁ πατήρ σου καὶ τότε σύ, ὥστε ἐγγὺς ἔχεις τὴν πονηρίαν· ἐγὼ δέ εἰμι
πονηρὸς ἐπιδεκάτων ἤτοι ἀπὸ δεκάτης γενεᾶς· ὁ γὰρ πρόπαππός μου
ἦν πονηρός, ἐξ οὗ παρῆλθον δέκα γενεαί, καὶ τότε ἐγενόμην αὐτός'. ἢ
30 νοεῖται καὶ τὸ ἐπιτρίτων τόκων ὅτι 'σὺ μὲν τοκίζεις λαμβάνων χάριν
τόκου τὸ τρίτον, ὧν δέδωκας δανειακῶς· οἷον εἰ δώδεκά εἰσι τὰ δοθέντα
χάριν δάνους, λαμβάνεις εἰς τόκον τὰ δ'· ἐγὼ δὲ τὸ δέκατον τοῦ τόκου 35
λαμβάνω εἰς τόκον ἀπὸ τῶν χρεωστῶν· πονηρότερος ἄρα σύ'. [a 17]
τὸ ἐπιτρίτων τόκων μεταφορά· λέγεται γὰρ ὁ τόκος ἐπὶ τῶν γεννω-

---

1 καὶ ἐστερῆσθαι om. n 4. 5 καὶ κάστρων om. n 6 ῥόπαλον Vn Arist. ATr.: om. Arist. vulg. 7 ἠτάκτησε n 8 τὴν σαλαμῖνα n συμμαχεῖαν n
9 καὶ post λέξις add. n 10 μίδου Vn Arist. vulg.: μήδου Arist. E: μήδμου Arist. A 12 τῶν V: τοῦ n 13 παιγνι V: παίγνιον n
14 ἐπετίθουν n 15 εἶχεν n 17 ἐκεῖ om. n 20 ἤκουσε n οἱ Ἀθηναῖοι om. n 21 ἐμήνιε n 21. 22 ἀφανῆσαι n 22 πειραιῶς n
23. 24 μυροκλῆς Vn. 24 γοῦν V: γὰρ n 26 εἶτα—ἦν πονηρός (29) om. n
29 ἐγενόμην V: ἐγένου n αὐτός om. n 31 δανιακῶς n 34. p. 206,1 γενομένων n

μένων παιδίων. [a 20] ‘ὑπερήμεροι τῶν γάμων’ ἤτοι διῆλθον τὸν f. 64r
νενομισμένον καιρὸν τοῦ γάμου· ἐλήφθη δὲ τὸ ὑπερήμεροι ἐκ τοῦ [f. 65r]
ὑπερημέρου χρέους καὶ βραδύνοντος περὶ τὴν ἀπόφλησιν τοῦ χρέους· ἢ ἐπὶ
δικαστηρίου. ὁ Πεύσιππος εἶχεν εἰς τὸν πόδα πληγήν· εἶχε δὲ ἡ πληγὴ 40
5 πέντε ὀπάς, ἃς ὠνόμασε σύριγγας, δεδεμένος ἐν νόσῳ καὶ πληγῇ πεντα-
συρίγγῳ ἤτοι πέντε ὀπὰς ἐχούσῃ· ὡς γὰρ οἱ δεδεμένοι στρέβλαις οὐ
συγχωροῦνται ἡσυχάζειν ὑπὸ τοῦ πόνου ἀλλὰ φωνάζουσιν, οὕτω καὶ ὁ
Πεύσιππος ὑπὸ τῆς νόσου δεδεμένος φωνάζει καὶ οὐχ ἡσυχάζει. [a 23]
ὡς γὰρ αἱ μύλαι ἀλήθουσι τὸν σῖτον, οὕτω καὶ αἱ νῆες τῶν | Ἀθηναίων f. 64v
10 ὡς μύλαι διήρχοντο τὰς χώρας τῶν πολεμίων καὶ κατελήιζον. ὁ Κύων [f. 65v]
ἤτοι ὁ Διογένης. [a 25] Ἀττικὰ φιλίτια· ἐν τούτοις γὰρ τοῖς καπη-
λείοις εἰσερχόμενοι τὰς φιλίας ἐποίουν. τὰ φιλίτια συμπόσια ἦσαν τῶν
Λακεδαιμονίων καὶ ἑορτή. Ἀττικά· Ἀθηναῖα. ὁ Περικλῆς ἐστρατήγει
καὶ ἐπολέμει τὴν Σικελίαν, εἰς τὸν πόλεμον δὲ τοῦτον ἐκένωσαν οἱ Ἀθη-
15 ναῖοι χρήματα πολλά· ὅθεν καὶ εἶπε ‘τὴν πόλιν ἐξεκένωσαν εἰς τὸν 5
τῆς Σικελίας πόλεμον’. εὗρον σχόλιον τοιοῦτον· ὡς τὸ ἐκχεόμενον ἐκκε-
νοῦται, οὕτω καὶ ἡ πόλις κατεχομένη ὑπὸ τυράννου τινὸς ἐξεχεῖτο πᾶσα
εἰς Σικελίαν. [a 26] τοῦτο γὰρ τὸ ἐξεκένωσαν μεταφορά ἐστι καὶ
πρὸ ὀμμάτων ἤτοι δῆλον καὶ ἐναργὲς τὸ πρᾶγμα ποιοῦσα. ὡς καὶ
20 βοῆσαι τὴν Ἑλλάδα. τὸ βοῆσαι ἐπὶ ἀνθρώπων λέγεται. οὐκ ἐπὶ χώρας.
[a 29] ἐκκλησία λέγεται, ὅταν συνδρομὴ γένηται πολλῶν χάριν τινὸς βουλῆς 10
καὶ σκέψεως· συνδρομὴ δέ ἐστιν, ὅταν πλῆθος ἀκοῦσάν τι καινὸν γενό-
μενον ἢ τάραχόν τινα συνδράμῃ μάτην εἰς θέαν ἐκείνου. [a 28] ὁ Κη-
φισόδοτος ἔβλεπε τοὺς Ἀθηναίους συνερχομένους χάριν συμβουλῆς, εἶτα
25 διαλυομένους πάλιν μηδὲν συμβουλευσαμένους· φησὶ γοῦν ‘προσέχετε. μή
πως αἱ ἐκκλησίαι ὑμῶν εἰσι πολλαὶ συνδρομαὶ καὶ ποιοῦσι τὰς ἐκκλη-
σίας εἶναι συνδρομὰς καὶ λογίζεσθαι οἱ ῥήτορες οἱ πρὸς λύμην ἀεὶ τῆς 15
πόλεως σπεύδοντες’. εὗρον σχόλιον, ὅτι αἱ ἐκκλησίαι ἴδιαί εἰσι τῆς δημο-
κρατίας· πολλῶν οὖν συνδρομῶν καθ’ ἑκάστην παρὰ Ἀθηναίοις γινομένων
30 συνεβούλευέ τις κωλῦσαι αὐτάς. μή ποτε δημοκρατίας ποιήσωσι. [a 30]
καὶ ὁ Ἰσοκράτης ἔβλεπε τοὺς Ἀθηναίους ἀπερχομένους εἰς τὰς πανη-
γύρεις καὶ διαλύοντας τοὺς χοροὺς καὶ τὰς πανηγύρεις ἐν τῷ ποιεῖν δικασί-
ματα· οἱ γὰρ ἀπερχόμενοι εἰς τὰς πανηγύρεις ἀπήρχοντο διὰ σύστασιν τῶν
πανηγύρεων, οὐχὶ πρὸς κατάλυσιν· φησὶ γοῦν ‘προσέχετε, μή πως ἀπερ- 20
35 χόμενοι εἰς τὰς πανηγύρεις ποιῆτε τὰς συνδρομάς’. [a 31] ἐπὶ τῷ τάφῳ

δ′

1 παι V Anaxandr. fr. 68. C. A. F. II 162 K. μοι ante τῶν add. Arist.
3 ἀπόφλοισιν n 4 et 8 πεύσιππος V (cf. Arist. vulg.): σπεύσιππος n (cf. Arist. A)
4 εἶχεν (ante δὲ) n 5. 6 πεντασυρίγγῳ Vn: πεντεσυρίγγῳ Arist. A: πέντε συρίγγων Arist. vulg. 8 οὐκ n 11 φιλίτια Vn et Aristotelis codd. 12 φιδίτια n
13 καὶ om. n 15 εἶπεν n ἐξεκένωσαν V: ἐξεκένωσε n: ἐξέχεαν Arist.
19 ὡς καὶ V: ὡς om. n: καὶ ὥστε Arist. 20 λέγεται V: λαμβάνεται n 23. 24 κη-
φισόδοτος V 25. 26 μή πως V: μήπερ n 27 λήμην n 30 ποιήσωσιν n
34 φησὶ] Isocr. 5,12 μή πως V: μήπερ n 35 ποιεῖτε n τὰς om. n

τῶν τριακοσίων τῶν τελευτησάντων ἐν Σαλαμῖνι. ἀπῆλθεν ἅπασα f. 64v
ἡ Ἑλλὰς καὶ ἀπέκειρε τὰς οἰκείας κόμας σημαίνουσα ἐκ τούτου, ὅτι ἡ [f. 65v]
ἐλευθερία τῆς Ἑλλάδος συγκατετάφη τῇ ἀρετῇ καὶ τῇ ἀνδρίᾳ τῶν θανόντων·
ἐπ' αὐτοῖς γὰρ ζῶσιν ἐδόκουν ἐλεύθεροι καὶ κρατοῦντες τῶν ἄλλων· αἱ γὰρ
5 τρίχες σύμβολόν εἰσι τῆς ἐλευθερίας· τῶν γὰρ δούλων τὰς τρίχας ἀπέ- 25
κοπτον, ἵνα μὴ παρεμποδίζωνται εἰς τὰς ἐνεργείας. [a 34] τὸ γὰρ δακρύειν
πρόδηλον ἦν καὶ φανερόν. ἐπεὶ συγκατετάφη ἡ ἐλευθερία, λοιπὸν ἀνελευ-
θερία ἐστὶν ἤτοι δουλεία, ἥτις ἀντίκειται τῇ ἀρετῇ ἤτοι τῇ ἀνδρίᾳ τῶν
θανόντων. [b 2] καὶ ὁ Ἰφικράτης ᾐτιᾶτο τὸν δῆμον ὡς ἀχάριστον καὶ
10 μὴ εὐχαριστοῦντα τοῖς εὐεργέταις· καὶ δεῖξαι τὴν ἀχαριστίαν αὐτῶν ὑπο-
σχεθεὶς ἔφη τὴν ὁδὸν αὐτῷ γενέσθαι τῆς ἀποδείξεως διὰ μέσων τῶν 30
πεπραγμένων τῷ Χάρητι· πολλὰ γὰρ ὠφελήσας τὴν πόλιν οὐκ ἀξίως
εὐηργετήθη παρ' ὑμῶν· ὡς γὰρ οἱ ἀπό τινος εἴς τι ὁδεύειν μέλλοντες
πρότερον διὰ τοῦ μέσου βαδίζουσιν, οὕτως ἔχει καὶ ἐπὶ τούτων· ἄλλως
15 γὰρ ἔφησε μὴ δεῖξαι αὐτοὺς ἀχαρίστους, εἰ μὴ βαδίσω διὰ τῶν πραχθέν-
των τῷ Χάρητι. [b 4] καὶ τὸ διὰ μέσου ποιεῖ πρὸ ὀμμάτων ἤτοι
φανερὸν τὸ πρᾶγμα. καὶ τὸ φάναι παρακαλεῖν· κινδύνου προκειμένου 35
τῇ πόλει παρὰ τῶν πολεμίων ἔβλεπε καταρραθυμοῦντα τὸν δῆμον καὶ μὴ
θέλοντα διαναστῆναι καὶ ἐκκρούσασθαι τὸν κίνδυνον τῆς πόλεως· φησὶ γοῦν
20 'ὁρᾶτε τὸν κίνδυνον τῶν πατέρων· πολλὰ γὰρ ἐκινδύνευσαν οἱ πατέρες
ἡμῶν ὑπὲρ τῆς πόλεως, ὡς ἂν ἡ πόλις εὐθηνῇ· παρακαλεῖ γὰρ ὁ κίνδυνος
τῶν πατέρων ἡμᾶς βοηθῆσαι τοῖς νῦν προκειμένοις κινδύνοις'. σχόλιον
εὗρον τὸ λέγον, ὅτι 'οἱ τῶν πατέρων ἡμῶν κίνδυνοι ὑπὲρ τῆς πατρίδος
ἀναγκάζουσι καὶ ἡμᾶς τοῖς παροῦσι κινδύνοις βοηθῆσαι'· μεταφορὰ πρὸ 40
25 ὀμμάτων. [b 6] τοῦ Χαβρίου ὁ πατὴρ εὐηργέτησε πολλὰ τὴν πόλιν τῶν
Ἀθηναίων· ὃν ἀμειβόμενοι οἱ Ἀθηναῖοι ἔστησαν αὐτῷ εἰκόνα χρυσῆν καὶ
ἐποίησαν καὶ αὐτὸν ἀτελῆ· τελευτῶν δὲ ἀφῆκε τῷ υἱῷ αὐτοῦ τῷ Χαβρίᾳ
τὴν ἀτέλειαν. ἐπεὶ δὲ σπάνις χρημάτων τῇ πόλει | ἐγένετο, συμβου- f. 65r
λεύει ἵνα ἐκ τῶν ἐχόντων τὴν ἀτέλειαν ὁ Λεπτίνης ἀφαιρήσωσιν αὐτήν· [f. 66r]
30 ὅθεν καὶ ὁ Χαβρίας ἐκινδύνευεν ἀπολέσαι τὴν ἀτέλειαν καί φησιν 'αἰσχύν-
θητε τὴν χρυσῆν εἰκόνα τοῦ πατρὸς αὐτοῦ ἱκετηρίαν οὖσαν' ἤτοι ὑμᾶς
ἱκετεύουσαν ὑπὲρ τοῦ υἱοῦ. [b 8] ἐν τῷ παρόντι λόγῳ τὸ λέγειν τὴν
εἰκόνα ἱκετηρίαν ἐστὶ μεταφορά· ἁρμόζει γάρ, ὅσον ἐπὶ τῇ εἰκόνι τοῦ

---

1 τῶν ἐν Σαλαμῖνι Arist. τελευτησάντων Vn Arist. A: τετελευτηκότων Arist. vulg. 2 οἰκείας V: ἰδίας n 3 ἀνδρείᾳ n (per comp. V)
4 τῶν om. n 5 εἰσιν n 6 ἄξιον δακρύσας ante τὸ γὰρ add. n, cf. Arist.
7 ἀντίθεσιν ἔχει ante ἐπεὶ add. n ex Aristotele 8 ἀνδρείᾳ n (per comp. V)
10 ἀχαριστείαν n 13 εὐεργετήθη n ὑμῶν V: αὐτῶν n μεταφορὰ κατ' ἀναλογίαν ante ὡς add. n ex Aristotele ὡς γὰρ οἱ n: οἱ γὰρ ὡς V 15 ἔφησεν n
16 πρὸ ὀμμάτων ποιεῖ Arist. 24 λυκολέων ὑπὲρ τοῦ χαυρίου ante μεταφορὰ add. n, cf. Arist. 25 χαυρίου Vn ὁ om. n 26 χρυσῆν Vn: χαλκῆν Arist.
27 δ' n χαυρίᾳ Vn 28 ἐπεὶ δὲ V: ἐπειδὴ n 30 χαυρίας Vn ἐκινδύνευσε n φησί n 31 et p. 208,1 πατέρος n

πατρὸς Χαβρίου, τὸ εἰπεῖν αὐτὴν ἱκετεύουσαν μεταφορικῶς (τὸ γὰρ f. 65r
ἱκετεύειν ἐπὶ τῶν ἐμψύχων λέγεται ἀνθρώπων), διότι ὁ πατὴρ αὐτοῦ πολλὰ [f. 66r]
τὴν πόλιν ὠφέλησεν. οὐκ ἀεὶ δὲ πᾶσαν εἰκόνα δεῖ λέγειν μεταφορικῶς 7
ἱκετεύουσαν· ἐπὶ τῆς παρούσης γοῦν ὑποθέσεως ἁρμόζει λέγειν τὴν εἰκόνα
5 ἱκετηρίαν· κινδυνεύοντος γὰρ αὐτοῦ τοῦ Χαβρίου ἱκετεύει ἡ εἰκών·
ἡ μεταφορὰ ἐξ ἐμψύχου εἰς ἄψυχον, ἡ δὲ εἰκὼν ὑπόμνημά ἐστι τῶν
εὐεργεσιῶν, ἃς ἐποίησεν ὁ πατὴρ εἰς τὴν πόλιν. ἄλλο παράδειγμα· [b 11] 10
'καὶ πάντα τρόπον μελετῶντες ἀεὶ μικρὰ φρονεῖν' ἤτοι ταπει-
νοῦσθαι· τὸ γὰρ μελετᾶν ἐπὶ αὐξήσεως καὶ ἐπιδόσεως λαμβάνεται ἐπὶ
10 τὸ μεῖζον· νῦν δὲ ἐλήφθη τὸ μελετᾶν ἐπὶ αὐξήσεως τῆς ἐπὶ τὸ ἔλαττον·
τὸ γὰρ μικρὰ φρονεῖν ταπεινοῦσθαι καὶ ἐλαττοῦσθαί ἐστιν. ἄμφω γὰρ
ἤτοι ὁ νοῦς καὶ τὸ φῶς δηλοῖ τι· ὁ μὲν γὰρ νοῦς φῶς ἐστι τῶν νοη-
μάτων καὶ τῶν νοητῶν, τὸ δὲ φῶς φῶς ἐστι τῶν αἰσθητῶν. [b 13] 'οὐ
γὰρ σπεύδομεν διαλῦσαι τοὺς πολέμους ἀλλ' ἀναβάλλεσθαι' ἤτοι ἀλλ' 15
15 ἄλλους λαβέσθαι πολέμους περὶ τοὺς ἔτι ἐπικειμένους ἡμῖν. τὸ εἰπεῖν
τὰς συνθήκας καὶ τοὺς ὅρκους τρόπαιον μεταφορά ἐστι τῶν ἐν ταῖς
πόλεσι γινομένων τροπαίων. τὰ μὲν γὰρ τρόπαια ὑπὲρ μικρῶν εἰσι
καὶ ἐν ἑνὶ πολέμῳ καὶ ἅπαξ γίνονται, αὗται δὲ αἱ συνθῆκαι ἀποχὴν
ποιοῦσι παντὸς πολέμου. [b 17] καὶ μιᾶς τύχης, ἤτοι ἅπαξ ἔτυχε
20 γενέσθαι. ἄμφω γὰρ καὶ τὸ τρόπαιον καὶ ἡ συνθήκη ἤτοι ἡ σπονδὴ
νίκης εἰσὶ σημεῖα. ἔτι καὶ αἱ πόλεις εἰ ἔχουσι πολίτας φαύλους, 20
εὐθύνας διδόασι καὶ τιμωροῦνται ὡς ἀπαιδεύτους ἐῶσαι αὐτούς, ὡς καὶ
ὁ παιδαγωγὸς τιμωρεῖται, εἴ γε ὁ παιδευόμενος παρ' αὐτοῦ ἀπαίδευτος
μείνῃ. [b 21] τὰ ἀστεῖα γίνονται ἀπὸ τοῦ λαμβάνειν μεταφορὰς ἀνα-
25 λόγους· οἷον ὡς εἶπεν ὁ Περικλῆς τὴν νεότητα τὴν ἀπολομένην ἐν τῷ
πολέμῳ 'οὕτως ἠφάνισται ἐκ τῆς πόλεως, ὥσπερ εἴ τις τὸ ἔαρ ἐκ τοῦ
ἐνιαυτοῦ ἐξέλῃ'. καὶ ἐν τῷ τὴν μεταφορὰν ποιεῖν τὰ πράγματα πρὸ
ὀμμάτων ἤτοι ἐναργῆ καὶ φανερὰ παριστᾶν τὰ πράγματα. 25

11. Καὶ τί ποιοῦσιν ἡμῖν γίνεται τοῦτο ἤτοι τὸ παριστᾶν τὰ
30 πράγματα φανερά. [b 25] ὅσα σημαίνουσιν ἐνεργοῦντα ἤτοι ἐνέργειάν τινα.
[b 27] ἄμφω γὰρ καὶ ὁ τετράγωνος ἀριθμὸς τέλειός ἐστι καὶ ὁ ἀγαθὸς
ἀνὴρ τέλειός ἐστιν, ἀλλὰ τὸ τετράγωνον ἐνέργειαν οὐ σημαίνει. τὸ
δὲ λέγειν 'τὴν ἀκμὴν ἔχοντος ἀνθοῦσαν' ἐστὶ μεταφορὰ ἐνέργειαν

1 et 5 χαυρίου Vn 5 κινδυνεύοντος γὰρ αὐτοῦ Vn Arist. A: κινδυνευόντων γὰρ αὐτῶν Arist. vulg. 8 καὶ πάντα κτλ.] Isocr. 4,151 τρόπον (ἃ add. A) μικρὸν φρονεῖν μελετῶντες Arist. 11 ἐστι n 13. 14 οὐ γὰρ κτλ.] Isocr. 4,172 14 ἀλλ'—πολέμους (15) om. n 15 περὶ V: ἐπὶ n 16 τὰς συνθήκας κτλ.] cf. Isocr. 4,180 exspectes ἐστιν ⟨ἐκ⟩ 16. 17 ταῖς πόλεσι Vn: τοῖς πολέμοις Arist.: ταῖς μάχαις Isocr. 17 μικρῶν Vn Arist. A: μικροῦ aut μικρᾶς Arist. vulg. εἰσιν n 19 ποιοῦσιν n ὑπὲρ παντὸς τοῦ Arist. ἔτυχεν n 21 ἔτι Vn: ὅτι Arist. εἰ ἔχουσι V: ἔχουσαι (om. εἰ) n 22 διδόασιν n ἀπαιδεύτοις n αὐτὰς n 25 ἀπολομένην scripsi: ἀπολουμένην Vn 27 μεταφορὰν scripsi: διαφορὰν Vn 31 τέλεια ἤτοι post γὰρ add. n, cf. Arist. ἐστιν n 32 ἐστι n οὐ σημαίνει ἐνέργειαν Arist. 33 ἀνθοῦσαν ἔχοντος (ἔχοντα DE) τὴν ἀκμὴν Arist. ἔχοντος scripsi ex Aristotele: ἑ V: ἔχειν n

σημαίνουσα· τὸ γὰρ ἀνθεῖν μεταφορά ἐστι καὶ σημαίνει ἐνέργειαν· ἐνέρ- f. 65r
γεια γάρ ἐστι τὸ ἀνθεῖν. [b 29] καὶ τὸ ἀφετέον, ὃ σημαίνει τὸ ἐλευ- [f. 66r]
θερωτέον, ἐνέργειαν σημαίνει μεταφορὰ ὄν· τὸ γὰρ ἐλευθεροῦν ἐνέργειά 31
ἐστιν. ἀφετέον λέγεται ἐπὶ τῶν ἐλευθερούντων τοὺς δούλους· τὸ γοῦν
5 εἰπεῖν 'σὲ δὲ ἀφετέον' ἤτοι ἐλευθερωτέον ἐγκλημάτων ἐνεργείας ἐστὶ
σημαντικόν· τὸ γοῦν ἀφετέον κυρίως λέγεται ἐπὶ τῶν ἐλευθερούντων τοὺς
δούλους· εἴ τις γοῦν εἴπῃ τὸ ἀφετέον ἐπὶ τῶν ἐλευθερούντων τινὰς τῶν
ἐγκλημάτων, τότε μεταφορά ἐστι. [b 30] καὶ τὸ εἰπεῖν 'οἱ Ἕλληνες
ᾄξαντες ἤτοι χορεύσαντες ἐλεύθερον ἐν τοῖς ποσί', μεταφορά ἐστι τὸ
10 ᾄξαντες ἐνέργειαν δηλοῦσα· τὸ γὰρ ᾄξαντες λέγει καὶ σημαίνει ταχὺ ἤτοι 35
ταχυτῆτα· ἡ δὲ ταχυτὴς ἐνέργειά ἐστι. γράφεται καὶ 'ᾄξαντες δορί'.
[b 31] ἐν τῷ λέγειν ἤτοι ποιεῖν τὰ ἄψυχα ἔμψυχα διὰ τῆς μεταφορᾶς,
ᾧτινι (τῷ χρᾶσθαι μεταφοραῖς ἐνέργειαν σημαινούσαις) χρᾶται καὶ Ὅμη-
ρος· ἐν πᾶσι δὲ ποιεῖ τὴν μεταφορὰν εὐδοκιμεῖν τὸ παρεμφαίνειν ταύ-
15 την τὴν ἐνέργειαν. [b 33] τὸ αὖτις Ἀττικόν ἐστι. τὸ λέγειν τὸν
λίθον ἀναιδῆ ἤτοι ἀναίσχυντον μεταφορά ἐστι· τὸ γὰρ ἀναισχυντεῖν ἐπὶ 40
τῶν ἀνθρώπων λέγεται καὶ ἐνέργειά ἐστιν. ἐν τῷ λ' τῆς Ὀδυσσείας
ἐστὶ τὸ 'αὖτις δ' ἐπὶ δάπεδον κυλίνδετο λᾶας ἀναιδής', περὶ τοῦ Σισύφου
δὲ ὁ λόγος. ἔπεμψέ τις λίθον καὶ ἔδωκε τὸν Σίσυφον· ὁ δὲ λίθος
20 πλήξας τὸν Σίσυφον πάλιν ἀντεστράφη ὀπίσω πρὸς τὸν ῥίψαντα καὶ ἔπεσε
εἰς τὴν γῆν· [b 34] καὶ τὸ ἕπτατο | ἐνέργειά ἐστι καὶ ἐπὶ τῶν πτηνῶν f. 65v
λέγεται. [b 35] καὶ τὸ λέγειν 'διστὸς ἐπιπτάσθαι μενεαίνων'· τὸ [f. 66v]
μενεαίνειν ἤτοι τὸ προθυμεῖν ἐπὶ ἐμψύχων λέγεται, οὐχὶ ἐπὶ τοῦ διστοῦ
ἤτοι τοῦ ἀψύχου. καὶ 'ἐν γαίῃ ἵσταντο τὰ δόρατα λιλαιόμενα ἤτοι
25 προθυμούμενα ᾆσαι καὶ κορέσαι χροός'· τὸ λιλαίεσθαι ἐπὶ ἐμψύχων
λέγεται. διέσσυτο, διέβη. μαιμώσα ἤτοι προθυμουμένη. [1412a2]
πάντα γὰρ ταῦτα, ἤτοι τὰ δόρατα καὶ ὁ λᾶας, ἐπεὶ μαιμάασθαι λέγονται 5
καὶ ἀναισχυντεῖν, ὡς ἔμψυχα εἰσάγονται καὶ διὰ τοῦτο καὶ ὡς ἐνερ-

---

1 σημαίνουσα n: σημαίνουσαν V 2 ἀφετέον Vn et Aristotelis codd.: ἄφετον Isocr. 5,127 2. 3 ἐλευθερώτερον n 5 δὲ om. n 6 τοὺς — ἐλευθερούντων (7) om. n 8 ἐγκλημάτων n: δούλημάτ V τότε μεταφορά ἐστι om. n 8. 9 τοὐντεῦθεν οὖν Ἕλληνες ᾄξαντες δορί Eurip. Iphig. Aul. 80 9 ἐλεύθερον — ποσί om. n 9. 10 τὸ ᾄξαντες om. n 10 φασί τινες ἰσοκράτους verbis τὸ γὰρ ἀΐξαντες ττ' superscr. V (om. n): fort. ᾄξαντες, ⟨ὅ⟩ φασί κτλ. 11 ταχυτῆτα scripsi: ταχυ V: ταχύτατον n δὲ om. n δόρυ n 13 τὸ χρῆσθαι n 14 ἐν πᾶσι δὲ τῷ (τὸ vulg.) ἐνέργειαν (ἐναργές Zb et pr. YbDE) ποιεῖν εὐδοκιμεῖ Arist. 16 ἐστιν n 17 ἐστὶ n 18 ἐστὶν n αὖτις κτλ.] Hom. λ 598 αὖτις ἐπείτα πεδόνδε n: αὖτις (δ' ins. vulg.) ἐπὶ δάπεδόνδε (vulg.; δάπεδον δὲ A) Arist. 19 ὃς ἔπεμψέ τινα ἄνω καὶ ὤθεσκε ποτὶ λόφον· ὁ δὲ n 21 εἰς V: πρὸς n ἕπτατο] Hom. N 587 22 διστὸς κτλ.] Hom. Δ 126 ἐπιπτάσθαι Vn Arist. vulg.: ἐπιπτέσθαι Arist. A, Hom. 24 ἐν γαίῃ κτλ.] Hom. Λ 574 26 διέσσυτο κτλ.] Hom. O 542 μεμόωσα Arist. A: μαιμώωσα Arist. vulg., Hom. 27 καὶ post ἐπεὶ add. n μαιμάασθαι ex μεμάασθαι corr. V 28 εἰσάγοντας n

γοῦντα· ἐνέργειαι γάρ εἰσι τὰ τοιαῦτα καὶ ἐπὶ ἐμψύχων λαμβανόμενα. f. 65ᵛ
[a 4] ταῦτα δέ, τὸ μενεαίνειν καὶ τὸ ἀναιδές, τὸ μὲν προσῆψε τῷ [f. 66ᵛ]
λίθῳ τὸ δὲ τῷ δόρατι διὰ τῆς ἀναλόγου μεταφορᾶς· κατ' ἀναλο-
γίαν γάρ ἐστι μεταφορά, μετεκομίσθη γὰρ τὸ ἀναιδὲς ἐπὶ τοῦ λίθου κατὰ
5 ἀναλογίαν. ὡς γὰρ ὁ λίθος πρὸς τὸν Σίσυφον ἐρρίφη ἄνευ συστολῆς
τινος, οὕτω καὶ ἀναισχυντῶν ἄνευ συστολῆς πρὸς τὸν ἀναισχυντού-
μενον φέρεται· καὶ διὰ τὸ φέρειν ὁμοιότητά τινα τὸν ῥιπτούμενον λίθον
πρὸς τὸν ἀναίσχυντον διὰ τοῦτο εἶπε τὸν λᾶαν ἀναιδῆ. [a 6] ποιοῦσι δὲ
ταῦτα ἤτοι ἀστειότητα καὶ εὐδοκιμοῦσαι εἰκόνες ἤτοι αἱ παραβολαί, αἳ
10 ἔχουσι τὸ ὥς. τὸ κυρτὸν λέγεται ἐπὶ τῶν ἀνθρώπων, ἐκεῖνος δὲ αὐτὸ
ἐξελάβετο ἐπὶ τῶν κυμάτων, κυρτὰ εἰπὼν τὰ κύματα. καὶ τὸ φαληριό-
ωντα εἰπεῖν τὰ κύματα ἤτοι λευκὰ ἐστὶ μεταφορὰ ἀπὸ ἐμψύχων εἰς
ἄψυχα· τὸ γὰρ λευκαίνεσθαι ἐπὶ ἀνθρώπων λέγεται γερόντων. οἱ δὲ
εἶπον τὸ φαληριώντα λέγεσθαι ἐπὶ τῶν ἵππων κυρίως, οἵτινες κυρτοῦσι
15 τὸν τράχηλον, ἔνθα τὸ φάλαρον ἐπίκειται ἤτοι ἡ κεφαλαραία τοῦ χαλινοῦ.
[a 8] καὶ πάλιν πρὸ μὲν ἤτοι ἔμπροσθεν μὲν ἠγείροντο τἆλλα κακά,
ἀτὰρ ἤτοι σὺν τούτοις δὲ ἠγείροντο ἐπ' ἄλλα ἤτοι ἄλλα κακά· τὰ γὰρ
κακὰ ἀκίνητα ὄντα καὶ ἄψυχα οὕτω παρεισάγει αὐτὰ ὡς κινούμενα καὶ
ὡς ζῶντα ἀπὸ τοῦ λέγειν ταῦτα ἐγείρεσθαι· τὸ γὰρ ἐγείρεσθαι ἐπὶ ζῶν-
20 των καὶ ἐμψύχων λέγεται. ἡ δὲ ἐνέργεια μίμησίς τίς ἐστιν· ὅταν γὰρ
εἰσάγῃς τὰ πράγματα καὶ παριστᾷς ὡς ἐνεργοῦντα, τότε φαίνῃ ἀκριβῶς
αὐτὰ μιμούμενος. [a 10] ἀπὸ οἰκείων ἤτοι ἀπὸ τῶν ἐγγὺς καὶ μὴ
πόρρω ποιητέον τὰς μεταφορὰς καὶ ἀπὸ φανερῶν καὶ γνωρίμων ἢ ἀπὸ
ἐνεργούντων. φιλοσοφίαν λέγει τὴν διαλεκτικήν· ἐκεῖ γὰρ παραδίδωσιν
25 ἐπιτηρεῖν τὰς ὁμοιότητας οὐχὶ ἐπὶ τῶν ἐγγύς, οἷον κατὰ τί κοινωνεῖ ὁ
ἵππος τῷ ἀνθρώπῳ, ἀλλ' ἐπὶ τῶν πόρρω καὶ τῶν πολὺ διεστηκότων, οἷον
κατὰ τί κοινωνεῖ ὁ ἄνθρωπος τῷ λίθῳ· εὐστόχου γὰρ καὶ σοφοῦ καὶ
φρονίμου ἀνδρός ἐστι τὸ θεωρεῖν τὸ ὅμοιον ἤτοι τὰς ὁμοιότητας ἐν τοῖς
πολὺ διέχουσιν ἤτοι ἐπὶ τῶν κατὰ πολὺ διεστηκότων καὶ διαφερόντων
30 ἀλλήλων. [a 12] καὶ εἰς τὸν διαιτητὴν ἢ τὸν κριτὴν καὶ εἰς τὸν
βωμὸν καταφεύγουσιν οἱ ἀδικούμενοι· κατὰ πολὺ διέστηκεν ὁ βωμὸς τοῦ
διαιτητοῦ, κοινωνοῦσι δέ, καθ' ὃ ἐπ' ἄμφω οἱ ἠδικημένοι καταφεύγουσιν.
[a 14] ἄγκυρα ἐπὶ τῶν πλοίων λέγεται, ἥτις ἐστὶ τὰ μεγάλα σιδήρια τὰ
ῥιπτούμενα εἰς τὸν βυθόν, ἵνα κρατῶσι τὸ πλοῖον. ἡ μὲν ἄγκυρα κάτωθεν

---

1 εἰσιν n 2 μαινεαίνειν n ἀναιδὲς V προσῆψεν n 4 μεταφορά scripsi: διαφορά Vn κατὰ V: καθ' n 6 ὁ ἀναισχυντῶν n Arist.

9 ἀστειο τ^τι^ V 9. 10 αἱ ἔχουσαι n 10 κυρτὰ] Hom. N 799 11 εἰπεῖν n καὶ—κύματα (12) om. n 11. 12 φαληριῶντα n 15 φάληρον n χαλινοῦ n 16 et 17 ἐγείροντο n 17 αὐτὰρ Arist. 20 ἐστι n 23 φανερῶν Vn Arist. vulg.: μὴ φανερῶν Arist. A 24 ἐναργούντων n 25 οἷον—διεστηκότων (26) om. n 28 ἐστιν n 30 ἐπ' ἄμφω γὰρ post ἀλλήλων add. n ex Aristotele τὸν (ante διαιτητὴν) om. n 33 ἐστὶν n 34 διαφέρει τὸ ἄνωθεν καὶ κάτωθεν ante ἡ μὲν add. n ex Aristotele

ἀπὸ τοῦ βυθοῦ κρατεῖ τὸ πλοῖον, ἡ δὲ κρεμάστρα ἄνωθεν κρεμα- f. 65v
μένη, ὡς τὸ κρεμαστάριον τῆς κανδήλας συνέχει τὸ κρεμώμενον· ἄμφω [f. 66v]
γάρ, καὶ ἡ ἄγκυρα καὶ ἡ κρεμάστρα, ἔχουσι ταὐτό τι ἤτοι ὅμοιον ἤτοι
τὸ συνέχειν τὸ κρεμώμενον. ἀνωμαλίσαι ἐστίν, ὅταν ἡ ἐπιφάνεια ἢ τῆς 35
γῆς ἢ τοῦ ξύλου ἔχουσα ἀνισότητας πειρᾶταί τις ἐξομαλίσαι καὶ ἰσάσαι
αὐτὰς τὰς ἀνισότητας· [a 16] μεταφορικῶς δέ τις εἴπῃ καὶ τὰς πόλεις
ἀνωμαλίσαι, ὅταν τὴν ἐν τῇ πόλει θεωρουμένην ἀνισότητα ἐν τῷ τοὺς
μὲν εἶναι πλουσίους τοὺς δὲ πένητας καὶ τοὺς μὲν δυνάστας τοὺς δὲ ἀδι-
κουμένους πειρᾶταί τις ἐξισῶσαι· εἰ γοῦν καὶ ἄμφω ἤτοι ἡ πόλις καὶ
ἡ ἐπιφάνεια κατὰ πολὺ διεστήκασιν, ἀλλ' οὖν, καθ' ὃ τὸ ἴσον καὶ ὁμαλὸν
καὶ ἐπὶ τῆς ἐπιφανείας θεωρεῖται καὶ ἐπὶ τῶν δυνάμεων τῶν ἐν τῇ 40
πόλει, εἰσὶ ταὐτὰ καὶ ὅμοια· τὸ γὰρ ἐξομαλίσαι τὸ ἐξισάσαι δηλοῖ.
[a 17] ἔστι δὲ τὰ ἀστεῖα τὰ πλεῖστα γενόμενα οὐχὶ ἀπὸ τῶν εἰκόνων
ἀλλ' ἀπὸ μεταφορᾶς καὶ ἐκ τοῦ προσαπατᾶν· ὁ γὰρ εἰπὼν τὸν
Αἰθίοπα ἀργυροῦν μεταφορικῶς μὲν αὐτὸν ἐκάλεσεν ἀργυροῦν καὶ ἐξαπατᾷ
καὶ παραλογίζεται τὸν ἀκροατήν· ξενίζεται γὰρ | ὁ ἀκροατής, ὅπως αὐτὸν f. 66r
ἀργυροῦν κατωνόμασε. μᾶλλον δὲ ἐκ τοῦ ἐναντίως ἔχειν ἤτοι μᾶλλον [f. 67r]
δὲ τὸ ἀκοῦσαι τὸν Αἰθίοπα ὀνομασθέντα ἐκ τοῦ ἐναντίου ἤτοι τοῦ ἀργυροῦ
δῆλον γίνεται, ὅτι ἔμαθε καὶ ἐνόησεν ὁ ἀκροατὴς τὸ λεγόμενον· τὰ
γὰρ ἐναντία συμπαρακείμενα ἀλλήλοις ἐκφαντικώτερα ποιοῦσι τὰ χείρω τε
καὶ τὰ ἐναντία· [a 20] ἀλλὰ καὶ ἡ ψυχὴ τοῦ ἀκροατοῦ κρίνει, ὅτι καλῶς 5
καὶ ἀληθῶς ὠνόμασε τὸν Αἰθίοπα ἀργυροῦν ὁ λέγων, ἐγὼ δὲ ἥμαρτον
καὶ οὐκ εὐθὺς ἐνόησα τὸ λεγόμενον, ὅτι ἀργυροῦν αὐτὸν ὠνόμασε διὰ τὸ
ἄγαν εἶναι μέλανα. [a 21] καὶ ἀπὸ τῶν ἀποφθεγμάτων ἀστεῖά εἰσιν
ἐκεῖνα, ὅσα οὐ λέγουσι καὶ σημαίνουσιν, ὅ φασιν, ἐκ προχείρου, ἀλλ' ἄλλο
μὲν κατὰ τὸ φαινόμενον παρεμφαίνουσιν, ἄλλο δὲ τὸ συννοούμενον ἔχουσιν,
οἷον τὸ οἱ τέττιγες αὐτοῖς χαμόθεν ᾄσονται· δοκεῖ μὲν κατὰ τὸ
φαινόμενον περὶ τῶν τεττίγων εἶναι ὁ λόγος, συννοεῖται δέ, ὅτι περὶ τῆς 10
ἀπωλείας λέγει τῆς χώρας, ἣν ὑποσταίη ἐκ τῶν πολεμίων. [a 23] καὶ
τὰ εὖ ἠνιγμένα ἤτοι αἱ εὐδοκιμοῦσαι εἰκόνες εἰσὶν ἡδέα καὶ ἀστεῖα
διὰ τὸ αὐτὸ ἤτοι διὰ τὸ ἄλλο μὲν παρεμφαίνειν κατὰ τὸ φαινόμενον,
ἄλλο δὲ εἶναι τὸ νοούμενον· μάθησις γὰρ καὶ γνῶσις ἐπιγίνεται· καὶ
ἔστι καὶ μεταφορά· εἴπομεν γὰρ καὶ ὄπισθεν, ὅτι αἱ εὐδοκιμοῦσαι εἰκό-
νες μεταφορά ἐστι· μᾶλλον γὰρ γίνεται δῆλον, ὅτι ἔμαθε, τὸ ἐναντίως 15
ἔχειν ἤτοι παρὰ τὸ μή, ὅ φησι, τοῦτο καὶ λέγειν καὶ συμβαίνειν, ἀλλ'

---

1 κρεμάστραν Arist. vulg.: κρεμάθραν Arist. A 4 ἀνωμαλίσθαι Arist. vulg.: ἄνω μάλιστα εἶναι Arist. A ὅταν τὴν ἐπιφάνειαν n 5 ἔχουσαν n ἰσῶσαι n 12 ἐξισάσαι V: ἐξοδιάσαι n 13 δὲ καὶ τὰ Arist. 14 προσαπατᾶν scripsi: προσαπαντᾶν V: προσεξαπατᾶν n Arist. 15 ἐκάλησε n 19 ἔμαθεν καὶ ἐνόησε n 20 ποιοῦσιν n 21 τἀναντία n 21. 22 ὅτι καὶ ἀληθῶς καὶ κακῶς n 23 ἀργυρὸν V 24 δὲ τὰ ἀστεῖα Arist. 25 λέγουσιν n ἀλλ' om. n 27 οἱ τέττιγες κτλ.] Stesichor. II 233 Bergk. τέττυγες n αὐτοῖς Vn Arist. C: ἑαυτοῖς Arist. cet. ᾄσονται Vn Arist. vulg.: ἔσονται Arist. A 31 ἤτοι διὰ τὸ om. n 33 καὶ (post ἔστι) om. n ὄπισθεν] p. 179,27 34 ἐστιν n μὲν ante γὰρ add. n ἔμαθεν n fort. τῷ 35 καὶ (post τοῦτο) om. n

ἄλλο μὲν λέγει ὁ λέγων τὸν Αἰθίοπα ἀργυροῦν, ἄλλο δὲ σημαίνει ἐκ τού- f. 66r
του. [a 25] ἀλλὰ καὶ ὁ Θεόδωρος (ῥήτωρ δὲ ἦν) λέγει, τὸ τὰς εὐδοκι- [f. 67r]
μούσας εἰκόνας λέγειν καὶ σημαίνειν καινὰ ἤτοι παράξενα, ἂν καὶ ἄλλο
τι φαίνηται λέγειν κατὰ τὸ φαινόμενον, οἷόν ἐστι τὸ 'οἱ τέττιγες αὐτοῖς
5 χαμόθεν ᾄσονται'. γίνεται δὲ τοῦτο ἤτοι τὸ ἄλλο σημαίνειν παρὰ τὸ
φαινόμενον, ὅταν τὸ νοούμενον παράδοξον ᾖ παρὰ τὴν προτέραν δόξαν 20
καὶ μὴ ὡς λέγει κατὰ τὸ φαινόμενον· οἷον ἐπὶ τῆς ῥηθείσης εἰκόνος
δόξαν ἔχω, ὅτι περὶ τῶν τεττίγων σημαίνει, τὸ δὲ συννοούμενον ἕτερόν
ἐστι τῆς προτέρας δόξης· δηλοῖ γὰρ τὸν ἀφανισμὸν τῆς χώρας καὶ οὐχὶ ὁ
10 λέγει καὶ σημαίνει ἐκ τοῦ προχείρου κατὰ τὸ φαινόμενον. [a 28] παρα-
πεποιημένα λέγει τὰ σκώμματα τὰ ὑπάρχοντα παρὰ γράμμα ἕν,
οἷον πρός τινα τραυλὸν 'ὁλᾷς, κόλακος κεφαλὴν ἔχεις' παρ' ἓν γράμμα
ἤτοι παρὰ τὸ ρω ἐστὶ τὸ σκῶμμα· οὕτως γὰρ ἔδει εἰπεῖν 'ὁρᾷς, κόρακος 25
κεφαλὴν ἔχεις'. παραπεποιημένα λέγει τὰ παρεφθαρμένα παρὰ γράμμα
15 ἕν· γέλωτα δὲ τὰ τοιαῦτα κινοῦσιν αἰνίγματα. ἢ καὶ οὕτως· παραπεποιη-
μένα λέγει τὰ παρ' ὑπόνοιαν· καὶ γὰρ τὰ τοιαῦτα ἐξαπατῶσι τὸν ἀκροα-
τήν. [a 29] καὶ ἐν τοῖς μέτροις τοῖς κωμικοῖς· οἱ γὰρ κωμικοὶ χρῶν-
ται τοῖς τοιούτοις ἤτοι τοῖς σκώμμασι τοῖς παραπεποιημένοις παρὰ γράμμα
ἓν καὶ παρεφθαρμένοις· τὸ γὰρ 'ὁλᾷς, κόλακος κεφαλὴν ἔχεις' οὐχὶ νοεῖ- 30
20 ται οὕτως, ὡς ὑπέλαβε καὶ ἐνόησεν αὐτὸ κατὰ τὸ φαινόμενον ὁ ἀκροατής,
ἀλλ' ὀνειδισμόν τινα παρεμφαίνει πρὸς τραυλόν. [a 31] χίμετλα λέγον-
ται τὰ ἀπὸ ψύχους γινόμενα ὑπεκκαύματα περὶ τοὺς πόδας· ὁ ἀκούων ᾤετο
λέγειν, ὅτι πέδιλα φορεῖ ὁ ἱστάμενος· ἄλλο δὲ συννοεῖται, ὅτι ὑπεκκαύ-
ματα ἔχει ἐν τοῖς ποσὶν ἀπὸ ψύχους. ὁ δὲ διδάσκαλος εἶπε χίμετλα
25 εἶναι ξύλα τινὰ ἐπιμήκη κάτωθεν σφαιροειδῆ ὄντα, ὧν ἐπάνω τινὲς ἱστά- 35
μενοι βαδίζουσι δι' αὐτῶν, οἷά εἰσιν, ἐν οἷς οἱ Σπάνοι ἱστάμενοι βαδίζουσι.
[a 31] τοῦτο δὲ τὸ παραπεποιημένον καὶ γελοιῶδες ἐνδέχεται ἅμα τῷ
ῥηθῆναι δῆλον εἶναι ἡμῖν καὶ συννοεῖν εὐθὺς τὸ παρὰ τούτου σημαινό-
μενον· εἰ γὰρ καὶ μετὰ τὸ ῥηθῆναι ἀσαφές ἐστιν ἔτι καὶ μὴ συννοού-
30 μενον ἡμῖν, διαβάλλεται. [a 32] τὰ δὲ παρὰ γράμμα σκώμματα ποιεῖ
γελοῖα διὰ τὸ λέγειν καὶ σημαίνειν οὐχὶ καθ' ὃ λέγονται ἐκ προχείρου
κατὰ τὸ φαινόμενον, ἀλλ' ἃ τὰ ὀνόματα μεταστρεφόμενα δηλοῦσι· τὸ γὰρ 40
'ὁλᾷς, κόλακος κεφαλὴν ἔχεις' μεταστρεφόμενον εἰς τὸ 'ὁρᾷς, κόρακος
κεφαλὴν ἔχεις' ἄλλο τι ὑπεμφαίνει· ὥστε οὐ δεῖ τὸ ἐκ προχείρου λεγό-

---

1 ἀργυρὸν V 2 ἀλλὰ om. n δὲ om. n 4 φαίνεται n 6 τὸ V: τὸν n δόξην n 7 ὡς ἐκεῖνος λέγει (vel λέγῃ) Arist. 8 σημαίνει om. n 9 ἐστι V: τι n 11 ἓν om. Arist. 12 ὁλᾷς κτλ.] Aristoph. Vesp. 45 13 ρῶ V: ρ' n 18 σκώμμασιν n 19 παρεφθαρμένον n (per comp. V) τὴν κεφαλὴν n 20 ἐνόησε n 21 χίμετλα V: χίμετλα Arist. CDE: χύμεθλα Arist. Q: χίμεθλα n Arist. cet. 22 ὁ om. n 23 πέδηλα n 24 χίμεθλα V: χίμετλα n 26 οἷα V: οὐκ n βαδίζουσιν n 27 γελειῶδες n 29 τὸ om. n ἐστι n 32 ἀλλ' ἃ V: ἀλλὰ n

μενον παρ' αὐτῶν νοεῖν, ἀλλ' ὃ δηλοῦσι τὰ ὀνόματα ἐν τῷ μεταστρέφε- f. 66ʳ
σθαι, οἷον τὸ εἰς Νίκωνα 'θράττει σε'· [a 34] προσποιεῖται γὰρ [f. 67ʳ]
λέγειν τὸ 'θράττει ⟨σε⟩' ὅτι 'ἐκφοβεῖ σε' καὶ ἐξαπατᾷ καὶ παρα-
λο|γίζεται τὸν ἀκροατήν, ἄλλο δὲ σημαίνει καὶ λέγει· ὡς Θρᾷκα f. 66ᵛ
γὰρ Νίκωνα ἐπωνείδισε. [a 35] διὸ καὶ τῷ μαθόντι καὶ νοήσαντι, [f. 67ᵛ]
ἐπὶ τίνος τὸ θράττει ἐξελάβετο ὁ Θεόδωρος, ἡδὺ δοκεῖ, ἐπὶ τῷ μὴ γινώ-
σκοντι, ὅτι Θρᾷξ ἦν ὁ Νίκων, οὐδὲ ἡδὺ δόξει τὸ τοιοῦτον αἴνιγμα· οὐδὲ
γὰρ ἐπὶ ἄλλου τινὸς ἁρμόττει ῥηθῆναι μὴ ὄντος Θρᾳκός. [b 2] καὶ τὸ
βούλει αὐτὸν πέρσαι τοιοῦτόν ἐστιν· οὐ γὰρ κατὰ τὸ φαινόμενον τὸ
πορθῆσαι σημαίνει, ἀλλ' ὀνειδισμός ἐστιν εἰς Πέρσην. δεῖ δὲ ἀμφότερα
προσηκόντως ῥηθῆναι· καὶ τὸ πέρσαι γὰρ ἐπὶ Πέρσου δεῖ ῥηθῆναι καὶ
τὸ θράττει ἐπὶ Θρᾳκός· εἰ γὰρ μὴ πρὸς Θρᾷκα τὸ θράττει εἴπῃς, οὐ
προσηκόντως τὸ αἴνιγμα εἶπας. δεῖ δὲ ἀμφότερα ἤτοι καὶ τὰ παραπεποιη-
μένα καὶ τὰ παρὰ γράμμα σκώμματα προσηκόντως λεχθῆναι ἤτοι εἰς
πρόσωπα προσήκοντα. [b 3] οὕτω δὲ καὶ τὰ ἀστεῖα αἰνίγματα ἔχουσιν·
οὐ γὰρ ὃ λέγουσι τοῦτο καὶ εὐθὺς δηλοῦσιν, ἀλλ' ἄλλο τι ἔχουσι τὸ συννοού-
μενον. οὕτω δὲ ῥητέον· τὴν τῆς θαλάσσης ἀρχὴν μὴ ἀρχὴν εἶναι,
ἕως ὧδε τὸ αἴνιγμα, τὸ δὲ τῶν κακῶν οἷον ἑρμηνεία ἐστὶ καὶ λύσις
τοῦ αἰνίγματος, ὁμοίως δὲ καὶ τὸ ὄνασθαι γάρ· οὐ γὰρ λύεται τὸ αἴνιγμα,
ὡς ἔχει, ἀλλ' ὡς λύεται· τὸ γοῦν εἰπεῖν τὴν ἀρχὴν τῆς θαλάσσης μὴ
ἀρχὴν εἶναί ἐστι καινόν· πῶς γοῦν ἐν ταὐτῷ ἔσται καὶ ἀρχὴ καὶ μὴ
ἀρχή; ὥστε οὐχ ὃ λέγει τοῦτο καὶ παρεμφαίνει, ἀλλ' ἄλλο τι· ἡ γοῦν
ἀρχὴ καὶ ἡ ἐξουσία τῆς θαλάσσης (κατεκράτησαν γὰρ πάσης τῆς Ἑλλά-
δος οἱ Ἀθηναῖοι) οὐκ ἔστιν ἀρχὴ καὶ αἰτία τῶν κακῶν· πῶς γάρ ἐστιν αἰτία,
εἴ γε πολλὰ ἀπώναντο; ὁρᾷς, πῶς ἐπὶ ἄλλου σημαινομένου ἐλήφθη τὸ
ἀρχή καὶ ἐπὶ ἄλλου τὸ οὐκ ἀρχή. [b 5] καὶ πάλιν τὸ αἴνιγμα τὸ παρὰ
Ἰσοκράτει ἐστὶν 'ἡ τῆς πόλεως ἀρχὴ ἀρχή ἐστιν'· ὁ δὲ Ἀριστοτέλης
εἰπὼν ἀρχὴν τῶν κακῶν τὴν λύσιν εἶπε τοῦ αἰνίγματος· ἡ γὰρ ἀρχὴ
καὶ ἡ ἐξουσία τῆς πόλεως ἀρχή ἐστι τῶν κακῶν καὶ ἐγένετο· ἀφ' οὗ
γὰρ ἐκράτησαν τοιοῦτοι ἄρχοντες τῆς πόλεως καὶ προεβλήθησαν, ἔκτοτε
μυρία κακὰ τῇ πόλει προσεγένοντο καὶ βλάβη. [b 6] ἀμφοτέρως γὰρ
ἤτοι διὰ τοῦ εἰπεῖν τὴν ἀρχὴν τῆς θαλάσσης οὐκ ἀρχὴν καὶ διὰ τοῦ εἰπεῖν
τὴν ἀρχὴν τῆς πόλεως ἀρχὴν εἶναι εἴρηται κατὰ τὸ συννοούμενον ἐκεῖνο,
ὃ οὐκ ἄν τις ὑπέλαβεν ἐκ προχείρου ἐρεῖν τὸν Ἰσοκράτην ποτέ· κατὰ γὰρ
τὸ φαινόμενον οὐδὲν σοφὸν φαίνεται ὁ Ἰσοκράτης ἐρεῖν ἀλλὰ λίαν ἄσο-

---

3 τὸ θράττει σε ex Aristotele scripsi: τὸ θράττει V: τὸ θράττειν n 5 καὶ (ante νοήσαντι) om. n 6 ὁ om. n 8 ἐπ' n 11 γὰρ om. n 13 τὰ om. n 16 λέγουσιν n ἔχουσιν n 17 δὲ V: δὴ n θαλάσσης V: θαλάττης n Arist. 18 ἐστὶν n 19 τοῦ om. n ὤνασθαι n 21 κοινόν n 22 ἄλλο V: ὅ n 26. 27 παρὰ Ἰσοκράτει (ἰσοκράτην n: per comp. V)] 5,61 cet. 27 ἐστὶν om. n ἀρχή om. n 28 εἶπεν τοῦ n 31 προσεγένετο n 32 τῆς—τὴν ἀρχὴν (33) om. n 33 τῆς ex τῇ corr. V: τῇ n πόλεως scripsi: πόλει Vn κατὰ V: καὶ n 34 ὑπέλαβε n 35 οὐθὲν Arist.

φον καὶ εἰς ἀντίφασιν ἐμπεσεῖν ἐκ τοῦ εἰπεῖν τὴν ἀρχὴν οὐκ ἀρχὴν ἢ f. 66v
τὴν ἀρχὴν τῇ πόλει ἀρχήν. [b 9] ἀλλὰ οὐχ οὕτω λέγει ἀλλ' ἄλλως [f. 67v]
λέγει καὶ ἐγνώσθη κατὰ τὸ συννοούμενον, ὅτι ἀληθῶς καὶ καλῶς λέγεις· 26
καὶ τῷ εἰπεῖν μὴ ἀρχὴν οὐκ ἀπέφησεν, ὃ εἶπεν ἀρχήν, ἀλλ' ἐκεῖ μὲν
5 εἶπεν ἀρχὴν τῆς θαλάσσης κατὰ ἄλλο σημαινόμενον τῆς ἀρχῆς ἤγουν τὴν
ἐξουσίαν, ἐνταῦθα δὲ μὴ ἀρχὴν εἶπε τὴν μὴ αἰτίαν, ὅπερ ἀπόφασις τῆς
ἀρχῆς ἐστιν, ἥτις σημαίνει τὴν αἰτίαν. [b 10] ἐν ἅπασι δὲ τούτοις
τοῖς αἰνίγμασι τότε ἔχει τὸ εὖ, ἐάν τις ἐνέγκῃ τὸ ὄνομα προσηκόντως 30
ἐπὶ ὁμωνυμίας ἢ ἐπὶ μεταφορᾶς· τότε γὰρ ἐπὶ ἄλλου σημαινομένου τις
10 καταφάσκει καὶ ἐπὶ ἄλλου ἀποφάσκει σημαινομένου, οἷον τὸ ἄσχετον
δηλοῖ τὸ ἀκράτητον καὶ τὸ ἀνυπομόνητον· ὁμώνυμος γὰρ φωνή ἐστι· τὸ
γοῦν ἄσχετον δηλοῖ τὰ ἀκράτητον, τὸ δὲ οὐκ ἀνασχετὸν δηλοῖ τὸ ὑπο-
μονητόν, ὅπερ (τοῦτο τὸ οὐκ ἀνασχετόν) ἀπόφασίς ἐστι τοῦ ἄσχετον τοῦ
δηλοῦντος τὸ ὑπομονητόν. ὥστε ἐπὶ ἄλλου μὲν σημαινομένου κατέφησεν,
15 ἐπὶ ἄλλου δὲ σημαινομένου ἀπέφησεν. [b 11] ὁμωνυμίαν γὰρ ἀπέ-
φησεν ἤτοι ἐπὶ ὁμωνύμου φωνῆς ἐποίησε τὴν ἀπόφασιν. ἀλλὰ εἰ δίς τις
προσενέγκῃ καὶ εἴπῃ τὸ αὐτὸ ὄνομα, ἀεὶ δεῖ ποιεῖν τοῦτο ἤτοι τὸ δὶς 35
χρᾶσθαι τῷ αὐτῷ ὀνόματι προσηκόντως. προσηκόντως δὲ λέγεται δίς,
εἰ ὁμώνυμος φωνή ἐστι καὶ τὸ μὲν λαμβάνεται ἐπὶ ἄλλου σημαινομένου,
20 τὸ δὲ ἐπὶ ἄλλου· οἷον τὸ ὁ ξένος δηλοῖ τὸ φίλος, τὸ δὲ ξένος τὸ ἕτερον
δηλοῖ τὸ ἀλλότριον· [b 13] καὶ 'οὐκ ἂν σὺ ὁ ξένος ἤτοι ὁ φίλος γένοιο
ξένος καὶ ἀλλότριος μᾶλλον παρ' ὃ δεῖ σε' ἢ 'οὐ μᾶλλον ἤ σε δεῖ ὁ
ξένος γένοιο ξένος'· τὸ αὐτὸ γάρ ἐστι τὸ εἰπεῖν 'οὐκ ἂν γένοιο μᾶλλον 40
ἤ σε δεῖ ὁ ξένος ξένος' καὶ τὸ εἰπεῖν 'οὐ μᾶλλον ἤ σε δεῖ γένοιο
25 ὁ ξένος ξένος'. καὶ οὐ δεῖ τὸν ξένον ξένον. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι·
τὶς ἐδέξατο ἐν τῇ οἰκίᾳ αὐτοῦ φίλον τινὰ καὶ ἐποίησεν ὁ φίλος ἐν τῇ οἰκίᾳ
αὐτοῦ δύο ἢ τρεῖς ἡμέρας· εἶτα ὁ δεξάμενος αὐτόν φησι πρὸς αὐτὸν ὅτι
'οὐ δεῖ τὸν φίλον εἶναι πάντοτε ὡς ξένον, ἀλλὰ δεῖ καὶ σὲ ποιῆσαι οἰκίαν ἐν
τῇδε τῇ πόλει καὶ συνοικεῖν ἡμῖν'. [b 15] καὶ οὐ δεῖ τὸν ξένον ἤτοι τὸν |
30 φίλον εἶναι ξένον καὶ ἀλλότριον ἀεί· ἀλλότριον γάρ, ἤτοι τὸ ἓν f. 67r
ὄνομα τὸ ξένον δηλοῖ τὸν ἀλλότριον. καὶ τοῦτο, τὸ παράδειγμα τὸ [f. 68r]
'οὐ δεῖ τὸν ξένον ξένον εἶναι', τὸ αὐτὸ ὄνομα ἔχει, ἤτοι ξένον καὶ ξένον,
ἄλλο καὶ ἄλλο σημαῖνον. [b 16] καὶ τὸ ἐπαινούμενον αἴνιγμα τοῦ
Ἀναξανδρίδου (ποιητὴς δὲ ἦν οὗτος) τοιοῦτόν ἐστι 'καλὸν ἀποθανεῖν

---

1 οὐχ n 2 οὕτως n ἀλλ' ἄλλως Vn Arist. A: om. Arist. vulg. 3. 4 λέγει καὶ τὸ n 5 κατὰ — ἀρχῆς om. n 6 εἶπεν n 7 ἐστί n 8 αἰνίγμασιν n τις Vn Arist. C: μὴ Arist. A: om. Arist. cet. 9 τις — σημαινομένου (10) om. n 11 καὶ — ἀκράτητον (12) om. n 13 οὐκ om. n 14 κατέφησε n 15 ἀπέφησε n 15. 16 ἀπέφησε n ὁμωνυμίαν ἀπέφησεν, ἀλλὰ προσηκόντως, εἰ ἀηδής (A; εἰ ἀεὶ δίς vulg.) Arist. 17 δεῖ V: δὲ n 18 χρῆσθαι n 19 διαλαμβάνεται n 20 τὸ (post οἷον) om. n fort. ὁ del. τὸ μὲν post ξένος add. n 24 ὁ om. Arist. καὶ τὸ — ξένος ξένος (25) om. n 30 ξένον ἀεὶ εἶναι Arist. 31 τὸ (ante οὐ) om. n 33 σημαινόμενον n 34 Ἀναξανδρίδου] fr. 64. C. A. F. II 161 K. ἐστιν n

πρὸ τοῦ ποιῆσαι ἄξια θανάτου'· τὸ γοῦν λέγειν 'καλὸν ἀποθανεῖν' ταὐτόν f. 67r
ἐστι τῷ λέγειν 'ἄξιον ἀποθανεῖν μὴ ἄξιον θανάτου ὄντα' ἢ 'ἄξιον θανεῖν [f. 68r]
μὴ ὄντα ἄξιον θανάτου'· καὶ ἐν τούτοις γὰρ τὸ αὐτὸ ὄνομα ἐλήφθη, ἄξιον 7
μὴ ἄξιον, πλὴν τὸ μὲν ἄξιον θανεῖν σημαίνει τὸ καλόν, τὸ δὲ μὴ ὄντα
5 ἄξιον τὸ μὴ καλὸν καὶ τὸ ἀπρεπές. [b 20] τὸ μὲν οὖν εἶδος τῆς
λέξεως ἤτοι ἡ μὲν λέξις ἡ αὐτή ἐστιν ἐν τούτοις, ἄξιον μὴ ἄξιον, πλὴν
τὸ μέν ἐστι τὸ πρέπον, τὸ δὲ τὸ ἀπρεπές· ἀλλ' ὅσῳ μὲν λαμβάνει 10
ἐλάττω ἤτοι ὀλίγας λέξεις καὶ βραχυλογεῖ καὶ ἀντικείμενα ἐν τοῖς αἰνίγ-
μασι, τοσούτῳ μᾶλλον εὐδοκιμοῦσι καὶ ἐπαινοῦνται ὀλίγαι λέξεις, ἵν' ᾖ ἡ
10 ἀπόδοσις σύντομος. ἀντικειμένως δέ, ἵν' ἀντίκεινται αἱ λέξεις, οἷον εἰπεῖν
ἄξιον καὶ μὴ ἄξιον, καὶ ἀποθανεῖν καὶ μὴ ἀποθανεῖν. [b 22] τὸ δὲ
αἴτιον τοῦ δεῖν εἶναι ἐλάττους καὶ βραχείας τὰς ἀποδόσεις καὶ τὰς λέξεις
ἀντικειμένας, διότι ἡ μάθησις καὶ ἡ γνῶσις μᾶλλον ἐπιγίνεται ἐκ τοῦ
λαβεῖν τὰ ἀντικείμενα· τὰ γὰρ ἀντικείμενα συμπαρακείμενα ἀλλήλοις μᾶλλον 15
15 παριστῶσι τὰ πράγματα καὶ ἐναργέστερα ταῦτα γίνονται ἐκ τῶν ἀντικει-
μένων, οἷον τὸ μέλαν τὸ ἐν Αἰθίοπι μᾶλλον παρίσταται διὰ τοῦ ἀργυροῦ
ἤτοι τοῦ ἐναντίου· [b 23] διὰ δὲ τὸ ἐν ὀλίγῳ εἶναι ἤτοι διὰ δὲ τὸ εἶναι
ὀλίγας τὰς λέξεις καὶ βραχεῖαν τὴν ἀπόδοσιν θᾶττον γίνεται ἡ μάθησις
καὶ ἡ γνῶσις τοῦ πράγματος. δεῖ δὲ προσεῖναι καὶ τὸ πρόσωπον, πρὸς
20 ὃ λέγεται· οἷον 'ἄξιον θανεῖν τὸν Σωκράτην πρὶν θανάτου ἄξιον δρᾶν', 20
καὶ μὴ ἁπλῶς καὶ ὡς ἔτυχε τοῦτο λέγειν· οὐ γὰρ τῷ τυχόντι προσαρ-
μόζει ῥηθῆναι· τὸν γὰρ ἀνδροφόνον οὐκ ἄν τις εἴπῃ ἄξιον θανεῖν πρὶν
θανάτου ἄξιον δρᾶσαι. [b 24] ἢ τὸ ὀρθῶς λέγεσθαι. ὀρθῶς δὲ λέγε-
ται, εἰ τὸ λεγόμενόν ἐστιν ἀληθὲς καὶ μὴ ἐπιπόλαιον ἤτοι πιθανὸν
25 καὶ εὐανάτρεπτον. ἔστι γὰρ ταῦτα ἤτοι τὸ ἄξιον καὶ τὸ μὴ ἄξιον
χωρὶς ἤτοι ἰδίᾳ καὶ ἰδίᾳ εἰπεῖν, οἷον 'ἄξιον θανεῖν μηδὲν ἁμαρτάνοντα'
ἢ 'δεῖ θανεῖν μὴ ὄντα ἄξιον θανεῖν'· ἰδοὺ ἰδίᾳ καὶ ἰδίᾳ ἐρρήθη τὸ ἄξιον καὶ 25
μὴ ἄξιον· [b 27] ἀλλὰ τοῦτο αἴνιγμα οὐκ ἔστιν οὐδὲ ἀστεῖον ἀλλ' ἐπιπό-
λαιον καὶ τῷ τυχόντι ῥᾳδίως νοούμενον. ὁμοίως δὲ οὐκ ἔστιν ἀστεῖον καὶ
30 ἐπαινούμενον αἴνιγμα τὸ λέγειν 'δεῖ τὴν ἀξίαν τὸν ἄξιον λαβεῖν', διότι ἐπι-
πόλαιόν ἐστι καὶ εὔκολον. ἀλλ' ἀστεῖόν ἐστι τὸ αἴνιγμα, ἐὰν καὶ ἄμφω
τὰ ἀντικείμενα, οἷον τὸ ἄξιον καὶ τὸ μὴ ἄξιον, ἅμα ῥηθῶσι καὶ μὴ ἰδίᾳ
καὶ ἰδίᾳ, οἷόν ἐστιν 'ἄξιον θανεῖν τὸν μὴ ἄξιον ὄντα θανεῖν'· ἐν τούτῳ
γὰρ ἅμα εἰσὶ τὰ ἀντικείμενα. [b 29] ὅσῳ δὲ τὸ αἴνιγμα πλείω ἔχει 30

---

1 καλὸν n: καὶ V 2 ἐστιν n 4 ὄντα V: ὂν n 5 μὴ ante ἀπρεπές add. n
6 ἐστι n 8. 9 αἰνίγμασιν n 9 εὐδοκιμοῦσιν n ἡ om. n 10 ἀντικει-
μένων n 12 τοῦ scripsi: οὗ V: οὐ n 13 διότι καὶ ἡ n 14 τὰ γὰρ — συμ-
παρακείμενα om. n ὅτι ante μᾶλλον add. n 15 παριστῶσιν n 16 ἐν om. n
17 εἶναι V: εἰδέναι n δὲ Vn: δ' ἀεὶ Arist. 20 ὃ Vn Arist. C: ὃν Arist.
cet. 23 τὸ V Arist. vulg.: τῷ n: om. Arist. A 24 ἐστὶ n 25 εὐανάτρεπτον]
cf. 34,34 29 ἔστι n 30 λαβεῖν V: γαμεῖν n Arist. 31 ἀλλ' Vn Arist. vulg.:
καὶ Arist. ATr. 31. 32 ἅμα ἄμφω Arist. vulg.: ἅμα om. Arist. A 32 οἷον V:
ἐὰν n ῥηθῶσιν n 33 ἔστι n 34 εἰσὶν n ὅσα n

ἤτοι τὸ εἶναι τὰ ἐν αὐτῷ ὀνόματα μεταφορικὰ καὶ μεταφορὰν εἶναι τοιανδὶ f. 67r
ἤτοι κατ' ἀναλογίαν καὶ ἀντίθεσιν, οἷον ἄξιον καὶ οὐκ ἄξιον, ἤτοι τὸ [f. 68r]
εἶναι τὰ ἀντικείμενα καὶ τὸ ἔχειν τὸ αἴνιγμα καὶ παρισώσεις καὶ τὸ τὴν
ληφθεῖσαν ἐν αὐτῷ μεταφορὰν παρεμφαίνειν ἐνέργειαν, οἷά εἰσιν ἃ
5 εἴπομεν παραδείγματα (γράφεται καὶ ἐνάργειαν), τοσούτῳ τὸ αἴνιγμα
τὸ ἔχον ταῦτα πάντα ἐστὶ καὶ ἀστειότερον. [b 32] εἰσὶ δὲ αἱ εἰκόνες
αἱ εὐδοκιμοῦσαι μεταφοραί, ὡς καὶ ἀνωτέρω εἴπομεν. προσέθηκε δὲ 35
τὸ τρόπον τινά, διότι κατὰ τοῦτο καὶ μόνον διαφέρουσι, καθ' ὃ αἱ μὲν
εἰκόνες ἔχουσι τὸ ὥς, αἱ δὲ μεταφοραὶ τὸ ὥς οὐκ ἔχουσιν. [b 34] ἀεὶ
10 γὰρ αἱ εἰκόνες ἐκ δυοῖν λέγονται ἤτοι ἐκ δύο σύγκεινται, ὥσπερ καὶ
ἡ κατ' ἀναλογίαν μεταφορὰ ἐκ δύο σύγκειται· οἷον τὸ φιάλη εἴρηται
μὲν κυρίως πρὸς τὸν Διόνυσον, ὅτι ἡ φιάλη ἐστὶν ἀσπὶς τοῦ Διονύσου, ἐξ
ἐκείνου δὲ μετηνέχθη καὶ πρὸς τὸν Ἄρεα καὶ ἁρμόζει αὐτῷ, ὅτι ἡ ἀσπὶς 40
φιάλη ἐστὶ τοῦ Ἄρεος· ὥστε ἡ μεταφορὰ αὕτη ἐκ δύο σύγκειται, ἔκ τε
15 τοῦ ἐξ οὗ μετηνέχθη ἤτοι ἐκ τοῦ Διονύσου καὶ ἐκ τοῦ πρὸς ὃν μετηνέχθη
ἤτοι τὸν Ἄρεα. [1413 a 1] καὶ τὸ φόρμιγξ μεταφορά ἐστι δυσὶ προσαρ-
μόζουσα, τῇ τε λύρᾳ, ἐξ ἧς μετηνέχθη, καὶ τῷ τόξῳ, πρὸς ὃ μετηνέχθη,
ὃ καὶ φόρμιγγα ἄχορδον εἴρηκεν. οὕτω μὲν εἰ λέγουσιν, ὅτι τὸ τόξον
φόρμιγξ ἄχορδόν ἐστιν, | οὐχ ἁπλοῦν ἐστιν ἀλλ' αἰνιγματῶδες· ἔχει f. 67v
20 γὰρ τὰ ἀντικείμενα· ᾗ μὲν γὰρ τὸ τόξον εἶπε φόρμιγγα, κεχορδωμένον [f. 68v]
αὐτὸ εἴρηκεν, ᾗ δὲ ἄχορδον αὐτὸ εἶπεν, οὐ λέγει αὐτὸ εἶναι φόρμιγγα
ἤτοι λύραν· τὸ δὲ λέγειν τὸ τόξον φόρμιγγα ἁπλοῦν ἐστιν. [a 3]
καὶ εἰκάζουσι δὲ αἱ εἰκόνες, οἷον τὸν αὐλητὴν εἰκάζουσι πιθήκῳ.
αὐλητὴς κακὸς ἦν καὶ κακόφωνος καὶ παρείκασεν αὐτὸν πιθήκῳ· ὡς γὰρ 5
25 ὁ πίθηκος μικρὸς ὢν χαμόθεν ἔοικεν ᾄδειν, οὕτω καὶ ὁ αὐλητὴς ἐκεῖνος
ἔοικε χαμόθεν ᾄδοντι. ἢ παρείκασε τὸν αὐλητὴν ἐκεῖνον λύκῳ ψακαζο-
μένῳ εἰς μύωπα. μύωψ λέγεται τὸ τζιμούριον. ψακάζειν λέγεται τὸ
μουγκρίζειν· ὡς γὰρ ὁ λύκος ψακάζει καὶ μουγκρίζει ἐν τῷ στρέφεσθαι
κεχηνώς, ὡς ἂν δάκῃ τὸν ἐπικαθήμενον ἐν τῷ ὤμῳ αὐτοῦ τοῦ λύκου
30 μύωπα (ἔστω γάρ, ὅτι καὶ μύωψ τις ἐπικάθηται ἐν τῷ ὤμῳ τοῦ λύκου

---

1 τὸ om. n 2 κατὰ n ἀντίθεσις Arist. ATr.: ἀντίσωσις Arist. vulg. 4 οἷά — ἐνάργειαν (5) om. n 5 ἐνέργειαν Arist. 6 δὲ καὶ αἱ Arist. 7 αἱ Vn: ἀεὶ Arist. εὐδοκιμοῦσαι V Arist.: εὐδαιμονοῦσαι n ἀνωτέρω] p. 211,33 προσέθηκαν V 8 διαφέρουσιν n 11 κατὰ n τὸ φιάλη scripsi: τῇ φιάλη V: τῆς φιάλης καὶ τῆς ἀσπίδος n 12 ἀσπὶς κτλ.] Timoth. fr. 16 Bergk. 14 ἐστὶν n

ἄρεος V Arist. vulg.: ἄρεως n Arist. A 14. 15 τε ἔκ τοῦ V: ἐκ τοῦ τ' n 17 πρὸς ὃ n: ἐξ ὧν V 18 εἰ Vn: οὖν Arist. 19 φόρμιγξ κτλ.] cf. adesp. fr. 127 Bergk. 22 φόρμιγγα ἢ τὴν ἀσπίδα φιάλην ἁπλοῦν Arist. ἐστι n 23 εἰκάζουσιν n εἰκάζουσιν n πιθήκῳ αὐλητήν (αὐλητῆι A: αὐλητικῶ DEQYbZb) Arist.

24 παρείκασε n 26 λύκῳ Vn Arist. vulg.: λύχνῳ Arist. ATr. 26. 27 ψεκαζομένω V: ψακαζομένῳ Arist.: ψεκαζομένῳ n 27 τριμούριον n ψακάζειν V: ψεκάζειν n 28 ψακάζει V: ψεκάζει n

καὶ στρέφεται δακεῖν τὸν μύωπα ὡς ἐκμυζῶντα τὸ αἷμα αὐτοῦ), οὕτω f. 67v
καὶ ὁ αὐλητὴς ἐκεῖνος ᾄδων ἔοικε λύκῳ μουγκρίζοντι. τινὰ δὲ τῶν ἀντιγρά- [f. 68v]
φων ἔχουσι [a 3] λύχνῳ ψεκαζομένῳ εἰς μύωπα, ἤτοι ὥσπερ ὁ λύχνος 12
ψεκάζει ἤτοι τζιντζιρίζει εἰς μύωπα, ἤτοι ὅταν μέλλῃ σβεσθῆναι. μύωψ
5 λέγεται ἡ σβέσις παρὰ τὸ μύειν, τὸ καμμύειν· ἄμφω γὰρ ἤτοι ἐπ' ἀμφο-
τέρων γὰρ συνάγεται τὸ αὐτὸ ἤτοι καὶ ἐπὶ τοῦ αὐλητοῦ καὶ ἐπὶ τοῦ
πίθηκος· ὡς γὰρ ὁ πίθηξ χαμόθεν ᾄδει, οὕτω καὶ ὁ αὐλητής. ἢ καὶ ὡς 15
λύκος μουγκρίζει, οὕτω καὶ ὁ αὐλητής. [a 4] ἔστι δὲ ἡ εἰκὼν ἔχουσα
τὸ εὖ, ὅταν μεταφορὰ ᾖ ἤτοι ἐστὶν ἡ εἰκὼν καὶ μεταφορά. καὶ τὸ
10 ἐρείπιον εἰκάσαι ῥάκει οἰκίας· ὡς γὰρ τὸ ῥάκος ἤτοι τὸ κατεσχισμένον
πανίον ῥίπτομεν, οὕτω καὶ τὸν ἐρείπιον τόπον τὸν μὴ θεμέλιον ἔχοντα
ἀποβάλλομεν. ὁ Νικήρατος ὄνομα κύριόν ἐστι· καὶ ὁ Πράτυς ὄνομα κύριον.
τὸν γοῦν Νικήρατον ἐλύπησεν ὁ Πράτυς καὶ τὸν Νικήρατον λυπηθέντα
ὑπὸ τοῦ Πράτυος καὶ βοῶντα ἐν τῷ ὀδυνᾶσθαι παρείκασέ τις Φιλοκτήτῃ 20
15 ὀδυνωμένῳ· οὗτος γὰρ ἐδήχθη ὑπὸ ὄφεως καὶ ὀδυνώμενος ἐβόα, οἱ δὲ
Ἕλληνες ἀφῆκαν αὐτὸν εἰς νῆσον καὶ ἀπέπλευσαν εἰς τὴν Τροίαν. [a 8]
ὁ Θρασύμαχος ἰδὼν τὸν Νικήρατον ἡττημένον ἤτοι δαρέντα ὑπὸ
τοῦ Πράτυος καὶ ῥαψῳδοῦντα ἤτοι κλαίοντα, κομῶντα δὲ καὶ πολύ-
τριχον καὶ αὐχμηρὸν καὶ κατάξηρον παρείκασε τῷ Φιλοκτήτῃ λυπου-
20 μένῳ καὶ ὀδυνωμένῳ διὰ τὴν δῆξιν. [a 10] ἐν οἷς μάλιστα ἐκπίπτουσι 25
καὶ σφάλλονται οἱ ποιηταί, ἐὰν μὴ εὖ αἱ εἰκόνες παρ' αὐτῶν ποιηθῶσι
καὶ ἐὰν μὴ εὐδοκιμῶσιν αἱ παρ' αὐτῶν γινόμεναι εἰκόνες. [a 12]
οὖλα λέγει τὰ ἄτριχα σκέλη· σκώπτει γοῦν τινα ἔχοντα λεπτὰ σκέλη ὅτι
'φορεῖς ἤτοι φέρεις τὰ σκέλη τὰ οὖλα ὥσπερ σέλινον'· ὡς γὰρ τὸ
25 σέλινόν ἐστι λεπτόν, οὕτω καὶ τὰ σκέλη εἰσὶ λεπτότατα τοῦ σκωπτομένου.
ἢ οὖλα λέγει τὰ ὁμαλά, τὰ ἁπαλά. [a 13] ὁ Κώρυκος ἄνθρωπος ἦν
ἔχων ἄντρον στενότατον· ὅθεν καὶ λέγεται ἄντρον Κωρύκιον· ὁ γοῦν 30
Φιλάμμων καταδιωκόμενος καὶ βιάζων διὰ τοῦ Κωρυκίου ἄντρου εἰσελθεῖν,
καὶ τὸ μὲν ἥμισυ αὐτοῦ εἰσελθόν, τὸ δὲ ἕτερον ἥμισυ τοῦ σώματος ὂν
30 ἔξω καὶ ἔοικε δισακίῳ. τὸ ἀπόσκωμμα γοῦν ἐστι πρός τινα σπουδάζοντα
σηκῶσαι δισάκιόν τι ἢ μικρὸν φορτίον ἤτοι ἡμιμέδιμνον· καὶ ζυγομαχῶν
μὲν μετὰ τοῦ ἡμιμεδίμνου, μὴ δυνηθεὶς δὲ βαστάσαι αὐτὸ καὶ ἀρεῖν ἐπὶ
τοῦ ὤμου, ὅτι ἐστὶν οὗτος ζυγομαχῶν τῷ Κωρύκῳ ὥσπερ ὁ Φιλάμμων. 35
ὅτι δὲ καὶ αἱ κατὰ ἀναλογίαν μεταφοραὶ εἰκόνες εἰσίν, εἴρηται πολλάκις.

---

3 ἔχουσιν n εἰς V: ὡς n 4 δὲ post μύωψ add. n 7 πίθηξ V: πίθηκος n 9 καὶ (ante τὸ) V: ὡς n 10 οἰκίας V Arist. ATr.: οἰκέτου vel ἐοικός Arist. vulg.: οἰκίῳ n 12 ἐστι—κύριον om. n 17 ὁ om. Arist. 18 prius καὶ om. n 20 μάλιστα Vn Arist. vulg.: μάλιστά τ' Arist. A ἐκπίπτουσιν n 21 ποιηθῶσιν n 22 καὶ ἐὰν μὴ Vn Arist. Z: καὶ ἐὰν Arist. A: om. Arist. Q: καὶ ἐὰν εὖ Arist. cet. 23 οὖλα] cf. adesp. fr. 207. C. A. F. III 448 K.
24 σέληνον n 25 σεληνόν n 27 cf. adesp. fr. 208. C. A. F. III 448 K.
28 φιλάμων n 29 εἰσελθὼν n ὂν V: ὢν n 30 καὶ om. n ἐστιν n 33 ἔστι οὕτως n editionis alterum exemplar μορύκῳ, alterum κωρύκῳ φιλάμων n

[a 14] καὶ αἱ παροιμίαι δὲ μεταφοραί εἰσι μετακομιζόμεναι ἀπὸ f. 67ᵛ
ἄλλου εἴδους εἰς ἄλλο εἶδος, οἷον εἴ τις προσεκαλέσατό τινα ἐλπίζων [f. 68ᵛ]
βοηθηθῆναι παρ' αὐτοῦ, βλαβῇ δὲ τοὐναντίον μᾶλλον παρ' αὐτοῦ· πρὸς γοῦν
τὸν τοιοῦτον τὸν βλαβέντα, ἀφ' οὗ μᾶλλον ᾤετο βοηθηθῆναι, ἁρμόττει
5 εἰπεῖν τὸ [a 16] Καρπάθιος τὸν λαγωόν· ἐν γὰρ τῇ Καρπάθῳ λαγωοὶ
οὐκ ἦσαν, εἶτα μετεκόμισαν ἀπὸ τῆς Ἑλλάδος λαγωοὺς εἰς Κάρπαθον, ἵνα 10
τούτους ἐσθίωσι· ζῶντας γὰρ αὐτοὺς μετεκόμισαν, οἱ δὲ πληθυνθέντες
ἔφαγον τὰς ἀμπέλους αὐτῶν. ὡς γοῦν οἱ Καρπάθιοι ἐκ τῶν λαγωῶν
μᾶλλον ἐβλάβησαν, ἐξ ὧν ἤλπιζον ὠφεληθῆναι, οὕτω καὶ οὗτος ἐβλάβη ἐξ
10 ἐκείνου, ἐξ οὗ ἤλπιζεν ὠφεληθῆναι· ἄμφω γὰρ ἤτοι οἱ Καρπάθιοι καὶ |
οὗτος ὁ ἐλπίζων ὠφεληθῆναι παρὰ τοῦ προσκληθέντος παρ' αὐτοῦ ἐβλά- f. 68ʳ
βησαν καὶ ἔπαθον τὸ εἰρημένον, οἱ μὲν ἐβλάβησαν παρὰ τῶν λαγωῶν [f. 69ʳ]
φαγόντων τὰς ἀμπέλους αὐτῶν, ὁ δὲ ἐβλάβη παρὰ τοῦ προσκληθέντος παρ'
αὐτοῦ. [a 18] ὅθεν μὲν λέγονται τὰ ἀστεῖα ἤτοι ἐκ τοῦ μὴ ὅ φησι
15 λέγειν καὶ σημαίνειν. εὐδοκιμούσας ὑπερβολὰς λέγει ἢ τὰς ὑπερβολικῶς
τι παρεμφαινούσας. [a 20] τὸ ὑπώπιον ἡ βοτάνη ἐστίν, ᾗ περιχριόμενοι 5
τὰς παρειάς τινες τῶν ἀνθρώπων φαίνονται ἐρυθροί. πρός τινα γοῦν ὑπω-
πιασμένον ἤτοι ἐρυθρὸν φαινόμενον ἐκ τοῦ περιχέεσθαι τῷ ὑπωπίῳ
ἀπέσκωψέ τις εἰπὼν 'ᾠήθης δ' ἂν αὐτὸν εἶναι τάλαρον ἤτοι καλάθιον
20 πλῆρες συκαμίνων' ἢ σύκων· ἐρυθρὰ γάρ εἰσι τὰ συκάμινα. τὸ γοῦν
εἰπεῖν 'οὕτως ἦσαν αἱ παρειαὶ αὐτοῦ ἐρυθραί, ὡς δοκεῖν φέρειν τάλαρον
συκαμίνων ἐν ταῖς παρειαῖς' ὑπερβάλλουσαν ἐρυθρότητα παρεμφαίνει ἡ 10
εἰκὼν αὕτη· πῶς γὰρ ἦν δυνατὸν τοσαύτην ἐρυθρότητα γενέσθαι ἀπὸ τοῦ
ὑπωπίου ἐν ταῖς παρειαῖς, ὅσην τὸ πλῆθος τῶν συκαμίνων τῶν ἐν τῷ
25 ταλάρῳ ἔχει; [a 21] ἀλλὰ τὸ πολὺ ἤτοι τὸ ὑπερβάλλον τῆς ἐρυθρότητος,
ὃ παρεμφαίνει ἡ εἰκὼν εἶναι ἐν ταῖς παρειαῖς διὰ τῶν συκαμίνων, σφό-
δρα ἤτοι ὑπερβολικόν ἐστιν. εὗρον δέ, ὅπερ μᾶλλον ἀληθές, σχόλιον ἔν
τινι τῶν θριπηδεστάτων βιβλίων τοιοῦτον· τὸ ὑπωπιασμένον σημαίνει
ἄνθρωπον ἔχοντα πάθος ὑπώπιον, ὅπερ πέφυκε γίνεσθαι περὶ τοὺς ὀφθαλ- 15
30 μοὺς ἀπὸ μώλωπος. [a 18] καὶ διότι αἱ εἰκόνες ἔχουσι τὸ ἡδὺ καὶ
ἡδεῖαι δοκοῦσι καὶ ἀστεῖαι, σχεδὸν εἴρηται τὸ αἴτιον. [a 21] ἀλλὰ τὸ
πολὺ σφόδρα ἤγουν φαίνεται ὑπερβολικόν. [a 22] τὸ δὲ λέγειν ὥσπερ καὶ
τὸ καὶ τό, ἤτοι ἡ παραβολὴ (αὕτη γὰρ ἔχει τὸ ὥς) ἐστὶ διαφέρουσα
τῆς μεταφορᾶς κατὰ τὴν λέξιν, διότι ἡ μὲν μεταφορὰ ἄνευ τοῦ ὡς ἐκφέ-
35 ρεται, ἡ δὲ παραβολὴ μετὰ τοῦ ὡς· οἷον

---

1 αἱ om. Arist. C δὲ Vn Arist. C: om. Arist. cet. 4 τὸν (ante βλαβέντα) om. n 5 λαγώ Arist. 6 μετεκομίσαντο n 7 ἐσθίωσιν n 14 τὰ ἀστεῖα om. n 15 ἢ om. n 16 ἡ n: ἢ V ἐστὶ n περιχριώμενοι n 17. 18 ὑπωπιασμὸν n 18 περιέχεσθαι n 19. 20 συκαμίνων τάλαρον Arist. vulg.: συκαμίνων κάλαθον Arist. A 20 ἢ σύκων om. n 23 πῶς ex παν corr. V 26 ὅπερ ἐμφαίνει n 27 ἐστι n 28 τριπηδεστάτων n σημαίνειν n 33 τὸ καὶ om. n παραβολὴ Vn: ὑπερβολὴ Arist. (μεταφορὰ in ras. C)

"ὥσπερ Φιλάμμων ζυγομαχῶν τῷ Κωρύκῳ", f. 68r
τοῦτο παραβολή, εἰ δ' εἴπῃς [a 25] 'ᾠήθης δ' ἂν Φιλάμμωνα αὐτὸν [f. 69r]
εἶναι μαχόμενον ἤτοι ζυγομαχοῦντα τῷ Κωρύκῳ', μεταφορά ἐστι· 22
κατὰ τοῦτο γὰρ ἡ μεταφορὰ διαφέρει τῆς παραβολῆς, τῇ προσθήκῃ τοῦ
5 ὥς. καὶ πάλιν, εἰ εἴπῃς

"ὥσπερ σέλινον οὖλα τὰ σκέλη φορεῖς",

ἐστὶ παραβολή, εἰ δ' εἴπῃς 'ᾠήθης δ' ἂν οὐ σκέλη ἀλλὰ σέλινα
ἔχειν οὖλα σκέλη', μεταφορά. [a 28] εἰσὶ δὲ αἱ ὑπερβολαὶ μειρα-
κιώδεις ἤτοι πρέπουσαί εἰσι τοῖς μειρακίοις αἱ ὑπερβάλλουσαι εἰκόνες· 25
10 διὸ τὰς τοιαύτας τὰς ὑπερβολικὰς εἰκόνας οἱ ὀργιζόμενοι μᾶλλον
λέγουσιν ὡς σφοδράς.

[a 31] "οὐδ' εἴ μοι τόσα δοίης, ὅσα ψάμαθός τε κόνις τε",
ἐκ τοῦ ἰῶτα τοῦ Ὁμήρου· λέγει ὁ Ἀχιλλεύς, ὅτι δίδοται αὐτῷ ἡ θυγάτηρ
τοῦ Ἀγαμέμνονος μετὰ τῆς Βρισηίδος. [b 1] χρῶνται δὲ μάλιστα
15 τούτῳ ἤτοι ταῖς ὑπερβαλλούσαις εἰκόσιν οἱ Ἀττικοὶ ῥήτορες, διὸ
⟨πρεσβυτέρῳ λέγειν ἀπρεπές⟩, ἤτοι αἱ ὑπερβάλλουσαι αὗται εἰκόνες 30
οἰκεῖαί εἰσι τοῖς μειρακίοις καὶ τοῖς νέοις ἐνθυμουμένοις, λοιπὸν τοῖς πρεσ-
βυτέροις εἰσὶν ἀνοίκειαι ὡς μὴ πεφυκόσι θυμοῦσθαι διὰ τὴν ψυχρότητα.

12. Ὅτι ἄλλη λέξις ἁρμόζει ἑκάστῳ γένει ἤτοι εἴδει τῆς ῥητορι-
20 κῆς. γραφικὴν λέξιν οἱ μὲν εἶπον τὴν προσαρμόζουσαν τῷ γραφικῷ λόγῳ
ἤτοι τῷ ἱστορικῷ, οἱ δὲ εἶπον γραφικὴν λέξιν τὴν πανηγυρικήν. [b 4]
καὶ ἄλλη λέξις ἐστὶν ἡ ἁρμόζουσα τῷ ἀγωνιστικῷ λόγῳ ἤτοι τῷ δικανικῷ,
οἱ δὲ ἀγωνιστικὴν λέξιν εἶπον τὴν ὑποκριτικήν. δημηγορικὴ λέξις ἐστὶν 35
ἡ ἁρμόττουσα τῷ δημηγορικῷ ἤτοι τῷ συμβουλευτικῷ λόγῳ. [b 5]
25 ἄμφω δὲ ἤτοι καὶ τὰς ἀγωνιστικὰς λέξεις (διὰ δὲ τῶν ἀγωνιστικῶν ἐδή-
λωσε καὶ τὰς δημηγορικὰς λέξεις καὶ τὰς δικανικάς) καὶ τὰς γραφικὰς ἤτοι
τὰς ἱστορικὰς ἀνάγκη εἰδέναι· τὸ μὲν γὰρ ἤτοι τὸ γινώσκειν καὶ τὰς
δημηγορικὰς λέξεις καὶ τὰς δικανικὰς ἔστιν ἀνθρώπου ἐπισταμένου καὶ
δυναμένου ἑλληνίζειν ἤτοι παριστᾶν τὰ πράγματα καὶ δηλοῦν τοῖς ἀκροα- 40
30 ταῖς διὰ λέξεων, ἃ ἔχει ἐν τῇ ψυχῇ, τὸ δὲ μὴ ἤτοι τὸ δὲ μὴ εἰδέναι
τὰς δικανικὰς λέξεις καὶ συμβουλευτικὰς ποιεῖ τὸν ἄνθρωπον ἀναγκά-
ζεσθαι σιωπᾶν καὶ μὴ δηλοῦν, ἂν βούληται μεταδοῦναι καὶ δηλῶσαι
ἄλλοις, ἃ ἔχει ἐν τῇ ψυχῇ, ἤτοι ἐὰν βούληταί τις παραστῆσαι, ὃ βού-

---

1 ὥσπερ κτλ.] adesp. fr. 208. C. A. F. III 448 K. φιλάμων n ζυγομαχῶν Vn Arist. AC: ζυγομαχεῖ Arist. cet. 2 ᾠήθης Vn Arist. A: ὠήθη Arist. vulg. φιλάμωνα αὐτοῦ n αὐτὸν Φιλάμμωνα Arist. 6 τὰ om. n φορεῖν Arist. (φορεῖ C) 7 ὠήθη (sive ὠήθην) δ' οὐ Arist. vulg.: ὠήθησαν δ' οὐ Arist. A 8 ἔχειν οὕτως οὖλα Arist. αἱ Vn Arist. C: om. Arist. cet. 9 αἱ V: καὶ n εἰκόνος n 10 τὰς ὑπερβολικὰς V: ὑπερβολὰς (om. τὰς) n 12 οὐδ' εἰ κτλ.] Hom. I 385 δοίης Vn Arist. AEQZᵇ (ς in ras. C): δοίη Arist. cet., Hom. ψάμμαθός Vn 13 τοῦ (post ἰῶτα) om. n 16 πρεσβυτέρῳ λέγειν ἀπρεπές n Arist.: om. V 17 εἰκυῖαί εἰσιν n 18 θυμοῦσι n 22 et 23 ἐστὶ n 24 ἡ om. n 30 δὲ μὴ (ante εἰδέναι) V: μὴ δὲ n 32 κατασιωπᾶν Arist. ἂν V: ἄν τι n Arist. 33 τοῖς ἄλλοις Arist.

λεται καὶ γνωρίσαι τοῖς | ἀκροαταῖς, εἰ μὴ ἔχει λέξεις σημαντικάς, οὗ f. 68v
βούλεται δηλῶσαι, οὐδὲ δύναται τοῦτο ἐκφράσαι, σιωπᾷ καὶ ἄκων· [b 7] [f. 69v]
ὅπερ πάσχουσιν οἱ μὴ δυνάμενοι γράφειν ἤτοι οἱ χωρικοί· θέλουσι
μὲν εἰπεῖν τι, διὰ δὲ τὸ μὴ δύνασθαι τοῦτο δηλῶσαι καὶ ἐκφράσαι
5 σιωπῶσιν. ἔστι δὲ λέξις γραφικὴ ἤτοι ἱστορικὴ ἡ ἀκριβεστάτη ἤτοι
ἡ ἀκριβῶς παριστῶσα τὸ πρᾶγμα· ὁ γὰρ ἱστορικὸς τοῦτο σπουδάζει τὸ 5
δηλῶσαι τὸ πρᾶγμα ὡς ἔχει. [b 9] ἀγωνιστικὴ δέ ἐστιν ἤτοι δικανικὴ
καὶ συμβουλευτικὴ ἡ ὑποκριτική· ὁ γὰρ δικαζόμενος ὑποκρίνεται καὶ ὀργὴν
καὶ φόβον, καὶ ὑποκρίνεται μὲν καὶ τὸ πρόσωπον τοῦ ἔχοντος τὸ πρᾶγμα
10 καὶ τοιαῦτα παρεισάγει, οἷα εἰκὸς λέγειν καὶ πράττειν αὐτόν· δικανικοὶ γὰρ
ἐλέγοντο οἱ ῥήτορες, οἳ καὶ συνηγόρουν. ἡ μὲν γὰρ ἠθική ἐστιν ἤτοι
ὑποκρινομένη τὸ ἦθος ἤτοι τὸ φαίνεσθαι, ὡς ἐνδιαθέτως λέγει, ὅπερ ποιεῖ
τὸν ἀληθινὸν καὶ ἐνδιάθετον λόγον, ἡ δέ ἐστι παθητικὴ ἤτοι ὑποκρινο- 10
μένη πάθος ἤτοι ὀργήν, φόβον, λύπην καὶ τὰ τοιαῦτα. [b 10] διὸ καὶ
15 ἀπὸ τῶν ποιητῶν οἱ ὑποκριταὶ ὡς ὁ Σοφοκλῆς καὶ ὁ Εὐριπίδης τὰ
τοιαῦτα δράματα ἀποδέχονται ὑποκρίνεσθαι, ἃ πάθη ἔχουσιν, ἵνα ταῦτα
ὑποκρίνωνται καὶ μιμῶνται, καὶ οἱ ποιηταὶ τοὺς τοιούτους ἀποδέχονται
λόγους ἤτοι τοὺς παρεμφαίνοντας πάθη. ταύτης δὲ τῆς ὑποκριτικῆς εἴδη
δύο. [b 12] οἱ δὲ ἀναγνωστικοὶ ἤτοι οἱ ἐπιτήδειοι εἰς τὸ ἀναγινώσκειν 15
20 βαστάζονται καὶ ὑπομένονται παρὰ τῶν ἀκροατῶν καὶ οὐχὶ φορτικοὺς
ἡγοῦνται αὐτούς. οὗτοι δέ εἰσιν ἐπιτήδειοι εἰς τὸ ἀναγινώσκειν οἱ ἀπο-
μιμούμενοι τὰ πρόσωπα καὶ τὰ πράγματα ἐν τῷ ἀναγινώσκειν, καὶ εἰ μὲν
τὸ πρόσωπόν ἐστι τυραννικὸν καὶ θυμούμενον, καὶ αὐτὸς ἀφίησι φωνὴν
ἀγρίαν, εἰ δὲ ταπεινόν ἐστι τὸ πρόσωπον, καὶ ἡ φωνὴ αὐτοῦ ἐστιν ὑφει-
25 μένη· ὥσπερ ποιοῦσι καὶ οἱ τὰς μεταφράσεις ἀναγινώσκοντες ἐν τῇ ἀγίᾳ 20
σορῷ. τοὺς γοῦν οὕτως ἀναγινώσκοντας τοὺς λόγους ἤτοι ὑποκριτικῶς καὶ
μιμητικῶς ἀποδέχονται οἱ ἀκροαταί. [b 13] ὁ Χαιρήμων κωμικὸς ἦν
ποιητής· καὶ γὰρ οὗτος ἀκριβὴς ἦν λογογράφος ὡς ἄριστα ὑποκρινό-
μενος. καὶ ἀπὸ τῶν διθυραμβοποιῶν ἀκριβὴς ἦν λογογράφος ὁ Λικό-
30 μνιος. [b 14] καὶ οἱ λόγοι τῶν γραφικῶν ἤτοι ἱστορικῶν παραβαλλό-
μενοι καὶ συγκρινόμενοι πρὸς τοὺς ἀγῶνας ἤτοι τοὺς δικανικοὺς καὶ
ἀγωνιστικοὺς λόγους φαίνονται στενοί· οἱ γὰρ ἀγωνιστικοὶ λόγοι ἔχουσιν 25
ἐπιχειρήματα ἐργασίας ἐνθυμήματα καί εἰσιν ἐγκατάσκευοι, οἱ δὲ ἱστορικοὶ
οὐδὲν τούτων ἔχουσιν, ἀλλὰ μόνον παραστῆσαι τὸ πρᾶγμα πειρῶνται δι'
35 οἰκείων τῷ πράγματι λέξεων. ἢ καὶ οὕτως· οἱ δὲ λόγοι τῶν γραφικῶν
ἤτοι πανηγυρικῶν ὅσον πρὸς τοὺς ἀγῶνας ἤτοι συμβουλευτικοὺς καὶ δικα-
νικοὺς στενοί εἰσιν, οἱ δὲ λόγοι τῶν ῥητόρων ἤτοι οἱ δὲ λόγοι οἱ ἀγω-

---

3 μὴ om. n 4 γὰρ post μὲν add. n 5 γραφικὴ μὲν ἡ Arist. 7 ἐστι n
8 ὑποκριτικωτάτη Arist. 9 φόβον n: φόνον V καὶ (post φόβον) om. n
11 ἐστι n 16 ὑποκρίνασθαι n 18. 19 δύο εἴδη Arist. 20 φορτικῶς n
23 ἀφίησιν n 24 αὐτοῦ ἐστι n 26. 27 καὶ μιμητικῶς om. n 28 ὥσπερ
λογογράφος Arist. (λογογράφοι Zb) 30 γραφικῶν Vn Arist. vulg.: γραφῶν Arist.
ATr. 32 λόγοι om. n

νιστικοὶ ἤτοι οἱ δικανικοὶ καὶ οἱ συμβουλευτικοὶ εὖ μὲν λεχθέντες ἤτοι f. 68ᵛ
μετὰ ὑποκρίσεως ἀναγνωσθέντες ἤτοι, εἰ ὁ ἀναγινώσκων αὐτοὺς ἀνα- [f. 69ᵛ]
γινώσκει μετὰ ὑποκρίσεως, φαίνονται καὶ ἐπαινετοὶ καὶ μεγάλοι, εἰ δέ τις ἐν 31
χερσὶν ἤτοι καθ' ἑαυτὸν ἀναγνώσει καὶ ἄνευ ὑποκρίσεως, καὶ ἰδιωτικοὶ καὶ
5 ἀφελεῖς φαίνονται καὶ μικροί. ὥστε τὸ στομφάζειν ἐν τῇ ἀναγνώσει καὶ
ὑποκρίνεσθαι μεγάλα συντείνει εἰς τὸ φανῆναι τὸν λόγον ἔνδοξον. βαστά-
ζονται καὶ ὑπομένονται ὑπὸ τῶν ἀκροατῶν ἐν τῇ ἀναγνώσει οἱ ἀγωνιστικοί· 35
οἱ γὰρ ἀκροαταὶ προσέχουσι τοῖς λόγοις τοῖς ἔχουσιν ὑποκρίσεις μέχρι
τέλους καὶ ὑπομένουσιν αὐτούς, τοὺς δὲ ἀναγνώστας τῶν λόγων τῶν μὴ
10 ἐχόντων ὑποκρίσεις οὐδαμῶς ἀποδέχονται. [b 16] αἴτιον δέ ἐστι τοῦ
φαίνεσθαι τὸν ἀγωνιστικὸν λόγον ἰδιωτικὸν καὶ στενὸν ἐκ τοῦ ἀναγινώ-
σκεσθαι ἄνευ ὑποκρίσεως, διότι ἐν τῷ ἀγῶνι ἤτοι ἐν τῷ ἀγωνιστικῷ λόγῳ
ἁρμόζει ἡ ὑπόκρισις ἤτοι τὸ μετὰ ὑποκρίσεως ἀναγινώσκειν· οὕτω γὰρ
δόξει μᾶλλον ἐπαινετὸς καὶ ἔνδοξος ὁ λόγος. [b 17] τὰ ὑποκριτικὰ οἷον 40
15 τὰ δράματα καὶ ἁπλῶς πᾶς λόγος ὑποκριτικὸς τοῦτο ἔχει ἀρετὴν τὸ ἀνα-
γινώσκεσθαι μετὰ ὑποκρίσεως καὶ μιμήσεως, εἰ δὲ ἀναγινώσκει τις αὐτὰ
ἄνευ ὑποκρίσεως, φαίνονται εὐήθη ἤτοι μωρὰ καὶ ἀνήδυντα, διότι οὐ
ποιοῦσι τὸ ἔργον αὐτῶν· ἔργον γὰρ αὐτῶν ἐστι τὸ παρεισάγεσθαι παρὰ
τῶν ὑποκρινομένων τὰ ὑποκρινόμενα πρόσωπά τε καὶ πράγματα, ὡς οἱ
20 θυμελικοὶ παρεισάγουσι | τὸν Ἀχιλλέα καὶ τὸν Πρίαμον. [b 19] ἐν μὲν f. 69ʳ
τῇ γραφικῇ ἤτοι ἱστορικῇ γραφῇ ἀποπέμπονται τὸ λέγειν ἀσυνδέτως καὶ [f. 70ʳ]
τὸ πολλάκις λέγειν τὸ αὐτό. εὗρον δὲ σχόλιον οὕτως· ἐν δὲ τῇ γρα-
φικῇ τῇ μὴ ἐχούσῃ ὑπόκρισιν, ἐν δὲ τῇ ἀποδεικτικῇ ἤτοι τῇ ἀγωνι-
στικῇ ἤτοι τῇ δικανικῇ γραφῇ καὶ συμβουλευτικῇ οὐκ ἀποπέμπεται τό τε
25 ἀσυνδέτως λέγειν καὶ τὸ πολλάκις λέγειν τὸ αὐτό· οἱ γὰρ ἀγωνιστικῶς καὶ 5
ἀποδεικτικῶς τι λέγοντες διὰ συντομίαν ἀσυνδέτως λέγειν εἰώθασιν· ἀλλὰ
καὶ πολλάκις λέγουσι τὸ αὐτό, ὡς ἂν ἔναυλα τὰ ἐπιχειρήματα ὦσι τοῖς
ἀκροαταῖς καὶ ὡς ἂν ἀκριβῶς παραστήσωσι τὸ πρᾶγμα καὶ δόξωσιν ἰσχυρὸν
εἶναι τὸ ἐπιχείρημα καὶ θαρρεῖν, ἐπὶ τούτῳ χρῶνται τῷ αὐτῷ πολλάκις,
30 ᾧτινι (τῷ πολλάκις λέγειν τὰ αὐτά) πάντες οἱ ῥήτορες κέχρηνται. [b 21]
ἔστι γὰρ ὑποκριτικὸν τὸ τὸ αὐτὸ πολλάκις λέγειν καὶ τὰ ἀσύνδετα· εἰ 10
δὲ πολλάκις δεῖ λέγειν τὸ αὐτό, ἀλλ' οὖν οὐ δεῖ αὐτὸ ἀπαραλλάκτως λέγειν,
ἀλλ' ἀνάγκη ἐστὶ μεταβάλλειν καὶ ἀλλοιοῦν, ὡς δοκεῖν τοῖς ἀκροαταῖς

---

1 εὖ μὲν λεχθέντες Vn: εὖ λεχθέντων Arist. DQYᵇZᵇ: ἢ τῶν λεχθέντων Arist. A 3. 4 ἐν ταῖς χερσίν Arist. 4 ἀναγινώσκει n 13 ἁρμόττει Arist. 15 καὶ — μετὰ (16) om. n 17 ἀνήδοντα n 18 ποιοῦσιν n γὰρ V: δὲ n 21 ἀποπέμπεται n ἀσυνδέτως om. n 22 exspectes οὕτως ⟨λέγον⟩ vel τοιοῦτον 23 τῇ ἀποδεικτικῇ Vn Arist. C: ἀποδεικτικῇ Arist. BQ: ἀγωνιστικῇ Arist. A: ἀποδεικτικῷ Arist. DEYᵇZᵇ 23. 24 ἀγωνιστικῇ ἤτοι τῇ om. n 24 οὐκ Vn: οὗ Arist. A: om. Arist. cet. 25 τὸ (post καὶ) om. n 26 διὰ τὴν συντομίαν n ἀλλὰ om. n 27 λέγουσιν n 28 παραστήσωσιν n δείξωσιν n 30 τῷ om. n τὰ αὐτὰ V: ταῦτα n ὑποκριτικὸν Vn Arist. CZᵇ: ὑποκριτικὰ Arist. A: ὑποκριτικὴ Arist. cet. 31 τὸ τὸ V: τὸ n λέγειν om. n 32 οὖν om. n λέγειν om. n

ἄλλο καὶ ἄλλο· ὅπερ τοῦτο τὸ πολλάκις τὸ αὐτὸ † πλὴν ἐν τῷ μετα- f. 69r
βάλλειν καὶ ἀλλοιοῦν ὁδοποιεῖ καὶ συντείνει τῷ ὑποκρίνεσθαι ἤτοι τῇ [f. 70r]
ὑποκρίσει τοῖς ῥήτορσιν. [b 23] 'οὗτός ἐστιν ὁ κλέψας ὑμῶν, οὗτός
ἐστιν ὁ ἐξαπατήσας, οὗτος ὁ τὸ ἔσχατον προδοῦναι ἐπιχειρήσας.' 15
5 ἰδοὺ μετέβαλε· πῇ μὲν γὰρ κλέψας εἰπών, πῇ δὲ ἐξαπατήσας. ἀλλὰ καὶ
ἀσύνδετόν ἐστι. [b 26] κωμικὸν δρᾶμά ἐστιν ἡ Γεροντομανία. ὅτε λέγει
ὁ Ῥαδάμανθυς. πολλάκις λέγεται τὸ Ῥαδάμανθυς καὶ τὸ Παλα-
μήδης. καὶ τὸ ἐγώ πολλάκις λέγει ἐν τῷ προλόγῳ τῶν Εὐσεβῶν·
τοῦ αὐτοῦ Ἀναξανδρίδου πάλιν ἕτερον δρᾶμα λεγόμενον τῶν Εὐσεβῶν.
10 [b 27] ἐὰν γάρ τις τὰ τοιαῦτα ὑποκρίνηται ἤτοι τὸ ἀσυνδέτως
λέγειν, γίνεται ὁ τὴν δοκὸν φέρων ἤτοι φορτικός. ὁμοίως καὶ εἰ 20
πολλάκις τὸ αὐτὸ λέγειν ὑποκρίνεται, γίνεται φορτικός. ἢ καὶ οὕτως· εἴ
τις λέγει μετὰ συνδέσμου, οἷον 'οὗτός ἐστιν ὁ κλέψας καὶ ἐξαπατήσας καὶ
συλήσας καὶ προδούς', καὶ ἁπλῶς πολλὰ συμπλέξει τῷ συνδέσμῳ, ὡς
15 δοκεῖν ἕνα εἶναι τὸν λόγον διὰ τοῦ συνδέσμου, ἔοικεν ἀνθρώπῳ φέροντι
δοκὸν καὶ διὰ τοῦτο δυσχεραίνοντι· ῥᾴδιον δέ ἐστι κατακόψαι τὴν δοκόν·
οὕτω γὰρ ῥᾳδίως βαστάσει αὐτὴν εἰς μικρὰ κατακερματίσας· καὶ τὸν ῥήτορα 25
δεῖ κατακερματίζειν τὸν λόγον ἐν τῷ ἀσυνδέτως λέγειν καὶ μὴ συνδέειν
τοῖς συνδέσμοις τὸν λόγον καὶ ἐπιμήκη ποιεῖν. [b 29] ὑποκριτικόν ἐστι
20 καὶ τὸ ἀσύνδετα λέγειν, οἷον 'ἦλθον, ἀπήντησα, ἐδεόμην'. καὶ εἰ
τὸ αὐτὸ λέγεις, ἀλλ' οὖν σε δεῖ ὑποκρίνεσθαι, ὡς δοκεῖν λέγειν πολλὰ
καὶ μὴ τῷ αὐτῷ τόνῳ καὶ ἤθει τῆς φωνῆς πάντα λέγειν, ἀλλὰ τὰ
μὲν λέγειν μεγάλῃ τῇ φωνῇ, τὰ δὲ μικρᾷ, καὶ τὰ μὲν μετὰ ἤθους τοιοῦδε
λέγειν ἤτοι ὀργίλως, τὰ δὲ μετὰ ἤθους ταπεινοῦ καὶ πράου· οὕτω γὰρ
25 δόξεις μὴ ἓν λέγειν ἀλλ' ἄλλα καὶ ἄλλα, εἴ γε μὴ τῇ αὐτῇ φωνῇ καὶ μιᾷ 30
πάντα λέγεις καὶ μὴ τῷ αὐτῷ ἤθει καὶ μὴ ἐν ἴσῳ τόνῳ καὶ διαστήματι
τῆς ψυχῆς. [b 31] τὰ ἀσύνδετα ἔχουσι τὸ ἴδιον, τὸ δοκεῖν λέγειν ἐν
ἴσῳ χρόνῳ ἤτοι ἐν τῷ αὐτῷ χρόνῳ καὶ ἐν τῷ αὐτῷ διαστήματι τοῦ
χρόνου δόξαι πολλὰ εἰπεῖν· τὰ γὰρ πολλὰ συνδεόμενα τῷ καί συνδέσμῳ
30 δοκοῦσιν ἓν εἶναι διὰ τὸν σύνδεσμον, οἷον 'Σωκράτης φιλοσοφεῖ καὶ Πλάτων
διαλέγεται καὶ Ἀριστοτέλης περιπατεῖ'· κἂν γὰρ πολλά εἰσιν, ἀλλ' οὖν 35
δοκεῖ ῥηθῆναι ἓν διὰ τὸν καί σύνδεσμον· [b 33] ὥστε ἐὰν ἐξαιρεθῇ
ὁ καί, πάλιν τὸ δοκοῦν ἓν πολλὰ τῇ ἀληθείᾳ γίνεται, οἷον 'Σωκράτης

---

1 πλὴν Vn: exspectes λέγειν 2 ὥσπερ ante ὁδοποιεῖ add. Arist. ATr.: om. Arist. cet. τῷ ex τὸ corr. V: τῷ Arist. ATr.: om. Arist. C: τὸ n Arist. cet. 3 ἐστιν Vn Arist. AC: δὲ Arist. cet. ὑμῶν V Arist.: ἡμῶν n (Arist. Tr.) 5 μετέβαλλεν n exspectes εἶπε 6 Γεροντομανία] Anaxandr. C. A. F. II 138 K. 7 ὁ om. n τὸ (post λέγεται) V: ὁ n 8 λέγει Vn: exspectes λέγεται 9 Ἀναξανδρίδου scripsi ex Aristotele (C. A. F. II 140 K.): ἀλεξανδρίδου V: ἀλεξάνδρου n 10 μὴ ὑποκρίνηται Arist. 12 οὕτως V: αὐτὸς n 13 ἐστι n 14 συλήσας V: συλλήψας n 17 μικρὰ V (ut videtur): μικρὸν n 18 ἐν—λόγον (19) om. n 22 ἤθει καὶ τόνῳ Arist. ἀλλὰ—λέγειν (24) om. n 24 τὰ μὲν post ἤτοι add. n 27 τὸ ἴδιον Vn: ἰδιόν τι Arist. 32 δοκεῖ V: δεῖ n

φιλοσοφεῖ, Πλάτων διαλέγεται'. ἔχει γοῦν ὁ λόγος αὔξησιν καὶ μηκύ- f. 69r
νεται ἐπὶ πολύ, εἰ ἀσυνδέτως ἐκφέρεται, οἷον 'ἦλθον, ἱκέτευσα [f. 70r]
πολλά· δοκεῖ ὑπεριδεῖν, ὅσα εἶπον'. [1404 a 2] τοῦτο τὸ ἀσύνδετον
βούλεται ποιεῖν καὶ ὁ Ὅμηρος ἐν τῷ καταλόγῳ τῆς Βοιωτίας, οἷον 40

"Νιρεὺς Αἰσύμηθεν αὖ τρεῖς νῆας ἔισας,
Νιρεύς, Ἀγλαΐης υἱὸς Χαρόποιό τ' ἄνακτος,
Νιρεύς, ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθεν"·

ἅμα δὲ καὶ πολλάκις λέγει τὸ αὐτό, πλὴν ἄλλως καὶ ἄλλως· ὅλα γὰρ τὸν
Νιρέα δηλοῦσι· [a 3] τὸ γὰρ πρᾶγμα, περὶ οὗ πολλὰ εἴρηται, ἀνάγκη
καὶ πολλάκις ῥηθῆναι· εἰ δὲ πολλάκις εἴρηται, καὶ πολλὰ πράγματα
δοκοῦσιν | εἶναι· ὥστε ἅπαξ μνησθεὶς τοῦ Νιρέως καὶ εἰπὼν "Νιρεὺς f. 69v
Αἰσύμηθεν" ηὔξησε τὸν λόγον ἤτοι πολλάκις εἶπε τὸ Νιρεύς διὰ τὸν [f. 70v]
παραλογισμὸν ἤτοι διὰ τὸ ἀπατῆσαι τοὺς ἀκροατὰς καὶ δόξαι πολλὰ
πράγματα εἰπεῖν ἀπὸ τοῦ πολλάκις εἰπεῖν τὸ Νιρεύς· καὶ μνήμην πε-
ποίηκε τοῖς ἀκροαταῖς ἐκ τοῦ πολλάκις εἰπεῖν τὸ Νιρεύς, οὐδαμῶς
ποιησάμενος λόγον ὕστερον αὐτοῦ ἤτοι οὐδαμοῦ ἄλλον λόγον ποιήσας
παρὰ τὸν λεγόμενον περὶ τοῦ Νιρέως οὐδὲ ἄλλο τι πρᾶγμα παρεμφαίνων 5
ἢ αὐτὸν τὸν Νιρέα, κἂν δοκῇ ἄλλα καὶ ἄλλα λέγειν ἐκ τοῦ πολλάκις λέγειν
τὸ αὐτὸ δι' ἄλλων καὶ ἄλλων λέξεων. [a 7] ἡ μὲν οὖν δημηγορικὴ
λέξις, τουτέστιν ἡ συμβουλευτική, ἔοικε τῇ σκιαγραφίᾳ, τουτέστι τῇ
ζωγραφίᾳ. καὶ ὁ μὲν ἅγιος Βασίλειος λέγει μὴ εἶναι δυνατὸν ἄλλως τινὰ
διαγνῶναι, εἰ πρὸς τὸ πρωτότυπον ἄκρως ἐξεικονίσθησαν τὰ ἐζωγραφη-
μένα, εἰ μὴ τῆς ζωγραφίας ὁ θεατὴς ἀποστῇ, καὶ ὁ Εὐριπίδης· πορρω- 10
τέρω γὰρ εἰ σταίη, μᾶλλον διαγνοίη, κατὰ τί ἔσφαλται ὁ ζωγράφος· ὁ δὲ
Ἀριστοτέλης λέγει τὸν πόρρω ἱστάμενον τῆς ζωγραφίας πλανᾶσθαι μᾶλλον
καὶ μὴ δύνασθαι διακρίνειν διὰ τὴν ἀπόστασιν τὴν τοῦ ζωγράφου κακοτε-
χνίαν· ὡς γοῦν ὁ πόρρω τῆς ζωγραφίας ἱστάμενος πλανᾶται καὶ οὐ δύναται
διακρῖναι τὰ τοῦ ζωγράφου σφάλματα, οὕτω καὶ ἐπὶ τοῦ συμβουλευτικοῦ
λόγου, ὅσῳ πλείων ἐστὶν ὁ ὄχλος ὁ ἀκροώμενος, τοσούτῳ πόρρω τοῦ 15
λόγου ἵστανται καὶ οὐ δύνανται διακρῖναι, κατὰ τί ἐσφάλη ὁ δημηγορῶν·

---

1 ἀριστοτέλης περιπατεῖ post διαλέγεται add. n (cf. p. 222,31) 2 διαλέχθην post ἦλθον add. n, cf. Arist. 3 δοκεῖ V Arist. ABC: δοκεῖ δὲ n Arist. cet. εἶπον Vn Arist. vulg.: εἶπεν Arist. A ὅσα φημί post εἶπον add. Arist. vulg. τοῦτο δὲ Arist. 4 ὁ om. Arist. Ὅμηρος] B 671 5 νηρεὺς n αἰσύμηθεν V: αὖ σύμηθεν n Arist. αὖ V: ἄγε n (cf. Hom.) νῆας n: γενεὰς V (fort. pro ἄγε νῆας) 6 νηρεὺς n χαρόποιο n Hom.: χαροποιοῦ V τ' V Hom.: om. n 7 νηρεύς n 8 τὸ om. n 9 νηρέα n πολλὰ scripsi ex Aristotele: πολλάκις Vn εἴρηται Vn Arist. vulg.: λέγεται Arist. A 10 καὶ (post ἀνάγκη) om. n 11 νηρέως n 11. 12 νηρεὺς αὖ σύμηθεν n 12 ηὔξησεν n εἶπεν τὸν νηρεὺς n 14 νηρεύς n καὶ μνήμην—Νιρεύς (15) om. n 15 οὐδαμοῦ Arist. 16 ἄλλου λόγου n 17 νηρέως n 18 νηρέα n 19 λέξεων V: λέγων n 20 τουτέστι (ante ἡ) n 23 Εὐριπίδης] Hec. 807 ὡς γραφεύς τ' ἀποσταθεὶς ἰδοῦ με 27 ὁ om. n 29 ἐστὶ n fort. τοσούτῳ πορρωτέρω

χυδαῖος γὰρ ὁ ὄχλος καὶ ἡ ἀγροικία πολλή· καὶ ἐπειδὴ ὁ δημηγορῶν f. 69ᵛ
ἤτοι ὁ συμβουλεύων χυδαῖον ὄχλον ἔχει ἀκροατάς, περίεργόν ἐστι τὸ [f. 70ᵛ]
χρῆσθαι λέξεσιν ἀκριβέσι· [a 9] τὰ γὰρ ἀκριβῆ φαίνονται χείρω ἐν
ἀμφοτέροις ἤγουν καὶ τῷ ὄχλῳ καὶ τῷ ἀκροατῇ τοῦ δημηγορικοῦ λόγου
5 καὶ τῷ ἱσταμένῳ πόρρω καὶ βλέποντι ἱστορίαν τινά· ὡς γὰρ ὁ πόρρω 20
ἱστάμενος οὐ δύναται κρῖναι, εἰ καλῶς ὁ ζωγράφος τὸ ἀρχέτυπον ἐμιμή-
σατο καὶ πρὸς ἀκρίβειαν, οὕτως οὐδὲ ὁ ὄχλος δύναται κρῖναι, εἰ ἀκριβέσι
λέξεσι καὶ τεχνικαῖς καὶ παραστατικαῖς τοῦ πράγματος ἐχρήσατο ὁ δημη-
γορῶν, ἅτε πόρρω τῆς τέχνης ἱστάμενος. ἡ δὲ δίκη ἤγουν ἐν τῷ δικα-
10 νικῷ λόγῳ ἀκριβεστέραις δεῖ χρᾶσθαι ταῖς λέξεσιν, διότι σοφοὺς ἔχομεν
τοὺς δικαστὰς καὶ τοὺς ἀκροατάς, οἱ δὲ σοφοὶ ἐγγὺς τῆς τέχνης εἰσὶ καὶ 25
οὐ πόρρω ἱστάμενοι. [a 11] ἔτι δὲ δεῖ μᾶλλον ἀκριβεστέραις χρᾶσθαι
ταῖς λέξεσι καὶ τεχνικαῖς, εἰ πρὸς ἕνα κριτὴν ἀφορῶμεν καὶ δικαζόμεθα
παρ' αὐτοῦ· σπάνια γὰρ τὰ καλά, καὶ σοφὸν ἕνα εὑρεῖν οὐ ῥᾴδιον· καὶ
15 γὰρ τὸ ἓν ἐλάχιστόν ἐστιν ἐν ῥητορικοῖς. εἰ γοῦν ὀλίγοι εἰσὶν οἱ
ἀκροαταί, εἴτε καὶ εἷς, ὡς ἐπὶ τοῦ δικανικοῦ λόγου, εὐσύνοπτον καὶ
εὐδιάκριτον γίνεται ἤτοι μᾶλλον δύναται ὁ εἷς κριτὴς εἴτε καὶ οἱ ὀλίγοι 30
κρῖναι, ὅτι ἥδε μὲν ἡ λέξις οἰκεία τοῦ πράγματος, ἥδε δὲ ἀλλοτρία· καὶ
διὰ τοῦτο ἐν τοῖς δικανικοῖς λόγοις τεχνικαῖς καὶ ἀκριβέσι χρηστέον ταῖς
20 λέξεσιν. [a 13] ἔνθα δὲ καὶ εἷς ἐστιν ὁ κρίνων, ὁ ἀγὼν καὶ ἡ ἔρις
ἄπεστι καὶ ἡ κρίσις καθαρὰ γίνεται· εἰ γὰρ πολλοί εἰσιν οἱ κριταί,
συμβαίνει πολλάκις αὐτοὺς διχογνωμεῖν καὶ ἀντιπίπτειν ἀλλήλοις διὰ τὸ
τοὺς μὲν τῷδε μέρει προσκεῖσθαι τοὺς δὲ τῷδε κἀντεῦθεν οὐ καθαρὰ ἡ 35
κρίσις γίνεται. [a 15] ἔνθα δὲ δεῖ ὑποκρίσεως, ἐκεῖ ἡ ἀκρίβεια ἄπεστι
25 καὶ ἡ τέχνη, χρεία δὲ μᾶλλον φωνῆς μεγάλης καὶ ποικίλης, ἵνα πῇ μὲν
ὑποκρίνηται τὰς τυραννικὰς φωνάς, πῇ δὲ τὰς γυναικείας, πῇ δὲ τὰς ἀνει-
μένας, ὡς ἔστιν ἰδεῖν ὑποκρινομένους τοὺς ἐν τῇ ἁγίᾳ σορῷ ἀναγινώ-
σκοντας. [a 16] τοῦτο δὲ τὸ ὑποκρίνεσθαι θεωρεῖται ἐν τοῖς ἔχουσι
φωνὴν μεγάλην καὶ ποικίλην. ἢ οἱ ἐπιδεικτικοὶ οὐ φροντίζουσι τοῦ ἀσύν- 40
30 δετα λέγειν ἢ τοῦ πολλάκις λέγειν τὸ αὐτό, ἀλλὰ κάλλους. ἡ μὲν ἐπι-
δεικτικὴ λέξις ἐστὶ γραφικωτάτη ἤτοι ἁπλῆ καὶ μὴ ἔχουσα τὸ
ἀκριβές. τὸ γὰρ ἔργον αὐτῆς ἐστιν ἀνάγνωσις ἤτοι τὸ στομφαστικῶς

---

1 χυδαῖος—δημηγορῶν om. n ὄχλον V 2 διὸ τὰ ἀκριβῆ περίεργα καὶ χείρω ἤτοι ante περίεργόν add. n, cf. Arist. τὸ om. n 3 ἀκριβέσιν n χείρω φαίνεται ἐν Arist. 8 παραστικαῖς n 9 ἡ δίκη Arist. (δικανική C) ἀκριβέστερον post δίκη add. n ex Aristotele 10 ἀκριβεστέραις n (cf. v. 7 et 12): per comp. V: ἀκριβέστερον Arist. χρῆσθαι n 11 καὶ τοὺς ἀκροατάς om. n εἰσὶν n 12 χρῆσθαι n 13 λέξεσιν n δικαζώμεθα n 15 ῥητορικοῖς Vn Arist. vulg.: τοῖς ῥητορικοῖς Arist. C: ῥητορικῆς Arist. A εἰ γοῦν V: ἤγουν n 20 δὲ om. n ἐστι n 21 ἄπαιστι V ὥστε καθαρὰ ἡ κρίσις Arist. γίνεται V: κρίνεται n 24 γίνηται n 25 τοῦτο δέ, ὅπου φωνῆς, καὶ μάλιστα, ὅπου μεγάλης Arist. καὶ ποικίλης om. n 27 τοὺς om. n 28 ἔχουσιν n 29 φροντίζουσιν n 30 μὲν οὖν Arist. 31 γραφικώτατον Arist. DEYᵇZᵇ 32 ἔργον om. n αὐτῆς Vn Arist. AC: αὐτοῦ Arist. cet. ἐστὶ n

ἀναγινώσκεσθαι. [a 18] δευτέρα δὲ ἡ δικανικὴ ἤτοι ἡ κατὰ ἀκρίβειαν f. 69v
δεύτερα μέτρα ἔχουσα, ἡ ὀγκηρά. περίεργον δέ ἐστι τὸ προσδιαι- [f. 70v]
ρεῖσθαι καὶ προσδιο|ρίζεσθαι, ὅτι δεῖ εἶναι τὴν λέξιν ἡδεῖαν καὶ f. 70r
μεγαλοπρεπῆ, ὡς τινὲς ἔλεγον, ἢ τὸ λέγειν 'δεῖ εἶναι τὴν λέξιν [f. 71r]
5 σώφρονα καὶ ἐλευθέριον καὶ πᾶσαν ἠθικὴν ἀρετὴν προσαρμόσαι τῇ
δικανικῇ λέξει ὡς λέγειν εἶναι λέξιν καὶ δικαιοσύνην καὶ φρόνησιν'· ταῦτα
λέγει ἐπεγγελῶν τοῖς λέγουσι λέξιν εἶναι σώφρονα καὶ ἐλευθέριον καὶ μεγα-
λοπρεπῆ. [a 21] ποιήσει δὲ μᾶλλον τὴν λέξιν ἡδεῖαν τὰ εἰρημένα 5
ἤτοι τὸ χρῆσθαι μεταφοραῖς οἰκείαις καὶ εἰκόσιν ἀστείαις καὶ ποιεῖν τὴν
10 λέξιν εὐμάθειαν καὶ γνῶσιν τοῖς ἀκροαταῖς· οὐ γὰρ δεῖ μόνον εἶναι τὴν
λέξιν σαφῆ ἀλλὰ καὶ πρέπουσαν ἤτοι ἀπόκροτον καὶ ἐξαίρουσαν τὸ
ταπεινὸν τοῦ λόγου. [a 24] ἄν τε γάρ τις ἀδολεσχῇ ἤτοι πολυλογῇ,
ἀσάφειαν ἐκ τῆς πολυλογίας ποιεῖ. ἀλλὰ καὶ εἰ σύντομος ὁ λόγος ἐστί,
καὶ οὕτως ἀσάφεια γίνεται· ἴσως γὰρ τὸ νόημα δεῖται πλατυσμοῦ πρὸς τὸ 10
15 σαφηνισθῆναι, εἰ δέ τις στενῶς ἀπαγγείλῃ αὐτό, ἀσαφὲς ἔτι μένει τὸ
νόημα. [a 25] ἀλλὰ τὸ μέσον ἁρμόττει ἤτοι τὸ μήτε πολυλογεῖν μήτε
βραχυλογεῖν. καὶ τὰ εἰρημένα ἤτοι αἱ μεταφοραὶ καὶ αἱ εἰκόνες ποιοῦσι
τὴν λέξιν ἡδεῖαν, εἴ γέ τις εὖ ἀναμίξει καὶ ἀνακεράσει τὸ εἰωθὸς ἤτοι
τὴν κοινὴν λέξιν καὶ τὴν ξενικὴν ἤτοι τὴν ποιητικὴν [τὴν] διάλεκτον.
20 [a 27] ῥυθμός ἐστι τὸ ἐκ τούτων ἀποτελούμενον. καὶ τὸ πιθανὸν 15
ἀναφέρεται ἐκ τοῦ πρέποντος· πρέπον δέ ἐστι τὸ λέγειν λέξεις καταλ-
λήλας τοῖς ὑποκειμένοις προσώποις· ἄλλαι γὰρ λέξεις εἰσὶ πρέπουσαι καὶ
ἁρμόττουσαι τῷ στρατιώτῃ καὶ ἄλλαι τῷ σοφῷ καὶ ἄλλαι ταῖς γυναιξί·
καὶ οὕτω δόξεις πιθανὸς καὶ ἀληθινὸς ἐκ τοῦ λέγειν λέξεις πρεπούσας καὶ
25 καταλλήλας τοῖς ὑποκειμένοις προσώποις. [a 28] καὶ κοινῇ περὶ πάν-
των, ἤτοι ποῖαι λέξεις εἰσὶ κοινῶς ἁρμόττουσαι καὶ τῷ δικανικῷ καὶ τῷ
πανηγυρικῷ καὶ τῷ συμβουλευτικῷ, καὶ εἴπομεν, τίνες λέξεις ἰδίως ἁρμότ- 20
τουσαι ἑκάστῳ γένει ἤτοι εἴδει ἤτοι τίνες εἰσὶν ἁρμόττουσαι τῷ δικανικῷ
καὶ τίνες τῷ συμβουλευτικῷ καὶ τίνες τῷ πανηγυρικῷ ἁρμόττουσι. [a 29]
30 λοιπὸν δεῖ εἰπεῖν περὶ τῆς τάξεως τῶν ἐπιχειρημάτων, ποῖα δεῖ πρῶτον
τάττεσθαι, καὶ περὶ τῆς τάξεως τῶν μερῶν τοῦ λόγου ἤτοι προοιμίου, διη-
γήσεως, ἀγῶνος.

13. Τὸ πρᾶγμα, ὃ αἱ ἀποδείξεις ἀποδεικνύουσι καὶ οὗ χάριν τὰς
ἀποδείξεις κομίζομεν (πρὸς γὰρ ἀπόδειξιν τοῦ πράγματος, οἷον ὅτι ὁ δεῖνα 25

---

1 κατ' n 2 τὸ δὲ προσδιορίζεσθαι ante περίεργον add. n, cf. Arist. 2. 3 προσδιαιρεῖσθαι scripsi ex Aristotele: προσδι*ρεῖσθαι, inter ι et ρ II litterae deletae sunt, V: προσδιορεῖσθαι n 4 ἢ τὸ V: ἤτοι n 6 ὡς V: καὶ n 7 λέγουσιν n 9 οἰκείαις om. n ποιεῖ n 13 σύντομος Vn Arist. AC: σύντομον Arist. cet. 14 πλατισμοῦ n 15 ἀπαγγέλλῃ n 19 τὴν διάλεκτον V: τὴν om. n 21. 22 καταλλήλους n 23 γυναιξίν n 24 καὶ ἀληθινὸς om. n 25 καταλλήλους n 25. 26 ἁπάντων Arist. 26 ποῖαι V: πᾶσαι n εἰσὶν n 27 καὶ περὶ μὲν οὖν τῆς λέξεως ἤγουν ante καὶ εἴπομεν add. n, cf. Arist. 27. 28 ἁρμόττουσι n 28 εἴδει ἤτοι om. n 30 δὲ ante δεῖ add. n ἐπιχειρημάτων—τῶν (31) om. n 33 ἀποδεικνύσιν n

ἱερόσυλος ἢ κλέπτης, τὰς ἀποδείξεις φέρομεν), καὶ τὸ ἀποδεῖξαι ἤτοι f. 70r
αἱ ἀποδείξεις. διό, εἰ εἴπωμεν τὸ πρᾶγμα, ὅτι ὁ δεῖνα κλέπτης, οὐκ ἀπο- [f. 71r]
δείξομεν δέ, ἢ εἰ ἀποδείξομεν καὶ φέρομεν ἀποδείξεις μὴ προειπόντες τὸ
πρᾶγμα, οὗ χάριν καὶ τὰς ἀποδείξεις ἐλάβομεν, ἀδύνατόν ἐστιν· ὥστε δεῖ
5 πρῶτον τὸ πρᾶγμα εἰπεῖν, εἶτα καὶ τὰς ἀποδείξεις κομίσαι. [a 33] καὶ ὁ
προλέγων τὸ πρᾶγμα ἕνεκα τοῦ ἀποδεῖξαι τὸ πρᾶγμα προλέγει. τού- 30
των δὲ τὸ μέν ἐστι πρόθεσις ἤτοι πρόβλημα, περὶ οὗ αἱ ἀποδείξεις, τὸ
δὲ πίστις ἤτοι ἀπόδειξις. οὕτω μὲν δεῖ διαιρεῖν τὸν λόγον εἴς τε τὸ πρό-
βλημα καὶ εἰς τὰς ἀποδείξεις· [a 36] νῦν δὲ γελοίως διαιροῦσιν οἱ
10 διαιροῦντες τὸν λόγον εἰς προοίμια, διηγήσεις, ἀγῶνας καὶ ἐπιλόγους, καὶ
τὰς διηγήσεις εἰς προδιηγήσεις καὶ ἐπιδιηγήσεις. κακίζει γοῦν τοὺς οὕτω
διαιροῦντας τὸν λόγον εἰς προοίμια, διηγήσεις καὶ ἀγῶνας· ἡ γὰρ διήγη-
σις μόνῳ ἁρμόζει τῷ δικανικῷ· ὁ γὰρ δικανίζων καὶ δικαζόμενος ἀνάγ-
κην ἔχει διηγήσασθαι τὸ πρᾶγμα, οὗ χάριν καὶ τὰς ἀποδείξεις λαμβάνει, 35
15 ὁ δὲ πανηγυρίζων καὶ ὁ δημηγορῶν ἤτοι ὁ συμβουλευόμενος οὐκ ἔχει
ἀνάγκην χρήσασθαι τῇ διηγήσει. [a 38] ἢ πῶς ἐνδέχεται εἶναι τὰ
πρὸς ἀντίδικον ἤτοι ἀγῶνας· τὰ γὰρ λεγόμενα πρὸς τὸν ἀντίδικον ἀγῶ-
νές εἰσιν. οὔτε γοῦν δεῖ χρᾶσθαι τὸν πανηγυρικὸν τοῖς ἀγῶσιν ἢ τὸν
συμβουλευτικόν, ἀλλ' οὐδὲ ἐπιλόγῳ χρᾶσθαι δεῖ αὐτούς· ἅτινα ἤγουν ἡ
20 διήγησις καὶ οἱ ἀγῶνες τῶν ἀποδεικτικῶν ἤτοι τῶν δικανικῶν εἰσιν. 40
[b 2] ἀντιπαραβολὴ ἤτοι σύγκρισις. τινὲς δὲ λέγουσιν· οἱ ἀγῶνες, ἃ
ἀπόδειξις, ἐπάνοδος ἤτοι ἐπανάληψις, ἐπαναφορά, ἐπανακεφαλαίωσις
ἤγουν ὁ ἐπίλογος, ἐν ταῖς δημηγορίαις τότε γίνονται, ὅταν ἀντι-
λογία ἢ ἤτοι ἀμφιβολία καὶ ἔχωμεν τοὺς ἀντιλέγοντας ἡμῖν· ὅταν δὲ
25 οὐδεμία ἀντιλογία ἢ καὶ ἀμφιβολία, οἷς ὁ δημηγορῶν λέγει, ποίαν f. 70v
χρείαν ἔχομεν τῶν ἀγώνων καὶ τῶν προοιμίων καὶ τῶν ἀντιπαραβολῶν [f. 71v]
καὶ ἐπανόδων; περὶ γὰρ ὁμολογουμένων πραγμάτων λέγει ὁ δημηγορῶν·
ὁμοίως δὲ καὶ ὁ πανηγυρίζων, καὶ διὰ τοῦτο οὐδὲ ὁ πανηγυρίζων ἔχει
χρείαν διηγήσασθαι καὶ ἀγῶνας ποιῆσαι καὶ ἀντιπαραβολὰς καὶ ἐπανόδους.
30 ἐπεὶ δὲ ἐπὶ τῶν δικανικῶν ἀγνοοῦνται τὰ πράγματα, περὶ ὧν ὁ λόγος, 5
καὶ ἀμφιβάλλονται, ἔχομεν διὰ τοῦτο χρείαν τῆς διηγήσεως, ἵνα παραστή-
σωμεν ταῦτα τοῖς ἀκροαταῖς· καὶ ἔχομεν χρείαν καὶ τῶν ἀγώνων, ἵνα
ἀποδείξωμεν τὰ ἀμφιβαλλόμενα. [b 3] καὶ γὰρ ἡ κατηγορία καὶ ἡ
ἀπολογία ἤτοι ὁ δικανικὸς πολλάκις ἤτοι ἀεὶ χρᾶται ἀντιπαραβολῇ,
35 διότι περὶ ἀνομολογουμένων λέγει. ἀλλ' ὁ ἐπίλογος ἤτοι ἀλλὰ ἡ συμ-
βουλὴ ἐν τόπῳ τοῦ ἐπιλόγου τίθεται· ὡς γὰρ ἐν τῷ ἐπιλόγῳ οὔτε διηγούμεθα

---

1 τὸ Vn: τότ' Arist. vulg.: τοῦτ' Arist. A 2 εἴπομεν n 3 καὶ ante μὴ add. n 4 ἐστι n 7 πρόθεσίς ἐστι Arist. 9 διαιροῦσι γελοίως Arist. 10 ἀγῶνας—διηγήσεις (12) om. n 15 καὶ ὁ δημηγορῶν om. n 17 πρὸς τὸν ἀντίδικον Arist. 18 et 19 χρῆσθαι n 21. 22 ἃ ἀπόδειξις V: αἱ ἀποδείξεις n 23 γίνονται V: γίνεται n Arist. 24 ἔχομεν n 28 καὶ διὰ—πανηγυρίζων om. n 33. 34 καὶ ἡ ἀπολογία om. n 34 χρῆται n 35 ἀνομολογουμένων scripsi: ὁμολογουμένων Vn

οὔτε ἀγωνιζόμεθα οὔτε ἀντιπαραβάλλομεν (ἔστι γὰρ ἡ συμβουλὴ οἷον f. 70ᵛ
ἐπίλογος), ἔτι οὐδὲ παντὸς δικανικοῦ λόγου ἐστὶν ἐπίλογος· [b 5] [f. 71ᵛ]
ἐὰν γὰρ μικρὸς ὁ λόγος ἢ ὁ δικανικός, οὐ δεόμεθα τῆς ἐπανόδου ἤτοι 12
τοῦ ἐπιλόγου καὶ τῆς ἐπανακεφαλαιώσεως διὰ τὸ εὐμνημόνευτον εἶναι· ἢ
5 ἐάν ἐστι τὸ πρᾶγμα εὐμνημόνευτον, οὐ δεόμεθα τοῦ ἐπιλόγου· εἰ
γὰρ εὐμνημόνευτος ὁ λόγος ἐστί, συμβαίνει ἀφαιρεῖσθαι καὶ ἀπὸ τοῦ μή-
κους καὶ σμικρύνειν τὸν λόγον. [b 2] ἐπάνοδός ἐστιν ὁ ἐπίλογος. [b 7] 15
ἀναγκαῖα ἄρα μόρια τοῦ λόγου πρόθεσις ἤτοι πρόβλημα καὶ πίστις
ἤτοι ἀπόδειξις. κυρίως μὲν ἴδια τοῦ λόγου τὸ πρόβλημα καὶ ἡ ἀπόδειξις,
10 τὰ δὲ πλεῖστα ἤτοι πολλάκις δὲ χρώμεθα ἐπὶ τοῦ λόγου καὶ προοιμίῳ καὶ
προθέσει καὶ πίστει καὶ ἐπιλόγῳ. ὥστε τὰ προοίμια καὶ οἱ ἐπίλογοι οὐκ
εἰσι κυρίως μόρια τοῦ λόγου· τὰ γὰρ λεγόμενα πρὸς τὸν ἀντίδικόν
εἰσι τῶν πίστεων ἤτοι πίστεις καὶ ἀποδείξεις. [b 9] καὶ ἡ ἀντιπαρα-
βολὴ αὔξησίς ἐστι τῶν λόγων αὐτοῦ ἤτοι τοῦ λέγοντος· εἰ γὰρ ἐπαινεῖ 20
15 τινα, αὐξάνει καὶ μεγεθύνει τὸν ἐπαινούμενον ἐν τῇ ἀντιπαραβολῇ. ἢ
τῶν αὐτοῦ ἤτοι τοῦ ἀντιδίκου· δείκνυσι γάρ, ὅτι τὰ πράγματα τῷ ἀντι-
δίκῳ ἢ λεγόμενά εἰσι μεγάλα κακά· ὥστε ἐπεὶ καὶ ἡ ἀντιπαραβολὴ μέγα
δείκνυσι τὸ λεγόμενον, εἴτε ἀγαθόν ἐστιν εἴτε κακόν, λοιπὸν μέρος τῶν
πίστεων καὶ ἀποδείξεών ἐστι· [b 11] καὶ γὰρ ὁ ποιῶν τοῦτο ἤτοι
20 τὸ ἀντιπαραβάλλειν δείκνυσί τι, ἤτοι ὅτι μεῖζόν ἐστι τὸ κακὸν ἢ τὸ ἀγα-
θόν. ἀλλ' οὐδὲ τὸ προοίμιον καὶ ὁ ἐπίλογος μέρος ἐστὶ τῶν ἀπο- 25
δείξεων, ἀλλ' ὁ ἐπίλογος δι' ἀνάμνησιν τῶν ῥηθέντων γίνεται. [b 12]
ἔσται οὖν τὰ τοιαῦτα μέρη τοῦ λόγου, καθάπερ διῄρουν οἱ περὶ
Θεόδωρον, ἡ διήγησις, ἡ ἐπιδιήγησις καὶ ἡ προδιήγησις καὶ ὁ
25 ἔλεγχος ἤτοι οἱ ἀγῶνες. ἐπεξέλεγχός ἐστιν, ὅταν τις ἔξω τοῦ πράγ-
ματος λέγῃ καὶ μὴ πρὸς τὸν ἔλεγχον καὶ τὸν ἀγῶνα συμβαλλόμενα.
[b 15] δεῖ δὲ τοὺς λέγοντά τι εἶδος λόγου οἷον ἀνακεφαλαίωσιν καὶ
τοὺς λέγοντας διαφοράν τινος πράγματος θεῖναι καὶ ὄνομα σαφές τι τῷ
εἴδει τοῦ λόγου καὶ τῇ διαφορᾷ, πῶς δεῖ ὀνομάζειν αὐτά· εἰ δὲ μὴ ἤτοι 30
30 εἰ δὲ μὴ τιθέασιν ὄνομα σαφὲς τῷ ἐφευρεθέντι εἴδει τοῦ λόγου καὶ τῇ
διαφορᾷ ἀλλ' ἀσαφές, λοιπὸν γίνεται κενὸν καὶ ληρῶδες καὶ σαλὸν
τὸ ἐφεύρημα, εἴ γε οὐ δηλοῦται ἡμῖν διὰ τοῦ ὀνόματος, τί ἐστιν ἐκεῖνο
τὸ εἶδος καὶ ἡ διαφορά. [b 17] ὁ Λικόμνιος ῥήτωρ ἦν. τὰς ἐπανα-
λήψεις ἔλεγεν ἐκεῖνος ἐπορούσεις· τὸ οὖν ὄνομα τοῦτο τὸ ἐπόρουσίς ἐστιν

---

2 δικανικοῦ παντός Arist. 6 ἐστὶν n 12 κυρίως n: καίρια V: fort. κύρια
13 οὐκ ante εἰσι add. n 16. 17 exspectes τὰ πεπραγμένα τῷ ἀντιδίκῳ 18 τὸ
λεγόμενον ante εἴτε κακόν ponit n εἴτ' n ἐστι om. n μέρος τι τῶν Arist.
20 τὸ κακὸν ἢ τὸ V: κακὸν ἤτοι n 21 ἀλλ' οὐδὲ τὸ προοίμιον om. n ὁ om. n
24 ἡ ante διήγησις et ante προδιήγησις om. Arist. ὁ om. Arist. 25 καὶ ἐπεξέ-
λεγχος ante ἐπεξέλεγχός add. n, cf. Arist. ἐπέλεγχος Arist. DEQYᵇZᵇ
ἐστι n 27 δεῖ δὲ εἶδός τι λέγοντας (vulg.; λέγοντα A) Arist. τι —λέγοντας (28)
om. n 30 εὐφοροθέντι n 32 ἐστι n 33 ὁ om. n 34 ἐπόρουσιν Arist.
CYᵇ: ἐπέρωσιν Arist. DEQZᵇ: ἐπούρωσιν Arist. A

ἀσαφὲς καὶ οὐ παριστᾷ καὶ δηλοῖ, τί σημαίνει, καὶ λοιπόν, εἰ οὐ δηλοῖ, f. 70v
τί σημαίνει, λοιπὸν κενόν ἐστι τὸ εἶδος τοῦτο, εἴ γε ἄγνωστόν ἐστιν ἡμῖν. [f. 71v]
ἐπόρουσις κυρίως ἐστὶ τὰ ἐπενθυμήματα τὰ συνεπουρίζοντα καὶ βοηθοῦντα 36
τοῖς ἐνθυμήμασι· καὶ ἁπλῶς, ὅσα λέγονται βοηθοῦντα τῇ ἀποδείξει τοῦ
5 πράγματος, κἂν τοῦ πράγματος ἐκτός εἰσι, λέγονται ἐπορούσεις. [b 17]
ἀποπλάνησιν τινὲς λέγουσι τὴν ἐπιδιήγησιν, τινὲς δὲ τὰ ἔξω τοῦ πράγματος λεγόμενα, συμβαλλόμενα δὲ εἰς τὰς ἀποδείξεις καὶ βοηθοῦντα. ὄζους λέγει τὰ ἄκρα ἤτοι τὰ προοίμια καὶ τοὺς ἐπιλόγους. 40

14. Προαύλια λέγονται, ὅσα λέγονται τῷ αὐλητῇ πρὸ τῆς αὐλήσεως
10 ὑποψιθυρίζοντι, ἃ λέγονται μέλη τε καὶ προάσματα. [b 20] πάντα γὰρ ταῦτα ἤτοι καὶ ὁ πρόλογος καὶ τὸ προαύλιόν εἰσιν ἀρχαὶ καὶ ὁδοποιήσεις τῷ ἐπιόντι ἤτοι τῷ τεχνίτῃ. καὶ γὰρ οἱ αὐληταί, εἴ τι ἂν μέλλωσιν αὐλῆσαι, τοῦτο προαυλοῦσι καὶ λέγουσιν ἐν τῷ προαυλίῳ | καὶ f. 71r
ὁ δομέστικος ἐν τῇ ἐνηχήσει προενηχεῖ καὶ λέγει ὅλον, ὃ μέλλουσιν [f. 73r]
15 οἱ ψάλται ψάλλειν, καὶ συνάπτουσι τὴν ἐνήχησιν καὶ τὸ προαύλιον τῷ ἐνδοσίμῳ ἤτοι τῷ τελείῳ ᾄσματι. ἢ τῷ ἐνδοσίμῳ ἤτοι τῷ ἐφεξῆς. ἢ λέγει τὸ προαύλιον ὅμοιον τῷ προοιμίῳ τῶν ἐπιδεικτικῶν κατὰ τὸ ὀλίγον· βραχὺ γὰρ δεῖ εἶναι καὶ τὸ προοίμιον καὶ τὸ προαύλιον. προοίμιον 5
γίνεται ἐκ τοῦ οἴμη, ἡ τραγῳδία, ἐξ οὗ καὶ προοίμιον κατὰ μεταφοράν.
20 [b 24] καὶ ἐν τοῖς ἐπιδεικτικοῖς λόγοις δεῖ οὕτως γράφειν ἤτοι ποιεῖν προοίμιον μικρόν, καὶ ὅπερ βουλόμεθα εἰπεῖν ἐν ὅλῳ τῷ λόγῳ, δεῖ τοῦτο εὐθὺς ἐν τῷ προοιμίῳ δηλῶσαι, ὡς ἐν τῷ προοιμίῳ τὴν ὅλην ὑπόθεσιν τοῦ λόγου ἐκφαίνεσθαι καὶ συνάπτειν τὸ προοίμιον τὸ παχυμερῶς παρεμφαῖνον τὴν ὅλην ὑπόθεσιν τῷ ὅλῳ λόγῳ καὶ τοῖς ἀγῶσιν· [b 26]
25 ὅπερ (τοῦτο ἤτοι τὸ παρεμφαίνειν τὴν ὅλην ὑπόθεσιν ἐν τῷ προοιμίῳ) 10
καὶ πάντες οἱ ῥήτορες ποιοῦσιν. ὁ Ἰσοκράτης ἐπαινεῖ τὴν Ἑλένην ὡς καλὴν καὶ ἐποίησε μικρὸν προοίμιον, ἐν ᾧ ἡ ὅλη ὑπόθεσις παχυμερῶς ἀνεφαίνετο τοῦ λόγου· οἱ δὲ ἐριστικοὶ ἀντέτεινον λέγοντες ψεύδεσθαι τὸν Ἰσοκράτην λέγοντα τὴν Ἑλένην καλήν· 'οὐ γὰρ καλή ἐστιν, εἴ γε αἰτία
30 πολλῶν κακῶν ἐγένετο.' φησὶν οὖν ὁ Ἀριστοτέλης, ὡς οὐδὲν οἰκεῖον λέγουσιν· ὁ μὲν γὰρ Ἰσοκράτης εἶπε ταύτην καλὴν κατὰ τὸ εἶδος, οἱ δὲ 15
ἐριστικοὶ ἤτοι οἱ σοφισταὶ λέγουσι ταύτην καλὴν κατὰ τὸ ἦθος· ὥστε οὐδὲν καὶ κοινὸν λέγουσι πρὸς τὸν Ἰσοκράτην, ἀλλ' ὁ μὲν Ἰσοκράτης εἶπε ταύτην καλὴν κατὰ ἄλλο σημαῖνον τοῦ καλοῦ, οἱ δὲ σοφισταὶ λέγουσι ταύ-
35 την οὐ καλὴν κατὰ τὸ ἄλλο σημαῖνον τοῦ οὐ καλοῦ. παράδειγμα δὲ τοῦ πάντας ποιεῖν τὰ προοίμια τοιαῦτα τὸ προοίμιον, ὃ Ἰσοκράτης

---

1 καὶ λοιπόν — σημαίνει (2) om. n 2 ἐστι ἡμῖν n 4 ἐνθυμήμασιν n 4. 5 τοῦ πράγματος om. n 5 κἂν V: καὶ n εἰσιν n 6 λέγουσιν n 10 ὑποψιθυρίζοντα n 12 αὐλητοὶ V εἴ V: ὅ n (cf. Arist. ὅτι ἂν εὖ ἔχωσιν αὐλῆσαι) 14 προενηχεῖ V: ἐνηχεῖ n 15 συνάπτουσιν n 22 τῷ (post εὐθὺς ἐν) om. n 27 ἐποίησεν n 29 οὐ n: καὶ V 31 εἶπε om. n 33 καὶ κοινὸν V: καὶ om. n: fort. οἰκεῖον scrib. ex Aristotele 33. 34 εἶπεν αὐτὴν n 34 σημαινόμενον n οἱ — καλοῦ (35) om. n

ἐποίησε ἐπαινῶν τὴν Ἑλένην. [b 28] ἅμα δὲ καὶ ἐὰν ἐκτοπίσῃ ἤτοι f. 71r
ἔξω τοῦ πράγματος λέγῃ, ἁρμόττει μὴ ὅλον τὸν λόγον ἤτοι μὴ ὅλα [f. 73r]
τὰ λεγόμενα ἔξω τοῦ πράγματος λέγειν ὁμοειδῆ ἤτοι διὰ τοῦ αὐτοῦ καὶ
ἑνὸς σχήματος, ἀλλὰ καταποικίλλειν ποικίλοις καὶ διαφόροις τοῖς σχήμα-
σιν. ἢ καὶ οὕτως· εἰ δὲ ἔξω τοῦ πράγματος λέγομεν, οὐ δεῖ ὅλον τὸν
λόγον ποιεῖν ὁμοειδῆ ἤτοι ἐκτετοπισμένον ἤτοι ἔξω τοῦ πράγματος, ἀλλὰ
δεῖ συντόμως μεταστρέφεσθαι καὶ ἐντὸς τῆς ὑποθέσεως γίνεσθαι. τὰ γοῦν
προοίμια ἢ ἔπαινον ἔχουσιν ἢ ψόγον· ἔπαινον ἔχει τὸ τοῦ Γοργίου προοί-
μιον, ὃ ἐποίησεν ἐπαινῶν τὰ Ὀλύμπια, οἷον ὑπὸ πολλῶν ἄξιος θαυμά-
ζεσθαι, ὦ Ἕλληνες'. τοῦτο τὸ προοίμιόν ἐστι τοῦ Γοργίου. [b 33] Ἰσο-
κράτης δὲ ἐν τῷ τοῦ Πανηγυρικοῦ προοιμίῳ ψέγει τοὺς Ἕλληνας ὡς
τιμήσαντας μὲν τὰς ἀρετὰς τῶν σωμάτων ἤτοι τὴν ἀνδρίαν καὶ τοὺς ἀν-
δρείους, εἰ νικήσουσι, δωρεαῖς (ἀρετὴ γὰρ τοῦ σώματος ἡ ἀνδρία), τοὺς
δὲ φρονίμους οὐκ ἔθεντο λαμβάνειν βραβεῖα, ὅταν λυσιτελὲς τῇ πόλει συμ-
βουλεύσωσιν. [b 35] ἢ γίνεται τὸ προοίμιον ἀπὸ συμβουλῆς ἤτοι συμ-
βουλευτικόν, οἷον συμβουλεύει εὐθὺς ἐν τῷ προοιμίῳ ὁ Ἰσοκράτης τὸ δεῖν
τοὺς ἀγαθοὺς τιμᾶν· ἐπεὶ δὲ καὶ ὁ Ἀριστείδης ἀγαθός, ἐπαινετέον
αὐτόν· διὸ καὶ αὐτὸς ὁ Ἰσοκράτης ἐπαινεῖ τὸν Ἀριστείδην ὡς ἀγα-
θόν. ἢ τοὺς τοιούτους ἐπαινεῖν δεῖ, οἵτινες μήτε εὐδοκιμοῦσι φανε-
ρῶς καὶ ἐπιδείκνυνται τὴν οἰκείαν ἀρετὴν μήτε φαῦλοί εἰσιν, ἀλλ' ὅσοι
ἀγαθοὶ ὄντες κρύπτουσιν ἑαυτοὺς καὶ λαθεῖν σπουδάζουσι. καὶ τοῦτο
ἐκ συμβουλῆς προοίμιον. καὶ ὁ Θεολόγος Ἀθανάσιον ἐπαινῶν 'ἀρετὴν
ἐπαινέσομαι'. [b 38] καὶ ὁ Ἀλέξανδρος πρὸ τοῦ ἁρπάξαι τὴν Ἑλένην
ἀγαθὸς ὢν ἐν ὄρει ἐκρύπτετο, ὡς μὴ δόξῃ τοιοῦτος. καὶ γὰρ καὶ οὗτος
ὁ Ἰσοκράτης συμβουλεύει ἐν τοῖς προοιμίοις ἐπαινεῖν τοὺς ἀγαθοὺς ἢ
τοὺς τοιούτους, οἳ μήτε εὐδοκιμοῦσι μήτε φαῦλοί εἰσι. γράφεται
τὸ οὕτως καὶ μέγα, οὕτως γὰρ καὶ κατὰ τοῦτον τὸν τρόπον ὁ Ἰσοκράτης
συμβουλεύει ἐπαινεῖν τοὺς ἀγαθοὺς ἐν τῷ προοιμίῳ. [1405 a 1] ἔτι
δὲ ποιητέον ἐν τοῖς πανηγυρικοῖς λόγοις προοίμιον ἐκ τῶν δικανικῶν
προοιμίων· δικανικὰ δὲ προοίμιά εἰσι τὰ τεινόμενα πρὸς τὸν ἀκροατὴν καὶ
παρακαλοῦντα αὐτοὺς εἶναι προσεκτικοὺς ἢ συγγνωμονεῖν τῷ λέγοντι ῥήτορι·
τὰ τοιαῦτα γὰρ προοίμια ἁρμόζουσι καὶ τῷ πανηγυρικῷ λόγῳ, οἷον εἰ
περὶ παραδόξου μέλλεις λέγειν ἢ χαλεποῦ ἤτοι λυπηροῦ, ὀφείλεις
παρακαλεῖν τοὺς ἀκροατὰς συγγνω|μονῆσαί σοι λέγοντι παράδοξα ἢ f. 71v
λυπηρά· ὡς γὰρ συντείνοντα τῇ πόλει λέγειν καταναγκάζεσθαι ταῦτα. [f. 73v]

---

1 ἐποίησε V: ἐποίησεν n 2 μὴ Vn Arist. vulg.: καὶ μὴ Arist. A 8 Γοργίου] fr. 2 Sauppe 9 ἄξιοι Arist. 10 ὦ ἄνδρες Ἕλληνες Arist. 10. 11 Ἰσοκράτης] 4,1 12 ἀνδρεῖαν n (per comp. V) 13 νικήσωσι n ἀνδρεία n (per comp. V) 16 Ἰσοκράτης] 4,1 18 Ἰσοκράτης] 8,75 19 ἢ τοὺς τοιούτους Vn Arist. A: οὐ τοὺς Arist. EQYbZb: καὶ τοὺς Arist. B εὐδοκιμοῦσιν n 21 σπουδάζουσιν n 23 ὁ om. n 26 εὐδοκιμοῦσιν n 26. 27 γρ. καὶ οὕτως Arist. C marg. 27 καὶ μέγα V: διὰ ω μεγάλου n οὕτω n κατὰ V: μετὰ n 30 εἰσιν n πρὸς τοὺς ἀκροατὰς n 33 ἢ περὶ χαλεποῦ Arist. 34 καὶ post ἀκροατὰς add. n σοι om. n 35 ταυτά n: τὲ αὐτά V

[a 3] ἢ εἰ λέγεις τι τεθρυλλημένον καὶ γνώριμον ὂν τοῖς πᾶσι, δεῖ σε f. 71v
παρακαλεῖν τὸν ἀκροατὴν συγγνωμονῆσαί σοι, εἰ τὰ γνώριμα λέγεις τοῖς [f. 73v]
πᾶσιν· οἷον ὁ Χοιρίλλος ἐποίησε (τραγικὸς δὲ οὗτος) 'συγγνωμονητέον,
ὦ ἄνδρες, εἰ νῦν παρίσταμαι λέγων ταυτί, ὅτε δέδασται καὶ ἔγνωσται 5
5 τοῖς πᾶσι τὰ πάντα, ἃ νῦν λέγω τήμερον'. δέδασται λέγεται ἐκ τοῦ
δαίω, τὸ μανθάνω. εὗρον δὲ σχόλιον· 'νῦν δ' ὅτε πάντα δέδασται'
καὶ μεμοίρασται, τότε ὁ δεῖνα ἀνδραγαθεῖ. [a 5] τὰ μὲν οὖν προοίμια
τῶν πανηγυρικῶν ἐκ τούτων γίνονται ἤτοι ἐκ ψόγου καὶ ἐξ ἐπαίνου
καὶ ἐκ προτροπῆς καὶ ἐκ τῶν πρὸς ἀκροατήν· ἢ γὰρ τοὺς ἀκροατὰς
10 ἐν τῷ προοιμίῳ ποιεῖ ὁ ῥήτωρ προσεκτικούς, οἷς μέλλει ῥηθῆναι, ἢ προ-
τρέπει αὐτοὺς εἰς ὀργήν, εἰ ψέγει, ἢ ἀποτρέπει τοὺς ἀκροατὰς τοῦ μὴ
ὀργίζεσθαι, εἰ ἐπαινεῖ. [a 7] δεῖ δὲ τὰ ἐνδόσιμα ἤγουν τὰ προοίμια
ἢ ξένα εἶναι καὶ ἀλλότρια τοῦ λόγου ἢ οἰκεῖα καὶ ἁρμόζοντα τῇ ὑπο- 10
θέσει. εὗρον δὲ σχόλιον λέγον ἐνδόσιμα τὰ ἀληθῆ. ὅπερ δύνανται οἱ
15 πρόλογοι ἐν τοῖς δράμασι, τοῦτο καὶ ἐν τοῖς δικανικοῖς λόγοις δύναν-
ται τὰ προοίμια. [a 10] τινὰ μὲν τῶν διθυράμβων προοίμια ὅμοιά
εἰσι τοῖς ἐπιδεικτικοῖς ἤτοι πανηγυρικοῖς, οἷον 'ἦλθον εἰς σὲ διὰ
σὲ καὶ τὰ τεὰ καὶ τὰ σὰ δῶρα καὶ εὐεργετήματα καὶ τὰ σκῦλα,
ὦ θεὲ Διόνυσε'. [a 11] ἐν δὲ τοῖς προλόγοις καὶ τοῖς ἔπεσι
20 τὰ προοίμια δηλοῦσι τὴν ὅλην ὑπόθεσιν, ἵνα οἱ ἀκροαταὶ προειδῶσι
τὴν ὑπόθεσιν, περὶ ἧς ἦν ὁ λόγος καὶ διαλαμβάνει· συνεπτυγμένως γὰρ 15
τὴν ὅλην ὑπόθεσιν δηλοῦσι τὰ προοίμια τὰ ἐν τοῖς ἔπεσι καὶ ἐν τοῖς
προλόγοις τῶν δραμάτων γινόμενα. [a 12] δεῖγμά ἐστι τοῦ λόγου
ἤτοι τῆς ὅλης ὑποθέσεως τὸ προοίμιον· τὸ γὰρ προοίμιον συνεπτυγμένως
25 τὴν ὅλην ὑπόθεσιν δηλοῖ τοῦ λόγου, ἵνα οἱ ἀκροαταὶ εὐθὺς εἰδῶσιν ἐξ
ἀρχῆς τὴν ὅλην ὑπόθεσιν καὶ μὴ κρέμαται ἡ διάνοια τοῦ ἀκροατοῦ
μέχρι πολλοῦ καὶ ἄχρι σχεδὸν τοῦ τέλους ⟨τοῦ⟩ λόγου προσδοκῶσα ἔτι 20
μαθεῖν, περὶ τίνος ὁ λόγος μέλλει διαλαβεῖν. [a 13] τὸ γὰρ ἀόριστον
πλανᾷ τὸν ἀκροατήν, καὶ διὰ τοῦτο εὐθὺς ἐκ προοιμίου δηλοῦσι τὴν
30 ὅλην ὑπόθεσιν. ὁ δοὺς οὖν τὴν ἀρχὴν καὶ τὸ προοίμιον τῷ λόγῳ
ποιεῖ τὸν ἀκροατὴν ἀκολουθεῖν τῷ λόγῳ, ὥσπερ τὸν ἐχόμενον καὶ
κρατούμενον εἰς τὴν χεῖρα ἤτοι ἀπὸ τῆς χειρός· ὥσπερ, εἴ τις κρατήσει
τινὰ διὰ τῆς χειρός, ὁδηγεῖ αὐτὸν εἰς τὸ διελθεῖν ἀπροσκόπως, ἣν βαδίζει

---

1 πᾶσιν n 3 ὁ V: εἰ n: om. Arist. Χοιρίλος Arist. ἐποίησεν n
4 παριστάμενα n καὶ ἔγνωσται — δέδασται (5) om. n 5 ἐκ — δέδασται (6) om. n 8 γίνεται n ἐξ ἐπαίνου ἐκ ψόγου Arist. 9 ἐκ τροπῆς n ἐκ προτροπῆς ἐξ ἀποτροπῆς Arist. πρὸς τὸν Arist. ἢ V: ὁ n 11 εἰ (ante ψέγει) ex ἢ corr. V 16 τινὰ — εἰσι (17) om. n 17 ἐπιδεικτικοῖς scripsi ex Aristotele: ἀποδεικτικοῖς Vn cf. Bergk P. L. III p. 728 fr. 124 19 προλόγοις Vn Arist. Tr.: λόγοις Arist. cet. 20. 21 προειδῶσι Vn Arist. vulg.: προίδωσι Arist. A 21 ἦν V Arist. vulg.: om. n: ἧτ Arist. A 22 ἐν (post καὶ) om. n 25 ὅλην om. n ἴδωσιν n 26 κρέμαται Vn Arist. BEQYbZb: κρέμηται Arist. A 27 τοῦ λόγου n: τοῦ om. V 30 ὁ δοὺς οὖν ὥσπερ εἰς τὴν χεῖρα τὴν ἀρχὴν ποιεῖ ἐχόμενον ἀκολουθεῖν τῷ λόγῳ Arist. 33 διὰ V: ἀπὸ n ἀπροσκόπτως n

ὁδόν, οὕτω καὶ ὁ ἐν τῷ προοιμίῳ τὴν ὅλην ὑπόθεσιν παχυμερῶς παρεμ- f. 71v
φαίνων ὁδηγεῖ τὸν ἀκροατὴν εἰς τὸ ἐφέπεσθαι τοῖς λεγομένοις δι' ὅλου [f. 73v]
τοῦ λόγου καὶ μὴ προσκόπτειν ἐν τῷ μεταξὺ καὶ πλανᾶσθαι. [a 15] διὰ 26
τοῦτο ἤτοι τὸ μὴ πλανᾶσθαι τῷ ἀορίστῳ εὐθὺς ἐν αὐτῷ τῷ προοιμίῳ
5 τὴν ὅλην δηλοῦσιν ὑπόθεσιν, ὡς τὸ "μῆνιν ἄειδε θεά" καὶ 'ἥγεό μοι
ἄλλων καὶ ἄλλων' ἀντὶ τοῦ 'ἡγεμόνευέ μοι'· τοῦτο εἴρηται τῷ 'Ηροδότῳ
περὶ τοῦ πρὸς τὸν Ξέρξην πολέμου. [a 18] καὶ οἱ τραγικοὶ ἐν τῷ
προοιμίῳ καὶ ἐξ ἀρχῆς δηλοῦσι τὴν ὑπόθεσιν, περὶ ἧς τὸ δρᾶμά ἐστιν, 30
οἷον ὁ Σοφοκλῆς

10 "ἀεὶ μέν, ὦ παῖ Λαρτίου, δέδορκά σε"·

ἐδήλωσε γάρ, ὅτι περὶ τοῦ Αἴαντος ἡ ὅλη ὑπόθεσις τοῦ δράματός ἐστιν.
[a 19] ὁ δὲ Εὐριπίδης οὐκ ἐν ἀρχῇ τοῦ προοιμίου δηλοῖ τὴν ὑπόθεσιν
ὅλην τοῦ λόγου ἀλλὰ μετὰ πολλά· οὐ γὰρ συντόμως τὰς ἀποδόσεις ποι-
εῖται ἀλλὰ σχοινοτενεῖς, ὡς τὸ "ἥκω νεκρῶν κευθμῶνα"· τῇ γὰρ ἀπο-
15 δόσει τοῦ λόγου νοεῖται καὶ ἀπαρτίζεται ἡ ὑπόθεσις. ἀλλ' εὐθὺς ἐν τῷ
προλόγῳ καὶ προοιμίῳ τὴν ὅλην ὑπόθεσιν δηλοῖ· οὗτος γὰρ ὁ Εὐριπίδης 35
πολλὰ πρῶτον προοιμιάζεται. [a 22] τὸ γοῦν ἴδιον τοῦ προοιμίου τοῦτό
ἐστι τὸ δηλῶσαι εὐθύς, τί ἐστι τὸ τέλος καὶ ἡ ὑπόθεσις, ἧς ἕνεκα ὁ
λόγος ἐκτέθειται. διό, ἂν δῆλον ᾖ ἤτοι δήλη ἐστὶν ἡ ὑπόθεσις καὶ τὸ
20 πρᾶγμά ἐστι μικρὸν ἤτοι σαφὴς καὶ εὐτελής ἐστιν ἡ ὑπόθεσις, οὐ
χρηστέον ἐπὶ ταύτῃ προοιμίῳ. τὸ μὲν ἀναγκαῖον ἐν τῷ λόγῳ ἐστὶ τὸ
προοίμιον, ἵνα δηλοῖ τὴν ὑπόθεσιν, τὰ δ' ἄλλα εἴδη τῶν προοιμίων ἤτοι
τὸ κινεῖν τοὺς δικαστὰς καὶ τοὺς ἀκροατὰς εἰς ὀργήν, εἰς φόβον, εἰς ἔλεον, 40
οἷς οἱ νῦν ῥήτορες χρῶνται, ἰατρεύματά εἰσιν ἤτοι ἐπείσακτα καὶ
25 κοινὰ καὶ τοῦ πράγματος καὶ τοῦ ἐναντίου ἤτοι τοῦ ἀντιδίκου. [a 27]
περὶ αὐτοῦ μὲν καὶ τοῦ ἀντιδίκου γίνονται τὰ προοίμια, ἵνα λυθῇ ἡ
διαβολὴ ἢ ποίησις· οἷον εἰ μὲν ὑβρίσθης παρὰ τοῦ ἀντιδίκου καὶ κατη-
γορήθης, δεῖ σε ἐν τῷ προοιμίῳ εὐθὺς λῦσαι τὴν κατηγορίαν τὴν κατὰ f. 72r
σοῦ καὶ δεῖξαι, ὅτι ψευδῶς κατηγόρει σου ἅτε ἐχθρὸς ὤν· εἰ δὲ κατήγορος [f. 74r]
30 εἶ, δεῖ σε ἐν τῷ προοιμίῳ εὐθὺς ποιεῖν ἤτοι ὑβρίζειν καὶ διαβάλλειν τὸν
ἀντιδικοῦντά σοι καὶ δεικνύειν ὅτι 'συνέστησα τὸ δικαστήριον τοῦτο κατ'
αὐτοῦ οὐ διὰ τὸ εἶναι αὐτὸν ἐχθρόν μοι ἀλλὰ διὰ τὸ εἶναι φύσει φαῦλον
καὶ αἰσχρόν'· [a 28] πλὴν οὐχ ὁμοίως ὀφείλεις ταῦτα ποιεῖν, ἀλλ' εἰ 5
μὲν ἀπολογούμενος εἶ, ὀφείλεις ἐξ ἀρχῆς τοῦ προοιμίου λύειν τὴν ὕβριν,
35 ἣν κατὰ σοῦ ὁ κατήγορος ἐνεδείξατο, εἰ δὲ κατήγορος εἶ, ἐν τῷ ἐπιλόγῳ
καὶ οὐχὶ ἐν τῷ προοιμίῳ δεῖ τὴν ὕβριν ποιεῖν κατὰ τοῦ ἀντιδικοῦντός σοι
καὶ τὴν κατηγορίαν. [a 30] ὅταν μέλλῃ ὁ ἀπολογούμενος εἰσάξαι αὐτὸν
εἰς τὸ δικαστήριον, εἰ βούλεται εὐπαράδεκτος δοκεῖν τοῖς ἀκροαταῖς καὶ

---

4 τὸ superscr. V 5 μῆνιν κτλ.] Hom. A 1 6 'Ηροδότῳ] immo poëtae epici incerti est 9 Σοφοκλῆς] Aiac. 1 10 λάρτίου n: λαερτίου V 11 ἐστι n 14 ἥκω κτλ.] Eurip. Hec. 1 18 τί ἐστι Vn Arist. ATr.: om. Arist. vulg. 19 ἐκτέθηται n ᾖ om. n 20 ἐστι (ante ἡ) n 21 τὸ μὲν—προοίμιον (22) om. n 23 τοὺς (post καὶ) om. n 30 εἶ scripsi: ἦν Vn 33 αἰσχρόν V: ἐχθρόν n 35 ἐπεδείξατο n 37 εἰσάξειν Arist. 38 τὸ om. n

ἀληθής, ἀναγκαῖόν ἐστι πρῶτον λῦσαι τὰ κωλύοντα αὐτὸν δοκεῖν ἀληθῆ f. 72r
τοῖς δικασταῖς καὶ τοῖς ἀκροαταῖς ἤγουν διαλύειν, ἃς ἔφθη κενῶσαι κατ' [f. 74r]
αὐτοῦ ὕβρεις ὁ ἀντίδικος καὶ τὴν κακὴν κατ' αὐτοῦ ὑπόληψιν· [a 32] τῷ 10
δὲ διαβάλλοντι, ἤτοι εἰ δὲ κατηγορῶν εἶ, ἀναγκαῖόν ἐστιν ἐν τῷ ἐπι-
5 λόγῳ διασύρειν καὶ ὑβρίζειν τὸν ἀντίδικον, ὡς ἂν εὐμνημόνευτοι ὦσιν αἱ
κατὰ τοῦ ἀντιδίκου κενωθεῖσαι παρὰ σοῦ ὕβρεις τοῖς ἀκροαταῖς. τὰ δὲ
πρὸς τὸν ἀκροατὴν προοίμιά εἰσιν, εἴ γε ποιήσεις αὐτὸν εὔνουν τοῖς
ἀκροαταῖς ὄντα καὶ πρὸς ὠφέλειαν αὐτῶν ἀποβλέποντα καὶ ἐκ τοῦ ὀργί-
σαι ἤτοι εἰς ὀργὴν αὐτοὺς παρακινῆσαι κατὰ τοῦ ἀντιδίκου. [a 35] πολ-
10 λάκις δὲ ὀφείλεις προσεκτικοὺς ποιεῖν τοὺς ἀκροατὰς ἢ τοὐναντίον ἤτοι 15
ἀπροσεκτοῦντας· διὸ καὶ πολλοὶ πειρῶνται προάγειν καὶ παρακινεῖν
τοὺς ἀκροατὰς εἰς γέλωτα, ἵνα ἀσχολούμενοι τῷ γέλωτι μὴ προσέχωσι
τοῖς λεγομένοις παρὰ τοῦ ἀντιδικοῦντός σοι, οἷον καὶ ὁ Δημοσθένης πε-
ποίηκεν· οὗτος γὰρ κατηγορῶν τοῦ Αἰσχίνου ὡς προδότου ἔλεγεν 'ὁ προ-
15 δοὺς τὰ τῆς πόλεως πράγματα ἆρ' οὐκ ἔστι μισθωτός;' τοῦ δὲ δήμου
ἀναβοήσαντος 'μισθωτός', 'τοιοῦτος' ἔφησε 'καὶ ὁ Αἰσχίνης'· ἐνταῦθα μέγα 20
ὁ δῆμος ἀνεκάγχασεν. [a 37] ἐάν τις δὲ βούληται, ἀνάξει ἅπαντα τὰ
προοίμα εἰς εὐμάθειαν ἤτοι εἰς τὸ ποιεῖν τὰ μέλλοντα ῥηθῆναι εὐμαθῆ
καὶ εὐδιάγνωστα τοῖς ἀκροαταῖς· τούτου χάριν γίνονται τὰ προοίμια καὶ
20 εἰς τὸ φαίνεσθαι καὶ δεικνύειν ἑαυτὸν ἐπιεικῆ ἤτοι ἀγαθὸν καὶ ἀληθῆ.
εὗρον καὶ σχόλιον τοιοῦτον· χρὴ φησὶν εὐμαθῆ καὶ σαφῆ τὸν λόγον ποιεῖν
καὶ ἐπιεικῆ ἑαυτὸν δεικνύναι. [a 38] προσέχουσι γὰρ μᾶλλον τού- 25
τοις ἤτοι τοῖς ἀγαθοῖς ἀνδράσι καὶ τοῖς λόγοις τοῖς σαφέσι καὶ εὐμαθέσι
καὶ εὐδιαγνώστοις. [b 1] προσέχουσι δὲ μᾶλλον τοῖς μεγάλοις, ἤτοι εἰ
25 περὶ μεγάλων πραγμάτων λέγει τις, καὶ τοῖς ἰδίοις, ἤτοι εἰ, ἃ λέγει,
εἰσὶν ἴδια καὶ οἰκεῖα ἡμῖν τοῖς ἀκούουσι καὶ εἰς οἰκείαν ὠφέλειαν ἡμῶν
ἀφορῶσι. καὶ ὅτι προσεκτέον τοῖς λεγομένοις· 'θαυμαστὰ γὰρ μέλλω ἐρεῖν
ἢ ἡδέα.' [b 2] διὸ δεῖ τοὺς ἀκροατὰς ἐμποιεῖν προσεκτικοὺς ἐκ τοῦ
δεικνύειν, ὅτι ὁ λόγος ἐστὶ περὶ τοιούτων ἤτοι θαυμαστῶν ἢ ἡδέων ἢ 30
30 μεγάλων ἢ ἰδίων. ἐὰν δὲ θέλῃς ποιεῖν αὐτοὺς μὴ προσεκτικούς, δεῖ
σε ἐμποιεῖν καὶ συνιστᾶν καὶ ἀποδεικνύναι, ὅτι τὸ πρᾶγμα, περὶ οὗ ὁ
λόγος ἐστί, μικρὸν καὶ ὅτι οὐδὲ πρὸς ἐκείνους ἤτοι οὐδ' ὅλως ὠφελεῖ
τοὺς ἀκροατὰς καὶ ὅτι λυπηρόν ἐστιν. ἢ καὶ οὕτως· διὸ δεῖ ἐμποιεῖν
καὶ συνιστᾶν καὶ ἀποδεικνύναι, ὅτι ὁ λόγος ἐστὶ περὶ τοιούτων ἤτοι
35 μεγάλων καὶ θαυμαστῶν. [b 4] δεῖ δὲ μὴ λανθάνειν, ὅτι πάντα

---

1 πρῶτον—ἤγουν (2) om. n 2 κενῶσαι scripsi, cf. infra v. 6: κοινῶσαι Vn 3 ὁ om. n κατ' om. n 5 εὐμνημόνευτοι scripsi: ἀμνημόνευτοι Vn 8 αὐτῶν scripsi: αὐτὸν Vn ἐκ Vn Arist. A: om. Arist. vulg. 10 ὀφείλειν V 11. 12 εἰς γέλωτα post πολλοὶ Arist. 12 προσέχωσι V: προσέχω νοῦν n 13 τοῦ V: σου n Δημοσθένης] 18,52, cf. schol. 14 ὁ om. n 17 ἀνακάγχασε n ἀνάξῃ n (ἀνά | fol. 149r | ἀνάξει sic V) 26 ἀκούουσιν n 27 ἐρεῖν V: εἰπεῖν n 31 ἀποδεικνύναι, ἀπο ex ἐπι corr., V: ἐπιδεικνῦναι n 32 ἐστὶν n οὐδὲ V: οὐδὲν n Arist. 33 ἐστι n

τὰ τοιαῦτα, ἤτοι τὸ δεικνύναι, ὅτι ὁ λόγος περὶ μεγάλων ἐστὶν ἢ ἡδέων f. 72r
ἢ θαυμαστῶν, ἐν τῷ προοιμίῳ, ἔξω τοῦ λόγου ἤτοι τῆς προκειμένης [f. 74r]
ὑποθέσεώς ἐστι καὶ ὅτι τοιαῦτα προοίμια τὰ ἔξω τοῦ πράγματος λεγόμενα 37
τότε ἁρμόζουσιν, ὅτε φαύλους καὶ χωρικοὺς τοὺς ἀκροατὰς ἔχομεν καὶ
5 ἀκούοντας ἤτοι ἀποδεχομένους ἀκούειν τὰ ἔξω τοῦ πράγματος καὶ τῆς ὑπο-
θέσεως· [b 6] ἐπεὶ ἐὰν μὴ τοιοῦτος ᾖ ὁ ἀκροατὴς ἤτοι χωρικὸς ἀλλὰ
σοφός, οὐ χρείαν ἔχει προοιμίου ἀλλ' ἄρχεται ἀπ' αὐτοῦ τοῦ πράγματος 10
γράφειν· εἰ δὲ καὶ προοιμιάζεται, τοσοῦτον προοιμιάζεται, ὅσον ἐν τῷ
προοιμίῳ εἰπεῖν καὶ παρεμφῆναι κεφαλαιωδῶς καὶ παχυμερῶς καὶ συν-
10 τόμως τὸ πρᾶγμα ἤτοι τὴν ὑπόθεσιν, περὶ ἧς ἡ συμβουλεύει ἢ δικάζεται,
ἵνα μὴ ὁ λόγος ἀκέφαλος ᾖ ἀλλ' ἔχῃ κεφαλὴν ὥσπερ τὸ σῶμα. [b 9] ἔτι
τὸ πειρᾶσθαι προσεκτικοὺς ποιεῖν τοὺς ἀκροατὰς οὐκ ἔστιν ἴδιον f. 72v
τῶν προοιμίων μόνων, ἀλλὰ κοινόν ἐστι πάντων τῶν μερῶν τοῦ [f. 74v]
λόγου· εἰ γὰρ δέει, καὶ ἐπὶ τῆς διηγήσεως πειρασόμεθα προσεκτικοὺς ποιεῖν
15 τοὺς ἀκροατὰς καὶ ἐπὶ τῶν ἀγώνων καὶ ἐπὶ τῶν ἐπιλόγων· καὶ ἁπλῶς
πανταχοῦ δεῖ διυπνίζειν αὐτοὺς καὶ προσέχειν παρασκευάζειν, ἔνθα ἂν
νοήσωμεν αὐτοὺς κατοκλάσαντάς τε καὶ ῥαθυμήσαντας· [b 10] πανταχοῦ 5
γὰρ ἤτοι ἐν τοῖς ἄλλοις μέρεσι τοῦ λόγου ἤτοι ἐν τῇ διηγήσει καὶ ἐν τοῖς
ἀγῶσιν ἀνιᾶσι μᾶλλον καὶ ἐνδιδόασι καὶ καταρραθυμοῦσιν οἱ ἀκροαταὶ
20 παρ' ὃ ἀρχόμενοι ἤτοι παρ' ὃ ἐν τῷ προοιμίῳ· ἐξ ἀρχῆς γὰρ μᾶλλον
πρόθυμοί εἰσιν εἰς τὸ ἀκροᾶσθαι. ὥστε ἐν τοῖς ἄλλοις μέρεσι τοῦ λόγου,
ἔνθα καὶ οἱ ἀκροαταὶ καταρραθυμοῦσι, δεῖ τοὺς ἀκροατὰς διεγείρειν εἰς
τὸ προσέχειν, ἔνθα μάλιστα πάντες προσέχουσιν. [b 12] ὥστε ὅπου
ἂν ᾖ ὁ καιρὸς τοῦ διεγείρειν τοὺς ἀκροατὰς εἰς τὸ προσέχειν καὶ ἴδῃς 10
25 καὶ αὐτοὺς ἐπινυστάζοντας, διυπνιστέον αὐτοὺς καὶ λεκτέον 'καί μοι
προσέχετε τὸν νοῦν· ὃ γὰρ μέλλω ἐρεῖν, οὐκ ἔστιν ἐμὸν ἤτοι οὐκ ἀφο-
ρῶν ἐστι πρὸς ἐμὴν μόνην ὠφέλειαν ἀλλὰ καὶ ὑμετέραν· ἐρῶ γὰρ ὑμῖν
τοιοῦτον δεινὸν ἢ θαυμαστόν, οἷον οὐδέποτε ἠκηκόειτε'. [b 16] ἡ
πεντηκοντάδραχμος εἶδός ἐστι βοτάνης, ὃ προσφερόμενοι οἱ ἄνθρωποι δια-
30 τελοῦσιν· ἔλεγεν οὖν ὁ Πρόδικος, ὅτι, ὅτε νυστάζουσιν οἱ ἀκροαταί, δεῖ 15
παρεμβάλλειν αὐτοῖς ἀπὸ τῆς πεντηκονταδράχμου καὶ προσφέρειν,
ὡς ἂν διατελῶσι διυπνιζόμενοι ὑπ' αὐτῆς καὶ διεγειρόμενοι εἰς τὸ προσέ-
χειν. εὗρον δὲ σχόλιον εἰς τὴν πεντηκοντάδραχμον τοιοῦτον· 'ἀναμνή-
σθητε, ὅτι λαμβάνετε πεντήκοντα δραχμάς'. [b 17] ὅτι δὲ τὰ τοιαῦτα

---

1. 2 ἔξω τοῦ λόγου τὰ τοιαῦτα Arist. 2 προκειμένου n 3 ἐστιν n τὰ om. n 6 ἐπεὶ ἂν Arist. μὴ n Arist.: μὲν V ᾖ V: ἦν n 8 ὅσον scripsi ex Aristotele: ἤγουν V: ὅσον ἤγουν n οὐθὲν δεῖ προοιμίου, ἀλλ' ἢ ὅσον τὸ πρᾶγμα εἰπεῖν κεφαλαιωδῶς, ἵνα ἔχῃ (ὁ λόγος add. C supr. vers.) ὥσπερ σῶμα κεφαλήν Arist. 10 ἧς βουλεύει n 11 ὁ λόγος V (cf. Arist. C): om. n (cf. Arist. cet.) 12 ἔστι n 13 μόνων om. n 14 fort. δέῃ 17 κατακλάσαντάς n 19 ἀνείασιν Arist. A καταρραθυμοῦσιν V: ἐνθυμοῦσιν n 24 ὁ om. Arist. 26. 27 ἀφοροῦν n 28 οὐδεπώποτε Arist. ἠκηκόειτε V: ἀκηκόατε n Arist. 29 πεντακοντάδραχμος n 32 διατελῶσιν n

προοίμια τὰ παρασκευάζοντα τοὺς ἀκροατὰς προσέχειν πρὸς ἀκροατάς εἰσι f. 72v
καὶ γίνονται, οὐχ ἥπερ ἐστὶν ὁ ἀκροατὴς ἤτοι οὐχὶ καθ' ὃ σοφὸν [f. 74v]
ἀκροατήν, ἀλλὰ πρὸς ἰδιώτην ἀκροατήν, δῆλον· πάντες γὰρ ἐν τῷ 20
προοιμίῳ ἢ διαβάλλουσι τὸν κατήγορον ἢ διαλύουσι τὸν ἐπικείμενον
5 φόβον τοῖς ἀκροαταῖς. οἷον Σοφοκλῆς λέγει τῇ Ἀντιγόνῃ [b 20] 'ἄναξ,
ἐρῶ μὲν οὐχὶ τοιοῦτον ὑπὸ σπουδῆς ὅν' ἤτοι ἄξιον ὂν σπουδῆς, μονον-
ουχὶ λέγων ὡς 'οὐ δεῖ σε θροηθῆναι· οὐδὲ γὰρ ὃ μέλλω ἐρεῖν φοβερόν
ἐστιν·' ὁ δέ φησι 'περισσόν ἐστι τὸ φροιμιάζεσθαί σε· τί γάρ', φησίν,
'ὀργίζῃ;' ὁ ἄγγελος λέγει πρὸς τὸν Κρέοντα ὡς τῆς Ἀντιγόνης θαψάσης
10 τὸ σῶμα τοῦ Πολυνείκους τοῦ ἀδελφοῦ αὐτῆς 25

"δύσπνους ἱκάνω κοῦφον ἐξάρας πόδα."

[b 22] καὶ οἱ ἔχοντες τὸ πρᾶγμα, περὶ οὗ λέγουσιν, ὡς ἔστι πονηρόν,
ἡγοῦνται βέλτιον διατρίβειν ἐν τοῖς ἔξω τοῦ πράγματος καὶ τῆς ὑπο-
θέσεως παρ' ὃ χωρῆσαι εἰς αὐτὸ τὸ πρᾶγμα καὶ εἰς αὐτὴν τὴν ὑπόθεσιν·
15 [b 23] διὸ οἱ δοῦλοι κρατηθέντες εἰς κλοπὴν οὐ λέγουσιν ἃ ἐρωτῶνται
καὶ ἀποκρίνονται ἀλλὰ τὰ κύκλῳ ἤτοι τὰ ἐκτὸς τοῦ πράγματος καὶ τῆς
ὑποθέσεως καὶ προοιμιάζονται ἤτοι πολλὰ λέγουσιν ἐκτὸς τοῦ πράγ-
ματος καὶ τῆς ὑποθέσεως. [b 25] ἡ γὰρ εὔνοια γίνεται ἢ ἀπὸ φιλίας ἢ 30
ἀπὸ δυστυχίας· ἢ γὰρ κτᾶταί τίς τινα εὔνουν ἐν τῷ εἶναι φίλος αὐτῷ ἢ
20 ἐν τῷ εἶναι ἐλεεινὸς καὶ ἐλέους ἄξιος. [b 26] ἐπειδὴ εὖ λέγεται καὶ
περὶ τοῦ Ὀδυσσέως εὐχομένου πρὸς τῷ τέλει τοῦ ζ' πρὸς τὴν Ἀθηνᾶν
'δός μοι ἐλθεῖν ἐς Φαίακας ἢ φίλον ἢ καὶ ἐλεεινόν' ἤτοι ἄξιον ἐλέους,
ὁρᾷς, πῶς καὶ οὗτος ἠπίστατο τὴν εὔνοιαν συνισταμένην ἔκ τε τῆς φιλίας
καὶ τῆς ἐλεεινότητος καὶ διὰ τοῦτο καὶ αὐτὸς παρακαλεῖ φίλος φανῆναι 35
25 τοῖς Φαίαξιν ἢ ἐλεεινός, ὡς ἂν εὔνοι οὗτοι φανεῖεν πρὸς αὐτόν. [b 27]
τούτων οὖν τῶν δύο ἤτοι τῆς φιλίας καὶ τῆς ἐλεεινότητος δεῖ στοχά-
ζεσθαι ἕκαστος, ὡς ἂν ἢ φίλος φανῇ τοῖσδε ἢ ἐλέους ἄξιος, εἴ γε βού-
λεται εὔνους φανῆναι αὐτοῖς. ἐν δὲ τοῖς ἐπιδεικτικοῖς δεῖ τὸν ῥήτορα
σπουδάζειν ποιεῖν τὸν ἀκροατὴν ἐξ ὧν λέγει οἴεσθαι συνεπαινεῖσθαι
30 τῷ ἐγκωμιαζομένῳ ἢ αὐτὸν ἢ τὸ γένος αὐτοῦ ἢ τὰ ἐπιτηδεύματα
αὐτοῦ, ἤτοι ἵνα οἱ πρὸς τὸν Ἰσοκράτην ἔπαινοι, εἴ γε αὐτὸν ἐγκωμιάζεις, 40
προσαρμόζωσι καὶ τοῖς ἀκροαταῖς ἢ τῷ γένει αὐτῶν, ὡς οἴεσθαι τοὺς

---

2 ἐστι ἀκροατής n 3 πρὸς V: καθὸ n δηλοῖ n 5 λέγει ἐν τῇ n
Σοφοκλῆς τῇ Ἀντιγόνῃ] v. 223 6 οὐχ ὅπως σπουδῆς ὑπο Arist. 7 θροηθῆναι, β man. rec., V: βοηθῆναι n 8 ἐστιν V: ἐρεῖν n φησιν n τί φροιμιάζει Eurip. Iphig. Taur. 1162 10 πολυνείκου n 11 δύσπνους κτλ.] Soph. Ant. 224 13 ἡγοῦνται V: ἥγουν n 17 καὶ προοιμιάζονται—ὑποθέσεως (18) V: πόθεν δ' εὔνους δεῖ ποιεῖν εἴρηται n ex Aristotele 19 ἢ (ante γὰρ) evanuit V 20 ἐπεὶ δὴ Arist. vulg.: ἐπεὶ δὲ Arist. A 22 δός—ἐλεεινόν V: δός μ' ἐς φαίηκας ἐλθεῖν ἢ φίλον ἢ ἐλεεινόν n: δός μ' ἐς Φαίηκας φίλον ἐλθεῖν ἠδ' ἐλεεινόν Arist., Hom. ζ 327 25 αὐτήν n 26 οὖν Vn Arist. A: om. Arist. vulg. δεῖ δύο Arist. 29 οἴεσθαι δεῖ ποιεῖν συνεπαινεῖσθαι τὸν ἀκροατὴν Arist. 30 ἐπιτηδεύματ' Arist. A: ἐπιτήδευμα Arist. vulg. 31 ἐγκωμιάζῃς n

ἀκροατὰς ἢ αὐτοὺς ἐπαινεῖσθαι ἢ τοὺς προγόνους αὐτῶν ἐκ τοῦ τὸν Ἰσο- f. 72ᵛ
κράτην ἐπαινεῖσθαι· οὕτω γὰρ μᾶλλον προσέξουσι τοῖς παρὰ σοῦ λεγο- [f. 74ᵛ]
μένοις· [b 30] ὁ γὰρ Πλάτων λέγει ἐν τῷ Μενεξένῳ ὡς ἀπὸ Σωκράτους,
ἀληθές, ὡς οὐ χαλεπὸν τοὺς Ἀθηναίους | ἐπαινεῖσθαι παρὰ τοῖς f. 73ʳ
5 Ἀθηναίοις· ἐπεὶ γὰρ καὶ οἱ ἀκροαταὶ Ἀθηναῖοι, ὁ δὲ τοῦ Ἀθηναίου [f. 75ʳ]
ἔπαινος τοῦ ἑνὸς πρὸς πάντας τοὺς Ἀθηναίους ἀνατρέχει, ἀνάγκη προσε-
κτικοὺς εἶναι τοὺς ἀκροατὰς τοῖς λεγομένοις παρὰ τοῦ ῥήτορος. δύσκολον
δέ ἐστι τὸ τοὺς Ἀθηναίους ἐπαινεῖν παρὰ Λακεδαιμονίοις· ἐπεὶ γὰρ οἱ
Λακεδαιμόνιοι ἐχθροὶ τῶν Ἀθηναίων, οὐ προσέξουσι τοῖς λεγομένοις ὑπὲρ 5
10 Ἀθηναίων. [b 32] τὰ δὲ τοῦ δημηγορικοῦ ἴδια καὶ προοίμια λαμβά-
νονται ἐκ τῶν τοῦ δικανικοῦ λόγου προοιμίων· τὰ δὲ τοῦ δημηγορικοῦ
προοίμια συγκρινόμενα ὅσον πρὸς τὰ τοῦ δικανικοῦ προοίμιά εἰσι φύσει
ἥκιστα ἤτοι μικρά, κἂν καὶ ἐξ αὐτῶν λαμβάνωνται. διὰ τοῦτο δὲ τὰ
προοίμια τῶν δημηγορικῶν εἰσι μικρά, διότι οἱ δημηγοροῦντες λέγουσι περὶ
15 τοιούτου πράγματος, ὃ πάντες ἴσασι, καὶ διὰ τὸ εἶναι τὸ πρᾶγμα πασίδηλον
οὐ δεῖται προοιμίων μεγάλων· ἀλλ' ὃ ἐν τοῖς δημηγορικοῖς λόγοις ἀνάγκη 10
προοιμιάζεσθαι, ἢ δι' ἑαυτόν, ὡς ἂν ἀπορρίψῃ τὴν διαβολὴν ἀφ' ἑαυτοῦ,
εἴ γε ἀντίδικος ἔφθη κατηγορῆσαι αὐτοῦ, καὶ δείξῃ ἑαυτὸν ἀγαθόν, ἢ διὰ
τοὺς ἀντιλέγοντας ἤτοι ἢ προοιμιάζεται, ὡς ἂν παρακινήσῃ τοὺς
20 ἀκροατὰς εἰς ὀργὴν κατὰ τῶν ἀντιδίκων, ἢ ἐὰν οἱ ἀκροαταὶ οὐχ ὑπολαμ-
βάνωσι τὸ πρᾶγμα, περὶ οὗ ὁ λόγος, τοιοῦτον, ἡλίκον βούλει δεῖξαι
αὐτό· ὃ γὰρ μέγα κακὸν βούλει δεῖξαι αὐτό, καὶ ταῦτα τῶν ἀκροατῶν
ὑπολαμβανόντων αὐτὸ ἔλαττον, καὶ τότε δεῖ σε προοιμιάζεσθαι καὶ δει- 15
κνύειν ἐν τῷ προοιμίῳ, ὡς μέγα τὸ κακόν ἐστι, περὶ οὗ ὁ λόγος· ἢ εἰ
25 νομίζουσιν οἱ ἀκροαταὶ τὸ κακὸν μεῖζον, σὺ δὲ ὑπολαμβάνεις αὐτὸ ἔλαττον,
δεῖ σε ἐν τῷ προοιμίῳ δεικνύειν αὐτό, περὶ οὗ ὁ λόγος· ἢ εἰ νομίζει τὸ
ἀγαθόν, περὶ οὗ ὁ λόγος, μικρόν, δεῖ σε δεικνύειν αὐτὸ ἐν τῷ προοιμίῳ,
ὅτι μέγα ἐστίν. [b 36] ἀλλ' ἢ μεῖζον δεικνύειν σε δεῖ ἐν τῷ προοιμίῳ
τὸ ἀγαθὸν ἢ τὸ κακόν, περὶ οὗ ὁ λόγος, ἢ ἔλαττον· διὸ ἢ διαβάλλειν 20
30 δεῖ σε τὸν κατήγορον ἐν προοιμίῳ ἢ ἀπολύεσθαι δεῖ ἤτοι ἀπολύειν
ἑαυτὸν τῆς κατηγορίας, ἣν ἔφθασε κατηγορῆσαί σε ὁ ἀντίδικος. καὶ ἢ
αὐξῆσαι τὸ πρᾶγμα, περὶ οὗ ὁ λόγος, ἢ μειῶσαι ἐν τῷ προοιμίῳ, εἴτε
κακόν ἐστιν ἐκεῖνο εἴτε ἀγαθόν, περὶ οὗ ὁ λόγος. ἀπολύεσθαι μέμψεως

---

3 ὃ γὰρ λέγει Σωκράτης ἐν τῷ ἐπιταφίῳ Arist. Πλάτων ἐν τῷ Μενεξένῳ] cf. 235 D
5 ἐπεὶ V: ἐπειδὴ n 8 δὲ V: γὰρ n 10 fort. καὶ del. 10. 11 λαμβάνε-
ται n 11 λόγου Vn Arist. A: λόγων Arist. BCDE 12 συγκρινόμενα om. n
13 ἥκιστα V Arist.: μήκυστα n μακρὰ n λαμβάνονται n 14 διότι V:
ὅτι n οἱ—ὃ (15) om. n 15 ἴσασιν n πασίδηλον V: πᾶσι δῆλον n
16 ὃ V: om. n 17 ἢ Vn Arist. A: om. Arist. vulg. αὐτὸν Arist.
18 fort. ⟨ὁ⟩ ἀντίδικος 20. 21 ὑπολαμβάνουσι n 21 βούλει Vn Arist. vulg.:
βούλῃ Arist. A 22 ὃ—αὐτὸ om. n ὅ V: exspectes εἰ vel ὅτε 25 κακὸν,
κὸν evanuit, V 26 νομίζει V: νομίζουσι n 33 ἢ διὰ τὸ post λόγος add. n
ἑαυτὸν τῆς post ἀπολύεσθαι add. n

ἢ διαβολῆς. δεῖται δὲ προοιμίου ὁ ῥήτωρ ἕνεκεν τούτων ἤτοι ἕνεκεν f. 73ʳ
τοῦ διαβάλλειν τὸν ἀντίδικον ἢ ἀπολύεσθαι ἑαυτὸν τῆς μέμψεως ἢ αὐξῆ- [f. 75ʳ]
σαι ἢ μειῶσαι· [b 38] ἢ χάριν κόσμου γίνονται τὰ προοίμια, ἵνα μὴ ὁ
λόγος ἀκέφαλος ᾖ, ὅτι, ἐὰν μὴ ἔχῃ ὁ λόγος προοίμιον, ἐστὶν αὐτοκαύδαλος 25
5 ἤτοι ὡς μονότονον, ἤτοι ὡς μονόξυλον· τὰ γὰρ κοντάρια, ὅσα ἔχουσι τὸ
ἄκρον, ἔνθα τὸ ξίφος ἐστί, παρωξυσμένον φύσει, τοῦτο λέγεται αὐτοκαύ-
δαλον· πολλάκις γὰρ ἐξ ἐπιτεχνήσεως παροξύνουσιν αὐτὸ καὶ τιθέασιν ἄνω
ξύλα καὶ ἡλοῦσιν αὐτὸ ξυλοπυρίας καὶ τότε τιθέασι τὸ ξίφος. σχόλιον·
τουτέστιν, ἐὰν μὴ ἔχῃ ὁ λόγος προοίμιον, αὐτοκαύδαλα φαίνονται, τουτέστι
10 μονότονα· ἢ αὐτοκαύδαλον λέγεται τὸ λιτὸν καὶ χωρὶς προοιμίων. 30
[1416 a 2] οὐδὲν προεξαγκωνίσας ἤτοι προοιμιασάμενος, ἐκ μεταφορᾶς
τῶν παλαίειν μελλόντων, οἳ τοὺς ἀγκῶνας αὐτῶν πρότερον προομαλίζουσιν.

15. Ὀφείλεις δὲ προοιμιάζεσθαι ἐξ ἐκείνων, ἐξ ὧν ἄν τις ἀπο-
λύσῃ ἑαυτὸν δυσχεροῦς ὑπολήψεως, οἷον ἐὰν οἱ ἀκροαταὶ ἔχωσι φαύλην
15 περὶ σοῦ ὑπόληψιν καὶ ἡγοῦνταί σε μοχθηρὸν καὶ ἀεὶ θέλοντα συκο-
φαντεῖν καὶ διασύρειν, ὃν ἂν βούλῃ. [a 5] ἔχουσι δὲ ταύτην περὶ 35
σοῦ τὴν ὑπόληψιν, εἴτε εἰπόντος τινὸς κατὰ σοῦ καὶ κατηγορήσαντός
σου, εἴτε καὶ μή τινος κατηγορήσαντός σου, ἀλλ' ἐξ ὧν ποιεῖς κρίνουσί
σε φαῦλον. τοῦτο δεῖ σε ἔχειν καθ' ὅλου παράγγελμα τὸ σπουδάζειν
20 ἀπορρίπτειν καὶ ἀποσκευάζειν ἀφ' ἑαυτοῦ, ἣν ἔχουσιν οἱ ἀκροαταὶ φαύλην
ὑπόληψιν περὶ σοῦ, εἴτε κατεῖπέ τίς σου, ὡς εἴρηται, εἴτε καὶ μή. [a 6]
ἄλλος τόπος τὸ εἰ πρόκειταί τι ὅτι ἔστιν, ἀμφισβητεῖται δὲ καὶ ἀμφι-
βάλλεται τὸ εἰ ἔστιν ἢ οὐκ ἔστιν, ὡς ὁμολογούμενον ὅτι ἔστι, δεῖ σε 40
ἀπαντᾶν καὶ ἐνίστασθαι καὶ δεικνύειν, ὅτι οὐκ ἔστιν ἢ ὅτι τοῦτο τὸ
25 γενόμενον οὐ βλαβερόν ἐστι τούτῳ, καθ' οὗ λέγεται, ἢ ὅτι οὐ πέπρακται
τούτῳ τῷ ἀνθρώπῳ ἤ, εἰ καὶ ἐγένετο, ἀλλ' οὖν οὐκ ἔστι τηλικοῦτον |
τὸ κακὸν ἢ τὸ ἀδίκημα, οἷον ὑμεῖς φατε τοῦτο εἶναι καὶ ὅσον, ἢ οὐκ f. 73ᵛ
ἔχον μέγεθος ἤτοι ἢ οὐ μέγα κακόν ἐστι τὸ πραχθὲν τοῦτο. [a 9] [f. 75ᵛ]
περὶ γὰρ τῶν τοιούτων, ἤτοι εἰ δίκαιόν ἐστιν εἴτε καὶ ἄδικον, εἴτε μέγα
30 εἴτε μικρόν, γίνεται ἀμφισβήτησις· οἷον ὁ Ἰφικράτης κατηγορήθη
παρὰ τοῦ Ναυσικράτους, ὅτι ἐποίησε τόδε, καὶ ἔφη μὲν ὁ Ἰφικράτης
ποιῆσαι, ὃ ἔλεγεν ὁ Ναυσικράτης, καὶ εἶπε βλάψαι, οὐ μὴν δὲ 5

---

1 δεῖται — μειῶσαι (3) V: δεῖ σε προοιμιάζεσθαι n 3 ἢ κόσμου χάριν Arist. 4 αὐτοκαύδαλα Arist. BCDE: αὐτοκάβδαλα Arist. A (cf. supra p. 185,32 sq.) 5 μονότονον n (cf. infra v. 10): μονῶ V ὅσα om. n ἔχουσιν n 6 ἐστὶν n 7 ἐπιτεχνίσεως n 8 ξῦ V ἡλῶσιν n ξυλοπυρίαις n σχόλιον om. n 9 αὐτοκαύδαλος φαίνεται n 10 μονότονος V αὐτοκαύδαλον, ον ex α corr., V λέγεται ex λέγονται corr. V 11 οὐδὲν γὰρ Arist. 12 τῶν V: τοῦ n ἀγῶνας n 17 τινὸς om. n 18 εἴτε — σου om. n 20 ἣν V: εἰ n 22 τόπος Vn Arist. vulg.: τρόπος Arist. A ἔστι n 23 ἐστὶν (post ὅτι) n 24 ἀπαντᾶν Vn Arist. vulg.: ἄπαντα Arist. A ἔστι n 25 ἐστιν n 26 ἢ om. n ἔστιν n 27 ὑμεῖς n: ἡμεῖς V 28 ἐστιν n 29 ἐστι n 30 ἡ ἀμφισβήτησις Arist.

ἀδικῆσαι. καὶ βλάψαι μέν ἐστιν, ὅταν γένηται ἡ βλάβη κατὰ τύχην καὶ f. 73v
ἀπροαιρέτως, ἀδικῆσαι δέ ἐστιν, ὅταν καὶ ἑκουσίως τοῦτο ποιήσῃ καὶ σκο- [f. 75v]
πὸν θήσει τὸ ἁρπάσαι καὶ ἀδικῆσαι. [a 11] ἢ ἀντικαταλλάττεσθαι ἤτοι
ἀνταμείβεσθαι τὸν ἀδικοῦντα ἤτοι 'ἠδίκησέ με ὁ δεῖνά ποτε καὶ διὰ
5 τοῦτο ἀντηδίκησα καὶ ἐγὼ αὐτόν'. ἢ καὶ οὕτως 'εἰ καὶ βλαβερόν ἐστιν,
ὃ ἐποίησεν, ἀλλ' ὠφέλιμον'. ἢ ὁμολογεῖν, ὅτι τοῦτο, ὃ ἐποίησεν, 10
[a 13] ἁμάρτημά ἐστιν ἢ ἀτύχημα ἢ ἀναγκαῖον. Σοφοκλῆς, οὐχὶ
ὁ ποιητὴς ἀλλ' ἕτερός τις, κατηγορήθη παρά τινος, ὅτι ἵσταται καὶ τρέμει
εἰς τὸ δικαστήριον ἐξεπίτηδες, ἵνα δόξῃ γέρων καὶ διὰ τοῦτο κινήσῃ εἰς
10 ἔλεον τὸ δικαστήριον, καὶ εἶπεν ὅτι 'τρέμω ἱστάμενος ἐν δικαστηρίῳ, οὐχ
ἵνα δόξω γέρων, ὡς ὁ διαβάλλων ἔφη, ἀλλ' ἐξ ἀνάγκης, διότι εἰμὶ ὀγδοή-
κοντα ἐτῶν· οὐχὶ ἑκὼν δὲ ἐγενόμην ὀγδοήκοντα ἐτῶν'. ἀτύχημά ἐστιν 15
ἡ κατὰ τύχην βλάβη, ἁμάρτημα δέ ἐστιν ἡ κατὰ προαίρεσιν βλάβη.
[a 17] καὶ ἀντικαταλλάττεσθαι τὸ οὗ ἕνεκα ταῦτα πάντα ποιεῖν,
15 ὅτι, εἰ σκοπὸν ἔχων τὸ κρατῆσαι τὰς Ἀθήνας ληίζομαι τὴν περίχωρον
πᾶσαν, εἴ μοι γένηται τὸ κρατῆσαι τὰς Ἀθήνας, ἐάσω τὸ ληίζειν· ἀντι-
καταλλάττω γὰρ καὶ θέλω λαβεῖν τὰς Ἀθήνας, οὗ χάριν ληίζομαι, ἀντὶ
τῶν πρὸς τοῦτο ἀγόντων ἤτοι τοῦ ληίζειν καὶ τῶν ἕνεκα τοῦ τέλους γινο- 20
μένων. [a 17] ἢ ὅτι οὐ βλάψαι ἠβουλόμην ἀλλὰ τόδε ἤτοι ὠφελῆσαι,
20 κἂν συνέβη γενέσθαι τὸ ἐναντίον, καὶ οὐ τοῦτο ἐποίησεν, ὃ διεβάλλετο
ποιῆσαι, ἀλλ' ἕτερον, συνέβη δὲ αὐτὸν βλαβῆναι ἐκ τούτου· δίκαιον
δὲ ἦν ἐμὲ μισεῖν, εἰ ἐποίουν τοῦτο, ὅπως τοῦτο γένηται ἤτοι ὅπως
αὐτὸς βλαβῇ. [a 20] ἄλλος τόπος, εἰ ὁ διαβάλλων ἐμπεριείληπται
καὶ αὐτὸς ἐμπίπτει εἰς τὴν διαβολὴν ἐκείνην, ἣν διαβάλλει τὸν ἀντίδικον,
25 ἤτοι κατηγόρησα τοῦ δεῖνος ὡς μοιχοῦ, εἶτα ἠνοχοποιήθην καὶ αὐτὸς ἐπὶ 25
μοιχείᾳ. ἢ νῦν ἢ πάλαι ἤ τις τῶν ἐγγὺς ἤτοι τῶν συγγενῶν, ἤτοι ἢ
αὐτὸς μὲν οὐχ ὡς μοιχὸς ἥλω, ἀλλά τις τῶν συγγενῶν αὐτοῦ. [a 21] ἢ
ἐὰν ἄλλοι ἐμπεριλαμβάνωνται τῇ κατηγορίᾳ ταύτῃ τῆς μοιχείας, οὓς
ὁμολογοῦσιν εἶναι μὴ ἐνόχους ἀλλ' ἐπὶ ὑπολήψει ἀγαθούς, οἷον εἰ ὁ
30 μοιχὸς καθαρός, καὶ ὁ δεῖνα ἄρα καὶ ὁ δεῖνα μοιχοὶ ὄντες καθαροί
εἰσιν· ἀλλὰ μὴν ἀκάθαρτοί εἰσι· καὶ λοιπὸν ἄρα οὐδὲ ὁ μοιχὸς καθαρός 30
ἐστιν. [a 24] ἄλλος τόπος· ἐν τῷ προοιμίῳ δεικνύειν ὀφείλεις ὅτι
'οὗτος ὁ κατηγορῶν ἐμοῦ νῦν καὶ ἄλλους διέβαλεν, οὐχὶ ἐμὲ μόνον'·
ἢ ἄλλος αὐτὸν διέβαλεν ὡς φαῦλον καὶ ὑβριστήν· ἢ καὶ ὁ δεῖνα καὶ ὁ

---

1 ἀδικῆσαι Vn Arist. BCQTr.: ἀδικεῖν Arist. cet. ἐστι n 2 καὶ (post ὅταν) om. n
3 θήσῃ n 6 ἢ om. n ὃ om. n ἄλλος τόπος post ἐποίησεν add. n ex Aristotele
7 ἐστι n 11 ἔφη om. n εἰμὶ n: εἰ μὴ V 12 δὲ ἑκὼν n ἐστι n 13 δέ
om. n ἐστι n 14 exspectes ποιεῖ 15 ἔχων n: ἔχω V 22 ὅπως Vn Arist.
vulg.: οὕτως Arist. A 23 τόπος V: om. n Arist. ἐμπεριείληπται ὁ διαβάλλων
Arist. 27 μὲν V: μὴν n 29 μὴ ἐνόχους V Arist.: μοιχοὺς n μὴ ἐνόχους
εἶναι Arist. 29. 30 εἰ καθαρὸς ὁ μοιχός Arist. 30 ἄρα καὶ ὁ δεῖνα Vn: καὶ
ὁ δεῖνα ἄρα Arist. vulg.: καὶ ὁ δεῖνα om. Arist. ATr. 31 εἰσιν (ante καὶ) n
32 ἐστι n 33 διέβαλεν V: διέβαλλεν n Arist. BQY^{b}Z^{b}: διαβαλεῖν, εῖν in ras., Arist. A
34 αὐτὸν Vn: *ipsum* Arist. Tr.: αὐτὸς Arist. A: αὐτοὺς Arist. vulg. διέβαλλεν n

δεῖνα, οἳ πεφήνασιν οὐκ ἔνοχοι ἤτοι οὐκ ἠνοχοποιήθησάν ποτε ἐπί f. 73v
τινι ἐγκλήματι, ἄνευ διαβολῆς εἶναι ὑπολαμβάνονται καὶ ἀδιάβλητοι [f. 75v]
ὡς ἐπιεικεῖς, ἀλλ' ὕστερον ἐφάνησαν φαῦλοι, ὡς καὶ αὐτὸς ὁ νῦν κατηγορῶν
μου, εἰ καὶ οὐδέποτε κατηγορήθη, ἀλλ' ἐγὼ νῦν δείξω αὐτὸν φαῦλον καὶ
5 βδελυκτόν. [a 26] ἄλλος τόπος, προοίμιον ἐκ τοῦ διαβάλλειν τὸν
φθάσαντά σε διαβαλεῖν· οἷον ἄτοπόν ἐστιν, εἰ αὐτὸς ἄπιστος ὢν οἱ
λόγοι αὐτοῦ πιστοὶ ἔσονται. ἄλλος τόπος ὅτι 'οὐκ ἐγὼ μέλλω τοῦτον
δεῖξαι φαῦλον, ἀλλὰ πάλαι κατηγορήθη καὶ ἐγένετο κρίσις καὶ ἀπόφασις
τῶν δικαστῶν, ὅτι φαῦλός ἐστιν.' [a 29] ὁ Ὑγιαίνων ὄνομα κύριον. ἐν
10 τῇ ἀντιδόσει ἤτοι ἐν τῷ λόγῳ τῷ λεγομένῳ ἀντιδόσει. ὅστις, ὁ
Ὑγιαίνων, ἐποίησεν ἤτοι ποιητικῶς εἶπε κελεύων πάντας ἐπιορκεῖν ἐν
τῷ λέγειν 'ἡ μὲν γλῶσσά μου ὤμοσεν, ἡ δὲ φρήν μου καὶ ὁ νοῦς μου
ἀνώμοτά ἐστιν' ἤτοι οὐ συγκατατιθέμενος τοῖς λεγομένοις παρὰ τῆς
γλώσσης μου, καὶ ἐπεὶ οὐ κατετίθετο, λοιπὸν οὐκ ἐπιώρκητο ὁ Εὐριπίδης
15 ἐν τῷ Ἱπολύτου δράματι. [a 31] ἔφη | γὰρ ὁ Εὐριπίδης αὐτὸν f. 74r
ἀδικεῖν ἤτοι τὸν ἕλκοντα τὸν Εὐριπίδην εἰς τὰ δικαστήρια, καὶ ταῦτα [f. 76r]
τοῦ νόμου κελεύοντος κρίνεσθαί με ἐν τοῖς Διονυσιακοῖς ἀγῶσιν. ἐκεῖ
γὰρ ἐν τοῖς Διονυσιακοῖς ἀγῶσιν ἔλεγε δεῖν κριθῆναι καὶ λόγους δοῦναι,
εἰ βούλεται κατηγορεῖν ὁ Ὑγιαίνων. τὰ Διονύσια πανήγυρις ἦν· καὶ
20 ἦσαν δίκαι τινὲς λυόμεναι παρὰ τοῖς Διονυσίοις μόνοις, οὐ μὴν δὲ καὶ ἐν 5
τοῖς ἄλλοις δικαστηρίοις ἐκρίνοντο αἱ δίκαι αὗται. [a 34] ἐκ τοῦ κατη-
γορεῖν τῆς διαβολῆς καὶ δεικνύναι, ἡλίκον κακὸν ἡ διαβολή, καὶ ὅτι
ἡ διαβολὴ ποιεῖ κρίσεις ἄλλας ἤτοι διαστρέφει τοὺς δικαστὰς καὶ οὐκ ἐᾷ
αὐτοὺς κρίσιν καὶ ἀπόφασιν ἀληθῆ ἐκφέρειν, ἀλλὰ ἄλλας κρίσεις παρὰ τὰς
25 ἀληθεῖς ἤτοι διεστραμμένας ἀποφαίνονται, καὶ ὅτι ἡ διαβολὴ πείθει μὴ
πιστεύειν τῷ πράγματι καὶ τῇ ἀληθείᾳ. [a 36] κοινὸς δὲ τόπος ἀμ- 10
φοῖν ἁρμόζων καὶ τῷ κατηγόρῳ καὶ τῷ ἀπολογουμένῳ τὸ λέγειν σύμ-
βολα καὶ σημεῖα, δι' ὧν ἂν δεικνύῃ, ὅτι ὁ δεῖνα φαῦλός ἐστιν ἢ φίλος ἢ
ἐχθρός, ὡς ὁ Ὀδυσσεὺς κατηγορῶν τοῦ Τεύκρου ἔφη αὐτὸν οἰκεῖον εἶναι
30 καὶ συγγενῆ τῷ Πριάμῳ (ἡ γὰρ Ἡσιόνη, ἡ μήτηρ τοῦ Τεύκρου,
ἀδελφὴ ἦν τοῦ Πριάμου) καὶ διὰ τοῦτο εἰκὸς αὐτὸν προδοῦναι τοὺς
Ἕλληνας· ὁ δέ, ὁ ἀπολογούμενος ὑπὲρ τοῦ Τεύκρου, εἶπε, ὅτι οὐκ εἰκὸς
αὐτὸν προδοῦναι· ὁ γὰρ Τελαμών, ὁ πατὴρ τοῦ Τεύκρου, ἐχθρὸς ἦν 15

---

1 οὐκ (post ἤτοι) om. n 2 ὑπελαμβάνοντο n Arist. 3 ὁ om. Arist. 5 τοῦ ἀντιδιαβάλλειν Arist. A: τοὐναντίον διαβάλλειν Arist. B: τοῦ ἐναντίου διαβάλλειν Arist. cet. 6 ἄτοπον γάρ, εἰ, ὃς αὐτὸς ἄπιστος, οἱ τούτου λόγοι ἔσονται (ἔσονται λόγοι vulg.) πιστοί Arist. 9 ἐστι n 10 ὁ om. n 11 εἶπεν n ἐπιοικεῖν n 12 μου (post νοῦς) om. n 13 ἀνώμοτός n 14 γλώττης n Εὐριπίδης] Hipp. 612 15 τῷ vix cognoscitur V: om. n 18 ἔλεγεν n 19 βούλεται Vn Arist. A: ἐβούλετο Arist. CDE: ἠβούλετο Arist. cet. 20 μόνοις om. n 21 ἄλλος ante ἐκ add. n 21. 22 ἐκ τοῦ (ἐκ ins. A) διαβολῆς κατηγορεῖν Arist. 26. 27 δ' ἀμφοῖν ὁ τόπος Arist. 27. 28 τὸ σύμβολα λέγειν Arist. 30 συγγενεῖ n 32 ὁ (post δὲ) om. n exspectes εἶπεν 33. p. 239,1 ὁ πατὴρ ἐχθρὸς τῷ Πριάμῳ ὁ Τελαμών Arist.

τῷ Πριάμῳ (ὁ γὰρ Αἴας ἐξ ἑτέρας ἦν μητρός)· καὶ ὅτι οὐ κατεῖπε f. 74r
τῶν κατασκόπων ἤτοι τοῦ Διομήδους καὶ τοῦ Ὀδυσσέως. [b 4] ἄλλος [f. 76r]
τὸ διαβάλλοντα ἐπαινοῦντα μικρὸν μακρῶς ψέξαι, ἤτοι ἐὰν μέλλῃς
διαβαλεῖν τινα, μὴ εἴπῃς ὅλα τὰ πρὸς διαβολὴν αὐτοῦ συντείνοντα, ἀλλὰ
5 πρῶτον ἐπαίνεσαι μικρόν τι αὐτόν, εἶτα χώρησαι εἰς μακρὰν διαβολὴν
αὐτοῦ καὶ ψέξαι μεγάλως, ἵνα μὴ ἐκ τοῦ διαβάλλειν αὐτὸν μόνον δόξῃς 20
ἐχθρὸς αὐτοῦ εἶναι· καὶ εἴ τι μέγα ἀγαθὸν ἔχει, δεῖ αὐτὸ συντόμως
εἰπεῖν καὶ μικρὸν ἐν αὐτῷ ἐνδιατρῖψαι· ἢ δεῖ σε πρῶτον εἰπεῖν πολλὰ
ἀγαθὰ αὐτοῦ καὶ κατορθώματα μὴ συντείνοντα εἰς τὴν ὑπόθεσιν, εἶτα
10 ψέξαι ἕν τι αὐτοῦ, ὅπερ φέρει καὶ συντείνει εἰς τὸ πρᾶγμα ἤτοι εἰς
τὴν ὑπόθεσιν ἤτοι εἰς τὸ δεῖξαι αὐτὸν κακόν· μὴ συντείνοντα εἰς τὴν ὑπό-
θεσιν, ἤτοι ἵνα μὴ ἐκ τῶν ἀγαθῶν αὐτοῦ, ὧν λέγεις, δείκνυται, ὅτι μοιχὸς
οὐκ ἔστιν, εἴ γε ἐγκαλεῖται. [b 1] σύμβολον δέ ἐστι τοῦ εἶναι τὸν Τεῦκρον 25
προδότην τῶν Ἑλλήνων τὸ εἶναι τὴν Ἡσιόνην, τὴν μητέρα αὐτοῦ, ἀδελφὴν
15 τοῦ Πριάμου. [b 6] τοιοῦτοι δέ εἰσιν οἱ τεχνικώτεροι ῥήτορες οἱ τεχνι-
κῶς ἐπιχειροῦντες εἰς τὸ διαβάλλειν ἐκ τοῦ πρῶτον λέγειν τὸν ῥήτορα,
εἴ τι ἀγαθὸν ἔχει ὁ διαβαλλόμενος μὴ συντεῖνον εἰς τὸ ἀνατρέψαι τὸ ὃ
ἐγκαλεῖται ἔγκλημα, εἶτα λέγειν καὶ κακόν τι, δι' οὗ δέδεικται, ὡς τοιοῦτός
ἐστιν, οἷος ἐγκαλεῖται. ἀδικώτατοι δὲ λέγονται οἱ τοιοῦτοι ῥήτορες οἱ 30
20 οὕτω μεταχειριζόμενοι τὴν διαβολὴν ὡς συστρέφοντες καὶ συνταράττοντες
τὴν ἀλήθειαν ἐκ τοῦ οὕτως τεχνικῶς ἐπιχειρεῖν διαβάλλειν. [b 7] ἐν τοῖς
ἀγαθοῖς γάρ, ἤτοι ἀπὸ τοῦ λέγειν γὰρ πρῶτον τὰ ἐνόντα τῷ διαβαλλο-
μένῳ ἀγαθά, εἶτα τὰ φαῦλα, πειρῶνται βλάπτειν τὴν ἀλήθειαν συμπαρα-
μιγνύντες αὐτὰ τὰ ἀγαθὰ τοῖς κακοῖς καὶ μὴ λέγοντες μόνα τὰ ἐνόντα
25 αὐτοῖς φαῦλα· ἐντεῦθεν γὰρ καὶ οἱ δικασταὶ διαστρέφονται καὶ οἴονται 35
αὐτὸν ἀληθῆ εἶναι καὶ διὰ τοῦτο πιστεύουσι καὶ αὐτῷ. [b 8] ὁ δὲ τοιοῦτος
τόπος κοινός ἐστι καὶ τῷ διαβάλλοντι καὶ τῷ ἀπολυομένῳ ἤτοι τῷ
ἀπολογουμένῳ καὶ ἐκβάλλοντι ἑαυτὸν τῆς διαβολῆς, ἐπεὶ καὶ ἐνδέχεται καὶ
ἐγχωρεῖ τὸ αὐτὸ καὶ ἓν πρᾶγμα γενέσθαι διὰ πλείονα τὰ αἴτια, ὧν (τῶν
30 αἰτίων) τὰ μέν εἰσι φαῦλα καὶ λυσιτελοῦντα τῷ διαβάλλοντι, τὰ δέ εἰσιν
ἀγαθὰ καὶ λυσιτελοῦντα τῷ ἀπολογουμένῳ. καὶ τὸν μὲν διαβάλλοντα δεῖ
κακοηθέστερον ἤτοι κακόηθως ἐκλαμβάνειν πᾶν ἐπὶ τὸ χεῖρον, κἂν 40
ἀγαθὸν ᾖ, τὸν δὲ ἀπολυόμενον ἤτοι τὸν ἀπολογούμενον δεῖ ἐκλαμβάνειν
πᾶν ἐπὶ τὸ βέλτιον, κἂν κακὸν ᾖ, [b 12] οἷον ὁ Διομήδης πεμπό-
35 μενος κατάσκοπος ἔλαβε σὺν αὐτῷ καὶ τὸν Ὀδυσσέα· καὶ τῷ μὲν ἤτοι

τ

1 μητέρος n 3 διαβάλλον V τῷ διαβάλλοντι τῷ (τῷ om. CQ) ἐπαινοῦντι Arist. 4 διαβάλλειν n 5 ἐπαίνεσον n; cf. Ind. 7 ἔχῃ n 10 ὃ εἰς τὸ πρᾶγμα προφέρει ἓν ψέξαι Arist. 13 τὸν V: αὐτὸν n 14 μητέραν n 19 ἐστι n 21 οὕτω n 22 γὰρ (ante πρῶτον) V: τὸ n ἐνόντα V: ἐναντία n 24 μόνον n 26 πιστεύουσιν n 27 ἐστι om. n ἀπολυομένῳ V Arist. (praeter Yb): ἀπολογουμένῳ n Arist. Yb 28 ἤτοι—ἐκβάλλοντι om. n ἐπεὶ Vn Arist. vulg.: ἐπειδὴ Arist. A 29 τὰ om. n 32 κακοηθέστερον Vn Arist. C: κακοηθιστέον Arist. cet. ἤτοι om. n 33 ἀπολυόμενον ἤτοι τὸν om. n

τῷ ἀπολογουμένῳ ἐκληπτέον αὐτὸ οὕτως, ὅτι ὡς ἄριστον καὶ ὡς ἔκ- f. 74ʳ
κριτον τῶν ἄλλων αὐτὸν προείλετο λαβεῖν, τῷ δὲ ἤτοι τῷ κατηγόρῳ | [f. 76ʳ]
τοῦ Ὀδυσσέως οὕτως ἐκληπτέον, ὅτι οὐ διὰ τὸ εἶναι αὐτὸν ἄριστον f. 74ᵛ
τῶν ἄλλων προείλετο ἀλλὰ διὰ τὸ εἶναι μᾶλλον ἀσθενῆ καὶ φαῦλον [f. 76ᵛ]
καὶ μὴ δυνάμενον ἀνταγωνιστεῖν καὶ ἀντιπίπτειν αὐτῷ· ὥστε, ἵνα μὴ ἀντιπίπτῃ αὐτῷ, ἀλλὰ κατὰ πάντα ἐπακολουθῇ τῷ αὐτοῦ θελήματι, διὰ τοῦτο αὐτὸν ἠθέλησε λαβεῖν· εἰ γὰρ ἄλλον ἄριστον ἔλαβεν, οὐκ ἂν κατεδέχετο αὐτοῦ ἀκούειν.

16. Διήγησις ἐν μὲν τοῖς ἐπιδεικτικοῖς οὐκ ἔστιν ἐφεξῆς ἤτοι συνημμένη καὶ κατὰ τάξιν, ἤτοι οὐκ ἔστι πρῶτον διηγήσασθαι πάσας † τε, ὅσας πράξεις ἐποίησεν, ἤτοι ὡς ἀνδρεῖος ὅσας ἐποίησε καὶ ὅσας ὡς σώφρων καὶ ὅσας ὡς φρόνιμος, εἶτα χωρῆσαι εἰς αὔξησιν τῶν τοιούτων πράξεων, ὡς δεῖξαι αὐτὰς ἢ μείζους ἢ φαύλας, ἀλλὰ κεκερματισμένως, ὡς πρῶτον εἰπεῖν, ἃς πράξεις ἐποίησεν ὡς φρόνιμος. εἶτα χωρῆσαι εἰς αὔξησιν αὐτῶν καὶ οὕτω μίαν ἑκάστην λέγειν καὶ εὐθὺς αὐξάνειν αὐτήν. ἢ τὸ [b 16] ἐφεξῆς κατὰ τάξιν ἤτοι τὸ λέγειν πρῶτον, ἣν πρῶτον ἐποίησε, καὶ τοῦ καιροῦ, καθ' ὃν ταύτην ἐποίησεν, εἶτα λέγειν, ἣν μετὰ ταῦτα ἐποίησε, καὶ μνημονεύειν τοῦ καιροῦ, ἐν ᾧ αὕτη ἐγένετο, καὶ μὴ λέγειν αὐτὰς χύδην καὶ ὡς ἔτυχεν, ἀλλὰ τὴν μὲν πρώτην εἰπεῖν πρῶτον καὶ δευτέρως τὴν δευτέραν. ἐξ ὧν ὁ λόγος· ὁ γὰρ λόγος ἐκ τῶν πράξεων σύγκειται. [b 18] τὸ μὲν ἄτεχνον ἤτοι τὸ διηγεῖσθαι τὰς πράξεις αὐτοῦ ἐγκωμιαζομένου οὐχὶ τεχνικόν ἐστι· τί γὰρ ἡ τέχνη ἢ ὁ λέγων ῥήτωρ συμβάλλεται εἰς τὸ διηγήσασθαι τὰς πράξεις; αὗται γὰρ αἱ πράξεις ψιλαὶ λέγονται· τὸ δὲ ἤτοι τὸ ἐπαυξῆσαι τὰς πράξεις καὶ ἀποδεῖξαι αὐτὰς μείζους ἐκ τῆς ῥητορικῆς τέχνης ἔχομεν καὶ τὸ ἀποδεῖξαι, ὅτι οὕτως μὲν ἐγένετο ἢ οὐκ εἰκὸς πιστευθῆναι, ὅτι ἐγένετο. [b 20] τοῦτο δέ, ὃ οὐ δίδωσιν ἡ τέχνη, ἐστὶ τὸ ἀποδεῖξαι, ἢ ὅτι ἔστι καὶ ἐγένετο ἥδε ἡ πρᾶξις καὶ οὐκ ἄπιστόν ἐστιν, ὅτι ἐγένετο, κἂν δοκῇ τισιν ἄπιστον, ἢ ὅτι ποιόν ἐστι, δεικνύει, ἤτοι ἆρά γε ἀγαθή ἐστιν ἥδε ἡ πρᾶξις ἢ φαύλη. ἢ δεικνύει, ὁπόσον ἐστὶ τὸ πραχθέν, μέγα ἢ μικρόν, ἢ καὶ ἅπαντα δείκνυσιν, ὅτι οὐκ ἄπιστόν ἐστι τόδε γενέσθαι καὶ ὅτι καλόν ἐστι καὶ ὅτι μέγα ἐστί· ἢ τἀναντία δείκνυσιν, ἤτοι ὅτι ἄπιστον καὶ ὅτι κακὸν καὶ ὅτι μικρόν. [b 21] διὰ τοῦτο δὲ οὐ δεῖ πάντα διηγεῖσθαι ἐφεξῆς ἤτοι συνημμένως, ἤτοι οὐ δεῖ λέγειν τὰς ἀνδρικὰς πράξεις καὶ ὅσα ὡς δίκαιος ἔπραξε καὶ ὅσα ὡς σώφρων καὶ ὅσα ὡς σοφός, εἶτα ἀνακεφαλαιοῦσθαι καὶ

---

5 ἀνταγωνιστεῖν V Arist. CYᵇ: ἀνταγωνιστὴν Arist. cet.: ἀνταγωνίζειν n 7. 8 κατεδέχετο V: ποτε ἐδέχετο n 9 διήγησις n: διήγησιν V: διήγησις δ' Arist. ἔστιν οὐκ Arist. ἤτοι n: evanuit V 13 post ἀλλὰ spatium vacuum cr. XIV litterarum V 15 ἢ τὸ V: ἤτοι n 16 ἣν πρώτην n ἐποίησε — ταύτην (17) om. n 17 ταύτην ex ταῦτα corr. V 24 αὐξῆσαι n 25 οὕτως n: αὔτως V

28 ἐστι n ἄπιστ (post τισιν) V 29 ἐστι ἥδε n 30 ὁπόσον Vn: ὅτι ποσόν Arist. 32 ἐστίν n δείκνυσιν — πάντα (33) om. n κακὸν scripsi: καλὸν V 34 δίκαιος ex δικαίως corr. V

αὔξειν τὰς ἀνδρικὰς πράξεις, εἶτα ὅσα ὡς δίκαιος ἔπραξε δεικνύειν μέλλει f. 74ᵛ
καὶ ὅσα ὡς σώφρων· [b 22] τὸ γὰρ δεικνύναι οὕτως καὶ αὔξειν ἤτοι [f. 76ᵛ]
ὕστερον δυσμνημόνευτον γίνεται τοῖς ἀκροαταῖς· εἰ γὰρ πάντα, ὅσα 26
ἐποίησε, διηγήσομαι συνημμένως, εἶτα μέλλω ἀνακεφαλαιώσασθαι καὶ
5 αὔξησιν ἑνὸς ἑκάστου ὧν εἶπον ἐν τῇ διηγήσει ποιήσασθαι, οὐκέτι οἱ
ἀκροαταὶ ἐπὶ μνήμης ἕξουσιν, ὅσα εἶπον ἐν τῇ διηγήσει, ἵνα ἀκολούθως
ἕπωνται καὶ τῇ τούτων αὐξήσει. ἐκ τούτων μὲν οὖν τῶν ἐπιχειρημάτων
δειχθήσεται ἀνδρεῖος, ἐξ ἄλλων δὲ σοφός. [b 24] καὶ ἁπλούστερος 30
ὁ λόγος οὗτός ἐστιν ἤτοι τὸ ἀποδεικνύειν, ὅτι ἀνδρεῖός ἐστι, καὶ εὐθὺς
10 χωρεῖν εἰς αὔξησιν τούτου, εἶτα δεικνύειν αὐτὸν σοφὸν καὶ εὐθὺς εἰς
αὔξησιν χωρεῖν αὐτοῦ, ἤτοι ῥᾴδιόν ἐστι τὸ μὴ ἐφεξῆς διηγεῖσθαι· ἐκεῖνος
δὲ ὁ λόγος ὁ ἀφηγούμενος πάσας τὰς πράξεις αὐτοῦ, οἷον ὅτι δίκαιός ἐστι
καὶ ὅτι σοφὸς καὶ ὅτι σώφρων, εἶτα χωρῶν εἰς αὔξησιν ἑνὸς ἑκάστου
αὐτῶν ποικίλος ἐστὶ καὶ οὐ λιτὸς καὶ ἔτι δυσμνημόνευτος τοῖς ἀκροα- 35
15 ταῖς. [b 25] δεῖ δέ, ἐν οἷς διηγῇ, ἀναμιμνήσκειν τοὺς γνωρίμους ὅτι
'οὐ ταῦτα διηγοῦμαι, ἃ ὑμεῖς γινώσκετε'. διὸ οἱ πολλοὶ γινώσκοντες
ταῦτα οὐδὲ δέονται διηγήσεως, ἵνα αὐτοῖς ταῦτα παραστήσῃ· οἷον
εἰ θέλεις ἐπαινεῖν τὸν Ἀχιλλέα, λέγε 'ἴσασι μὲν τὰς πράξεις αὐτοῦ
πάντες, ἀλλὰ δεῖ χρῆσθαι αὐταῖς' ἤτοι διηγεῖσθαι δεῖ πάλιν αὐτάς, κἂν
20 πάντες αὐτὰς ἴσασιν, ἵνα χρῶνται αὐταῖς· τὸν γὰρ Ἀχιλλέα πάντες γινώ-
σκουσι καὶ τὰς πράξεις αὐτοῦ. [b 28] τὸν δὲ Κριτίαν, ἐπεὶ ἀγνοοῦσιν, 40
εἰ θέλεις ἐπαινεῖν αὐτόν, δεῖ διηγεῖσθαι τὰς πράξεις αὐτοῦ, ἵνα πάντας
αὐτὰς ἀναδιδάξῃς.

[1367 b 26] Ὁ μὲν ἔπαινός ἐστι τοῦ τῶν ἕξεων μεγέθους, οἷον ὁ
25 δεῖνα ἀνδρικώτατος· τὸ δὲ ἐγκώμιον τῶν ἔργων ἤτοι τῶν ἀποτελεσμά-
των· ὁ γὰρ ἔπαινος λόγος ἐστὶν ἐμφανίζων τὸ μέγεθος | τῆς f. 75ʳ
ἀρετῆς ἤτοι τῆς ἕξεως. [1367 b 27] δεῖ οὖν τὰς πράξεις δει- [f. 77ʳ]
κνύναι, ὡς μεγάλαι, ἃς δι' ὅλης τῆς ζωῆς αὐτοῦ ἔπραξε. τὸ δὲ ἐγκώ-
μιόν ἐστι τῶν ἔργων τῶν νῦν πραχθέντων παρ' αὐτοῦ καὶ προσεχῶς.
30 ἤ, εἰ βούλει, νόησον πράξεις τὰς ἐνεργείας καὶ τὰ ἔργα αὐτοῦ καὶ λάβε
'τὸ δέ, τὸ ἐγκώμιον', τὸ δέ ἀντὶ τοῦ γάρ. εὗρον καὶ σχόλιον τοιοῦτον·
οἷον ὅτι ἐποίησεν ἔργα ἀνδρεῖα βαρβάρους τροπωσάμενος καὶ νίκας πολλὰς 5

λλ'

1 με V: fort. μέλλειν 2 οὕτω n 4 ἐποίησεν, διηγήσωμαι n 5 αὔξησιν V: αὔξειν n 6 ἕξουσιν ὅσα εἶπον scripsi: ἥξουσιν ὅσα εἶπεν Vn 8 δειχθήσεται V: δεῖνα θήσεται n 13 χωρῶν scripsi: χωρεῖν Vn 14 ἐστὶν n 16 ὑμεῖς n: ἡμεῖς V γινώσκεται n 17 οὐδὲ V: οὐ n: οὐδὲν Arist. 18 Ἀχιλλέα ἐπαινεῖν Arist. ἀπαινεῖν n 19 δεῖ (ante πάλιν) om. n 24 ὁ μὲν ἔπαινος usque ad p. 243,5 κωλύειν spectant ad Arist. I 9 p. 1367ᵇ27—1368ᵃ9, quae etiam in Aristotelis codicibus hoc libri tertii loco repetita sunt (cf. p. 55,16 sq.). lectionum a textu Aristoteleo differentium hic rationem non duxi praeter eas codicis Aᶜ lectiones, quas Roemer litteris Aᶜp significavit ἐστιν n 26 ὁ γὰρ om. n 28 μεγάλας n ἔπραξεν n 29 ἐστι om. n: post ἔργων ponit Arist. 30. 31 λάβε τόδε n 31 εὗρον καὶ σχόλιον τοιοῦτον V: τῶν ἔργων ἐστί n ex Aristotele

συστησάμενος. [1367b29] τὰ δὲ κύκλῳ ἤτοι τὰ ἐκτὸς τοῦ πράγματος, f. 75r
οἷον εὐγένειαν. ἀνατροφήν, παιδείαν, λάβε εἰς πίστιν καὶ ἀπόδειξιν τῶν [f. 77r]
τοιούτων ἔργων, ὅτι μεγάλα εἰσίν· εἰκὸς γὰρ ἀγαθοὺς εἶναι τοὺς ἐξ ἀγα-
θῶν γεννηθέντας καὶ τὸν οὕτω τραφέντα ἀγαθῶς τοιοῦτον εἶναι
5 ἤτοι ἐπιτελεστὴν τοιούτων ἔργων μεγάλων· διὸ καὶ ἐγκωμιάζομεν τοὺς
πράξαντας νῦν τόδε τὸ ἔργον. τὰ δὲ ἔργα καὶ τὰ ἀποτελέσματα λαμ- 10
βάνομεν ὡς σημεῖα τῶν πράξεων· ἐπεὶ γὰρ τόδε τὸ ἔργον μέγα ἐστὶ
τοῦ Ἀλεξάνδρου, λοιπὸν καὶ πᾶσαι αἱ πράξεις αὐτοῦ μεγάλαι εἰσὶν αἱ δι' ὅλης
τῆς ζωῆς αὐτοῦ πραχθεῖσαι. [1367b33] ἐπεί, εἰ πιστεύοιμεν καὶ γνωρί-
10 ζοιμέν τινα, ὅτι τοιοῦτός ἐστιν ἤτοι ἀγαθὸς ἢ ἀνδρεῖος, ἐπαινοῖμεν αὐτὸν
ὡς τοιάνδε ἕξιν ἔχοντα καὶ μὴ πεπραχότα, ἤτοι εἰ καὶ μὴ γινώσκομεν
αὐτόν, ὅτι ἀνδρικήν τινα ἐποίησε πρᾶξιν, ἢ εἰ καὶ μὴ ἔπραξέ ποτε ἀνδρικόν
τι. ὁ μακαρισμὸς δὲ καὶ ὁ εὐδαιμονισμὸς ταὐτὰ μέν εἰσιν ἑαυτοῖς 15
ἤτοι ἀλλήλοις, οὐ ταὐτὰ δέ εἰσι τούτοις ἤτοι τῷ ἐγκωμίῳ καὶ τῷ ἐπαίνῳ,
15 ἀλλ' ὥσπερ ἡ εὐδαιμονία περιέχει τὴν ἀρετήν, οὕτω καὶ ὁ εὐδαι-
μονισμὸς περιέχει ταῦτα ἤτοι τὸν ἔπαινον καὶ τὰ ἐγκώμια· ὁ γὰρ
ἔπαινος τῆς ἀρετῆς ἐστιν. ἐπεὶ δὲ τὴν ἀρετὴν περιέχει ἡ εὐδαιμονία, λοιπὸν
ἄρα καὶ ἡ εὐδαιμονία περιέχει τὸν ἔπαινον καὶ τὸ ἐγκώμιον. ὁ ἔπαινος δὲ
καὶ αἱ συμβουλαὶ ἔχουσί τι κοινὸν εἶδος· ἃ γάρ τις συμβουλεύων ὑπό-
20 θοιτο καὶ συμβουλεύσοι τινὶ ὥστε ποιῆσαι αὐτά, ταῦτα μεταθεὶς καὶ ἀλλοιώσας 20
τῇ λέξει ἐγκώμια γίνεται. [1368a1] ἐπεὶ οὖν ἔχομεν, τίνα δεῖ
πράττειν τὸν ἐπαινούμενον καὶ ποδαπὸν δεῖ εἶναι τὸν ἐπαινούμενον ἤτοι ἀγαθόν,
ταῦτα ὁ λέγων ὡς ὑποθήκας ἤτοι ὡς παραινέσεις δεῖ αὐτὰ μετατι-
θέναι καὶ μεταστρέφειν κατὰ τὴν λέξιν, εἴ γε βούλοιτο ποιῆσαι αὐτὰ ὡς
25 παραινέσεις· οἷον ὑποθήκη ἐστίν, εἴ τις λέγει, ὅτι οὐ δεῖ μέγα φρονεῖν
ἐπὶ τοῖς κατὰ τύχην γενομένοις ἀλλ' ἐν τοῖς πραχθεῖσι δι' ἑαυτόν, ἤτοι
ἀλλ' ἐφ' οἷς αὐτὸς ἔπραξε καὶ ὧν αὐτὸς αἴτιος καὶ οὐχ ἡ τύχη. ὡδὶ
δὲ ἂν εἴποις μεταθεὶς τὴν λέξιν, οἷον ἀντὶ τοῦ 'οὐ δεῖ' ἐὰν εἴπῃς 'δεῖ', 25
γενήσεται ἐγκώμιον, οἷον εἰ εἴπῃς 'μέγα φρονῶν οὐ τοῖς διὰ τύχην
30 ὑπάρχουσιν ἀλλὰ τοῖς δι' ἑαυτόν'. [1368a7] ὥστε ὅταν βου-
ληθῇς ἐπαινέσαι τὸν Ἀλέξανδρον, ὅρα, τί ἂν ὑπόθοιτο καὶ συμβου-
λεύσαις τῷ Ἀλεξάνδρῳ, εἴ γε ἔμελλες αὐτῷ συμβουλεύσασθαι, καὶ ταῦτα
λαβών, ἃ ὡς παραινέσεις ἂν εἶπας πρὸς αὐτόν, μεταθεὶς μικρόν τι τὴν
λέξιν ποιήσεις ἐγκώμιον· καὶ πάλιν, ὅταν ὑποθῇς ἤτοι μέλλῃς παραινέσαι, 30
35 ὅρα, τί ἂν ἐπαινέσειας ἤτοι τί ἂν ἐπήνεσας αὐτόν, καὶ τοῦτο λαβὼν
μεταρρύθμισον τὴν λέξιν μικρὸν καὶ ποιήσεις ὑποθήκην. [1368a8] ἡ δὲ

---

7 τῆς πράξεως Arist. Acp 10 ἐπαινοῖμεν ἂν Arist. Acp 15 ὁ om. Arist. Acp
16 ἤτοι—ἐστιν (17) om. n ἤτοι scripsi: ἢ in fine versus V; discerni nequit, utrum
ἤτοι an ἤγουν scriptum fuerit 21 τίνα V: τινα ἃ n 23 δεῖ—παραινέσεις (25) om. n
25 μεγάλα n 26 κατὰ Vn: διὰ Arist., cf. infra v. 29 γενομένοις, pr. ε ex ι corr., V:
γινομένοις n πραχθεῖσιν n ἑαυτόν ex ἑαυτῶν corr. V 27 ἔπραξεν n 28 ἂν V: ἐὰν n
οὐ V: εἰ n 30. 31 ὅταν τε ἐπαινεῖν βουληθῇς Arist. Acp 31. 32 συμβουλεύσαις scripsi
(fort. συμβουλεύσοις, cf. v. 19. 20): συμβουλεύσας Vn 34 με V λλ 36 μεταρύθμισον Vn

λέξις ἡ ἐν τῇ ὑποθήκῃ καὶ τῷ ἐπαίνῳ ἐστὶν ἀντικειμένη, ὅταν τὸ f. 75r
μὲν ἤτοι ἐπὶ τῆς παραινέσεως κωλύῃ λέγων 'οὐ δεῖ μέγα φρονεῖν', τὸ [f. 77r]
δὲ ἤτοι ἐπὶ τοῦ ἐπαίνου οὐ κωλύῃ λέγων 'δεῖ μέγα φρονεῖν', ἀλλ' ὅτι οὐ
μέγα ἐφρόνει ἐκεῖνος· ἀντίκειται δὲ ἡ λέξις ἡ κωλύειν λέγουσα, ὃ ἐπαινεῖ
5 καὶ οὐ κωλύεις †, καὶ ἡ μὴ κωλύειν.

[1416 b 29] Τινὲς δὲ λέγουσιν, ὅτι δεῖ εἶναι τὴν διήγησιν ταχεῖαν 35
καὶ σύντομον, ὥσπερ ὁ εἰπὼν πρὸς τὸν μάττοντα ἐρωτήσαντα· ἐμάλασσε
δὲ ζύμην καὶ ἠρώτησε 'πότερον δεῖ μάττειν τὴν ζύμην, ἵνα ποιήσωμεν
ταύτην σκληρὰν ἢ μαλακήν;' ἔφη 'τί δέ; ἀδύνατόν ἐστι τὸ εὖ;'
10 ἤτοι τὸ μέσον ἤτοι τὸ ποιῆσαι αὐτὴν μήτε μαλακὴν μήτε σκληρὰν ἀλλὰ
μέσην. καὶ ἐνταῦθα ἐπὶ τῆς διηγήσεως ὁμοίως· [b 32] δεῖ γὰρ μὴ
διηγεῖσθαι μακρῶς ἤτοι ταχέως, ὥσπερ οὐδὲ μακρῶς προοιμιά-
ζεσθαι, οὐδὲ τὰς πίστεις ἤτοι τὰς ἀποδείξεις λέγειν μακράς· οὐδὲ 40
γὰρ τὸ εὖ ἤτοι τὸ μέσον θεωρεῖται ἢ ἐν τῷ ταχὺ καὶ μακρῶς διηγεῖσθαι
15 ἢ ἐν τῷ συντόμως, ἀλλ' ἐν τῷ μήτε μακρῶς καὶ ταχέως διηγεῖσθαι
μήτε συντόμως· τοῦτο γὰρ δηλοῖ τὸ μετρίως ἤτοι τὸ μέσως· [b 35]
τοῦτο δέ ἐστιν, ἤτοι τὸ μετρίως καὶ μέσως διηγεῖσθαι, ἀλλ' ἐν τῷ
λέγειν διηγούμενος ἐκεῖνα μόνα, ὅσα δηλοῦσι καὶ παριστῶσι τὸ πρᾶγμα,
ἢ ἐκεῖνα, δι' ὅσων ἄν τις ἀ|κροατὴς ὢν ὑπολάβῃ γενέσθαι τὸ πρᾶγμα f. 75v
20 παρὰ τοῦ ἀντιδικοῦντός μοι ἢ βεβλαφέναι καὶ βλάψαι με, ἢ τηλι- [f. 77v]
καῦτα παραστῆσαι, ἃ πέπονθας, ἡλίκα ἂν καὶ βούλει δεῖξαι, ἤτοι
μεγάλα· τῷ δὲ ἐναντίῳ ἤτοι τῷ ἀντιδίκῳ συμφέρει ἐν τῇ διηγήσει
ἐκεῖνα μόνα λέγειν ἐν τῷ διηγεῖσθαι, δι' ὅσων δείξει ἢ ὅτι οὐ γέγονε
παρ' αὐτοῦ τὸ ἀδίκημα τόδε ἢ ὅτι, εἰ γέγονεν, ἀλλ' οὐκ ἔβλαψεν ἢ ὅτι 5
25 οὐ μέγα ἐστὶ τὸ γεγονός. [1417 a 2] παραδιηγεῖσθαι δὲ δεῖ ἤτοι δεῖ
δὲ ἐν τῇ διηγήσει παρεμφαίνειν καὶ σά τινα πλεονεκτήματα, ὅσα δεικνύ-
ουσι τὴν σὴν ἀρετήν· ἐν οἷς γὰρ διηγῇ, τί πέπονθας παρὰ τοῦδε ἢ τί
ἐποίησεν ὁ δεῖνα, δεῖ συμπαρεμπλέκειν καὶ σὰ πλεονεκτήματα, οἷον 'ἐκεῖνος
μὲν ἐποίησε τάδε, ἐγὼ δὲ ἐνουθέτουν αὐτὸν τὰ δίκαια λέγων μὴ
30 καταλεῖψαι τὰ τέκνα'· τοῦτο ἡ συμπαρεμπλοκὴ τῆς σῆς ἀρετῆς. ἢ ἐν
οἷς διηγῇ τὸ πρᾶγμα, δεῖ συμπαρεμπλέκειν καὶ παραδεικνύειν ἐν τῇ διη- 10

---

1 ἀντικειμένη ἔσται Arist. Acp 2 κωλύει λέγειν n οὐ δεῖ — λέγων (3) om. n cf. p. 47,34. 56,11 5 ἡ ex ει corr. V: εἰ n 9 ἐστιν n τὶ δὲ τὸ εὖ ἀδύνατον Arist. C: τί δ' ἔφη εὖ ἀδύνατον Arist. A: τί δ' εὖ ἔφη ἀδύνατον Arist. cet. 12 μακρῶς διηγεῖσθαι Arist. 12. 13 προοιμιάζεσθαι V Arist. (προοιμιάζεσθαι μακρῶς): προοιμιάζεται n 13 λέγειν post πίστεις add. n ex Aristotele 14 ἢ — διηγεῖσθαι om. n 18 δηλοῦσιν n παριστῶσιν n 20 βεβλαφέναι scripsi ex Arist. ABCYb: βεβλακέναι n Arist. cet.: βεβλαχέναι V με V: μὲν n 21 βούλῃ n Arist. A 23 γέγονεν n 25 ἐστὶν n 26. 27 δεικνύουσιν n 27 πέπον V: πέπονθα n 28 ἐποίησε n δεῖ om. n συμπαρεμπλέκει n 29 τόδε n ἐνουθέτουν Vn Arist. vulg.: νουθετῶν Arist. A αὐτὸν n: αὐ V: ἀεὶ Arist. 30 ἢ om. n

γήσει τὴν κακίαν τὴν ἑτέραν ἤτοι τοῦ ἀντιδικοῦντος. [a 5] ὁ δὲ ἀπε- f. 75v
κρίθη ὅτι 'ἐὰν καταλείψω τὰ τέκνα, οὐ ἂν παρέλθω, ἕτερα ποιήσω ἀντὶ [f. 77v]
† γυναικῶν σῳζομένων'· ὁ Ἡρόδοτος τοῦτό φησι πρὸς τοὺς Αἰγυπτίους,
οἳ πολιορκίας οὔσης ἔφυγον συμπαραλαβόντες καὶ τὰς γυναῖκας, τὰ δὲ
5 τέκνα ἐάσαντες λέγοντες 'οὗ ἂν ἀπέλθωμεν, τέκνα ἕτερα ποιήσομεν'. ἢ ἐν
τῇ διηγήσει δεῖ παραδιηγεῖσθαι καὶ παρασυμπλέκειν, ὅσα ἡδέα δοκοῦσι 15
τοῖς δικασταῖς, ἵνα ἐκ τούτου προσεκτικώτεροι γένωνται. [a 7] ὁ δὲ
ἀπολογούμενος δεῖ ποιεῖν τὴν διήγησιν ἐλάττονα· αἱ δὲ ἀμφισβητήσεις
γίνονται ἢ ἐν τῷ σὲ μὲν λέγειν τὸ πρᾶγμα γενέσθαι, τὸν δὲ ἀντίδικον λέγειν
10 μὴ γενέσθαι, ἢ ἐν τῷ σὲ μὲν λέγειν εἶναι βλαβερὸν τὸ γεγονός, τὸν δὲ
ἀντίδικον λέγειν μὴ εἶναι βλαβερὸν ἢ λέγειν μὴ εἶναι τηλικοῦτον ἤτοι
μέγα βλαβερόν. [a 10] ὥστε περὶ τὸ ὁμολογούμενον οὐ διατρι-
πτέον ἤτοι οὐ δεῖ διηγεῖσθαι τὰ ὁμολογούμενα ἤ, εἰ δεῖ διηγεῖσθαι αὐτά, 20
ἀλλὰ συνεπτυγμένως. εἰ δὲ τὸ ὁμολογούμενον ἐκεῖνο συντείνει καὶ συμβάλ-
15 λεται εἰς ἐκεῖνο ἤτοι εἰς τὴν τοῦ ἀμφισβητουμένου παράστασιν, τότε δεῖ
διηγεῖσθαι τὰ ὁμολογούμενα· ἤ, εἰ δεῖ διηγεῖσθαι αὐτὰ πλατυτέρως, οὐ
χρήσιμον. τὰ δὲ ἀμφισβητούμενά εἰσι ταῦτα, οἷον ὅτι οὐκ ἄδικον ἢ ὅτι
οὐ βλαβερὸν ἢ οὐ μέγα, οἷον εἰ ὁμολογεῖ ὁ ἀπολογούμενος, ὅτι πέπρα-
κται ἐκεῖνο παρ' αὐτοῦ, ὃ κατηγορεῖται ποιῆσαι, ἀλλ' ἐνίσταται, ὅτι
20 οὐκ ἄδικον, τοῦ ἀντιδίκου λέγοντος αὐτὸ εἶναι ἄδικον. [a 12] ἔτι δεῖ 25
τὸν κατήγορον λέγειν τὰ πεπραγμένα τῷ ἀπολογουμένῳ ἐκεῖνα, ὅσα
πραττόμενα οὐχὶ οἶκτον φέρουσιν ἢ δείνωσιν ἤτοι ὅσα μὴ μόνον
κινοῦσι τοὺς ἀκροατὰς καὶ τοὺς δικαστὰς εἰς οἶκτον καὶ ἔλεον τοῦ ἀδικη-
θέντος, ἀλλὰ καὶ εἰς δείνωσιν ἤτοι ἀγανάκτησιν κατὰ τοῦ ἀδικήσαντος.
25 [a 13] παράδειγμα τοῦ εἶναι τὴν διήγησιν συνεπτυγμένην ὁ ἀπόλογος τοῦ
Ἀλκίνου· ἐν γὰρ τῷ ἀπολόγῳ τοῦ Ἀλκίνου ἐστὶν ἡ διήγησις συνεπτυγμένη 30
ὡς περὶ πραγμάτων οὖσα ὁμολογουμένων. ἡ Πηνελόπη ἠτιᾶτο παρὰ τοῦ
Ὀδυσσέως τοῦ ἀνδρὸς αὐτῆς ὡς τοὺς μνηστῆρας συναθροίσασα ἐν τῇ οἰκίᾳ
αὐτοῦ τοὺς καταδαπανήσαντας τὴν περιουσίαν αὐτοῦ, ὁ δὲ Ἀλκίνους ἐποίησεν
30 ἀπόλογον πρὸς τὸν Ὀδυσσέα λόγῳ τῆς Πηνελόπης ὅτι 'οὐ διὰ τὸ μέλλειν με
ἐπαρεῖν τινα ἀπ' αὐτῶν ἄνδρα τούτους αὐτὴ συνήθροισα, ἀλλ' οὗτοι ἀκούοντες
τὴν ἐμὴν ἀρετὴν ἀπὸ ἄλλων καὶ ἄλλων χωρῶν συνηθροίσθησαν, ὡς ἂν
αὐτὴν θεάσωνται'. τὸν γοῦν ἀπόλογον ἅπαντα ἐν ἑξήκοντα στίχοις 35
συνεπέρανεν· εἰ γοῦν ὁ ἀπόλογος ἐν ἑξήκοντα στίχοις συνεπεράνθη, λοιπὸν

---

1 θατέρου κακίαν Arist. 2 τὰ om. n post ἀντὶ lac. statuam 3 Ἡρόδοτος] II 30
4 καὶ τὰς V: τὰς μὲν n 6 δοκοῦσιν n 8 δεῖ V: ὀφείλει n 10 τὸ—βλα-
βερὸν (11) om. n 12. 13 οὐ διατριπτέον om. n 18 εἰ om. n
22 φ V: φύσεως n 23 κινοῦσιν n καὶ τοὺς om. n 25. 26 ὁ ἀπόλογος τοῦ
Ἀλκίνου] Hom. ψ 310—341 26 ἐστὶ n 27 οὖσαν V 29 περιουσίαν V: οὐ-
σίαν n ἐποίησε n 31 ἀπ' om. n τούτοις n αὐτὴ cod. Ambros. B 3
inf.: ἀυ V: κατη n 34 συνεπέρανεν — στίχοις om. n συνεπέρανεν cod.
Paris. gr. 1869: συνεπάρανεν V συνεπαράνθη n

καὶ ἡ διήγησις πάνυ βραχυτάτη ἦν. εὗρον καὶ σχόλιον τοιοῦτον· ὁ f. 75v
Ἀλκίνου ἀπόλογος ἤτοι ἡ Ἀλκίνου παραδιήγησις πρὸς τὴν Πηνελόπην· [f. 77v]
ἐν γὰρ τῇ διηγήσει συμπαρέπλεξε καὶ τὴν ἀρετὴν τῆς Πηνελόπης. ἢ καὶ
οὕτως· δεῖ τὸν κατήγορον λέγειν, ὅσα οὐ φέρουσιν οἶκτον, καὶ τὸν
5 ἀπολογούμενον πάλιν λέγειν, ὅσα οὐ φέρουσι δείνωσιν ἤτοι ἀγανάκτησιν
κατ' αὐτοῦ. [a 14] ὡς ὁ Φάυλλος (ῥήτωρ δὲ ἦν οὗτος) τὸν κύκλον 10
ἤτοι ἀφηγούμενος τὰ ἐκτὸς τοῦ πράγματος ἔλεγε ταῦτα συνεπτυγμένως.
κύκλος δὲ λέγονται τὰ ἐκτὸς τοῦ πράγματος. εὗρον σχόλιον καὶ εἰς τοῦτο
τοιοῦτον, ὅτι κύκλοι εἰσὶν οἱ στίχοι, ἢ ὅτι ἀνακυκλοῦσι τὴν ὑπόθεσιν.
10 [a 15] ὡς ὁ ἐν τῷ Οἰνεῖ πρόλογος τοῦ Εὐριπίδου τοιοῦτός ἐστιν ἤτοι
συντετμημένος. ἠθικὴ γίνεται ἡ διήγησις, ὅταν εἰς ὅρκον τὸν λόγον ἀνά- |
γωμεν ἢ ὅταν δεινοπαθῶμεν ἐν τῷ μεταξὺ τῆς διηγήσεως καὶ σχετλιά- f. 76r
ζωμεν· φαίνεται γὰρ τὸ ἦθος μεταξὺ τῆς διηγήσεως τοῦ δεινοπαθοῦντος [f. 77r]
καὶ σχετλιάζοντος ἀληθὲς καὶ διὰ τοῦτο ὡς ἀληθεῖ πιστεύουσιν αὐτῷ·
15 ὁ γὰρ ὅρκος καὶ ὁ σχετλιασμὸς τοῦ ἀληθινοῦ καὶ ἐνδιαθέτου λόγου εἰσί.
[a 17] τί ποιεῖ τὸ ἦθος ἤγουν ὁ ὅρκος καὶ ἡ σχετλίασις. ἓν μὲν δὴ
ποιεῖ τὸ ἦθος λέγοντα ἀληθὲς τὸ δηλοῦν τὴν οἰκείαν προαίρεσιν, ὅτι 5
ἀγαθή ἐστι καὶ μισοῦσα τὰ κακὰ καὶ τὰ ἄδικα· αὕτη δὲ γίνεται ἡ προαί-
ρεσις δήλη ἐκ τοῦ σχετλιάζειν καὶ ὀμνύειν. ποιὸν δὲ ἤτοι ἀγαθὸν καὶ
20 ἀληθὲς δεικνύεται τὸ ἦθος τοῦ λέγοντος τῷ εἶναι αὐτὴν τὴν προαίρεσιν
ποιὰν ἤτοι ἀγαθὴν καὶ τὰ δίκαια αἱρουμένην. [a 18] ἡ δὲ προαί-
ρεσις ποιὰ δεικνύεται ἤτοι ἀγαθὴ ἢ φαύλη ἐν τῷ τέλει ἤτοι ἐν τῇ
πράξει καὶ ἀπὸ τῶν πράξεων καὶ τῶν ἔργων τῶν προαιρετῶν ἤτοι ὧν 10
ποιεῖ. διὰ τοῦτο οἱ λόγοι ἤτοι † οἱ μαθηματικοὶ ἤτοι οἱ γεωμετρικοὶ
25 συλλογισμοὶ καὶ αἰτίαι ἤθη οὐκ ἔχουσι, διότι οὐδὲ προαίρεσιν ἔχουσιν·
οὐκ ἔχουσι δὲ προαίρεσιν, διότι τὸ οὗ ἕνεκα ἤτοι τὸ προαιρετὸν οὐκ
ἔχουσιν· ἔνθα γὰρ προαιρετὸν οὐκ ἔστιν, οὐδὲ προαίρεσις, ἔνθα δὲ προ-
αίρεσις οὐκ ἔστιν, οὐδὲ ἦθος. [a 20] ἀλλ' οἱ Σωκρατικοὶ λόγοι εἰσὶν
ἠθικοί· οὗτος γὰρ μᾶλλον τοῦ ἤθους ἐφρόντιζε καὶ περὶ αὐτὰ ἠσχολεῖτο
30 μᾶλλον, ἔλαττον δὲ ἐφρόντιζε τοῦ ἀποδεικτικοῦ λόγου, ὡς ἐν τοῖς Μετὰ 15
τὰ φυσικά φησι· περὶ τούτων γὰρ λέγουσιν οἱ Σωκρατικοὶ ἤτοι περὶ
ἠθικῶν διδάσκουσιν. [a 21] ἀλλὰ ἠθικά εἰσι καὶ λέγονται καὶ ὅσα
ἕπονται τῷ ἤθει ἑκάστου· τὸ γὰρ λέγειν, ὅτε οὗτος ἅμα λέγων πρὸς
ἐμὲ ταῦτα ἐβάδιζε, δηλοῖ θρασύτητα καὶ ἀγροικίαν καὶ φαυλότητα
35 τοῦ ἤθους, καθ' ὅσον περιπατῶν ἐποίει τοὺς λόγους· ἀτάκτου γὰρ ἤθους

---

1 εὗρον—τοιοῦτον om. n 5 φέρουσιν n 6 ὁ om. Arist. 7 συνεπτυγμένα n
8 εὗρον—τοῦτο om. n 9 ἀνακυκλοῦσιν n 10 ὁ V Arist.: om. n 14 πιστεύ-
σουσιν n 15 λόγοι εἰσίν n 16 τί ἦθος ποιεῖ Arist. 17 λέγον V (exspectes τοῦ
λέγοντος) 19 καὶ (post ἀγαθὸν) V: τὸ n 22 δείκνυται n 24 διὰ τοῦτο οὐκ ἔχουσιν
οἱ μαθηματικοὶ λόγοι ἤθη Arist. ἤτοι (post λόγοι) om. n 25 ἔχουσιν (ante διότι) n
28 ἔστι n 29 ἐφρόντιζεν n αὐτὰ V: αὐτὸ n 30 ἐφρόντιζεν n 30. 31 ἐν τοῖς
Μετὰ τὰ φυσικά] Metaph. A 6 p. 987a1 31 τούτων Vn: τοιούτων Arist. 32 ἄλλα
Arist. A: ἀλλὰ Arist. CQZb: ἄλλα δὲ Arist. DE εἰσιν n καὶ (ante ὅσα) om. n

τοῦτο σημεῖον. [a 23] καὶ οὐχ ἕπονται τῷ ἤθει καὶ ἐμφαντικὰ ἤθους f. 76r
εἰσίν, ὅσα λέγει τις ἀπὸ διανοίας, καὶ ὅσα λέγει τις ἀναπλάττων ταῦτα [f. 77r]
ἐν τῇ οἰκείᾳ διανοίᾳ, κἂν μὴ ὑπόστασιν ἔχωσιν, οἷον οὐ τὸ ἀναπλάττειν 20
ἐν τῇ διανοίᾳ καὶ φαντάζεσθαι, ὅτι τραγέλαφός ἐστιν, δεικνύει αὐτὸν ἤθους
5 ψευδοῦς, ὥσπερ οἱ νῦν λέγουσιν, ἀλλ' ὅσα ἀπὸ προαιρέσεως ποιεῖ
καὶ λέγει, ταῦτα καὶ δεικνύουσι τὸ ἦθος τοῦ λέγοντος ἢ τοῦ ποιοῦντος
ἀγαθόν, εἰ ἐκ προαιρέσεως ἀγαθῆς ποιεῖ τι ἢ λέγει, ἢ κακὸν καὶ φαῦλον,
εἰ ἐκ προαιρέσεως φαύλης. [a 24] ἐγὼ δὲ ἐβουλόμην καὶ προειλό-
μην ἤτοι ᾑρετισάμην τοῦτο· εἰ δὲ μὴ ὀναίμην καὶ ὠφεληθείην ἐκ τούτου 25
10 τοῦ προαιρεθέντος ἐμοί, βέλτιον· τὸ μὲν γὰρ τὸ προαιρεῖσθαι τὸ ὠφέ-
λιμον ἐμφαντικόν ἐστι τοῦ φρονίμου· ὁ γὰρ φρόνιμος ἀεὶ προαιρεῖται
ἐκεῖνο, ἐξ οὗ ἂν ὠφεληθῇ· τὸ δὲ ἤτοι τὸ προαιρεῖσθαι τὸ συμφέρον, κἂν
ἐξ αὐτοῦ οὐκ ὠφελῆται ὁ τοῦτο προαιρεθείς, ἐστὶν ἀγαθοῦ ἤθους σημεῖον·
ὁ γὰρ ἀγαθὸς ἀνὴρ αἱρεῖται οὐ τὸ ὠφέλιμον ἀλλὰ τὸ συμφέρον πᾶσι, κἂν
15 καὶ αὐτὸς ἐξ αὐτοῦ οὐκ ὠφεληθῆναι μέλλῃ. [a 26] ὁρᾷς, ὅπως φρο- 30
νίμου ἤθους σημεῖόν ἐστι τὸ προαιρεῖσθαι τὸ ὠφέλιμον ἤτοι ὅπερ
ὠφελεῖ αὐτόν, κἂν βλάπτῃ ἄλλους, ἀγαθοῦ δὲ ἤθους σημεῖόν ἐστι τὸ
προαιρεῖσθαι τὸ συμφέρον πολλῶν, καὶ ὃ διηγεῖται, κἂν ἐξ αὐτοῦ αὐτὸς
οὐκ ὠφελῆται· ἀγαθοῦ δέ ἐστι τὸ διώκειν τὸ καλὸν ἤτοι τὸ συμφέρον.
20 [a 27] ἂν δ' ἄπιστον ᾖ, ὃ λέγεται, τότε χρὴ λέγειν καὶ τὴν αἰτίαν,
δι' ἣν δοκεῖ ἄπιστον. ἡ Ἀντιγόνη μᾶλλον ἐκήδετο τοῦ ἀδελφοῦ παρὰ τοῦ
ἀνδρὸς ἤτοι τοῦ Αἵμονος τοῦ υἱοῦ τοῦ Κρέοντος· εἶτα λέγει καὶ τὴν αἰτίαν, 35
δι' ἣν ἐκήδετο τοῦ ἀδελφοῦ μᾶλλον παρὰ τοῦ ἀνδρὸς καὶ τῶν τέκνων·
ἄπιστον γάρ ἐστι τὸ κήδεσθαι τοῦ ἀδελφοῦ μᾶλλον παρὰ τοῦ ἀνδρός·
25 [a 30] τὰ μὲν γὰρ γενέσθαι, ἤτοι ὁ ἀνὴρ καὶ τὰ τέκνα, εἰ συμβῇ
φθαρῆναι· ἐπάρῃ γὰρ ἄλλον ἄνδρα καὶ ποιήσει ἄλλα τέκνα· τοῦ δὲ πατρὸς
καὶ τῆς μητρὸς τελευτησάντων πῶς ἂν γένηται ἕτερος ἀδελφός, εἰ τύχῃ
θανεῖν ὁ ἀδελφός; τὸ [a 33] βλάστοι ἀντὶ τοῦ γένοιτο. εἰ δὲ μὴ ἔχεις
αἰτίαν εἰπεῖν, δι' ἣν δοκεῖ ἄπιστον τὸ λεγόμενον, λέγε ὅτι 'οὐκ ἀγνοῶ,
30 ὅτι λέγω ἄπιστα, ἀλλὰ φύσει τοιοῦτός εἰμι ὥστε λέγειν τὸ ἀληθὲς 40
καὶ μὴ πολυπραγμονεῖν, εἴτε ἄπιστον δόξει τοῖς ἀκροαταῖς εἴτε πιστόν'·
οἱ γὰρ ἄνθρωποι ἀπιστοῦσι καὶ οὐ πιστεύουσί τινα ἄνθρωπον ποιεῖν,
ἀλλ' ὅτι ἑκών, ἀλλ' ἢ μόνον τὸ συμφέρον ἑαυτῷ, κἂν ἄλλους βλάπτῃ.
[a 36] ἔτι τὸν διηγούμενον δεῖ λέγειν ἐκ τῶν παθητικῶν ἤτοι σχετλιά-

---

1 εμφαντικ V 3 κἂν—διανοίᾳ (4) om. n 4 φαντάζεται n ἐστι n
5 ὅσα Vn: ὡς Arist. 6 δείκνυσιν n 7 ἢ καὶ κακὸν n 8 ἠβουλόμην n
λλ
8. 9 καὶ προειλόμην γὰρ τοῦτο Arist. 13 ὠφελεῖται n 14 πᾶσιν n 18 πο V
21 παρὰ Vn: ἢ Arist. 22 Soph. Antig. 909 sq. 25 γὰρ ἂν Arist. εἰ—
τέκνα (26) om. n 27 εἰ Vn: ἐὰν Arist. 28 ἔχεις V: ἔχῃς n Arist.
30 λέγω n: λέγει V 32 ἀπιστοῦσιν n οὐ om. n πιστεύου-
σίν n 33 ἄλλό τι V 34 δεῖ λέγειν Vn Arist. C: λέγε Arist. A et λέγειν
Arist. cet. (om. δεῖ)

ζειν καὶ ὀμνύειν μεταξὺ τῆς διηγήσεως καὶ | τὰ ἑπόμενα πάθη f. 76ᵛ
αὐτῶν. ἢ καὶ οὕτως· καὶ τὰ ἑπόμενα τῷ πάθει ἤτοι τῷ θυμῷ [f. 77ᵛ]
καὶ τῇ ἐπιθυμίᾳ. καὶ ἃ πάντες ἴσασιν ἤτοι τὰ κοινὰ καὶ τὰ προσόντα
ἴδια ἢ αὐτῷ ἢ ἐκείνῳ τῷ ἀντιδίκῳ. ταῦτ' εἶπεν [a 38] 'ὁ δὲ ᾤχετο
5 ὑποβλέψας με ἄγριον καὶ μανικόν'· τὸ γοῦν ἄγριον ὑποβλέπειν ἑπό-
μενόν ἐστι τῷ θυμουμένῳ. ὅτι ὁ Κρατύλος ἦν διασίζων καὶ τρίζων
τοὺς ὀδόντας. ἢ τὸ [b 1] διασίζων ἀντὶ τοῦ λέγειν σι σι ἐκ μεταφορᾶς 5
τοῦ πεπυρακτωμένου σιδήρου τοῦ ἐν τῷ ὕδατι βληθέντος, τουτέστι κατασι-
γάζων ἦν τὸν λαόν. καὶ διασείων ἐν ταῖν χεροῖν· ἐκράτει γὰρ αὐτοὺς
10 καὶ ἔσειεν. πιθανὰ γοῦν εἰσι ταῦτα, διότι ταῦτα, ἃ ἴσασι πάντες, ἐν
τῷ ἰδεῖν γίνονται σύμβολα καὶ σημεῖα ἐκείνων ὧν οὐκ ἴσασι παθῶν·
τὸ γὰρ τρίζειν τοὺς ὀδόντας σημεῖόν ἐστι πάθους ἀφανοῦς ἤτοι τοῦ θυμοῦ.
[b 5] ἡ γρηῦς κατέσχε καὶ περιεκάλυψε τὰ πρόσωπα· ἡ γραῦς, ἡ Ἀντίκλεια 10
ἡ μαῖα, νίπτουσα τοὺς πόδας τοῦ Ὀδυσσέως εἶδε τὴν οὐλὴν καὶ ἔγνω, ὅτι
15 ὁ Ὀδυσσεύς ἐστι, καὶ δακρύσασα περιεκάλυψε τὰ πρόσωπα· οἱ γὰρ ἀρχό-
μενοι δακρύειν ἐπιλαμβάνονται τῶν ὀφθαλμῶν ἤτοι ἐπικαλύπτουσι
τοὺς ὀφθαλμούς. [b 7] καὶ εὐθὺς καὶ διηγούμενος εἰσάγαγε καὶ
σεαυτὸν ποιόν τινα ἤτοι ἐλεεινολογούμενον καὶ σχετλιάζοντα, ἵνα οἱ
ἀκροαταὶ θεωρῶσι καὶ νοῶσι καὶ τὸν ἀντίδικον, ὅτι τοιοῦτός ἐστιν 15
20 ἄδικος, οἷον αὐτὸν παριστᾷς· ἐκ γὰρ τοῦ σχετλιάζειν δοκεῖς τοῖς ἀκροαταῖς
ἀληθὴς ἐν τῷ λέγειν τὸν ἀντίδικον τοιοῦτον ἤτοι ἄδικον. εὗρον καὶ σχό-
λιον τοιοῦτον· ἵνα ὡς τοιοῦτον θεωρῶσιν ἤγουν ἐπὶ ποιόν τινα ἤτοι
ὀργιζόμενον. [b 8] λεληθότως δὲ ποίει τόν τε σχετλιασμὸν καὶ τὴν
ἐλεεινολογίαν, ἵνα μὴ δόξῃς τοῖς ἀκροαταῖς ἐξεπίτηδες ἐλεεινολογεῖσθαι καὶ
25 διὰ τοῦτο ἄπιστος δοκῇς εἶναι αὐτοῖς. [a 15] ὁ δὲ ἐν Οἰνεῖ πρόλογος
παρὰ τῷ Εὐριπίδῃ ἐστὶ τοιοῦτον·

"ὦ γῆς πατρῴας χαῖρε φίλτατον πέδον 20
Καλυδῶνος, ἔνθεν αἷμα συγγενὲς φυγὼν
Τυδεύς, τόκος μὲν Οἰνέως, πατὴρ δ' ἐμός,
30 ᾤκησεν Ἄργος, παῖδα δ' Ἀδράστου λαβὼν
συνῆψε γένναν."

[b 8] ὅτι δὲ ῥᾴδιον δεινοπαθεῖν μεταξὺ τῆς διηγήσεως καὶ λανθάνειν
τοὺς ἀκροατὰς καὶ ἐκ τούτου πιστὸν συμβαίνει νομίζεσθαί σε καὶ ἀληθῆ,

---

3 προσόντα post ἐκείνῳ (4) Arist. 4 ἢ αὐτῷ Vn Arist. A: ἑαυτῷ Arist. vulg. ταῦτα n 5 με ὑποβλέψας Arist. 7 σῖ· σῖ· V: σίσιν n 9 λαόν V: χαόν n καὶ (vulg.; om. A) ταῖν (vulg.; τοῖν A) χεροῖν διασείων Arist. 12 ἐμφανοῦς n 13 γρηῦς κτλ.] Hom. τ 361 κατέσχετο Arist., Hom. 15. 16 δακρύειν ἀρχόμενοι Arist. 16 τῶν ὀφθαλμῶν om. n 17 εἰσάγαγε Vn Arist. vulg.: εἰσάγει Arist. A καὶ Vn Arist. ATr.: om. Arist. vulg. 18 ποῖόν n: ποιῶν V 22 ἐπὶ ποιὸν τινὰ manu posteriore in charta agglutinata V: ἐπίποιόν τινα n 23 τε om. n 24 ἐξεπίτηδες om. n 25 αὐτοῖς cod. Paris. gr. 1869 (αὐτῆς): αὐτῆς V: αὐτῷ n 26 εὐριπίδι n παρὰ τῷ Εὐριπίδῃ] fr. 558. F. T. G.² p. 536 N. τοιοῦτος n 28 φυγὼν Eur. editores: φυτὸν Vn 30 ᾤκησε n 32 δὲ Vn Arist. vulg.: om. Arist. A

δεῖ ὁρᾶν τοῦτ' ἐκ τῶν ἀπαγγελλόντων καὶ διηγουμένων τι· περὶ f. 76v
ὧν γὰρ μηδὲν ἴσμεν, ἐπιλαμβάνομεν ὑπόληψίν τινα καὶ γνῶσιν αὐτῶν [f. 77v]
ἐκ τοῦ ἀκούειν τοῦ λέγοντος ταῦτα † δεινοπαθοῦντά τε καὶ σχετλιαζόμενον.
[b 10] πανταχοῦ δὲ δεῖ διηγεῖσθαι, καὶ ἐν προοιμίοις καὶ ἐν διηγή-
σεσι καὶ ἀγῶσι καὶ ἐν ἐπιλόγοις· ἀλλ' οὐ μόνον ἐν ἀρχῇ ἤτοι ἐν τῷ
προοιμίῳ μόνῳ, ἀλλ' ἐν πᾶσι τοῖς μέρεσι τοῦ λόγου διηγητέον, ἔνθα χρεία
αὐτῆς τῆς διηγήσεώς ἐστιν. [b 11] ἐν δὲ τῇ δημηγορίᾳ ἤτοι τῷ συμ-
βουλευτικῷ εἴδει οὐδαμῶς ἐστι διήγησις, διότι ἡ διήγησις τῶν γενο-
μένων ἐστίν, οὐ τῶν μελλόντων· ἐν δὲ τῷ συμβουλευτικῷ εἴδει, εἰ
μέλλεις διηγήσασθαί τι, τῶν γεγενημένων ἔσται διήγησις ἤτοι γεγενημένα
τινὰ διηγοῦ, ἵνα ἐκείνων τῶν γεγενημένων ἀναμιμνησκόμενοι καὶ πρὸς
ταῦτα ἀφορῶντες βέλτιον βουλευσώμεθα καὶ περὶ τῶν μελλόντων, οἷον
'ἐπεὶ τόδε συνέβη γενέσθαι ἐκ τοῦ ποιῆσαι τὸν δεῖνα τόδε, λοιπὸν προσ-
εκτέον, μή πως καὶ ἐφ' ἡμῖν συμβῇ τοιοῦτον, εἰ τόδε ποιήσομεν' ἤγουν
θέλομεν ἀναμιμνήσκεσθαι τῶν γενομένων. διαβάλλοντες τὰ γεγόνοτα
ἢ ἐπαινοῦντες, οἷον 'ἐπεὶ συνέβη τόδε τὸ τρόπαιον γενέσθαι ἐκ τοῦ
ποιῆσαι τόδε, καὶ ἡμεῖς λοιπόν, εἰ ποιήσομεν τὸ αὐτό, νικήσομεν.' [b 15]
ἀλλὰ τότε, ὅτε διαβάλλει τὰ γενόμενα ὁ συμβουλεύων, οὐ ποιεῖ ἔργον
συμβούλου ἀλλὰ λοιδόρου καὶ ψέγοντος, ὥσπερ, εἰ ἐπαινεῖ τὰ γεγονότα,
ποιεῖ ἔργον ἐπαινοῦντος καὶ ἐγκωμιάζοντος καὶ οὐχὶ συμβούλου. ἐὰν δὲ
ᾖ ἄπιστον τὸ διηγούμενον, δεῖ ὑπισχνεῖσθαι εἰπεῖν τὴν αἰτίαν, δι'
ἣν ἄπιστον δοκεῖ, καὶ διατάττειν καὶ διακοσμεῖν τὸ διηγούμενον ἐκεῖνο,
οἷς βούλονται οἱ ἀκροαταί, ἵνα ἐκ τοῦ λέγειν, ὅσα βούλονται οἱ ἀκροαταί,
ἀληθὴς δοκῇς καὶ ἀποδεχόμενος τοῖς ἀκροαταῖς· λέγεις γὰρ τὰ θυμήρη
αὐτοῖς. [b 18] ὁ Καρκίνος τραγικὸς ποιητής. ἐν τῷ Οἰδίποδι ἤτοι τῷ
δράματί τις ἐζήτει τὸν υἱὸν αὐτοῦ καὶ ἐπυνθάνετο καὶ ἠρώτα περὶ αὐτοῦ
τὴν Ἰοκάστην, ἡ δὲ ὑπισχνεῖτο ἀεὶ εἰπεῖν. καὶ ὁ Αἵμων | δρᾶμά f. 77r
ἐστι· καὶ ὑπισχνεῖται οὗτος ἀεὶ εἰπεῖν πρὸς τὸν ἐρωτῶντα. [f. 79r]

17. Τὰς δὲ πίστεις ἤτοι τὰς ὑποδείξεις δεῖ εἶναι ἀποδεικτικὰς
ἤτοι συλλογιστικάς. ἐπεὶ καὶ περὶ τεττάρων ἐστὶν ἡ ἀμφισβήτησις
— ἢ ὅτι γέγονεν ἢ οὐ γέγονεν ἀμφισβητοῦμεν ἢ ὅτι δίκαιόν ἐστιν ἢ ἄδικον
ἢ μέγα ἢ μικρὸν καὶ ἢ βλαβερὸν ἢ οὐ βλαβερόν — ἐπεὶ γοῦν περὶ τεττάρων
ἀμφισβητοῦμεν, δεῖ τὸν ῥήτορα ἀποδεικνύναι φέροντα τὰς ἀποδείξεις καὶ
δεικνύοντα περὶ τὸ ἀμφισβητούμενον καὶ ἀμφιβαλλόμενον· οἷον ὅτι οὐ
γέγονε, δεῖ σε δεικνύειν τοῦ κατηγόρου λέγοντος, ὅτι γέγονε παρὰ σοῦ,

---

1 δεῖ ὁρᾶν Vn: ὁρᾶν δεῖ Arist. vulg.: ὁρᾶν δὲ Arist. A τοῦτο n 2 ὧν V: οὗ n μηθὲν Arist. 3 δεινοπαθοῦντα V: δεῖ παθοῦντά n 4 πολλαχοῦ δὲ Arist. (sed *ubique* Tr.) δεῖ om. n Arist. Yb 4. 5 διηγήσεσιν n 5 ἀγῶσιν n ἐν (post καὶ) om. n 6 μέρεσιν n 7 ἐστι n 8 διότι ἡ διήγησις τῶν V: ὅτι τῶν n 9 ἐστὶν οὐ V: ἐστὶν διήγησις οὐδὲ n 14 συμβῇ V: συμφέρον n ποήσωμεν n 15 θέλωμεν n 18. 19 οὐ τὸ τοῦ συμβούλου ποιεῖ ἔργον Arist. 20 ἂν Arist. 25 ὁ om. n Καρκίνος ἐν τῷ Οἰδίποδι] F. T. G.² p. 798 N. 28 ἐστίν n 29 ἀποδείξεις n 31 ἢ (post ἀμφισβήτησις) om. n 32 καὶ om. n 35 γέγονεν n δεικνῦναι n γέγονεν n

ἐν τῇ κρίσει ἤτοι τῷ δικαστηρίῳ, εἶτα φέρειν τὴν ἀπόδειξιν τούτου f. 77r
τοῦ ὅτι οὐκ ἔβλαψε, κἂν ἐγένετο. [b 25] καὶ ὅτι οὐ τοσόνδε ἤτοι [f. 79r]
μέγα ἐστὶ τὸ γενόμενον, οἷον σὺ φῄς. ἢ ὡσαύτως δεικνύειν, ὅτι δικαίως
ἐγένετο καὶ δίκαιόν ἐστι. καὶ ἐὰν ᾖ ἡ ἀμφισβήτησις καὶ ἀμφιβολία 10
5 περὶ τοῦ εἴτε ἐγένετο εἴτε μὴ τοῦτο, ὀφείλεις ἀποδεικνύειν ἢ ὅτι ἐγένετο
ἢ καὶ οὐκ ἐγένετο. [b 27] μὴ λανθανέτω δέ, ὅτι ἐν ταύτῃ τῇ
ἀμφισβητήσει τῇ περὶ τοῦ εἰ ἐγένετο ἢ μὴ ἐγένετο ἀναγκαῖόν ἐστι
τὸν ἕτερον φαίνεσθαι πονηρὸν ἤτοι ἢ τὸν λέγοντα γενέσθαι τὸ πρᾶγμα,
κἂν οὐκ ἐγένετο, ἢ τὸν λέγοντα μὴ γενέσθαι, εἴ που ἐγένετο· εἰ γὰρ ὅτι
10 ἐγένετο ἀποδειχθῇ, ὁ λέγων ὅτι οὐκ ἐγένετο πονηρός ἐστι καὶ οὐκ ἔχει
προβαλέσθαι αἰτίαν τοῦ φυγεῖν τὸ δοκεῖν πονηρὸς τὴν ἄγνοιαν, ἤτοι 'ἔλεγον, 15
ὅτι οὐκ ἐγένετο, διότι ἠγνόουν, εἰ ἐγένετο'. [b 29] αὐτῶν δὲ ἀμφισβη-
τούντων περὶ τοῦ δικαίου, ἤτοι εἴτε δίκαιόν ἐστι τὸ λεγόμενον εἴτε καὶ
μή, οὐκ ἔστι τὸν ἕτερον ἀπ' αὐτῶν, οἷος ἂν φανείη ψευδόμενος, φαίνεσθαι
15 πονηρόν· εἰ γὰρ λέγει, ὅτι δίκαιόν ἐστιν, εἶτα φανῇ ἄδικον, ⟨οὐ⟩ φαίνεται
πονηρός· προβάλλεται γὰρ τὴν ἄγνοιαν· 'ἠγνόουν γάρ, φησίν, εἰ ἄδικόν ἐστι
τὸ γενόμενον, καὶ διὰ τοῦτο ἠμφισβήτουν'. ὁμοίως καὶ εἴ τινες ἀμφισ-
βητοῖεν περὶ τοῦ εἴτε μικρόν ἐστιν εἴτε μέγα ἢ βλαβερὸν ἢ οὐ τοιοῦτον, 20
οὐ φαίνεται ὁ ἕτερος πονηρός· προβάλλεται γὰρ τὴν ἄγνοιαν· 'ἠγνόουν
20 γάρ, φησίν, εἰ βλαβερόν ἐστι τὸ γενόμενον ἢ εἰ μέγα'. [b 30] ὥστ' ἐν
τούτῳ ἤτοι τῇ ἀμφισβητήσει τῇ περὶ τοῦ εἰ γέγονεν ἢ μὴ χρηστέον
τῷ δεικνύειν τὸν ἕτερον πονηρόν· οὐ γὰρ ἔχει προβαλέσθαι τὴν ἄγνοιαν·
ἐν δὲ τοῖς ἄλλοις ἤτοι τῇ ἀμφισβητήσει τῇ περὶ τοῦ εἰ δίκαιον ἢ μὴ ἢ
μέγα ἢ μὴ ἢ βλαβερὸν ἢ μὴ οὐ χρηστέον τῷ δεικνύειν τὸν ἕτερον πο-
25 νηρόν· λέξει γὰρ ἐκεῖνος ὡς 'ἠγνόουν' καὶ ἐκ τούτου φεύγει τὸ δοκεῖν 25
πονηρός. εὗρον καὶ σχόλιον τοιοῦτον· ὅτι ἐν ταύτῃ τῇ ἀμφισβητήσει
τῇ εἰ γέγονε τὸν ἕτερον εἶναι πονηρὸν ἤτοι τὸν ἀρνούμενον. [b 29]
αἰτία πρόφασις τοῦ ἀμφισβητεῖν. [b 19] ὁ Αἵμων ὁ Σοφοκλέους,
οἷον

30 "πάτερ, σός εἰμι καὶ σύ μοι γνώμας ἔχων
χρηστὰς ἐπορθοῖς, αἷς ἔγωγ' ἐφέψομαι·
ἐμοὶ γὰρ οὐδεὶς ἀξίως ἔσται γάμος
μείζων φέρεσθαι σοῦ καλῶς ἡγουμένου."

[b 30] ἐν δὲ τοῖς ἐπιδεικτικοῖς τὸ πολὺ ἤτοι ὡς ἐπὶ τὸ πολὺ ἡ 30
35 αὔξησίς ἐστιν, ὅτι ὠφέλιμόν ἐστι τόδε ἢ ὅτι καλόν· τὰ γὰρ πράγματα
δεῖ πιστεύεσθαι ἤτοι ὡς ὁμολογούμενα λαμβάνειν, δεικνύειν δὲ ἢ ὅτι

---

4 ᾖ om. n 6 καὶ om. n ὅτι ἀναγκαῖον ἐν Arist. 7 ἢ μὴ ἐγένετο om. n ἐστιν n 8 ἢ om. n 11 προβάλλεσθαι n 15 ἐστι n οὐ n: om. V 17 ἀμφισβήτουν n 18 ἐστι n 19 πονηρός om. n 21 τῇ (ante περὶ) om. n χρηστέον Vn Arist. ATr.: χρονιστέον Arist. vulg. 22 προβάλλεσθαι n 23. 24 ἢ μέγα V: εἰ μέγα n 24 ἢ βλαβερὸν ἢ μὴ om. n 26 εὗρον—τοιοῦτον om. n ὅτι ἀναγκαῖον ἐν Arist. 27 γέγονεν n 28 Σοφοκλέους] Antig. 635 31 ἀπορθοῖς Soph. ἔγωγε n 35 ἐστι ὅτι n 36 ἢ om. n

ὠφέλιμά εἰσιν ἢ ὅτι καλά. εἰ δὲ καὶ τὰ πράγματά εἰσιν ἄπιστα (τοῦτο f. 77r
δὲ γίνεται ὀλιγάκις), τοῦτό τε δεῖ ποιεῖν καὶ ἀποδείξεις αὐτῶν, ἢ ἐὰν [f. 79r]
ἄλλος ἔχῃ αἰτίαν, ἤτοι εἰ σώφρων εἶ· τοῦ δὲ εἶναί σε σώφρονά ἐστιν
αἴτιος ἕτερος ὁ ἀνάγων σε, ὃς περικλείων σε πείθει καὶ ἄκοντα σωφρονεῖν.
5 εὗρον σχόλιον εἰς τοῦτο· οἷον εἰ ἄλλος ἐστὶν ὁ ποιῶν καὶ οὐχὶ ὁ λεγό- 35
μενος. [b 35] ἐν δὲ τοῖς δημηγορικοῖς περὶ μέλλοντός ἐστιν ἡ ἀμφισ-
βήτησις. ἢ ὅτι οὐκ ἔσται, ἀμφισβητεῖ τις, ἢ ἔσται μέν, ἀλλ' ἄδικά
εἰσιν, ἢ οὐ τηλικαῦτα ἤτοι μεγάλα. [b 36] δεῖ δὲ ὁρᾶν καὶ εἴ τι
ψεύδεται καὶ ἐκτὸς τοῦ πράγματος καὶ τῆς ὑποθέσεως λέγει ἢ ὁ
10 κατήγορος ἢ ὁ ἀπολογούμενος· εἰ γὰρ ἐκτὸς τῆς ὑποθέσεως λέγει, τεκμαι- 40
ρόμεθα, ὅτι καὶ περὶ τῶν ἄλλων ψεύδεται ἤτοι τοῦ δικαίου καὶ τοῦ
ἀδίκου καὶ τοῦ ὠφελίμου καὶ τοῦ βλαβεροῦ καὶ τοῦ μεγάλου καὶ τοῦ
μικροῦ· ψεύδεται γάρ, κἂν δίκαιον λέγῃ τὸ γεγονὸς ἢ τὸ ἐσόμενον· εἴτε
ἄδικον καὶ βλαβερὸν λέγει αὐτό, ψεύδεται. | [1418 a 1] εἰ καὶ ἐν τοῖς f. 77v
15 δημηγορικοῖς χρώμεθα τοῖς ἐνθυμήμασιν, ἀλλὰ μᾶλλον χρώμεθα τοῖς [f. 79v]
παραδείγμασι, διότι τῇ δημηγορικῇ οἰκειότερα μᾶλλον τὰ παραδείγματα·
ἐκ γὰρ τῶν προγεγονότων τεκμηριούμεθα καὶ τὴν τῶν ἐσομένων ἀπόβασιν.
τὰ δὲ ἐνθυμήματα οἰκειότερα πάλιν εἰσὶ τῷ δικανικῷ εἴδει καὶ διὰ
τοῦτο ἐν αὐτῷ πλείονα λαμβάνομεν τὰ ἐνθυμήματα παρὰ τὰ παραδείγματα. 5
20 [a 2] ἡ μὲν γὰρ ἡ δημηγορικὴ καταγίνεται περὶ τὸ μέλλον καὶ διὰ
τοῦτο δεῖ ἐκ τῶν γενομένων φέρειν παραδείγματα, ἡ δὲ ἤτοι ἡ δικα-
νικὴ καταγίνεται περὶ τὰ ὄντα παρ' ὃ τὰ μὴ ὄντα, ὧντινων μᾶλλον
τῶν ὄντων ἐστὶν ἀπόδειξις καὶ ἀνάγκη ἤτοι ἀναγκαστικὸς συλλο-
γισμός· τὸ γὰρ γεγονὸς ἔχει τὴν ἀνάγκην ἤτοι τὴν ἀπόδειξιν. εὗρον
25 σχόλιον· [a 4] οὐ μᾶλλον ἤτοι τοῦ μέλλοντος. καὶ ἀνάγκη ἤτοι τὸ ἐκ 10
τῶν γεγονότων παράδειγμα. [a 5] οὐ δεῖ δὲ ἐφεξῆς καὶ συνημμένως
λέγειν ἐνθυμήματα, ἀλλὰ διακόπτειν καὶ μεταξὺ λέγειν καὶ παρα-
δείγματα, ὥστε ἀναμιγνύναι καὶ τοῖς ἐνθυμήμασι παραδείγματα· εἰ δὲ
μή, ἤτοι εἰ μὴ ἀναμιγνύεις αὐτοῖς καὶ παραδείγματα καὶ διακοπὴν ποιεῖς
30 τῶν ἐνθυμημάτων, ἀλλὰ συνημμένως λέγεις ἐνθυμήματα, τὰ ἐνθυμήματα
συνημμένως λεγόμενα καταβλάπτουσιν ἀλλήλους· ὁ γὰρ ἀκροατὴς τῇ 15
πυκνότητι τῶν ἐνθυμημάτων ἀποκάμνει καὶ ἔκτοτε οὐ προσέχει τοῖς λεγο-
μένοις· δεῖ γὰρ καὶ ἐνταῦθα ἤτοι ἐπὶ τοῦ δικανικοῦ λέγειν παραδείγματα,

---

2 τοῦτό V: τό n 3 ἄλλος V Arist.: ἄλλως n αἰτίαν ἔχῃ Arist. εἰ om. n
5 εὗρον—τοῦτο om. n 6 ἐστί n 8 καὶ ὁρᾶν Arist. τι Vn Arist. vulg.: τις Arist. A 9 ἐκτὸς τοῦ Vn Arist. vulg.: ἐκ τοσούτου Arist. A 11 καὶ τῶν ἄλλων ὅτι ψεύδεται Arist. 13 λέγει n 14 ἔστι δὲ τὰ μὲν παραδείγματα δημηγορικώτατα post ψεύδεται add. n ex Aristotele 16 παραδείγμασιν n τῇ δημηγορι V: τοῖς δημηγορικοῖς n 17 τεκμαιρούμεθα n 19 λαμβανόμενα n παρὰ V: πρὸς n 21 γινομένων n 23 ἀπόδειξίς ἐστι Arist. καὶ post ἤτοι add. n 24. 25 εὗρον σχόλιον om. n 25 ἀπόδειξις post μᾶλλον add. n ex Aristotele 27 τὰ ἐνθυμήματα Arist. 28 ἐνθυμήμασιν n 29 εἰ μὴ om. n αὐτοῖς om. n παραδείγματα V: πράγματα n 33 γὰρ V: δὲ n λόγου post δικανικοῦ add. n

πλὴν ἐκεῖ ἐπὶ τοῦ συμβουλευτικοῦ πλείονα. [a 7] ὅτι δὲ μέτρον ἐστὶ καὶ f. 77ᵛ
ποσὸν τῶν ἐνθυμημάτων, πόσα δεῖ λέγειν καὶ ἐξίστασθαι αὐτῶν καὶ οὐχὶ [f. 79ᵛ]
ἀμέτρως δεῖ λέγειν αὐτά, δηλοῖ καὶ Ὅμηρος ἐν οἷς παρεισάγει τὸν Ἀλκίνοον λέγοντα πρὸς τὸν Ὀδυσσέα ‘ἐπεὶ τόσ’ εἶπας, ὅσα ἂν πεπνυμένος 20
5 ἀνήρ’· οὐκ εἶπε τοιαῦτα, ἀλλὰ τοσαῦτα, δηλῶν ἐκ τοῦ τοσαῦτα, ὅτι μέτρον ἔστι τῶν λόγων καὶ τῶν ἐνθυμημάτων· τῇ γὰρ ἀμετρίᾳ ὁ μωρὸς καὶ ὁ ἄτεχνος χρᾶται· ἔστι γὰρ ὅρος καὶ μέτρον τοῦ ποσοῦ τῶν ἐνθυμημάτων καὶ οὐχὶ ἀμέτροις δεῖ χρᾶσθαι αὐτοῖς. [a 9] οὐ δεῖ δὲ ἐνθυμήματα καὶ ἀποδείξεις ζητεῖν περὶ πάντων· εἰ δὲ παντὸς προτεθέντος
10 ζητεῖς ἀποδείξεις, συμβήσεται τὸ ἀποδεικνύειν τὰ γνώριμα καὶ τὰ φανερὰ 25
ἐξ ἀγνώστων καὶ ἀδήλων, ὅπερ ποιοῦσι τινὲς τῶν φιλοσόφων, οἵτινες συλλογίζονται τὰ γνωριμώτερα παρὰ τὰς προτάσεις, ἐξ ὧν λέγουσι καὶ ἀποδεικνύουσιν, ἤτοι συμβαίνει τὸ προτάσεις λαμβάνειν ἀγνωστοτέρας τοῦ προκειμένου προβλήματος. [a 12] καὶ ὅταν ποιῇς πάθος ἤτοι
15 κινεῖς τοὺς ἀκροατὰς εἰς ὀργὴν ἢ εἰς ἐπιθυμίαν ἢ αὐτὸς θυμοῦσαι ἢ ἐπιθυμῇς, μὴ λέγε ἐνθυμήματα. πάθος λέγει τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν· εἰ γὰρ δυνατόν ἐστι, τὸ ἐνθύμημα ἐκκρούει τὸ πάθος ἤτοι 30
χαῦνον ποιήσει καὶ ἔκλυτον αὐτὸ ἐν τῷ τοὺς ἀκροατὰς ἢ σὲ τὸν κατεχόμενον πάθει τινὶ ἤτοι θυμῷ ἢ λύπῃ ἢ φόβῳ προσέχειν τῷ ἐνθυμήματι
20 δεινῷ ὄντι καὶ ἐπιλαθέσθαι τοῦ πάθους· ἢ εἰ τὸ πάθος κατέχει ἰσχυρῶς ἢ σὲ ⟨ἢ⟩ τοὺς ἀκροατὰς ἰσχυρὸν ὄν, πάντως προσέξουσι πάντες τῷ πάθει καὶ ὅλοι τούτου γενόμενοι, τῷ δὲ ἐνθυμήματι καὶ † προσέξουσιν ὅλως, ἀλλ’ ἔσται τὸ ἐνθύμημα μάτην ῥηθέν· [a 14] καὶ γὰρ ἐάν εἰσι δύο κινήσεις 35
ἢ ἐνέργειαι δύο, οἷον εἰ ὁρᾷ τις καὶ ἀκούει ἢ εἰ ἐνεργεῖ κατ’ ἄλλην
25 αἴσθησιν, ἡ ὁραστικωτέρα κίνησις καὶ ἐνέργεια ἐκκρούει τὴν ἑτέραν ἐνέργειαν καὶ ἀμαυροῖ, ὡς ἐν τῷ Περὶ ψυχῆς φησι, καὶ ἢ ἀφανίζουσιν ἀλλήλας, εἰ ἡ μία τῶν ἐνεργειῶν ἐστι ὁραστικωτέρα, ἢ ἀσθενεῖς ποιοῦσιν ἀλλήλας, εἰ ἰσοδύναμοί εἰσι. [a 15] καὶ εἰ μέλλεις ποιῆσαι τὸν λόγον ἠθικόν, οὐ δεῖ ἐνθυμηματίζειν. ἠθικὸς γίνεται ὁ λόγος, ὅταν 40
30 παρεμφαίνηται τὸ ἦθος τοῦ λέγοντος, ὅτι ἐστὶν ἀγαθὸν καὶ ἀληθές· ἡ γὰρ ἀπόδειξις οὔτε ἦθος ὀφείλει ἔχειν οὔτε προαίρεσιν· ἐν δὲ τῷ ἠθικῷ λόγῳ δεικνύομεν τὴν προαίρεσιν τὴν οἰκείαν αἱρουμένην τὰ ἀγαθὰ καὶ ἀληθῆ καὶ μισοπόνηρον. [a 17] χρηστέον δὲ ταῖς γνώμαις καὶ ἐν

---

1 ἔστι γὰρ καὶ τοῦ ποσοῦ ὅρος post πλείονα add. n ex Aristotele 3 Ὅμηρος] δ 204 3. 4 ἀλκίνοον V: ἀχιλλέα n (verba sunt Menelai ad Pisistratum) 4 ἐπεὶ V: ἔπη n τόσσ’ n ὅσ’ n 6 ἀμετρείᾳ n 7 χρῆται n 8 χρῆσθαι n 9 καὶ μὴ περὶ πάντων ἐνθυμήματα ζητεῖν Arist. 14 πάθος ποιῇς Arist. 15 κινῇς n θυμοῦς n 16 ἐπιθυμεῖς n ἐνθύμημα Arist. 17 ἐστιν n ἐκκρούσει Arist. 18 ποιεῖ n 18. 19 τὸν ἐχόμενον n 20 καὶ V: ἢ n 21 ἢ (ante τοὺς) add. n προσέξουσιν n 22 pr. καὶ Vn: exspectes οὐδὲ 25 καὶ ἄλλην ante ἡ add. n 26 ἐν τῷ Περὶ ψυχῆς] cf. Περὶ αἰσθ. 7 p. 447ᵃ14 φησίν n 28 εἰσιν n 29 ἐνθυμηματίζειν Vn Arist. CTr.: ἐνθυμήματι ζητεῖν Arist. A: ἐνθύμημά τι ζητεῖν Arist. cet. 33 γνώμαις δὲ χρηστέον Arist.

διηγήσεσι καὶ πίστει ἤτοι | καὶ ἀποδείξει· ἠθικὸν γὰρ ποιεῖ τὸν f. 78r
λόγον τὸ χρᾶσθαι γνώμαις καὶ ἐν τῇ πίστει καὶ ἐν ταῖς διηγήσεσιν. [f. 79r]
[a 18] ἐγὼ δέδωκα ἤτοι ἐδάνεισα, τυχὸν τῷ Θεμιστοκλεῖ, καὶ ταῦτα
εἰδώς, ὡς οὐ δεῖ πιστεύειν αὐτῷ ἤτοι οὐ θέλει μοι δοῦναι ταῦτα.
5 ἐὰν δὲ παθητικῶς, ⟨ἤτοι⟩ εἰ δὲ μέλλω ἀνακινῆσαι πάθος, ῥητέον τὴν
γνώμην ταύτην οὕτως ὅτι [a 18] 'ἐδάνεισα αὐτῷ καὶ εἰδώς, ὡς οὐ δεῖ 5
πιστεύειν αὐτῷ, ἀλλ' ἐμοὶ μὲν οὐ μεταμέλει ἤτοι μετάμελος γέγονε καὶ
ταῦτα μὴ μέλλοντί μοι δοῦναι· τούτῳ μὲν γὰρ περίεστι κέρδος, ἐμοὶ
δὲ τὸ δίκαιον περίεστιν· ἐφύλαξα γὰρ πρὸς αὐτὸν φιλίαν καὶ διὰ τοῦτο
10 ἰδὼν αὐτὸν μὴ ἔχοντα ἐδάνεισα'· ἐνέφηνε γὰρ τὴν οἰκείαν γνώμην, ὅτι
φιλόφιλός ἐστιν· ὅθεν καὶ γνώμη λέγεται τόδε 'ἐγὼ μὲν δέδωκα καὶ ταῦτα
εἰδώς', διότι ἐν αὐτῷ παρεμφαίνεται ἡ γνώμη καὶ ἡ προαίρεσις τοῦ δανεί- 10
σαντος, ὅτι ἔστιν ἀγαθή. [a 22] διότι περὶ τὸ μέλλον καταγίνεται ἡ
δημηγορική, τὸ δὲ μέλλον ἐστὶν ἀφανές, διὰ τοῦτο ἡ δημηγορικὴ χαλε-
15 πωτέρα· ἡ δὲ δικανικὴ ῥᾳδία. διότι περὶ τὸ γεγονὸς καταγίνεται, τὸ δὲ
γεγονὸς δῆλον πᾶσι καὶ ἐπιστητόν ἐστι καὶ γνωστὸν καὶ τοῖς μάντεσι.
τοῦτο λέγει ὡς ἐπεγγελῶν αὐτοῖς· γελᾷ δὲ καὶ τὸν Ἐπιμενίδην ὡς μαν-
τευόμενον οὐ περὶ τῶν ἐσομένων ἀλλὰ περὶ τῶν γενομένων· ποία δὲ
δυσκολία ἐστὶ τὸ γινώσκειν τινὰ τὸ γενόμενον; [a 25] καὶ ὁ νόμος ὑπό- 15
20 θεσις ἤτοι ὡς ὁμολογούμενος λαμβάνεται ἐν τοῖς δικανικοῖς. ἐὰν δὲ
ἔχῃ τις τὸν νόμον ὡς ἀρχήν, ῥᾷόν ἐστιν εὑρεῖν ἀπόδειξιν· τῆς γὰρ
ἀρχῆς εὑρεθείσης ῥᾷόν ἐστι καὶ τὰς ἀποδείξεις ἐνθένδε εὑρεῖν. καὶ οὐκ
ἔχει ὁ δικαζόμενος πολλὰς διατριβὰς εἰς τὸ εὑρεῖν ἀποδείξεις ἢ πρὸς
τὸν ἀντίδικον, ἤτοι εἰ βούλει ἀποδεῖξαι τὸν ἀντίδικον κλέπτην ἢ ἱερό-
25 συλον. ἢ περὶ ἑαυτοῦ, ἤτοι ἢ εἰ βούλει ἀποδεῖξαι ἑαυτὸν ἀγαθὸν καὶ 20
οὐχὶ ὄντα τοιοῦτον, οἷόν σε εἶναι λέγει ὁ κατηγορῶν, ἢ παθητικὸν τὸν
λόγον ποιεῖν ἐστι ῥᾴδιον· εἰ γὰρ δοθείη ἡ ἀρχή, ῥᾷόν ἐστιν ἔκτοτε ἢ
εὑρεῖν τὰς ἀποδείξεις ἢ τὸν λόγον ποιεῖν παθητικόν. [a 28] ἀλλ' ἥκιστα
ἤτοι ἀλλ' οὐδαμῶς πάντων τῶν εἰδῶν ἐστιν, ἤτοι τοῦ συμβουλευτικοῦ,
30 τοῦ δικανικοῦ, τοῦ πανηγυρικοῦ, τὸ ποιεῖν τὸν λόγον παθητικὸν ἤτοι τὸ
σχετλιάζειν, ἐὰν μὴ ἐξίστησιν, ἤτοι ἐὰν μὴ ἔξω τῆς ὑποθέσεως καὶ
τοῦ πράγματος ἐκβαίνῃ καὶ μέλλῃ διατρίβειν. εὗρον σχόλιον τοιοῦτον· 25
ἀλλ' ἥκιστα ἤτοι οὐδαμῶς ἐκ πάντων τῶν εἰδῶν τοῦτο τὸ εἶδος τὸ
δικανικὸν ἔχει διατριβάς. [a 29] δεῖ οὖν τὸν ἀποροῦντα ἤτοι τὸν μὴ
35 ἔχοντα ὕλην καὶ ἀφορμὰς ἐπιχειρημάτων πολλῶν ποιεῖν τοῦτο ἤτοι τὸ

---

1 διηγήσεσι Vn Arist. Tr.: διηγήσει Arist. cet. καὶ ἐν πίστει Arist. 2 χρῆσθαι n 3 ἐγὼ Vn Arist. vulg.: καὶ ἐγὼ Arist. A 5 ἤτοι add. n 7 γέγονα n 8 εἰδώς post ταῦτα add. n μέλλοντά n τὸ κέρδος Arist. 11 ἐστι n τὸ δὲ Vn 13 ἔστι n 14 ἐστὶ n 16 πᾶσιν n ἐστιν n τοῖς μὲν μάντεσιν n 21 ἐστι n 25 αὐτοῦ Arist. ἢ (ante εἰ) om. n 26 ἢ V: ἤτοι n 27 ἐστὶν V: ἐστι n ἢ om. n 30 τὸ (post ἤτοι) om. n 31 ἐξίστη Arist. A: ἐξίσταται Arist. vulg. 32 ἐκβαίνει n μέλλει n εὗρον σχόλιον τοιοῦτον om. n 34 διαποροῦντα n 35 τοῦτο ποιεῖν Arist.

ἐξίστασθαι ἤτοι τὸ ἔξω τῆς ὑποθέσεως διατρίβειν. ὃ ποιοῦσιν οἱ Ἀθηναῖοι f. 78r
ῥήτορες καὶ ὁ Ἰσοκράτης· τὸ γὰρ κατηγορεῖν, ἐν οἷς συμβουλεύει, ἔξω [f. 79r]
τῆς προκειμένης ἐστὶν ὑποθέσεως. ἐν τῷ Πανηγυρικῷ ἤτοι τῷ Πανα- 30
θηναϊκῷ. [a 31] ὁ Χάρης στρατηγὸς καὶ ῥήτωρ ἦν. ἐν δὲ τοῖς ἐπι-
5 δεικτικοῖς ἤτοι πανηγυρικοῖς δεῖ ἐπεισοδιοῦν ἤτοι ἔξω τοῦ προκει-
μένου ἐπεισάγειν πάρεργά τινα καὶ μὴ χρησιμεύοντα εἰς τὴν ὑπόθεσιν· ὁ
γὰρ Ἰσοκράτης, ἐν οἷς ἐπαινεῖ τὸν Ἀχιλλέα ἢ ἄλλον τινά, εἰσάγει τινὰ
μηδ' ὅλως χρησιμεύοντα εἰς τὸν τοῦ Ἀχιλλέως ἔπαινον. [a 34] ὁ Γορ-
γίας ἔλεγεν ὅτι 'εἰ βούλομαι, οὐδέποτε ὑπολείψει με ὁ λόγος· ἀεὶ γὰρ ἂν
10 παρενείρω ἄλλα καὶ ἄλλα ἐκτὸς τῆς ὑποθέσεως καὶ μὴ χρησιμεύοντα εἰς 35
τὴν ὑπόθεσιν'. τοῦτο γοῦν, ὃ ἔλεγεν ὁ Γοργίας, ταὐτόν ἐστι τῷ ἐπεισ-
όδια λέγειν καὶ ἐκτὸς τοῦ πράγματος· εἰ γὰρ Ἀχιλλέα ἐπαινῶν ἐπαινῶ
τὸν Πηλέα, εἶτα τὸν Αἰακόν, εἶτα τὸν θεὸν ἤτοι τὸν Δία, οὐδέποτε
ὑπολείψει μοι τὸ λέγειν· ὁμοίως δὲ καὶ ἀνδρείαν ἐπαινῶν, εἰ ἀφήσω
15 ἂν τὸ λέγειν περὶ αὐτῆς, λέγω δὲ ἐκτὸς αὐτῆς, ἥτις (ἡ ἀνδρία) διὰ μὲν
τοῦ δεῖνος ἐποίησε τάδε τὰ τρόπαια, διὰ δὲ τοῦ δεῖνος τάδε, καὶ ὃ ἤτοι 40
ἡ ἀνδρία τοιόνδε ἐστίν, ἤτοι εἴποιμι τὸν ὁρισμὸν αὐτῆς, εἰ γοῦν μέλλω
λέγειν τὸν ὁρισμὸν αὐτῆς καὶ ὅτι τάδε καὶ τάδε ποιεῖ, οὐδέποτε ἐπιλείψει μοι
ὁ λόγος. ἢ νοεῖται καὶ οὕτως· ὅπερ, τοῦτο τὸ λέγειν, ὅτι τάδε καὶ τάδε
20 ποιεῖ ἡ ἀνδρία, τοιόνδε ἐστὶν ἤτοι ἐπεισοδιοῦν. [a 38] ἐὰν δὲ μὴ
ἔχῃς ἐνθυμήματα ἤτοι ἀποδείξεις, ἠ|θικῶς λεκτέον. καὶ μᾶλλον f. 78v
ἁρμόττει τῷ ἐπειεικεῖ ἤτοι τῷ ἀγαθῷ τὸ ποιεῖν τὸν λόγον χρη- [f. 79v]
στὸν ἤτοι ἠθικὸν παρ' ὃ ἀκριβῆ ἤτοι ἀποδεικτικόν. [b 2] ἐλεγκτικὰ
λέγεται ἐνθυμήματα τὰ εἰς ἀδύνατον ἀπαγωγὴν ἀπάγοντα, διότι, ὅσῳ
25 ποιεῖ ἔλεγχον, ἤτοι ἡ εἰς ἀδύνατον ἀπαγωγή, τὸ ἀντικείμενον λαμβάνει
τῇ ἀληθεῖ ὑποθέσει, καὶ παράλληλά εἰσι τὰ ἐναντία ἐν τῇ τοιαύτῃ 5
δείξει· ὅσῳ δὲ λαμβάνονται τὰ ἐναντία παράλληλα καὶ ἐν παραθέσει,
τοσούτῳ μᾶλλον γνωρίζονται· τὸ γὰρ λευκὸν καὶ αὐτὸ καθ' αὑτὸ θεωρού-
μενον γνώριμόν ἐστι, παραβαλλόμενον δὲ μετὰ τοῦ μέλανος καὶ παράλληλον
30 τῷ μέλανι κείμενον μᾶλλον γίνεται ἐκφαντικώτερον καὶ λαμπρότερον.
[b 4] τὰ δὲ φερόμενα πρὸς τὸν ἀντίδικον ἤτοι τὰ πρὸς τὰ εἰσαγόμενα

---

1 τὸ om. n 3 ἐστὶ n 4. 5 ἐπιδεικτικοῖς V Arist.: ἀποδεικτικοῖς n 5 τοῖς ante πανηγυρικοῖς add. n 9 εἰ n: evanuit V 10 παρενείρω ut videtur ex παρενείλω corr. V: παραινείχω n 11 γοῦν V: οὖν n ταὐτόν Vn: ταὐτό Arist. A: τοῦτό Arist. vulg. ἐστιν n 12 ἐπαινῶ n: ἐπαινεῖ V 14 μοι V: με n 15. 17. 20 ἀνδρεῖα n (per comp. V) 16 ὃ Vn Arist. vulg.: ἢ ἐπι Arist. A 17 ἐστι n εἴποιμι V: εἰ εἴπω μικρὸν n 18 ὑπολείψει μοι V: ὑπολείψει με n 19 ὅτι om. n 20 ἃ ante ποιεῖ add. n ἐστι n ἐπεισόδιον n 22. 23 τῷ ἐπιεικεῖ ἁρμόττει χρηστὸν φαίνεσθαι ἢ τὸν λόγον ἀκριβῆ Arist. 24 ἐπαγωγὴν ἐπάγοντα n ὅσῳ V: ὅσα n Arist. 25 ἔλεγχον ποιεῖ Arist. 26 παράλληλον εἰ γὰρ τὰ n τἀναντία Arist. ἐν τῇ — ἐναντία (27) om. n 27 εἰσιν ante παράλληλα add. n 31 φερόμενα V: προσφερόμενα n

παρὰ τοῦ ἀντιδίκου σου ἐπιχειρήματα οὐχ ἕτερόν τι εἶδος τῶν πίστεων f. 78v
καὶ τῶν ἀποδείξεών ἐστι τῶν λυτικῶν λόγων αὐτοῦ. ἀλλὰ τὰ μὲν τῶν [f. 79v]
ἐπιχειρημάτων τοῦ ἀντιδίκου ἔστι λῦσαι ἐνστάσει, τὰ δὲ διὰ συλλο- 10
γισμῶν καὶ δι' ἀντιπαραστάσεως. ἢ [b 4] 'παράλληλα γὰρ μᾶλλον τὰ
5 ἐναντία γνωρίζεται' νοεῖται καὶ οὕτως, ὅτι τότε μᾶλλον γνωρίζονται τὰ
ἐπιχειρήματά σου γενναῖα, εἰ θήσεις καὶ τὰ οἰκεῖα ἐπιχειρήματα καὶ τὰ τοῦ
ἀντιδίκου παράλληλα. [b 6] δεῖ δὲ καὶ ἐν τῇ συμβουλῇ ἤτοι τῷ
συμβουλευτικῷ εἴδει καὶ τῇ δίκῃ ἤτοι τῷ δικανικῷ ἀρχόμενον μὲν
ἤτοι ἐξ ἀρχῆς εὐθὺς μετὰ τὰ προοίμια ὀφείλεις λέγειν τὰς ἑαυτοῦ 15
10 πίστεις ἤτοι τὰ οἰκεῖα ἐπιχειρήματα τὰ ἀποδεικτικά, ὕστερον δὲ εἰσάγειν
ἐξ ἀντιθέσεως καὶ τὰ ἐπιχειρήματα τοῦ ἀντιδίκου σου τὰ ἀποδεικτικὰ καὶ
ἁπαντᾶν καὶ ἐνίστασθαι πρὸς τὰ ἐναντία ἤτοι πρὸς τὰ τοῦ ἀντιδίκου
ἐπιχειρήματα καὶ λύειν αὐτά, πλὴν δὲ ὀφείλεις πρῶτον προδιασύρειν τὰ
τοῦ ἀντιδίκου ὡς ψευδῆ καὶ ἀσθενῆ πρὸ τῆς λύσεως. εὗρον καὶ σχόλιον·
15 ἀρχόμενον μὲν λέγειν ἤτοι ἀρχὴν ἔχον τοῦ κατηγορεῖν τὰς ἑαυτοῦ 20
πίστεις ἤτοι μὴ κατηγορηθέντα παρά τινος, ὕστερον δὲ πρὸς τὰ
ἐναντία, ἂν νοῇς τι, ὑποτρέχον. [b 9] ἐὰν δὲ πολύχους ᾖ ἡ ἐναν-
τίωσις, ἤτοι εἰ δὲ πολλά εἰσι τὰ τοῦ ἀντιδίκου ἐπιχειρήματα, ὀφείλεις
πρότερον εὐθὺς μετὰ τὰ προοίμια εἰπεῖν τὰ ἐναντία ἤτοι τὰ τοῦ ἀντι-
20 δίκου ἐπιχειρήματα καὶ θεῖναι καὶ ἐπιχειρῆσαι μετὰ ταῦτα εἰς λύσιν
αὐτῶν, οἷον ἐποίησεν ὁ Καλλίστρατος· Ἀθηναῖος δὲ οὗτος ἦν καὶ
διαλεγόμενος πρὸς τοὺς Μεσηνίους ἀναγκαζομένους τελεῖν φόρον καὶ ἀντι- 25
λέγοντας. προανελὼν γάρ, ἃ ἐροῦσιν οἱ ἀντίδικοι αὐτοῦ, οὕτω μετὰ
ταῦτα εἶπεν αὐτὸς τὰ οἰκεῖα ἐπιχειρήματα καὶ τὰς οἰκείας δικαιολογίας·
25 προανεῖλε γάρ, ἃ ἔμελλον εἰπεῖν κατ' αὐτοῦ. εἰ μὲν οὖν πρῶτος ἀπήν-
τησας εἰς τὸ δικαστήριον σύ, ἐν τῷ οἰκείῳ λόγῳ μὴ μόνον λέγε τὰς
οἰκείας δικαιολογίας ἀλλὰ καὶ τὰς τοῦ ἀντιδίκου, εἴτε μετὰ τὰ προοίμια,
εἰ πολλαί εἰσιν, εἴτε μετὰ τὸ θεῖναι τὰς οἰκείας δικαιολογίας· καὶ εἰκότως, 30
εἰ πολλαί εἰσιν, ὀφείλουσι πρότερα τῶν σῶν δικαιολογιῶν τίθεσθαι, διότι,
30 εἰ εἴπῃς πρότερον τὰς σάς, εἶτα θήσεις ἐκείνας, αὗται μὲν εὐμνημόνευτοί
εἰσι τοῖς ἀκροαταῖς ὡς τελευταῖαι ῥηθεῖσαι. τῶν δὲ σῶν εἰς λήθην ἔρχον-
ται οὗτοι ὡς προρρηθεισῶν. [b 12] ὕστερον δὲ λέγοντα, ἤτοι εἰ δὲ
πρῶτον ἀπαντήσοι εἰς τὸ δικαστήριον καὶ δικαιολογήσεται κατὰ σοῦ ὁ ἀντί-
δικός σου γράψας λόγον, εἶθ' ὕστερον λέγεις σὺ καὶ γράφεις ἐλθὼν εἰς τὸ 35

---

1 σου om. n οὐ n τι evanuit V 2 λυτῶν n τῶν (post μὲν) evanuit V 4 δι' evanuit praeter spiritum V: διὰ n 5 οὕτως, οὕ evanuit, V καὶ ante ὅτι add. n 11 σου om. n 12 τἀναντία Arist. 13 πλὴν V: πρὶν n 14 εὗρον καὶ σχόλιον V: ἢ καὶ οὕτως n 15 ἔχον V: ἔχων n: exspectes ἔχοντα 17 ὑποτρέχον V: ὑπότρεχε n: exspectes ὑποτρέχειν (ἀπαντᾶν Arist.) ἂν Arist. 18 εἰσιν n 21 ὁ om. Arist. 24 αὐτὸς εἶπεν Arist. 25 προανεῖλεν n ἔμελλεν n 27 εἴτε n: εἶτα V 28 πολλὰ V εἰσιν n: σὺ V 30 θήσῃς n 31 εἰσιν n 32 λέγονται n 33 ἀπαντήσῃ n δικαιολογίσηται n 34 λέγῃς n γράψῃς n

δικαστήριον, πρῶτον ἐνδέχεταί σε μετὰ ⟨τὰ⟩ προοίμια ἀπαντῆσαι καὶ f. 78v
ἐνστῆναι πρὸς τὸν ἐναντίον λόγον καὶ λῦσαι τὰ τοῦ ἀντιδίκου ἐπιχει- [f. 79v]
ρήματα συλλογιζόμενον, καὶ μάλιστα, ἐάν εἰσιν ἐκεῖνα εὐδοκιμη-
κότα ὡς ἰσχυρά, ἵνα ἐκβάλῃς αὐτὰ τῆς διανοίας τῶν ἀκροατῶν καὶ
5 πείσῃς νομίζειν αὐτὰ ἀνίσχυρα καὶ ψευδῆ, εἶτα εἰπὲ τὰ οἰκεῖα ἐπιχειρή-
ματα· οὕτω γὰρ δράσουσιν εἰς τὰς ψυχὰς τῶν ἀκροατῶν. [b 14] ὥσπερ
γὰρ οὐ δέχεται ἡ ψυχὴ τοὺς λόγους τοῦ προδιαβεβλημένου ἀνθρώπου, 40
ἀλλ' ἀποπέμπεται αὐτοὺς ὡς ψευδεῖς, τὸν αὐτὸν τρόπον οὐδὲ τὴν ἀπο-
λογίαν σου παραδέξονται, ἔστ' ἂν ὁ ἀντίδικός σου δοκῇ εἰρηκέναι εὖ.
10 δεῖ οὖν χώραν καὶ τόπον ποιῆσαι ἐν τῇ ψυχῇ τοῦ ἀκροατοῦ τῇ μελ-
λούσῃ παρὰ σοῦ ῥηθῆναι ἀπολογίᾳ· ἔσται δὲ χώρα τῷ λόγῳ σου, ἐὰν
ἀνέλῃς, ἃ εἶπεν ὁ ἀντίδικός σου. [b 18] διὸ δεῖ σε μαχέσασθαι πρὸς
ἐκεῖ|να καὶ ἀνατρέψαι ἢ τὰ μέγιστα καὶ ἰσχυρὰ ἢ τὰ εὐέλεγκτα. f. 79r
[b 21] 'τοῖς θεοῖς πρῶτα σύμμαχος γενήσομαι'. τὶς ὕβρισέ [f. 77r]
15 τινα ὡς μοιχὸν καὶ ὁ ὑβρισθεὶς κατηγορεῖ τοῦ ὑβρίσαντος ὡς ἀσεβοῦς·
φησὶ γὰρ 'ὁ ὑβρίσας ἐμὲ ὕβρισε τὴν Ἀφροδίτην· αὕτη γὰρ αἰτία τῆς
συνουσίας'. εἶτα ὁ κατηγορηθεὶς ἁπαντῶν πρῶτον δείκνυσιν, ὅτι οὐχ
ὑβρίζει τοὺς θεούς, ἀλλὰ σύμμαχος αὐτοῖς ἐστι· 'τιμῶ γάρ, φησί, μᾶλλον 5
τὴν Ἥραν ὡς αἰτίαν γάμου καὶ οὐ μοιχείας'. [b 23] πρῶτον οὗτος
20 ταῦτα λέγων ἥψατο τοῦ εὐηθεστάτου καὶ εὐελέγκτου ἐπιχειρήματος
τοῦ δεικνύοντος αὐτὸν ἀσεβῆ. εἰς δὲ τὸ δεικνύειν τὸ οἰκεῖον ἦθος ἐπι-
εικὲς καὶ ἀγαθὸν ἕτερον χρὴ παράγειν λέγοντα, ὡς 'αἰσθάνομαι ἑτέρων
λεγόντων περὶ ἐμοῦ χρηστά', ἐπειδὴ τὸ λέγειν τινὰ περὶ ἑαυτοῦ καὶ
συνιστᾶν τὸ οἰκεῖον ἦθος ἐπιεικὲς ἢ ἐπίφθονον καὶ μεμπτὸν ἢ ἔχει
25 μακρολογίαν, ἤτοι ἢ μακρολόγος καὶ περιττολόγος δοκεῖ ὁ ἀφεὶς λέγειν 10
περὶ τοῦ πράγματος καὶ ἐπαινῶν ἑαυτόν, ἢ ἔχει ἀντιλογίαν· ἀντιπέσῃ
γὰρ ἕτερος καὶ δείξει αὐτὸν ψευδόμενον καὶ μὴ ὄντα χρηστόν, ὡς αὐτὸς λέγει.
[b 25] ἀλλὰ καὶ περὶ ἄλλου εἰ λέγεις, ὡς φαῦλος κατὰ τὸ ἦθός ἐστιν,
ἢ λοίδορος δόξεις ἢ ἄγροικος καὶ μὴ γινώσκων, τίς ἐστιν ἡ ἀρετὴ ἢ ἡ
30 κακία· ὥστε δεῖ ἄλλον παρεισάγειν λέγοντα 'ἀκούω ἄλλων λεγόντων περὶ
τοῦ δεῖνος, ὡς φαῦλός ἐστιν'· οὕτω γὰρ οὐ δόξεις φορτικός. ἄλλος εἶχε 15
θυγατέρα δυσειδῆ καί τις διέβαλεν αὐτὸν ὡς κακὴν θυγατέρα ἔχοντα·
[b 28] ποιεῖ γοῦν ὁ Ἀρχίλοχος τὸν πατέρα αὐτῆς ἐν ἰαμβικοῖς στίχοις

---

1 τὰ addidi προοι μ V 1. 2 καὶ ἐνστῆναι om. n 3 συλλογιζόμενον Vn Arist. ATr.: ἀντισυλλογιζόμενον Arist. vulg. ἂν Arist. 4 ἐκβάλῃς n 7 γὰρ ἄνθρωπον προδιαβεβλημένον οὐ Arist. 8 λόγον ἤτοι post οὐδὲ add. n, cf. Arist. 9 ἔστ' om. n δοκεῖ n 11 ῥηθεῖναι n ἂν Arist. 12 μαχέ| finis versus; charta agglutinata quaedam tecta sunt |σθαι V: μάχεσθαι n 13 τὰ εὐέλεγκτα Vn Arist. vulg.: τὰ om. Arist. A 14 τοῖς θεοῖς Vn Arist.: θεαῖσι vel ταῖς θεαῖσι Eurip. Troad. 969 πρῶτα Arist., Eurip.: per comp. V: πρῶτον n 18 ἐστιν τιμᾷ n μᾶλλον om. n 19 πρῶτος n ἥψατο πρῶτον Arist. 20 ὁ ταῦτα n 22 παρεισάγειν n 23 αὐτοῦ Arist. 26 ἀντιλογίαν ἔχει Arist. ἀντιπέσει n 29 δόξεις n: δείξεις V καὶ V: ἢ n ἐστι n 31 ἐστι n 33 γοῦν V: οὖν n ὁ om. n Ἀρχ[ίλοχος] fr. 74 Bergk.

λέγοντα οὕτω περὶ τῆς θυγατρός· 'οὐδὲν τῶν χρημάτων ἤτοι τῶν πραγ- f. 79r
μάτων ἄελπτον οὐδ' ἀπώμοτον καὶ ἀνέλπιστον· τί γοῦν καινόν, εἰ καὶ ἐμοὶ [f. 77r]
δυσειδὴς θυγάτηρ ἐπεγένετο;' σχόλιον· παρεισάγει πατέρα ὑπισχνούμενον περὶ
προικὸς τῆς οἰκείας θυγατρὸς καὶ λέγοντα πρός τινα ἀντιλέγοντα μηδὲν ἔχειν
5 ὡς οὐδὲν ἀνέλπιστον. [b 30] καὶ τὸν Χάρωνα. καὶ τοῦτο τοῦ Ἀρχιλόχου. 20
ὁ Γύγης πλούσιος ἦν· διὰ γὰρ τῆς σφενδόνης πολλὰ συνῆξε χρήματα. "οὔ
μοι τὰ Γύγεω," ἤτοι οὐχ οὕτως ἐγὼ πλούσιος ὡς ὁ Γύγης, ὡς τινὲς
λέγουσιν. [b 32] ὁ Αἴμων ἀνὴρ ἦν τῆς Ἀντιγόνης· ἵνα δὲ μὴ δόξῃ ὁ Αἴμων
ἐπαινῶν τὴν οἰκείαν γυναῖκα παρὰ τοῦ πατρὸς αὐτοῦ Κρέοντος ὑβρισμένην,
10 παρεισάγει τὸν ἔπαινον ὡς ἀπ' ἄλλων λεγόντων καὶ ἐπαινούντων αὐτήν,
λέγων οὕτω

"ἐμοὶ δ' ἀκούειν ἔσθ' ὑπὸ σκότῳ τάδε,
τὴν παῖδα ταύτην οἷ' ὀδύρεται πόλις, 25
πασῶν γυναικῶν ὡς ἀναξιωτάτη
15 κάκιστ' ἀπ' ἔργων εὐκλεεστάτων φθίνει·
ἥτις τὸν αὑτῆς αὐτάδελφον ἐν φοναῖς
πεπτῶτ' ἄθαπτον μήθ' ὑπ' ὠμηστῶν κυνῶν
εἴασ' ὀλέσθαι μήθ' ὑπ' οἰωνῶν τινος·
οὐχ ἥδε χρυσῆς ἀξία τιμῆς λαχεῖν;
20 τοιάδ' ἐρεμνὴ σῖγ' ἐπέρχεται φάτις."

[b 33] δεῖ δὲ καὶ μεταβάλλειν τὰ ἐνθυμήματα καὶ ποιεῖν γνώ-
μας· οἷον γνώμη ἐστὶ τὸ 'χρὴ δὲ τὰς διαλλαγὰς ποιεῖν τοὺς νοῦν
ἔχοντας εὐτυχοῦντας' ἤτοι 'δεῖ δὲ τοὺς φρονίμους, ἐὰν ἔχωσιν ἔχθραν 30
μετά τινων, καταλλάττεσθαι αὐτοῖς καὶ φιλιοῦσθαι, ἔστ' ἂν εὐτυχῶσιν'·
25 οὕτω γὰρ μάλιστα ἐὰν πλεονεκτοῖεν ἤτοι τὸ πλέον ἔχοιεν. ἐνθυ-
μηματικῶς δ' ἂν ῥηθῇ, εἰ οὕτω ῥηθῇ 'εἰ γὰρ δεῖ οὕτω καταλλάτ-
τεσθαι, ὅταν ὠφελιμώταται ὦσι καὶ πλεονεκτικώταται αἱ καταλ-
λαγαί, δεῖ τότε καταλλάττεσθαι, ὅταν εὐτυχῶσι'.

18. Περὶ δὲ ἐρωτήσεως εὔκαιρόν ἐστι μάλιστα ποιεῖσθαι,
30 ὅταν τὸ ἕτερον ἤτοι τὴν μίαν πρότασίν ἐστιν εἰρηκὼς ὁ προσδιαλεγό-
μενός σοι· δεῖ σε τότε μίαν πρότασιν ἐρωτῆσαι καὶ οὕτω συνάξαι τὸ 35
ἄτοπον. [1419a3] σώτειραν λέγει τὴν Δήμητραν. οἷον ὁ Περικλῆς ἐπή-
ρετο τὸν Λάμπωνα, τίς ἐστιν ἡ τελετὴ καὶ τὰ μυστήρια τῶν ἱερῶν τῆς
σωτείρας· ὁ γοῦν Λάμπων ἐπεὶ εἶπε τὴν μίαν πρότασιν ἤτοι 'οὐχ

2 ἀπόρωτον n γοῦν V: οὖν n 3 σχόλιον om. n πρα ὑπισχνούμενον V: πρᾶγμα ὑπισχούμενον n 4 ἀντιλέγοντα om. n ἔχειν V: ἔχοντα n 5 Ἀρχιλόχου] fr. 25 Bergk. 6 post σφενδόνης cr. VI litt. eras. V 8 δὲ om. n 9 οἰκείαν V: ἰδίαν n πατέρος n 11 οὕτως n 12 ἐμοὶ δ' κτλ.] Soph. Antig. 692 sq. σκότου Soph. 21 γνώμας ποιεῖν Arist. 25 μάλιστα ἐὰν Vn: ἂν μέγιστα Arist. 26 εἰ οὕτω ῥηθῇ om. n 27 ὠφελιμώτατοι n (per comp. V) ὦσιν n πλεονεκτικώτατοι n (per comp. V) 28 τότε Vn Arist. vulg.: τὸ δὲ Arist. A 29 ἐστιν n ποιεῖσθαι μάλιστα μὲν Arist. 30 εἰρηκὼς V Arist.: ἐρωτηκὼς n 32 σώτηραν n 34 σωτείρας V Arist. A: σωτήρας n: σωτηρίας Arist. vulg. εἶπεν n

οἷόν ⟨τέ⟩ ἐστιν ἀκοῦσαί σε περὶ τοιούτων ὄντα ἀτέλεστον', ὁ Περικλῆς f. 79r
ὀφείλει ἐρωτῆσαι τὴν ἑτέραν πρότασιν, οἷον 'τί δέ: οἶδας ταῦτα αὐτός;' [f. 77r]
τοῦ δὲ εἰπόντος τὸ 'ναί' συνῆξεν ὁ Περικλῆς τὸ ἄτοπον 'καὶ πῶς σὺ ἀτέ- 40
λεστος ὢν ταῦτα μεμάθηκας;' [a 5] δεύτερον δὲ εἶδος ἐρωτήσεως,
ὅταν τὸ μὲν ἤτοι ἡ μία πρότασις φανερὰ ᾖ καὶ ὁμολογουμένη παρὰ
πάντων, οἷον ἡ λέγουσα, ὅτι οἱ παῖδες τῶν θεῶν θεοί, τὸ δὲ ἤτοι τὴν
ἑτέραν πρότασιν δῆλον ὅτι δώσει ὁ ἀποκρινόμενος ταύτην, εἰ ἐρωτήσει
αὐτήν. [a 6] καὶ γὰρ πυθόμενον καὶ ἐρωτῶντά σε δεῖ μὴ ἐρωτᾶν τὴν
μίαν πρότα|σιν τὴν φανερὰν καὶ ὁμολογουμένην, ἀλλ' εὐθὺς λέγειν f. 79v
καὶ συμπέρασμα, οἷον τοῦ Μελήτου λέγοντος τὸν Σωκράτην μὴ [f. 77v]
νομίζειν θεοὺς ἀλλὰ δαιμόνια καινὰ σέβειν, ἠρώτησεν ὁ Σωκράτης 'ἆρά
γε δοξάζω δαιμόνιόν τι;' τοῦ δὲ Μελήτου ὁμολογήσαντος 'ναί' πάλιν ὁ
Σωκράτης ἤρετο 'τί δέ; οὐχὶ οἱ δαίμονες ἢ παῖδες θεῶν εἰσιν ἢ θεῖόν
τι;' τοῦ δὲ Μελήτου φήσαντος 'ναί' ὁ Σωκράτης ἀφεὶς ἐρωτῆσαι, εἰ οἱ 5
παῖδες τῶν θεῶν θεοί, συνεπέρανε 'καὶ τίς ἐστιν, ὃς παῖδας μὲν λέγει
θεῶν, θεοὺς δὲ μή;' [a 12] ἔτι τρίτον εἶδος ἐρωτήσεως, ὅταν μέλλῃ
ὁ ἐρωτῶν δεικνύειν τὸν ἐρωτώμενον λέγοντα ἐναντία ἑαυτῷ ἢ παρα-
δοξολογοῦντα. τέταρτον δὲ εἶδος ἐρωτήσεως, ὅταν μὴ ἓν ᾖ τὸ ἐρω-
τώμενον, ἤτοι ὅταν ὁμώνυμον ᾖ, καὶ ἔστι τὸν ἀποκρινόμενον λῦσαι αὐτὸ
σοφιστικῶς, οἷον 'ἔστι μέν, ὡς ὁ κοιμώμενος ὁρᾷ, ἔστι δέ, ὡς οὔ',
εἰ ᾖ τὸ ἐρωτώμενον τοιοῦτον 'ἆρα ὁ κοιμώμενος ὁρᾷ;' καὶ πάλιν, εἰ 10
ἔροιτό τις 'ἆρά γε ὁ Σωκράτης καὶ δίκαιός ἐστι καὶ σώφρων καὶ ἀκόλαστος
καὶ δειλός;' ἀποκριθήσῃ οὕτως ὅτι 'τὰ μὲν ἔστιν' ἤτοι δίκαιος καὶ σώ-
φρων, 'τὰ δὲ οὐκ ἔστιν' ἤτοι ἀκόλαστος καὶ δειλός· ἢ πῇ μέν, ⟨οἷον⟩
ὁ Αἰθίοψ λευκός ἐστι κατὰ τοὺς ὀδόντας, πῇ δὲ οὐκ ἔστιν. εἰ γοῦν
οὕτως ὁ ἀποκρινόμενος ἀποκρίνεται, θορυβεῖ τοὺς ἀκροατὰς καὶ ποιεῖ
αὐτοὺς ἐπαπορεῖν καὶ συζητεῖν, τί ἐστι τὸ τάδε μέν, τὰ δ' οὔ, καὶ πῇ
μέν, πῇ δ' οὔ. [a 16] ἄλλως δέ, ἤτοι εἰ δὲ οὐκ ἔστιν, οὐκ ἐγχειρη- 15
τέον τῇ ἐρωτήσει· καὶ γὰρ δοκεῖ κεκρατῆσθαι καὶ ἡττᾶσθαι ὁ μὴ
οὕτως ἐρωτῶν, οὕτως δὲ ἡττᾶται, εἴ γε ἐνστῇ τις ἤτοι ἔνστασιν προκο-
μίσει. ἢ καὶ οὕτως· εἰ γὰρ ἐνστῇ ὁ ἀποκρινόμενος λέγων 'ἔστι μὲν ὥς,

---

1 οἷόν τέ scripsi ex Arist. vulg.: οἷον Vn: οἱονται Arist. A ἐστι n 3 σὺ om. Arist. 3. 4 ἀτέλεστος V Arist.: ἀτελέστερος n 7 δῆλον ᾖ Arist. ταύτην V: ταῦτα n ἐρωτήσῃ n 8 πυθόμενον Vn Arist. AC: πυθομένους Arist. Yb: πυθόμενος Arist. cet. 9 τὴν V: καὶ n 10 μελίτου Vn 11 ἠρώτησε n Σωκράτης] cf. Plat. Apol. 27 C 12 et 14 μελίτου Vn 17 λέγοντα ἐναντία ἑαυτῷ V: ἐναντία λέγειν n 17. 18 παραδοξολογοῦντα V: παράδοξα n (cf. Arist. vulg.) 18 ἓν ᾖ V Arist.: ἑνῇ n (Arist. Tr.) 18. 19 τὸ ἐρωτώμενον om. n 19 τὸν V: τὸ n 22 ο (litterae ο sinistra pars cognoscitur; margo abscissus est; in charta agglutinata manu posteriore ι scriptum est) | finis versus | σωκράτης V: ὁ ἰσοκράτης n 24 τὰ δὲ—ἤτοι V: καὶ n οἷον add. n 25 οὐκ ἔστι n 27 δ' V: δὲ n 28 ἔστι n οὐκ om. n 29 κεκρατῆσθαι scripsi ex Aristotele (κεκρατῆσθαι δοκεῖ), cf. infra p. 258, 1: καὶ κρατεῖσθαι V: κεκρατεῖσθαι n 30. 31 προκομίσῃ n

ἔστι δ' ὡς οὔ' ἢ 'τὰ μέν, τὰ δ' οὔ,' δοκεῖ τοῖς ἀκροαταῖς κεκρατῆ- f. 79ᵛ
σθαι· οὐ γὰρ δυνατόν ἐστι πολλὰ ἐρωτᾶν τὸν ἐρωτῶντα (οἷον 'ἆρά γε [f. 77ᵛ]
ὁ Σωκράτης σώφρων καὶ δίκαιός ἐστι;') διὰ τὸ ἀσθενὲς καὶ ἀμαθὲς τῶν
ἀκροατῶν· καὶ διὰ τοῦτο ἔστιν ἀναγκαῖον ἐρωτᾶν κἂν ἓν τῷ προφορικῷ 20
λόγῳ, σημαῖνον δὲ πολλὰ ἤτοι ὁμώνυμον. [a 19] διὸ καὶ τὰ ἐνθυμή-
ματα ὅτι μάλιστα δεῖ συστρέφειν ἤτοι συνεστραμμένως λέγειν καὶ
συντόμως· οὐ γὰρ δύνανται οἱ ἀκροαταὶ ταῖς μακροκωλίαις ἕπεσθαι. εἰπὼν
περὶ ἐρωτήσεως νῦν λέγει καὶ περὶ ἀποκρίσεως. ἀλλ' εἴ με διέλαθε, δεῖ
εἶναι τὰ ἐνθυμήματα συνεστραμμένα· οἷον ἐπὶ τίσι με κρίνεις; εἰ μὲν ἐπὶ
τοῖς ὕστερον πραχθεῖσιν, οὐ δεῖ ἐφ' οἷς ἄλλοι ποιοῦσιν εὐθύνεσθαι, εἰ δὲ 25
ἐφ' οἷς ἐξ ἀρχῆς συνεβούλευσα ἢ ἔπραξα, τότε ἔδει ἀντιλέγειν· καὶ εἰ μὲν
ἀντειπὼν ἡττήθης, βιάζῃ νῦν, εἰ δ' οὐκ ἀντεῖπες, ἐλέγχῃ νῦν δόσνους.
[a 19] ἀποκρίνεσθαι δεῖ πρὸς μὲν τὰ ἀμφίβολα διαιροῦντα τῷ
λόγῳ, οἷον 'ἔστι μὲν ὥς, ἔστι δ' ὡς οὔ', καὶ μὴ συντόμως· καὶ πάλιν
ἤρετό τις 'ποταπὴν λήψομαι γυναῖκα;' ὁ δ' ἔφη 'εἰ μὲν καλήν, κοινήν,
εἰ δὲ κακήν, ποινήν'. [a 21] πρὸς δὲ τὰ δοκοῦντα ἐναντία δεῖ
εὐθὺς φέρειν καὶ προκομίζειν τὴν λύσιν πρὸ τοῦ ἐπερωτῆσαι καὶ
συλλογίσασθαι καὶ συνάξαι τὸ ἐπιὸν ἄτοπον, οἷον εἰ ἔροιτό τις 'ἆρά 30
γε ὁ τραγέλαφος μὴ ὄν;' 'ναί'. 'τί δέ; ὁ τραγέλαφος δοξαστόν;' 'ναί'.
δεῖ γοῦν σε πρὸ τοῦ συνάξαι, ὅτι τὸ μὴ ὂν ἔστιν, ἀπαντῆσαι καὶ λῦσαι
αὐτὸ οὕτως ὅτι 'οὐχί, εἰ ὁ τραγέλαφος δοξαστόν ἐστιν, ἀνάγκη καὶ τὸ μὴ
ὂν εἶναι· ἀλλ' εἴη ἂν τὸ μὴ ὂν ὡς δοξαστόν, οὐ μέντοι γε δὲ ὡς πρᾶγμα'.
[a 23] οὐ γὰρ χαλεπόν ἐστιν ἐν τοῖς τοιούτοις προορᾶν, ἐν τίνι ὁ
λόγος καὶ ἡ ἀπάτη. καὶ τοῦτο, ἤτοι πῶς δεῖ ἐρωτᾶν, καὶ αἱ λύσεις
τούτων φανερόν ἐστιν ἐκ τῶν Τοπικῶν. καὶ δεῖ τὸν ἀποκρινόμενον 35
εἰπεῖν τὴν αἰτίαν πρὸς τὸν συμπεραινόμενον, εἴ γε ποιήσει τὸ συμ-
πέρασμα ὡς ἐρώτημα, καὶ ἐρωτηματικῶς προτείνειν. [a 28] πρόβουλοι
ἐλέγοντο οἱ βουλευόμενοι πρὸ τῆς τῶν πραγμάτων ἀποβάσεως· ὅθεν ἐβου-
λεύσαντο καταστῆσαι τετρακοσίους ἄρχοντας εἰς τὸ τὴν πόλιν διευθύνειν.
ὁ δὲ Σοφοκλῆς καὶ αὐτὸς πρόβουλος ἦν, ὃς καὶ ἠρωτήθη 'ἆρά γε ἔδοξε
καὶ σοὶ ὡς καὶ τοῖς ἄλλοις προβούλοις καταστῆσαι τετρακοσίους 40
ἄρχοντας διευθύνοντας τὴν πόλιν;' ὁ δὲ ἔφη 'ναί'. 'τί δέ; οὐ πονηρόν
σοι ἔδοξε τετρακοσίους ἄρχοντας καταστῆσαι; ἐπὶ λύμῃ γὰρ τῆς πόλεως
γεγόνασιν.' ὁ δὲ ἔφη 'ναί'. εἶτα τὸ συμπέρασμα ἐρωτηματικῶς προήχθη

---

1 ἢ—οὔ om. n 1. 2 κεκρατῆσθαι δοκεῖ Arist. 4 ἓν V: ἐν n 6 συστρέφειν δεῖ Arist. 7 μακρολογίαις n ἀποκρίνασθαι δὲ δεῖ ante εἰπὼν add. n ex Aristotele εἰπὼν—ἀποκρίσεως (8) fort. ante ἀποκρίνεσθαι (13) ponenda sunt 8 εἰ n: ἢ V διέλαχε n 9 τίσι V: τί σύ n 13 ἀποκρίνασθαι δὲ δεῖ Arist. 14 οἷον om. n 15 γυναῖκα, κα evan., V εἰ μὲν καλήν κτλ.] cf. Antisth. apophth. XVII Winckelmann. (Laert. VI 3) 16 πρὸς δὲ τὰ δοκοῦντα om. n 17 προκομίζειν V: προοιμιάζειν n καὶ Vn: ἢ Arist. 19 τί n: evanuit V 21 ἐστι n 22 εἴη ἂν V: εἰ κἂν n μέντοι V: μέν n 23 ἐστι n 25 ἐστιν V: ἐστι n: ἔσται Arist. DEY^{b}: ἔστω Arist. cet. 26 πρὸς τὸν V Arist. C: πρὸς τὸ n: om. Arist. cet. 31 τοὺς τετρακοσίους Arist. 32 fort. διευθυνοῦντας

παρὰ τοῦ Πεισάνδρου 'οὐκοῦν καὶ σὺ ταῦτα τὰ πονηρὰ ἔπραξας;' f. 79v
ὁ δὲ ἀπεκρίθη 'ναί', ἐπειπὼν καὶ τὴν αἰτίαν 'οὐ γὰρ ἦν ἄλλα | [f. 77v]
βελτίω ποιῆσαι ἢ τὸ τετρακοσίους ἄρχοντας καταστῆσαι'. εὗρον σχόλιον f. 80r
τοιοῦτον· [a 28] τετρακόσιοί τινες κατεῖχον τὴν πόλιν τὰς Ἀθήνας· τῆς
5 δὲ ἐν Αἰγὸς ποταμοῖς ναυμαχίας γενομένης καὶ τῶν τριάκοντα παραλαβόντων τὴν πόλιν ἐξέπεσον οἱ τετρακόσιοι, εἶτα καταλυθέντων τῶν τριάκοντα ὑπὸ Θρασυβούλου αὖθις γίνεται σκέψις περὶ τοῦ εἰ δεῖ καταστῆσαι τοὺς τετρακοσίους. ἢ οὐ πονηρά σοι ταῦτα, τὰ τῶν τριάκοντα. [a 31] ἔφοροι ἐλέγοντο οἱ τῆς πόλεως ἄρχοντες. Λάκων τις ἐδίδου εὐθύνας καὶ 5
10 λόγους, ὧν ἔπραξε κατὰ τὸν τῆς ἐφορείας καιρόν, καθ' ὃν ἔφορος ἦν. οἱ μὲν οὖν ἄλλοι ἔφοροι κακῶς δράσαντες καὶ ἐπὶ λύμῃ τῆς πόλεως γεγονότες ἐτιμωρήθησαν· ἠρωτᾶτο γοῦν ὁ Λάκων 'ἆρά γε δικαίως ἀπολωλέναι καὶ τιμωρηθῆναι δοκοῦσί σοι οἱ ἕτεροι ἄρχοντες;' ὁ δὲ ἔφη 'ναί'. καὶ πάλιν 'τί δέ; οὐχὶ καὶ σὺ ταὐτὰ τούτοις ἔθου καὶ ἔδρασας;'
15 καὶ ὃς ἔφη 'ναί'. εἶτα τὸ συμπέρασμα ἐρωτηματικῶς προήχθη 'οὐκοῦν 10
καὶ σὺ δικαίως ἀπόλοιο ὡς ταῦτα δράσας;' καὶ ὃς 'οὐ δῆτα' ἔφη, ἐπειπὼν καὶ τὴν αἰτίαν 'οἱ μὲν γὰρ χρήματα λαμβάνοντες καὶ δωροδοκούμενοι τὰ κακὰ ταῦτα ἔπραξαν, ἐγὼ δὲ οὐ δῶρα λαμβάνων ταῦτα ἐποίουν ἀλλὰ γνώμῃ οἰκείᾳ ἀγνοῶν τὸ βέλτιον'. [a 36] διὸ μετὰ τὸ
20 συμπέρασμα οὐ δεῖ ἕτερόν τι ἐρωτᾶν, ἀλλ' οὐδὲ αὐτὸ τὸ συμπέρασμα δεῖ ἐρωτᾶν, εἰ μὴ τὸ πολὺ περιῇ ἤτοι εἰ μὴ περισσοτέρα ἐστὶν ἡ ἀλήθεια καὶ πολλή τίς ἐστιν ἡ τῆς ἀληθείας περιουσία· ὅτε γὰρ τὸ συμπέρασμα ἢ φανερῶς ἀληθές, τότε δεῖ ἐρωτᾶν, ὡς ἂν μὴ δύνηται ἀρνεῖσθαι 15
αὐτὸ ὁ ἀποκρινόμενος διὰ τὸ εἶναι φανερῶς ὁμολογούμενον. [b 2] ἐπεὶ
25 πολλάκις ἐν τοῖς ἀγῶσιν ἤτοι ταῖς ἀποδείξεσι χρώμεθα τοῖς γέλωσι, καὶ ὁ Γοργίας ἔφη τὴν μὲν σπουδὴν ἤτοι τὰ σπουδαῖα καὶ γενναῖα ἐπιχειρήματα τῶν ἐναντίων ἤτοι τῶν ἀντιδίκων διαφθείρειν ἐν τῷ κινεῖν τοὺς ἀκροατὰς εἰς γέλωτα· ὅταν γὰρ ἴδῃς, ὅτι τὰ ἐπιχειρήματα τοῦ ἀντιδίκου εἰσὶ γενναῖα, κίνει γέλωτα τοῖς ἀκροαταῖς, ἵνα οἱ ἀκροαταὶ ἀσχο- 20
30 λούμενοι ἐν τῷ γελᾶν μὴ προσέχωσι τοῖς λεγομένοις ἐπιχειρήμασι. [b 4] τὸν δὲ γέλωτα διαφθείρειν· εἰ δὲ ἴδῃς τοὺς ἀκροατὰς γελῶντας καὶ μὴ προσέχοντας, δεῖ διαλύειν τὸν γέλωτα ἐν τῇ σπουδῇ ἤτοι διὰ τῶν σπουδαίων ἐπιχειρημάτων καὶ γενναίων, ἵνα τούτοις προσέχοντες μὴ ἐνασχολῶνται τῷ γελᾶν. ὀρθῶς λέγων ὁ Γοργίας. εἴρηται, πόσα εἰσὶν εἴδη,

---

3. 4 εὗρον σχόλιον τοιοῦτον om. n 5 ναυσιμαχίας n 5. 6 παραλαβόντων — τριάκοντα om. n 7 σκῆψις n 8 τετρακοσίους V: τριακοσίους n fort. ἢ ⟨οὕτως⟩· οὐ 9 ὡς ὁ λάκων post ἄρχοντες add. n ex Aristotele 10 ἐφορείας V Arist. BCYb: ἐφορίας n Arist. cet. 12 ἐτιμωρήθησεν n ἠρώτα n 13 δοκοῦσίν n 14 τούτοις ταὐτὰ Arist. 16 δικαίως ἄν, ἔφη, καὶ σὺ ἀπόλοιο Arist. 17 λαβόντες Arist. 18 κακὰ V: καὶ n 19 οἰκίᾳ n 26 Γοργίας] fr. 12 Sauppe 28 γὰρ V: δὲ n 29 εἰσὶν n 30 ἐπιχειρήμασιν n 32 τῇ om. n 33. 34 ἀνασχολῶνται n 34 ὀρθῶς — εἴρηται om. n εἴδη εἰσὶν n

καθ' ἃ κινήσει τις τοὺς ἀκροατὰς εἰς γέλωτα, ἐν τῷ Περὶ ποιη- f. 80r
τικῆς. σχόλιον· [b 3] ἐν τοῖς ἀγῶσι καὶ ἐν ταῖς ἀποδείξεσι τῶν
ἐναντίων γέλωτι, ὥσπερ ὁ Δημοσθένης τὰ σπουδαῖα τοῦ Αἰσχίνου
διὰ τοῦ μισθωτοῦ διέφθειρε· τὸν δὲ γέλωτα ἤτοι τὰ γελοῖα τοῦ
Αἰσχίνου ἐν σπουδῇ διὰ τοῦ 'τότε τοίνυν ὁ Παιανιεὺς ἐγὼ βάταλος Οἰνο-
μάου τοῦ Κωθωκίδου πλείστων ἄξιος ἐφάνην τῇ πόλει'. βάταλος λέγεται
ὁ βδελυρός, ὁ αἰσχρός, ὁ λάγνος. ὁ γοῦν Δημοσθένης, ἔστ' ἂν ἦν νέος,
ἐλέγετο βάταλος ὡς λάγνος, ὕστερον δὲ γηράσας καὶ ἀκίνητος ὢν περὶ τὰς
συνουσίας ἐλέγετο ἀργός. ὡ* τῶν εἰδῶν τοῦ γέλωτος ἄλλο μὲν ἁρμόττει
τῷ ἐλευθέρῳ ἄλλο δὲ τῷ βωμολόχῳ. [b 7] εἰρωνεία ἐστίν, ὅταν
τις κατειρωνευόμενος λέγῃ πρός τινα πονηρὸν 'ὁ χρηστός, ὁ ἀγαθός'.
καὶ ὁ μὲν ἐλευθέριος κινεῖ τὸν γέλωτα ἕνεκα ἑαυτοῦ, ἤτοι ἢ ἵνα αὐτὸς
γελᾷ ἢ κινῇ γέλωτα ἄλλοις χάριν ἑαυτοῦ, ἤτοι ἐλαττῶν ἑαυτόν, ὁ δὲ
βωμολόχος ἄλλους κινεῖ εἰς τὸ γελᾶν καὶ ἕτερον γελᾷ, οὐχ ἑαυτόν.
ὁ δὲ ἐλευθέριος ἑαυτὸν γελᾷ ὡς ταπεινῶν ἑαυτὸν δι' εἰρωνείαν.

19. Ἐκ τοῦ κατασκευάσαι τὸν ἀκροατὴν πρὸς ἑαυτὸν εὖ
ἔχειν ἤτοι ἐκ τοῦ κατασκευάζειν καὶ δεικνύειν ἑαυτὸν πρὸς τοὺς ἀκροατάς,
ὅτι ἐστὶν ἀγαθὸς καὶ ὡς οὐχὶ δι' ἔχθραν † καὶ λέγει καὶ διὰ τοῦτο ἵνα
προσέχωσιν αὐτῷ, καὶ τὸ δεικνύειν τὸν ἐναντίον ἤτοι τὸν ἀντίδικον
κακὸν καὶ διὰ τοῦτο κινεῖν τοὺς ἀκροατὰς εἰς μῖσος αὐτοῦ. [b 12] δεύ-
τερον τὸ αὐξῆσαι μὲν τὰ τοῦ ἀντιδίκου καὶ δεῖξαι, ὡς μεγάλα κακά εἰσι,
καὶ ταπεινῶσαι καὶ ἐλαττῶσαι τὰ οἰκεῖα κακὰ καὶ δεῖξαι, ὅτι ἐλάττω
κακά εἰσι. τρίτον ἐκ τοῦ καταστῆσαι τὸν ἀκροατὴν καὶ διεγεῖραι εἰς
πάθη ἤτοι ὀργὴν ἢ λύπην ἢ φόβον. καὶ ἐξ ἀναμνήσεως ἤτοι καὶ
τέταρτον δι' ἀνάμνησιν, ὡς ἀνακεφαλαίωσιν ἔχοντες τῶν ῥηθέντων ἐν τοῖς
ἀγῶσιν οἱ ἐπίλογοι. [b 14] μετὰ γὰρ τὸ δεῖξαι ἑαυτὸν μὲν ἀληθῆ,
τὸν δὲ ἐν|αντίον καὶ τὸν ἀντίδικον μὴ ἀληθῆ, καὶ μετὰ τὸ ἐπαινεῖν f. 80v
ἑαυτὸν καὶ ψέξαι τὸν ἀντίδικον ἤτοι μετὰ τὰς ἀποδείξεις πέφυκε τὸ ἐπι-
χαλκεύειν ἤτοι τὸ ἐπικατασκευάζειν καὶ δεικνύειν, ὅτι μέγα ἐστὶ τὸ
ἔγκλημα καὶ τὸ ἀναμιμνήσκειν. ὥσπερ ὁ χαλκεὺς πρῶτον ἐργάζεται τὸν
ξέστην ἔχοντα ἐξοχὰς καὶ ἀνώμαλον, εἶτα χρῆται τῷ τόρνῳ καὶ ἐπιχαλ-
κεύει αὐτὸν ἤτοι ἰσάζει, οὕτω καὶ τὸν ῥήτορα δεῖ πρῶτον ἀποδεῖξαι τὸ
πρᾶγμα, ὅτι ἐγένετο, εἶτα χρήσασθαι τῇ αὐξήσει ἢ τῇ μειώσει ἢ τῇ
ἀναμνήσει. [b 16] ἑνὸς γὰρ ἀπὸ τῶν δύο δεῖ στοχάζεσθαι, ἢ δεῖξαι,

1 κινῆσαί n εἴρηται post γέλωτα add. n ex Aristotele ἐν τοῖς περὶ Arist.
2 σχόλιον om. n ἀγῶσιν n 3 γέλωτα n διαφθείρειν ante ὥσπερ add. n ex
Aristotele Δημοσθένης] 18, 52 (cf. p. 232, 15) 4 fort. διὰ τοῦ 'μισθωτός'
5 τότε τοίνυν κτλ.] Demosth. 18, 180 6 ἐφάνη n 8 γεράσας n 9 post
ἀργὸς sub charta agglutinata ὡ cognoscitur, tum IV—V litterae evanuerunt, | finis versus |
τῶν V: ὥστε τῶν n: ὡς τινὰ τῶν cod. Paris. gr. 1869 12 αὐτοῦ ἕνεκα Arist.
ἢ om. n 13 κινεῖ n 18 καὶ (ante ὡς) om. n καὶ (post ἔχθραν)
om. n 19 fort. τοῦ δεικνύειν 23 εἰσιν n 24 πάθη V: πάθος n: τὰ
πάθη Arist. 26 αὐτὸν Arist. 29 τὸ κατασκευάζειν n 32 αὐτόν post ἰσάζει
add. n

ὅτι τούτοις ἐστὶν ἀγαθὸς ἤτοι τοῖς ἀκροαταῖς, οὐ μὴν δὲ ἁπλῶς καὶ f. 80v
πᾶσιν, ἢ ὅτι ἁπλῶς· ἤτοι πᾶσι δοκεῖ ἀγαθός· ὅδε δέ, ὁ κατήγορος,
πάλιν δείξει, ὅτι κακός ἐστι τούτοις τοῖς ἀκροαταῖς ἢ ὅτι ἁπλῶς ἤτοι
πᾶσι δοκεῖ κακός. εἴρηνται δὲ οἱ τόποι, ἐξ ὧν δεῖ κατασκευάζειν καὶ
5 δεικνύειν, ὅτι ὅδε σπουδαῖός ἐστιν ἢ φαῦλος. [b 19] τὸ δὲ μετὰ τοῦτο
δεδειγμένον, ἤτοι ἀφ' ὅτου δὲ δειχθῇ τόδε, ὅτι ἀγαθὸν ἢ κακόν, κατὰ 10
φύσιν ἤτοι τοῦ φυσικοῦ ἐστι λόγου αὔξειν, ὅτι μέγα κακόν ἐστιν ἢ μέγα
ἀγαθόν, ἢ ταπεινοῦν, ὅτι ἔλαττον ἀγαθόν ἐστιν ἢ κακόν· εἶτα δείκνυσι,
πῶς ἐστι κατὰ φύσιν τὸ † οὕτως, καί φησιν, ὅτι δεῖ πρῶτον ὁμολογη-
10 θῆναι καὶ ἀποδειχθῆναι τὸ πρᾶγμα, εἶτα δεῖξαι τὸ ποσὸν αὐτοῦ, εἴτε μέγα
ἐστὶν εἴτε μικρόν, ἤτοι εἴ τις μέλλει δεῖξαι τὸ ποσὸν τοῦ πράγματος, ὅτι
μέγα ἐστὶν ἢ μικρόν, δεῖ πρῶτον ἀποδεῖξαι τὸ πρᾶγμα, ὅτι ἐγένετο, εἶτα
δεῖξαι αὐτὸ τοσόνδε ἤτοι μέγα ἢ μικρόν. [b 22] καὶ γὰρ πρῶτον γίνεται 15
καὶ πλαστουργεῖται τὸ σῶμα, εἶτα αὔξεται· ὄντος γάρ ἐστιν ἡ αὔξησις,
15 οὐχὶ μὴ ὄντος· προγενομένοις γὰρ τοῖς σώμασιν ἕπεται ἡ αὔξησις τρεφο-
μένοις. μετὰ δὲ ταῦτα δήλων ὄντων ἤτοι μετὰ δὲ τὸ ποιῆσαι αὐτὰ
δῆλα, ὅτι ἐγένοντο, καὶ μετὰ τὸ δεῖξαι, οἷά εἰσιν, ἤτοι εἴτε ἀγαθὰ εἴτε
κακά, καὶ μετὰ τὸ δεῖξαι αὐτά, ἡλίκα, ἤτοι εἴτε μεγάλα εἰσὶν εἴτε μικρά,
τότε δεῖ παρακινῆσαι τοὺς ἀκροατὰς εἰς πάθη. [b 27] οἱ δὲ τόποι
20 εἴρηνται ἡμῖν, ἐξ ὧν δεῖ τούτους εἰς ταῦτα παρακινεῖν. ὥστε λοιπὸν 20
ἤτοι ἐπίλοιπόν ἐστιν ἀναμιμνήσκειν τοὺς ἀκροατὰς τῶν προειρημένων ἐν
τῷ ποιῆσαι ἀνακεφαλαίωσιν αὐτῶν. τοῦτο δὲ ἤτοι τὸ ἀναμνῆσαι δεῖ
ποιεῖν οὕτως, ὥσπερ καί τινες λέγουσιν, οὐ καλῶς δὲ λέγουσιν, ὅτι
καὶ ἐν τοῖς προοιμίοις δεῖ λέγειν τὸ πρᾶγμα δι' ἀνάμνησιν· [b 30] καὶ
25 λέγουσι γὰρ τὸ πρᾶγμα πολλάκις εἰπεῖν, ἤτοι καὶ ἐν προοιμίοις καὶ
διηγήσει καὶ ἐν ἀγῶσιν, ἵνα ἡ ὑπόθεσις, περὶ ἧς ὁ λόγος, ᾖ εὐμαθὴς 25
ἤτοι εὐμνημόνευτος. [b 31] ἐκεῖ μὲν ἐν προοιμίοις δεῖ τὸ πρᾶγμα
εἰπεῖν, ἵνα μὴ λανθάνῃ τοὺς ἀκροατάς, περὶ τίνος ἐστὶν ὁ λόγος, ἐν-
ταῦθα δὲ ἐπὶ τῶν ἐπιλόγων οὐ λέγομεν τὸ πρᾶγμα, ἀλλὰ τὰ ἐπιχειρή-
30 ματα λέγομεν, δι' ὧν δέδεικται τὸ πρᾶγμα, ὅτι ἐγένετο, πλὴν λέγομεν
ταῦτα κεφαλαιωδῶς ἤτοι συντετμημένως δι' ἀνάμνησιν. [b 33] ἀρχὴ
δὲ τοῦ ἐπιλόγου καὶ τῆς ἐν αὐτῷ ἀναμνήσεως τῶν προρρηθέντων, ὅτι
ἤδη ἀποδέδωκα καὶ ἀπέδειξα, ἃ ὑπεσχόμην ἀποδεῖξαι, ὡς τὸν Αἰσχίνην 30
ψευσάμενον καὶ παραπρεσβεύσαντα. ὥστε λεκτέον ἐν τῷ ἐπιλόγῳ δι'

---

1 μὴν V: μὲν n καὶ om. n 2 ἢ—πάλιν (3) om. n 3 ἐστιν n 6 δε-
δειγμένον Vn Arist. vulg.: δεδειγμένων Arist. A 7 ἤτοι V: ἢ n ἐστιν λόγου n
8 δεικνύειν n 9 ἐστιν n τὸ—φησιν om. n 11 ἤτοι—μικρόν (12)
om. n 13 καὶ γὰρ ἡ τῶν σωμάτων αὔξησις ἤτοι post μικρόν add. n, cf. Arist.
πρῶτα n 14 τὸ om. n ὄντος n: ὄντως V 17 ἐγένετο n εἰσιν
om. n 18 εἰσὶν om. n 19 εἰς τὰ πάθη Arist. 24. 25 καὶ λέγουσι V: καὶ λέ-
γουσιν n: κελεύουσι cod. Paris. gr. 1951 et Arist. 25 γὰρ om. n προοιμ V
26 ἐν διηγήσει n εὐμαθὴς Vn Arist. A: εὐμαθῆ Arist. vulg. 27 μὲν οὖν
Arist. ἐν τοῖς προοιμίοις n

ἀνάμνησιν. ἅ τε ἤτοι τίνα εἰσίν, ἃ ὑποσχεθεὶς ἀποδεῖξαι ἀπέδειξα, καὶ δι' f. 80v
ὃ ἤτοι καὶ διὰ τί ἀπέδειξα. ἵνα δείξω τὸν Αἰσχίνην ἐχθρὸν τῆς πόλεως
καὶ διὰ τοῦτο τιμωρίας ἄξιον. [b 34] λέγεται ἐξ ἀντιπαραβολῆς καὶ
ἐξ ἀντιθέσεως καὶ συγκρίσεως τοῦ ἐναντίου ἤτοι τοῦ ἀντιδίκου, οἷον
5 'ἐγὼ μὲν εἶπον τόδε, ὁ δὲ ἀντίδικός μου τόδε, καὶ ἐγὼ μὲν τόδε ἔδειξα, 35
ἐκεῖνος δὲ τόδε'. παραβάλλειν δὲ ἢ ὅσα εἶπον ἀμφότεροι περὶ τὸ
αὐτὸ ἢ μὴ κατὰ ἀντιπαραβολὴν ἤτοι ἐκ παραβολῆς λέγειν αὐτά, ἀλλ' ἰδίᾳ
μὲν λέγειν σε, ὅσα εἶπας, ἰδίᾳ δέ, ὅσα ὁ ἀντίδικός σου περὶ τῆς αὐτῆς
ὑποθέσεως. [1420a1] καὶ διὰ ταῦτα εἶπον τόδε ἤτοι διὰ τὸ δεῖξαι
10 τὸν Αἰσχίνην ἐχθρὸν τῆς πόλεως. ἢ ἐξ εἰρωνείας λέγειν αὐτά, ὅτι οὗτος,
ὁ ἀντίδικος, εἶπε τάδε, ἐγὼ δὲ τάδε. εἶτα εἰρωνευτικῶς· καὶ τί ἂν
ἐποίει ὁ ἀντίδικός μου ἢ ἔλεγεν, εἰ ἔδοξε τάδε ποιῆσαι ἤτοι χρηστὰ 40
καὶ πρὸς ὠφέλειαν τῆς πόλεως, ἀλλὰ μὴ ταδὶ ἤτοι ἀλλὰ μὴ φαῦλα
καὶ πρὸς βλάβην τῆς πόλεως. [a 3] ἢ ἐξ ἐρωτήσεως λέγειν αὐτά·
15 τί οὐ δέδεικται, ἐξ ὧν ὑπεσχόμην ἀποδεῖξαι; ἢ οὗτος τί ἔδειξεν,
ὧν ὑπέσχετο; πάντως οὐδέν. ἢ οὖν ἐκ παραβολῆς δεῖ λέγειν
καὶ ἐκ συγκρίσεως, ἃ εἶπας αὐτὸς καὶ | ἃ εἶπεν ὁ ἀντίδικός σου, ἢ f. 81r
κατὰ φύσιν, ὡς ἐλέχθησαν, ἤτοι ἄνευ παραβολῆς, ἤτοι πρῶτον λέγειν
τὰ τοῦ κατηγόρου πάντα καὶ οὕτως πάλιν ἰδίᾳ λέγειν τὰ ἑαυτοῦ ἐπι-
20 χειρήματα ἤτοι τὰ οἰκεῖα, ἐὰν βούλῃ ἄνευ παραβολῆς, χωρὶς ἤτοι ἰδίᾳ.
[b 2] τελευτὴ δὲ καὶ τέλος τῆς λέξεως καὶ τοῦ ἐπιλόγου ἁρμόττει τὸ
ἀσύνδετον καὶ κομματικόν, οἷον 'ἀκηκόατε· ἔχετε· κρίνατε'· εἰ γὰρ 5
ἀσύνδετα εἴπῃς, ἔσται ἐπίλογος, ἀλλὰ μὴ λόγος· τὸ γὰρ μετὰ συνδέσμου
λέγειν ἔχει τάσιν. ὁ λόγος ὁ μετὰ συνδέσμου καὶ μακροκωλία ἐστίν· ἡ
25 δὲ μακροκωλία οὐκ ἐπιλόγῳ ἁρμόττει ἀλλὰ λόγῳ· ὁ γὰρ ἀσύνδετα λέγων
ἔοικε κεκμηκότι καὶ καμόντι τῷ λέγειν δεδειγμένον ἤδη σπουδαῖον ἢ φαῦ-
λον. [1419b34] καὶ δι' ὃ ἤτοι διότι ἀπέδειξε, λεκτέον. [1420a4] ἢ
ἐκ παραβολῆς, τὸ ἢ παρέλκον.

---

3 δὲ ἐξ Arist. 7 κατ' n παραβολῶν n 8 αὐτῆς V: τοιαύτης n
9 διὰ Vn Arist. vulg.: ἅδε καὶ Arist. A 11 τάδ' εἶπεν Arist. 12 ἔδοξε Vn: ἔδειξεν Arist.: *opinabatur* Arist. Tr. 13 ταδὶ V: τάδε n 15 οὕτως n
19 οὕτω n αὐτοῦ Arist. 20 καὶ πάλιν, ἐὰν βούλῃ, χωρὶς τὰ τοῦ ἐναντίου λόγου Arist. ἤτοι om. n 24 ὁ δὲ λόγος n μακροκω V: μακρόκωλός n
25 μακροκω V 28 subscr. τέλος n

ΕΤΈΡΑ ΣΧΟΛΙΑ ΤΟΥ ΚΥΡΟΥ ΣΤΕΦΑΝΟΥ

ed. Crameri
Anecd. Paris. I

2. [1357a22] Ἐπεὶ δ' ἔστιν ὀλίγα τὰ ἀναγκαῖα. ἅπαξ εἰπὼν τὰ κατὰ τὴν ῥητορικὴν παρεοικέναι τῇ φιλοσοφίᾳ (συλλογισμός τε γὰρ ἐκεῖ ἐστιν, ἀλλὰ καὶ παρὰ τῇ ῥητορικῇ ἐνθύμημα· ἐπαγωγὴ ἐκεῖ, ἀλλὰ καὶ παρὰ τῇ ῥητορικῇ παράδειγμα) νῦν πάλιν καὶ ἄλλην τινὰ φιλοσοφίας κοινωνίαν καὶ ῥητορικῆς πολυπραγμονεῖ καὶ λέγει ὥσπερ παρὰ τοῖς ἐν φιλοσοφίᾳ συλλογισμοῖς ἡ γένεσις αὐτῶν ἐστιν ἢ ἐξ ἀναγκαίων καὶ γίνεται ὁ ἀποδεικτικὸς ἢ ἐξ ἐνδεχομένων καὶ γίνεται ὁ διαλεκτικός, οὕτως εὑρήσεις λοιπὸν καὶ παρὰ τῇ ῥητορικῇ προτάσεις οἷον ἐνδεχομένας τὰ εἰκότα, οἷον δὲ ἀναγκαίας τὰ τεκμηριώδη σημεῖα· τριχῶς γὰρ τὸ σημεῖον.

[1357a28] Ἐκ τοιούτων ἀνάγκη καὶ ἑτέρων. καλῶς προσέθηκε τὸ ἑτέρων· ὁ μὲν γὰρ ἀναγκαῖος συλλογισμὸς ὁ περὶ τοῦ ἡ ψυχὴ | φέρε εἰπεῖν ἀθάνατος ἐκ τῶν αὐτῶν ἀεὶ προτάσεων γίνεται καὶ οὐχὶ ἐξ ἑτέρων νῦν καὶ πάλιν ἐξ ἑτέρων καὶ αὖθις ἐξ ἑτέρων (οὐδὲ γὰρ ἂν ἦν ἀναγκαῖος, ἄλλοτ' ἄλλως ἔχων), ὁ δὲ ἐνδεχόμενος συλλογισμὸς ὁ περὶ τοῦ ἡ ἡδονὴ ἀγαθὸν ἢ φαῦλον ἐξ ἄλλων καὶ ἄλλων καὶ ἑτεροίων πολλάκις πολυειδῶς συλλογισθήσεται.

[1357a33] Ὥστ' ἀνάγκη τούτων ἑκάτερον ἑκατέρῳ, ἤγουν τὸ εἰκὸς καὶ τὸ σημεῖον ἔσται ταὐτὸν τὸ μὲν ταῖς ἐνδεχομέναις προτάσεσι, τὸ δὲ ταῖς ἀναγκαίαις, ἀλλ' οὐκ ἀπολύτως καὶ ἀορίστως πᾶν, μόνον δὲ τὸ ἄλυτον, ὃ καὶ τεκμήριον λέγεται. τὸ μὲν οὖν ἐξ εἰκότων ἐνθύμημα ἀναλογεῖ τῷ ἐνδεχομένῳ συλλογισμῷ, τὸ δὲ ἐκ σημείων τῷ ἀναγκαίῳ.

[1357a34] Οὐχ ἁπλῶς δέ, καθάπερ ὁρίζονται τινές. οἱ Στωικοί, ὡς καὶ ἐν τῷ Περὶ ἑρμηνείας, εἰ σὺν προσοχῇ ἀναγινώσκεις, εὑρήσεις, τὸ ἐπὶ τὸ πολὺ ἐταύτιζον τῷ ἀναγκαίῳ· πάντα γὰρ κατὰ τὸ

---

1 superscript. ἕτερα σχόλια τοῦ κυροῦ στεφάνου V: σχόλια τοῦ κυρίου στεφάνου εἰς ἀριστοτέλους τέχνην ῥητορικήν c 2 τὰ ἀναγκαῖα Vc: *quidem necessaria* Arist. Tr.: τῶν ἀναγκαίων Arist. cet. 7 αὐτῶν cod. Paris. gr. 1951: αὐτῆς Vc: αὐτοῖς Brandis 10 γὰρ Vc: exspectes δὲ 11 καὶ om. Arist. 12 et 16 pro ἡ exspectes εἰ ἢ 15 ἄλλος c 23 οὐκ c 24 προχ V

ἀναγκαῖον γινόμενα δογματίζοντες ἀνήρουν τὸ ἐνδεχόμενον ἤγουν τὸ ὁπότερ' 246
ἔτυχε, τὸ ἐπ' ἴσης ἐνδεχόμενον. λέγεται οὖν ὧδε, ὅτι τὸ ὡς ἐπὶ τὸ
πολὺ ἐνδεχόμενόν ἐστι (διακόπτεται γὰρ ποτέ), οὐχ ἁπλῶς δὲ ἤγουν ἀεὶ
καὶ ἀναγκαίως γινόμενον, ὡς οἱ Στωικοὶ ἴσως ὡρίζοντο. διαιρεῖ οὖν τὸν 20
5 λόγον καὶ λέγει τοιοῦτον 'λέγω ἐπὶ πολὺ τὸ εἰκὸς οἷον ἄρα τὸ ἐπ' ἴσης
ἐνδεχόμενον, οὐ μὴν δὲ ὡς τὸ ἀναγκαῖον, ὡς τινὲς ἔλεγον'.

[1357a36] Οὕτως ἔχον πρὸς ἐκεῖνο, πρὸς ὃ εἰκός, ὡς τὸ
καθ' ὅλου πρὸς τὸ κατὰ μέρος. τὸ εἰκὸς πρός τι λέγεται εἰκός, οἷον
εἰκὸς λέγεται τὸ τὸν νύκτωρ πλανώμενον κλέπτην εἶναι Ἀλκιβιάδην· ἐξ 25
10 εἰκότος ἐστὶν οὗτος ἐνθυμηματικὸς συλλογισμός. ἴδε οὖν ὧδε, τί τὸ εἰκὸς
καὶ πρὸς τί λέγεται εἰκός· οἷον ἐξ εἰκότος τινὸς κρίνω τὸν δεῖνα κλέπτην
εἶναι· ποίου εἰκότος; τοῦ νύκτωρ πλανᾶσθαι· εἰκὸς οὖν τὸ νύκτωρ πλανᾶ-
σθαι. πρὸς ὃ δὲ ἤτοι πρὸς τὸ κλέπτην εἶναι τὸν δεῖνα. καθολικώτερον
ἄρα τὸ εἰκὸς τοῦ πρὸς ὅ· οὐδὲ γὰρ πᾶς ὁ νύκτωρ πλανώμενος κλέπτης, 30
15 ἀλλὰ ἢ μεμηνὼς ἢ ξένος καὶ ἀγνοῶν τὴν εὐθεῖαν λεωφόρον. ἐπεὶ οὖν τὸ
νύκτωρ πλανᾶσθαι λέγεται κατὰ τριῶν ἴσως, τοῦ μεμηνότος, τοῦ ἀγνοοῦν-
τος ξένου, τοῦ κλέπτου, σὺ δὲ κατὰ μόνου ὁ ῥήτωρ τοῦ | κλέπτου τοῦτο 247
ἐξελάβου, καθολικώτερον ἄρα ἐστὶ τὸ εἰκὸς τοῦ κλέπτου, ὡς τὰ τρία τοῦ
ἑνός εἰσι πλείω· οὐ γὰρ πᾶς ὁ νύκτωρ πλανώμενος κλέπτης.

20 [1357b1] Τῶν σημείων τὸ μὲν οὕτως ἔχει, ὡς τῶν καθ'
ἕκαστά τι πρὸς τὸ καθ' ὅλου, ὅτε δηλαδὴ τὸ καθ' ὅλου δεικνύεται 5
ἀπὸ τῶν μερικῶν· οἷον τὸ 'πᾶς σοφὸς σπουδαῖος, διότι ὁ Πιττακὸς σοφὸς
ὢν ἦν καὶ σπουδαῖος'· τοῦ γὰρ ὅτι οἱ σοφοὶ σπουδαῖοι σημεῖόν ἐστιν ὁ
Πιττακὸς μερικόν τι ὤν. τοῦτο τὸ σημεῖον λυτόν ἐστιν· ἀσυλλόγιστος γὰρ
25 ὁ συλλογισμὸς οὗτος ὁ φαινόμενος, ὅτι ἀπὸ δύο μερικῶν συνήχθη, καὶ 10
διὰ τοῦτο οὐκ ἔστι συλλογισμός. ἀλλὰ καὶ τὸ συμπέρασμα ψευδὲς καὶ
κατὰ τὴν ὕλην, ἀλλὰ γὰρ καὶ κατὰ τὸ εἶδος· ἐν γὰρ τῷ τρίτῳ σχήματι
μερικὰ συνάγεις. τοῦτο μὲν οὖν τὸ σημεῖόν ἐστιν ὡς τῶν καθ' ἕκαστόν
τι πρὸς τὸ καθ' ὅλου. τίθησι δὲ καὶ ἕτερον ἐνθυμηματικὸν συλλογισμὸν 15
30 τεκμηριώδη καὶ ἀναγκαῖον ἐν πρώτῳ σχήματι συναγόμενον καὶ αὐτὸν τοι-
οῦτον ἔχοντα τὸ σημεῖον ὡς τῶν καθ' ἕκαστόν τι πρὸς τὸ καθ' ὅλου
[1357b15] 'αὕτη τέτοκε· γάλα γὰρ ἔχει· τὸ γάλα ἔχειν σημεῖόν ἐστι
τοῦ τετοκέναι'. ἄλυτόν ἐστι τοῦτο· ἀληθής τε γάρ ἐστιν ὁ συλλογισμὸς 20
καὶ καλῶς ἔχων κατά τε ὕλην κατά τε εἶδος·

35 τέτοκε γάλα ἔχει αὕτη



ἄρα

καὶ αὖθις οὗτος νοσεῖ· πυρέττει γάρ· σημεῖον ὁ πυρετὸς τῆς νόσου.

---

1 fort. γίνεσθαι 15 ἀλλ' c 20 τῶν δὲ σημείων Arist. 21 ἕκαστόν Arist. (cf. infra v. 28 et 31) δεικνύται c

τεκμήριον τοῦτο καὶ ἄλυτον, ὡς δὴ καὶ τὸ γάλα ἔχειν· καλῶς γὰρ καὶ 247
οὗτος ὁ συλλογισμὸς ἔχει καὶ κατὰ τὴν ὅλην καὶ κατὰ τὸ εἶδος·



5 νόησον οὖν ὧδε· πῶς ταῦτα τὰ δύο σημεῖα, ἃ καὶ τεκμήρια καὶ ἄλυτα, 248
ὡς μερικά εἰσι πρὸς καθ' ὅλου τὸ πυρέττειν, ὃ σημεῖον μερικώτερόν ἐστι
τοῦ νοσεῖν; πῶς; ὅτι πᾶς μὲν πυρέττων νοσεῖ, οὐ μὴν δὲ πᾶς νοσῶν
πυρέττει· εἰσὶ γὰρ καὶ ἕτεραι νόσοι παρὰ τὸν πυρετόν. καὶ αὖθις· τὸ 5
γάλα ἔχειν σημεῖον ὂν τοῦ σημειωτοῦ ἤτοι τοῦ τετοκέναι μερικώτερόν
10 ἐστι τοῦ τετοκέναι· πᾶσα μὲν γὰρ γάλα ἔχουσα καὶ τέτοκεν, οὐ μὴν δὲ
πᾶσα τετοκυῖα καὶ γάλα ἔχει. καλῶς ἄρα τοῦτο ἐξήγηταί μοι σὺν θεῷ,
τῶν ἄλλων ἀποπλανηθέντων ὅλῳ πήχει τῆς ἀληθείας.

[1357 b 3] Τὸ δ' ὡς τῶν καθ' ὅλου τι πρὸς τὸ κατὰ μέρος· 10
ὅταν δηλαδὴ τὸ σημεῖον εὑρίσκηται τὸ τάχα λαμβανόμενον καθολικώτερον
15 τοῦ σημειωτοῦ· οἷον εἴ τις εἴπῃ 'ὁ παρὼν πυρέττει, πνευστιᾷ γάρ'. καὶ
οἱ μὲν ἄλλοι οὕτως αὐτὸ συνελογίσαντο πάντες ἐν πρώτῳ σχήματι



ἐγὼ δὲ ἐν δευτέρῳ σχήματι τοῦτο συνελογισάμην ἀκολουθῶν Ἀριστοτέλει
20 ἐν τῷ τέλει τοῦ δευτέρου τῶν Προτέρων ἀναλυτικῶν λέγοντι μόνα τὰ ἄλυτα
τεκμήρια ἐν τῷ πρώτῳ σχήματι συλλογίζεσθαι, τὰ δὲ ἄλλα σημεῖα ἃ μὲν
ἐν τῷ δευτέρῳ, ἃ δὲ ἐν τῷ τρίτῳ, ἃ καὶ λύσιμα ἢ ὡς ψευδῆ καὶ κατὰ 20
τὸ εἶδος ἡμαρτημένα ἢ καθ' ἕν τι τούτων. ποῖον; τὸ κατὰ τὸ εἶδος
ἡμαρτῆσθαι δηλαδή, κἂν κατὰ τὴν ὅλην ἀληθῶς ἔχῃ·

25 πυκνὸν ἀναπνεῖ



τοῦτο εἰ οὕτως σχηματισθῇ, συλλογισμός ἐστιν, οὐ μὴν ἐνθυμηματικός. 25
σχημάτισον οὖν αὐτὸ ἐνθυμηματικῶς καὶ ῥητορικῶς, τὴν αβ εὐθεῖαν
περιελὼν καὶ οὕτως ἐνθυμηματισάμενος· ἡ γὰρ μείζων πρότασις ἐνθυμη-
30 ματικῶς σοι νοεῖται. εἰ οὖν τὸ ἐνθύμημα τέλειον συλλογισμὸν ποιήσεις,

---

12 τῆς ἀληθείας ὅλῳ πήχει c 20 τοῦ δευτέρου τῶν προτέρων (cf. Anal. pr. B 27 p. 70a 29) cod. Paris. gr. 1951: τῶν δευτέρων τῶν προτέρων V: τῶν δευτέρων (om. τῶν προτέρων) c λέγοντε c 23 τοῦτο c τὸ (ante εἶδος) om. c 27 οὕτω c

λυτὸν τοῦτον εὑρήσεις. 'οὗτος | πυρέττει· καὶ γὰρ πυκνὸν ἀναπνεῖ'· ψευ- 249
δῶς τέως εἶπας. ἔχει δὲ ἔμφασιν οὗτος ὁ συλλογισμὸς πρώτου σχήματος
καί τι καινόν· τὰ γὰρ ἐν τῷ δευτέρῳ σχήματι συλλογιζόμενα διὰ τοῦ
πρώτου τελειοῦνται. εἰ μὲν οὖν οὕτως ὡς ἐν τῷ πρώτῳ σχήματι τελειῶν
5 εἴπῃς 'οὗτος πυκνὸν ἀναπνεῖ, πᾶς ὁ πυκνὸν ἀναπνέων πυρέσσει', ψευδὴς 5
εὑρίσκεται ἡ μείζων πρότασις· εἰ δὲ οὕτως εἴπῃς ὡς ἐν δευτέρῳ σχή-
ματι, ἵνα ἡ ὅλη φανῇ ἀληθής, 'οὗτος πνευστιᾷ, πᾶς ὁ πυρέττων πνευστιᾷ,
οὗτος ἄρα πυρέττει', ἀληθὴς μὲν ὁ συλλογισμὸς κατὰ τὴν ὅλην, κατὰ
δὲ τὸ εἶδος ἠχρείωται· ἐν γὰρ τῷ δευτέρῳ σχήματι ἀπὸ δύο καταφατι- 10
10 κῶν καταφατικὸν συνήγαγες· λυτὸν ἄρα· καταφατικῶς γὰρ συνάγεται ἀεὶ
τὰ διὰ σημείων ἀποδεικνύμενα.

[1357 b 17] Μόνον γάρ, ἂν ἀληθὲς ᾖ, ἄλυτόν ἐστι. τοῦτο
εἶπεν, ἐπεὶ τὸ ἐν τῷ δευτέρῳ σχήματι συλλογισθὲν τὸ 'οὗτος πυκνὸν
ἀναπνεῖ, πυρέττει ἄρα' τελειωθὲν ἐν πρώτῳ σχήματι οὐ φαίνεται ἀληθὲς 15
15 καὶ λοιπὸν οὐκ ἔστι τεκμήριον.

[1357 b 19] Λυτὸν γὰρ καὶ τοῦτο, κἂν ἀληθὲς ᾖ· κἂν γὰρ
ἀληθὲς ᾖ τὸ 'οὗτος πυρέττει ὁ νῦν ὁρώμενός μοι πνευστιῶν', ἀλλὰ λύσι-
μος ὁ συλλογισμός, ὅτι ἐν τῷ δευτέρῳ σχήματι ἀπὸ καταφατικῶν τῶν
δύο προτάσεων καταφατικὸν συνήγαγες.

20 Ἰστέον καὶ ἐπὶ τινῶν πῇ μὲν τὰ σημεῖα προηγοῦνται ὧν εἰσι σημεῖα, 20
οἷον ἡ ἶρις τοῦ ὑετοῦ, ὃ καὶ πολλάκις καὶ διαψεύδεται (φαίνεται γὰρ ἡ ἶρις,
ὑετὸς δὲ οὐ γίνεται), πῇ δὲ τὸ οὗ σημεῖον προηγεῖται, ὡς τὸ πῦρ τῆς τέφρας.
πῇ δὲ ἅμα τὸ σημεῖον καὶ τὸ σημειωτόν, ὃ καὶ κυρίως τεκμήριον, οἷον ἅμα
πῦρ καὶ καπνός· ἐὰν οὖν εἴπῃς, ὅτι σημεῖον τοῦ εἶναι ἐνταῦθα πῦρ τὸ εἶναι 25
25 ἐνταῦθα τέφραν, ψεῦδος· ἔστι γὰρ τέφρα ἔν τινι τόπῳ καὶ οὐκ ἐγένετο
ἐνταῦθα πῦρ, ἀλλ' εἰκὸς ἦν μετενηνέχθαι ἀλλαχόθεν ἐνταῦθα τὴν τέφραν.

[1357 b 26] Ἔστι δὲ τὸ παράδειγμα οὔτε ὡς μέρος πρὸς ὅλον·
ἦν γὰρ ἂν | σημεῖον, ὃ ἦν ὡς τῶν καθ' ἕκαστόν τι πρὸς τὸ καθ' ὅλου. 250
ἀλλ' οὐδὲ ὡς ὅλον πρὸς μέρος· ἦν γὰρ ἂν ὡς τὸ ἕτερον αὖθις ση-
30 μεῖον ἢ καὶ ὡς τὸ εἰκός, ὅπερ ἦν ὡς τῶν καθ' ὅλου τι πρὸς τὸ κατὰ
μέρος. τὸ δὲ οὔτε ὡς ὅλον πρὸς ὅλον εἶπε δηλῶν, ὅτι οὐδὲ συλλογισμός 5
ἐστι. διὰ μὲν οὖν τῶν ἀνώτερον δυεῖν ἔδειξεν, ὅτι τὸ παράδειγμα οὐκ
ἔστιν ἐνθύμημα (τὸ γὰρ ἐνθύμημα ἦν ἐξ εἰκότων καὶ σημείων, ἃ ἀνῄρη-
κεν, ὅτι οὐκ ἔστι τὸ παράδειγμα), διὰ δὲ τοῦ τρίτου τοῦ οὔθ' ὡς ὅλον
35 πρὸς ὅλον ἀνῄρηκεν, ὅτι οὐδὲ συλλογισμός ἐστιν, ἀπὸ τῶν καθ' ὅλου
ἢ καὶ ἀντιστρεφόντων συνάγων τὸ καθ' ὅλου. 10

---

4 ὡς om. c 5 πυρέσει c 7 ἡ om. c 13 εἶπας c 16 γὰρ (ante καὶ) Vc Arist. Tr.: δὲ Arist. cet. ἢ V: ἦν c 19 καταφατικὸν V: καταφατὸν c 20 καὶ Vc: δὲ ὡς καὶ cod. Paris. gr. 1951: fort. ὅτι τίνων c 21 καὶ (post πολλάκις) om. cod. Paris. gr. 1951 28 ἕκα V: ἕκαστά c 29 οὔθ' ὡς Arist. 31 ἢ καὶ ὡς τὸ εἰκός in marg. V: ὃ καὶ ὡς τὸ εἰκός c 31 οὔτε ὡς ὅλον πρὸς ὅλον scripsi ex Aristotele: οὔτε πρὸς ὅλον | fin. vers. | πρὸς ὅλον V: οὔτε πρὸς ὅ ἐστι πρὸς ὅλον c 32 ἀνωτέρω c

[1358 a 2] Τῶν δὲ ἐνθυμημάτων μεγίστη διαφορά. ὥσπερ εἰσὶ διαλεκτικοὶ συλλογισμοὶ παρὰ τῇ διαλεκτικῇ, ἀλλὰ εἰσὶ καὶ περὶ φυσικῶν παρ' αὐτῇ καὶ περὶ ἠθικῶν διαλέξεις, ἀλλὰ ὅσα μὲν ἀπὸ κοινῶν τόπων δείκνυνται, κἂν φυσικὰ εἶεν, κἂν ἠθικά, οὐ μὴν μόνον διαλεκτικά, οἷον ἀπὸ τοῦ μᾶλλον, ἀπὸ τοῦ ἧττον, ἀπὸ ἴσου, ἀπὸ δυνατοῦ, ἀδυνάτου, ἐνδόξου, ἀδόξου, ταῦτα λέγονται διαλεκτικά, ὅσα δὲ τῶν ἰδίᾳ καὶ ἰδίᾳ τεχνῶν, ἤγουν φυσικῆς, ἰατρικῆς, ἠθικῆς, δείκνυνται ἀπὸ ἰδίων καὶ οἰκείων αὐταῖς καὶ μόναις προτάσεων, ταῦτα λέγονται οὐ διαλεκτικὰ ἀλλ' ἢ ἠθικὰ ἢ φυσικὰ ἢ ἰατρικά (αἱ γὰρ προτάσεις τῆς ἰατρικῆς οὐκ ἐφαρμόσουσι τῇ ἠθικῇ οὐδ' αἱ τῆς ἠθικῆς ἐφαρμόσουσι τῇ φυσικῇ), οὕτω καὶ ἐν τῇ ῥητορικῇ εἰσιν ἐνθυμηματικοὶ συλλογισμοὶ καὶ ποτὲ μὲν λέγονται τὰ προβλήματα ῥητορικά, ὅταν ἀπὸ κοινῶν τινων ῥητορικῶν τόπων δεικνύωνται, οἷον ἀπὸ τοῦ δυνατοῦ, τοῦ μᾶλλον καὶ τοιούτων τινῶν, ποτὲ δὲ οὐ λέγονται ῥητορικὰ ἀλλὰ ἢ συμβουλευτικὰ ἢ δικανικὰ ἢ ἐπιδεικτικὰ ἢ περὶ εἰρήνης ἢ περὶ πολέμου ἢ περὶ πόρων ἢ περὶ φυλακῆς χώρας ἢ νομικά, εἰ περὶ πολιτειῶν εἶεν καὶ νόμων. εἰ οὖν τὰ τρία τῆς ῥητορικῆς εἴδη μετιὼν καὶ συμβουλευόμενος ἢ καὶ δικανευόμενος ἢ καὶ πανηγυρίζων ἀπὸ τοῦ μᾶλλον ἐν τοῖς τρισὶν ἐπιχειρήσεις ἢ τοῦ ἧττον ἢ τοῦ δυνατοῦ, ῥητορικὰ | ταῦτα εἰπὲ τὰ προβλήματα· ἀπὸ γὰρ τῶν κοινῶν τῆς ῥητορικῆς τόπων ὥρμησας. εἰ δὲ τὸ συμβουλευτικὸν μόνον νῦν μεταχειρισάμενος καὶ τούτου τὸ περὶ πόρων εἶδος μόνον ἐπιχειρήμασιν οἰκείοις αὐτῷ καὶ μόνῳ τῷ περὶ πόρων προβλήματι χρᾷ, τὸ τοιοῦτον ῥητορικὸν εἴπῃς, ἀλλὰ ἢ συμβουλευτικὸν μερικεύσας ἐκεῖνο ἢ περὶ πόρων ἢ οὕτω πως μερικῶς καὶ εἰδικῶς.

[1358 a 7] Τὰς δὲ οὔπω κατειλημμένας, οἷον περὶ τοῦ τετραγωνίζεσθαι τὸν κύκλον ἢ καὶ ἡ καθ' ἡμᾶς θεία γραφὴ μεγίστη ἐπιστήμη καὶ καλὴ καὶ τιμία καὶ ἀκριβὴς ἀκριβῶς.

[1358 a 7] Διὸ καὶ λανθάνουσι τοὺς ἀκροατάς, εἰ εἶεν διαλεκτικοί· καλῶς γὰρ τὴν ἠθικὴν μεταχειριζόμενοι ἢ τὴν ἰατρικὴν καὶ μεταβαίνοντες ἀπὸ τῶν κοινῶν τῆς διαλεκτικῆς τόπων, τὰ δὲ ἠθικὰ ἢ τὰ ἰατρικὰ δεικνύντες ἀπό τινων ἰδίων καὶ οἰκείων ἰατρικῇ ἢ ἠθικῇ ἰατροὶ μᾶλλον δοκοῦσιν ἄριστοι ἢ ἠθικοὶ φιλόσοφοι.

[1358 a 14] Οὐδὲν γὰρ μᾶλλον ἔσται ἐκ τούτου τοῦ κοινοῦ τόπου ἤγουν τοῦ μᾶλλον περὶ φυσικῶν εἰπεῖν παρ' ὃ περὶ δικαίων.

[1358 a 30] Τῶν ἐνθυμημάτων τά τε εἴδη, λέγω δέ, φησί, τὰς καθ' ἕκαστον γένος ἰδίας προτάσεις. γένος ἢ τὸ ὑποκείμενον εἶπε ἢ τὸ εἶδος· εἶδος γὰρ τῆς ῥητορικῆς τὸ συμβουλευτικόν, εἶδος τῆς

---

1 μεγίστη Vc Arist. ATr.: μεγάλη Arist. vulg. 2 ἀλλ' c 4 δείκνυται c μὴν V: μὲν c 7 δείκνυται c 8 μόναις scripsi: μόνων Vc ἢ om. c 12 δείκνυνται c 14 ἀλλ' c 15 χώρης c 18 τοῖς γῆ V: τοῖς γῆς c 19 εἰπ V: εἰ περὶ c 21 ἐπιχειρήμασι c 22 τοιοῦτο c 27 λανθάνουσί τε τοὺς Arist. 34 εἴδη καὶ τοὺς τόπους ἐξ ὧν ληπτέον· λέγω δ' εἴδη μὲν τὰς καθ' Arist. 36 εἰπὲ Vc

ῥητορικῆς τὸ δικανικόν. γίνωσκε οὖν τοὺς οἰκείους καὶ ἰδίους τῇ συμ- 251
βουλῇ τόπους, ἀφ' ὧν οὐδέποτε δείξαις τὰ δικανικὰ προβλήματα, γίνωσκε
εἰδικῶς τοὺς οἰκείους τῷ δικανικῷ μερικοὺς τόπους, ἀφ' ὧν οὐδέποτε τὰ
συμβουλευτικὰ κατασκευάσαις. τόπους δὲ λέγει τοὺς κοινούς, ἀφ' ὧν 25
5 κοινῶς μέν, οὐ μὴν ἐπιχειρήσεις ἰδίως περὶ τοῦδε ἢ τοῦδε οἰκείως καὶ
εἰδικῶς καὶ αὐτάρκως.

3. [1358 b 7] Τρία γένη τῆς ῥητορικῆς· ἀλλὰ μὴν ἄνω εἴδη
εἶπε. γένη οὖν τὰ ὑπάλληλα ἄκουσον· διαιρεῖται γὰρ τὸ δικανικὸν εἰς
κατηγορίαν καὶ ἀπολογίαν, ὡς καὶ τὰ λοιπὰ εἴδη τὰ δύο. 30

10 [1358 b 17] Κυριώτατος μὲν ὁ παρὼν χρόνος τῷ πανηγυρικῷ.
ἴδε τὸν μέγαν Θεολόγον πανηγυρίζοντα "Χριστὸς γεννᾶται, δοξάσατε". |

[1359 a 6] Φανερὸν δ' ἐκ τῶν εἰρημένων. δεῖ, φησίν, ἰδίας καὶ 252
ἰδίας ἔχειν τὰς προτάσεις τὸν ἐνθυμηματικὸν ῥήτορα. οἰκείας τῇ συμβουλῇ
τὸν συμβουλευτικόν, οἰκείας τῇ δίκῃ τὸν δικανικόν, οὐ μὴν κοινάς· οὐ
15 γὰρ συμβουλεύσει καλῶς περὶ τοῦδέ τινος ὁ ἀπὸ κοινῶν μελετῶν. 5

[1359 a 11] Ἐπεὶ δ' οὔτε πραχθῆναι. νῦν φησιν, ὅτι μετὰ τὸ
εὑρεῖν σε εἰδικῶς τὰς ἰδίας καὶ ἰδίας περὶ ἑκάστου προτάσεις καὶ οἰκείας
ἑκάστῳ τῷδέ τινι δεῖ σε, φησί, καὶ κοινούς τινας ἔχειν τόπους, οἳ δρά-
σουσιν ἐπὶ σέ. καὶ ἐν συμβουλῇ καὶ δίκῃ καὶ πανηγύρει· οἷός ἐστιν ὁ τοῦ 10
20 δυνατοῦ καὶ [οὐκ] ἀδυνάτου, ὁ τοῦ ἐνδόξου, ἀδόξου, ὁ τοῦ εἰ ἐγένετο ἢ
οὔ, ὁ τοῦ μικροῦ.

4. [1359 b 5] Οὐ δεῖ τὸν παρόντα καιρόν, καθ' ὃν τὴν ῥητορι-
κὴν διαγράφω, ζητεῖν ἐμὲ ὑμᾶς εἰπεῖν, μέχρι τίνος καὶ ὅπως τὰ πάντα 15
πραχθήσεται· οὐ γὰρ ῥητορικῆς τὸ τὰ τοιαῦτα τελέως πολυπραγμονεῖν,
25 ἀλλὰ μᾶλλον φιλοσοφίας καὶ τῆς λογικῆς. ὑμεῖς οὖν, ὦ οἱ περὶ Πῶλον
καὶ Γοργίαν, πολλὰ τιμῶντες τὴν ῥητορικήν, εἰ τὰ πάντα αὐτῇ χαριεῖσθε,
λήσεσθε ἀπολέσαντες αὐτήν· γενήσεται γὰρ φιλοσοφία ἢ μισεῖτε φιλοσο-
φίαν καὶ πάνθ' ὑμῖν ἀπολεῖται τὰ τίμια. 20

[1359 b 20] Τὰ πέντε ταῦτα, περὶ ὧν τῇ πόλει συμβουλεύσεται ὁ
30 δημηγόρος, καὶ ὁ καθ' ἕνα ὑμῶν συμβουλευέτω τῷ οἴκῳ αὐτοῦ καὶ οὐκ
ἀπὸ τοῦ καλοῦ χωρήσει.

[1359 b 33] Τὸ δὲ περὶ πολέμου καὶ εἰρήνης τοῦτο δηλοῖ, τίσι
δεῖ πολεμεῖν ἡμᾶς καὶ πρὸς οὓς εἰρηνεύειν. 25

[1359 b 39] Ἐπίδοξον πολεμεῖν ἢ τὸ ἔνδοξον ἢ μᾶλλον τὸ προσ-
35 δοκήσιμον εἰπέ.

[1360 a 1] Πρὸς δὲ τοὺς ἥττους ἐπ' αὐτοῖς ᾖ τὸ πολεμεῖν.
οὐ προτρέπεταί σε πολεμεῖν τοῖς ἥττοσιν ὁ φιλόσοφος ὢν ἀγαθός, ἀλλὰ
τότε, φησί, πολέμει αὐτοῖς, ὅταν ἐκεῖνοι ἄρχωνται κατὰ σοῦ.

---

7 ἄνω] p. 1358ᵃ36 12. 13 καὶ ἰδίας om. c 20 ἀδυνάτου, om. οὐκ, cod. Paris. gr. 1951: οὐκ ἀδυνάτου Vc: οὐ δυνατοῦ Brandis καὶ post ἐνδόξου add. codd. Paris. gr. 1869 et 1951 22 δεῖ κατὰ τὸν Arist. 23 διαγράφω Brandis: διαγράφων Vc 32 περὶ δὲ Arist. 36 ἐπ' αὐτοῖς Vc Arist. vulg. (αὐτῆς Zᵇ): ἐφ' αὐτοῖς Arist. A

[1360a11] Καὶ τοὺς ἐπιτηδείους τόπους φυλάττειν δεῖ ἢ τοὺς 252
ἀνοχύρους καὶ ἀναγκαίους φυλάττεσθαι ἤ, ὃ καὶ μᾶλλον, τοὺς βοηθοῦντάς 31
σοι τόπους, οἷον τὰς ἰδιωτικῶς παρὰ πολλοῖς λεγομένας κλεισούρας, οἷον
τὴν τῆς Κερκύρας κορυφαίαν ἀκρόπολιν, ἵνα μὴ τὰ τοιαῦτα προκατα- 253
5 λαβὼν ὁ πολέμιος ὡς ἀπὸ ἐρυμνῶν κρησφυγίων ὁρμώμενος βλάβης σοι
μυρίας πρόξενος γίνοιτο.

[1359b19] Ἐπισκευάζων αὐτὰς ἤγουν τὴν διαλεκτικὴν καὶ τὴν
ῥητορικὴν εἰς ἐπιστήμας ὑποκειμένων ἤτοι ὡρισμένων τινῶν πραγ- 5
μάτων, ἀλλὰ μὴ μόνων λόγων· ἡ γὰρ διαλεκτικὴ καὶ ἡ ῥητορικὴ
10 ποριστικαί εἰσι λόγων κοινῶν. εἴπωμεν οὖν ὧδε τῇ ἀναλυτικῇ τῇ ῥητορικῇ,
τὰ λοιπὰ ἐπισκέψασθαι δόντες τῇ πολιτικῇ· ἐκείνης γὰρ τὸ περὶ πάν-
των τούτων αὐτάρκως εἰπεῖν.

[1360a14] Ἵνα πρὸς τούτους καὶ αἱ συμβολαί. ἁρμόζει, 10
φησίν, ἡμᾶς ἔχειν φίλους τοὺς κρείττονας ἡμῶν καὶ τοὺς χρησίμους ἡμῖν
15 ὡς τοὺς ἀγχιαλίτας διὰ τὸ πολὺ τοῦ σίτου. συμβολαὶ δὲ λέγονται οἱ ὅρκοι,
οἱ ὅμηροι, αἱ εἰρηνικαὶ συμφωνίαι καὶ φιλίαι.

[1360a22] Καὶ οἰκείων τῆς πολιτείας. φθείρεται τὸ φθειρό- 15
μενον καὶ ὑπὸ τοῦ ἐναντίου, ἀλλὰ καὶ ὑπὸ τοῦ οἰκείου· ὡς τὸ πῦρ φθεί-
ρεται καὶ ὑπὸ τοῦ ὕδατος σβεννύμενον, ἀλλὰ καὶ ὑπ' αὐτοῦ ὡς ἐπὶ τοῦ
20 πυγέως καταμαραινόμενον. ἡ δημοκρατία αὖθις φθείρεται ὑπὸ τοῦ
ἐναντίου (τῆς μοναρχίας δηλαδή), ἀλλὰ καὶ ὑπὸ τῆς ἐπιτάσεως αὐτῆς·
ἢν γὰρ καὶ οἱ χυδαῖοι καὶ οἱ ἀγοραῖοι πάντῃ πάντες κρατῶσι, λυποῦνται
οἱ ἄριστοι καὶ κρατήσουσιν ἴσως τῆς πόλεως καὶ γενήσεται ἀριστοκρατία
καὶ ἡ δημοκρατία ἀναιρεθήσεται. ὥστε καὶ ὑπὸ τῆς ὑπερβολῆς αὐτοῦ καὶ
25 ὑπὸ τῆς ἐλλείψεως αὐτοῦ φθείρεται τὸ φθειρόμενον. βελτίστη δὲ πολιτεία 20
ἢ ἡ βασιλεία ἢ ἐκείνη, ἐν ᾗ συντρέχει τὸ καὶ βασιλείαν εἶναι καὶ δημο-
κρατίαν καὶ ἀριστοκρατίαν· ἄρχει γὰρ ὁ βασιλεύς, ἀλλὰ καὶ οἱ ἄριστοι
τῶν ἀνδρῶν παραδυναστεύουσιν αὐτῷ φρόνιμοι ὄντες καὶ τὰ συμφέροντα
ὑποτιθέμενοι. ἀλλὰ καὶ δημοκρατίαν ἔστιν ἰδεῖν· παρὰ γὰρ τῷ ἐπάρχῳ 25
30 τάξις τις παραδυναστεύει καὶ ἄρχει τῆς πόλεως.

[1360a34] Αἱ τῆς γῆς περίοδοι. ἀναγκαῖον γὰρ περιιέναι πᾶσαν
τὴν οἰκουμένην, ὡς τοὺς νόμους πάντων μαθεῖν τῶν ἐθνῶν.

5. [1360b6] Ἐναντία τῇ εὐδαιμονίᾳ ἡ κακοδαιμονία, εἰς ἣν συν-
τείνουσι λύπη, νόσος, γῆρας. 30

35 [1360b7] Τὸ δὲ ὡς ἁπλῶς εἰπεῖν ἢ τοῦτο δηλοῖ | τὸ συντετμη- 254
μένως ἢ τὸ παχυλῶς καὶ οὐ πρὸς ἀκρίβειαν.

---

9 μόνων Vc: μόνον Arist. 10 κοινῶν λόγων c 13 καὶ αἱ συμβολαί Vc: καὶ συμβολαί Anon. in Rhet. p. 15, 33: καὶ συνθῆκαι καὶ συμβολαί Arist.
19 καὶ (ante ὑπὸ) om. c 20 αὖθις — δημοκρατία (24) V: om. c in textu, praebet in annotatione ex solo codice Paris. gr. 1951 (sed leguntur etiam in Paris. gr. 1869) 22 καὶ (post γὰρ) om. c καὶ (post χυδαῖοι) om. c
24 utrum V praebeat ἀναιρεθήσεται an ἀναιρηθήσεται, dubium est 26 ἢ (ante ἡ) om. c 31 περιέναι c

[1360 b 12] Μεῖζον ἀντ' ἐλάττονος ποιοῦντα, οἷον ἡ ὑγεία μόριον οὖσα τῆς εὐδαιμονίας μεῖζον γίνεται, εἰ προσλάβῃ καὶ πλοῦτον. 254

[1360 b 13] Φθείρει τὴν εὐδαιμονίαν ἡ κακία, ἡ Πριαμικὴ συμφορά, ἐμποδίζει δὲ ἡ ἔνδεια καὶ τὸ μὴ πλουτεῖν. ἐν μὲν τοῖς Ἠθικοῖς ὡρίσατο ἐν μὲν τῷ πρώτῳ τὴν πρακτικὴν εὐδαιμονίαν, ἐν δὲ τῷ Κ τὴν θεωρητικήν, ἐνταῦθα δὲ τὴν πολιτικήν· διὸ καὶ περὶ εὐγενείας καὶ εὐτεκνίας λέγει πόλεων καὶ ἐθνῶν. λέγει οὖν ἐνταῦθα τὰ δοκοῦντα περὶ εὐδαιμονίας πᾶσι πολλῇ σπουδῇ σοφοῖς.

[1360 b 15] Ἡδὺς βίος μετ' ἀσφαλείας, ὅταν πλούσιος ὢν οὐ δεδίττηται ὀργὴν βασιλέως ἢ ἐθνῶν ἐπιδρομὴν καὶ πολεμίων ἔφοδον.

[1360 b 16] Εὐσθένεια σωμάτων καὶ κτημάτων μετὰ δυνάμεως τὸ κτήματα ἔχειν εὐσθενῆ καὶ μεγάλα καὶ σῶμα εὐσθενές, ἀλλὰ καὶ δύναμιν καὶ πλῆθος καὶ δυναστείαν ὑπηκόων τὴν μέλλουσαν ταῦτα συντηρεῖν, ὥστε μὴ ταῦτα διάρπαγμα γίνεσθαι παρὰ πολεμίων ἢ ἄλλως δυναστῶν. εἶπε δὲ καὶ δύναμιν πρακτικὴν τὸ ἔχειν δούλους γεωργούς, κηπωρούς, ποιμένας καὶ τοιούτους πολλοὺς χειροκμῆτας.

[1360 b 31] Αὐτόχθονας εἶναι καὶ μὴ μετανάστας καὶ ἀποίκους ἄλλης χώρας ἤ, κἂν ἀπὸ ἄλλης χώρας ἦλθον, ἀλλ' οὖν χρόνους πολλοὺς ἐπιμεῖναι ταύτῃ τῇ χώρᾳ, ἵνα εἶεν ἀρχαῖοι καὶ κατὰ τοῦτο πλησίον τῶν αὐτοχθόνων, ὡς οἱ πλησίον τῶν ἐν Κωνσταντινουπόλει.

[1361 a 11] Ἀτυχεῖς περὶ γυναῖκας οἱ Λακεδαιμόνιοι· ποτὲ γὰρ αὐτῶν πολεμούντων τοῖς ἐχθροῖς ἔνδον αἱ γυναῖκες ἐθορυβοῦντο· αἰσθόμενοι δὲ οὗτοι τοῦ θορύβου καὶ ὑποπτεύσαντες τοὺς πολεμίους ποθὲν εἰσελθεῖν τὴν πόλιν ἔδωκαν νῶτα τοῖς ἐχθροῖς ὡς εἰς τὴν πόλιν φεύγοντες, ἵν' ἴδωσι τοῦ θορύβου τὸ αἴτιον, καὶ οὕτως ἡττήθησαν κατὰ κράτος καὶ κατεσφάγησαν.

[1361 a 15] Ἀσφαλῆ κτήματα ἔχειν ἤγουν πλησίον τῆς αὐτῶν πόλεως καὶ μὴ ἐν Περσίᾳ ἢ Αἰγύπτῳ, ἵν', ὅταν ἐθέλωσιν, ἐξῇ ἀπολαύειν αὐτῶν· ἐλευθέρια δὲ ὡς αἱ μυρίναι, ἐξ ὧν κἂν καρπὸς γένηται, ἀλλ' οὐκ ἔστιν ἀξιόλογος, ἀλλ' ἄγαν εἰς τιμὴν μικρότατος· πόσος γὰρ καρπὸς ἐκ μυρσινῶν συναχθήσεται, ὥστε κέρδος ἐκεῖθεν γενέσθαι, ὅτι καὶ ἄξιον ἤτοι ἀξιόλογον; 255

[1361 a 27] Τιμὴ δὲ ἔστι μὲν σημεῖον· τιμῶ γὰρ τόνδε τινὰ ἢ ὡς εὐεργετήσαντά με ἢ ὡς εὐεργετῆσαι δυνάμενον· ἐλπίζω γὰρ ὅτι, ὅτε δεήσομαι αὐτοῦ, εὐεργετηθήσομαι. ἡ τιμὴ οὖν ἐν τῷ εὐεργετεῖν θεωρεῖται· ὥστε ὁ μὲν τιμώμενος καὶ δοξάζεται· ἔνθα γὰρ τιμή, ἐκεῖ καὶ δόξα, οὐ μήν, ἔνθα δόξα ἐστίν, ἐκεῖ καὶ τιμή· ὡς μὲν γὰρ ἔχοντές τινες πλοῦτον δοξάζονται, ὡς δὲ μὴ εὐεργετοῦντες οὐ τιμῶνται.

[1361 a 32] Ὧν μὴ ῥᾳδία ἡ κτῆσις ἢ ὅλως ἤγουν μηδ' ὅλως ῥᾳδίως κτᾶται ἡ φιλοσοφία ἢ οὐκ ἔστιν ἐνταῦθα ῥᾳδία ἡ κτῆσις, ὡς ἐν

---

1 ὑγιεία c 9 ὁ βίος Arist. Zb: ὁ βίος ὁ Arist. cet. 11 εὐσθένεια V Arist. vulg.: εὐθενία Arist. ATr.: εὐσθένειαν c κτημάτων καὶ σωμάτων Arist. 14 παρὰ V: om. c 18 πολλοὺς χρόνους c 28 fort. μυρσίναι (cf. p. 270,30. 271,1) 32 σημεῖον δόξης Arist. vulg.: σημεῖον εὐδοξίας Arist. A 39 fort. ⟨ὡς⟩ ἡ φιλοσοφία

Αἰγύπτῳ οἱ καρποὶ τῶν μυρσινῶν ἢ τὰ φύλλα τῆς δάφνης, ἢ ποτέ, οἷον 255
εἴ τις εἴη ἐν εἱρκτῇ λιμαγχονούμενος καὶ ἐγὼ δώσω αὐτῷ ἄρτον λαθὼν
εἰσελθεῖν, ἄρτον ὀλίγον.

[1361 a 35] Τέμενος ἢ ὁ ναὸς λέγεται ἢ καὶ ἡ ἀποτετμημένη χώρα 15
5 καὶ διδομένη τοῖς ἀριστεῦσι.

[1361 a 36] Τῶν βαρβάρων ἴδιον τὸ προσκυνεῖν, οὐχὶ τῶν Ἑλλήνων· οἱ γὰρ Ἀθηναῖοι οὐ προσεκύνουν· διὸ καὶ εἴρηται παρ' Ἕλληνος 'ἐγώ σε προσκυνήσω, βάρβαρε'.

[1361 b 3] Ὥστε ἀνόσους εἶναι χρωμένους τοῖς σώμασιν·
10 εἰσὶ γάρ τινες ὑγιαίνοντες μέν, οὐ χρώμενοι δὲ τοῖς σώμασιν, ἀλλὰ καὶ 20
παρ' ἄλλων λουόμενοι, οὐδὲ βαδίζοντες, ἀλλ' ἐπὶ σκίμποδος ἢ θρόνου
φερόμενοι· οἷος ἦν καὶ ὁ Ἡρόδικος, ὃς ὑγιὴς μὲν ἦν, ἀλλ' οὔποτε τῷ
σώματι πρὸς ὑπηρεσίαν ἐχρᾶτο, ἀλλὰ παρ' ἄλλων τῷ στόματι αὐτοῦ ἡ
τροφὴ ἐδίδοτο, φοράδην ἐφέρετο, οὐδὲ τὴν ἀμίδα ὥστε οὐρῆσαι ταῖς οἰ- 25
15 κείαις χερσὶ κατεῖχεν, ἀλλ' ἄλλοις καὶ αὐτὴ ὑπεκρατεῖτο. διὰ τοῦτο εἶπε
τόδε ἀνθρωπίνων· ἀνθρώπινα γὰρ ταῦτά εἰσι τὰ ἀναγκαῖα ἡμῖν, ὡς
τὸ περιπατεῖν, τὸ ἐσθίειν, τὸ λούεσθαι, τὸ ζώννυσθαι.

[1361 b 10] Πένταθλόν ἐστι πυγμή, πάλη, δίαλμα, δίσκος καὶ δίφρος. 30

[1361 b 11] Ὁ δὲ ἀκμάζων ἡδὺς δοκείτω μετὰ φοβερότητος·
20 μὴ γὰρ ἔστω γυναικοειδὴς καὶ τεθηλυμένος, ἀλλ' οἷος ὁ Ἀχιλλεύς· διὸ καὶ
Πρίαμος αὐτὸν ἰδὼν ἐθαμβήθη. ἐμβριθὴς οὖν, φησίν, ἔστω μετὰ ἡδύτητος. |

[1361 b 17] Πιέζειν ἐστὶ τὸ λαβεῖν τι ἓν μόριον καὶ καταθλῖψαι 256
αὐτό, οἷον ἢ σιαγόνα ἢ οὖς ἢ χεῖρα, συνθλίβειν δὲ τὸ συσφίγξαι τὸ ὅλον
τινὸς σῶμα τὰς δυὸ χεῖρας περιπλεξάμενον καὶ μέσον αὐτῶν τὸν συνθλιβό-
25 μενον κατασχεῖν καὶ ἄγξαι τὰ μέλη αὐτοῦ καὶ τὰ νεῦρα, οἷον καὶ τὰ 5
ὀστᾶ, ὃ δὴ ποιοῦσιν ἔνιοι τῶν παλαιστῶν.

[1361 b 28] Ἔστιν εὐγηρία καὶ ἐκ τῶν τοῦ σώματος ἀρετῶν.
ἀρετὴ σώματος ἡ εὐκρασία· εἰ δὲ καὶ εἴδομέν ποτέ τινα μακρόβιον μὲν
κατάνοσον δὲ ἀεί, ἀλλ' οὐ χρὴ περὶ τοιούτων σπανίων ἡμᾶς ἀκριβολογεῖ- 10
30 σθαι νῦν ἄλλης ὑποθέσεως ἐχομένους.

[1361 b 36] Φίλος ἐστίν, ὃς τῷ φίλῳ βούλεται ὑπάρχειν τόδε καὶ
τόδε τῶν ἀγαθῶν, εἶτα καὶ αὐτὰ τὰ ἀγαθὰ πραγματεύεται καὶ ἐργάζεται
παντὶ τρόπῳ, οὐχ ἵνα αὐτὸς ταῦτα ἔχῃ, ἀλλ' ἵνα ὁ φιλούμενος. ὁ γοῦν
τοιούτους πολλοὺς φίλους ἔχων πολύφιλος. εἰ δὲ καὶ ἐνάρετοι οὗτοι 15
35 εἶεν καὶ σπουδαῖοι καὶ ἄγαν χρηστοί, χρηστόφιλος ὁ τοιοῦτος λέγεται·
πολλάκις γάρ εἰσί τινος φίλοι τινὲς ὑπὲρ ἐκείνου τὰ πάντα καὶ ποιοῦντες
καὶ μηχανώμενοι, εἰσὶ δὲ ὅμως τὸ ἦθος ἀνάγωγοι καὶ ἄλλως ἀπαίδευτοι.

---

2. 3 fort. ἄρτον ⟨ὀλίγον⟩ λαθὼν εἰσελθεῖν [ἄρτον ὀλίγον] 6 ἴδιον V: ἴδων c
13 ἐχρᾶτο V: ἐχρῆτο c 15 χερσὶν c fort. ἄλλαις 16 τὸ δὲ Vc: τῶν Arist.
δὲ ἀνθρωπίνον c 18 εἰσὶ c δίφρος Vc: exspectes δρόμος 21 αὐτὸν
om. c Πρίαμος] cf. Hom. Ω 483, quamquam contrarium ibi legitur (ὡς Ἀχιλεὺς
θάμβησε ἰδὼν Πρίαμον θεοειδῆ) 23 συσφίγξαι V: σφίγξαι c 25 ἄγξαι V:
ἄξαι c

[1361 b 39] Εὐτυχία δέ ἐστι τὸ γίνεσθαι πάντα τά, ὧν αἰτία ἡ 256
τύχη, οἷον γεωργημάτων ἀφθονίαν παντοίων, πλούτου πλησμονήν, χρη- 21
μάτων αὔξησιν, νομισμάτων πλεονασμόν, δυναστείας εὐημερίαν.

[1362 a 2] Αἰτία δέ ἐστιν ἡ τύχη καὶ τῶν τοιῶνδε πολλάκις, ὧν
5 ἡ φύσις αἰτία, οἷον εἰ ἐγέννα τις μήτηρ ἀεὶ ἑξαδάκτυλα βρέφη, εἶτα 25
ποτὲ ἐγέννησε καὶ πενταδάκτυλον.

[1362 a 3] Ἐνδέχεται δὲ καὶ παρὰ φύσιν γενέσθαι ἀπὸ τύχης,
οἷον ἐάν τις ἀεὶ ἐγέννα πενταδάκτυλα, εἶτα ποτὲ ἐγέννησε καὶ ἑξαδάκτυλον.

[1362 a 4] Κάλλους δὲ καὶ μεγέθους φύσις, οἷον εἰ ἀεὶ ἔτικτέ
10 τις μέλανα βρέφη καὶ πυγμαῖα, εἶτα ἐγέννησε καὶ παιδίον καλὸν καὶ
μεγέθους ἀξιολόγου ὕστερον καταστάν· ταῦτα γὰρ καὶ τὰ τοιαῦτα, ὅσα 30
εἰσὶ τοῦ εἴδους καὶ τοῦ ἀγαθοῦ μετειληχότα, φύσεώς εἰσι καὶ κατὰ φύσιν
γινόμενα, τὰ δὲ ἀμβλώματα παρὰ φύσιν. τέως οὖν ἐπικρίνει κυρίως
ἐκεῖνα λέγεσθαι | τυχηρά, ἐφ' οἷς ὁ φθόνος ἐκβάλλεται. 257

15 [1362 a 7] Παρὰ λόγον. γράφεται καὶ μικρὸν ἤγουν τῶν παρὰ
τὴν ἀκολουθίαν· οἷον εἰ Αἰθιόπισσα τέξει ποτὲ Νιρέα.

[1362 a 10] Ἢ εἰ μὴ ἦλθε μόνος ἀεὶ φοιτῶν, οἷον εἰ ὁ Πλά-
των ἀεὶ καθ' ἑκάστην ἡμέραν ἀπήρχετο μονώτατος εἰς τόνδε τὸν τόπον ἐπὶ 5
ἐνιαυτοὺς πεντήκοντα, εἶτα κατὰ τὴν τρίτην τοῦ Ἀπριλλίου μηνὸς ἐκεῖνος
20 μὲν οὐκ ἦλθεν εἰς τὸν τόπον ἐκεῖνον κατὰ τὸ ἔθος, ἄνδρες δὲ ἑκατὸν ἦλθον
ἐπὶ τὸν τόπον ἐκεῖνον καὶ χάσμα γέγονε γῆς καὶ κατεπόθησαν ἁπαξά-
παντες, εὐτυχὴς ὁ Πλάτων, ὅτι ἀεὶ ἐρχόμενος σήμερον οὐκ ἦλθεν ἢ οὐ
συνῆλθε κἂν ἐκείνοις τοῖς ἀπολομένοις ἀνθρώποις. 10

6. [1362 a 15] Ὧν μὲν οὖν δεῖ στοχάζεσθαι. ἐτελείωσεν ὃ προὔ-
25 θετο θεώρημα· εἶπε γὰρ ἀνώτερον "περὶ ὧν μὲν οὖν ἔχειν δεῖ τὸν μέλ-
λοντα συμβουλεύειν, τὰ μέγιστα τοσαῦτ' ἐστίν" ἤγουν πέντε, εἶτα ἐπιλέγει
"ἐξ ὧν δὲ δεῖ καὶ περὶ τούτων καὶ περὶ ἄλλων προτρέπειν, λέγωμεν" 15
καὶ εἶπε περὶ εὐδαιμονίας καὶ περὶ τῶν μερῶν αὐτῆς· οὐ γὰρ περὶ τῶν
πέντε μόνων ἐκείνων ἐρεῖ ὁ συμβουλευόμενος ἐν πόλει, ἀλλὰ καὶ περὶ
30 ἄλλων πολλῶν, οἷον περὶ εὐγενείας, εὐτεκνίας, πολυφιλίας, χρηστοφιλίας,
ἀγωνιστικῆς δυνάμεως, πάλης, πυγμῆς, δίσκου βολῆς καὶ τῶν ἄλλων, ἃ
εἴρηκε· νῦν οὖν φησιν ὅτι, ὧν δεῖ στοχάζεσθαι τὸν συμβουλευόμενον, ταῦτά 20
εἰσι τά τε πέντε καὶ τὰ λοιπὰ ἤγουν ἡ εὐδαιμονία καὶ τὰ μέρη αὐτῆς·
προτρέπεται γὰρ τὴν πόλιν, ἵνα φυλάττῃ τοὺς νέους αὐτῆς τοιῶσδε, ὡς ἂν
35 ᾖ παρ' αὐτῇ εὐτεκνία, εὐεργετεῖν, ὃ μάλα τιμᾶται, φίλους ἔχειν. ἵνα δι'

---

1 τά V: καλῶς c 5 ἀεὶ om. c 14 οἷς ἐστιν ὁ Arist. 19 ἐνιαυτὸν c 20 ἔθος c: ἦθος V 23 συνῆλθεν ἐκείνοις cod. Paris. gr. 1951
24 οὖν V Arist.: οὐ c 25 ἀνώτερον] p. 1360a38 ἀνωτέρω c
26 ἐπιλέγει] p. 1360b1 27 περὶ τῶν ἄλλων προτρέπειν ἢ ἀποτρέπειν, λέγωμεν πάλιν Arist. 29 μόνον cod. Paris. gr. 1951 ἐν om. c 32 εἴρηκε c: εἴρηκα V
34 πόλιν scripsi: post τὴν IV—V litterae evanuerunt V: lacuna VII litterarum c
35 ὃ μάλα scripsi (cf. Arist. p. 1361a28 τιμῶνται δὲ δικαίως μὲν καὶ μάλιστα οἱ εὐεργετηκότες): post εὐεργετεῖν IV—V litterae evanuerunt V

ἐκείνων ὁ φιλούμενος καὶ κοιμώμενος, ἵν' οὕτως εἴπω, κτᾶται πάντα καὶ 257
θαυμάσια, ὧν ἐπιθυμεῖ καὶ ὀρέγεται· τὰ γὰρ ἐναντία τούτων ἐστίν, 26
ἃ ἀποτρεπόμεθα, οἷον τὸ ἀσύμφορον, τὸ βλαβερόν.

[1362 a 21] Ἔστω δὴ ἀγαθόν. ὥσπερ ἀνώτερον τὴν εὐδαιμονίαν
5 διωρίσατο, οὕτω καὶ νῦν λέγει διορισμούς τινας τοῦ ἀγαθοῦ, ἵνα τούτους 30
μαθὼν εὐχερῶς ἔχῃς δεικνύειν τόδε ἢ τόδε ἀγαθὸν ἢ ὡς ποιητικὸν
ἀγαθοῦ ἢ ὡς φυλακτικὸν ἢ ὡς καθ' αὑτὸ ἢ ὡς δι' ἕτερον ἀγαθόν.

[1362 a 24] Καὶ ὅσα ὁ νοῦς ἑκάστῳ ἀποδοίη, ἢ ὁ δημι- |
ουργικὸς νοῦς ἢ ὁ ἐν ἡμῖν θεωρητικὸς ἢ πρακτικός. καὶ μή τις εἴποι 258
10 ὅτι 'εἰ δὲ ὁ νοῦς σοι ὁ θεωρητικὸς ἀποδώῃ κακόν τι, ἆρα ἐκεῖνο ἀγαθόν;'
φημὶ οὖν· ὁ νοῦς ἐκεῖνος ἀποδοίη ἄν τι φαῦλον ὁ βουθισθεὶς θυμῷ ἢ ἐπι-
θυμίᾳ, ὁ δὲ μᾶλλον λογίσας τὸ ἄλογον τῆς ψυχῆς νοῦς τέ ἐστι καὶ ἄρχων 5
καὶ ὀρθῶς ἀποδιδούς.

[1362 a 28] Καὶ ᾧ ἀκολουθεῖ τὰ τοιαῦτα. τοῦτο τινὲς οὕτως
15 εἶπον, ὅτι καὶ ἐκεῖνο ἀγαθόν, ᾧ ἀκολουθεῖ τὰ τοιαῦτα ἤγουν τὸ ποιητικὸν
καὶ τὸ φυλακτικόν· εἶτα ὡς ἀπ' ἄλλης ἀρχῆς εἰς τὸ τὰ τοιαῦτα στίξαντες
ἀναγινώσκουσιν οὕτω δυνάμει, ὅτι καὶ ἐκεῖνα ἀγαθὰ τὰ κωλυτικὰ τῶν 10
ἐναντίων καὶ τὰ φθαρτικά. ἐγὼ δὲ ταῦτα ἀποδέχομαι, λέγω δὲ καὶ
οὕτως ὡς ἓν ἀναγινώσκων ᾧ ἀκολουθεῖ τὰ τοιαῦτα καὶ τὰ κωλυ-
20 τικὰ τῶν ἐναντίων καὶ τὰ φθαρτικὰ ἤγουν ἓν πρὸς ἓν τιθεὶς τὸ
ποιητικὸν τῶν ἀγαθῶν καὶ τὸ φθαρτικὸν τῶν ἐναντίων, τὸ φυλακτικὸν τῶν
ἀγαθῶν καὶ τὸ κωλυτικὸν τῶν ἐναντίων. εἰς δὲ τὴν τοιαύτην ἐνάγομαι 15
ἔννοιαν ἀπ' αὐτοῦ ποδηγούμενος τοῦ Ἀριστοτέλους· φησὶ γὰρ μετὰ ταῦτα
ἀκολουθεῖ δὲ διχῶς· οὐκ ἂν γὰρ μεταξὺ ἔθηκε τὸ καὶ τὰ κωλυτικὰ
25 τῶν ἐναντίων καὶ τὰ φθαρτικά, εἶτα εἶπε τὸ [1362 a 29] ἀκο-
λουθεῖ δὲ διχῶς, εἰ ἄλλος τόπος ἦν ὁ καὶ τὰ κωλυτικὰ τῶν ἐναν-
τίων καὶ τὰ φθαρτικά.

[1362 a 37] Καὶ ἡ ἀντ' ἐλάττονος ἀγαθοῦ μείζονος. ἐπὶ τοῦ 20
αὐτοῦ καὶ ἑνὸς ὑποκειμένου τὸ λεγόμενον ἐνταῦθα χρωμάτισον. ἔστω· ὁ
30 Χαβρίας σήμερον ὤφειλε λαβεῖν μὲν ἀπὸ τοῦ βασιλείου δύο νομίσματα,
δοῦναι δὲ ὡς εἰσφορὰν χάριν ναυπηγίας τριήρεων δέκα νομίσματα. εἰ οὖν
ὁ βασιλεὺς οἰκτείρας αὐτὸν ἀντὶ τῶν ὀφειλομένων αὐτῷ δύο νομισμάτων
δέκα νομίσματα ἐπιδοίη φιλοτιμίαν, ἀντὶ δὲ τῶν δέκα νομισμάτων τῆς εἰσφορᾶς 25
κελεύει δοῦναι τὸν Χαβρίαν μόνα δύο νομίσματα, ἄρα τὰ ὀκτὼ νομίσματα,
35 καθ' ἃ ὑπερέχει ὁ δέκα τοῦ δύο, εἰσὶ λῆψις μὲν τοῦ ἀγαθοῦ (δέον γὰρ δύο
λαβεῖν, ὁ δὲ δέκα ἔλαβεν), ἀποβολὴ δὲ τοῦ κακοῦ τῷ αὐτῷ Χαβρίᾳ (δέον
γὰρ δοῦναι ζημίαν ἑαυτοῦ δέκα νομίσματα, ὁ δὲ δύο μόνα ἔδωκε). 30

---

1 πάντα καὶ Vc: fort. πάντα τὰ 2 γὰρ Vc: γὰρ Arist. A: δὲ Arist. vulg. 4 ἀνώτερον] p. 1360b14 8 νοῦς ἂν Arist. AC: ἂν om. Arist. cet. 9 ἢ ὁ πρακτικὸς cod. Paris. gr. 1951 10 εἰ δὲ V: ὁδὲ c 15 ἤγουν V: ἤτοι c 19 ἀναγινώσκειν c 28 μείζονος λῆψις Arist. 33 νομίσματα per comp. V: νομισμάτων c νομισμάτων per comp. V: ἤτοι c

[1362 a 30] Περὶ δὲ τοῦ 'ᾧ ἀκολουθεῖ, ἢ ὕστερον ἢ ἅμα', ὃ πρὸ 258
μικροῦ ἀνώτερον εἴρηται, ἀνάγνωθι ἐν τοῖς Τοπικοῖς τόπον κ' τοῦ τρίτου βιβλίου ἀναγκαῖον πάνυ ὡς τεχνικώτατον.

[1362b2] Καὶ τὰς ἀρετὰς δὲ ἀνάγκη ἀγαθὸν εἶναι. εἰπὼν ἄνω
5 τόπους στοιχειώδεις τοῦ ὅτι τὸ ἀγαθὸν ἢ τόδε ἐστὶν ἢ τόδε | νῦν πάλιν 259
οἷον δι' ὑποδειγμάτων ἐκεῖνα μεταχειρίζεται. αἱ ἀρεταί, φησίν, ἀγαθόν εἰσιν. ἀλλ' ἀπὸ ποίου τόπου ὁρμᾶται τὸ ὅτι αἱ ἀρεταὶ ἀγαθόν: ἀπὸ τοῦ πέμπτου δηλαδὴ καὶ τοῦ ἕκτου. [1362 b 5] καὶ τὴν ἡδονὴν ἀγαθὸν εἶναι πόθεν δείξεις; ἀπὸ τοῦ τρίτου τόπου. καὶ τὴν εὐδαιμονίαν ἀπὸ ποίου τόπου; 5
10 ἀπὸ τοῦ πρώτου, δευτέρου καὶ ἕκτου. καὶ οὕτως ἐφίστανε περὶ τῶν ἀγαθῶν.

[1363a1] Καὶ οὗ μὴ ἔστιν ὑπερβολή, τοῦτο ἀγαθόν, ἤγουν τὸ σύμμετρον· ἡ γὰρ σύμμετρος ἀσπὶς ἀγαθόν, ἡ δὲ καθ' ὑπερβολὴν μεγάλη βλαβερόν.

[1363 a 7] Ἐπὶ θύραις τὴν ὀδρίαν. οἱ μὲν εἰπόντες τοῦτο εἶπον, 10
ὡς ἄρα καὶ εἶπον, καὶ ἀνάγνωθι καὶ αὐτό· ἐγὼ δὲ λέγω οὕτως· εἶπεν ὁ
15 Ἀριστοτέλης, ὅτι τὸ κοπιᾶσαί τινας ἐπί τινι πράγματι πολὺν χρόνον ὡς τοὺς Ἕλληνας εἰς τὴν Ἴλιον καὶ πρὸ τοῦ φθάσαι τὸ τέλος τὸ δι' ὃ ὁ πολὺς πόνος καὶ τὰ πολλὰ τῶν ἀναλωμάτων θελῆσαι ὑποχωρῆσαι οὕτω μηδὲν ἀνύσαντας 15
φορτικόν ἐστιν, ὥσπερ καὶ εἴ τις μακρόθεν ὁδρευσάμενος καὶ πολλὰ κεκοπιακώς, ὥστε τὸ ὕδωρ ἀγαγεῖν, καὶ πολλὴν ὁδὸν ἐξανύσας ἐν τῇ θύρᾳ γεγονὼς
20 ἐξ ἀπροσεξίας θραύσει τὸ ἀγγεῖον τοῦ ὕδατος· μάτην γὰρ ἐκεῖνος ἐκακοπάθησεν ἐν αὐτῷ σχεδὸν τῷ τέλει ῥαθυμήσας καὶ ἀπροσεκτήσας. 20

[1363 a 26] Ἐὰν ἢ λανθάνῃ ἡ τιμωρία ἢ μικρὰ ᾖ. ἐν γὰρ πολέμῳ κἂν τραυματίζωνται οἱ μαχόμενοι, ἀλλ' οὖν ἀποκρύπτονται αὐτοῖς τὰ τραύματα ὑπὸ τῶν βασιλικῶν ἀναρρήσεων καὶ ἀξιωμάτων καὶ φιλοτιμιῶν.

25 [1363a27] Καὶ τὰ ἴδια καὶ ἃ μηδεὶς. οὕτως ἐγὼ ὡς ἓν ταῦτα νοῶ· 25
ἡ γὰρ βασιλεία ἰδία ἐστὶ μόνῳ τῷ βασιλεῖ, ἄλλος δὲ οὐδέτις ἔχει αὐτήν.

7. [1363 b 9] Καὶ μεῖζον μὲν ἀεὶ καὶ πλεῖον ἀεὶ πρὸς ἔλαττον. ὡς λήμματα ταῦτα προλαμβάνει· τέως δὲ κατὰ ἀκρίβειαν ἔχε τὸ μεῖζον μὲν πρὸς μεῖζον λεγόμενον, τὸ δὲ πλεῖον πρὸς ἔλαττον. 30

30 [1363 b 17] Αὐτῷ δὲ ἀγαθὸν τὸ πρὸς αὐτὸν ταῦτα πεπονθός. | γράφεται καὶ οὕτως· αὐτὸ δὲ ἀγαθὸν τὸ πρὸς αὐτὸ ταῦτα πεπονθός, 260
ἤγουν ὁ μέλλων γενέσθαι εὐδαίμων πρῶτον γίνεται σώφρων, δίκαιος, πολύπαις, καλλίπαις, πλούσιος, εἶτα πάντα τὰ ψυχικά, τὰ σωματικά. τὰ ἐκτὸς ἀγαθὰ εὐτυχήσας φθάνει εἰς τὸ τέλος τὴν εὐδαιμονίαν καὶ ἔστιν εὐδαίμων. 5
35 ἑαυτῷ οὖν ἀγαθόν ἐστιν ὁ εὐδαίμων ὁ δι' ἑαυτὸν ταῦτα πάντα πεπονθὼς τὰ

3 τεχνικώτατος c 4 ἄνω] p. 1362ᵃ21 12 κατ' c 15 ὅτι om. c

ad v. 16 sq. in marg. [Arist. p. 1363ᵃ16] κορινθίοις δ' οὐ μέμφεται τὸ ἴλιον: ζη τ ἔμπροσθεν τὸ σημεῖον ὅτι περὶ τούτου V, vide infra p. 294,34 cum annot. 17 ἀνύσαντες c

19 ἀναγεῖν c 22 λαν ϑ V 26 οὐδέ τις V: οὐδεὶς c 27 μὲν αἰεὶ c μὲν ἂν ἀεὶ Arist. BDQZᵇ: ἂν om. Arist. cet. ἀεὶ (post πλεῖον) om. Arist. 30 αὐτῷ (αὐτωι, τω corr., A) δὲ ἀγαθὸν τὸ πρὸς αὐτὸν (sic A man. pr., EZᵇ; αὐτὸ A man. rec. et ceteri) Arist. 32 μέλλων γενέσθαι V: μείζων γενόμενος c

ἀπηριθμημένα· ἔπαθε γὰρ τοιῶσδε δρῶν τὸ σωφρονίζεσθαι, τὸ σωφρονεῖν, 260
τὸ δικαιοπραγεῖν, ἐπάλαισε πρὸς ἡδονάς, ἐνίκησεν. ἔμαθεν ἐπιστήμας, ἐν
πολέμοις πολλὰ ἐπόνησεν, ἠνδρίσατο. ἐγὼ μὲν ἐπὶ τοῦ τὰς ἕξεις ἔχοντος 10
ἐποιησάμην τὸν λόγον, σὺ δὲ καὶ ἐπὶ ἑκτοῦ ὁμοίως εἰπέ. ἀγαθὸν οὖν
5 ἐστιν ἑαυτῷ τὸ πεπονθὸς ταῦτα πρὸς ἑαυτὸ ἤτοι τὸ ἔχον τὰ ἄλλα ἀφο-
ρῶντα καὶ νεύοντα πρὸς αὐτό· ἡ γὰρ εὐδαιμονία ἀγαθὸν ἡ παθοῦσα τὰ
προειρημένα ἀγαθά. σαφέστερος δὲ ὁ λόγος ἐπὶ τοῦ εὐδαίμονος.

[1363 b 18] Μεῖζον ἀγαθόν ἐστι τὰ πλείω τοῦ ἑνός, ἀλλὰ καὶ 15
αὐτοῦ τοῦ ἑνὸς συναριθμουμένου τοῖς πλείοσι· καὶ μεῖζον ἀγαθὸν τὰ πλείω
10 τῶν ἐλαττόνων συναριθμουμένων τοῖς πλείοσι καὶ τῶν ἐλαττόνων καὶ μὴ
ἀπολύτως λεγομένων· εἰ γὰρ μὴ συναριθμήσεις, ψευδῆ εὑρεθήσῃ λέγων·
οἷον τί φημι; τὸ κάλλος, ἡ ποδώκεια, ὁ πλοῦτος, ἡ δικαιοπραγία, ἡ εὐγέ- 20
νεια μεῖζον ἀγαθόν εἰσι μετὰ τῆς εὐδαιμονίας παρ' ὃ ἡ εὐδαιμονία μόνη
καὶ ἡ εὐγένεια πάλιν καὶ τὸ κάλλος καὶ ἡ ἀνδρία μετὰ τῆς βασιλείας
15 μεῖζον ἀγαθόν εἰσι παρ' ὃ ἡ βασιλεία μόνη. συναρίθμει οὖν καὶ τὴν
βασιλείαν αὐτοῖς· εἰ γὰρ μή, ἁμαρτήσεις· οὐ γὰρ εἰ πλείονά εἰσι ταῦτα
τοῦ ἑνός, τῆς βασιλείας δηλαδή, ἤδη καὶ ταῦτα ἰδίᾳ τὰ πλείονα μεῖζον 25
ἀγαθὸν τῆς βασιλείας εἰσίν, ἀλλὰ μᾶλλον τὸ ἓν ἤγουν ἡ βασιλεία μεῖζόν
ἐστι τῶν πολλῶν αὐτῶν ἀγαθόν. τοῦτο δὲ εἰπὲ καὶ ἐπὶ εὐδαιμονίας.

20 [1364 b 11] Καὶ ὃ κεκρίκασιν οἱ φρόνιμοι ἢ οἱ πάντες φρό-
νιμοι ἢ οἱ πλείονες ἢ οἱ κράτιστοι, τοῦτο μεῖζον ἀγαθὸν παρὰ τὸ κριθὲν 30
ἢ παρὰ οὐ φρονίμων ἢ οὐ πάντων καὶ τὰ ἑξῆς· κεκρίκασι δέ, φησίν, οἱ
φρόνιμοι ἢ ἁπλῶς ἢ κατὰ φρόνησιν. ὃ δὲ λέγει, τοιοῦτό ἐστι· πολλάκις
οἱ φρόνιμοι κρίνουσιν ἁπλῶς ὡς ἄνθρωποι, πολλάκις οὐ μόνον καθ' ὃ ἄνθρω-
25 ποι, ἀλλὰ καθ' ὃ | φρονιμώτατοι· οἷον τί λέγω; ὅταν λέγωσι 'τίμα τὸν θεόν', 261
'ἀγάπα τοὺς φίλους σου', 'σέβου γονέας', ταῦτα ἂν ὡς ἁπλῶς ἄνθρωποι
εἴποιεν· οὐδὲ γὰρ δυσκολίαν ἔχει τὸ λεγόμενον οὐδὲ ἀνάγκης δεῖται ἀπο-
δεικτικῆς αὐτοφυῶς ἔχον παρ' ἡμῖν. ὅταν δὲ λέγωσι 'τὸ ἀδικεῖσθαι κρεῖττόν 5
ἐστι τοῦ ἀδικεῖν', τότε κατὰ φρόνησιν τοῦτο καὶ ὡς φρονιμώτατοι λέγουσι.

30 [1364b15] Καὶ γὰρ τὶ ἤγουν οὐσίαν καὶ ποσὸν καὶ ποιόν, ἤτοι
εἴ τις οὐσία τοῖς φρονίμοις δόξει μεῖζον ἀγαθόν, ἢ ὃ σύμμετρον αὐτοῖς
φανείη, τότε καὶ ἡμῖν ἢ τοιοῦτον στερχθήσεται.

[1364 b 17] Ἀγαθόν ἐστιν, ὃ λαβόντα τὰ ὄντα πάντα νοῦν καὶ 10
φρόνησιν, ἤγουν ὁ λίθος, τὸ φυτόν, ὁ βοῦς, ἕκαστον τούτων (τῶν
35 ὄντων δηλαδή) ἕλοιτο· τὸ γὰρ ἕκαστον ἐπὶ τῶν πραγμάτων λαμβάνω,
οὐ μὴν ἐπὶ τοῦ ἀγαθοῦ· εἰ δὲ καὶ οὕτως, οὐ διαμαρτήσεταί τις.

[1364 b 19] Καὶ τὸ τοῖς βελτίστοις ὑπάρχον ἢ ἁπλῶς ἢ ᾗ 15
βελτίοσιν. εἰ δὲ βέλτιστοι οἱ στρατηγοὶ παραβαλλόμενοι πρὸς τοὺς ἁπλῶς

---

12 τί V: τίς c 14 ἀνδρεία c (per comp. V) 20 κρίνειαν (κρίνειεν BDEYb) ἂν ἢ post ὃ add. Arist. 20. 21 ἢ πάντες ἢ οἱ πολλοὶ ἢ οἱ πλείους Arist. 23 ἢ εἰ κατὰ τὴν φρόνησιν ἔκριναν Arist. τοιοῦτο c ex cod. Paris. gr. 1869: τοιοῦτον cod. Paris. gr. 1951: τοῦτο V 25 καὶ post ἀλλὰ add. c 28 τὸ ἀδικεῖσθαι κτλ.] cf. p. 1364b22 32 δειχθήσεται c 34. 35 ἕλοιτ' ἂν ἕκαστον Arist. 37 τοῖς βελτίοσιν Arist. 37. 38 ᾗ βελτίους Arist.

στρατιώτας, εἰσὶ δὲ καὶ τῶν βελτίστων ἤτοι τῶν στρατηγῶν βελτίους ἢ οἱ 261
στρατηγικώτεροι ἢ οἱ ἀνδρειότεροι, ἡ οὖν ἀνδρία ὑπάρχει καὶ ἐνθεωρεῖται
τοῖς στρατηγοῖς ἢ τοῖς στρατηγικωτέροις, μεῖζον ἄρα ἀγαθὸν τῆς ἰσχύος.
καὶ ἀντιστρέψας αὖθις εἰπέ. καὶ ὃ ἕλοιτο πάλιν ὁ βελτίων ἁπλῶς ἢ 20
ὁ βελτίων τοῦ ἁπλῶς βελτίονος, ἤτοι ὅπερ ἕλοιτ' ἂν ἢ ὁ δίκαιος ἢ ὁ
δικαιότερος, ἐκεῖνο μᾶλλον ἀγαθόν, οἷον τὸ ἀδικεῖσθαι ἴσως ὁ δίκαιος
οὐκ ἂν ἕλοιτο· τοῦ γὰρ ἴσου ἐστὶ φύλαξ, τοῦ μήτε ἀδικεῖν μήτε ἀδικεῖσθαι
δηλαδή· τοῦτο δὲ τὸ ἀδικεῖσθαι ὁ δικαιότερος τῶν δικαίων ἕλοιτο, 25
ὑπὲρ τὸ δίκαιον ζῶν, ὡς οἱ τοῦ Χριστοῦ καὶ τοῦ εὐαγγελίου παρ' ἡμῖν.

[1365 a 8] Καὶ ὧν αἱ ζημίαι μείζους· ἐπὶ τοῦ ἀπολέσαντος
χρυσὸν παρ' ὃ ἄροτρον ἢ χαλκόν.

[1365 a 10] Ἡ πολιορκία κακόν, ἀλλ' ἔτι δοκεῖ μεῖζον κακόν, εἰ 30
διαιρεθείη εἰς τὰ μόρια, ἐξ ὧν σύγκειται. μόρια δὲ αὐτῆς τὸ τὴν πόλιν
ἐμπρησθῆναι, τὸ αἰχμαλώτους ἀχθῆναι τοὺς πολίτας, τὸ δεσμίους, τὸ παραν-
ἁλωμα ξίφους πάντας γενέσθαι. [1365 a 16] καὶ ἡ σύνθεσις δὲ τὰ αὐτὰ τῇ
διαιρέσει δύναται· ὑπεροχὰς γὰρ καὶ | αὕτη ποιεῖ, οἷον ἐπὶ πολιορκίας ἢ 262
μᾶλλον ἐπὶ ἁλώσεως οὐ μόνον τὸ πῦρ ἀμαθύνει τὴν πόλιν, ἀλλὰ καὶ οἱ λαοὶ
φθινύθουσι, καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ τὰ τέκνα δέσμια ἄγονται καὶ αἰχμά-
λωτα, καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ αἱ γυναῖκες τοῖς πολεμίοις δοῦλαι.

[1365 a 28] Ἐξ ὧν ὑπῆρξε ταῦτα, ἤγουν ἐξ οἵων γονέων εὐτελῶν 5
ὧν ὑπῆρξεν ὁ Ἰφικράτης ταῦτα ἤγουν τὸ στρατιώτης, τὸ ἀνδρεῖος, τὸ
ὑπερπολεμῶν τῆς πατρίδος.

[1365 a 30] Ὁ ποιητὴς Πίνδαρος ἦν αὐτοδίδακτος, ἤτοι 'ἐκ
γενετῆς εἰμι σοφός', φησί, 'καὶ οὐκ ἀπὸ διδασκάλου τοιοῦτος γέγονα'. 10

[1365 a 12] Ὁ Μελέαγρος ἐγεννήθη τῷ Οἰνεῖ ἀπὸ τῆς Ἀλθαίας.
τούτου δ' ὄντος ἡμερῶν ἑπτὰ παραγενομένας τὰς Μοίρας φασὶν εἰπεῖν ὅτι
'τότε τελευτήσει Μελέαγρος, ὅταν ὁ καιόμενος οὗτος ἐπὶ τῆς ἐσχάρας δαλὸς
κατακαῇ'. τοῦτο ἀκούσασα τὸν δαλὸν ἀνείλετο ἀπὸ τῆς πυρᾶς ἡ Ἀλθαία 15
καὶ κατέθετο ἐν λάρνακι θησαυρίσασα. γέγονεν ὁ Μελέαγρος γενναῖος.
ἐτησίων οὖν καρπῶν τοῖς θεοῖς παρὰ τοῦ Οἰνέως ἀνατεθειμένων οὐκ ἐδόθη
θυσία καὶ τῇ Ἀρτέμιδι. ἐμήνισεν ἡ θεὸς καὶ ἐπαφῆκε κατὰ Αἰτωλίας
καὶ Καλυδῶνος κάπρου τι χρῆμα ἐξαίσιον, ὃς τήν τε γῆν ἄσπορον ἐποίει
καὶ τὰ δένδρα ἐξέταμε καὶ τοὺς ἀνθρώπους ἀπέκτεινε. συνήχθησαν οὖν 20
οἱ ὁμοροῦντες γενναῖοι ἄνδρες τοῦ Οἰνέως συγκαλεσαμένου, ὃς ἔθετο καὶ
τῷ ἀποκτενοῦντι τὸν σὸν ἀριστεῖον τὸ δέρμα. ὁ γοῦν Μελέαγρος ἀπο-
κτείνας τὸν κάπρον ἔλαβε τὴν δοράν, ἣν καὶ τῇ αὐτοῦ ἐρωμένῃ Ἀταλάντῃ
συγκυνηγετούσῃ αὐτῷ ἐδωρήσατο. ἐλυπήθησαν οὖν καὶ οἱ ἀδελφοὶ τῆς 25

---

2 ἀνδρεία c (per comp. V) 4 ἕλοιτ' ἂν Arist. 4. 5 ἢ ἁπλῶς ἢ ἢ βελτίων Arist. 8 ἂν ἕλοιτο Arist. A: ἕλοιτ' ἄν Arist. vulg. 9 δίκαιος c τοῦ (post καὶ) V: ἁγίου c 11 exspectes ἄργυρον 13 utrum V praebeat διαιρεθείη an διαιρηθείη, dubium est αὐτῆς scripsi: αὐτοῖς Vc 20 εὐτελὴς c 23 Πίνδαρος] cf. infra p. 278,22 25 sq. cf. Apollod. Bibl. I 8,2 27 ὅταν V: ὅτε c οὗτος om. Apollod. 30 ἀναθειμένων c 36 ἐρωμένῃ ἀταλάντῃ V: ἀταλάντῃ τῇ ἐρωμένῃ c

Ἀλθαίας κατὰ τοῦ ἀνεψιοῦ αὐτῶν Μελεάγρου ὡς μὴ αὐτοῖς συγκυνηγέταις 262
οὖσι δωρησαμένου τὴν δοράν, ἀλλὰ τῇ παλλακῇ, καὶ συνάραντες λόγους
ἀπεκτάνθησαν παρὰ Μελεάγρου. οἱ γοῦν Καλυδώνιοι (τῆς γὰρ Καλυδῶνος
ἦρχον οἱ φονευθέντες) ἐστράτευσαν κατὰ τῆς Αἰτωλίας. ὁ γοῦν Μελέαγρος 30
5 ἀναγκαζόμενος παρὰ τῆς μητρὸς ἐξελθεῖν εἰς τὸν πόλεμον οὐκ ἤκουσεν
αὐτῆς οἷα φθασάσης αὐτὸν ὑβρίσαι ὡς ἀναιρέτην τῶν ἀδελφῶν αὐτῆς,
ἀλλ' ἡ γυνὴ τὰ τῆς ἁλώσεως προθεμένη τοῦτον εἰς τὸν πόλεμον ἀνέστησε.

[1365 b 2] Τὸ εὖ πάσχειν αἱρήσεται πᾶς, κἂν μέλλῃ λαθεῖν· πρὸς 35
ἀλήθειαν γὰρ ἀφορᾷ· οὐκ ἂν δὲ ἕλοιτό τις λαθεῖν, εἴ τινα | εὖ ποιήσει. 263
10 διὸ καὶ ὁ Ὀδυσσεὺς οἷα Οὔτις τυφλώσας τὸν Κύκλωπα καὶ ἐντὸς τῆς
νηὸς αὐτοῦ γεγονὼς οὐκ ἠνέσχετο τὸ ἔργον αὐτοῦ λαθεῖν, ἀλλ' ἐν μέσῳ
γεγονὼς τῷ πελάγει ἐβόησε τὸ Κύκλωψ, ἐγώ εἰμι Ὀδυσσεὺς ὁ τυφλώσας σε.

[1365 b 6] Πᾶς, κἂν ἄδικος εἴη κἂν δίκαιος, αἱρεῖται δοκεῖν καὶ 5
πᾶσι φαίνεσθαι δίκαιος παρ' ὃ εἶναι· πῶς γὰρ ὁ ἄδικος ἂν εἴη δίκαιος;
15 εἰ δὲ καὶ δίκαιος εἴη τις, ἀγαπᾷ τὸ παρὰ πᾶσιν ᾄδεσθαι δίκαιος καὶ
κρεῖττον ἔχει τοῦ εἶναι τὸ φαίνεσθαι.

[1365 b 16] Γράφεται καὶ οὕτως· καὶ τὸ ἀγαπητὸν τοῖς μὲν
μόνον, τοῖς δὲ μετ' ἄλλων. γράφεται καὶ οὕτως· ἀγαπητὸν γὰρ ἂν 10
εἴη μᾶλλον, εἰ μόνον εἴη ἢ μετ' ἄλλων.

20 8. [1365 b 31] Ἐπὶ τῆς δημοκρατίας ἕνα ἐκλέγονται ἢ τρεῖς ἢ
τέσσαρας, οἳ καὶ κρίνουσι, καὶ οὐχὶ πάντας. διὰ τοῦτο εἶπε 'μόριον τούτων
τι ἂν εἴη', εἶτα εἶπεν "ἢ ὅλον τούτων", ὡς ἐπὶ τῆς ἀριστοκρατίας ὅλον 15
τὸ ἄρχον κρίνει ἤτοι οἱ ἄριστοι καὶ οἱ φρόνιμοι, ἀλλὰ καὶ ἐπὶ τῆς ὀλιγαρχίας
τὸ ὅλον κρίνει ἤτοι οἱ ὀλίγοι ἐκεῖνοι οἱ ἄρχοντες καὶ ἐπὶ τῆς μοναρχίας ὁ
25 εἷς. τὸ δὲ κλήρῳ καὶ οὕτως ἑρμηνεύεται ἀντὶ τοῦ κατὰ γενεὰν καὶ οἷον
κλήρῳ πατρῴῳ· τελευτήσαντος γὰρ τοῦ πατρὸς ὁ υἱὸς διαδέχεται αὐτοῦ 20
τὴν βασιλείαν, ὡς ἐπὶ τῶν Ἰβήρων ἔχει καὶ τῶν Κελτῶν βασιλέων. περὶ
δὲ τῶν τοιούτων πολιτειῶν ἀνάγνωθι τὰ ἐν τοῖς Ἠθικοῖς μου σχόλια, ἀλλὰ
καὶ τὸ ξυλοχάρτιον κοντάκιον τὸ ἐν τῇ περὶ μεθόδου δεινότητος.

30 [1366 a 1] Ἡ μὲν κατὰ τάξιν βασιλεία ἤγουν ἡ ὡρισμένη, ἐν
ᾗ ὁ δῆμος καὶ οἱ στρατιῶται ἐκλέξονται βασιλέα τόνδε· ἢ τὸ κατὰ τάξιν 25
ἔνιοι λέγουσιν ἀντὶ τοῦ κατὰ γένος καὶ κατὰ διαδοχήν, ὡς τὸ τοῦ πατρὸς
βασιλέως θανόντος βασιλεύειν τὸν υἱόν.

[1366 a 2] Ἡ δ' ἀόριστος τυραννίς, οἷον εἴ τις οὐ προβληθεὶς
35 παρὰ τοῦ δήμου καὶ τῶν στρατιωτῶν ἄρχει παραλαβὼν τὴν βασιλείαν μετὰ
πολέμου καὶ αἵματος.

---

7 ἀνέστησεν c 10 οὔτιν δὲ ἐκάλεσεν ἑαυτὸν ὡς μεγάλα (τὰ ins. c ex cod. Paris. 1869) ὦτα ἔχοντα in marg. V 12 Κύκλωψ κτλ.] cf. Hom. ι 502 sq. 13 πᾶς V: πῶς c 15 καὶ (post δὲ) om. c 17 τοῖς μὲν Vc Arist. C: καὶ τοῖς μὲν Arist. cet. 21 ὃ V: τέσσαρες c πάντας scripsi: πάντες Vc

29 ξυλοχάρτιον κοντάκιον c: ξυλοχόρτιον κον τ V 30 κατὰ τάξιν τινὰ Arist. (A in marg. κατ' ἀξίαν τινὰ) ἤγουν V: ἢν c 31 ἐκλέγονται c 35 ἄρχει scripsi: ἄρχειν Vc

[1366 a 6] Τυραννίδος δὲ τέλος φυλακὴ ἤγουν αἱ λεγόμεναι παρα- 263
μοναί, Πέρσαι, ξιφηφόροι. 30

[1366 a 8] Ἥιπερ αἱροῦνται πρὸς τοῦτο ἐπαναφέροντες ἤγουν ἀναφέροντες πάντα, ὅσα ἂν καὶ συμβουλευώμεθα. πρὸς τοῦτο τὸ τέλος. οἷον
5 αἱρούμεθα καὶ ᾗ (ἀντὶ τοῦ ὅπου) αἱρούμεθα, εἴτε ἀριστοκρατία εἴη, τὸ οἰκεῖον αὐτῇ τέλος ζητοῦντες, εἴτε ἄλλη τις πολιτεία. |

[1366 a 12] Δέοι ἂν τὰ ἤθη ἑκάστης πολιτείας μιμεῖσθαι καὶ 264
ἔχειν τὸν συμβουλεύομενον. οἷον ἐν μὲν δημοκρατίᾳ μὴ ἐπηρμένον ἑαυτὸν δεικνύειν, ἀλλὰ κοινωνικὸν καὶ δημοτικὸν καὶ εὐλαβῆ καὶ μέτριον τὸ ἦθος.
10 ἵνα μὴ τυραννικώτερος φανείη ὑποπτευθείς, ἐν ἀριστοκρατίᾳ ἐμβριθὴς καὶ 5
ὑψηλὸς ἀπὸ τῶν νόμων καὶ τῶν ἐθῶν τῶν πολιτικῶν λαμβάνων τὸ παρρησιάζεσθαι, ἐν δημοκρατίᾳ ἐπηρμένος διὰ τὸν πλοῦτον καὶ ἀλαζονικώτερος, μὴ τοῖς πρέσβεσι τοῖς ποθὲν ἀπαντήσασι πειθόμενος τὰ πολλὰ καὶ αὐτοῖς ταπεινὸν ἑαυτὸν ὑπενδιδούς, ἀλλὰ τὸν Σθενελαΐδαν μιμούμενος ἐπὶ μάχην 10
15 κινοῦντα, ἀλλὰ τὸν Περικλέα ζηλῶν πρεσβείαν Λακωνικὴν ἀτιμάζοντα.

[1366 a 14] Ταῦτα δὲ ἤτοι τὰ ἤθη μιᾶς ἑκάστης πολιτείας ληφθήσεται διὰ τῶν αὐτῶν ἤτοι τῶν πολιτειῶν.

[1366 a 14] Τὰ μὲν γὰρ ἤθη φανερὰ γίνεται κατὰ τὴν προαίρεσιν ἤτοι ἐκ τῆς προαιρέσεως· ἀφ' ὧν γὰρ προαιρεῖταί τις καὶ συμβου-
20 λεύει, φαίνεται τὸ ἦθος αὐτοῦ. ἡ δὲ προαίρεσις ἀναφαίνεται ἢ καὶ 15
ἀναφέρεται πρὸς τὸ οἰκεῖον τέλος.

[1365 a 29] Ἐν ὕμνῳ Θήρωνος Ἀκραγαντίνου φησὶν ὁ λυρικὸς Πίνδαρος ἑαυτὸν ἐπαινῶν ὡς αὐτοφυῆ σοφὸν οὕτως

"σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ· μαθόντες δὲ λάβροι 20
25 παγγλωσσίᾳ, κόρακες ὡς, ἄκραντα γαρύετον
Διὸς πρὸς ὄρνιχα θεῖον".

λέγει οὖν 'ὥσπερ κόρακες πρὸς ἀετὸν φιλονεικοῦσιν οἱ διδακτοὶ πρὸς τοὺς 25
φύσει αὐτοδιδάκτους'. αἰνίττεται δὲ εἴς τε ἑαυτὸν τοῦτο καὶ εἰς Σιμωνίδην. τὸ δὲ [1365 a 30] "αὐτοδίδακτος δ' εἰμί" ἐν τῷ χ' Ὀδυσσείας Ὅμηρος
30 λέγει περὶ τοῦ κιθαρῳδοῦ Φημίου παρακαλοῦντος Ὀδυσσέα μὴ κτανθῆναι. τέως δ' οὖν τὰ εἰρημένα εἶπεν ὁ Πίνδαρος πρὸς Βακχυλίδην τάχα ἀποτει- 30
νόμενος τρόπον τινὰ ἀνταγωνιστὴν αὐτοῦ γεγονότα.

9. [1366 a 29] Τὸ ἐπαινεῖν μετὰ σπουδῆς τινὲς τὸ μετὰ τέχνης εἶπον καὶ κανόνων ῥητορικῶν, τῶν ἐγκωμιαστικῶν δηλαδὴ κεφαλαίων. τὸ
35 δὲ χωρὶς σπουδῆς ἤτοι ἐκ τοῦ παρατυχόντος.

[1366 a 27] Δευτέρα πίστις τὸ ἦθός ἐστι. πρώτη δὲ τὰ ἐνθυμήματα· εἴρηκε γὰρ ἐν τῇ ἀρχῇ τοῦ βιβλίου τὸ "αἱ γὰρ πίστεις ἔντεχνόν ἐστι 35
μόνον, τὰ δ' ἄλλα προσθῆκαι". ἴδωμεν δέ, εἰ δοκεῖ, τῶν πίστεων τὴν διαίρεσιν· καὶ ἔστιν αὕτη· |

---

3 εἴπερ Arist. ἐπαναφέροντες Vc Arist. AC: ἀναφέροντες Arist. cet. 5 ᾗ V: ἢ c εἴτι c 7 δέον c τῶν πολιτειῶν ἑκάστης Arist. 9 δημοτικόν, pr. ο ex ω corr., V 10 sqq. haec vix sana sunt 22. 23 Πίνδαρος] Olymp. 2,86 29 Ὅμηρος] χ 347 33 μετὰ σπουδῆς ἐπαινεῖν Arist. 36 δὲ om. c 37 εἴρηκε] p. 1354ᵃ13



[1] ἐνδεχομέναις προτάσεσιν V: ἐνδεχομένας προτάσεσι c

[2] καὶ post ἢ add. c

[3] τεκμηρ(tum ίου man. post. in charta agglutinata) | finis versus | ἐξ V: τεκμηρία τοῦ c

[4] δεικνύμενον V: δεικνυμένῳ c

[1366 a 33] Καλὸν ἐκεῖνο τὸ ἀγαθὸν λέγεται τὸ καὶ ἡδύ, τὸ μεθ' 265
ἡδονῆς. ὥστε εἴ τι μὲν καλόν, καὶ ἀγαθόν ἐστιν, οὐ μὴν εἴ τι ἀγαθόν, 5
καὶ ἡδύ· ἡ γὰρ ἐπίδειξις τῆς ἀνδρίας καὶ τὸ μανθάνειν ἡμᾶς ἀγαθὰ μέν
εἰσιν, οὐ μὴν ἡδέα· πικρία γὰρ καὶ τραύματα ἔνεισι τούτοις. 10

5 [1366 b 3] Μεγίστη ἀρετή ἐστιν ἡ μὴ ἑνί τινι περιοριζομένη, ἀλλ'
εἰς πολλῶν ὠφέλειαν χεομένη. οὕτως ἡ μὲν δικαιοσύνη καὶ ἡ ἀνδρία 15
μεγίστη ἀρετή, σμικρὰ δὲ ἡ σωφροσύνη· παρὰ γὰρ μόνῳ ἐστὶ τῷ ἔχοντι
αὐτήν. ὥστε ὃ εἶπεν ἄνω, ὅτι καλόν ἐστιν, ὃ ἂν δι' αὐτὸ αἱρετὸν ὂν 20
ἐπαινετόν ἐστι, τοιοῦτον ἔχει τὸν νοῦν· ἐκεῖνό | ἐστι καλόν, φησί, δι' ὃ 266
10 ἐπαινεῖταί τις ἤγουν τιμᾶται, προσκυνεῖται, ἀγαλματοποιεῖται. ἄρα ἡ ἀν-
δρία ἐστὶ τοιοῦτον, οὐ μὴν ἡ σωφροσύνη· διὰ γὰρ τὴν ἀνδρίαν τοῦδέ τινος
πάντες αὐτῷ ὑπεξιστάμεθα, προσκυνοῦμεν αὐτόν, ἀνδριάντας αὐτῷ χαλ-
κεύομεν. ὥστε ἡ ἀνδρία ἐπαινετὸν μέν, οὐ μὴν ἡδύ. διὰ τοῦτο πολλοὺς 5
τόπους καὶ διαφόρους δίδωσιν ὁ φιλόσοφος καὶ περὶ τοῦ καλοῦ νῦν, ὃ
15 τέλος σκοπιμώτατον καὶ σκοπὸς δοκεῖ τελικώτατος τῷ πανηγυρίζοντι, ὡς
δὴ ἔναγχος καὶ περὶ τοῦ συμφέροντος ἤτοι τοῦ ἀγαθοῦ πολυχουστέρους
τόπους ἐξέδωκε τῷ συμβουλεύοντι. 10

[1366 b 29] Σημεῖόν ἐστι τῆς ἀνδρίας τὸ μὴ ταράττεσθαι ἐν πολέμῳ,
πάθος δὲ ἀνδρίας τὸ θυμοῦσθαι, τὸ σφάττεσθαι δὲ μᾶλλον ὧδε ἐγὼ λέγω,
20 τὸ τραυματίζεσθαι, τὸ κατακόπτεσθαι. τὸ δὲ δικαίως πάσχειν, τὸ δικαίως
τραυματίζεσθαι, τὸ δικαίως θνήσκειν κακόν· τῶν γὰρ κακούργων τὸ οὕτω 15
πάσχειν· ὃ καὶ Σωκράτης ἐν τῇ εἱρκτῇ φρουρούμενος πρὸς τὸν ἑταῖρον
αὐτοῦ δακρύοντα καὶ λέγοντα 'ἀδίκως ἀποθνήσκεις, ὦ Σώκρατες' παρ-
έδειξεν εἰπὼν 'οἴει δέ με δικαίως ἀποθνήσκειν;' τοῦτο γὰρ τῶν κακούρ-
25 γων ἐστί.

[1366 b 38] Καὶ ἃ μὴ αὐτῷ ἀγαθά· οἷον ἐκεῖνά εἰσι καλὰ ἤτοι 20
ἐπαινετά, ἃ ποιοῦμεν χάριν ἄλλων, οἷον εἰ σκέπω πτωχούς, εἰ τροφὰς
αὐτοῖς δίδωμι· εἰ γὰρ ἑαυτοῦ χάριν τραπέζας πολυτελεῖς ἱστῶ, οὐκ ἔστι
τοῦτο ἐπαινετὸν καὶ τιμώμενον καὶ ὑμνούμενον.

30 [1367 a 8] Εἴτε ὁ Ἀλκαῖος ὁ ποιητὴς ἤρα κόρης τινὸς ἢ ἄλλος τις 25
ἤρα, παράγει οὖν ὅμως ἡ Σαπφὼ διάλογον· καὶ λέγει ὁ ἐρῶν πρὸς τὴν
ἐρωμένην 'θέλω τι εἰπεῖν πρὸς σέ, ἀλλὰ ἐντρέπομαι, αἰδοῦμαι, αἰσχύνομαι'.
εἶτ' αὖθις ἀμοιβαδὶς ἡ κόρη λέγει πρὸς ἐκεῖνον 'ἀλλ' ἐὰν ἦς ἀγαθὸς καὶ
ὃ ἔμελλες πρὸς μὲ εἰπεῖν ἦν ἀγαθόν, οὐκ ἂν ἠδοῦ καὶ ἠσχύνου οὕτως, 30
35 ἀλλὰ μετὰ παρρησίας ἔλεγες ἂν βλέπων πρὸς μὲ ἀνερυθριάστως'.

[1367 a 34] Λέγε πολλάκις τὸν ἠλίθιον σώφρονα καὶ τὸν εὐλαβῆ
δειλόν. οὕτω καὶ παρὰ τῷ Θουκυδίδῃ "τόλμα μὲν | γὰρ ἀλόγιστος 267

---

2 μὲν V: ἡδὺ c 3 ἀνδρείας c (per comp. V) 6 ἀνδρεία c (per comp. V)
8 ἄνω] p. 1366ᵃ33 9 ἐστι (post ἐπαινετόν) Vc: ἢ Arist. 10 et 13 ἀνδρεία c (per comp. V) 11 ἀνδρίαν V: ἀνδρείαν c 16 ἔναγχος] p. 1362ᵃ17
18 et 19 ἀνδρείας c (per comp. V) 24 μᾶλλον ἂν ἐβούλου με ὁρᾶν δικαίως ἢ ἀδίκως ἀποθνήσκοντα Xenoph. Apol. 28 28 ἑαυτοῦ V: ἐμαυτοῦ c 32 θέλω κτλ.] cf. Alcaei fr. 55 Bergk. 33 ἀλλ' ἐὰν κτλ.] cf. Sapph. fr. 28 Bergk. 37 παρὰ τῷ Θουκυδίδῃ] III 82

ἀνδρία φιλέταιρος ἐνομίσθη, μέλλησις δὲ προμηθὴς δειλία εὐπρεπής, τὸ δὲ 267
σῶφρον τοῦ ἀνάνδρου πρόσχημα".

[1367 b 7] Σκοπὸν δὲ καὶ παρ' οἷς· εἰ γάρ τις ἐπαινεῖ Ἀθη- 5
ναίους ἐν Ἀθηναίοις, εὐπαράδεκτα καὶ καλὰ ἔσονται τὰ λεγόμενα ὡς
5 καὶ εἰς αὐτοὺς τοὺς ἀκροατὰς διαβαίνοντα· εἰ δέ τις ἐπαινεῖ Ἀθηναῖον ἐν
Λακεδαιμονίοις καὶ εἰσὶν εὐπαράδεκτα τὰ λεγόμενα Λακεδαιμονίοις καὶ
ταῦτα ἀλλοτρίοις οὖσι καὶ ἐχθροῖς, καλὰ ἄρα ταῦτά εἰσι. σκώπτοντος δὲ
τοῦ Σωκράτους οἶμαι τοὺς Ἀθηναίους ὡς συκοφάντας ὁ λόγος· δυνάμει 10
γὰρ τοῦτο λέγει 'οὐκ ἔστι θαυμαστόν, ἐὰν ἐπαινῆτε τοὺς Ἀθηναίους, ὦ
10 Ἀθηναῖοι, ἀλλ' ἐάν τις ἐπῄνει τοὺς Ἀθηναίους παρ' ἄλλῃ πόλει καὶ ἄλλοις
ἀκροαταῖς'· τότε γὰρ ἠλέγχθησαν ἂν παρ' ἐκείνων τῶν ξένων οἱ ἐπαινοῦντες
τοὺς Ἀθηναίους ὡς ψευδόμενοι· συκοφάντας γὰρ ἐπαινοῦσι καὶ ἀπανθρώ- 15
πους καὶ σκληροὺς ἀνθρώπους καὶ μηδεμίαν πρός τινας ἀνθρώπους φιλίαν
ἔχοντας.

15 [1367 b 9] Δεῖ δὲ τὸ παρ' ἑκάστοις τίμιον καὶ ὂν καὶ εὐαπό-
δεκτον φαινόμενον λέγειν, ὅτι ἔχουσι τοῦτο οὗτοι· οἷον ἐπεὶ Λακεδαιμο-
νίοις τὸ κομᾶν ζηλωτόν, εἰπὲ 'ὑμεῖς εὐχάριτες. ὦ Λακεδαιμόνιοι, ἐστέ, 20
ἐμπρέποντες τῇ κόμῃ', ἐπεὶ Σκύθαις τὸ τοξεύειν, ἐπανατίθου τούτοις αὐτὸ
εἰπὼν ὅτι 'ὃ θαυμαστόν ἐστιν ὄντως, παρ' ὑμῖν καὶ μόνοις ὑπάρχει οὕτω
20 καλῶς τε καὶ εὐτυχῶς'.

[1367 b 11] Πᾶν μὲν καλὸν καὶ τίμιον ἀγαθόν, οὐ μὴν πᾶν ἀγαθὸν
καλόν. 25

[1367 b 19] Καὶ τὸ τοῦ Σιμωνίδου. ἔνιοι ἔφασαν ὡς τῆς Ἑκάβης
ταῦτα τὰ ἔπη

25 "ἣ πατρός τε καὶ ἀνδρὸς ἀδελφῶν τ' οὖσα τυράννων
δυσδαίμων γενόμαν πασῶν οἰκτροτάτα."

[1367 b 26] Ἔστι δὲ ἔπαινος. ἐπεὶ περὶ πανηγυρικοῦ λόγου 30
ἐνταῦθα τεχνολογεῖ, ὁ δὲ πανηγυρικὸς διαιρεῖται εἰς ἐγκώμιον | καὶ ψόγον, 268
νῦν τέλειόν τι ποιῶν διδάσκει, τί διαφέρει ἐγκώμιον, ἔπαινος, μακαρισμός, ὡς
30 δὴ καὶ ὁ ῥήτωρ ἐδίδαξεν ἡμᾶς διαφορὰν ἐγκωμίου, ὕμνου, ἐπαίνου. ἐνταῦθα
οὖν λέγει ὁ Ἀριστοτέλης, ὡς καὶ ἐν τῷ τέλει τοῦ πρώτου τῶν Ἠθικῶν
εἶπεν, ὅτι ὁ μὲν ἔπαινός ἐστι λόγος μέγεθος δεικνύων ἕξεώς τινος ἀρίστης, 5
οἷον ἀνδρίας, δικαιοσύνης· ὡς ἐὰν εἴπῃς 'δίκαιός ἐστιν ὁ Ἀριστείδης· τί
λέγω δίκαιος; δικαιότατος ὑπὲρ ἅπαντα δίκαιον'. 'ἀνδρεῖος ὁ δεῖνα,
35 μᾶλλον δὲ εἰπεῖν ἀνδρειότατος καθ' ὑπεροχὴν ἔχων τήνδε τὴν ἀρετήν'.
διὰ τοῦτο εἶπε μέγεθος· ὁ γὰρ λέγων 'ὁ δεῖνα ἀνδρεῖος' οὐκ εἶπε μέγεθος 10

---

1 ἀνδρία (per comp.) V, cf. Thuc.: ἀνδρείας c μέλλησις c Thuc.: μέλησις V
3 σκοπεῖν Arist. 6 ἐν post λεγόμενα add. c 8 Σωκράτους] cf. Plat. Menex. 235 D
11 ἠλέγχθησαν scripsi: ἠλέχθησαν V: ἐλέχθησαν c 15 τίμιον Arist. vulg. τίμιον ὂν Arist. A 16 οὗτοι V: καὶ c 23 Σιμωνίδου] cf. fr. 111 Bergk. 25 ἀδελφῶν τ' οὖσα scripsi ex Aristotele: οὖσ' ἀδελφῶν τε Vc 30 ὁ ῥήτωρ] Aphthon. Progymn. II 35,27 Sp. 31 ἐν τῷ τέλει τοῦ πρώτου τῶν Ἠθικῶν] Eth. Nic. A 12 p. 1101b10 sq.
33 ἀνδρείας c (per comp. V)

ἀρετῆς, ἀλλ' ἀρετὴν μόνον, ὁ δὲ εἰπὼν "μὰ τοὺς ἐν Μαραθῶνι προκιν- 268
δυνεύσαντας" καὶ ἀνδρείους ἐδήλωσε καὶ διὰ τὸν ὅρκον ηὔξησε σφίσι τὸν
ἔπαινον τῆς ἀνδρίας· οἷα γὰρ θεοὺς αὐτοὺς ἐπῄνεσεν· εἰς γὰρ θεοὺς
ὑμνοῦειν ἐστί. τοιοῦτον μὲν ὁ ἔπαινος. [1367 b 28] τὸ δὲ ἐγκώμιον,
ὅταν καὶ τὰς πράξεις καὶ τὰ ἀποτελέσματα τῶν πράξεων ἤγουν τὰ ἔργα 15
ἐξαίρῃς τῷ λόγῳ. τὰ δὲ κύκλῳ, φησίν, οἷον προγόνους, ἔθνος, πατρίδα,
ἀνατροφήν. παιδείαν, πίστεις ἔχε τοῦ τοιοῦτον εἶναι κάλλιστον τὸν ἐγκωμια-
ζόμενον, ὅτι καὶ ἐκ τοιούτων προγόνων ὥρμητο καὶ οὕτως ἐτράφη καὶ
ἐπαιδεύθη. ὥστε ὅρα τί ἔμαθες παραλαμβάνειν ἐγκωμιάζων ἐν τῷ βιβλίῳ τῶν 20
Προγυμνασμάτων προγόνους. πατέρας. πατρίδα. ἔθνος. ἀνατροφήν. πράξεις.
σύγκρισιν. αἱ μὲν οὖν πράξεις εἰσὶ τὸ συνεκτικώτατον αἴτιον τοῦ ἐγκωμίου,
τὰ δὲ λοιπὰ πίστεις τῶν πράξεων. ἡ δὲ αὔξησις ἤγουν ὁ ἔπαινος ἢ ἀπὸ
τῆς συγκρίσεως παραλαμβάνεται ἢ ὁ ὑπέρ τινος κοινὸς λεγόμενος τόπος·
οὕτως ὑπέγραψεν αὐτὸν καὶ ὁ ῥήτωρ εἰπὼν "κοινὸς τόπος ἐστὶ λόγος 25
αὐξητικὸς τῶν προσόντων τινὶ καλῶν".

[1367 b 31] Τὰ δ' ἔργα σημεῖα τῆς ἕξεώς εἰσιν. οὕτω γραπτέον καὶ μὴ πράξεως, ὡς παρ' ἐνίοις τῶν ἀντιγράφων φέρεται.

[1367 b 33] Μακαρισμὸς δὲ καὶ εὐδαιμονισμός, ὁ ὕμνος, ἐστὶ τῶν θεῶν. τῶν ἡρώων τῶν πᾶσαν ἀρετὴν συλλαβόντων. 30

[1368 a 7] Ὥσθ' ὅταν ἐπαινέσαι βούλῃ, ἤτοι ὅρα τί ἂν συμβουλεύσῃς τῷ νῦν προκειμένῳ εἰς ἔπαινον. εἰ ἔλθοι καιρός, ὥστε αὐτῷ ταῦτα ἢ ἄλλῳ συμβουλεύσασθαι τὰ τοιαῦτα· καὶ | ὅταν μέλλῃς τινὶ συμ- 269
βουλεύσασθαι καὶ συμβουλεύῃς, ὅρα πῶς ἂν αὐτὸν εἰς ταῦτα καὶ διὰ ταῦτα ἐπῄνεσας, εἰς ἃ νῦν αὐτὸν προτρεπόμενος συμβουλεύσεις.

[1368 a 8] Ἡ λέξις, φησίν, ἔστω ἀντικειμένη, ἐκεῖ μὲν κωλύουσα 5
καὶ ἀποτρεπομένη τὸ πρᾶγμα, ἐνταῦθα δὲ οὐ κωλύουσα· ἐκεῖ μὲν γὰρ λέγεις "οὐ μοιχεύσεις, οὐ κλέψεις", ἐκεῖ δὲ 'οὐκ ἐμοίχευσεν, οὐκ ἔκλεψεν' ἢ 'οὐ μοιχεύει, οὐ κλέπτει'. εἶπεν ὅτι [1367 b 37] μετατεθέντα τῇ λέξει καὶ πάλιν εἶπε [1368 a 3] μετατιθέναι δεῖ, εἶτ' εἶπε καὶ στρέ-
φειν, εἶτ' ἐπὶ τούτοις εἶπεν ἡ δὲ λέξις ἀντικειμένη ἔσται ἐξ ἀνάγ- 10
κης. μετάθεσιν οὖν καὶ στροφὴν οἶμαι λέγεις, ὅτε οὕτως εἴπῃς 'οὐ δεῖ σε μέγα φρονεῖν ἐπὶ τῷ πλούτῳ' συμβουλεύων. καὶ αὖθις ἐπαινῶν οὕτω μεταθήσεις τὸ οὐ λέγων 'μέγα φρονῶν Ἀλκιβιάδης οὐκ ἐπὶ τῷ πλούτῳ'. ἀντικειμένη δὲ ἡ λέξις τότε σοι νοεῖται, ὅταν ὧδε μὲν κωλύῃς

---

1 μὰ τοὺς κτλ.] Demosth. 18,208 3 ἀνδρείας c (per comp. V) 10 τοῦ ἀφθονίου post προγυμνασμάτων add. c ex cod. Paris. gr. 1951 (praeter necessitatem, cf. p. 281,30) πατρίδα scripsi ex Aphthon. II 36,10 Sp.: πατρίδας Vc 14 ὁ ῥήτωρ] Aphthon. Progymn. II 32,20 Sp. κοινός ἐστι τόπος αὐξητικὸς τῶν προσηκόντων τινὶ καλῶν ἢ κακῶν (καλῶν ἢ in quibusdam codicibus desunt) 16 πράξεως Arist. C: ἕξεως Arist. cet. εἰσὶν Arist. vulg.: ἐστιν Arist. A 20 ἐπαινεῖν Arist. 21 τῷ νῦν προκειμένῳ V: τῶν νῦν προκειμένων c 25 ἡ δὲ Arist. ἔστω V: ἔσται c Arist. (cf. infra v. 30) 27 οὐ μοιχεύσεις, οὐ κλέψεις] Septuag. Exod. 20,14. 15. 29 δεῖ Vc Arist. AC: om. Arist. cet. εἶτ' scripsi: ἤτ' V: ἤτοι c 30 ἔσται ἀντικειμένη Arist. 31 ὅτε Vc: fort. ὅταν 33 μεταθέσεις c οὐ V: ὂν c

τὴν πρᾶξιν, ἐκεῖ δὲ οὐ κωλύεις. τὸ δὲ κωλύειν καὶ οὐ κωλύειν τόδε 269
ἀντίθεσις. 16

[1368 a 12] Καὶ τὰ ἐκ τῶν χρόνων καὶ τῶν καιρῶν, πῶς
ταῦτα ἄλλα καὶ ἄλλα καὶ οὐχὶ τὰ αὐτά εἰσιν ἐνθυμήματα. ἢ τῶν καιρῶν
5 μὲν εἰπὲ ὡς 'ἐν καιρῷ πολέμου, λιμοῦ, χειμῶνος, θερινοῦ καύματος ὁ 20
δεῖνα ἠνδρίσατο μὴ φεισάμενος ἑαυτοῦ', τῶν δὲ χρόνων εἰπὲ 'καὶ τότε
ὁ δεῖνα ἠνδρίσατο ἐν τοιούτοις καιροῖς νέος ὤν, παιδίον ιε' ἐνιαυτῶν'.

[1368 a 19] Κἂν μὴ καθ' αὑτὸν εὐπορῇς ἤτοι κἂν ὁ ἐπαινούμενος οὐδὲν ἀγαθὸν πώποτε ἔπραξεν οὐδ' ἐπιχειρημάτων ἀφορμάς σοι
10 ἐπιχορηγῇ, πρὸς ἄλλους αὐτὸν ἀντιπαράβαλλε λέγων ὅτι 'τῶν ἄλλων πάντων 25
φυγόντων τῶν ἐν τῷ πολέμῳ οὗτος μόνος οὐκ ἔφυγε'. τὸ δὲ ἀντιπαραβάλλειν καὶ ὁ Ἰσοκράτης ἐποίει, ἡνίκα ὑπερηγόρει τινὸς ἐν δικαστηρίῳ· ἀδέξιος γὰρ ὢν δικάζεσθαι οὗτος ὁ πανηγυρικώτατος ἄνθρωπος, ὅτε ὑπερεμάχει τινός, παρέβαλλε τοῦτον τὸν αὐτῷ προσφυγόντα ἢ μετὰ τοῦ ἀντι-
15 δίκου αὐτοῦ ἢ καὶ μετ' ἄλλων τινῶν. 30

[1368 a 26] Ὅλως δὲ τῶν κοινῶν εἰδῶν ἅπασι. κοινὰ εἴδη |
μὴ νοήσῃς τὰ τρία τῆς ῥητορικῆς εἴδη, ὡς ἔνιοι εἶπον, ἀλλὰ γνῶθι, ὅτι 270
εἰσί τινα πᾶσι τοῖς ῥητορικοῖς λόγοις κοινὰ καὶ χρήσιμα ἤγουν δικανικοῖς, συμβουλευτικοῖς, πανηγυρικοῖς. ποῖα ταῦτα τὰ κοινά; [τὸ ἐνθύμημα, τὸ
20 παράδειγμα, ἡ αὔξησις, οἱ ἀπὸ τοῦ μᾶλλον τόποι καί τινα τοιαῦτα· ἔστι 5
γὰρ ἐν πανηγυρικῷ λόγῳ χρήσασθαί σε καὶ παραδείγμασι καὶ ἐνθυμήμασι καὶ τῇ αὐξήσει, ἔστι τοῖς τοιούτοις χρήσασθαί σε καὶ ἐν δικανικῷ λόγῳ καὶ συμβουλευτικῷ· ἀλλὰ νῦν φησιν, ὅτι πλεονάζει ἕκαστον ἐν τῷ οἰκείῳ, οἷον ἐν μὲν τῇ ἐπιδείξει καὶ τῷ πανηγυρικῷ λόγῳ μᾶλλον ἡ αὔξησις 10
25 χρήσιμος παρ' ὃ ἐν τοῖς ἄλλοις εἴδεσι. πῶς δὲ ἡ αὔξησις χρήσιμος; ὅτιπερ τὰς πράξεις ἐγκωμιάζεις τοῦ ἐπαινουμένου, αἱ δὲ ἀληθεῖς εἰσι πάντως κατεργασθεῖσαι παρὰ τοῦ ἐγκωμιαζομένου, λοιπόν, κἄν τε θέλῃ, κἄν τε μὴ θέλῃ ὁ ἐγκωμιάζων, αἱ πράξεις εἰσίν, οἷαι εἰσὶ καὶ οἷαι ἐγένοντο. ἁρμόζει οὖν τῷ πανηγυρίζοντι μὴ οἷαι εἰσὶ ταύτας εἰπεῖν, ἀλλ' 15
30 αὐξῆσαι αὐτὰς καὶ λαμπρῦναι, ὡς ὁ μέγας Θεολόγος ἐν τῷ Ἐπιταφίῳ μεγαλύνει· "τίς εἶδε; τίς ἤκουσε τοιοῦτον θήραμα; ἔλαφοι τῶν λόφων ποθὲν ὑπερφανέντες" καὶ τὰ ἑξῆς.

10. [1369 b 16] Ἔστι δὲ καὶ τὸ σύνηθες καὶ τὸ ἐθιστὸν ἐν τοῖς ἡδέσι. σύνηθες λέγεται τὸ ἀποπερατωθὲν καὶ φθάσαν τὸ τέλος, 20
35 ἐθιστὸν δὲ τὸ ἔτι ἐθιζόμενον καὶ οὔπω φθάσαν, ὥστε εἶναι καὶ λέγεσθαι σύνηθες.

11. [1371 a 25] Καὶ τὸ μεταβάλλειν ἡδύ· εἰς φύσιν γάρ. τὸ προσκορὲς ἀεὶ φορτικόν ἐστι καὶ οὐ φίλιον τῇ φύσει, οἷον τὸ ἐσθίειν ἀεὶ 25
κρέα ἀλεκτορίδων προσκορὲς γεγονὸς ἀνόρεκτόν ἐστι τῷ ἐσθίοντι καὶ ὁ

---

1 κωλύῃς (post οὐ) cod. Paris. gr. 1951 3 τὰ Vc: 'τὸ vel τὰ' (sic Roemer) Arist. A: τὸ Arist. vulg. 6 μὴ φεισάμενος—ἠνδρίσατο (7) om. c 9 οὐδ' V: οὐδὲ c
14 παρέβαλε c 16 ἃ πᾶσι V 17 τὰ om. c 20 τόποι scripsi: τόπου Vc
29 ἁρμόζι V: ἁρμόζουσιν c

ἐσθίων αὐτὰ οὐδὲ δοκεῖ ἐσθίειν· ἄφιλον γὰρ βρῶσιν ἡ φύσις εἰς ἀναπλή- 270
ρωσιν τοῦ σώματος οὐ προσίεται· διὸ μεταβληθήτω ἡ τροφή, ἵνα τὸ
πρόσαρμα δέξηται ἡ φύσις καὶ τραφῇ τὸ σῶμα. ἡδὺ οὖν, φησίν, ἡ μετα-
βολὴ τοῦ βρώματος· εἰς γὰρ φύσιν ἤγουν εἰς τὴν κατὰ φύσιν πλήρωσιν 30
5 τοῦ σώματος ὁρᾷ· τὸ γὰρ αὐτὸ ὀρνίθειον κρέας ἀεὶ προσλαμβανόμενον
κόρον καὶ ὑπερβολὴν ποιεῖ καὶ διὰ τοῦτο κακίαν τῆς καθεστηκυίας ἕξεως. 271

[1371 b 10] Καὶ αἱ περιπέτειαι ἡδύ. περιπέτειαί εἰσιν αἱ ἀνω-
μαλίαι τῆς τύχης· γέγονέ τις ἰδιώτης καὶ ταπεινὸς βασιλεὺς ἢ στρατηγὸς 5
ἢ πλούσιος, εἶτα ἐκεῖθεν αὖθις ἐξεβλήθη τῆς βασιλείας, καθηρέθη τῆς
10 ἀρχῆς, ἐν πενίᾳ διόλωλε. περιπέτειά ἐστι καὶ τὸ ἀνελπίστως συμβάν,
ὥσπερ ὁ μάρτυς Εὐστάθιος ὁ πολύαθλος θαυμασίως εὗρε παῖδάς τε καὶ
γυναῖκα.

12. [1372 a 10] Τὸ δυνατὸν καὶ ἀδύνατον κοινά ἐστι τοῖς τρισὶν
εἴδεσι τῆς ῥητορικῆς· ὃν γὰρ ἐπαινεῖ ὁ πανηγυρικὸς ῥήτωρ. δείκνυσι δύναμιν 10
15 ἔχοντα ποιῆσαι τόδε κατόρθωμα καὶ ποιήσαντα, ὅντινα δ' αὖθις ψέγει,
δείκνυσι δύναμιν ἔχοντα τόδε ποιῆσαι ὑπὲρ τῆς πόλεως καὶ μὴ ποιήσαντα
ἢ ὡς ἀδυνάτοις ἐπιχειρήσαντα καὶ ἐντεῦθεν τὴν πόλιν βλάψαντα.

[1372 a 32] Ἀδικοῦσι καὶ οἷς κρύψις ἐστὶν ἢ τρόπος, ὡς ὁ 15
Σίσυφος ἐκεῖνος ἐποίει περὶ τὰ σύσσημα τῶν ζῴων βλέπων αὐτὰ καὶ μετα-
20 σχηματίζων· καὶ ἴδε τὴν ἱστορίαν ἀπὸ τοῦ Ὁμήρου.

[1372 a 33] Καὶ εἰ εἰσὶν ἰδίᾳ που θέσεις εὔποροι, ἤγουν εἰ εἶεν
λαβύρινθοί τινες καὶ κρύψεις ἐν αὐτοῖς τὰ φώρια. γράφεται καὶ διαθέ-
σεις εὔποροι ἤτοι μηχαναὶ εὐφυεῖς καὶ πλούσιαι καὶ ποικίλαι τρόπων. 20

[1372 b 8] Ἐναντίοι τοῖς ἤθεσιν εἰσὶν οἱ διὰ χρήματα ὀνείδη καὶ
25 ἀτιμίας ὑφιστάμενοι καὶ οἱ ὑπὲρ γονέων καὶ φίλων ἑαυτοὺς κινδύνοις
διδόντες καὶ διὰ τὴν ἐπ' ἐκείνοις ἀγάπην καὶ αἰκιζόμενοι καὶ ζημιούμενοι 25
καὶ ἐξοριζόμενοι· ἐκεῖνοι μὲν γὰρ φαύλου ἤθους εἰσὶ καὶ μικρόψυχοι, οὗτοι
δὲ σπουδαίου τε ἤθους καὶ μεγαλόψυχοι.

[1372 b 28] Ἀδικοῦσι καὶ τοὺς μὴ εὐλαβεῖς ἤγουν τοὺς μὴ φο-
30 βουμένους ἢ μὴ προσέχοντας, ὥστε μὴ ἀπολεσθῆναι τὰ πράγματα αὐτῶν. 30
ἀλλὰ καταπιστεύοντας παντὶ ἀνθρώπῳ εἰσέρχεσθαι εἰς τὴν οἰκίαν αὐτῶν,
ὅπου βιβλία ἢ εἰκόνες ἢ νομίσματα κεῖνται. οὕτως ἐγώ ποτε ἀπώλεσα
βιβλίον μου, τὸν Φιλόστρατον τὸν νῦν ἐν Ἐφέσῳ, κοντάκιόν μου εἰς τὴν
γεωμετρίαν καὶ εἰς ἄλλ' ἄττα, καταπιστευόμενος μαθηταῖς καὶ φίλοις.
35 ῥᾴδιον γάρ ἐστι λαθεῖν τοὺς τοιούτους πάντας τοὺς ἀφυλάκτους. |

[1372 b 37] Καὶ πρὸς οὓς ἔχουσι πρόφασιν. ἀδικοῦσι καὶ 272
ἐκείνους, εἰς οὓς ἔχουσι πρόφασιν, λέγοντες ὅτι ἀπὸ τῶν προγόνων ὑμῶν

---

9 utrum V praebeat καθηρέθη an καθηρήθη, dubium est 18 τρόπος Vc Arist. vulg.: τρόποις Arist. A 19 σύσσημα V: σίσσημα c 20 Homerus id non narrat 21 ἰδίᾳ—θέσεις Vc: διαθέσεις Arist. A: διάθεσις Arist. vulg. et A marg. man. 2 εὔποροι Arist. A: εὔπορος Arist. vulg. 22 φρούρια c 27 ἐκεῖνοι c: ἐκεῖνα V 34 εἰς om. c ἄλλαττα V 35 ῥᾴδιον—ἀφυλάκτους om. c γὰρ πάντας λαθεῖν Arist.

ἢ ὑφ' ὑμῶν ἢ ὑπὸ συμμάχων καὶ φίλων ὑμῶν ἐζημιώμεθα ἢ ἐμέλλησαν 272
καὶ ἐφρόντισαν οἱ ὑμέτεροι βλάψαι ἡμᾶς ποτε, κἂν οὐκ ἠδυνήθησαν'. 5

[1373 a 7] Καὶ οἷς μὴ λυσιτελεῖ. ἀδικοῦσι ξένους, Αἰγυπτίους φέρε εἰπεῖν ἢ Κορινθίους, οἳ οὐ δύνανται ἐπιμεῖναι τῇ Κωνσταντίνου καὶ
5 ἐπιτηρῆσαι δίκαια κατὰ τοῦ ἀδικήσαντος καὶ ζητῆσαι ἀπ' αὐτοῦ ποινὰς καὶ ἐκτίσεις ὑπὲρ ὧν ἠδικήθησαν, διότι πολλάκις καὶ μέχρι δύο ἐνιαυτῶν 10
οὐ τελειωθήσεται τὰ δικαστήρια αὐτῶν· καὶ τί ἂν ποιήσωσι ξένοι ὄντες; ἀλλὰ καὶ οἱ γεωργοὶ συντόμως συμβιβάζονται· οὐδὲ γὰρ δύνανται καθ' ἡμέραν παρίστασθαι τῷ δικαστηρίῳ καὶ ἕλκειν τὸν ἀδικήσαντα· τίς γὰρ
10 αὐτοῖς τὴν ἄμπελον ἢ τὰ λήια ἐργάζοιτο καὶ φυλάττοι ἕτερος;

[1371 a 21] Καὶ τοὺς ὑπ' ἄλλων μέλλοντας, ἂν μὴ αὐτοί. 15
ἀδικοῦσι καὶ τοὺς Βενετικοὺς τοὺς ὑπὸ τοῦ Σικελοῦ μέλλοντας ἀδικηθῆναι Ῥωμαῖοι· ἂν γὰρ μὴ οἱ Ῥωμαῖοι αὐτοὺς ἀνδραποδίσωνται. προφθάσας ὁ Σικελὸς λῃζεται τούτους.

15 [1373 a 21] Ὡς οὐκέτι ἐνδεχόμενον βουλεύσασθαι. τὸ ἐνδεχόμενον ἀντὶ γενικῆς κατὰ Ἀττικὸν ἀρχαϊσμὸν ἐξενήνεκται ἀντὶ τοῦ ἐνδε- 20
χομένου.

[1373 a 23] Τὰ δὲ κοττάβια οἱ μέν φασιν, ὡς ἐν τῇ Σούδα εὕρηται. τύμπανα ἢ σκυλάκια ἢ ἐκπώματα ἢ κωμῴδρια οὕτω λεγόμενα. "κότταβος
20 γάρ ἐστι", φασίν, "ἢ λάταξ χαλκῆ φιάλη, ἣν μεταξὺ τοῦ οἴνου ἐτίθεσαν οἴνου πεπληρωμένην, εἶτα εἰς μικρὰ ποτήρια ἐμβαλόντες ἀπὸ ὕψους ἐρρί- 25
πτουν ἐπὶ τῷ ψόφον ἀποτελέσαι, ὃς ἐκαλεῖτο κότταβος· ἐπηνεῖτο δὲ ὁ μείζονα ψόφον ποιῶν καὶ μεθυσοκότταβοι ἐλέγοντο οἱ τοῦτο ἐργαζόμενοι." "κοτταβίζει ἤτοι ποτήριον ἀναρριπτεῖ, ὃ ἐποίουν οἰνιζόμενοι." "κοτταβίζειν· παίζειν εἰς χαλκᾶς φιάλας." καὶ φησὶν ὁ κωμικὸς
25 'συνεπίνομέν τε ἀλλήλοις καὶ συνεκοτταβίζομεν'. | 30
ὥσπερ ὁ Αἰνεσίδημος Γέλωνι τῷ Συρρακουσίων τυράννῳ ἔπεμψε 273
σκυλάκια Μολοττικὰ λεγόμενα θηροκτόνα ἀνδραποδισαμένῳ τὴν Γέλαν. οὐ μὴν αὐτὴν κατασχόντι. ἔπεμψε ταῦτα ὡς χάρισμα, ὅτι ἔφθασεν
30 ἤτοι προέλαβε τὸν Γέλωνα καὶ κατέσχε τὴν Γέλαν, ὡς καὶ αὐτὸς 5
μέλλων ἤτοι ὁ Γέλων, εἰ ἠδυνήθη. τινὲς δὲ τὸ ἀνάπαλιν εἶπον ἐπὶ Αἰνεσιδήμου καὶ Γέλωνος. τὸ δ' ἀληθέστατον τῆς ἱστορίας γραφήσεται κάτω ἐν τῷ τέλει τοῦ λόγου. ὁ Αἰνεσίδημος εἰδώς, ὅτι μέλλει αὐτῷ ὁ Γέλων διὰ τὰ κοττάβια ἀδικεῖν, ἔφθασεν αὐτῷ ταῦτα προπέμψαι.

---

1 ἐμέλλησαν scripsi, cf. Arist.: ἐμέλησαν Vc 12 σικελοῦ, post λ II litterae erasae, V (σικελικοῦ cod. Paris. gr. 1951) 14 λῃΐσεται c 18 σούδα V: σουΐδα c 19 τύμπανα—λεγόμενα apud Suidam non leguntur σαυλάκια c 19 sq. apud Suidam hoc ordine leguntur: Κοτταβίζει· οἶνον ποτηρίῳ ἀναρριπτεῖ, ὃ ἐποίουν οἱ (οἱ om. Suidae codex V) οἰνιζόμενοι (οἰωνιζόμενοι V). — Κοτταβίζειν· παίζειν. εἰς χαλκᾶς δὲ φιάλας, αἳ ἐκαλοῦντο λαταγεῖα, ἀνερρίπτουν ἐμβάλλοντές τι πόμα κτλ.—Κότταβος· λάταξ· χαλκῆ φιάλη, ἣν μεταξὺ κτλ. 20 οἴνου V: δείπνου c ex Suida 21 ἐμβάλλοντες Suid. 23 ἐλέγοντο om. Suid. 25 ὁ κωμικὸς] anon. fr. 74. IV 623 Meineke (om. Kock) 26 ἀλλήλοις om. Etym. Magn. 533,14 28 et 30 γέλαν c: γέλλαν V 31 γέλων, ante λ littera erasa, V 33 κάτω] p. 296,7 αὐτῷ mihi suspectum

13. [1374 a 1] Ἐπίγραμμα λέγεται ἡ ἐπιτίτλωσις ἤγουν ἡ αἰτία- 273
σις καὶ ἡ κατηγορία. διὸ καὶ ὁ Πιλάτος, φασίν, ἔθηκε τὴν αἰτίαν αὐτοῦ 12
γεγραμμένην ἤγουν τὸ ἐπίγραμμα.

[1374 a 2] Πολλάκις ὁμολογοῦμεν λαβεῖν τὰ βιβλία σου, ἀρνούμεθα
5 δὲ τὴν αἰτίασιν, ἣν καθ' ἡμῶν ἐνάγεις λέγων, ὅτι ταῦτα ἐκλέψαμεν· 15
λέγομεν οὖν 'τὰ βιβλία σου ἀνελαβόμην οὐχ ὡς κλέψας, ὡς σὺ λέγεις,
ἀλλ' ὡς ἐνέχυρα, ἐφ' οἷς σε ἐδάνεισα'. ἢ πολλάκις τὴν μὲν αἰτίασιν κατα-
δέχομαι. τὸ δὲ ποσὸν ἀρνοῦμαι, ὃ λέγεις· οἷον λέγω οὕτως 'ἀληθῶς ὑφή-
ρηκα νομίσματά σου. ἀλλὰ τρεῖς λίτρας μόνας, οὐ μὴν ὅσας σὺ λέγεις',
10 τὰς ἓξ δηλαδή. [1374 a 3] 'συγγενέσθαι τῇ Ξανθίππῃ ταύτῃ ὁμο- 20
λογῶ, ἀλλὰ νόμῳ πορνείας, οὐ μὴν μοιχείας· ἀπολελυμένην γὰρ αὐτὴν
ὑπελάμβανον καὶ ἠγνόουν ἄνδρα ἔχειν τὸν Σωκράτην.'

14. [1374 b 24] Ἀδίκημα μεῖζόν ἐστι τὸ ἀπὸ μείζονος ἀδι-
κίας· ὁ γὰρ τρεῖς ὀβολοὺς κλέψας ἀπὸ τοῦ ἱεροῦ τί ἂν οὐκ ἐποίησε
15 κακὸν οὗτος μέγα, εἰ ἠδύνατο; μέγα δὲ δικαίωμα ἐκ τοῦ ἐναντίου πάλιν 25
ἐστὶ τὸ ἀπὸ μείζονος δικαιοσύνης· ἐναντίον γὰρ δικαιοσύνῃ ἀδικία· οἷον ἡ
χήρα ἡ δοῦσα τῇ γάζῃ τρεῖς ὀβολοὺς ἢ τὰ δύο λεπτὰ μείζονα δικαιοσύνην
ἐποίησεν· εἰ γὰρ δύο λεπτὰ ἔχουσα ταῦτα ἔδωκε τῷ θεῷ, πόσα ἂν καὶ
ποῖα ἀναθήματα προσέφερεν, εἰ πολύολβος ἡ τοιαύτη ἦν καὶ βαθύ- 30
20 πλουτος;

[1374 b 27] Ἔστι δὲ ταῦτα ἐκ τοῦ ὑπερέχειν τῇ δυνάμει· |
εἰ γὰρ τὸ τριωβόλιον μικρόν ἐστι κατὰ τὴν περιγραφὴν καὶ τὸ ὁποκεί- 274
μενον, ἀλλά γε τῇ δυνάμει τῆς φαύλης προαιρέσεως ὑπέρκειται· καὶ εἰ τὰ
δύο λεπτὰ τῆς ἱερᾶς χήρας μικρά εἰσι τῷ σταθμῷ, ἀλλ' ὑπερβάλλει τῇ
25 ἀγαθῇ προαιρέσει καὶ τῇ δυνάμει τῆς ἀρετῆς. 5

[1375 a 1] Ἢ οὐ ὁ παθὼν ἐτίμησεν ἑαυτόν. τὸ ἐτίμησεν ἀντὶ
τοῦ ἀπετιμήσατο νόει.

[1375 a 15] Καὶ ὁ περὶ τὰ ἄγραφα δίκαιος πολλῷ μᾶλλον περὶ
τὰ ἔγγραφα· ὁ γὰρ περὶ τὰ ἔθη, οἷς οὐκ ἔστι νόμος, φυλάττων μὴ παρα- 10
30 βαίνειν τὰ δίκαια τὰ ἔθιμα πολλῷ μᾶλλον ἔσται δίκαιος περὶ τοὺς ἀναγ-
καστικοὺς νόμους, οὓς οὐ δεῖ τὸν φρονοῦντα παραβαίνειν· ἀμείνονος γὰρ
(ἢ ἀνθρώπου ἢ ἔθνους ἀκουστέον) τὸ μὴ δι' ἀνάγκην δίκαιον εἶναι, ὃ
περὶ τοὺς νόμους ἐστίν, ἀλλὰ παρὰ τῇ ἑαυτοῦ ἐξουσίᾳ κεῖσθαι καὶ τῇ
προαιρέσει ἀγαθὸν καὶ δίκαιον εἶναι, ὃ περὶ τὰ ἔθη φαίνεται. 15

---

2 φασὶν V: φησὶν c (Evang. Ioann. 19,19; cf. Evang. Matth. 27,37. Marc. 15,26. Luc. 23,38) 7 σοι cod. Paris. gr. 1951 9 νομίσματα V: παρά c 13 ἀδίκημα δὲ μεῖζον, ὅσῳ ἂν ἀπὸ μείζονος ἢ ἀδικίας Arist. A: ἀδικήματα δὲ μείζονα, ὅσα ἂν ἀπὸ μείζονος ἢ ἀδικίας Arist. vulg. 16 δικαιοσύνη ἀδικία V 16. 17 ἡ χήρα κτλ.] cf. Evang. Marc. 12,42. Luc. 21,2 19 ἡ τοιαύτη ἦν V: ἦν ἡ τοιαύτη c 21 ὑπερέχειν Vc Arist. vulg.: ἐνυπάρχειν, superscr. man. alt. ὑπερέχειν, Arist. A 22 τριωβόλιον, ὁ casu ut videtur a latere recto damnum fecit, V: τριωβέλιον c 26 ἢ οὐ ὁ παθὼν ἐτίμησεν ἑαυτόν Vc Arist. vulg.: ἢ ὁ παθὼν ἑαυτῷ ἐτίμησεν Arist. A 28 περὶ (post ὁ) V Arist. AQYᵇZᵇ Tr.: πρὸς c: παρὰ Arist. cet. 29 ἔστιν c 32 ἔθνους scripsi: ἔθους Vc

[1375 a 17] Ἄλλον δὲ τρόπον, εἰ παρὰ τὰ γεγραμμένα. ἀνώ- 274
τερον μὲν ἔδειξε μᾶλλον δίκαιον εἶναι τὸν τὰ ἔθη φυλάττοντα· πολλῷ γὰρ
μᾶλλον οὗτος φυλάξει τὰ τοῦ νόμου· νῦν ὧδε τοὐναντίον ἀπὸ τοῦ ἀδικεῖν
ἐπιχειρεῖ· εἰ γὰρ περὶ τοὺς νόμους ἀδικεῖ μὴ φοβούμενος αὐτοὺς διὰ τὰ 20
5 ἐπικείμενα ἐπιτίμια, πολλῷ μᾶλλον ἀδικήσει οὗτος περὶ τὰ ἄγραφα, οἷς
οὐ κεῖνται ἐπιτίμια καὶ ποιναί.

15. [1375 a 27] Ἐὰν μὲν ἐναντίος ᾖ τῷ πράγματι ἤγουν τῇ
ὑποθέσει σου ὁ γεγραμμένος νόμος, ὃν ὁ ἀντίδικος προβάλλεται κατὰ σοῦ, 25
κάκιζε καὶ ἀναίρει αὐτὸν ἐπιχειρῶν ὅτι 'ὁ φυσικὸς νόμος κρείττων ἐστὶ
10 καὶ διὰ τοῦ φυσικοῦ νόμου θέλω δικασθῆναι'· οἷον ἐδάνεισάς τινι ἑκατὸν
νομίσματα, διῆλθε τριακονταετία, ζητεῖς αὐτὸν τὰ νομίσματά σου, ὁ δὲ
χρώμενος τῷ νόμῳ τῷ γεγραμμένῳ περὶ οὐσουκαπτίωνος παραγράφεταί σε
λέγων 'διῆλθεν ἡ τριακονταετία· καὶ ἐὰν καὶ ἀληθῶς ἐχρεώστουν σοι, οὐ 30
δώσω σοί τι'· εἰπὲ οὖν σὺ 'ἀλλ' ἀπὸ τοῦ φυσικοῦ νόμου ἔνοχος εἶ δοῦναί
15 μοι τὸ χρέος· δι' οὗ φυσικοῦ νόμου θέλω δικάζεσθαι', | καὶ πολλὰ ἂν 275
εἴποις ἐπιχειρῶν πρὸς τὴν τοῦ γεγραμμένου νόμου ἀναίρεσιν πρῶτον μέν,
ὅτι ὁ φυσικὸς νόμος κοινὸς Ἕλλησι καὶ βαρβάροις, δεύτερον, ὅτι, εἰ τοῖς
ἐπιεικέσι πιστεύομεν, διαπίπτει ὁ γραπτὸς νόμος, τρίτον, ὅτι προτροπὴ
κοινή ἐστιν, ὅτι δεῖ τὸν δικαστὴν γνώμῃ τῇ ἀρίστῃ χρώμενον δικάζειν· 5
20 ἐπεὶ οὖν ὀφείλει ὁ δικάζων γνώμῃ τῇ ἀρίστῃ δικάζειν, λοιπὸν ὀφείλει, ὃ
νοήσει δίκαιον, ἐκεῖνο προτιθέναι· ἀναιρήσει ἄρα οὗτος τὸν νόμον φορτι-
κὸν ὄντα καὶ ἄδικον· εἰ γὰρ μὴ τοῦτ' ἔμελλε ποιεῖν ὁ δικαστὴς ποτέ,
οὕτως ἂν ἦν ἡ κοινὴ προτροπή, ὅτι δεῖ τὸν δικαστὴν κατὰ τοὺς κειμέ- 10
νους ἐγγράφους νόμους ἀεὶ δικάζειν καὶ μηδέποτε παραβαίνειν αὐτούς.
25 διαπίπτει ἄρα καὶ οὕτως ὁ γραπτὸς νόμος καὶ ἐκ τῶν εἰκότων δικάσει ὁ
δικαστὴς ποτὲ τὸν νόμον παρακρουσάμενος.

[1375 b 11] Καὶ εἰ ἀμφίβολός ἐστι νόμος, ὥστε στρέφεσθαι εἰς 15
τὸ νοεῖσθαι καὶ κατὰ τοῦ Ἀλκιβιάδου οὕτως καὶ ὑπὲρ τοῦ Ἀλκιβιάδου
ἄλλως καὶ ὁρᾶν, εἰς ποίαν διαγωγὴν δικαιοτέρως νοεῖται ἢ συμφερόν-
30 τως, εἶτα τούτῳ χρᾶσθαι καὶ τοῦτον προβάλλεσθαι. ῥιπτέσθω καὶ
οὗτος ὁ νόμος διὰ τὸ ἀμφίβολον· βλάπτει γὰρ ἐνίους κακῶς ἐκλαμβανό-
μενος, οἷός ἐστιν οὗτος ὁ νόμος ἀμφίβολος 'δεῖ τὸν ξένον εὖ ποιεῖν τὴν 20
πόλιν'· διχῶς γὰρ νοεῖται καὶ χρήσαιο τούτῳ καὶ ὑπὲρ τοῦ ξένου καὶ
κατὰ τοῦ ξένου. καὶ αὖθις καὶ οὗτος ὁ νόμος 'ἑταίρα χρυσία εἰ φοροίη,
35 δημόσια ἔστω' ἢ 'δημοσία ἔστω'.

[1375 b 16] Ἐὰν δὲ ὁ γεγραμμένος. ἔμαθες ὅτι, ἐάν σε βλάπτῃ 25
ὁ γεγραμμένος νόμος εἰς τὸ πρᾶγμά σου ἤτοι εἰς τὴν ὑπόθεσίν σου,
σπεῦδε αὐτὸν ἀναιρεῖν, αἷς ἔγνως ἐπιχειρήσεσιν· ἐὰν δὲ τὸ ἀνάπαλιν

---

7. 8 ᾖ ὁ γεγραμμένος τῷ πράγματι Arist. 8 ὁ (post ὄν) om. c 10 ἐδάνεισεν c 11 νομίσματα (ante σου) V: παρά c δὲ V: γὲ c 12 οὐσουκαπτίονος Vc 13 καὶ (post ἐὰν) om. c 18 ἐπιεικέσιν Vc Arist. vulg.: ἐπιεικεστέροις Arist. A 20 ὀφείλειν (post λοιπὸν) c 21 αὗτος c 29 διαγωγὴν Vc: ἀγωγὴν Arist. 30 χρᾶσθαι V: χρῆσθαι c Arist. ῥιπτέσθω c ex cod. Paris. gr. 1951: ῥιπτέτω V 38 αὐτὴν c

ὠφελῇ σε μᾶλλον ὁ γεγραμμένος. βλάπτῃ δὲ τὸν ἀντίδικόν σου καὶ ὁρμᾷ 275
ἐκεῖνος κατασεῖσαι τὸν νόμον, σὺ μᾶλλον ἐπιστήριζε τὸν νόμον δι' ἐπιχει-
ρήσεών τινων· καὶ ἐὰν προβάληται ὁ ἀντίδικός σου εἰς τὴν ἀναίρεσιν τοῦ 30
νόμου τὴν κοινὴν προτροπήν, ἥτις ἐστίν, ὅτι δεῖ τὸν δικαστὴν γνώμῃ τῇ
5 ἀρίστῃ | χρώμενον δικανίζειν. ὥσπερ δὴ καὶ σὺ προεβάλου πρὸ μικροῦ 276
εἰς τὴν τοῦ νόμου ἀναίρεσιν, ἀντίστηθι γενναίως εἰπὼν πρὸς τὸν ἀντίδικον
'οὐ νοεῖς, ὡς ἔχει ἡ προτροπή, οὐδὲ συνίης. τί βούλεται τὸ γνώμῃ τῇ
ἀρίστῃ· οὐδὲ γὰρ τοῦτο προτρέπεται ἡ προτροπή, ὅτι, ὦ δικαστά, ἐνίοτε 5
καὶ παρὰ τὸν γεγραμμένον νόμον δίκαζε, ἀλλὰ τοῦτο δηλοῖ, ὅτι, ὦ δικα-
10 στά, πολλάκις ἀγνοεῖς τὸ τί λέγει ὁ νόμος περὶ ταύτης ἢ ταύτης τῆς
ὑποθέσεως. μὴ οὖν ἀμαθῶς δίκαζε θαρρῶν εἰς τὸ ἀξίωμά σου καὶ αἴρων
τὴν ὀφρῦν καὶ δικάζων, ὡς θέλεις· μὴ τοῦτο ποίει. ἀλλὰ γνώμῃ τῇ 10
ὀρθῇ χρώμενος δίκαζε ἤγουν, ἐὰν ἀγνοῇς τὸν νόμον, ψηλάφα τὰς βίβλους
τῶν νόμων. τὸν ἔγγραφον νόμον ἀνέλιττε καὶ τοῦτον εὑρὼν κατ' ἐκεῖνον
15 δίκαζε καὶ οὐκ ἂν ἐπιορκήσῃς, εἰ λέγεις, ὅτι μὰ τοὺς θεοὺς δίκαια ἐδίκασα
ὑμῖν, ὦ οὗτοι. εἰ μὲν οὖν ἀναγνοὺς τὸν νόμον δικάσεις, οὐκ ἂν ἐπίορκος 15
φανείης λέγων, ὅτι μὰ τοὺς θεοὺς ἀληθῶς μέλλω δικάσειν (ὅρκοι γὰρ τὸ
παλαιὸν προέβαινον καὶ παρὰ τῶν δικαστῶν) ἢ ὅτι μὰ τοὺς θεοὺς ἀληθῶς
ἐδίκασα. εἰ δὲ μὴ ἀναγνοὺς αὐτὸν δικάσεις, εἶ δὲ ἀμαθὴς τοῦ νόμου,
20 οὔτε οὖν γνώμῃ ἀρίστῃ ἔκρινας, ἀλλὰ καὶ ἐπίορκος ὀπτάνῃ.'

[1375 b 20] Καὶ ὅτι οὐδὲν διαφέρει μή. 'ἄνθρωπε σὺ ὁ ἀναι- 20
ρῶν τὸν γεγραμμένον τοῦτον νόμον, κακῶς λέγεις, ἵνα μὴ χρώμεθα τῷ
νόμῳ τούτῳ τῷ τεθέντι παρὰ τῶν ἀρχαίων καὶ σοφωτάτων νομοθετῶν.
εἰ οὖν κεῖται, δεῖ αὐτῷ χρᾶσθαι ἡμᾶς· εἰ γὰρ οὐκ ἐμέλλομεν αὐτῷ
25 χρᾶσθαι, οὐδ' ἂν ἔκειτο. ἐὰν οὖν κεῖται μέν, ὡς καὶ κεῖται κεκυρωμένος
τοῖς ἀρχαίοις, οὐ χρώμεθα δὲ αὐτῷ, ἔστι λοιπόν, ὡς οὐδὲ κεῖται· οὐδὲν 25
γὰρ διαφέρει τοῦ μηδὲ ὅλως κεῖσθαι τὸ μὴ χρᾶσθαι ἡμᾶς. καὶ
πάλιν κακῶς λέγεις σοφιστικῶς ἀναιρῶν τὸν κείμενον νόμον· τὸ δὲ σοφί-
ζεσθαι ἐπὶ τοῖς ἀναγκαίοις κακόν· ὥσπερ γὰρ εἰ ἄρρωστος ὢν καὶ παρά
30 τινος ἰατροῦ θεραπευόμενος προσετάττου ὑπ' ἐκείνου μὴ φαγεῖν ὑείων 30
κρεῶν, σὺ δὲ κατήσθιες ἐκείνων, εἶτα ἐψεύδου καὶ παρελογίζου καὶ παρε- 277
σοφίζου τὸν ἰατρόν, μᾶλλον ἑαυτὸν ἔβλαπτες, οὕτω καὶ σήμερον διὰ σοφι-
στικῶν ἐπιχειρημάτων τὸν κείμενον νόμον παρασοφιζόμενος καὶ παραλογι-
ζόμενος μᾶλλον ἑαυτὸν βλάπτεις, παρ' ὃ ἐὰν ἠρρώστεις τὸ σῶμα, ποιῶν
35 ἑαυτὸν ἀπειθῆ τῷ ἄρχοντι ἤτοι τῷ νόμῳ· [1375 b 22] οὐ γὰρ τοσοῦ- 5
τον βλάπτει ἡ ἁμαρτία τοῦ ἰατροῦ ἤτοι ἡ εἰς τὸν ἰατρόν σου ἀνη-
κοΐα σου καὶ ἁμαρτία σου καὶ ἀπείθειά σου καὶ ἀπροσεξία σου, ὅσον τὸ

---

16 δικάσῃς c 20 fort. ⟨τῇ⟩ ἀρίστῃ 21 διαφέρει ἢ μὴ κεῖσθαι ἢ μὴ χρῆσθαι Arist. 25 ἂν ἔκειτο cod. Paris. gr. 1951: ἂν ε (vix τ), tum cr. III litterae evanuerunt, tum το, V: αὐτό c οὖν V: αὖ c 26 ἔστι scripsi (fort. ἔσται): ἔ, tum cr. III litt. evanuerunt, V: ἤτοι c εἰ post ὡς add. c 27 τὸ V: τοῦ c χρᾶσθαι Vc: χρῆσθαι Arist. fort. post ἡμᾶς aliquid evanuit V 31 παρελογίζου V: ἐπιλογίζου c 34 ἠρρωστῆς c 35. 36 τοσοῦτο Arist.

τὴν ψυχήν σου κινδυνεῦσαι εἰς τὴν τῶν νόμων ἀπείθειαν. μὴ ζήτει οὖν 277
εἶναι τοῦ νόμου σοφώτερος ἢ τοῦ κανόνος ὀρθότερος καὶ εὐθύτερος.' 10

[1376 a 18] Ἐκ τῶν εἰκότων δεῖ κρίνειν' εἰπέ, εἰ ἀπορεῖς μαρτύρων. οὕτω καὶ Αἰσχίνης εἶπεν ἐν τῷ κατὰ Τιμάρχου ὅτι 'καὶ τοὺς
5 ξένους οὐκ ἀπὸ τῶν μαρτύρων ἐν τοῖς δήμοις, ἀλλ' ἀπὸ τῆς ἀληθείας εὑρίσκετε.'

[1376 b 20] Οὔκουν τοῦτο σκεπτέον, ἤγουν μὴ τὰς συνθήκας 15
δέχου, ἀλλ' ὡς ἕνι τὸ δικαιότερον ποίει, ἤγουν ὡς ὁ δικαστὴς ὀρθῶς δικάσει.

10 [1377 a 7] Περὶ δὲ ὅρκων τετραχῶς ἔστι διελεῖν. ἄξιόν ἐστι πρὸ τοῦ ἐπεξιέναι τοῖς τοῦ Ἀριστοτέλους ῥητοῖς περὶ τῶν ἐνταῦθα χρησι- 20
μευόντων ὅρκων τεχνολογίαν διαλαβεῖν ἤγουν τοῦ ἐπακτοῦ καὶ τοῦ ἀντεπακτοῦ καὶ τοῦ συκοφαντικοῦ νομιζομένου καὶ λεγομένου καὶ αὐτοῦ ὅρκου. ἐνήγαγεν ὁ Πέτρος κατὰ τοῦ Παύλου διὰ χρέος ἑκατὸν νομισμάτων, ἠρνεῖτο
15 ὁ Παῦλος, ἀπελύετο ὁ Πέτρος εἰς ἀποδείξεις (ὁ λέγων γάρ, οὐ μὴν ὁ ἀρνούμενος ἀποδείκνυσιν), ἠτόνησε περὶ τὰς ἀποδείξεις. ὁ ἐνάγων τότε 25
λέγει πρὸς τὸν ἐναγόμενον 'ἐπάγω σοι ὅρκον τὸν νενεσσάριον παρὰ Ῥωμαίοις λεγόμενον ἤγουν τὸν τέλειον ὡς πληροφορητικὸν καὶ τμητικόν, ἐπεὶ ἀτονῶ περὶ τὰς ἀποδείξεις, καὶ ὄμοσόν μοι ὅτι 'μὰ τοὺς θεοὺς οὐ χρεωστῶ
20 τὰ ἑκατὸν νομίσματα τῷ Πέτρῳ' καὶ ἐγώ σοι, εἰ βούλει, ὀμόσω πρώτως 30
τὸν συκοφαντικόν (οὗτος δὲ οὐ κυρίως ὅρκος, ἀλλὰ περιεκτικὸς μόνον τῆς ὑπολήψεως τοῦ ἐνάγοντος, οὐ μὴν τελειοῖ ὑπόθεσιν· οὐ γὰρ τῆς ὑποθέσεώς ἐστιν ὁ ὅρκος, ἀλλὰ τοῦ | προσώπου) καὶ εἴπω 'μὰ τὴν θείαν χάριν ταύ- 278
την οὐ συκοφαντικῇ γνώμῃ ἐνάγω σοι τὸν ὅρκον''. ἰδοὺ ἔμαθες περὶ τοῦ
25 ἐπακτοῦ καὶ περὶ τοῦ συκοφαντικοῦ· ὁ γὰρ ἐνάγων ἐνάγει τῷ ἐναγομένῳ τὸν ὅρκον, ὁ δὲ ἐναγόμενος ἀπαιτεῖ τὸν συκοφαντικὸν ἀπὸ τοῦ ἐνάγοντος. εἶτα τῶν τοιούτων λόγων κροτηθέντων πολλάκις, εἰ βούλεται 5
ὁ ἐναγόμενος, στρέφεται πρὸς τὸν ἐνάγοντα καὶ λέγει 'οὔτε ἐγὼ ὀμόσω τὸν παρὰ σοῦ μοὶ ἐπαγόμενον τέλειον οὔτε σὲ ἀπαιτῶ τὸν συκοφαντικόν,
30 ἀλλ' ἀντεπάγω σοι ὅρκον τὸν καὶ ἀντεπακτὸν λεγόμενον, ἐπεὶ τὸ τὸν συκοφαντικὸν ἠρετίσω ὀμόσαι, ὁμοῦ δὲ μέλλεις οὕτως εἰπεῖν 'μὰ τὴν θείαν 10
χάριν, οὐ συκοφαντικῇ σοι γνώμῃ ἐπάγω τὸν ὅρκον'· πεπληροφόρησαι πάντως ἐν τῇ ψυχῇ σου, ὅτι ἀληθῶς ἐδάνεισάς μοι τὰ ἑκατὸν νομίσματα; καὶ λοιπὸν μὴ τὸν συκοφαντικόν, ἀλλὰ τὸν ἀντεπακτὸν ὄμοσον, ὃς καὶ αὐ-
35 τὸς νενεσσάριος ἤτοι τμητικὸς τῆς ὑποθέσεως ὅρκος ἐστί, καὶ εἰπὲ 'ὦ Πέτρε, μὰ τὴν θείαν χάριν ταύτην, ἐδάνεισα σοὶ τῷ Παύλῳ, ἃ λέγω, 15
ἑκατὸν νομίσματα' καὶ τότε ἀποδώσω σοι ταῦτα.' ἐὰν μὲν οὖν ὁ

---

4 Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου] cf. § 91 12 ἐπακτικοῦ c 12. 13 ἀντεπακτικοῦ c 17 νενεσάριον Vc 20 ἑκατὸν om. c 25 ἐπἀκτικοῦ c 27 εἶτα scripsi: εἴτε c: praeter ε'γ vel ε'τ nil cognoscitur in V 29 σὲ απαιτῶ, pr. α incert., V: σὺ ἐπ' αὐτῷ c 30 ἀντεπακτικὸν c τὸ om. c 32 οὐ om. c 34 ἀντεπακτικὸν c 35 νενεσάριος Vc

ἀντεπακτὸς γένηται, οὔτε συκοφαντικὸς οὔτε ἐπακτὸς γίνεται· εἰ δὲ ἐπακτὸς 278
γένηται, προήγηται ὁ συκοφαντικός. διὰ τοῦτο γράφεται ἐν τῷ παρεκβο-
λαίῳ παρὰ τοῦ δικαστοῦ τὸ 'χώραν ἔχοντος καὶ τοῦ ἀντεπακτοῦ'. ἴδε 20
οὖν μετὰ ταῦτα τὸν Ἀριστοτέλη· φησὶ γὰρ ὡς συλλήβδην ἐρεῖν τὴν ἅπα-
5 σαν τοῦ φιλοσόφου διάνοιαν· ἢ γὰρ δίδωσιν ὁ ἐνάγων τὸν ἐπακτὸν τῷ
ἐναγομένῳ καὶ λαμβάνει καὶ οὗτος ὁ ἐνάγων ἢ τὸν συκοφαντικόν, ὡς
εἴπομεν, ἢ τὸν ἀντεπακτόν, ἢ οὔτε δίδωσιν οὔτε λαμβάνει, ἀλλ' ἢ ἄμφω
συμβιβάζονται ἢ στέργουσιν ἄμφω τὸ δόξαν τοῖς δικασταῖς, ἢ οὐ δίδωσι 25
μέν, λαμβάνει δὲ φοβούμενος ὅτι, ἐὰν ἐπαγάγῃ, ἴσως ὀμόσει ὁ ἀντίδικος
10 αὐτοῦ ψευδῶς (ὁ ἐναγόμενος δηλαδή) καὶ ἀπολέσει ἐντεῦθεν τὰ πράγματα
αὐτοῦ· διὰ τοῦτον τὸν φόβον μᾶλλον αὐτὸς αἱρεῖται ὀμόσαι τὸν ἀντεπακ-
τὸν παρ' ὃ δοῦναι τὸν ἐπακτὸν τῷ ἐναγομένῳ. ἢ δίδωσι μέν, οὐ λαμβάνει 30
δέ, ὁ εὐσεβὴς δηλονότι καὶ δεισιδαίμων καὶ μὴ τοὺς ὅρκους ἐσθίων ὡς |
λάχανα, μᾶλλον αἱρετισάμενος ἀπολέσαι τὰ πράγματα αὐτοῦ ἀπὸ τῆς ἐπι- 279
15 ορκίας τοῦ ἀντιδίκου ἢ αὐτὸς ὀμόσαι ἀπηγορευμένου ὄντος τοῦ ὅλως
ὀμνύειν παρὰ τοῖς σπουδαίοις· οὗτος ὁ εὐσεβὴς τοιγαροῦν ἐνάγων ἔχει τὸν
ὅρκον τοῦ ἀντιδίκου αὐτοῦ (τοῦ ἐναγομένου δηλαδή) καὶ τὸ γενέσθαι τὸ 5
θεῖον τιμωρὸν τοῦ ἀντιδίκου αὐτοῦ ἀντὶ τῶν χρημάτων αὐτοῦ. τετραχῶς
οὖν περὶ τοὺς ὅρκους ἡ διαίρεσις ἐγένετο· ἢ δίδωσι καὶ λαμβάνει, ἢ οὔτε
20 δίδωσιν οὔτε λαμβάνει, ἢ λαμβάνει μέν, οὐ δίδωσι δέ, ἢ δίδωσι μέν, οὐ
λαμβάνει δέ. καὶ ἐσαφηνίσαμεν ταῦτα, ὡς δύναμις, παραλελοιπότες παντά- 10
πασι τὰς ἐνταῦθα τοῦ χωρίου τούτου παρὰ τῶν πρὸ ἡμῶν φιλοσόφων
ἐκδεδομένας ἐξηγήσεις.

[1377 a 10] Ἔτι καὶ ἄλλως παρὰ ταῦτα, εἰ ὀμώμοσται. τὰ
25 ἐπιχειρήματα, δι' ὧν δείξει τις, † ὅταν λάβω ὅρκον, ὅτι οὐ λάβω ὅρκον, ἢ 15
ὅτι δώσω ὅρκον ἢ οὐ δώσω ὅρκον, καὶ δι' ὧν κατασκευάσει τὸ αὐτὸ καὶ
ἓν καὶ αὖθις ἀνασκευάσει, εἴπῃ μὲν ὅσον οὐδέπω καὶ ὁ φιλόσοφος, ἀλλ'
οὖν καὶ ἐγὼ προέφθασα ταῦτα ἐκφῆναι ἐν τῇ τέτραχα γεγονυίᾳ περὶ τῶν
ὅρκων διαιρέσει· νῦν δὲ ὃ λέγει ἄλλο τί ἐστι περὶ ὅρκους σκέμμα. ὃ δέ
30 ἐστιν, ἄκουε. σήμερον ὁ Πέτρος καὶ ὁ Παῦλος, ἐνάγων καὶ ἐναχθείς, 20
λαβεῖν ἢ δοῦναι ὅρκον διισχυρίζοντο, εἶτα ἀλλήλους διαβάλλουσιν ὡς ποτὲ
ψευδορκήσαντας ἐπὶ ἄλλαις καὶ ἄλλαις ὑποθέσεσιν· εἰ γάρ ποτὲ ὑπ' αὐτοῦ
ἢ ὑφ' αὑτοῦ (τοῦ ἐνάγοντος δηλαδή) ὠμόθη ὅρκος (ὁ συκοφαντικὸς δηλαδὴ
ἢ μᾶλλον εἰπεῖν ὁ ἀντεπακτός, ὃς καὶ κυρίως ὅρκος ἐστί) καὶ ἀπηνέχθη 25
35 ψευδὴς ἐκεῖνος ὁ ὅρκος τότε καὶ ἐπιορκήσας ἐφωράθη ὁ Πέτρος, σήμερον,
εἰ ζητεῖ λαβεῖν τὸν ἀντεπακτόν, οὐκ ἐπιτεύξεται τούτου· ἀκούσει γὰρ τοῦ
Παύλου λέγοντος 'οὐ δώσω σοί ποτε τὸν ἀντεπακτόν, διότι ἐπίορκος εἶ
καὶ ψευδῶς καὶ πάλιν ὀμόσεις καὶ ἀπολέσω τά, ἃ μέλλω καταβαλεῖν σοί'.

---

1 ἀντεπακτικὸς c ἐπακτικὸς c 3 ἀντεπακτικοῦ c 4 ἀριστοτέλη V: ἀριστοτέλην c 5 ἐπακτικὸν c 7 et 11. 12 ἀντεπακτικόν c 12 ἐπακτικὸν c

15. 16 cf. Evang. Matth. 5, 34 ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως 32 ψευδοκήσαντας V 34 ἀντεπακτικὸς c 36 ἀντεπακτικὸν c 37 ἀντεπακτικόν c

ἢ εἰ ἐφωράθη ποτὲ ψευδορκήσας ὁ ἐναγόμενος ἐπὶ τῷ ἐπακτῷ ὅρκῳ, σή- 279
μερον δὲ ζητεῖ λαβεῖν τὸν ἐπακτόν, οὐ δώσει αὐτῷ | τοῦτον ὡς ἐπιόρκῳ 280
ἀποδειχθέντι. εἶπον ἂν ἐγὼ ἐνταῦθα καὶ τὰ ἐπιχειρήματα καὶ τὰς δικαιο-
λογίας, δι' ὧν ὁ καθ' ἕνα τούτων ἐπὶ τῷ φανέντι ἐκείνῳ ψευδεῖ ὅρκῳ
5 ὑπεραπελογήσαντο ἑαυτῶν· ἀλλ' ἐπεὶ καὶ αὐτὸς ὁ φιλόσοφος μέλλει
παρὰ πόδας ἐρεῖν τὰ τοιαῦτα, ἐκεῖ καὶ αὐτὸς αὐτοῖς ἐκθήσομαι τὴν σαφή- 5
νειαν.

[1377 a 11] Οὐ δίδωσι μὲν οὖν, ὅτι ῥᾳδίως ἐπιορκοῦσι καὶ τὰ ἑξῆς. συνδυάσας ἄνω τὰ κατὰ τὴν λῆψιν ἢ τὴν δόσιν τοῦ ὅρκου ὡς
10 ἐν προθεωρίᾳ συνόλως καὶ παχυλῶς νῦν ἄρχεται τῆς τῶν ἐπιχειρημάτων
δείξεως· καὶ ἐπεὶ τοῦ συνδυασμοῦ καὶ τῆς συζεύξεως καὶ συνθέσεως προή- 10
γηται τὸ ἁπλοῦν, ἐπὶ τῶν ἁπλῶν τὴν διδασκαλίαν τῶν ἐπιχειρημάτων
ἐκτίθεται· οὐδὲ γὰρ λέγει, πῶς ἐπιχειρήσει ὑπὲρ ἑαυτοῦ ὁ οὐ διδοὺς μὲν
τῷ ἀντιδίκῳ ὅρκον, λαμβάνειν δὲ ἀξιῶν, ἀλλὰ ὅθεν κἀκ τίνων ἐπιχειρήσει
15 ὁ οὐ διδοὺς ὅρκον τῷ ἐναντίῳ, εἶτα ἀπ' ἄλλης αὖθις ἀρχῆς, ὅθεν κἀκ
τίνων ἐπιχειρήσει ὁ οὐ λαμβάνων ὅρκον, εἶτα αὖθις, ὅθεν ἐπιχειρήσει ἰδίᾳ 15
μὲν ὁ λαμβάνων, ἰδίᾳ δὲ ὁ διδούς· τέσσαρα γὰρ ταῦτα λαμβάνει· οὐ
δίδωσιν ὅρκον, οὐ λαμβάνει ὅρκον, λαμβάνει ὅρκον, δίδωσιν ὅρκον. ὅταν
δὲ συνδυασθῶσι, γίνονται συζυγίαι ἕξ, ὧν αἱ μὲν τέσσαρες συνίστανται, αἱ
20 δὲ δύο ἀσύστατοι, ἥ τε λέγουσα 'δίδωσιν ὅρκον, οὐ δίδωσιν ὅρκον' καὶ 20
'λαμβάνει ὅρκον, οὐ λαμβάνει ὅρκον'.



25

[1377 a 11] ⟨Οὐ⟩ δίδωσι μὲν οὖν. οὕτως ἐπιχειρήσει ὁ μὴ ἐπά- 25
γων ὅρκον τῷ ἐναγομένῳ 'οὐκ ἐπάξω σοι ὅρκον κακῷ ὑπειλημμένῳ παρὰ
πάντων· ἐπιορκήσεις γὰρ ῥᾳδίως καὶ ἀπολέσω τὰ πράγματά μου· ὁ γὰρ
30 ὀμνύων οὐκ ἀποδίδωσι μετὰ ταῦτα. † ἐπεὶ δὲ μὴ ὀμόσαντας ἐλπίζω
καταδικάσαι ἀπὸ δικαστηρίου ἢ ἐλπίζω μετ' αὐτῶν ἐμβιβασθῆναι· καὶ ὅτι 30
κρεῖττον ἡγοῦμαι καταδικασθέντα με | παρὰ τῶν δικαστῶν ἀπολέσαι τὰ 281
χρήματά μου, ἅ σοι δεδάνεικα, ἢ οὕτω γελασθῆναί με παρὰ σοῦ ψευδορ-
κήσαντος'. οὕτω μὲν οὖν καὶ τοσαῦτα τὰ ἐπιχειρήματα ἀπὸ μόνου τοῦ
35 'οὐ δίδωσιν' εὕρηται. ἴδε, πῶς ἐπιχειρήσει αὖθις καὶ ὁ οὐ λαμβάνων 5
ὅρκον ἤγουν τὸν ἀντεπακτόν, ὁ εὐσεβὴς δηλαδὴ ἄνθρωπος· 'οὐκ ὀμόσω

---

1 ἐπακτικῷ c 2 ἐπακτικὸν c 5 ὑπεραπελογίσαντο c 8 δίδωσι Vc Arist. AC: δίδωσι χρήματα Arist. cet. 17 λαμβάνει uncis inclusit c 22 numeros α, β, γ, δ om. c 27 οὐ addidi ex Aristotele (cf. infra v. 35) 30 ὀμόσαντας V et Aristotelis codices: ὀμόσαντά σε c ex cod. Paris. gr. 1951 31 καταδικάσειν Arist. 35 ἴδε δὲ πῶς cod. Paris. gr. 1951

ποτέ, ὃν ἀντεπάγεις μοι ὅρκον, ἀλλὰ σὺ ὄμοσον· κρεῖττον γὰρ ἔχω 281
ἀπολέσαι με τὰ πράγματά μου μὴ ὀμόσαντα καὶ τὸ σοὶ εἶναι τὸ θεῖον
ἐχθρόν τε καὶ τιμωρόν. ἔχω οὖν τὸν ὅρκον σου ἀντὶ τῶν χρημά-
των μου'.

[1377 a 16] Καὶ ὅτι, εἰ ἦν φαῦλος, κατωμόσατο ἄν. ἔνστασίν 10
τινα λύει ὁ φιλόσοφος· ἐπεὶ γὰρ ὁ ἐναγόμενος ἀντεπάγει 'τῷ ἐνάγοντι ὅρ-
κον, ὁ δὲ ἐνάγων οὐ λαμβάνει τὸν ὅρκον ὡς εὐσεβής, τάχα ὑποπτεύει ὁ
ἐναγόμενος, ὅτιπερ οὐχ ὡς εὐσεβὴς ὁ ἐνάγων εὐλαβεῖται τὸν ὅρκον, ἀλλὰ
μᾶλλον ὡς κακός τε καὶ ἄδικος φοβεῖται ὀμόσαι, εὖ εἰδώς, ὅτι ψεύδεται. 15
εἰς ἃ λέγει κατ' ἐμοῦ. ἀπαντᾷ οὖν πρὸς τοῦτο ὁ εὐσεβὴς ἐνάγων καί φησιν
ὅτι 'ὦ οὗτος, εἰ ἤμην ἄδικος καὶ πονηρός, καὶ κατωμοσάμην ἄν, ἤτοι οὐκ
εἰς μόνα τὰ ἑκατὸν νομίσματα ὤμοσα, ἀλλ' εἰς ἑκατὸν λίτρας ὤμοσα ἄν·
ἐπεὶ γὰρ ἄδικος ἤμην, ὡς λέγεις, καὶ ἔμελλον ὀμόσαι, καὶ εἰς πλείω ἂν 20
ὤμοσα· ὃ μᾶλλον κατομόσαι ἐστίν· κρεῖττον γὰρ ἦν ἐπὶ μείζοσι καὶ
πολλοῖς φαῦλον εἶναί με καὶ ἐπίορκον παρ' ὃ ἐν ὀλίγοις· ἔμελλον γὰρ ἀσε-
βῆσαι ἐπιορκήσας. κἂν οὖν εἶχον ἀντὶ τῆς ἀσεβείας τὸν πολὺν πλοῦτον,
ὃν ἔμελλον ἀπὸ σοῦ ἀναλαβεῖν κατομοσάμενος· ὥστε δι' ἀρετὴν μᾶλλον 25
καὶ εὐσέβειαν ἐγὼ προκρίνω τὸ μὴ ἤτοι τὸ οὐ λαβεῖν με τὸν παρὰ σοῦ
μοι ἀντεπαγόμενον ὅρκον'.

[1377 a 19] Καὶ τὸ τοῦ Ξενοφάνους. καὶ τοῦτο ἔνστασίν τινα
ἀνακύπτουσαν λύει· εἶπε γὰρ ἂν ὁ ἐναγόμενος ὅτι 'σὺ προκαλεῖς ἐμὲ εἰς
τὸ ὀμόσαι με. ἐγὼ προκαλοῦμαι σὲ εἰς τὸ ὀμόσαι· σὺ δέδοικας ὀμόσαι· 30
λοιπὸν ἄρα τὸ συνειδός σου κεκαυτηρια|σμένον φέρεις· ἄρα ψεύδῃ, ἐν οἷς 282
ἐνάγεις κατ' ἐμοῦ. καὶ διὰ τοῦτο εὐλαβῇ ὀμόσαι. ἐγὼ δὲ ὀμόσω· λοιπὸν
ἀπὸ τούτου τοῦ μὴ δεδιέναι με περὶ τῷ ὅρκῳ φαίνομαι ἀληθεύων.' πρὸς
ταύτην τὴν ἔνστασιν τὸ τοῦ Ξενοφάνους προβάλλεται ὁ ἐνάγων καὶ λέγει
'οὐκ ἔστιν ἴσον, ἐὰν σὺ προκαλῇς ἐμὲ εἰς ὅρκον καὶ ἐὰν ἐγὼ σέ· σὺ μὲν 5
γὰρ ἔοικας ἰσχυρῷ παγκρατιαστῇ εἰς τὸ ὀμνύειν πολλάκις καὶ πολλάκις
καὶ μυριάκις ὀμόσας, ἐγὼ δὲ ἔοικα ἀμαθεῖ καὶ δειλῷ καὶ ἄρτι τὴν κονί-
στραν εἰσιόντι· διὸ καὶ δέδοικα.'

[1377 a 20] Ἀλλ' ὁμοία. μὴ οὕτως ἀνάγνωθι "ὅτι οὐκ ἴση 10
ἡ πρόκλησις αὕτη εὐσεβεῖ πρὸς ἀσεβῆ, ἀλλ' ὁμοία", μὴ οὖν
ὧδε στίξῃς· ἀδιανόητος γάρ σοι ὁ λόγος ἀποβήσεται· ἀλλ' οὕτως
εἰπὲ "ἀλλ' ὁμοία καὶ εἰ ἰσχυρὸς ἀσθενῆ πατάξαι ἢ πληγῆ-
ναι προκαλέσαιτο". οὐκ ἔστι, φησίν, ἴση κατὰ πάντα ἡ τοῦ ἀσε-
βοῦς πρὸς εὐσεβῆ καὶ ἡ τοῦ εὐσεβοῦς πρὸς ἀσεβῆ πρόκλησις, ἀλλ' 15
ὁμοία, εἰ καὶ ἰσχυρὸς ἀθλητὴς προκαλεῖται εἰς μονομάχιον τὸν ἀσθενῆ.
ὥστε ἢ πατάξαι ἢ παταχθῆναι ἢ πλῆξαι ἢ πληγῆναι· προκαλού-

---

1 μοι V: μου c 11 ὅτι om. c 14 καὶ post ὃ add. c 15 με V: μὲν c
16 εὐσεβείας c 17 κατωμοσάμενος c 23 κεκαυτηριασμένον scripsi: κεκαυτηρια-
μένον Vc 25 τῷ ὅρκῳ V: τὸν ὅρκον c 32 ἡ om. Arist. πρόκλησις Vc
Arist. ABD: πρόσκλησις Arist. cet. ἀσεβεῖ πρὸς εὐσεβῆ Arist. 35 προκαλέσαιτο Vc
Arist. A: προσκαλέσαιτο Arist. vulg. 38 πληγῆναι c ex cod. Paris. gr. 1951, cf. Arist.:
πνιγῆναι V

μενος γὰρ οὕτω λέγει 'ἐλθὲ μονομαχήσων με, καὶ ἢ ἐγὼ σὲ πατάξω 282
ἢ σὺ ἐμὲ πατάξεις', τουτέστιν 'ἢ ἐκδράσω ἢ πείσομαι'. διὸ τὸ μὲν πατάξω
ἐπὶ τοῦ δρᾶσαι ἔθηκε, τὸ δὲ πληγῆναι ἐπὶ τοῦ παθεῖν. 20

[1377 a 21] Εἰ δὲ λαμβάνει, ὅτι πιστεύει αὐτῷ. ὁ λαμβάνων
5 τὸν ἀντεπακτὸν ἀπὸ τοῦ ἐναγομένου, μὴ διδοὺς δὲ ἐκείνῳ τὸν ἐπακτὸν
ἐπιχειρήσει ὅτι 'σὲ οἶδα ἐπίορκον καὶ οὐκ ἂν δώην σοι ὅρκον· ἐγὼ δὲ
ὀμόσω· θαρρῶ γὰρ ἑαυτῷ'.

[1377 a 22] Καὶ ἐντεῦθεν μεταβλητέον τὸ τοῦ Ξενοφάνους καὶ 25
ῥητέον, ὅτι ἴσον ἐστὶ καὶ προσφυὲς τὸ διδόναι μὲν τὸν ἀσεβῆ πρὸς τὸν
10 εὐσεβῆ ὅρκον, ἐκεῖνον δὲ (τὸν εὐσεβῆ δηλαδή) λαμβάνειν. εἶπεν ἓν ἐπι-
χείρημα ὁ ἐνάγων τὸν ἀντεπακτὸν καταδεξάμενος τὸ ὅτι 'σοί, ὦ ἐναγόμενε,
οὐ πιστεύω τὸν ὅρκον, ἀλλ' ὡς ἑαυτῷ'· τίθησι καὶ δεύτερον ἐπιχείρημα 30
ὅτι 'ὀμόσω καὶ καλῶς ποιήσω καὶ οὐκ ἀποφύγω τὸν ὅρκον ὡς κακόν τι·
μάταιος γὰρ ἂν εἴην ἐγώ, εἰ τοὺς | δικαστὰς ἀναγκάζω ὀμνύειν ἀπὸ τοῦ 283
15 νόμου, ἵνα δίκαια κρίνωσιν, ἐγὼ δὲ τὸν ὅρκον παραιτοῦμαι'. οἱ γὰρ δι-
κασταὶ ὤμνυον τὸ παλαιόν, καὶ οἱ παρ' ἡμῖν κειμένων τῶν ἁγίων εὐαγγε-
λίων ἐδίκαζον, ἀλλὰ καὶ οἱ συνήγοροι· 'δεινὸν οὖν', φησί, 'τὸ μὴ θέλειν
αὐτὸν τὸν ἐνάγοντα ὀμόσειν, ὑπὲρ ὧν τοὺς δικαστὰς καὶ τοὺς συνηγόρους 5
ἀναγκάζει ὀμνύειν.'

20 [1377 a 25] Εἰ δὲ δίδωσιν, ὁ εὐσεβὴς ἐπιχειρεῖ λέγων 'οὐ λαμβάνω
τὸν ἀντεπακτόν, ὦ ἐναγόμενε, ἀλλὰ δικασάτωσαν οἱ θεοὶ καὶ ὄμοσον καὶ
γίνωσκε ὅτι, εἰ ψεύσῃ, οἱ θεοὶ τιμωρήσουσί σε, ἐμὲ δὲ πλουτίσουσιν.' 10

[1377 a 27] Ἔνια οὖν τῶν ἀντιγράφων ἔχουσιν αὐτῷ γὰρ δίδωσι
κρίνειν, ἄλλα δὲ ἔχουσιν αὐτοῖς γὰρ δίδωσι κρίνειν. τὸ μὲν οὖν
25 αὐτοῖς νόει ἀντὶ τοῦ 'τοῖς θεοῖς' τὸ δὲ αὐτῷ νόησον οὕτω· λέγω ὁ ἐνά-
γων 'οὐκ ὀμόσω, ὦ ἐναγόμενε, ποτὲ ἐγώ, ἀλλὰ σὺ ποίησον τὴν κρίσιν·
δίκασον ἐν τῷ συνειδότι σου καὶ ὄμοσον καὶ ἕπομαί σοι· εἰ γὰρ κατὰ τὸν 15
ἔσω ἄνθρωπον ἐξετάσεις, οὐκ ἂν ὀμόσῃς πάντως, ἀλλὰ δώσεις μοι, ἅ μοι
χρεωστεῖς, εἰ δὲ ὀμόσεις, ἕξεις τὸ θεῖον τιμωρόν'.

30 [1377 a 29] Ἐπεὶ δὲ καθ' ἕκαστον δῆλον. διδάξας τὰ ἁπλᾶ τέσ-
σαρα νῦν συνδυάζει ταῦτα καὶ ποιεῖ ἓξ συζυγίας, ὧν αἱ δύο ὡς ἀντιφατικοὶ 20
ἀσύστατοι. καὶ πρῶτον μὲν συνδυασμὸν τίθησιν ἀπολαμβάνειν καὶ μὴ διδόναι,
δεύτερον τὸ διδόναι καὶ μὴ λαμβάνειν, τρίτον τὸ λαμβάνειν καὶ διδόναι (λαμ-
βάνει γὰρ ὁ ἐνάγων τὸν συκοφαντικὸν καὶ δίδωσι τὸν ἐπακτόν), τέταρτον τὸ
35 οὐδὲ λαμβάνειν οὐδὲ διδόναι· καὶ ἐσαφήνισα ταύτας τὰς συζυγίας ἐν ἀρχῇ τῆς 25
τοιαύτης θεωρίας καὶ ἐν τῷ τετραγώνῳ σχηματισμῷ· ἐκ τῶν εἰρημένων

ἢ ει
1 με Vc: μοι cod. Paris. gr. 1951 5 ἀντεπακτικὸν c ἐπακτικὸν c 6 ἐπιχειρ V
σὲ om. c δώην σοι Vc: λάβοιμι παρὰ σοῦ cod. Paris. gr. 1951 7 ἑαυτῶ V:
ἐμαυτῷ c 21 ἀντεπακτικὸν c 23. 24 αὐτῷ γὰρ δίδωσι κρίνειν Arist. vulg.: τούτῳ
γὰρ δίδωσι κρίσιν Arist. A: *ipsis enim dat iudicium* Arist. Tr. 25 λέγω Vc: fort. λέγει
28 δώσῃς c 31 ἀντιφατοὶ c 32 τίθησιν V: συντίθησιν c 34 τὸν (ante συκο-
φαντικὸν) V: τὸ c ἐπακτικόν c 35. 36 ἐν ἀρχῇ τῆς τοιαύτης θεωρίας] p. 290,5
36 ἐν τῷ τετραγώνῳ σχηματισμῷ] p. 291,23 ἐκ γὰρ τῶν εἰρημένων Arist.

γὰρ ἁπλῶν ὀνομάτων ἀνάγκη συγκεῖσθαι τὰς τοιαύτας συζυγίας, ὡς 283
καὶ τοὺς λόγους ἤτοι τὰς ἐπιχειρηματικὰς δικαιολογίας, οἵας ἐν τοῖς
ἁπλοῖς ἐποίεις, ποίησον ἐνταῦθα συνδυαζόντως.

[1377 b 3] Ἐὰν δ' ᾖ γεγενημένος. ὅπερ ἀνώτερον εἶπεν "ἔτι 30
ἄλλως παρὰ ταῦτα, εἰ ὀμώμοσται", τοῦτο νῦν διεξοδικῶς κατασκευάζει
ἐὰν ᾖ γεγενημένος ποτὲ ὅρκος παρὰ τοῦ ἐνάγοντος, | ἐφάνη δὲ ὁ ὅρκος 284
ἐναντίος ἤτοι ψευδὴς καὶ διὰ τοῦτο ὡς ἐπίορκος σήμερον ὁ ἐνάγων δια-
βάλλεται καὶ παρὰ τοῦτο οὐδὲ παραδεκτέος εἰς τὸ ὀμόσαι τῷ ἐναγομένῳ
νομίζεται, πῶς ἐπιχειρήσει ὑπὲρ ἑαυτοῦ καὶ ὑπεραπολογήσεται τοῦ μὴ
ἐπίορκος εἶναι;' καίτοι εἴπῃ 'εἰ καὶ ψευδής, ὡς λέγεις, ὁ ὅρκος μου ἐκεῖ- 5
νος ἐφάνη, ἀλλ' ἐγὼ οὐκ ἐπιώρκησα· τὸ γὰρ ἐπιορκεῖν ἀδικεῖν ἐστι,
τὸ δὲ ἀδικεῖν ἐστι τὸ ἑκουσίως καὶ εἰδότα τινὰ ἀδικεῖν, ἐγὼ δέ, εἰ καὶ
ὤμοσα τότε, ἀλλ' ἄκων καὶ βιασθεὶς ἢ παρὰ τυράννων ἢ παρὰ δικαστῶν
παρανόμων· τοῦτο δὲ οὐδὲ ὀμόσαι ἐστίν'. 'ἐγὼ δέ, εἰ καὶ ὤμοσα τότε, 10
ἀλλ' ἁπλούστερος τὴν ψυχὴν ὢν ἠπατήθην ἢ παρὰ δικαστῶν ἢ παρ'
ὀντινωνοῦν'. 'ἐγὼ δέ, εἰ καὶ ὤμοσα τότε, ἀλλ' οὐκ ᾔδειν τὴν δύναμιν
τοῦ ὅρκου ἢ τὸ πῶς δεῖ ὀμνύειν.' καὶ συνάγαγε, ὅτι ἐπιορκεῖν ἐστιν οὐ
τὸ στόματι μόνον λέγειν τὸν ὅρκον, ἀλλὰ καὶ εἰδότα, ἀλλὰ καὶ μὴ βια-
σθέντα· 'ἐγὼ δὲ οὐκ ᾔδειν, ἀλλὰ καὶ ἐβιάσθην, ἀλλὰ καὶ ἠπατήθην· οὐκ 15
ἄρα ἐπιώρκησα, οὐκ ἄρα ἠδίκησα'.

[1377 b 7] Ἐὰν δὲ τῷ ἀντιδίκῳ ᾖ. ἐὰν δὲ ὁ ἐναγόμενος σήμερον
ὤμοσέ ποτε καὶ ἐψεύσατο, καταδρομὴν κατ' αὐτοῦ ποιήσει ὁ ἐνάγων ὅτι
'οὐ δέχομαι αὐτὸν σήμερον μέλλοντα ὀμόσαι· ὁ γὰρ ἐπίορκος πάντα ἀναι- 20
ρεῖ, δικαστήρια, πολιτείαν, νόμους· διὰ γὰρ τοῦτο καὶ οἱ δικασταὶ πρῶ-
τον ὀμόσαντες εἶτα δίκαζουσι, τοῖς νόμοις χρώμενοι καὶ ὅταν ὀμνύ-
ωσιν (ὁ νόμος γὰρ αὐτοῖς τοῦτο προσέταξε) καὶ ὅταν δικάζωσι, καὶ ἀπὸ
τῶν νόμων ὁρμώμενοι οἱ δικασταὶ μετὰ τὴν περὶ τὰς ἀποδείξεις ἀτονίαν
ἀπολύουσιν εἰς ὅρκους τοὺς ἀμφισβητοῦντας'. εἶτα πρὸς τοὺς δικαστὰς ὁ 25
ἐνάγων στραφεὶς λέγει 'καὶ ὑμᾶς μὲν ἀξιοῦμεν πρῶτον ὀμνύειν, εἶτα
δικάζειν, καὶ τῷ ὅρκῳ ἐμμένοντες δικαίως κατὰ τοὺς νόμους καὶ τοὺς
ὅρκους ὑμῶν δικάζετε, ἡμεῖς δὲ οὐκ ἐμμενοῦμεν οἱ ὑμῖν εἴκοντες,
ἀλλὰ ψευδῶς ὀμόσομεν; καὶ τίς ἡμῖν ἔσται συγγνώμη; ἀσύγγνωστος ἄρα 30
καὶ ὁ ἀντίδικός μου ἐπίορκος πολλάκις ἐλεγχθείς.'

6. [1363 a 16] "Κορινθίοις δ' οὐ μέμφεται τὸ Ἴλιον."
οἶδας | μέν, ὃ δηλοῦται. μάταιος δὲ ἦν ὁ οὕτως αὐτὸ ἐξηγησάμενος, 285
ὅτι οὐ μέμφεται τὸ Ἴλιον τοῖς Κορινθίοις· οὐδὲ γὰρ συνεμάχησαν τοῖς
Ἕλλησιν οἱ Κορίνθιοι κατὰ τῶν Τρώων· καὶ γὰρ τοῖς Ἀχαιοῖς Εὐχήνωρ
Κορίνθιος, υἱὸς Πολυείδου τοῦ μάντεως, ἐπεκούρησε· καί φησιν Ὅμηρος 5

---

4 ὅπερ V: ὥσπερ c ἀνώτερον] Arist. p. 1377a10 8 παρὰ V: διὰ c 15 παρὰ V: παρὰ τῶν c παρ' V: παρὰ c 18 τὸ V: τῷ c Arist. 29 ἀξιοῦμεν Vc Arist. vulg.: ἀξιοῦσιν Arist. A 31 ἐμμενοῦμεν Vc Arist. vulg.: ἐμμένουσιν Arist. A
33. 34 ἐλεγχθείς: — ✢ κορινθίοις V (vide supra p. 274,16 annot.) 34 Κορινθίοις κτλ.] Simonid. fr. 50 Bergk. 38 Ὅμηρος] N 663

"ἦν δέ τις Εὐχήνωρ, Πολυΐδου μάντιος υἱός,
ἀφνειός τ' ἀγαθός τε, Κορινθόθι οἰκία ναίων".

ὃ γοῦν ὁ Σιμωνίδης λέγει, τοῦτο ἐστίν, ὅτι Κορινθίοις οὐ μέμφεται τὸ Ἴλιον ὡς τάχα πολεμήσασιν αὐτοῖς διὰ τοῦ Εὐχήνορος, ὡς εἰρήκαμεν, ἀλλὰ ἑτέρωθεν καὶ εὐχαριστεῖ αὐτοῖς μᾶλλον ὡς συμμαχήσασι τῇ Ἰλίῳ διὰ Γλαύκου τοῦ εἰς Βελλεροφόντην τὸν Κορίνθιον τὸ γένος ἀναφέροντος τὸν Γλαύκου τοῦ Σισύφου, ὃς ἀνεγνώρισε Διομήδην. κάλλιστα δὲ τὴν θεωρίαν ταύτην ἐξαπλοῖ ὁ λυρικὸς Πίνδαρος ἐν τῷ εἰς Ξενοφῶντα Κορίνθιον σταδιοδρόμον ἐπινίκῳ, ὅτε λέγει

"τὰ δὲ καί ποτ' ἐν ἀλκᾷ
πρὸ Δαρδάνου τειχέων ἐδόκασαν
ἐπ' ἀμφότερα μαχᾶν τέμνειν τέλος,
τοὶ μὲν γένει φίλῳ σὺν Ἀτρέος
Ἑλένην ἀνακομίζοντες, οἱ δ' ἀποπάμπαν
εἴργοντες· ἐκ Λυκίας δὲ Γλαῦκον ἐλθόντα τρόμεον Δαναοί. τοῖς μὲν
ἐξεύχετ' ἐν ἄστεϊ Πειράνας σφετέρου πατρὸς ἀρχὰν
καὶ βαθὺν κλᾶρον ἔμμεν καὶ μέγαρον."

οὕτω δὲ καὶ Σιμωνίδης ἐποίησε

"Κορινθίοις δ' οὐ μανίει οὐδὲ Δαναοῖς",

τὸ Ἴλιον δηλαδή.

7. [1365 a 12] Οἱ Θεστιάδαι, οὓς Μελέαγρος ἀνεῖλεν, οὗτοί εἰσιν οἱ αὐτοῦ μητράδελφοι οὕτως ὠνομασμένοι· Πλήξιππος, Ἴφιτος, Εὐρύπυλος, Πολυφόντης, Φάνης. οὗτοι Θεστίου παῖδες· ὧν ἀδελφαὶ Λήδα, Ἀλθαία, Ὑπερμνήστρα, † Πολύξενος καὶ ἄλλαι. αἱ δὲ Μελεάγρου ἀδελφαὶ αὗται· Φοίβη, Ἀντιόπη, Ἐρατώ, Μενεσθώ, Εὐρυδίκη, Ἱπποδάμεια, αἳ καὶ μετεβλήθησαν εἰς ὄρνιθας τὰς λεγομένας Μελεαγρίδας.

12. [1373 a 23] Λάταξ ὁ ἦχος τῶν κοτταβίων παρὰ τοῖς ἀττικισταῖς ὠνόμασται. τὰ δὲ κοττάβια ἀγγεῖα ἐτύγχανον πλατέα χάλκεα ἢ 286
κεράμεια, οἷς ἔχουσιν ἔνδον ὕδωρ ἐνέβαλλον οἱ βουλόμενοι σφαιρικοὺς λίθους, ὅσοι τε ἢ ἐρῶντες ἦσάν τινων ἢ ἁπλῶς ποθοῦντές τινας ἐν ἀλλοτρίᾳ διάγοντας· ὧν κοτταβίων ποικίλως περιαγομένων ἐντὸς ἐκινοῦντο πολυειδῶς καὶ οἱ βόλοι κἀντεῦθεν ποιός τις ἦχος ἐτελεῖτο, ὃς ἐκαλεῖτο λάταξ, οἶμαι ποιά τις φωνὴ τῆς ἐκείνων συγκροτήσεως καὶ συγκρούσεως· ἐδήλου

---

6 κόρινθον c 7 τὸν V: τοῦ c 8 ἐξαπλοῦ c Πίνδαρος] Olymp. 13,55
11 ἐδόκησαν Pind. 12 τέμνειν aut τάμνειν Pindari codices 13 ἀτρέος V: ἀτρέως c: ἀτρέος aut ἀτρέως Pindari codices 14 Ἑλέναν Pind. ἀνακομίζοντες V: ἀνακομίζοντες c: κομίζοντες Pind. 15 τοῖσι Pind. 16 not. marg. πειρήνη ὅρος περὶ κόρινθον V (παρὰ pro περὶ c) 18 Σιμωνίδης] fr. 50 Bergk. 22 fort. Ἴφικλος scrib., cf. Apollod. Bibl. I 7,10. schol. Ven. A in Il. Θ 567 cet. 23 ἀδελφὴ cod. Paris. gr. 1951: ἀδελφὴ Vc 24 πολύξεν sic V: utrum aliunde irrepserit hoc nomen an corruptum sit, nescio 27 ὁ λάταξ ὁ c 30 καὶ ante ἐν add. c

δέ τινα περὶ τῶν ἀποδημούντων σημεῖα. ἐκαλοῦντο δὲ κότταβοι οὐ μόνον 286
τὰ ἀγγεῖα, ἀλλὰ καὶ τὰ ἐμβαλλόμενα βόλια· οἷα καὶ νῦν ἐν τοῖς ἱππικοῖς 10
θεάτροις δημοσιεύεται παρὰ τῷ ἀγγείῳ τῶν κλήρων τοῖν ἀντιθέτοιν
μεροῖν ἢ καὶ ἐν ξυλίνοις κλιμακοειδέσι λαβυρίνθοις παιδιᾶς χάριν παρά
5 τισι τρυφῶσιν οἴκοι τελεῖται. ἐκλήθη δὲ κότταβος, ὥς γε μοὶ δοκεῖ, παρὰ
τὸν κόττον τὸν ἐν τοῖς κλήροις τυχηρῶς ἀποβαίνοντα.

Θήρων υἱὸς Αἰνεσιδήμου ὁ τῆς Ἀκράγαντος κρατῶν θυγατέρα αὐτοῦ 15
ἐξέδοτο Δημαρέτην, ἀφ' ἧς καὶ τὸ Δημαρέτειον νόμισμα, πρὸς γάμον
Γέλωνι τῷ ἀδελφῷ Ἱέρωνος τοῦ βασιλέως τῶν Αἰτναίων, λαβὼν καὶ αὐ-
10 τὸς γυναῖκα τὴν θυγατέρα Πολυζήλου τοῦ ἀδελφοῦ Γέλωνος. ἀποθνήσκοντος δὲ Γέλωνος διάδοχος καὶ τῆς στρατηγίας αὐτοῦ καὶ τῆς γυναικὸς 20
ὁ ἀδελφὸς αὐτοῦ Πολύζηλος ἐχρημάτισε κατὰ τὰς τοῦ Γέλωνος προστάξεις· ὥστε τὸ Θήρωνος εἰς Γέλωνα κῆδος εἰς Πολύζηλον μετατεθεῖσθαι.
ἐπεὶ δὲ τοῦ Ἱέρωνος ἐγκοτοῦντος τῷ ἀδελφῷ Πολυζήλῳ ὑπεραγανακτήσας
15 θυγατρὸς ἅμα καὶ γαμβροῦ ὁ Θήρων συνέρραξε μάχην Ἱέρωνι περὶ Γέλαν 25
τὸν Σικελικὸν ποταμόν, ἐν τῇ πόλει Γέλᾳ πάλιν ἐγένοντο αἱ καταλλαγαὶ
τούτων ὑποθήκαις τοῦ λυρικοῦ Σιμωνίδου· ὅτε καὶ γυναῖκα ἠγάγετο ἑαυτῷ
ὁ Ἱέρων τὴν ἀδελφὴν Θήρωνος. Αἰνεσίδημος οὖν ὁ τῶν Ἀκραγαντίνων
οἰκιστὴς τὴν Γέλαν ὑπέταξεν, ἧς ἦσαν ἄποικοι οἱ Ἀκραγαντῖνοι ἀνέκαθεν. 30
20 ταῦτα ἀκριβέστερον ἂν γνοίης ἐντυχὼν Πινδάρῳ τὸν ὀλυμπιονίκην ἐπινικον συγγεγραφότι ἐπὶ Θήρωνι τῷ υἱῷ Αἰνεσιδήμου.

15. [1375 b 30] Βουλόμενος δεῖξαι Σόλων ὁ Ἀθηναῖος, ὅτι ἄνωθεν | ἡ Σαλαμὶς ὑπὸ Ἀθηναίους ἦν, ἔγραψεν εἰς τὴν δίκην καὶ στίχους 287
ἀπὸ τῆς Βοιωτίας Ὁμήρου

25 "Αἴας δ' ἐκ Σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας,
στῆσε δ' ἄγων, ἵν' Ἀθηναίων ἵσταντο φάλαγγες."

ταῦτα οὕτω παρασημειοῦται καὶ Πλούταρχος ἐν τῷ τοῦ Σόλωνος παραλ- 5
λήλῳ. [1375 b 31] καὶ Περίανδρος δὲ ὁ Κορίνθιος, οὗ καὶ αὐτοῦ πολὺν
λόγον ποιεῖται οὗτος ὁ Χαιρωνεὺς ἐν τῷ τῶν ἑπτὰ σοφῶν Συμποσίῳ,
30 σοφώτατος ἦν χιλίων ἐλεγείων ποιητὴς Σόλωνι συνακμάσας.

[1377 a 7] Νεκεσσάριος ὅρκος λέγεται ὁ τέλειος ἤγουν ὁ ἐπακτὸς καὶ ἀντεπακτός. δεύτερος ὅρκος ὁ ἰουδικιάλιος, ὃς ἀπὸ τοῦ δικαστοῦ δίδοται. 10
τρίτος ὁ βουλευτάριος, ὁ θελήματι ἰδίῳ τῶν μερῶν ἀμφοῖν συνιστάμενος
καὶ βουλήματι. τέταρτος ὁ ἰν λίτεμ, ὁ ποίνιμος, ὁ μονομερής· ὁ γὰρ ἐπη-
35 ρεαστικὸς ὅρκος ὁ καλουμνίας, ὁ λεγόμενος παρ' Ἕλλησι συκοφαντικός,
κυρίως ὅρκος οὐκ ἔστιν. 15

---

3 τῷ κλήρῳ c 5 γέ V: τε c 7 Θήρων scripsi: θήρωνος Vc (θήρων ὃς υἱὸς ἦν cod. Paris. gr. 1951) 12 ὁ ἀδελφὸς c: ἡ ἀδελφὴ cod. Paris. gr. 1951: ἡ ἀδελφὴ V 16 γέλᾳ c: γελλα V 19 γέλαν c: γέλλαν V 23 ἀθηναίους V: ἀθηναίοις c 24 ἀπὸ τῆς Βοιωτίας Ὁμήρου] B 557 26 ἵνα c 27 Πλούταρχος ἐν τῷ τοῦ Σόλωνος παραλλήλῳ] c. X 31 νεκεσάριος Vc 32 ἰουδικάλιος Vc 33 βουλουμπάριος Vc 34 ἰλιτ, tum II litterae evanuerunt, ὁ V: ἰλίτεμ καὶ ὁ c 34 ὁ μονομερὴς V: ὁμοιομερὴς c

Εἶπεν ἐν τῷ πρώτῳ ὁ φιλόσοφος, ὅτι 'αἱ πίστεις ἔντεχνόν ἐστι μόριον ῥητορικῆς μόνον, τὰ δ' ἄλλα προσθῆκαι' ἤγουν τὰ προοίμια καὶ τὰ περὶ αὐτά, καὶ ὅτι 'τὰ ἐνθυμήματα σῶμα τῆς πίστεως· διαβολὴ γὰρ καὶ ἔλεος καὶ ὀργὴ καὶ τὰ τοιαῦτα πάθη τῆς ψυχῆς οὐ περὶ τοῦ πράγματός ἐστι' καὶ τὰ ἑξῆς. εἶπε δὲ καὶ περὶ νομοθεσίας ἐκεῖ, ὅτι 'αἱ νομοθεσίαι ἐκ πολλοῦ χρόνου σκεψαμένων γίνονται'· ὁ γὰρ Λυκοῦργος ἐν ἐννέα ὅλοις χρόνοις ἐσκέπτετο τοὺς οἰκείους νόμους, ἐρήμοις μόνος ἐνδιαιτώμενος χώραις, ὡς καὶ Πλούταρχος παρασημειοῦται καὶ Πλάτων ὁ μέγας ἐν Νόμοις παραδίδωσιν. οὕτω πρὸ Λυκούργου καὶ Μίνως τὰς νομοθεσίας συνετίθετο παρὰ τοῦ πατρὸς Διὸς διδασκόμενος· καὶ Ὅμηρος περὶ τούτου φησὶν "ἐννέωρος βασίλευε Διὸς μεγάλου ἐριστής". |

288 εἶπε δὲ πάλιν ἐν τῷ πρώτῳ, ὅτι 'ἔντεχνοι πίστεις εἰσίν, ὅπως γένοιτό τις ἐνθυμηματικός', καὶ ὅτι 'τῶν διὰ λόγου ποριζομένων πίστεων (εἰσὶ γὰρ καὶ ἄλλαι πίστεις, αἱ ἄτεχνοι) τρία εἴδη ἐστίν· αἱ μὲν γάρ εἰσιν ἐν τῷ ἤθει τοῦ λέγοντος, αἱ δὲ ἐν τῷ τὸν ἀκροατὴν διαθεῖναί πως, αἱ δὲ ἐν αὐτῷ τῷ λόγῳ'. καὶ πάλιν εἶπε "πάντες δὲ τὰς πίστεις ποιοῦνται διὰ τοῦ δεικνύναι, ἢ παραδείγματα λέγοντες ἢ ἐνθυμήματα". "τὰ δὲ ἐνθυμήματα ἐξ εἰκότων καὶ σημείων." 'εἰσὶ δὲ καὶ κοινὰ ἐνθυμήματα, ὧν εἰσιν οἱ τόποι κοινοί, οἷον ὁ ἀπὸ τοῦ μᾶλλον, ὁ ἀπὸ τοῦ ἧττον καὶ τῶν τοιῶνδε. εἰσὶ δὲ καὶ ἴδια ἐνθυμήματα τὰ φυσικοῖς μόνοις φέρε εἰπεῖν προσήκοντα καὶ ἄλλα ἴδια τὰ ἠθικοῖς.' εἶπε καὶ ταῦτα ἐκεῖ 'διαιρετέον τῶν ἐνθυμημάτων τά τε εἴδη καὶ τοὺς τόπους, ἐξ ὧν ληπτέον· λέγω δὲ εἴδη μὲν τὰς καθ' ἕκαστον γένος ἰδίας προτάσεις, τόπους δὲ τοὺς κοινοὺς ὁμοίως ἁπάντων. πρῶτον δὲ λάβωμεν τὰ γένη τῆς ῥητορικῆς, εἶτα χωρὶς τὰ στοιχεῖα καὶ τὰς προτάσεις.' εἶπεν ὅτι 'τὰ δὲ τεκμήρια καὶ τὰ εἰκότα καὶ τὰ σημεῖα προτάσεις

---

2 ἐν τῷ πρώτῳ] p. 1354a13 2. 3 μόριον ῥητορικῆς om. Arist. 5 οὐ Arist. et ut videtur V (latere videtur sub charta agglutinata): om. c 6 αἱ νομοθεσίαι κτλ.] p. 1354b2 αἱ μὲν Arist. 8 μόναις c 9 Πλούταρχος] Lycurg. c. IV 9. 10 Πλάτων ἐν Νόμοις] erravit Stephanus 11 Ὅμηρος] τ 179 13 ἔντεχνοι κτλ.] cf. p. 1354b21 ὅθεν ἄν τις γένοιτο Arist. 14 τῶν διὰ κτλ.] p. 1356a1 τῶν δὲ διὰ τοῦ λόγου Arist. γὰρ om. c 17 πάντες δὲ κτλ.] p. 1356b5 18 τὰ δὲ ἐνθυμήματα κτλ.] p. 1357a32 19 καὶ ἐκ σημείων Arist. εἰσὶ δὲ καὶ κοινὰ κτλ.] cf. p. 1358a11 sq. 22 διαιρετέον κτλ.] p. 1358a29 24 κοινοὺς (κοινῶς BQYbZb) ὁμοίους Arist. ὁμοίους c 26 τὰ δὲ τεκμήρια κτλ.] p. 1359a7

εἰσὶ ῥητορικαί. καὶ ὁ ἐκ τούτων δὲ συλλογισμὸς ἐνθύμημα λέγεται.' εἰ 288
τοίνυν ἐν τῷ πρώτῳ οὐ τοσοῦτον ἐφρόντισε τῶν προοιμίων ταῖς ἐνθυμημα- 21
τικαῖς πίστεσι τὸ ἐνδύναμον κυρώσας τῶν ἀποδείξεων, ἀλλ' οὖν ἐν τῷ
παρόντι βιβλίῳ μέλει τῷ φιλοσόφῳ καὶ τούτου τοῦ μέρους, ὅπως ποιόν
5 τινα θήσεις τὸν κριτὴν καὶ τὸν ἀκροατήν.

1. [1377 b 16] Ἐκ τίνων μὲν οὖν δεῖ προτρέπειν καὶ ἀπο- 25
τρέπειν· περὶ γὰρ ὧν βουλεύονται πάντες οἱ συμβουλεύοντες, πέντε εἰσίν,
ὡς ἔμαθες ἐν τῷ πρώτῳ· ταῦτα δὲ αἱρούμεθα δι' εὐδαιμονίαν.

[1377 b 18] Καὶ ποῖαι δόξαι. δόξαι περὶ εὐδαιμονίας πολλαί· οἱ
10 μὲν γάρ φασιν αὐτὴν εὐπραξίαν μετ' ἀρετῆς ἢ αὐτάρκειαν ζωῆς καὶ τὰ
προηριθμημένα· μέρη δὲ αὐτῆς εὐγένεια, πολυφιλία καὶ τὰ προειρημένα. 30
ἴδε δὲ καὶ δόξας περὶ ἀγαθοῦ, τί ἐστι τὸ ἀγαθόν, κἀντεῦθεν ὁρμώμενος ὡς
ἀπὸ λημμάτων προτάσεις ποιήσεις τοῦ ἐνθυμήματος. ὁ περὶ πανηγυρικοῦ
λέγων περὶ ἀρετῆς καὶ κακίας εἴπῃ | τὰ δέοντα. ἐξ ὧν καὶ ποιός τις κατὰ 289
15 τὸ ἦθος φανεῖται· ἥπερ ἦν δευτέρα πίστις. οὗτος οὖν ἐρεῖ τὰς δόξας
τὰς περὶ τοῦ καλοῦ καὶ τοῦ καλλίονος. ἀλλὰ καὶ ὁ περὶ τοῦ δικανικοῦ
εἴποι, τί ἐστι τὸ ἀδικεῖν καὶ τίνες ἀδικοῦσι καὶ οἵους καὶ ὅσων χάριν.

[1377 b 19] Περὶ γὰρ τούτων καὶ ἐκ τούτων τὰ ἐνθυμήματα 5
λέγονται· περὶ γὰρ τῶν τριῶν εἰδῶν τῆς ῥητορικῆς τὰ ἐνθυμήματα λέγεται
20 καὶ ἐκ τούτων. τῶν τριῶν δηλαδὴ δοξῶν καὶ τῶν τοιῶνδε προτάσεων· καὶ
γὰρ τὰς συμβουλὰς κρίνομεν καὶ τὴν συμφέρουσαν ἐκλεγόμεθα. ἀλλὰ καὶ
ἡ δίκη κρίνεται. διὰ τοῦτο καὶ ὁ Ἑρμογένης εἴρηκεν "ἐν προβλήμασι 10
γὰρ ἢ κρίνομεν ἢ βουλευόμεθα" καὶ αὖθις "περὶ ὧν ἡ βουλὴ ἢ τὸ δικα-
στήριον συνέστηκε"· καὶ πάλιν ἐν ταῖς Ἰδέαις φησὶν ὅτι "πολιτικὸν λέγομεν
25 ἄνδρα καὶ ῥήτορα λέγομεν μόνον τὸν συμβουλευτικὸν ἢ δικανικόν, τὸν δὲ
πανηγυρικὸν λογογράφον."

2. [1380 a 2] Δῆλον δ' ἄν, ὡς δέοι κατασκευάζειν τῷ λόγῳ 15
τοὺς τοιούτους ἐν τῷ τέλει περὶ τῆς ὀργῆς· ἀποδείξει γάρ τις ἐχθρὸν
τὸν κεκρυμμένον ἐχθρὸν ἀπὸ τῶν παραδοθέντων περὶ ἐχθροῦ τόπων καὶ
30 αὖθις ἀποδείξει φίλον τῇ πόλει ἢ τῷδέ τινι ἢ τῷ δικαστῇ τὸν μὴ ὑπο-
λαμβανόμενον φίλον· ἀφ' ὧν τόπων ὁρμώμενος ποιήσεις τὸν Ἀλκιβιάδην 20
μὴ ὄντα ἐχθρὸν ἐχθρόν· 'τί γάρ, ὅτι δι' ὀργήν, οὐ μὴν δι' ἔχθραν ἔλεγε
κατὰ τοῦ Περικλέους σπεύδων ἀντιλυπῆσαι αὐτὸν προλυπήσαντα;' ἢ πάλιν
τὸν μὴ ὄντα φίλον τοῦδε ποιήσεις φίλον αὐτοῦ διά τινος τῶν ἀποδοθέντων
35 τόπων· 'πῶς γάρ σοῦ, ὦ Περίκλεις, ἐχθρὸς ἂν νομισθείη Ἀλκιβιάδης ὁ 25

6. 7 καὶ προτρέπειν καὶ Arist. 8 ἐν τῷ πρώτῳ] p. 1359b20 10 εὐπραξίαν κτλ.] cf. p. 1360b14 11 μέρη κτλ.] cf. p. 1360b19 12 περὶ ἀγαθοῦ] cf. p. 1362a21 ὡς om. c 13 ἀπὸ λημμάτων c ex codd. Paris. 1869 et 1951: ἀπὸ | fin. vers. |, tum cr. II litterae evanuerunt, μάτων V 15 ἦν c ex codd. Paris. gr. 1869 et 1951: evanuit V 18. 19 ἐνθυμήματα λέγεται Arist. vulg.: λέγεται om. Arist. A 22 Ἑρμογένης] π. εὑρ. A p. 177,13 Sp. 23 ὧν Vc: οὗ Hermog. π. εὑρ. A p. 177,12 Sp. 24 ἐν ταῖς Ἰδέαις] cf. Hermog. π. ἰδ. B p. 403,5 sq. Sp. 27 δ' ἂν om. c δ' ὡς δέοι ἂν αὐτὸν Arist. vulg.: δ' ὅτι δέοι ἂν Arist. A 28 τοὺς om. Arist.

πάντας ἀεὶ τοὺς δημαγωγοὺς ἀγαπῶν καὶ τοὺς ὑπὲρ τῆς πόλεως;' καὶ αὖ 289
φάσκοντος ὅτι 'ἐχθρός εἰμι τοῦ Περικλέους' διαλύσεις λέγων ὅτι 'οὐ πιστευτέος σύ· πῶς γὰρ ὁ ἀεὶ τοὺς βουλευτὰς καὶ τοὺς δημαγωγοὺς καὶ ζηλῶν καὶ θαυμάζων τῆς πόλεως;' καὶ ἐκ τοῦ ἐναντίου πάλιν, εἰ λέγει φίλος
5 εἶναι τοῦ Περικλέους, διαλύσεις ὡς 'οὐχί· πῶς γὰρ ὁ ἔχων τοὺς ἐχθροὺς 30
τοῦ Περικλέους φίλους; ἐχθρὸς ἄρα σύ.' ἀπὸ τοῦδε τοῦ τόπου καὶ μεταβαλεῖς, εἰ βούλει, τὰ τῆς ἔχθρας εἰς ὀργὴν καὶ τὰ τῆς | ὀργῆς εἰς ἔχθραν 290
συναρπάζων τὸν ἀκροατὴν ἀπὸ τῆς οἷον ὁμοιότητος 'ὁ μὲν γὰρ δι' ὀργὴν λυπούμενος συγγνωστός, ὁ δὲ δι' ἔχθραν ματαίαν οὐχί'· ὅταν γὰρ ὦσι
10 περὶ τοῦ αὐτοῦ καὶ ἑνὸς διάφοροι τόποι, τὸ αὐτὸ καὶ ἀνασκευάσεις δι' ἄλλου καὶ κατασκευάσεις δι' ἑτέρου, ὡς ἐπὶ τῆς ὁδοῦ ἔγνως· δείξεις γὰρ 5
αὐτὴν καὶ ἀγαθὸν καὶ οὐκ ἀγαθόν, τὸ μὲν διὰ τοῦ 'οὐ πάντα ἐφίεται', τὸ δὲ διὰ τοῦ 'κίνησιν ταύτην εἶναι καὶ λέγεσθαι.'

11. [1388 b 5] Ὡς γὰρ προσῆκον αὐτοῖς ἀγαθοῖς εἶναι· ζη-
15 λοῦσι γὰρ οἱ ζηλοῦντες τοὺς τὰ ἀγαθὰ ἔχοντας ἀγαθούς, ὅτι καὶ ἑαυτοῖς ἀγαθοῖς οὖσι προσῆκεν αὐτὰ ἔχειν. συντακτέον οὖν καὶ οὕτως, εἰ βούλει, 10
διὰ τὸ σαφέστερον· 'ζηλοῦσι γάρ', λείπει 'τοὺς τὰ ἀγαθὰ εὐτυχήσαντας ἔχειν', 'ὡς προσῆκον αὐτοῖς ἀγαθοῖς εἶναι'· διὰ τοῦτο γὰρ ζηλοῦσιν ὡς ἀγαθοὶ καὶ αὐτοί· εἶτα εἰπὲ 'ὅτι προσῆκε τοῖς ἀγαθῶς ἔχουσι
20 τὰ τοιαῦτα τῶν ἀγαθῶν' ἤγουν τὰ ζηλωτά.

12. [1389 a 16] Ὥσπερ ἔχει τὸ τοῦ Πιττακοῦ πρὸς Ἀμφιά- 15
ραον. ὁ Πιττακός, ὡς ἔοικε, τραγῳδίαν ἐμελέτησεν εἰς Ἀμφιάραον ἐκεῖνον τὸν στρατηγικώτατον καὶ μαντικώτατον· οὗτος γὰρ ἔγνω, ὡς ἐν τῷ Θηβαϊκῷ ἀναιρεθήσεται πολέμῳ, ὡς μάντις· διὰ τοῦτο μηνυόμενος παρὰ τοῦ Ἀδρά-
25 στου ἐλθεῖν εἰς τὸν πόλεμον οὐχ ὑπήκουεν, ἕως τῇ αὐτοῦ γυναικὶ Ἐρι- 20
φύλῃ ἔστειλε χρυσέους κόσμους καὶ χρήματα πρὸς Ἀμφιάραον· ὁ δὲ ταῦτα οὐκ ἐδέξατο. τοῦτο γοῦν μελετῶν ὁ Πιττακὸς ἀπεφθέγξατο περὶ τοῦ χρυσοῦ.

19. [1392 b 11] Ὥσπερ καὶ Ἰσοκράτης ἔφη δεινὸν εἶναι, εἰ ὁ μὲν Εὐθύνους. ἐν τῇ τυραννίδι τῶν τριάκοντα ὡς ἐχθρὸς αὐτῶν
30 διαβληθεὶς ὁ Νικίας τοὺς οἰκέτας ἔξω τῆς γῆς ἐξέπεμψε, τὰ δὲ ἔπιπλα πρὸς 25
Ἰσοκράτην ἐκόμισε, τρία δὲ τάλαντα ἀργυρίου Εὐθύνῳ παρέθετο τῷ ἀνεψιῷ, αὐτὸς δὲ εἰς ἀγρὸν διῃτᾶτο. ὕστερον ὁ Εὐθύνους τὰ μὲν δύο ἀπέδοτο τάλαντα, τοῦ δὲ ἑνὸς ἔξαρνος ἐγένετο. συνηγορεῖ τοίνυν ὁ Ἰσοκράτης ὁ ῥήτωρ τῷ Νικίᾳ κατ' Εὐθύνου (γράφεται καὶ Εὔθυμος, ὄνομα κύριον) 30
35 εἰπὼν 'οὐ δύνασαί τι εὑρεῖν.'

21. [1394 a 19] Ἡ γνώμη καθολικῶς ἐξήνεκται· οἷον πονηρὸν ὁ | συκοφάντης, οὐ μὴν ὁ Αἰσχίνης. 291

[1394 a 22] Ἀπόφανσις. οὕτω καὶ ὁ Ἀφθόνιος ὡρίσατο.

ῦ

4 καὶ (ante ἐκ) V: σὺ c 11 ὁδὸν V 14 ἀγαθοῖς εἶναι, ὅτι προσῆκε τοῖς ἀγαθῶς ἔχουσι, ζηλοῦσι τὰ τοιαῦτα τῶν ἀγαθῶν Arist. 19 ἔχουσι, ζηλοῦσι τὰ Arist.
21 τὸ om. c ὥσπερ τὸ Πιττακοῦ ἔχει ἀπόφθεγμα εἰς Ἀμφιάραον Arist. πρὸς Vc: εἰς Arist. 25 ὑπήκουσεν c 29 εὔθυνος vel εὔθυμος Aristotelis codices; cf. Isocr. 21,2. 3 36 ἐξενήνεγκται cod. Paris. gr. 1951 38 Ἀφθόνιος] II 25,8 Sp.

[1394a27] Τὰ συμπεράσματα γνῶμαί εἰσιν, ἀλλὰ καὶ ἡ μείζων πρότασις. ἢ ἐνθυμηματικῶς παρείληπται. διὰ τοῦτο καὶ ἀρχὴν εἶπε ταύτην ἀφαιρεθέντος τοῦ συλλογισμοῦ· κυρίως γὰρ συλλογισμὸς τότε, ὅταν καὶ ἡ μείζων ληφθῇ καὶ ὅταν μέσος ᾖ· ὧδε δὲ ἐπὶ τῶν ἐνθυμημάτων οὐκ ἔστιν. 291



[1394b7]



[1] ἐνθύμημα μετὰ V: ἐνθυμήματα c

[1394 b 13] Τὸ "ἀνδρὶ δ' ὑγιαίνειν ἄριστον" Σιμωνίδου ἐστὶν 291
ἀπὸ τῶν σκολιῶν αὐτοῦ ἐπῶν· οἱ δ' Ἐπιχάρμου. σκολιὸν δὲ ἐλέγετο τὸ
ᾆσμα διὰ τὴν περίοδον τὴν μεταξὺ τῶν κλινῶν, ἐν αἷς ἀνέκειντο οἱ φίλοι
εὐωχούμενοι, ἄλλος ὧδε καὶ ἕτερος ὧδε. οὕτως ὁ Πλάτων ἐν τῷ Πρω-
5 ταγόρᾳ.

[1395 a 15] Τὸ "ξυνὸς Ἐνυάλιος" εἴποι τις πρός τινα ἡττη- |
θέντα ἐν τῇ μάχῃ καὶ σήμερον δειλαινόμενον ἐξελθεῖν εἰς πόλεμον μετὰ 292
ἐλαττόνων.

[1395 a 18] Ἀττικὸς πάροικος. ἡ παροιμία ἐπὶ τῶν κακουρ-
10 γούντων.

22. [1395 b 29] "Παρ' ὄχλῳ μουσικωτέρους λέγειν". φησὶν
ὁ παρ' Εὐριπίδῃ Ἱππόλυτος πρὸς τὸν πατέρα Θησέα 5

"ἐγὼ δ' ἄκομψος εἰς ὄχλον δοῦναι λόγους,
εἰς ἥλικας δὲ κὠλίγους σοφώτερος.
15 ἔχει δὲ μοῖραν καὶ τόδ'· οἱ γὰρ ἐν σοφοῖς
φαῦλοι παρ' ὄχλῳ μουσικώτεροι λέγειν."

[1396 b 17] Ὁ Κύκνος υἱὸς ἦν Ποσειδῶνος καὶ Χερρονήσου ἐβασί- 10
λευε, κυκνόθρεπτος γεγονώς· διὸ καὶ Κύκνος ἐκλήθη παρὰ τῶν ἁλιέων
"αἰθυόθρεπτος πορκέων λιναγρέτης". βασιλεύων δὲ ἦν σὺν τῷ υἱῷ Τένῃ
20 τῆς Τενέδου. ἄμφω οὖν, τὸν πατέρα καὶ τὸν υἱόν, ἀπέκτεινεν Ἀχιλλεύς. 15

23. [1397 b 5] Ἡ Ἀλφεσίβοια ἡ γυνὴ ἦν Ἀλκμαίωνος ἡ ἀδελφὴ
ἴσως. λυπουμένη οὖν ἐρωτᾷ τὸν Ἀλκμαίωνα, πῶς ἡ πόλις κατέκρινε τὴν
Ἐριφύλην δικαίως ἀποκτανθῆναι· κατέκρινε δὲ 'καὶ σὲ θανεῖν ὡς ἀποκτεί-
ναντα ταύτην.' λύει οὖν ὁ Ἀλκμαίων ὡς 'οὐχ ὑπ' ἐμοῦ ἐχρῆν τὴν 20
25 μητέρα μου θανεῖν, ἀλλὰ παρ' ἑτέρου.'

[1397 b 18] "Καὶ σὸς μὲν οἰκτρός." οἶμαι ταῦτα πρὸς τὴν
Ἀλθαίαν λέγειν τὸν Οἰνέα λυπουμένην δι' ἀδελφὸν αὐτῆς ἀναιρεθέντα παρὰ
Μελεάγρου καὶ διὰ τὸν πατέρα αὐτῆς λυπούμενον. φησὶ γοῦν 'εἰ λυπεῖται
ὁ πατήρ σου διὰ τὸν υἱὸν αὐτοῦ, οὐ δεῖ κἀμὲ πάνυ λυπεῖσθαι ὡς ἀπολέ- 25
30 σαντα τὸν υἱόν μου Μελέαγρον;'

[1397 b 17] Ἔτι εἰ μήτε μᾶλλον μήτε ἧττον, ἀλλ' ὁμοίως δηλαδή.

[1398 a 15] Τὸ δαιμόνιον ἆρα θεὸς ἢ θεοῦ ἔργον; οἷον ὁ Σω-
κράτης κατηγορούμενος, ὅτι οὐκ οἴεται εἶναι θεούς, ἀλλὰ καινὰ καταγγέλλει
δαιμόνια, ἐπεχείρησεν ἀπὸ ὅρου δεικνύων ἐντεῦθεν, ὅτι ἔστι θεός. 30

---

1 ἀνδρὶ κτλ.] scol. 8 Bergk. 3 φίλοι V: φίλῳ c 4. 5 Πλάτων ἐν τῷ Πρωταγόρᾳ] immo Gorg. 451 E 6 ξυνὸς Ἐνυάλιος] Hom. Σ 309 11 μουσικωτέρους Vc Arist. A: μουσικωτέρως Arist. BCTr. Yb man. pr.: μουσικώτερον Arist. E 12 παρ' Εὐριπίδῃ] Hipp. 986 13 λόγον Eurip. 14 κὠλίγους scripsi ex Euripide: κόλίγους Vc 15 μ V (μοῖραν Eurip.): μοι c 17 χερονήσου V 19 αἰθυόθρεπτος vel αἰθυιόθρεπτος Lycophr. Alex. 237 21 τοῦ post ἦν add. c 26 καὶ σὸς κτλ.] adesp. fr. 81. F. T. G.² p. 855 N. 30 μου V: σου c 32 ἆρα V: ἄρα c: fort. ἆρ' οὐ, cf. Arist. τί τὸ δαιμόνιόν ἐστιν; ἆρ' οὐ θεὸς ἢ θεοῦ ἔργον; 32. 33 Σωκράτης] Plat. Apol. 27 C

[1399 a 4] Πατὴρ Νικοκλέους ἦν ὁ Εὐαγόρας. ἐπιτάφιον οὖν τῷ 292
Εὐαγόρᾳ ποιήσας ὁ Ἰσοκράτης πέπομφε τῷ Νικοκλεῖ· ὑμνεῖ δ' ἐν τούτῳ
τῷ λόγῳ τὸν ἄνδρα, πρὸς ὃν καὶ Κόνων ἀρχηγὸς Ἀθηναίων κατέφυγε,
τῶν Λακεδαιμονίων τυραννησάντων, οὓς | Εὐαγόρας καταστρεψάμενος κατή- 293
γαγε πάλιν εἰς τὴν πατρίδα τὸν Κόνωνα.

[1399 a 25] Τὸ ἕλος καὶ τὸ ἅλας, παροιμία ἐπὶ τῶν δυσὶν ἐναν-
τίοις περιπεσόντων. αἱ ἁλυκαί εἰσιν ἀναγκαῖαι καὶ χρήσιμοι, κἄν τε ὀρυκτῶν
ἁλῶν εἰσι, κἄν τε θαλαττίων. ἐπίπρασκεν οὖν τις ἁλυκήν, πλησίον δὲ
ταύτης εἶχε καὶ τόπον ἑλώδη ἄχρηστον πάντως· βιάζεται γοῦν τὸν ἀγορά-
ζοντα τοὺς ἅλας, τὸν εὔχρηστον δηλαδὴ τόπον, ἀγοράσαι καὶ τὸ ἕλος, τὸν
ἄχρηστον· μονώτατα γὰρ ἄν τις οὐ πρίαιτο τὸν ἑλώδη τόπον. [1399 a 26]
τὸ μὲν οὖν ἔν λέγεται ἔσω, τὸ δὲ ἕτερον ἔξω, τὸ δημοκοπούμενον παροι-
μιῶδες, ὃ καὶ βλαίσωσις λέγεται.

[1399 b 11] Εἴτε γὰρ τὸν Ξέρξην βασιλέα ὑμῶν ἡγεῖσθε, εἴτε τὴν
αἴτησιν αὐτοῦ πληρώσετε, τὸ δοῦναι αὐτῷ γῆν καὶ ὕδωρ, τὸ αὐτὸ καὶ
ἐν ὑμῖν ἀποτέλεσμα, τὸ δουλεύειν αὐτῷ'. ληπτέον δέ, ὁποῖον χρήσιμον·
εἰ γὰρ βούλει δεῖξαι μὴ καλὸν εἶναι τὸ δοῦναι γῆν καὶ ὕδωρ, λέγε, ἅπερ
εἴπομεν, εἰ δὲ τοὐναντίον, ὅτι σύμβολον τοῦτο φιλίας μᾶλλόν ἐστιν. ἐζήτει
δὲ ταῦτα ἐκεῖνος ἢ τῆς χώρας ἁπάσης καὶ τῆς ζωῆς αὐτῶν κυριεύειν
μηχανώμενος ἐκ τῆς ἐκείνων θελήσεως ἢ καὶ τῶν σωμάτων αὐτῶν· ἅπασι
γὰρ ἡ γένεσις ἐκ γῆς καὶ ὕδατος· διὸ καὶ ὁ μὲν τῶν ποιητῶν εἶπεν
"ὕδωρ καὶ γαῖα γίνοισθε", ὁ δὲ "γαῖαν ὕδει φύρειν". καὶ πάλιν, εἰ τὴν
εἰρήνην βούλει κωλῦσαι, εἰπέ, ὃ εἴρηται κατὰ Φιλίππου, εἰ δὲ μή, ὅτι τὸ
ζητεῖν τὸν Φίλιππον εἰρήνην σημεῖον μᾶλλον ἀγάπης.

[1399 b 19] Τὸ οὗ ἕνεκα εἰ μὴ γένοιτο· ὡς ὁ Αἴας ἔλαβέ ποτε
παρὰ τοῦ Ἕκτορος τὸ ξίφος, ὁ δὲ παρὰ τοῦ Αἴαντος τὸν ζωστῆρα, καὶ εἰς
κακὸν ἀμφοῖν ταῦτα τὰ δῶρα γεγόνασι· 'ἐχθρῶν γὰρ ἄδωρα δῶρα'.

[1399 b 30] Ἄλλος τόπος κοινὸς καὶ τοῖς δικανικοῖς καὶ τοῖς
συμβουλευτικοῖς σκοπεῖν τά, δι' ὧν προτρέπονται οὗτοι εἰς τὸ ἐρ- |
γάσασθαι, καὶ τά, δι' ὧν κωλύονται τόδε ποιῆσαι· οἷον εἰ ῥᾴδιον, εἰ 294
δίκαιον τόδε τι, προτρεπόμεθά σε αὐτὸ ποιῆσαι. καὶ χάριν τίνος, οἷον
φυλακῆς πόλεως.

[1399 b 35] Ἡ ἐλάττων ἡ ζημία παρὰ τὸ πρᾶγμα τὸ πραχθέν,
ὡς ἐπὶ τῆς ἀντιστάσεως ἔχει τὸ κόψαι τὸν στρατηγὸν τὸ τεῖχος, ἵν' ἐξέλ-
θοιεν οἱ στρατιῶται καὶ ἄκοντες καὶ συμμίξωσι τοῖς πολιορκοῦσι καὶ νίκην
ἐργάσωνται.

---

1 ὁ πατὴρ c 2 Isocr. 9,51 sq. 6 τὸ ἕλος (ABCYᵇ; ἕλκος D; ἔλαιον cet.) πρίασθαι καὶ τοὺς (vulg.; τὰς A) ἅλας Arist. τῶν cod. Paris. gr. 1951: τοῖς Vc 7 ὀρυκτῶν c ex cod. Paris. gr. 1951: ὀρεκτῶν V 8 εἰσὶ κἄν cod. Paris. gr. 1951: εἰσὶν ἂν Vc 13 βλαίσσωσις Vc 22 ὕδωρ κτλ.] Hom. H 99 γένοισθε Hom. γαῖαν κτλ.] Hesiod. Op. 61 25 ἕνεκ' ἂν εἴη εἰ μὴ (ἢ pro εἰ μὴ C) γένοιτο Arist. 27 ταυτὰ V γεγόνεισαν ex γεγόνασι corr. V: γεγόνεισαν c ex cod. Paris. gr. 1869: ἐγεγόνεισαν cod. Paris. gr. 1951 ἐχθρῶν ἄδωρα δῶρα Soph. Aiac. 665 γὰρ Vc: om. Soph.

[1400 a 2] Ἐκ μὲν τῶν ἀποτρεπόντων ἀπολογοῦνται, ἐκ δὲ 294
τῶν προτρεπόντων κατηγοροῦσι· κατηγορῶ γάρ τινος λέγων 'διὰ τί
τόδε τι οὐκ ἐποίησας, καίτοι ῥᾴδιον καὶ συμφέρον;' πάλιν ἀπολογοῦμαι
ὑπέρ τινος λέγων 'δικαίως οὐκ ἐποίησεν ὅδε τόδε· ἀδύνατον γὰρ ἦν καὶ 10
5 ἀσύμφορον'.

[1400 b 23] Ἀφροδίτη ἐξ ἀφροσύνης κέκληται. ἐν τῷ δράματι τῶν
Τρωάδων ὑπὲρ ἑαυτῆς δημηγορησάσης τῆς Ἑλένης πρὸς Μενέλαον ἀπολο-
γεῖται ἡ Ἑκάβη πρὸς αὐτὴν καὶ δείκνυσιν αὐτὴν ψευδομένην.

[1400 b 18] Ἀλλὰ καὶ ἐν τοῖς τῶν θεῶν ἐπαίνοις, ὡς ὁ Ζεὺς
10 ὀνομάζεται ὡς ζωῆς ἡμῖν αἴτιος· τὴν δὲ αἰτιατικὴν Δία λέγομεν διὰ τὸ 15
προνοητικὸν αὐτοῦ πρὸς ἡμᾶς καὶ φυλακτικὸν διὰ τὴν διά πρόθεσιν· δι'
αὐτοῦ γὰρ συντηρούμεθα.

24. [1401 a 1] Τὰ παρὰ τὴν λέξιν σοφίσματα ἐξαχῶς συμβαίνει.
αὐτὸς δὲ ἓν μέρος τούτων τίθησι τὸ μὴ συλλογισάμενον συμπερασ- 20
15 ματικῶς εἰπεῖν τὸ τελευταῖον· ὡς ὁ Παρμενίδης 'τὸ παρὰ τὸ ὂν οὐκ
ὄν, τὸ οὐκ ὂν οὐδέν, ἓν ἄρα τὸ ὄν'. τελευταῖον δὲ εἶπε καὶ οὐ συμπέ-
ρασμα, ὅτι κυρίως συμπέρασμα τότε ἐστίν, ὅτε καὶ προτάσεις.

[1401 a 5] Φαινομένως δὲ ἐνθύμημά ἐστι καὶ τὸ ἐν τοῖς ἐνθυμή-
μασι τὴν μείζονα πρότασιν καὶ παραλελειμμένην, ἣν καὶ ἀντικεῖσθαί φησι 25
20 τῇ ἀληθεῖ, ἀντικειμένως, τουτέστι ψευδῶς, εἰπεῖν· ψευδοῦς γὰρ ὄντος
τοῦ ὅτι 'πᾶς ὁ νύκτωρ πλανώμενος κλέπτης' ἡ πρότασις καὶ μείζων καὶ
παρελείφθη ἡ ἀντικειμένη ἀληθὴς ἡ 'οὐ πᾶς'.

[1401 a 4] Καὶ τὸ τοῖς ἐνθυμήμασι συνεστραμμένως. συνε-
στραμμένον τὴν μείζονα πρότασιν λέγει ὡς παραλειφθεῖσαν μέν, συστρέ- 30
25 φουσαν δὲ καὶ ἐνάγουσαν τοὺς δικαστὰς πρὸς εὕρεσιν ἑαυτῆς. διὸ καὶ ἐν
τῇ Ἀποδεικτικῇ εἶπε 'συμπείθουσι'· σὺν τῇ καθ' ὅλου γὰρ τῇ παραλελειμ-
μένῃ ἐκείνῃ ὅλον τὸν συλλογισμὸν οἷον ἀπαρτίσαντες ἐν ἑαυτοῖς οἱ δικασταὶ 295
ἢ παρεῶσιν ἢ πείθονται. διὸ καὶ εἶπε πάλιν, ὅτι ἡ μείζων αὕτη καὶ
παραλειφθεῖσα ψευδὴς οὖσα χώρα ἐστὶν ἐνθυμήματος, οὐ μὴν ἐνθύ-
30 μημα, ἀλλὰ τόπον οἷον ἐνθυμήματος ἀποπληροῖ.

[1401 a 7] Τὸ δὲ 'καὶ ἔοικε δὲ τὸ τοιοῦτον παρὰ τὸ σχῆμα 5
εἶναι τῆς λέξεως' τοιοῦτόν ἐστιν, ὅτι ἐσχημάτισται κατὰ τὴν λέξιν
ὁμοίως τῷ ἀληθεῖ, οὐ μὴν ἀληθῶς οὕτως ἔχει· ὥσπερ εἴ τις εἴπῃ 'τὸ
θῆλυ οὐδέτερον, τὸ ἄρρεν οὐδέτερον, τὸ ἄρρεν ἄρα θῆλυ'.

35 [1401 a 9] Ὅτι τοὺς μὲν ἔσωσε. κεφάλαιον ὧδε εἶπε τὰ προβλή-
ματα δεόμενα τῆς τῶν οἰκείων ἑκάστῳ προτάσεων δείξεως. 10

---

3 ἀπολογοῦμαι cod. Paris. gr. 1951: ἀπολογοῦμ V: ἀπολογοῦνται c 6. 7 ἐν τῷ δρά-
ματι τῶν Τρωάδων] Eurip. Troad. 990 8 ἡ om. c 9 ἀλλὰ καὶ V: *et* Arist.
Tr.: καὶ ὡς Arist. cet. 14. 15 συμπερασματικὸν Arist. DEQZb: συμπερασματικῶς
Arist. cet. 15 τὸ τελευταῖον εἰπεῖν Arist. 23 τὸ συνεστράμμένως Arist. vulg.:
τὸ συνεστραμμένον Arist. A 24 παραλειφθεῖσαν scripsi: παραληφθεῖσαν Vc
25. 26 ἐν τῇ Ἀποδεικτικῇ] Anal. pr. A 1 p. 71a9 26 συμπείθουσι V Arist.: συμπεί-
θουσα c 31 δὲ (post ἔοικε) om. Arist. 31. 32 εἶναι παρὰ τὸ σχῆμα Arist.

[1401 a 11] Τὸ δὲ 'ἐξ ἄλλων ἀπεδείχθη' ἀντὶ τοῦ 'ἀποδειχθῆναι ἐχρῆν' εἴρηται.

[1401 a 16] Τὸν ἐν τῷ οὐρανῷ ἤτοι τὸν κύναστρον ἢ τὸν τράγον ἐγκωμιάζων τὸν Πᾶνα τὸν θεὸν τὸν τραγοσκελῆ καὶ γενετήτην καὶ κερασφόρον εἰς τὸ ἐγκώμιον φέροι τοῦ χιμάρου. τὸ δὲ τοῦ Πινδάρου ᾆσμα οἱ μὲν εἰς τὸν Πᾶνα ἐκδεδώκασι κυνοειδῆ θεὸν ὄντα, ὡς ἔφησαν· παντοδαπὸν δὲ εἶπον ὡς συμμιγέντων πάντων τῶν θεῶν τῇ Ῥέᾳ ἢ τῇ Ἥρᾳ καὶ γεννηθέντος οὕτω τερατώδους τοῦ Πανός. ἐγὼ δὲ τὸν κύναστρον λέγω ὡς κύνα ἄλλον ἢ τῆς Ἀρτέμιδος ἢ ἄλλως· καὶ ἀνάγνωθι τὰ Φαινόμενα τοῦ Ἀράτου καὶ εὑρήσεις περὶ τοῦ κυνός. τινὰ δὲ τῶν βιβλίων κοινὸν μῖγμα καλέουσιν ἔχουσι· τότε γάρ, εἰ οὕτω γράφεται, τὸν Πᾶνα νόησον.

[1401 a 18] Ἢ τὸ μηδένα εἶναι κύνα. ἢ τὸ τῶν φιλοσόφων κυνικὸν καὶ αὐστηρὸν καὶ φυλακτικὸν τῶν ὀρθῶν δογμάτων δηλοῖ ἢ τοῦ ζῴου φιλητικόν· κύω γὰρ τὸ φιλῶ λέγεται· φιλεῖ γὰρ τοὺς οἰκείους, καθυλακτεῖ δὲ τῶν ἀλλοτρίων.

[1401 a 22] Οἱ ἀγαθοὶ οὐκ ἀξιοχρήματοι λέγονται ἀλλ' ἀξιόλογοι.

[1401 a 24] Ἄλλος τὸ διῃρημένον. καὶ οὗτος ὁ τόπος τῶν παρὰ τὴν λέξιν ἐστὶ σοφισμάτων· ἃ γὰρ ἐδίδαξεν ἐν τοῖς Σοφιστικοῖς ἐλέγχοις, ταῦτα, ἅ ἐστιν ὁμωνυμία, ἀμφιβολία, σύνθεσις, διαίρεσις, προσῳδία, σχῆμα λέξεως.

[1401 a 29] Καὶ ἐπεὶ τὸ δὶς τοσοῦτον νοσῶδες. τὰ μὲν εἰρημένα παρὰ τὴν σύνθεσιν ἦσαν σοφίσματα, τὸ παρὸν δὲ παρὰ τὴν διαίρεσιν· εἰ γὰρ τὰ εἴκοσι κεράτια τῆς ἐντεριόνης βλαβερὸν φάρμακον τῷ προσιεμένῳ, οὐδὲ τὸ ἥμισυ τούτων ἤγουν τὰ δέκα ἀβλαβὲς καὶ ὑγιεινόν· πῶς γάρ, ἐπεὶ τὰ εἴκοσιν ἐδόθησαν βλαβερά; εἰ γὰρ τὰ δέκα τούτων ὑγιεινόν, λοιπὸν οὐχὶ τὰ εἴκοσιν ἐδόθησαν βλαβερόν. ἀλλὰ μὴν ἐδόθησαν· εἰ γὰρ τὰ δύο νομίσματα καλόν τι, ἐξ ἀνάγκης καὶ τὸ ἓν τούτων τοιοῦτον.

[1401 a 31] Ἄτοπον γάρ, εἰ τὰ δύο ἀγαθὰ ἓν κακόν ἐστι. τοῦτο πολλὰ πράγματα παρέσχε τοῖς διδασκάλοις ἡμῶν καὶ ἐξηγηταῖς· ἐγὼ δὲ ὡς ἔνι τὸ παρόν, ὡς οἶμαι, σαφηνίζω. ἀλλὰ πρῶτον ἄξιον προκατα-

---

2 ὡς ante ἐχρῆν add. c 3. 4. 5 ἢ εἴ τις (τὸν ins. vulg.) κύνα ἐγκωμιάζων τὸν ἐν τῷ οὐρανῷ συμπαραλαμβάνοι ἢ τὸν Πᾶνα Arist. 4 τῶν θεῶν c 5 φέρει c 9 καὶ ante ἄλλως add. c 9. 10 τὰ φαινόμενα bis V τὰ Φαινόμενα τοῦ Ἀράτου] v. 325 13 ἢ ὅτι τὸ Arist. ἢ (post κύνα) V: om. c τὸ τῶν φιλοσόφων scripsi: τὸ, tum cr. III litterae evanuerunt, φιλοσ$^{\varphi'}$ V: τὸ πρὸς φιλοσ$^{\varphi'}$ cod. Paris. gr. 1869: τὸ πρὸς φιλοσοφίαν c ex cod. Paris. gr. 1951: τὸ πρὸς φιλόσοφον Brandis 14 fort. ⟨τὸ⟩ τοῦ 19 ἐν τοῖς Σοφιστικοῖς ἐλέγχοις] Arist. p. 162 a 22 sq. 20 ἅ om. cod. Paris. gr. 1951 ἀμφιβολία scripsi ex Arist. Soph. el. p. 162 a 22: ἀμ, tum cr. IV litterae evanuerunt, V: ἀμελειότης c 22 ἐπεὶ Vc Arist. vulg.: ἐπὶ Arist. A νοσῶδες scripsi ex Aristotele: cr. III litterae evanuerunt, tum δες, V: ὅσον εἶδες c 23 δὲ παρὰ scripsi: post δὲ cr. III litterae evanuerunt V: δὲ (om. παρὰ) c 24 ἐντεριόνης V (ο ex ω corr.): ἐντεριώνης c 25 καὶ om. c 31 fort. σαφηνίσω

στῆσαι τὸ νόημα τοῦ προτέρου σοφίσματος τοῦ καὶ ἐπεὶ ⟨τὸ⟩ δὶς τοσοῦτον 296
νοσῶδες, μηδὲ τὸ ἓν φάναι ὑγιεινὸν εἶναι. ἀντίστροφόν ἐστι τόδε· 10
ἐκεῖ μὲν γὰρ ἐπὶ δύο ἐδόθη ὁ λόγος βλαβερῶν καὶ ἐξ ἀνάγκης καὶ τοῦ
ἡμίσεος τοιούτου, ὧδε δὲ ὡς ἐπὶ δύο ἀγαθῶν καὶ ἐξ ἀνάγκης καὶ τοῦ
5 ἡμίσεος τούτων τοιούτου ἤγουν ἀγαθοῦ· εἰ γὰρ τὰ δύο ἀγαθά, καὶ τὸ ἓν
τούτων ἀγαθόν· οὐ γὰρ τὰ δύο λοιπὸν ἀγαθὰ δέδονται· ἀλλὰ μὴν δέδονται. 15
συντακτέον οὖν οὕτως 'ἄτοπον γάρ ἐστι καὶ ἀτόπαστον καὶ οὐδενὶ ὑπο-
λῆπτὸν τὸ ἓν κακόν, εἰ τὰ δύο εἰσὶν ἀγαθά'. ὑποδιαστολὴν οὖν τίθει
εἰς τὸ δύο καὶ ἑτέραν εἰς τὸ ἀγαθά καὶ ἑτέραν εἰς τὸ ἕν καὶ ἑτέραν
10 εἰς τὸ κακόν, τοῦ ἐσχάτου δηλαδὴ τοῦ ἔστι τῷ 'ἄτοπον γάρ' συνταττο-
μένου. ἐμιμήσατο οὖν ὡς ἔοικεν ὁ δαιμόνιος τὸ παρὰ τὴν διαίρεσιν τοῦτο 20
σόφισμα καὶ τοῖς πολλοῖς τούτοις διαιρετικοῖς σχήμασι ταῖς λεγομέναις
ὑποδιαστολαῖς.

[1401 a 27] Τὸ δὲ 'τριήρης ἐν Πειραιεῖ' σόφισμα παρὰ τὴν σύν-
15 θεσίν ἐστιν, ἡ δὲ λύσις τούτου παρὰ τὴν διαίρεσιν γίνεται. ὁμοίως καὶ
τὸ 'τὸ ἔπος οἶδεν ὁ καὶ τὰ στοιχεῖα.' τὸ δὲ 'ἐπεὶ τὸ δὶς τοσοῦτον 25
νοσῶδες' καὶ τὰ ἑξῆς παρὰ τὴν διαίρεσιν μὲν ὡς σόφισμα, ἡ δὲ λύσις
τούτου λοιπὸν παρὰ σύνθεσιν· εἰ γὰρ τὰ εἴκοσι κεράτια τὸ φάρμακον νοσο-
ποιόν, τὸ ἥμισυ τούτων ἤγουν τὰ δέκα ὑγιεινόν· ἀλλὰ μὴν τὰ εἴκοσιν
20 ἐδόθησαν νοσοποιόν· οὐκ ἄρα τὰ δέκα ὑγιεινόν. ὁρᾷς, πῶς ὁ ταῦτα λέγων 30
σοφίζεται διαιρῶν τὰ εἴκοσιν εἰς δέκα καὶ δέκα καὶ τὴν μὲν μίαν δεκάδα τῆς
εἰκοσάδος ἀγαθὸν τὴν δὲ ἑτέραν βλαβερὸν θέμενος· ὃ ἄτοπον, ὥς φησι·
τὰ γὰρ εἴκοσι νοσερὸν ἐδόθησαν. ἀλλ' οὐ δεῖ διαιρεῖν, ὦ οὗτος, τὰ εἴκοσιν,
ἀλλὰ μενέτωσαν | τὰ εἴκοσιν ἀδιαίρετα ὡς μέρος ἕν, εἶτα τίθει ἕτερα 297
25 δέκα κεράτια ὑγιεινόν, ὡς ὁμοῦ τά τε βλαβερὰ τά τε ὑγιεινὰ τριάκοντα
ἀριθμεῖσθαι· σὺ δὲ εἴκοσι τὰ πάντα ποιεῖς, ἀλλ' οὐ τοῦτο. ἔστω οὖν ἡ
σύνθεσις τῶν εἴκοσι σώα καὶ ἀδιαίρετος, τεθείσθω δὲ καὶ ἥμισυ τούτων 5
ἕτερα δέκα καὶ μὴ ἡ ἐν αὐτοῖς δεκάς· ἡ γὰρ εἰκοσὰς σώα τηρείσθω, ὡς
εἶπον· ὧδε δὲ δεικτέον.

30 [1401 a 32] Οὐ γάρ ἐστιν ἓν κακὸν δύο ἀγαθά. καὶ τοῦτο τὸ
ῥητὸν ταραχὴν πεποίηκε τοῖς ἐξηγηταῖς· ἀλλ' οὕτω καὶ τοῦτο ὡς οἶμαι
κατορθωθήσεται. 'τὰ δύο', φησίν, 'ἀγαθὰ οὐκ ἔστιν ἓν κακόν'· καὶ τοῦτο
παρὰ τὴν διαίρεσιν, ὡς εἴρηται, τὸ σόφισμα. καὶ ἐὰν μὲν εἶχε τὸν εἴ 10
συναπτικὸν σύνδεσμον, οὐκ εἶχεν ὄχλησιν τὸ ῥητόν, ἵνα ᾖ οὕτω 'οὐ γάρ
35 ἐστιν ἓν κακόν, εἰ δύο ἀγαθά'· εἰ γὰρ τὸ διπλάσιον ἀγαθόν, οὐκ ἄρα
κακὸν τὸ αὐτοῦ ἥμισυ ἤγουν τὸ ἓν τῶν δύο· τὰ γὰρ δύο δέδοται ἀγαθά·
καὶ ἐπελυσάμεθα ἀνώτερον. ἰδοὺ τὸ σόφισμα διὰ τῆς συνθέσεως σόφισμα 15
μένον ἀπὸ τῆς διαιρέσεως. νῦν δέ, ἐπεὶ οὐκ ἔχει τὸν σύνδεσμον, δυσκο-

---

1 τὸ addidi ex Aristotele 16 οἶδεν, εν ex α corr., V 19 κ̄ V: εἴκοσι c
22 τι ante θέμενος eras. V 23 κ̄ (ante ἀλλὰ) Vc 30 *non enim est unum malum duo bona* Arist. Tr.: οὐ γάρ ἐστιν ἓν ἀγαθὸν δύο κακά Arist. cet. 33 μὲν, ἐν ex corr., cod. Paris. gr. 1951: μὴ Vc 34 οὕτως c 35 ἐστιν ἓν V: ἐστι, om. ἓν, c

λίαν φέρει τὸ ῥητόν· οὐ γάρ ἐστι κακὸν δύο ἀγαθά. φημὶ οὖν, ὡς οὐκ 297
ἔστι τὰ δύο ἀγαθὰ διαιρούμενα πάντως εἰς ἓν καὶ ἓν ἓν κακόν (προσυπάκουε
'καὶ ἓν ἀγαθόν')· οὐ δεῖ γὰρ τὴν δυάδα τὸ ἀγαθὸν διαιρῆσαι εἰς ἓν κακὸν
καὶ εἰς ἓν ἀγαθόν, ὅ, εἰ καὶ σεσιώπηται, ἀλλ' οὖν τῷ προσέχοντι εἴρηται· 20
5 τὰ γὰρ δύο δέδοται ἀγαθὸν ἤγουν τὸ ἓν καὶ τὸ ἓν τῆς δυάδος ἀγαθόν,
ὡς καὶ δέδοται. καὶ λοιπὸν ψεύδῃ λέγων τὸ ἥμισυ κακὸν ἢ τὸ ἓν καὶ
τὸ ἓν τῆς δυάδος κακά, καὶ λοιπὸν καὶ πάλιν ψεύδῃ· τὰ γὰρ δύο δέδοται
ἀγαθόν. κἂν τοίνυν τὸ ἓν τῆς δυάδος φυλαττέσθω ἀγαθόν, τὸ δὲ ἕτερον 25
ἔστω κακόν, καὶ πάλιν ψεύδῃ· τὰ γὰρ δύο δέδοται ἀγαθόν. τοῦτο γοῦν
10 τὸ μέρος τῆς διαιρέσεως ἐνταῦθα παρέλαβεν εἰπὼν ὁ φιλόσοφος οὐ γάρ
ἐστιν ἓν κακὸν δύο ἀγαθά· ὥστε λυτέον καὶ τοῦτο, ὡς ἄνω παρ'
ἐμοῦ λέλυται· τὰ δύο φυλαττέσθωσαν κεράτια σῶα καὶ ἀδιαίρετα, εἶτα
ἑτέρωθεν ἰδίᾳ λάμβανε ἕν, ἵν' ᾖ, εἰ τὰ δύο ὑγιεινόν, τὸ ἕτερον ἓν ἐκεῖνο 30
νοσῶδες, εἰ δὲ τὰ δύο νοσῶδες, τὸ ἕτερον ἓν ἐκεῖνο ὑγιεινόν. παρὰ τὴν
15 διαί|ρεσιν οὖν τὸ ἁμάρτημα, λέλυται δὲ ἀπὸ τῆς συνθέσεως· ὃ ἔδει δεῖξαι. 298

23. [1397 b 20] Καὶ ὅτι εἰ μὴ Θησεὺς ἠδίκησεν. ὄπισθεν εἴρηται τοῦτο εἰς τὸν τέταρτον τόπον. ἡρπάγη γὰρ πρὸ τοῦ Ἀλεξάνδρου ἡ Ἑλένη ὑπὸ Θησέως, Ἕλληνος σώφρονος καὶ μεγάλου, υἱοῦ Αἰγέως τῷ 5
φαινομένῳ, τῇ δ' ἀληθείᾳ Ποσειδῶνος, οὔπω μὲν ἀκμάζουσα, εἴδει δὲ
20 τῶν ἄλλων ἀκμάζουσα. εἰς Ἄφιδναν δὲ πόλιν τῆς Ἀττικῆς ταύτην ἐκόμισε παραθέμενος τὴν κόρην Αἴθρᾳ, τῇ Πιτθέως μὲν θυγατρί, μητρὶ δὲ ἑαυτοῦ· ὅτε καὶ οἱ Διόσκουροι λαφυραγωγοῦσι τὰς Ἀθήνας μὴ τυχόντες 10
Θησέως, αἰχμαλωτίζουσι δὲ καὶ Αἴθραν τὴν αὐτοῦ μητέρα.

[1397 b 21] Καὶ εἰ μὴ Τυνδαρίδαι, οὐδ' Ἀλέξανδρος. Τυν-
25 δάρεως καὶ Ἀφαρεὺς καὶ Λεύκιππος ἀδελφοί. ὁ δὲ Λεύκιππος εἶχε θυγατέρας δύο, Φοίβην καὶ Ἱλάειραν, ἃς οἱ Διόσκουροι ἔτι παρθένους οὔσας ἐξήρπασαν. εἰ γοῦν μὴ οἱ Τυνδαρίδαι πρῶτοι περὶ τὰς ἐξαδέλφας αὐτῶν 15
ἐμάνησαν, οὐδ' ἂν Ἀλέξανδρος περὶ τὴν αὐτῶν ἀδελφήν. οὕτως ἐν τῷ γάμμα τὸ λεξικὸν τοῦ Ὁμήρου λέγει, εἰ καὶ ὁ Λυκόφρων ἄλλως λέγει
30 περί τε τούτων ἀλλὰ καὶ περὶ τῶν τοῦ Ἀφαρέως υἱῶν, Ἴδου καὶ Λυγκέως.

[1400 b 6] Περὶ δὲ τῆς Λευκοθέας τῆς ἐν τῷ κς' τόπῳ μάνθανε, 20
ὅτι ἡ Ἰνὼ Κάδμου θυγάτηρ ἦν, ἡ καὶ Λευκοθέα, ἣ καὶ Νηρηὶς γέγονε· περὶ ἧς καὶ Ὅμηρος ἐν Ὀδυσσείᾳ

"ἣ πρὶν μὲν ἔην βροτὸς αὐδήεσσα,
35 νῦν δ' ἁλὸς ἐν πελάγεσσι θεῶν ἐξέμμορε τιμῆς"

καὶ Πίνδαρος ἐν τῷ ἐπινίκῳ Θήρωνος Ἀκραγαντίνου.

24. [1401 a 33] Πάλιν τὸ Πολυκράτους εἰς Θρασύβουλον, 25
ὅτι τριάκοντα τυράννους κατέλυσεν, ὅμοιον εἴ τις εἴπῃ, ὅτι ὁ ὦμος

---

6 ψεύδεν c 12 ἀδιαίρετα V: ἀνελλιπῆ c 13 ἓν om. c 16 μὴ Vc Arist. vulg.: μὴ δὲ Arist. A 21 τῇ V: τῆς c θυγατρὶ V: θυγατρὸς c 24 καὶ — ἀλέξανδρος Arist. ABC Tr.: om. Arist. cet. μὴ Vc Arist. ATr.: μηδ' Arist. BC οἱ Τυνδαρίδαι Arist. 29 τοῦ ὁμήρου V: τὸ ὁμηρικὸν c Λυκόφρων] Alex. 546 sq. 33 Ὅμηρος] ε 334 35 πελάγεσι c 36 Πίνδαρος] Olymp. 2,30

ἑκατὸν μεδίμνους ἐβάστασεν· οὐ γὰρ ἅμα, ἀλλὰ διῃρημένως ἀνὰ τέσσαρας 298
ἢ ἀνὰ τρεῖς. τὸ δὲ σόφισμα γέγονε παρὰ τὴν σύνθεσιν.

[1401 b 11] Οὗτοι γὰρ διὰ τὸν ἐπ' ἀλλήλοις πόθον ὁμονοήσαντες
ἀπέκτειναν τὸν τύραννον Ἵππαρχον. | 30



3. 4 ὁ γὰρ Ἁρμοδίου καὶ Ἀριστογείτονος ἔρως κατέλυσε τὸν τύραννον Ἵππαρχον Arist.
¹ ὁ om. c



299

[1402 a 10] Εἰκός ἐστι πολλάκις καὶ τὸ μὴ εἰκὸς γίνεσθαι· οἷον τὸ μισεῖν τοὺς κακῶς πεπονθότας τὸν κακῶς ποιήσαντα εἰκός, ἀλλὰ πολλάκις ὁ κακῶς παθὼν ἀγαπᾷ τὸν κακῶς ποιήσαντα· 'ἀγαπᾶτε' γάρ φησι τὸ λόγιον 'τοὺς κακῶς ποιήσαντας ὑμᾶς'. πολλάκις οὖν (ὑπὸ τοῦ ἐναρέτου
5 δηλαδή) καὶ τὸ μὴ εἰκὸς γίνεσθαι γίνεται· τὸ δὲ μὴ εἰκὸς παρὰ τὸ εἰκός· τὸ παρὰ τὸ εἰκὸς ἄρα εἰκός, ἀλλὰ πῇ καὶ ποτέ, οὐ μὴν ἁπλῶς· εἰ γὰρ τὰ πλεονάκις οὕτω, τοῦτ' ἔστιν εἰκὸς μᾶλλον· οἷον εἴ τις εἴπῃ 'εἰκὸς τὸν εὖ παθόντα μισεῖν τὸν εὖ ποιήσαντα', εἰπὲ 'οὐκ εἰκὸς τοῦτο, ὃ λέ|γεις 300
σύ, ἀλλὰ μᾶλλον, ὃ λέγω ἐγώ, ἐκεῖνό ἐστιν εἰκὸς τὸ τὸν εὖ παθόντα φιλεῖν
10 τὸν εὖ ποιήσαντα· διότι καὶ τῷ χρόνῳ τῷ μακρῷ οὕτως ὃ λέγω γίνεται, ἀλλὰ καὶ ἡ φύσις αὐτοῦ τοῦ πράγματος αὐτὸ ὅ φημι ἀπαιτεῖ'.

Γ 1. [1403 b 6] Ἐπεὶ δὲ τρία ἐστίν. ἓν μὲν ἐδιδάχθημεν κεφάλαιον τὸ περὶ γνωμῶν, ἐνθυμημάτων, παραδειγμάτων καὶ ἁπλῶς εἰπεῖν. περὶ ὧν ἐμάθομεν ἐν ταῖς ἰδέαις τῆς Ἑρμογένους ῥητορικῆς ἐννοιῶν· ἃς ἐννοίας
15 ὧδε ὁ Ἀριστοτέλης περὶ τὴν διάνοιαν κέκληκε· τὰ δὲ λοιπὰ δύο ἐν τῷ τρίτῳ βιβλίῳ διδαχθησόμεθα, ἅ ἐστι περὶ λέξεως. τοῦτο δεύτερον κεφάλαιον, καὶ τρίτον τὸ περὶ τάξεως, ὃ ἔοικε τῇ παρὰ Ἑρμογένει μεθόδῳ.

[1] schematis sinistra pars abscissa est

[2] γίνεται c: γ evanuit, ίνετ sub charta agglutinata cognoscuntur, V

3 ἀγαπᾶτε κτλ.] Evang. Matth. 5,44 (ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν) 4 ὑμᾶς cod. Paris. gr. 1951: ἡμᾶς Vc 7 τοῦτο ἐστὶν c 12 ἐπεὶ δὲ V Arist. Q: *quoniam autem* Arist. Tr.: ἐπειδὴ c Arist. cet. 14 τῆς V: τοῦ c

ΑΠΟ ΤΟΥ ΤΡΙΤΟΥ ΒΙΒΛΙΟΥ 300

1. [1403 b 9] Καὶ ἐκ πόσων, ὅτι ἐκ τριῶν, περὶ ὧν εἴρηκε καὶ ἐν τῇ ἀρχῇ τοῦ δευτέρου βιβλίου· τρία γὰρ ταῦτα καὶ ἐκεῖ λέγει, τό τε ποιόν τινα φαίνεσθαι τὸν λέγοντα ῥήτορα ἤγουν σπουδαῖον, εὐλαβῆ, εὔνουν τῇ πόλει, ἀλλὰ καὶ τὸ αὐτοὺς τοὺς δικαστὰς καὶ τοὺς ἀκροατὰς ποιοὺς εἶναι ἤγουν ἢ πρὸς ἔλεον παρακεκινημένους ὑπὸ τῶν προοιμίων ἢ πρὸς ὀργὴν καὶ τὰ τοιάδε πάθη, καὶ τρίτον τὸ καλῶς ἀποδεικνύειν τὰ περὶ ὧν λέγει πράγματα καὶ πιθανῶς· ἃ καὶ ἐν ⟨τῷ⟩ παρόντι παρασημειοῦται τρίτῳ βιβλίῳ.

[1403 b 14] Εἴδη μὲν ἐνθυμημάτων τὸ δεικτικόν, τὸ ἐλεγκτικόν, τόποι δὲ ἐνθυμημάτων οἵ τε κη' ἀλλὰ καὶ οἱ δέκα.

[1403 b 22] Ἡ ὑπόκρισις μέγιστόν ἐστιν ἔν τε ποιήσει καὶ ἐν πεζοῖς λόγοις· ὡς ὁ Χρυσόστομος τὰ κατὰ τὸν Ἀβραὰμ μελετήσας ἐμιμήσατό τε τοῦτον ἄριστα καὶ τὴν Σάρραν καὶ Ἰσαὰκ καὶ τοὺς δούλους καὶ τοὺς Ἰσμαηλίτας· ὡς καὶ ἐκ τῶν περὶ Αἰσχίνην καὶ Δημοσθένην δεδήλωται· ἐτραγῴδησε μὲν γὰρ παρὰ Φίλιππον ἰὼν Αἰσχίνης καὶ καλῶς ὑπεκρίθη καὶ νενίκηκε καὶ ἐστεφάνωται, ὁ δὲ Δημοσθένης μὴ ἔχων εἰς τὴν ὑπόκρισιν ἡττήθη κἀντεῦθεν αὐτοῖς ἡ διαμάχη ξυνέπεσεν. | [1403 b 27] ἔστιν 301
οὖν ὑπόκρισις τὸ ἑκάστῳ πάθει κατάλληλον τὴν ἐξαγγελίαν διὰ τῆς ποιᾶς φωνῆς ποιεῖσθαι· εἰ μὲν γὰρ τύραννον ἢ Πολυμήστορα μιμοῖτο, δεῖ μεγάλῃ χρῆσθαι φωνῇ, εἰ δὲ γυναῖκα οἷον Ἑκάβην ἢ Πολυξένην, μικρᾷ καὶ οἷον ὑπὸ τοῦ πάθους διακοπτομένῃ. ἀλλὰ καὶ τοῖς τόνοις χρηστέον ἁρμοζόντως. διὰ τοῦτο καὶ οἱ τὰ ἅγια εὐαγγέλια ἀναγινώσκειν μανθάνοντες μυοῦνται πρῶτον τοὺς τόνους, ὀξεῖαν καὶ συρματικὴν καὶ βαρεῖαν καὶ λείαν ἐκπαιδευόμενοι. ἔστι μὲν οὖν ἁρμονία φθόγγος ἐξ ὀξέος καὶ βαρέος· ῥυθμοῦ δὲ ἴδιον τὸ ταχὺ καὶ βραδύ.

---

1 ἀπὸ V: ἐκ c 3 ἐν τῇ ἀρχῇ τοῦ δευτέρου βιβλίου] p. 1377b26 8 τῷ c ex codd. Paris. gr. 1869 et 1951: om. V 10 ἐλεγκτικὸν V: λεκτικόν c 11 ἀλλὰ om. c 15 καὶ (post ὡς) om. c δημοσθένη c 17 εὖ post ἔχων add. Brandis 18 συνέπεσεν c 25 λείαν scripsi: τελείαν Vc

[1403 b 32] Τὰ μὲν οὖν ἆθλα οἱ σκηνικοὶ ἐλάμβανον καλῶς ὑπο- 301
κρινόμενοι, οὐ μὴν οἱ ποιηταί· ὥσπερ καὶ σήμερον οἱ ᾄδοντες τὰς περισσὰς 11
ταύτας ᾠδὰς ἐν ταῖς παρ' ἡμῖν ἑορταῖς λαμβάνουσι τὰς τιμάς, οὐ μὴν
οἱ στιχουργήσαντες ταύτας, ἀλλ' οἱ μελίσαντες.

[1404 a 1] Ὅτι δὲ ἡ τῶν λέξεων ἐπιτήρησις οὔτ' ἀναγκαῖον καὶ ὅτι
ὕστερον οἷά τις λώβη τῷ λόγῳ ἐπεισεφθάρη καὶ ὅτι δεινὸς ῥήτωρ ὁ τὰ 15
ἀληθῆ λέγων ἐστὶ μᾶλλον παρ' ὃ ὁ διὰ λέξεων ἐξαπατῶν, ὁ Σωκράτης
δηλοῖ ἐν τῇ πρὸς Ἀθηναίους ἀπολογίᾳ περὶ τῶν κατηγορησάντων αὐτοῦ
λέγων "μάλιστα δὲ αὐτῶν ἓν ἐθαύμασα τῶν πολλῶν, ὧν ἐψεύσαντο, τοῦτο,
ἐν ᾧ ἔλεγον, ὡς χρὴ ὑμᾶς εὐλαβεῖσθαι, μὴ ὑπ' ἐμοῦ ἐξαπατηθῆτε ὡς 20
δεινοῦ ὄντος λέγειν· τὸ γὰρ μὴ αἰσχυνθῆναι, ὅτι αὐτίκα ὑπ' ἐμοῦ ἐξελεγχ-
θήσονται ἔργῳ, ἐπειδὰν μηδ' ὁπωστιοῦν φαίνωμαι δεινὸς λέγειν, τοῦτό
μοι ἔδοξεν αὐτῶν ἀναισχυντότατον εἶναι, εἰ μὴ ἄρα καλοῦσιν αὐτοὶ δεινὸν
λέγειν τὸν τἀληθῆ λέγοντα· εἰ μὲν γὰρ τοῦτο λέγουσιν, ὁμολογοίην ἂν ἔγωγε 25
οὐ κατὰ τούτους εἶναι ῥήτωρ· οὗτοι μὲν γὰρ οὐδὲν ἀληθὲς εἰρήκασιν,
ὑμεῖς δέ μου ἀκούσεσθε πᾶσαν τὴν ἀλήθειαν, οὐ μέντοι, μὰ Δί', ὦ ἄν-
δρες Ἀθηναῖοι, κεκαλλιεπημένους λόγους, ὥσπερ οἱ τούτων, ῥήμασί τε καὶ
ὀνόμασιν οὐδὲ κεκοσμημένους, ἀλλ' ἀκούσεσθε εἰκῇ λεγόμενα τοῖς ἐπιτυ-
χοῦσιν ὀνόμασι· πιστεύω γὰρ δίκαια εἶναι ἃ λέγω". καὶ μετ' ὀλίγα "τοῦτο 30
ὑμῶν, ὦ ἄνδρες, δέομαι, ἐὰν διὰ τῶν αὐτῶν λόγων ἀκούητέ μου ἀπολο-
γουμένου, δι' ὧνπερ εἴωθα λέγειν καὶ ἐν ἀγορᾷ ἐπὶ τῶν τραπεζῶν, ἵνα
ὑμῶν οἱ πολλοὶ ἀκηκόασι, καὶ ἄλλοθι, | μήτε θαυμάζειν μήτε θορυβεῖν 302
τούτου ἕνεκα". καὶ πάλιν μετὰ μικρὸν 'δικαστοῦ μὲν γὰρ ἀρετὴ προσέ-
χειν, εἰ δίκαια λέγω ἢ μή, ῥήτορος δὲ τἀληθῆ λέγειν'.

[1404 a 12] Ἐκείνη μὲν οὖν ὅταν ἔλθῃ, ἡ τοιάδε λέξις καὶ
ποιητική, ἐν τῷ πεζῷ ταὐτὸν δύναται τῇ ὑποκριτικῇ· ἀμφότερα γὰρ 5
παρὰ τοῖς μοχθηροῖς ἀκροαταῖς εὐδοκιμοῦσιν. ἢ οὕτως· ἡ ἔντεχνος ὑπο-
κριτική, ὅταν ἔλθῃ εἰς γνῶσιν ἡμῶν καὶ τεχνωθῇ, ταὐτὸν ποιήσει τῇ
ἀτέχνῳ.

[1404 a 19] Ἤρξαντο μὲν οὖν. οὕτω σύνταξον 'ἤρξαντο οἱ ποιη-
ταὶ μετακινῆσαι καὶ μεταβαλεῖν τὸ πρῶτον, ὡς πέφυκε'· συνάμα τοῦτο
ἀναγνωστέον ἤγουν τὸ πρῶτον πεφυκὸς καὶ παρὰ τοῖς πράγμασιν αὐ-
τοῖς ὄν· τὸ γὰρ φλοῖσβος καὶ τὸ δοῦπος παρὰ τοῖς πράγμασι μόνοις
πρῶτον ἐπεφύκει, ὕστερον δὲ ἐμιμήσαντο ταῦτα καὶ οἱ ποιηταὶ διὰ
τῆς γλώττης· μιμητικωτάτη γὰρ ἡ γλῶττα μιμουμένη καὶ μουσικὴν καὶ

---

4 μελήσαντες c 6 ἐπεισεφθάρη scripsi: ἐπεισεφθάρρη V: ἐπεισεφάνη c ex cod. Paris. gr. 1951 7 Σωκράτης] Plat. Apol. 17 A 13 ἄρα δεινὸν καλοῦσιν οὗτοι (codd. BDP; αὐτοὶ E) λέγειν Plat. 14 μὲν ex μὴ corr. V 15 μὲν οὖν ὥσπερ ἐγὼ λέγω ἢ τὶ ἢ οὐδὲν Plat. 17 γε ante λόγους add. Plat. 19 καὶ μέντοι καὶ πάνυ, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο ὑμῶν δέομαι καὶ παρίεμαι, ἐὰν Plat. 22 οἱ om. Plat. 23 τούτῳ τὸν νοῦν προσέχειν, εἰ δίκαια λέγω ἢ μή· δικαστοῦ μὲν γὰρ αὕτη ἀρετή, ῥήτορος κτλ. Plat. 26 ταὐτὸ Arist. 28 καὶτεχνωθῇ — p. 313,18 κεφαλαλγίας om. c (unum enim folium in cod. Paris. gr. 1869 intercidit; cf. Praef.) 35 μιμητικω γὰρ ἡ γλω V

σάλπιγγα καὶ κώδωνα Λατινικὸν καὶ ἀηδόνας καὶ βατράχους, ὡς σήμερον παρ' ἡμῖν οἱ ψάλται καὶ τότε ὁ κωμῳδὸς 'βρεκεκεκέξ' καὶ τὸ 'κοὰξ κοάξ' καὶ τὸ 'τίο τίο' καὶ τὸ 'θρεττανελό' καὶ τὸ 'ὔ ὔ' καὶ ἄλλα μυρία τοιάδε.

[1404 a 26] Γοργίας ἢ καὶ ποιητὴς ἦν ἢ καὶ αὐτὸς ὁ ῥήτωρ· καὶ τότε γὰρ οἱ μοχθηρότεροι τῶν ἀκροατῶν τὰς Γοργιακὰς λέξεις ἐθείαζον. ἀλλ' οὐ δεῖ τὰς ποιητικὰς λέξεις συνάπτειν τῷ πεζῷ λόγῳ· ἀνοίκειοι γὰρ αὗται τούτῳ. [1404 a 28] δηλοῖ δὲ ὃ λέγω τὸ συμβάν· εἰ γὰρ αὐτοὶ οἱ ποιηταὶ τὰ οἰκεῖα ἔθη παρεῖδον (εἴασαν γὰρ τὸν ἀρχαῖον αὐτῶν τρόπον τὰ τετράμετρα καὶ νῦν ἐπετηδεύσαντο τὰ ἰαμβικὰ ὡς λογοειδέστερα καὶ σαφέστερα καὶ ταῖς ὁμιλίαις ταῖς ἀνὰ χεῖρα συνήθη), πολλῷ μᾶλλον δεῖ ἡμᾶς τοὺς λογογράφους ἐὰν τὸ ποιητικεύεσθαι ὡς οὐδὲ οἰκεῖον ἡμῖν τοῖς πεζοῖς.

[1404 a 32] Οὕτω καὶ τῶν ὀνομάτων ἀφείθη παρὰ τῶν εὐδοκιμούντων σήμερον δηλαδὴ ῥητόρων, οἷον φέρε εἰπεῖν τῶν περὶ Πλάτωνα, ὅσα παρὰ τὴν διάλεκτόν εἰσι, τὴν τοῦ πεζοῦ δηλαδὴ λόγου. ἢ καὶ οὕτως· ὥσπερ οἱ τραγῳδοὶ τὰ ἀρχαῖα μέτρα κατέλειψαν, οὕτω καὶ τὰ ἀρχαῖα ὀνόματα κατέλειψαν οὗτοι, ὅσα ἦσαν παρὰ τὴν διάλεκτον, δηλαδὴ τήν, ᾗ χρῶνται σήμερον. ἐὰν δὲ τὴν παρὰ πρόθεσιν ἀντὶ τῆς διὰ προθέσεως εἴπῃς, ἔσται καὶ οὕτως· ἀφῆκαν λοιπὸν οὗτοι καὶ τὰ ὀνόματα, ἀρχαῖα ὅσα ἦσαν διὰ τὴν διάλεκτον, τὴν ἀρχαίαν δηλαδή.

[1404 a 31. 34] Τετράμετροί εἰσιν οἱ ἔχοντες ὀκτὼ πόδας, τρίμετροι δὲ οἱ ἔχοντες ἕξ, ἑξάμετροι οἱ ἔχοντες δώδεκα.

[1404 a 35] Διὸ γελοῖον μιμεῖσθαι ἡμᾶς τοὺς λογογράφους ἐκείνους τοὺς καὶ τὰ οἰκεῖα καταργήσαντας. ἐμφαντικὸν δὲ τὸ οἱ αὐτοί, ἤτοι αὐτοὶ αὐτότατοι.

2. [1404 b 3] Εἶπεν ἄν τις ὡς 'ἐπεὶ οὐ ταπεινὴν δεῖ λέξιν ἐντίθεσθαι τῷ πεζῷ, οὐ ταπεινὴ δὲ ἡ ποιητική, πῶς αὐτὴν διώκεις;' λύων οὖν τὴν ἔνστασίν φησιν, ὅτι ταῦτα ὀφείλει ἔχειν ἡ πεζὴ λέξις καὶ τοσαῦτα· τὸ σαφές, τὸ οὐ ταπεινόν, τὸ μὴ ὑπὲρ τὸ ἀξίωμα καὶ τὸ πρέπον· ὥστε λοιπὸν ἡ ποιητικὴ οὐ πρέπουσά ἐστι τῷ πεζῷ.

[1404 b 8] Τὸ ἐξαλαπάξαι ἐτυμολογεῖται ἀπὸ τῆς λαπάθου· κενωτικὴ δὲ αὕτη βοτάνη χυμῶν.

[1404b 9] Ὥσπερ τοὺς ξένους τῶν ἀνθρώπων περιεργότερον ὁρῶμεν παρὰ τοὺς ἐθάδας πολίτας, οὕτω καὶ τὴν ποιητικὴν ὡς ξενίζουσαν

---

2 fort. κωμῳδὸς ⟨τὸ⟩ 2. 3 βρεκεκεκὲξ κοὰξ κοάξ] Aristoph. Ran. 209 cet. 3 τίο τίο] Aristoph. Av. 237 cet. θρεττανελό] Aristoph. Plut. 490 ὔ ὔ] Aristoph. Plut. 895 5 ἢ (post Γοργίας) evanuit praeter accentum V 21 τ' ἀρχ̣, supra τ litteram praeter accentum ligatura incerta, V 25 τοὺς superscr. V 32 ἐξαλαπάξαι V Arist. (ἐξαπαλάξαι Victorii cod. p): ἐξαλλάξαι Anon. in Rhet. p. 51,41 cf. Etym. Magn. p. 57,17 ἀλαπάζειν· λάπαθός ἐστι βοτάνη κενωτικὴ τῆς γαστρός

λέξιν μᾶλλον οἱ ἄνθρωποι ἀποδέχονται καὶ ἐκπλήττονται· καὶ ἐνταῦθα συλλογισμὸς πλέκεται

ἡδὺ καὶ θαυμαστόν ἀπόν ξενίζουσα λέξις ἡ ποιητικὴ λέξις.

[1404 b 18] Διὸ δεῖ τοὺς λογογράφους ποιοῦντας ἤτοι ποιητικῶς φθεγγομένους μὴ δοκεῖν, ὅτι δι' αὐτὸ τὸ θέλειν ποιητικεύεσθαι εἶπον τὴν ποιητικὴν λέξιν, ἀλλὰ πεφυκότως, ὅτι κατὰ φύσιν καὶ ὡς ἔχουσιν ἔθος ποιεῖν περὶ τὴν ἀπαγγελίαν ἀπαγγέλλουσι συνέπεσε τὸ τοιόνδε ποιητίκευμα· καὶ πολλάκις λανθάνει τοῦτο τοὺς πολλούς, ὡς τὸ παρὰ τῷ Θεολόγῳ "ἔφεπε κλονέων τῷ λόγῳ τοὺς γεννάδας"· εἰς πεζὸν γὰρ κατέληξε· καὶ τὸ τοῦ Λιβανίου ἐπὶ Ἰουλιανῷ "ὦ πόποι, ἦ μέγα πένθος οὐκ Ἀχαΐδα γαῖαν" καὶ τὸ τοῦ Ἰουλιανοῦ πρὸς τὸν μέγαν Βασίλειον "ὦ χρυσὸν ἀγγείλας ἐπῶν" καὶ τὸ τοῦ Λιβανίου πρὸς Ἰουλιανὸν ἤλυθας, Τηλέμαχε, γλυκερὸν φάος· μέχρι τούτου μοι χρηστέον τῷ ἔπει" καὶ τὰ ἑξῆς. καὶ πολλὰ τοιαῦτα εὑρήσεις παρὰ τῷ Θεολόγῳ· καὶ Ἑρμογένης πῶς ποτε χρηστέον τοῖς ἔπεσιν ἐν πεζῷ λόγῳ διδάσκει.

[1404 b 20] Ἐπιβουλεύοντας ἤτοι ἐπιβουλευομένους λέγει.

[1404 b 24] Κλέπτεται δ' εὖ, ἐάν τις ἐκ τῆς εἰωθυίας τῷ προσώπῳ ἐκείνῳ ὃ μιμεῖται διαλέξεως τινὰς φωνὰς ἐκείνῳ καταλλήλους συνθήσει, ὡς εἴ τις ἀναγινώσκων τὸ μαρτύριον τοῦ ἁγίου Εὐστρατίου καὶ ταῖς Ἀρμενίων φωναῖς μιμούμενος τὸν μέγαν Μαρδάριον χρήσαιτο, ὡς καὶ ὁ κωμικὸς τὸ τοῦ Σκύθου πρόσωπον ὑποκρινόμενος πολλὰ Σκυθικὰ καὶ βαρβαρικὰ εἶπεν, ἢ ἐὰν Ἀττικὸς ἀνὴρ λογογραφῶν πολλὰ τῆς Ἀτθίδος διαλεκτικὰ εἴπῃ· ἑρμήνευε γὰρ καὶ οὕτως.

[1404 b 29] Διπλᾶ ὀνόματα τὸ ἀεροβάμων, αἰθεροβάμων.

[1405 a 9] Τὴν μεταφορὰν οὐκ ἔστι λαβεῖν παρ' ἄλλου, ἀλλὰ παρ' αὐτοῦ τοῦ πράγματος ἢ τοῦ εἴδους ἢ τοῦ γένους· ἀπὸ ἐμψύχου γὰρ εἰς ἔμψυχον ὁρμητέον μᾶλλον ἢ εἰς ἄψυχον· εἰπὲ γὰρ 'ὡς ὁ λέων ἐβρυχήσατο καὶ ὁ βασιλεὺς ὀργισθείς'· ὅ τε γὰρ λέων τὸ θηρίον ἔμψυχον καὶ ὁ βασιλεὺς ἔμψυχον, καὶ ὁ λέων βασιλεὺς θηρίων καὶ ὁ βασιλεὺς βασιλεὺς ἀνθρώπων. οὕτω καὶ ὁ Ἑρμογένης ἐν τῷ περὶ τροπῆς εἶπε "κοινὸν εἶναι δυνάμενον καὶ τοῦ ὑποκειμένου καὶ τοῦ ἔξωθεν ἐμφαινομένου, ὃ κα-

4 ποιοῦντας V Arist. vulg.: ποιοῦντος Arist. A 9 ἔφεπε κτλ.] cf. Hom. X 188 10 Λιβανίου ἐπὶ Ἰουλιανῷ] I 507 R. (cf. Hom. A 254) 11 ἦ V Hom.: ὦ Liban. Ἀχαΐδα Hom. γαῖαν V Hom.: γῆν Liban. Ἰουλιανοῦ πρὸς τὸν μέγαν Βασίλειον] epist. 12. p. 381 (cf. Aristoph. Plut. 268) 12 Λιβανίου πρὸς Ἰουλιανόν] I 451 R. (cf. Hom. π 23. ρ 41) 13 ἤλυθας V: ἤλθες Liban., Hom. μοι scripsi ex Libanio: με V 13. 14 τῷ ἔπει χρηστέον Liban. 15 Ἑρμογένης] περὶ μεθ. δειν. p. 450,21 Sp. 16 ἐπιβουλεύοντας V Arist. CTr.: ἐπιβουλεύοντα Arist. cet. 18 διαλέκτου Arist. 21 ὁ κωμικός] Aristoph. Thesm. 1001 sq. 27 ὁ superscr. V 30 Ἑρμογένης] περὶ εὑρ. p. 254,19 Sp.

λεῖται καὶ μεταφορά". δεῖ γοῦν τὴν μεταφορὰν ἐκ τοῦ ἀνάλογον οἰκονομεῖν καὶ μὴ εἰς ἀπρέπειαν ὁρᾶν.

[1405 a 13] 'Ως νέῳ φοινικίς. μὴ εἴπῃς 'καὶ γέροντι φοινικὶς προσήκει'· ὡς γὰρ νεότης καὶ γῆρας ἐναντία, οὕτω καὶ φοινικὶς καὶ
5 μέλαινα ἐσθὴς ἀντίκειται· τὸ μὲν γὰρ λαμπρόν, τὸ δὲ σκοτεινόν.

[1405 a 14] Καὶ ἐάν τε κοσμεῖν. "ἡμέρας ἄρτι διαγελώσης" εἶπεν ὁ 'Ηλιόδωρος· ἐτίμησε τὴν ἡμέραν ἀπὸ τοῦ περιθεῖναι αὐτῇ ἀνθρώπου ἰδίωμα τὸ γελᾶν. 'ὡς ἡ θάλασσα κυμαίνεται, οὕτω καὶ ἡ τοῦδέ τινος ἀνθρώπου ψυχὴ ταράττεται'· ὕβρισε τὸν ἄνθρωπον οὕτως
10 εἰπών.

[1405 a 18] Τὸν πτωχεύοντα εὔχεσθαι. εἰσέρχονται τοὺς ναοὺς καὶ ὁ δεῖνα καὶ ὁ δεῖνα, ὁ μὲν χάριν τοῦ αἰτεῖσθαι, ὁ δὲ χάριν τοῦ προσεύξασθαι· τὸν οὖν πτωχὸν ἐὰν θέλω ἀτιμῆσαι, λέγω 'εἰσῆλθε χάριν τοῦ αἰτῆσαι', ἐὰν δὲ θέλω τιμῆσαι, λέγω 'εἰσῆλθε χάριν τοῦ εὔξασθαι'.

15 [1405 a 20] 'Εν τῇ ἑορτῇ τῶν Θεσμοφορίων τῇ Δήμητρι οἱ δουλεύοντες ἄλλοι μὲν λαμπάδας καὶ δᾷδας ἀνῆπτον αὐτῇ, ἄλλοι μιτραναδέσμους ἐπώλουν ὡς τῇ θεῷ τετελεσμένους τοῖς βουλομένοις εἰς ἀποτροπὴν φέρε εἰπεῖν κεφαλαλγίας ἢ ἄλλης νόσου. 302

[1405 a 23] Τὸν Σικελὸν τύραννον Διονύσιον οἱ μὲν ἐκολάκευον ἄγαν 10
20 λέγοντες αὐτὸν σοφὸν καὶ τραγικὸν ἄριστον καὶ ἀνδρεῖον, οἱ δὲ κακῶς ἔλεγον αὐτὸν ὡς τύραννον· οὓς καὶ ἀπέκτεινε καὶ ἐπίπρασκεν. ἐκεῖνοι μὲν οὖν ὡς ἀληθεῖς τάχα καὶ ἐνάρετοι ἔσκωπτον τοὺς διονυσιοκόλακας, οἱ δὲ ἐπαινοῦντες ἑαυτοὺς ἔλεγον ὅτι 'ἡμεῖς μᾶλλον παρ' ὑμᾶς ἐσμεν τεχνῖται τέχνῃ τιθασσεύοντες τὸν τοιοῦτον θῆρα, ὑμεῖς δὲ μωροὶ μὴ 15
25 εἰδότες οἰκονομεῖν τοὺς καιρούς'.

[1405 a 26] 'Αδικεῖν ἐστι τὸ ἑκόντα τινὰ κατὰ προαίρεσιν ποιῆσαι τόδε τὸ κακόν, ἁμαρτεῖν δὲ τὸ ἀκουσίως· ὡς εἴ τις κατὰ κυνὸς ῥίψας λίθον ἐκείνου μὲν ἀποτύχῃ, βάλῃ δὲ ἄνθρωπον. ἐὰν οὖν τινα ἀδικήσαντα 20
μέλλῃς τάχα τιμᾶν, εἴποις ἂν ὅτι 'ἥμαρτεν οὗτος καὶ δεῖ τάχα συγγνώ-
30 μην λαβεῖν'· καὶ ἐάν τινα ἁμαρτήσαντα μέλλῃς βλάψαι, εἴποις ὡς 'ὁ παρὼν ἠδίκησε'. πολλάκις κλέπτει τις καὶ λέγω ὅτι 'ὁ παρὼν ἔλαβεν', ὃ τάχα οὐ τοσαύτη ὕβρις· ἐὰν δὲ εἴπω ὅτι 'ὁ παρὼν ἐπόρθησεν', ὕβρις τοῦτο.

[1405 a 29] Διὰ τὸν 'Αχιλλέα λέγει τὸ 'κώπης ἀνάσσων ἦλθεν'. 25

35 [1405 a 31] Ἔστι δὲ καὶ ἐν ταῖς συλλαβαῖς. ὥσπερ ὁ 'Ερμογένης κατὰ πολλοὺς τοὺς τρόπους τὸ κακόζηλον λέγει γίνεσθαι, ἢ διὰ τὸ αἰσχρὸν ἢ διὰ τὸ εὐτελὲς ἢ τὸ ἀνακόλουθον καὶ τὰ λοιπά, καθ' ὅσα τὸ προγύμνασμα ἡ

---

3 νέῳ V Arist. vulg : νέοι Arist. A φοινικὶς V Arist. BCTr.Y^{b} corr.: φοίνικες Arist. cet. 7 'Ηλιόδωρος] Aethiop. I 1 16 μιτρανδέσμους V (cf. Athen. XII 523 d μιτροχίτωνες) 22 τοὺς Vc: fort. αὐτοὺς διονυσοκόλακας Arist. (διονυσοκόλακες DEZ^{b}) 27 τις c: τἳ V 34 κώπης ἀνάσσων] Eurip. Teleph. fr. 705. F. T. G.^{2} p. 583 N. 35. 36 'Ερμογένης] περὶ εὑρ. Δ p. 256,27 Sp.

ἀνασκευὴ γίνεται, οὕτω καὶ ὁ Ἀριστοτέλης ὧδε περὶ μεταφορὰς διδάσκων 302
καλῆς τε καὶ φαύλης λέγει, ὅτι οὐ μόνον ἐν ὀνόμασι καὶ ῥήμασι γίνεται 31
φαυλότης ταύτης, ἀλλὰ καὶ ἀπὸ συλλαβῆς τραχείας καὶ σκληρᾶς καὶ |
ἀνηδύντου· οἷον καὶ ἐν τοῖς ἐλεγείοις τῆς χαλκῆς στήλης τοῦ τυράννου 303
5 Διονυσίου εὕρηται· τοῦ γὰρ προσαγορεύει ἡ προ συλλαβὴ φαύλην ποιεῖ
τὴν μεταφορὰν διὰ τὴν τραχύτητα τῆς φωνῆς, ἣν ἐποίησεν ἡ ἐπαλληλία
τῶν συμφώνων τοῦ π καὶ τοῦ ρω· μεταφορὰ δέ ἐστι τὸ προσαγορεύει· 5
ἐπὶ γὰρ τοῦ ἀσπαζομένου καὶ χαιρετίζοντός τινας τοῦτο λέγεται, ἄνθρωπος
δὲ ὁ προσφθεγγόμενος, ἡ δὲ χαλκῆ στήλη ἄψυχος. [1405 a 33] ἀλλὰ καὶ
10 'κραυγὴ Καλλιόπης', ἡ ποίησις, μεταφορικόν ἐστιν· ἡ γὰρ κραυγὴ ζῴου
ἐστὶ κραυγή, ἡ δὲ Καλλιόπη μουσικῆς ποιὰ δύναμις, μυθικῶς δὲ καὶ οὐκ
ἀληθῶς ὡς θεὰ σωματοποιεῖται, ἀσώματον δὲ ἡ θεός, κἂν εἰ δοθείη 10
αὕτη θεός. καὶ ἡ κραυ συλλαβὴ οὐκ ἔστιν ἡδεῖα ἀλλὰ τραχεῖα. [1405 a 34]
ὅτι ἄμφω φωναί, καὶ ἡ προ καὶ ἡ κραυ, ἃς νῦν φωνάς, ἀνώτερον δὲ
15 συλλαβὰς κέκληκε· φαύλη δὲ ἡ μεταφορὰ αὕτη διὰ τὸ ἄσημον καὶ
δύσηχον τῆς φωνῆς. ἐν τῇ στήλῃ γοῦν οἶμαι τοῦ Διονυσίου ἐγράφησαν 15
ἐλεγεῖα τοιόνδε ἔχοντα νοῦν ὅτι 'ὦ ξένε, ὦ ὁδῖτα, προσαγορεύω σε ἐγὼ
ὁ χαλκοῦς Διονύσιος· ἐρωτᾷς δέ με, τίς εἰμι, ὦ ξένε· ἐγὼ ὁ βασιλεὺς
Σικελῶν, τιμήσας καὶ τοὺς λόγους καὶ τὸν ποιητήν'· ἀπέστελλε γὰρ οὗτος
20 κατὰ τὸν νενομισμένον καιρὸν ἐν Ὀλυμπίᾳ δράματα αὐτοῦ τραγικὰ καὶ
σκηνὴν ἀξιόλογον καὶ ἀνεγινώσκοντο· ὅθεν καί ποτε ὑποβρύχιος γέγονεν ἡ 20
λέμβος ἡ τὴν σκηνὴν φοροῦσα καὶ ἀπέσκωψαν εἰς τὸ πρᾶγος τινὲς εἰπόν-
τες ὡς, ἐπεὶ ἀναξία ἦν καὶ ἀπροσφυὴς ἡ δραματουργία τοῦ τυράννου, διὰ
τοῦτο ἅμα αὐτοῖς καὶ τοῖς χοροῖς καὶ τοῖς σκεύεσι καὶ ἡ τραγῳδία ἀπώ-
25 λετο. φορτικοὶ δέ εἰσιν οἱ γράφοντες διὰ τῶν ι ι τὸ ἰδίας καὶ μὴ νοοῦν- 25
τες καλῶς τὸν δαιμόνιον. ἄσημος λέξις ἐστὶ καὶ ἡ προ καὶ ἡ τρη καὶ ἡ
τρα ἐν τῷ προσέβη, τρηχεῖ, ἀτραπόν, καὶ τὸ ἔπλαγξεν, ἔγναμψεν, ἔμαρψε.

[1405 a 36] Μεταφέρειν δὲ δεῖ, φησί, καὶ τὰ ἀνώνυμα ὠνομασ-
μένως, ὅπερ ἐπὶ τοῦ ὀνοματοποιεῖν ἐν Κατηγορίαις εἶπεν, ἵνα ἀπὸ τοῦ 30
30 συγγενοῦς εὑρίσκωμεν καὶ ὀνοματοποιῶμεν τὰ ἀνώνυμα· ἀπὸ γὰρ τοῦ
πηδαλίου γνωρίμου ὄντος τὸ πηδαλιωτὸν ὀνοματοποίησον καὶ ἀπὸ τῆς
κεφαλῆς τὸ κεφαλωτόν. οὕτω δὴ καὶ ἀπὸ τῆς | δήλης προσθέσεως 304
μετάφερε τὴν κόλλησιν ἐπὶ τῆς σικυιάσεως· πρόσθεσις γάρ τις καὶ ἡ
κόλλησις.

35 [1405 b 6] Τὸ κάλλος τῆς λέξεως καὶ τὸ αἶσχος ἢ ἐν τοῖς ψόφοις
φησὶν εἶναι ἢ ἐν τῷ σημαινομένῳ· τὸ φλοῖσβος γὰρ καὶ τὸ ῥοῖζος, ὃ 5
ἐπὶ πυρὸς λέγεται ἠχοῦντος, καὶ τὸ δοῦπος ἐν μὲν τοῖς ψόφοις καὶ ταῖς

4 καὶ V: τὸ c οἷον Διονύσιος προσαγορεύει ὁ Χαλκοῦς ἐν τοῖς ἐλεγείοις κραυγὴν Καλλιόπης τὴν ποίησιν Arist. 7 ῥω V: ρ̄ c 10 κραυγὴ Καλλιόπης] Dionys. Chalc. fr. 7 Bergk. 11 καὶ V: ἡ c 14 προ V: προς c 22 τινὲς εἰς τὸ πράγος c 25 ἰδίας] ἡδείας Arist. p. 1405ᵃ32 26 δαιμόνιον V: φιλόσοφον c 27 cf. Hermog. περὶ ἰδ. p. 300,3 Sp.: ἀταρπός, ἔμαρπτεν, ἔγναμψε 28 δεῖ superscr. V καὶ φησὶ c 29 ἐν Κατηγορίαις] Arist. Categ. 7 p. 7ᵃ5

ἐκφωνήσεσιν αἰσχρά (σκληρὰ γὰρ καὶ τὴν ἀκοὴν ἀποκναίοντα), ἀλλ' ὅμως 304
πάνυ σημαντικά εἰσι τῶν πραγμάτων, ἃ δηλοῦσι. [1405 b 9] ματαίως δὲ
ἔλεγεν ὁ Βρύσων, ὡς οὐκ ἔστιν αἰσχρολογεῖν· ἀντὶ γὰρ τῆσδε τῆς
λέξεως εἰ εἴπω ἑτέραν λέξιν τὸ αὐτὸ δηλοῦσαν, οὐκ αἰσχρολογῶ. καλῶς 10
5 δὲ ἐν τοῖς περὶ μεταφορᾶς λόγοις συνέταξε καὶ τὸ αἶσχος καὶ τὸ κάλλος
τῆς λέξεως ὁ φιλόσοφος· σὺ μὲν γάρ, ὦ Βρύσων, εἰ εἴπῃς γελῶσαν θά-
λασσαν καὶ γαληνιῶσαν, ταὐτὸν δύνασθαι τὰς λέξεις εἴπῃς· ἀλλὰ τὸ μὲν
γαληνιῶσαν οἰκειότερον ἐπὶ τῆς θαλάσσης, τὸ δὲ γελῶσαν πορρώτερον 15
ἔχει τὸ μεταφορικὸν καὶ οὐχὶ πρὸ ὀμμάτων καὶ ἔγγιστα καὶ φανερόν.

10 [1405 b 15] Ἄμφω μὲν γὰρ αἱ λέξεις, τὸ ἡδὺ καὶ τὸ γλυκύ, τὸ
αὐτό σοι δοκοῦσι σημαίνειν· ἀλλ' οὐκ ἔστι τὸ αὐτό· τὸ μὲν γὰρ καλόν, εἰ
δοκεῖ, τὸ δὲ κάλλιον· τὸ δὲ καλὸν ὡς πρὸς τὸ κάλλιον οὐ καλὸν ἀλλ'
αἰσχρόν πως· τὸ γὰρ γλυκὺ ἔχει τὴν αἰσχρότητα οἷον ἐν τῷ ψόφῳ. καὶ 20
τὸ πρᾶον οὕτω καὶ τὸ ἥμερον· τὸ πρα τραχὺ καὶ οἷον κατὰ τόδε αἰσχρόν.
15 τὸ ὀπύειν καὶ τὸ συμφθείρεσθαι αἰσχρὰ καὶ ἄμφω, ἀλλὰ τὸ μὲν καλὸν
κατὰ τὴν ἐκφώνησιν (οὐ γὰρ ἔχει συγκρούσεις συμφώνων ἢ φωνηέντων,
ἵνα ἡ χασμῳδία ἢ σκληρότης φανῇ), τὸ δὲ αἰσχρὸν καὶ κατὰ τὴν ἐκφώ-
νησιν καὶ κατὰ τὸ σημαινόμενον, ὥστε τὸ ἔχον τὸ αἰσχρὸν κατὰ δύο 25
αἰσχρότερον τοῦ κατὰ ἕν τι.

20 [1405 b 18] Ἀπὸ τῶν καλῶν αὕτη ἡ μεταφορὰ μετενήνεκται ὡς
τὸ ῥόδον ἡδύ, καὶ τὸ κάλλος ἄρα καλόν. τῇ δυνάμει δέ·

"ὡς λέων ἐχάρη μεγάλῳ ἐπὶ σώματι κύρσας",

οὕτω καὶ ὁ βασιλεὺς ἐχάρη τόνδε τὸν Πέρσην κατασχὼν καὶ τῇ βίᾳ τῶν 30
χειρῶν ἄγχων. ἔστι δὲ καὶ τὸ "ἀποβὰς εἰς Μυσίαν" ἀπρεπές· ἀνώτερον
25 εἴρηται τοῦτο περὶ τοῦ Ἀχιλλέως· ἀπρεπὲς | δέ ἐστι διὰ τὸ τὴν ἀπόβασιν 305
γίνεσθαι τότε, ὅταν τις ἀπὸ τῆς νεὼς πρῶτος ἐκβὰς πατήσῃ τηνικαῦτα
εἰς τὸν αἰγιαλόν. ἡ δὲ Μυσία πορρωτάτη τῆς θαλάσσης ἐστίν.

1. [1404 a 30] Ἀλλ' ὥσπερ ἐκ τῶν τετραμέτρων εἰς τὸ ἰαμ-
βεῖον μετέβησαν. τοῦτο ἀνώτερον εἴρηται, ὅτι οἱ ἀρχαιότεροι ποιηταὶ 5
30 τροχαϊκοῖς ἐχρῶντο, ἃ λέγεται τετράμετρα διὰ τὸ μέχρις ὀκτὼ ποδῶν
βαίνειν κατὰ διποδίαν μετρούμενα· ὧν τετραμέτρων ἀρετή ἐστι τὸ εἶναι
τροχαϊκὸν τετράμετρον καταληκτικόν, οἷόν ἐστι παρὰ τῷ Ἑρμογένει παρα-
μυθηθὲν τὸ "οὗτος ἀστράτευτος ἑάλω καὶ κέχρηται συμφορᾷ". 'οὗτος 10
ἀστρά' διποδία τροχαϊκὴ ὡς ἓν μέτρον εἰλημμένη. 'τευτος ἑάλω' ἑτέρα
35 καὶ τοῦτο διποδία ὡς ἓν καὶ αὐτὴ μέτρον ἀπὸ τοῦ τροχαίου καὶ ἀντιδα-

---

20 μετενήνεγκται codd. Paris. gr. 1869 et 1951 22 ὡς λέων κτλ.] Hom. Γ 23 ὥς τε λέων Hom. 24 ἀποβὰς κτλ.] Eurip. Teleph. fr. 705. F. T. G.² p. 583 N. ἀνώτερον] p. 1405a30 (ubi legitur κἀποβὰς) 26 πρῶτον c 27 πορρω τ V: πορρωτάτη c 28 καὶ ante ἐκ add. Arist. (praeter Tr.) 29 ἀνώτερον] p. 311,9. 22 32 παρὰ τῷ Ἑρμογένει] περὶ ἰδ. p. 280,10 Sp. 33 οὗτος κτλ.] Demosth. 21, 58 ἀστρατείας Hermog., Demosth. ἑάλω Vc Hermog.: ἥλω Demosth.

κτύλου ἤγουν ἀναπαίστου (οὗτος γὰρ καὶ ἀντιδάκτυλος λέγεται). 'καὶ κέ- 305
χρηται' ἑτέρα καὶ τοῦτο διποδία ἀπὸ τροχαίου καὶ σπονδείου. ἰδοὺ τὸ πᾶν 15
τρίμετρόν ἐστι τὸ "οὗτος ἀστράτευτος ἑάλω καὶ κέχρηται", τὸ δὲ 'συμ-
φορᾷ' ἑτέρα διποδία τάχα λειπομένη μιᾶς συλλαβῆς ἀπὸ τροχαίου συνιστα-
5 μένη καὶ μιᾶς συλλαβῆς τροχαίου, τῆς ρᾷ δηλαδὴ συλλαβῆς· διὰ τοῦτο
καὶ καταληκτικὸν λέγεται τὸ ὅλον τετράμετρον τροχαϊκόν. εἰ δὲ εἶχε καὶ
* τὴν ἑτέραν συλλαβήν, ἐλέγετο ἂν τροχαϊκὸν τετράμετρον ἀκατάληκτον· 20
ἀλλ' ἀρετὴ τοῦ τελείου τροχαίου αὕτη ἐστὶ τὸ εἶναι τροχαϊκὸν τετρά-
μετρον καταληκτικόν, ὥσπερ καὶ τοῦ ἰάμβου ἀρετὴ τὸ ἰαμβικὸν τρίμετρον
10 ἀκατάληκτον, ὡς τὸ

"ὦ παντὸς ἔργου καὶ θεηγόρου λόγου"·

τρίμετρα γάρ εἰσι τὰ ἰαμβικά· οἷς καὶ οἱ νέοι ποιηταὶ χρῶνται, ὥς 25
φησιν.

[1404 a 34] Οἱ τὰ ἑξάμετρα ποιοῦντες. ἑξάμετρον τὸ ἡρωικόν
15 ἐστι. τοῦτο οὐ κατὰ διποδίαν μετρεῖται. ἀρετὴ δὲ καὶ τούτου τὸ μὴ εἰς
τέλειον ἡρωικὸν καταλήγειν. ἀλλὰ ἡρωικὸν ἑξάμετρον καταληκτικόν. ὡς
πάντα σχεδὸν τὰ ἔπη τοῦ Ὁμήρου ἔχουσι· τὸ ⟨δὲ⟩ ἡρωικὸν ἑξάμετρον 30
ἀκατάληκτον γίνεσθαι σπάνιόν ἐστιν, ὡς τὸ "καὶ πῦξ ἀγαθὸν Πολυ-
δεύκεα".

20 3. [1406 a 1] Τὸ κατευορκήσαντας τινὲς οὕτω λέγουσι 'τοὺς
κατά τινος εὐορκήσαντας ἤτοι ἀληθεύσαντας | ἐν τῷ κατὰ τοῦδέ τινος 306
εἰπεῖν'.

[1406 a 9] "Ἄθυρμα τῇ ποιήσει", οἷον Θερσίτης.

[1406 a 29] Ἀντίμιμον εἶπε, διότι τοῦ θυμικοῦ τὸ ἦθος καὶ ἡ τοῦ
25 σώματος ἐμφαίνει διάθεσις· εἰ γάρ τις ἀνδρεῖός ἐστιν, ἀντιμιμεῖται καὶ ἡ 5
ψυχὴ τὸ ἦθος τούτου.

4. [1407 a 1] Οἱ Σάμιοι, ὡς ἔοικεν, ὑπόφοροι ὄντες τοῖς Ἀθηναίοις
ἐλυποῦντο. εἰ καὶ πολλάκις εὐεργεσίας ἐκεῖθεν ἐλάμβανον.

5. [1407 b 2] Τύχοι γὰρ ἄν τις ἐν τοῖς ἀρτιασμοῖς. ἀρτια-
30 σμὸς καὶ τὸ ἀρτιάζειν ἐστὶ τὸ δραξάμενον ἀστραγάλων ἤ τινων ἄλλων ἐξε- 10
τάζειν τὸν συμπαίζοντα, πότερον ἀρτίους ἢ περιττοὺς κατέχει. οὕτω καὶ
Πλάτων ἐν τῷ διαλόγῳ τοῦ Λύσιδος λέγει.

6. [1408 a 1] Καὶ τὸ Ἀντιμάχου χρήσιμον. τοῦτο εἰπὲ καὶ
οὕτως κατ' ἐμέ· τὸ ἐξ ὧν μὴ ἔχοι λέγειν τοιοῦτόν ἐστιν ἤτοι ἀφαιρε-

---

7 ante τὴν littera (τ ut videtur) cum ligatura incerta evanuit V 13 φασιν c δ'
15 οὐ κατὰ διποδίαν scripsi: οὐ, tum cr. II litterae evanuerunt, διπο V: κατὰ διποδίαν (om. οὐ) c ex codd. Paris. gr. 1869 et 1951 16 ἀλλὰ·c: ἀλ, tum II litterae evanuerunt, V 17 δὲ addidi: in V nihil cognoscitur, sed fortasse sub charta agglutinata aliquid latet 18 καὶ πῦξ κτλ.] Hom. Γ 237 20 κατευορκήσαντας scripsi ex Aristotele: κατευορκήσαντες Vc 23 ἄθυρμα κτλ.] Alcidam. fr. 14 Sauppe
24 ἀντίμιμον Vc Arist. C et var. lect. Y[b]: τίμιον Arist. cet. 27 τοῖς ἀθ[ν] V: τῶν ἀθηναίων c 29 ἐν Vc Arist. vulg.: μᾶλλον ἐν Arist. ATr. 32 Πλάτων ἐν τῷ διαλόγῳ τοῦ Λύσιδος] p. 206 E 34 ἔχοι V: ἔχει c Arist.

ματικῶς ἢ ἐξ ἀναιρέσεως καὶ ἐκ τῶν στερήσεων λέγειν· οἷον εἴ τις εἴπῃ 306
ἄλυρον τὸ μέλος τῆς σάλπιγγος καὶ τὸ τοῦ κώδωνος ἄχορδον, ἐκ τοῦ 15
ἐναντίου δὲ πάλιν εἴποι τις ἀπὸ τῆς στερήσεως τὴν λύραν ἔχειν μέλος
ἀσάλπιγκτον καὶ ἀκώδωνον. πῶς δὲ τοῦτο εἴποις ἐπὶ τοῦ Τευμησσοῦ;
5 οἷον τὸ ὀλίγος στερητικόν ἐστι καὶ ἐξ ὧν οὐκ ἔχει· οὐ γὰρ πολύς ἐστι·
στέρησις οὖν τις δοκεῖ τοῦ πολλοῦ τὸ ὀλίγος. 20

7. [1408 a 16] Γράφεται καὶ πότνια σύ· τὸ γὰρ πότνια μέγα καὶ θαυμαστὸν καὶ θεῖον ὄνομα, τὸ δὲ σύ ἐφύβριστον καὶ εὐτελὲς ἄγαν. διὰ τοῦτο καὶ ἐν τοῖς ἱεροῖς λόγοις ὁ Χριστὸς λέγει 'ὁ εἰπὼν τῷ ἀδελφῷ
10 αὐτοῦ ῥακά ἔνοχος ἔσται τῇ γεέννῃ'· τὸ γὰρ ὄνομα τοῦτο τὸ ῥακά κατ' 25
ἐνίους τῶν ἐξηγητῶν τὸ σύ δηλοῖ προσφώνημα μὴ καταδεχομένου κἂν τῷ οἰκείῳ ὀνόματι καλέσαι τὸν ἀδελφόν.

[1408 b 9] Ἐὰν οὖν τὰ μαλακὰ σκληρῶς. ἔνστασίν τινα λύει· εἶπε γὰρ ἀνώτερον ὅτι 'τὰ ὑβριστικὰ κατά τινος ῥήματα ἀπάγγελλε κἂν 30
15 ἱλαρῶς'· εἶτα εἶπεν ἴσως ἄν τις 'καὶ λοιπὸν ἄρα γε καὶ τὰ μαλακὰ καὶ προσηνῆ ῥήματα ἀπαγγελῶ ἐναντίως' ἤγουν τραχεῖᾳ καὶ ὀργίλῳ τῇ ἐκφωνήσει. λύει οὖν τὸν λόγον ὁ | φιλόσοφος· 'οὐχί', φησί, 'μελάγχολος γὰρ 307
καὶ ἀνακόλουθος ὀφθήσῃ'. παρακαλεῖ οὖν τὸν ἄνθρωπον μὴ εἶναι τραχύν, κἂν καὶ τὰ ὀνόματα ᾖ τραχέα· εἰ δὲ τὰ ὀνόματα ᾖ προσηνῆ, πολλῷ
20 μᾶλλον καὶ προσηνῶς ταῦτα ἐκφωνήσεις.

8. [1408 b 36] Τρία εἴδη ὀρχήσεων· σίκινις ἡ ἱερά, ᾗ χρῶνται ἐν 5
τοῖς θείοις ναοῖς οἱ χειρονομοῦντες ἐρρωμένοι, πυρρίχη ἡ ἐνόπλιος, ᾗ χρῶνται οἱ στρατιῶται κατὰ ξιφῶν καὶ μετὰ ξιφῶν κυβιστῶντες καὶ οἱ ἐν ταῖς γαμηλίοις παιδιαῖς παίζοντες μετὰ σπάθης, τρίτη ὁ κόρδαξ, ᾧ οἱ
25 ἀγοραῖοι ὀρχησταὶ κέχρηνται. ὁ τροχαῖος οὖν κορδακικώτερος τοῦ 10
ἰάμβου ἐστὶν ἤγουν εὐκινητότερος ὡς ἀρχόμενος ἀπὸ μακρᾶς.

[1409 a 1] Λείπεται δὴ παιάν. τέσσαρές εἰσιν οἱ παιᾶνες ἀπὸ τοῦ ποσοῦ τῆς μακρᾶς παρωνομασμένοι· πρῶτος ὁ ἔχων τὴν πρώτην μακρὰν καὶ τὰς λοιπὰς τρεῖς βραχείας, δεύτερος ὁ ἔχων τὴν δευτέραν
30 μακράν, τὴν δὲ πρώτην καὶ τὰς τελευταίας δύο βραχείας, τρίτος ὁ ἔχων 15
τὴν τρίτην μακράν, τὰς δὲ πρὸ αὐτῆς δύο καὶ τὴν τελευταίαν βραχείας, τέταρτος ὁ ἔχων τὴν τετάρτην μακράν, τὰς δὲ πρὸ αὐτῆς τρεῖς βραχείας, ὡς Στησίχορος, Ὀνήσιμος, Φιλόδημος, Ἐπιγένης.

[1409 a 3] Ἔστι δὲ τρίτος ὁ παιάν· πρῶτος γὰρ ὁ ἡρῷος, δεύτε-
35 ρος ὁ τροχαῖος, ὧν ἐχόμενος ἤτοι ἐφεξῆς κείμενος ὁ παιάν, ὃς πεντά- 20
χρονός ἐστιν ἐν ἡμιολίῳ λόγῳ θεωρούμενος· ὡς τρία γὰρ πρὸς δύο

---

2 μέλος Vc Arist. vulg.: μέρος Arist. A 4 εἴποις V: εἴπῃς c 5 στερητικόν scripsi: στερητικ V: στερητικός c 7 σύ Vc Arist. vulg.: συκῆ Arist. ATr. 9 λο V: λόγοις c: fort. λογίοις ὁ εἰπὼν κτλ.] Evang. Matth. 5,22 11 κἂν V: ἂν c 14 ἀνώτερον] p. 1408b6 20 ἐκφωνήσεις cod. Paris. gr. 1951: ἐκφωνή, tum cr. II litterae evanuerunt, ς V: ἐκφωνήσῃ c 27 δὴ Vc: δὲ Arist. 33 α, β, γ, δ nominibus superscr. V 36 γὰρ Vc Arist. BCYbTr.: δὲ Arist. cet.

ἐστίν. ὡς αἱ τρεῖς βραχεῖαι τοῦ πρώτου παιᾶνος πρὸς τὴν πρώτην τὴν 307
μακράν, ἢ δύο χρόνων ἐστίν. ἐκείνων δὲ τῶν δύο ὁ μὲν ἡρῷός ἐστιν
ἓν πρὸς ἓν ἤγουν ἴσον πρὸς ἴσον· αἱ γὰρ δύο βραχεῖαι συλλαβαὶ τὸν 25
αὐτὸν λόγον ἔχουσιν, ὃν καὶ ἡ πρώτη ἡ δύο χρόνων οὖσα· τετράχρονος
5 γὰρ ὁ ἡρῷος, δύο πρὸς δύο, ἴσον πρὸς ἴσον· ὃ ἐδήλωσε διὰ τοῦ εἰπεῖν
ἓν πρὸς ἕν. ὁ δὲ τροχαῖός ἐστιν ἐν λόγῳ διπλασίῳ· δύο γὰρ χρόνοι
πρὸς ἕνα χρόνον. [1409 a 5] ἔχεται δὲ τῶν λόγων τούτων ὁ ἡμιό-
λιος ἤγουν ὁ παιὰν ἔχει παρ' ἑαυτῷ καὶ τοὺς δύο τούτους λόγους –⏑⏑ 30
ἤγουν τὴν ἰσότητα, ἣν ἀνώτερον εἶπεν ἓν πρὸς ἕν, ἥτις ἐστὶ τοῦ ἡρῴου·
10 δύο γὰρ πρὸς δύο· ἀλλὰ καὶ τὸν διπλάσιον, ὃν ἀνώτερον εἶπε δύο πρὸς
ἕν, ὅς ἐστι τοῦ τροχαίου· ἡ | μὲν γὰρ μακρὰ καὶ αἱ τρεῖς βραχεῖαι 308
παιάν, ἡ δὲ μακρὰ καὶ αἱ δύο βραχεῖαι ἡρῷος, ἡ δὲ μακρὰ καὶ ἡ βρα-
χεῖα ὁ τροχαῖος, αἱ δὲ τρεῖς βραχεῖαι μόναι χορεῖος. τοσαῦτα μέτρα ὁ
παιὰν περιέχει.

15 [1409 a 14] 'Δαλογενὲς' πρῶτος παιάν. 'ἥ τε Λυκί' πρῶτος
παιάν. 'αν καὶ' σπονδεῖος. 'χρυσεοκό' παιάν. 'μα ἕκατε' παιάν. 5
'παῖ Διός' δάκτυλος. ἑξάπους ὁ στίχος. εἴς τε τὴν Ἄρτεμιν ἢ καὶ τὴν
Λυκίαν ἔχει ὁ ὕμνος εἴς τε τὸν Ἀπόλλω.

[1409 a 16] 'Μετὰ δὲ γᾶν' τέταρτος παιάν. 'ὕδατά τ' ὦ' τέταρ-
20 τος παιάν. 'κεανὸν ἠ' τέταρτος παιάν. 'φάνισε νύξ' καὶ τοῦτο ὁμοίως.

9. [1409 a 24] Εἰρομένη λέξις ἡ τῷ συνδέσμῳ μία. σύνδεσμος 10
λέγεται, ὡς καὶ ὄπισθεν ἔμαθες, καὶ ἡ ἀπόδοσις, ἥτις, εἰ μὴ αὐτόθεν
ῥηθείη ἀλλὰ μακρόθεν, καὶ ἀναβολὴ λέγεται. καὶ παρὰ τοῖς διθυράμ-
βοις δῆλον τὸ ὄνομα· τότε γὰρ τελειοῦται ἡ ἑλληνίζουσα φράσις, ὅταν ἡ
25 ἀπόδοσις τεθῇ, ὡς τὸ "Ἡροδότου Θουρίου"· μέχρι τούτου ὁ λόγος 15
ἔτι ἀτελής· εἰ δὲ προστεθείη καὶ τὸ "ἧδ' ἱστορίης ἀπόδειξις", γέγονέ
τε τῷ λόγῳ σύνδεσμος καὶ ἐνοείδεια. τοιοῦτον καὶ τὸ "ὁ γὰρ οἷς ἂν ἐγὼ
ληφθείην πάντα πράττων" καὶ τὰ ἑξῆς· ἡ γὰρ πρότασις καὶ ἡ ἀπόδοσις
ὡς ἕν τι γίνεται. λέγονται δὲ τὰ τοιαῦτα ἀναβολαί, ἢ διότι ἀναβάλλε-
30 ται καὶ ὁ λέγων ἀλλὰ καὶ ὁ ἀκροατής, ὁ μὲν καὶ ἔτι τὴν ἀπόδοσιν, ὁ δὲ 20
τὴν τοῦ λείποντος ἄκουσιν.

[1409 a 26] Στροφὴ καὶ ἀντίστροφος καὶ ἐπῳδὸς παρὰ τοῖς λυρικοῖς
λέγεται. ὀφείλει οὖν ἡ ἀντίστροφος ἢ ἐλάττων εἶναι τῆς στροφῆς ἢ συν-
τομωτέρα. οὕτω καὶ ὁ Ἑρμογένης περὶ κώλων λέγων εἴρηκε.

---

2 ἢ β' V: β' om. c 3 πρὸς ἓν om. c 6 α post διπλασίῳ add. c 8 –⏑⏑ scripsi: –⏑⏑⏑ V: ⏑⏑⏑ c 9 ἀνώτερον] p. 1409a5 10 ὃν scripsi: ἣν Vc: ἣν ex ὃν corr. cod. Paris. gr. 1951 15 Δαλογενὲς κτλ.] Simonid. fr. 26b Bergk. ἥ τε Vc Arist. DEQYbZb: εἴτε Arist. A 19 μετὰ δὲ κτλ.] cf. Simonid. fr. 26b annot. Bergk. 21 τῷ συνδέσμῳ Vc Arist. vulg.: τῶν συνδέσμων Arist. A: *coniunctionibus* Arist. Tr. 22 ὄπισθεν] p. 1407a20 25 Ἡροδότου κτλ.] Herod. I 1 26 ἧδ' ἱστορίης ἀπόδειξις Vc Arist. (ἱστορίης om. DEZb; ἱστορίης ἀπόδειξις om. Q): ἱστορίης ἀπόδεξις ἥδε Herod. 27 συνδέσμῳ c ὁ γὰρ κτλ.] Demosth. 9,17 28 πάντα Vc: ταῦτα Demosth. 29 τι V: τε c ἢ mihi suspectum 34 Ἑρμογένης] cf. περὶ εὑρ. Δ p. 240,11 sq. Sp.

8. [1409a17] "Μετὰ δὲ γᾶν ὕδατά τ' ὠ." ἐν ἀρχῇ γὰρ ἦν 308
ἔρεβος καὶ χάος· καὶ ὡς ὁ θεολόγος Μωσῆς φησιν, ὅτι ἐγένετο ὁ οὐρανὸς 26
καὶ ἡ γῆ μετὰ τῶν ὑδάτων καὶ σκότος ἦν ἐπάνω τῆς ἀβύσσου· ὃ δηλοῖ
ὁ Ὀρφεὺς οἶμαι ἐνταῦθα νύκτα.

9. [1409a31] Ἔστι δὲ ἡ εἰρομένη λέξις, φησίν, ἀηδὴς διὰ
τὸ ἄπειρον, διότι οὐκ ἔχει τὸ πέρας αὐτῆς τηνικαῦτα ἤτοι τὴν ἀπό- 30
δοσιν.

[1409b13] Ἀφελὴς λέγεται περίοδος ἡ μονόκωλος, ὡς ἡ παρὰ 309
τῷ Δημοσθένει "εἶτα οὐκ αἰσχύνεσθε, εἰ μηδ' ἃ πάθοιτ' ἄν, εἰ δύναιτ'
ἐκεῖνος, ταῦτα ποιῆσαι καιρὸν ἔχοντες οὐ τολμήσετε;" ἡ δέ ἐστι περίοδος
ἐν κώλῳ, οἷον ἡ δίκωλος, ἡ τρίκωλος, ἡ τετράκωλος, καὶ περαιτέρω ἑτέρα 5
οὐκ ἔστιν· ἥτις ὀφείλει εἶναι τετελειωμένη, τῇ τε προτάσει δηλαδὴ καὶ
τῇ ἀποδόσει, καὶ διῃρημένη, φησί, κατά τε τὴν πρότασιν κατά τε τὴν
ἀπόδοσιν, καὶ εὐανάπνευστος διὰ τὸ σύντομον ἀμφοῖν· οὐδὲ γὰρ σχοι-
νοτενής ἐστιν. οὐκ ὀφείλει δὲ διαιρεῖσθαι διὰ τῆς σῆς ἐν τῷ ἄσθματι
στενοχωρίας, ἀλλὰ τῷ πράγματι καὶ τῇ ἀληθείᾳ αὐτῇ, ὁποία ἡ σύντομος 10
περίοδος.

[1409b29] Ἡ δὲ μακρὰ ἀναβολὴ τῷ ποιητῇ κακίστη.' αὕτη
ἡ ἀντιπαρῳδησις τοῦ Ἡσιοδείου στίχου ἐστὶ τὸ σκῶμμα τοῦ Χίου.
ἁρμόττει δὲ τὸ τοιοῦτον σκῶμμα καὶ εἰς τὴν μακροκωλίαν λέγειν 15
ἡ δὲ μακροκωλία τῷ ποιήσαντι κακίστη'.

[1409b33] Ἐθαύμασα πολλάκις', φησὶν ἐν τῷ προοιμίῳ ὁ Ἰσοκράτης
τοῦ Παν ηγυρικοῦ, 'τῶν τὰς πανηγύρεις συναγαγόντων καὶ τοὺς γυμνικοὺς
ἀγῶνας καταστησάντων, ὅτι τὰς μὲν τῶν σωμάτων εὐεξίας οὕτω μεγάλων
δωρεῶν ἠξίωσαν, τοῖς δὲ ὑπὲρ τῶν κοινῶν ἰδίᾳ πονήσασι τούτοις οὐδεμίαν 20
τιμὴν ἀπένειμαν' ἤγουν τοῖς προγόνοις ἡμῶν ἐκείνοις. [1410a4] καὶ γὰρ
ἐναντίον ἡ ὑπομονὴ ἡ ἐν οἴκῳ, ἡ ἀκολούθησις ἡ εἰς πόλεμον καὶ τὸ
ἱκανόν· ὀλίγον γὰρ τῷ πλείονι τῆς περιουσίας. πάλιν ἦν ὅμοιον καὶ
τοῦτο· [1410a5] 'ὥστε καὶ τοὺς χρημάτων δεομένους ὤνησαν ἤγουν τοὺς
πτωχοὺς ἀκολουθήσαντας εἰς τὸν πόλεμον καὶ τοὺς μὴ ἀναγκασθέντας ἀκο- 25
λουθῆσαι ὤνησαν ἐάσαντες αὐτοὺς οἴκοι ἀπολαύειν τῶν χρημάτων'· οἱ μὲν
οὖν ἐκτήσαντο, οἱ δὲ ἀπήλαυσαν, κτῆσις δὲ ἐναντίον τῇ ἀπολαύσει, εἴπερ

---

1 μετὰ δὲ κτλ.] cf. Simonid. fr. 26b annot. Bergk. 2 ἔρεβος καὶ χάος scripsi: ἔρεβ (finis versus tectus est charta agglutinata, in qua ε manu posteriore scriptum est) | χάος V: ἔρεβε χάος c ex cod. Paris. gr. 1869: ἔρεβος χάος cod. Paris. gr. 1951 Μωσῆς] Genes. 1,1—2 5 εἰρημένη c ἀηδὴς Vc Arist. ACTr.: ἀηδὲς Arist. cet. 8. 9 παρὰ τῷ Δημοσθένει] 1,24 11 ἐν κώλοις Arist. 13 φησὶν c 18 τῷ ποιήσαντι Arist. (cf. infra v. 21) 19 τοῦ Ἡσιοδείου στίχου] Op. 266 (ἡ δὲ κακὴ βουλὴ τῷ βουλεύσαντι κακίστη) 20 δὲ Vc: *autem* Arist. Tr.: γὰρ Arist. cet. 22 ἐθαύμασα κτλ.] Isocr. 4,1 πολλάκις ἐθαύμασα Arist., Isocr. 24 εὐεξίας Vc: εὐτυχίας Isocr. 26 ἤγουν V: ἢ c 26. 27 καὶ γὰρ ἐναντίον κτλ.] haec spectant ad Isocr. 4,35 28 post ἱκανόν lacunam statuit c; cf. Arist. ἐναντία ὑπομονή, ἀκολούθησις, ἱκανόν, πλεῖον 29 ὥστε κτλ.] Isocr. 4,41 τοῖς—δεομένοις Arist., Isocr. 31 ἐάσαντι c

ἡ μὲν τοῖς πένησι προσεγένετο, τοῖς δὲ πλουσίοις ἡ ἀπόλαυσις· καὶ ταῦτα 309
δὲ ἀπὸ τοῦ Πανηγυρικοῦ Ἰσοκράτους. ἐν τῷ αὐτῷ λόγῳ φησὶν Ἰσοκράτης 30
'ὁρῶσα περὶ μὲν τὰς ἄλλας πράξεις ἡ πόλις ἡμῶν οὕτω ταραχώδεις οὖσας
τὰς τύχας, | ὥστε πολλάκις ἐν αὐταῖς καὶ τοὺς φρονίμους ἀτυχεῖν καὶ τοὺς 310
5 ἀνοήτους κατορθοῦν' καὶ τὰ ἑξῆς. ἐνταῦθα τὸ ἐναντίον ἐδόθη τῷ ἐναντίῳ
καὶ τὸ ἐναντίον τῷ ἐναντίῳ· τὸ τοὺς φρονίμους γὰρ ἀτυχεῖν ἐναντία τὰ
δύο καὶ τὸ τοὺς ἄφρονας κατορθοῦν ἐναντία τὰ δύο. τὰ δὲ προλαβόντα 5
παραδείγματα οὐχὶ τοιαῦτα. ἀλλὰ δυσὶν ἐναντίοις τὸ αὐτὸ καὶ ἓν ἐπέζευκται·
ἀμφοτέρους γὰρ ὤνησαν, καὶ τοὺς πένητας καὶ τοὺς πλουσίους. ἀπὸ τοῦ
10 αὐτοῦ λόγου καὶ τὸ 'τῆς ἠπείρου, ἀλλὰ καὶ τῆς θαλάσσης παρὰ πάντων
Ἑλλήνων ἔλαβον τὴν ἀρχὴν οἱ ἡμῶν πρόγονοι', δυσὶν ἐναντίοις κώλοις ἕν τι 10
ἀποδέδοται ἡ ἀρχή· ἐναντίον γὰρ ἤπειρος καὶ θάλασσα καὶ τὸ εὐθὺς καὶ
τὸ οὐκ εὐθὺς ἤγουν τὸ οὐ πολὺ ὕστερον. καὶ πάλιν [1410 a 10] 'ὁ Ξέρξης
ἔνδοξος ἐγένετο πεζεύσας διὰ τῆς ὑγρᾶς καὶ πλεύσας διὰ τῆς ξηρᾶς', δυσὶν
15 ἐναντίοις κώλοις τὸ αὐτὸ καὶ ἓν ἀπεδόθη. ἀπὸ τοῦ αὐτοῦ καὶ τοῦτο λόγου
[1410 a 12] 'φύσει γὰρ ὄντες πολῖται οἱ ἡμέτεροι πρόγονοι νόμῳ τοῦ ὑπὲρ 15
τῶν Ἑλλήνων πολέμου ἔξω τῶν ὁρίων τῆς πόλεως ἐστρατοπέδευον σφαττόμενοι καὶ προκινδυνεύοντες,' καὶ τοῦτο ἀπὸ τοῦ αὐτοῦ λόγου· τὰ δύο
κῶλα ἐναντία, τὸ πολίτας εἶναι καὶ ἔχοντας ἐξουσίαν καὶ τὸ ἐξορίζεσθαι
20 παρ' ἑαυτῶν· φησὶ γὰρ ἀνώτερον ὁ Ἰσοκράτης "ἔτι δὲ κοινῆς τῆς πατρίδος 20
οὔσης τοὺς μὲν τυραννεῖν, τοὺς δὲ μετοικεῖν", εἶτα τὸ προειρημένον ἐπέθηκεν· ἐναντίον δὲ φύσις καὶ νόμος· ἀπόδοσις δὲ ἄλλη καὶ ἄλλη, ὡς οἶμαι·
οἱ μὲν γὰρ ἀποικοῦντες καὶ ἐξορίζοντες ἑαυτοὺς ἦσαν θαυμαστοὶ καὶ γενναῖοι,
οἱ δὲ ἀπομένοντες ἢ καὶ τυραννοῦντες κακοί. [1410 a 13] "οἱ μὲν γὰρ 25
25 αὐτῶν κακῶς ἀπώλοντο"· ἀπὸ ἄλλου χωρίου τοῦτο. ἐναντίοις κώλοις μία
ἀπόδοσις. ἡ δυστυχία. [1410 a 14] 'καὶ ἰδίᾳ μὲν τοῖς βαρβάροις.' καὶ
γάρ φησιν 'αἰσχρὸν μὲν ἰδίᾳ τοῖς βαρβάροις οἰκέταις ἀξιοῦν χρῆσθαι,
δημοσίᾳ δὲ τοσούτους τῶν συμμάχων περιορᾶν αὐτοῖς δουλεύοντας'· ἀπὸ
τοῦ Πανηγυρικοῦ καὶ τοῦτο λόγου. ἄτοπόν φησιν ἡμᾶς ἔχειν οἰκέτας βαρ- 30
30 βάρους, παρορᾶν δὲ πολλοὺς τῶν συμμάχων ἡμῖν Ἑλλήνων δούλους εἶναι
τῶν βαρβάρων· ἄξιον οὖν πολεμεῖν ἡμᾶς τοῖς Πέρσαις τοῖς δουλαγωγοῦσι
τοὺς | Ἕλληνας. ἐναντία οὖν ἐνταῦθα τὸ ἰδίᾳ, τὸ κοινῇ, τὸ βαρβάρους, 311
τὸ Ἕλληνας.

[1410 a 17] Ὥσπερ ὁ Λασθένης ῥήτωρ ἦν ἀλλὰ καὶ προδότης Ὀλυν-
35 θίων εἰς Φίλιππον καὶ ὁ Τιμόλαος Θηβῶν, οὕτω φέρε εἰπεῖν καὶ ὁ Πειθό- 5
λαος καὶ ὁ Λυκόφρων τινῶν Ἑλληνίδων πόλεων ὑποφόρων ταῖς Ἀθήναις.

---

2 ὁ post φησὶν add. c 3 ὁρῶσα κτλ.] Isocr. 4,48 10 τῆς ἠπείρου κτλ.] cf. Isocr. 4,72 13 ὁ Ξέρξης κτλ.] cf. Isocr. 4,89 14 ἔκδοξος c 16 φύσει κτλ.] Isocr. 4,105 20 ἔτι δὲ κοινῆς κτλ.] Isocr. 4,105 24 ἀπομενοῦντες c οἱ μὲν γὰρ κτλ.] Isocr. 4,149 25 κακῶς αὐτῶν c 27 αἰσχρὸν κτλ.] Isocr. 4,181 οἰκέταις Vc Arist. A, Isocr.: ἰκέταις Arist. vulg. et Anon. in Rhet. p. 199,28 35 ὁ Τιμόλαος scripsi cf. Dem. 18,48: ὅτι μόλαι Vc 36 ὑποφόρων c ex codd. Paris. gr. 1869 et 1951: evanuit V

ὄντες οὖν ἐν ταύταις ταῖς πόλεσιν ἐπώλουν τοὺς ἐγχωρίους διὰ προδοσίας 311
τοῖς ἐχθροῖς τῶν πόλεων, εἶτα οἱ πολέμιοι τοὺς πολίτας ὡς φίλοι ἀπα-
τῶντες ἐχειροῦντο καὶ ἠχμαλώτιζον. ἀπέστελλον οὖν τοὺς ἁλόντας οἱ
πολέμιοι πρὸς τὴν μητρόπολιν τὰς Ἀθήνας, ἵν' ἀγορασθεῖεν. πάλιν οὖν 10
5 ἐρχόμενοι εἰς Ἀθήνας οἱ προδόται ἐκεῖνοι τὰ λήια ἠγόραζον ἐκείνους τοὺς
αἰχμαλώτους, ἵνα καὶ πάλιν πλείω παρ' ἐκείνων κερδήσωσι. τὶς οὖν ἐν
δικαστηρίῳ παρὰ Ἀθηναίοις ὁρῶν τὰ δρώμενα εἶπεν ὅτι 'οἱ ῥήτορες οὗτοι
καὶ πωλοῦσιν ὑμᾶς οἴκοι καθήμενοι καὶ εἰς ὑμᾶς νῦν ἐλθόντες πάλιν ἀγο- 15
ράζουσιν ὑμᾶς'.

10 [1410 a 21] Καὶ ὅτι ἔοικε συλλογισμῷ. ὥσπερ γὰρ ὁ ἔλεγχος
τὸ ἀντικείμενον συνάγει τῷ συμπεράσματι, οὕτω καὶ ὁ παρὼν συλλογισμὸς
ὥσπερ ἐν τρίτῳ σχήματι 'οὗτοι πωλοῦσιν ὑμᾶς, οὗτοι ἀγοράζουσιν ὑμᾶς· 20
ἅμα οὖν οἱ πωλοῦντες ὑμᾶς ἀγοράζουσιν ὑμᾶς καὶ οἱ ἀγοράζοντες ὑμᾶς
ἅμα καὶ πωλοῦσιν ὑμᾶς'.

15 [1410 a 23] Πάρισόν ἐστιν, ἐὰν ἴσα τὰ κῶλα, οἷον τὸ Δημοσθε-
νικόν· "τὸ λαβεῖν οὖν τὰ διδόμενα", ἐννεασύλλαβον, "ὁμολογῶν ἔννομον
εἶναι", καὶ τοῦτο ἐννεασύλλαβον, "τὸ χάριν τούτων ἀποδοῦναι", καὶ τοῦτο
ὡσαύτως, εἶτα κομμάτιον "παρανόμων γράφῃ". παρόμοιον δέ, ἐὰν ἔχῃ 25
ὁμοιότητα κατὰ τὰς ἀρχὰς ἢ ὁμοιοτέλευτα ᾖ· κατ' ἀρχὰς μέν, οἷον "προσ-
20 ήκει προθύμως" καὶ τὸ παρὰ Πλάτωνι | ἀπὸ τοῦ Συμποσίου "Παυ- 312
σανίου παυσαμένου"· πρὸ μὲν γὰρ τοῦ Παυσανίου ἔλεγεν ὁ Φαῖδρος,
μετὰ δὲ Παυσανίαν Ἀριστόδημος ἐπιλέγει· ὁ δὲ λόγος τούτοις περὶ
ἔρωτος ἦν.

[1410 a 24] Εἶπεν ὁ Ἀριστοτέλης "ἐὰν ὅμοια τὰ ἔσχατα", ἐπειδὴ
25 δὲ καὶ ἡ ἀρχὴ ἔσχατον λέγεται καὶ τὸ τέλος, ὅρα σημειοῦται πάλιν περὶ 5
ἀμφοῖν.

[1410 a 26] Καὶ ἀρχὴ μὲν τὰ ὀνόματα ἢ ταὐτὰ τῇ ψοφήσει,
ὡς τὸ ἀργόν καὶ τὸ ἀγρόν, ἢ ταὐτὰ καὶ πάντῃ, ὡς τὸ "Χριστὸς γεννᾶται,
δοξάσατε· Χριστὸς ἐξ οὐρανῶν, ἀπαντήσατε· Χριστὸς ἐπὶ γῆς, ὑψώθητε"· 10

---

1 προδοσίας oblitteratum V 4 ἵνα c 5 λήια c ex codd. Paris. 1869 et 1951: evanuit V δηλαδὴ ante τοὺς add. c 8 ὑμᾶς (ante οἴκοι) scripsi, cf. infra v. 12 sq. (Arist. A): ἡμᾶς Vc (Arist. vulg.) ὑμᾶς (post εἰς) cod. Paris. gr. 1951 (Arist. A): ἡμᾶς Vc (Arist. vulg.) 9 ὑμᾶς V: ἡμᾶς c 12 V in marg.:



16 τὸ λαβεῖν κτλ.] Demosth. 18, 119 19. 20 προσήκει προθύμως] Demosth. 1, 1 20 παρὰ Πλάτωνι ἀπὸ τοῦ Συμποσίου] p. 185 C 27 μὲν ἀεὶ τὰ Arist. ταῦτα c 28 Χριστὸς κτλ.] verba sunt Gregorii Nazianzeni

ἰδοὺ Χριστός, Χριστός, Χριστός. ἃ ὁ Ἑρμογένης καὶ ἐπαναφορὰς λέγει. 312
ἐν δὲ τῷ τέλει αἱ ἔσχαται συλλαβαί εἰσιν ὅμοιαι, ὡς τὸ δοξάσατε ἀπαν-
τήσατε καὶ τὸ "τῇ τε πόλει βοηθεῖν οἴεται δεῖν καὶ δίκην ὑπὲρ αὐτοῦ
λαβεῖν, τοῦτο κἀγὼ πειράσομαι ποιεῖν" καὶ τὸ τετοκέναι γεγονέναι, φρον-
τίσιν ἐλπίσιν· ἢ ἡ πτῶσις τοῦ αὐτοῦ, ὡς τὸ [1410 a 33] χαλκοῦς καὶ τὸ
χαλκοῦ· τὸ γὰρ χαλκοῦ πτῶσις

* *

*

1 Ἑρμογένης] περὶ ἰδ. 335, 8 Sp. 3 τῇ τε πόλει κτλ.] Demosth. 22. 1

FRAGMENTVM COMMENTARII IN ARISTOTELIS RHETORICA

ed. Spengelii
(Arist. Ars rhet., vol. I)

15. [1416a28] Ὁ Εὐριπίδης τὸν Ὑγιαίνοντα ἠνάγκασε δοῦναι ἀντί- 155
δοσιν. ἡ δὲ ἀντίδοσις λειτούργημα ἦν ὑπὲρ τῆς πόλεως εἰς τριηραρχίας,
εἰς σιτίσεις, εἰς ἐκστρατείας, εἰς πλωίμους, ἵνα ἀνθ' ἑαυτοῦ δώσει τις
τόσους ἢ τόσους. διὰ τοῦτο τοίνυν κατηγόρησε τοῦ Εὐριπίδου οὗτος ὁ 5
5 Ὑγιαίνων ὡς ἀσεβοῦς γράψαντος ἐν τῷ δράματι Ἱππολύτου τὸ "ἡ γλῶσσ'
ὀμώμοχ', ἡ δὲ φρήν". καὶ γὰρ ἡ θεράπαινα ἡ τροφὸς τῆς Φαίδρας περὶ
τοῦ τῆς δεσποίνης μὲν αὐτῆς μητρυιᾶς δὲ τοῦ νεανίσκου μέλλουσα εἰπεῖν
αὐτῷ περὶ ἔρωτος ὅρκοις αὐτὸν προεκράτησε, μὴ πρός τινα εἰπεῖν τὸ λαλη- 10
θησόμενον· ὁ δὲ ὑπέσχετο ὁρκώσας· εἶτα ὡς ὕστερον εἶπεν ἐκείνη τὸν
10 ἔρωτα πρὸς Ἱππόλυτον, ὁ δὲ ἠγανάκτησεν, ἀνέμνησεν ἐκείνη περὶ τοῦ
ὅρκου· ὁ δ' εἶπεν "ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρήν" ἤτοι 'οὐκ ἐπιώρκησα,
ὦ τροφέ· τότε γὰρ γίνεται ἐπιορκία, ὅταν ὁ νοῦς συμφωνήσῃ καὶ ἡ γλῶττα· 15
ἐγὼ δὲ πρὸ τοῦ μαθεῖν τὴν φρένα μου τὸ λαληθησόμενον συνηρπάγην
κατὰ μόνην τὴν γλῶτταν ὀμόσας· καὶ λοιπὸν οὔτε ὤμοσα, εἰ δὲ καὶ ὤμοσα,
15 οὐκ ἐπιώρκησα'. 'ἀσεβὴς ἄρα ἐστὶν ὁ Εὐριπίδης', φησὶν ὁ Ὑγιαίνων,
'διδάξας ἀπὸ τούτου τοῦ ἰαμβείου ὁρκωμοτεῖν τοὺς ἀνθρώπους'. πάλιν δὲ 20
καὶ οὗτος ὁ Εὐριπίδης οἷον ἀσεβῆ αὐτὸν λέγει, 'διότι', φησίν, 'εἰ καὶ ἠδί-
κησά τι, ἐν Διονυσίοις ἐκρίθην ἂν παρ' αὐτοῖς τοῖς ἐξάρχοις τῆς ἑορτῆς.
νῦν δὲ κακῶς ποιεῖς, ὦ Ὑγιαίνων, κατηγορῶν μου ἐν τοῖς δημοσίοις δικα-
20 στηρίοις· τὰ γὰρ ἐν τῇ τελετῇ τοῦ θεοῦ Διονύσου παρ' αὐτοῖς τοῖς τελετ- 25
άρχαις δικάζονται'.

16. [1417 a 6] Φησὶν Ἡρόδοτος περὶ Αἰγυπτίων ἐν τῷ λόγῳ τῆς
μούσης Εὐτέρπης, ὅτι τὸν Ψαμμήτιχον ἀπεδίδρασκον τὸν βασιλέα αὐτῶν
τινὲς Αἰγύπτιοι· οὗτοι δὲ καὶ παρ' αὐτοῦ | πάλιν ἐκαλοῦντο ἀναμνήσαντος 156

---

5 et 11 ἡ γλῶσσ' κτλ.] Eurip. Hipp. 612 8 fort. περὶ delendum 14 οὔτε V: οὐκ cod. Paris. gr. 1951: οὔτι s 18 ἂν scripsi: ἀλλὰ Vs ("ἀλλὰ abundat, fort. post φησὶν ponendum" s); cf. etiam Anon. in Rhet. p. 238,18 22 Ἡρόδοτος] II 30

αὐτοὺς παίδων καὶ γυναικῶν· τῶν δέ τινα λέγεται δείξαντα τὸ αἰδοῖον 156
εἰπεῖν. ἔνθα ἂν τοῦτο ᾖ, ἔσεσθαι αὐτοῖς καὶ γυναῖκας καὶ τέκνα.

[1417a12] Ὅσα μὴ πραττόμενα ἢ οἰκτον ἤ. ἐὰν γὰρ πράξῃς τινὰ εἰς οἶκτον κινοῦντα τοὺς δικαστάς, πάντως ἐκεῖνα κακά εἰσιν, οἷον εἰ πέπρακταί σοι φόνος ἤ τι ἕτερον τῶν ἀπειρημένων, τότε οἰκτίζονται ἐπὶ σοὶ οἱ ἀκροαταί. σίγα οὖν περὶ τῶν τοιούτων. ἀλλὰ καὶ περὶ τῶν, ὅσα δείνωσιν φέρει ἢ ἀγανάκτησιν ἢ δεικνύουσί σε δεινὸν ῥήτορα· δεινὸς γὰρ οὐχ ὁ φρόνιμος καὶ ἀγαθός, ἀλλ' ὁ πονηρὸς ἄνθρωπος καὶ εὐφυὴς τὰ πράγματα μεταχειρίσασθαι καὶ τοιῶσδε καὶ τοιῶσδε· οἷος ἦν τὰ πολλὰ ὁ Ὀδυσσεύς. περὶ οὗ Κύκλωψ εἶπε πρὸς τοὺς Κύκλωπας Οὖτις με βιάζεται δόλῳ ἠδὲ βίηφι' καὶ εὐθὺς ἀκούσαντες ἐκεῖνοι ἀπηλλάγησαν.

[1417a13] Ἡ Ἀλκίνου παραδιήγησις. μέμνηται τούτου ὁ Πλάτων ἐν τῷ ῑ λόγῳ τῶν Πολιτειῶν, ἔνθα περί τε τοῦ Ἀρμενίου Ἥρος λέγει ἀλλὰ καὶ περὶ τοῦ Ἀριδαίου τοῦ ἐπὶ ἀσπαλάθων κναμπτομένου. περὶ οὗ ὁδῷ προϊόντες ἐροῦμεν.

17. [1418b29] Χρημάτων ἃ ἔλιπον οὐδὲν ἔτι.' τί γάρ. ὅτι ἴσως ὁ πατὴρ ταύτης ἦν ἐν τῇ οἰκείᾳ πατρίδι πλούσιος, ἐπεὶ δὲ πολιορκουμένης τῆς αὐτοῦ πόλεως ἔφυγεν, 'ἃ ἔλιπον', φησίν, 'ἐκεῖ χρήματα. νῦν οὐδέν εἰσι. καὶ μή μοι ἀπιστήσητε· οὐδὲ γὰρ ἀπώμοτόν ἐστιν ὃ λέγω καὶ ἀνέλπιστον, ἀλλ' οἱ σωφρονέστεροι πιστεύουσί μοι.'

18. [1418b39] Περὶ δὲ ἐρωτήσεως. τότε ποιεῖ τὴν ἐρώτησίν σου. ὦ ῥῆτορ, ὅτε εἰς ἀτοπίαν εὐφυῶς κατακυλίσεις τὸν ἐρωτώμενον, ἐκ μιᾶς ἠρωτημένης προτάσεως καὶ ἑτέρας ἢ ὁμολογουμένης ἢ δοθείσης· ὁμολογουμένου γὰρ εἰλημμένου ὡς παρὰ πάντων γινωσκομένου τοῦ ὅτι ὁ Λάμπων ἀτέλεστος ἦν ἢ δοθέντος παρ' αὐτοῦ τοῦ Λάμπωνος ἐρωτηθέντος οὕτω συλλόγισαι· |

οἷδε τὰ μυστήρια ὁ Λάμπων καὶ πάλιν 157

ἐξ ἀνάγκης τετελεσμένος ἀτέλεστος

τὸ συμπέρασμα ἄρα ἄτοπον.

---

2 ἔσεσθαι scripsi ex Herodoto: ἔσται V: ἔσται s σεται καὶ τέκνα καὶ γυναῖκας Herod. 3 ἢ οἶκτον ἢ δείνωσιν φέρει Arist. 10 Οὖτις κτλ.] Hom. ι 408 βιάζεται Vs: κτείνει Hom. ἠδὲ Vs: οὐδὲ Hom. 12 Πλάτων] Reip. X 614 B. 615 E 14 Ἀρδιαῖον — εἶλκον παρὰ τὴν ὁδὸν ἐκτὸς ἐπ' ἀσπαλάθων κνάπτοντες Plat. 16 χρημάτων κτλ.] Archiloch. fr. 74 Bergk. ἃ ἔλιπον Vs Arist. A: δ' ἄελπτον Arist. vulg. οὐθέν ἐστιν Arist. 22 κατακυλίσῃς s 27—29 schema sic dedit s:

τετελεσμένος ἀτέλεστος

τὸ συμπέρασμα ἄρα ἄτοπον

οἷδε τὰ μυστήρια ὁ λάμπων

καὶ πάλιν ὡς ὡμολογημένου εἰλημμένου τοῦ 'οἱ δαίμονες ἢ θεοὶ ἢ παῖδες 157
θεῶν' πλέκε τὸν συλλογισμὸν

θεοὺς εἶναι δοξάζει κατὰ ἀλήθειαν — δαιμόνια δοξάζει, ὡς ὁ Μέλητος εἶπεν — ὁ Σωκράτης.

κατηγορήθη δὲ ὅτι τὰ δαιμόνια σέβεται Σωκράτης, ἐπεὶ πολλάκις ἔλεγεν, ὅτι σύνεστιν αὐτῷ τὸ δαιμόνιον θείᾳ μοίρᾳ παραπεμπόμενον ἐκ παιδὸς αὐτῷ. "ἔστι δὲ τοῦτο φωνή, ἣ ὅταν γένηται αἰεί μοι σημαίνει, ὃ ἂν μέλλω πράττειν, τοῦτο ἀποτρέπειν. προτρέπει δὲ οὐδέποτε. καὶ ἐάν τίς μοι τῶν φίλων ἀνακοινῶται καὶ γένηται ἡ φωνή, ἀποτρέπει." ταῦτα καὶ Πλάτων ἐν Θεάγει. τρίτον εἶδος ἐρωτήσεως τὸ εἰς ἐναντία ἄγον, ὡς τοῦτο· ὁμολογουμένου γὰρ τοῦ τὴν ἀνδρίαν ἀρετὴν εἶναι συνάγεται ἡ ἀνδρία κακία. ἀλλὰ καὶ τὸ εἰς παραδοξολογίαν, ὃ παρὰ τὰς διαφόρους γίνεται αἱρέσεις, ὡς καὶ ἐν τοῖς πολιτικοῖς ἔμαθες. οἱ Στωικοὶ εὐδαίμονα λέγουσι τὸν τὰς Πριαμικὰς συμφορὰς ὑπομένοντα, οἱ δὲ Περιπατητικοὶ τὸν μηδ' ὅλως συμφοραῖς περιπίπτοντα. συλλόγισαι οὖν

δυσδαίμων — Πριαμικαῖς συμφοραῖς περιπεσὼν καὶ ὑπομείνας αὐτάς — ὁ εὐδαίμων

17. [1418 b 27] Ἀνώτερον εἴρηται τὸ ὅπερ Ἰσοκράτης ποιεῖ ἐν τῷ Φιλίππῳ καὶ ἐν τῇ Ἀντιδόσει· ἔγραψε γὰρ μετὰ τὴν γεγονυῖαν εἰρήνην μεταξὺ τοῦ Φιλίππου καὶ τῶν Ἀθηναίων παρ' Αἰσχίνου καὶ Δημοσθένους τῷ Φιλίππῳ ὡς φίλῳ καὶ παραινεῖ αὐτῷ ἀπὸ τοῦ νῦν διαλλάξαντα τὰς Ἑλληνικὰς πόλεις τὰς μεγάλως στασιαζούσας πρὸς ἑαυτὰς στρατεῦσαι κατὰ Περσῶν. εἰ καὶ ὁ Φίλιππος οὐκ ἐπείσθη αὐτῷ, ἀλλ' ὕστερον ὁ υἱὸς αὐτοῦ Ἀλέξανδρος ἀναγνοὺς τὸν λόγον· ἐστράτευσε γὰρ οὗτος κατὰ Δαρείου τοῦ καὶ Ὤχου λεγομένου. ἡ στάσις τοῦ λόγου πραγματικὴ καὶ 158
ἐν τῇ Ἀντιδόσει. περὶ τριηραρχίας ἔμελλε γενέσθαι ἀντίδοσις πρὸς τοὺς συγγενεῖς τοῦ Ἰσοκράτους. ὁ γοῦν ἐχθρὸς τοῦ Ἰσοκράτους ὁ Λυσίμαχος ἔπεισε τοὺς Ἀθηναίους ἀντιδοῦναι παρὰ τοὺς ἄλλους αὐτοῦ συγγενεῖς αὐτὸν τὸν Ἰσοκράτην ὡς πλούσιον κατὰ πολὺ γεγονότα ἀπὸ τῶν μαθητῶν αὐτοῦ καὶ ἐντεῦθεν δυνατὸν εὑρισκόμενον εἰς τὸ λειτούργημα· τοὺς γὰρ ἥττους λόγους ἐδίδαξε τοὺς μαθητὰς κρείττους ποιεῖν· δεινοπαθήσας οὖν ἐφ' οἷς

---

1 ὁμολογουμένου s cf. Plat. Apol. 27 C 4 μέλιτος Vs 6. 7 ἔστι γάρ τι θείᾳ μοίρᾳ παρεπόμενον ἐμοὶ ἐκ παιδὸς ἀρξάμενον δαιμόνιον· ἔστι δὲ κτλ. Plat. 8 τούτου ἀποτροπήν Plat. 9 φωνή, ταὐτὸν τοῦτο ἀποτρέπει Plat. 10 Πλάτων ἐν Θεάγει] p. 128 D 11 ἀνδρείαν et ἀνδρεία s (per comp. V) 12 παραδοξολο V: παραδοξολόγον s: λέγοντα — παράδοξον (A; παράδοξα vulg.) Arist. 17 καὶ V: ἢ s 23 μεγάλως cod. Paris. gr. 1951: με V: μέγα s

τε κατ' αὐτοῦ εἶπεν ὁ ἀντίδικος καὶ ἐπὶ τῇ τριηραρχίᾳ (πολλὰ γὰρ δαπα- 158
νήματα ἀντεδίδου ἐν τῇ ἐπιζημίῳ ταύτῃ ἀρχῇ) τὸν παρόντα γέγραφεν πβ' 12
γεγονὼς ἐτῶν λόγον.

18. [1419 a 25] Καὶ συμπεραινόμενον. ἐὰν ἐρωτήσῃ τις τὸ
5 συμπέρασμα, μὴ ἀποκρίνου τηνικαῦτα 'ναί', ἀλλὰ λέγε μὲν καὶ τὸ 'ναί',
προστίθει δὲ συνάμα καὶ τὴν αἰτίαν, ἵνα μὴ μεγάλως βλαβῇς. καὶ πλέκε 15
τὸν συλλογισμὸν μετὰ τοῦ συμπεράσματος καὶ τῆς αἰτίας οὕτως

πονηρὰ ἔπραξας ἀπεδέξω τοὺς τετρακοσίους καὶ σύ, Σοφόκλεις;

'ναί· οὐ γὰρ ἦν ἄλλα βελτίω.' ὁρᾷς, πῶς εὐθὺς ἐτέθη ἐν τῷ συμπε-
10 ράσματι ἡ αἰτία, ἵνα μὴ καὶ αὐτὸς τιμωρηθῇ, εἰ ταύτην ἐσίγησεν. 20

[1419 a 31] Καὶ ὡς ὁ Λάκων. ἴδε καὶ τὸν τοῦ Λάκωνος
συλλογισμόν, ὅπως ἀφορῶντος τοῦ συμπεράσματος εἰς βλάβην αὐτοῦ ὁ δὲ
ἀπέφησεν αὐτὸ θεὶς τὴν αἰτίαν .

δικαίως ἀπώλοντο τούτοις τοῖς ἀποσφαγεῖ- καὶ σὺ * 25
15 σιν ἐφόροις συνέπραξας ἔφορος ὤν;

'οὐ δῆτα· γνώμῃ γὰρ οἰκείᾳ ἔπραξα καὶ οὐ χρήμασιν, ὡς οὗτοι.'

[1419 a 28] Πρόβουλοι δὲ παρ' Ἀθηναίοις ἦσαν ὥσπερ οἱ παρὰ
Ῥωμαίοις λεγόμενοι ὕπατοι.

[1419 b 1] Ἐὰν μὴ πολὺ περιῇ τοῦ ἀληθοῦς· ὅταν γὰρ ἀληθέ-
20 στερον ᾖ τὸ συμπέρασμα, τότε καὶ χωρὶς αἰτίας τίθει. 30

[1419 b 2] Περὶ δὲ γελοίων. δεῖ πονηρεύεσθαί σε, ὦ ῥήτορ· καὶ
ἐὰν μὲν ὁρᾷς τὸν ἀντίδικόν σου κατὰ σοῦ λέγοντα καὶ γενναῖα καὶ πιθανὰ 159
καὶ ὑπὸ τῶν ἀκροατῶν προσεκτικῶς ἀκουόμενον, τότε κίνησον γέλωτας,
ἵνα συγχεθεῖεν καὶ ὁ λέγων ἅμα καὶ οἱ ἀκούοντες, ὡς ὁ Δημοσθένης
25 ἐποίησε κατ' Αἰσχίνου· εἶπε γὰρ 'ὁ Αἰσχίνης μισθωτός ἐστι καὶ προδότης', 5
οἷον βαρβαρίσας τάχα ἀπὸ περιπετείας τῆς γλώττης, καὶ ὁ δῆμος ἅπας
διωρθώσατο ὥσπερ τὸν λόγον ἀνακαγχάσας καὶ ἀναβοήσας 'ὁ Αἰσχίνης
μισθωτός ἐστι καὶ προδότης', τότε ἀνθυποστρέψας ὁ Δημοσθένης τὸν λόγον
πρὸς Αἰσχίνην εἶπεν 'ἀκούεις, Αἰσχίνη, πῶς ὁ δῆμος ἅπας βοᾷ, ὡς ὁ 10
30 Αἰσχίνης προδότης ἐστὶ καὶ μισθωτός;' εἶτα δὲ πάλιν, εἰ ὁ ἀντίδικός σου
κατὰ σοῦ ἐκίνησε γέλωτα, ἔνδειξαι σὺ σπουδὴν εἰπὼν 'οὐκ ἔστι νῦν καιρὸς
γέλωτος· περὶ σπουδαίων γάρ μοι ὁ λόγος καὶ ἀναγκαίων τῇ πόλει'.

2 ἐπιζημί ω V: ἐπιζημίᾳ s ἀρχῇ ex ἑορτῇ corr. V 7 τῆς V: τὰς s 8 Σοφοκλῆς s 14 post σὺ in fine versus λέ non certo legitur, tum quaedam litterae prorsus evanuerunt, V: σὺ λέγεις s 19 μὴ τὸ πολὺ Arist. 21 δὲ τῶν γελοίων Arist. 24 συγχεθεῖεν (vix συγχεθεῖεν) V: συγχυθεῖεν s Δημοσθένης 18,52; cf. schol. (Anon. in Rhet. p. 232,14. 260,4)

[1419 b 5] Εἴρηται δὲ καὶ ἐν τοῖς Περὶ ποιητικῆς. πόσα εἴδη 159
γελοῖα, ἀλλὰ καὶ ἐν τοῖς Νικομαχείοις Ἠθικοῖς περὶ τὸ τέλος που τοῦ 16
Δ, ἔνθα λέγει περὶ τῆς ἀληθευτικῆς ἕξεως καὶ τῶν ἄκρων αὐτῆς, ἀλαζο-
νείας καὶ εἰρωνείας· ἀληθὴς μὲν γάρ ἐστιν ὁ τὰ ἀληθῆ καὶ οἰκεῖα αὐτῷ
5 ἐπιμαρτυρῶν, ὡς εἰ ὁ πολλοῦ ἄξιος πολλῶν ἑαυτὸν ἀξιοῖ καὶ μεγάλων, 20
ἀλαζὼν δὲ ὁ, εἰ μικρῶν ἄξιος εἴη, μεγάλων ἑαυτὸν ἀξιῶν, εἴρων δὲ ὁ ἀνά-
παλιν ὁ, εἰ μεγάλων ἄξιος εἴη, μικρῶν ἢ οὐδενὸς ἑαυτὸν ἀξιῶν. λέγει δὲ
ἐκεῖ ὁ Ἀριστοτέλης, ὅτι ἔστι καὶ δι' ἀνάπαυσιν ἡμῶν εὑρημένη οἷον
μεσότης, ἡ οὕτως ὀνομαζομένη εὐτραπελία καὶ ἐπιδεξιότης, ἄκρα δὲ αὐτῆς 25
10 τὸ ἄγριον, ἀλλὰ καὶ τὸ βωμολόχον, οἷοι οἱ θυμελικοὶ καὶ ἑαυτοὺς κατὰ
παρειῶν βάλλοντες ἢ κατὰ τῆς ἑαυτῶν πυγῆς λακτίζοντες καὶ ἄσεμνα
πολλὰ καὶ καθ' ἑαυτῶν καὶ κατ' ἄλλων πραγματευόμενοι, ἵνα κινήσωσι
γέλωτα διὰ τῶν τοιῶνδε ψόφων ἢ παροινήσεων ἢ σκωμμάτων. μεσότης 30
δ' ἐν τούτοις ἡ ἐπιδεξιότης, ᾗ χρᾶται καὶ ἡ παλαιὰ κωμῳδία καὶ ὁ ἐλευθέ-
15 ριος καὶ πεπαιδευμένος.

[1419 b 7] Ἔστι δὲ εἰρωνεία. | ἄλλως μεσότητος ἄκρον ἡ εἰρω- 160
νεία κακία τις οὖσα καὶ ἄλλως ἡ βωμολοχία. ἀλλὰ καὶ τὰ τάχα ἀστεῖα,
ὧν μνήμην ποιεῖται ἐν τῇ Περὶ παίδων ἀναγωγῆς ὁ Χαιρωνεὺς Πλού-
ταρχος, βωμολοχίας ἄντικρύς εἰσιν, οὐκ εὐτραπελίας· ἅπαντες γὰρ οἱ 5
20 ταῦτα εἰπόντες καὶ τοῖς, δι' οὓς εἶπον, λύπην προὐξένουν καὶ καθ' ἑαυτῶν
φθόνους.

19. [1419 b 33] Ἀρχὴ μὲν τοῦ ἐπιλόγου ὀφείλει εἶναι τοιαύτη
ὅτι 'ἃ ὑπεσχόμην ἢ ἐν τῷ προοιμίῳ ἢ ἐν τῇ διηγήσει εἰπεῖν κατὰ τοῦδε,
ἀπέδειξα ἐν τοῖς ἀγῶσι διὰ τῶνδε καὶ τῶνδε τῶν ἐπιχειρημάτων'. 10
25 [1419 b 33] καὶ δι' ὅ· 'ταῦτα δὲ εἶπον διὰ τὸ δεῖξαι τὸν Αἰσχίνην
δύσνουν εἶναι κατὰ τῆς πόλεως καὶ μὴ θαρρεῖν αὐτῷ ὑμᾶς'· [1420 a 1]
ἢ ἐξ εἰρωνείας, οἷον 'οὗτος μὲν ὁ ἀντίδικός μου εἶπε τὰ μεγάλα ἐκεῖνα
καὶ θαυμαστὰ οὐδὲν ὄντα, ἐγὼ δὲ τὰ μικρὰ ἐκεῖνα καὶ ἀγεννῆ ἐξ ἐναντίας
τοῖς λαληθεῖσι'. [1420 a 2] καὶ τί ἂν ἐποίει· 'πάντως ἐκενοδόξει καὶ 15
30 ἐβρενθύετο καὶ ἐνεκαυχᾶτο ταῖς ἀποδείξεσιν, εἰ καλῶς εἶπε'· τοῦτο ἕτερος
τόπος τοῦ ἐξ εἰρωνείας ἐπιχειρῆσαι. [1420 b 2] τέλος δὲ τοῦ ἐπιλόγου
τοιοῦτον αὖθις ὀφείλει ὡς ἐπὶ τοῖς ἄνω λόγοις εἰρημένον 'εἴρηκα, παρακατ-
έχετε, μιμνήσκεσθε, φυλάττετε'. 20

14. [1415 a 4] Ὄπισθεν πρὸ δύο ἴσως τετραδίων περὶ ἐπιδεικτικῶν
35 προοιμίων λέγων ἐμνήσθη ὁ Ἀριστοτέλης ἕπους τοῦ Χοιρίλλου. ἡ δὲ
ὑπόθεσις τούτου τοιάδε· δάκνεται ἐπὶ τοῖς ποιητικοῖς ἀνδράσι τοῖς ἀκμά-

---

2 γελοίων Arist. ἐν τοῖς Νικομαχείοις Ἠθικοῖς] Δ 13 p. 1127a13 sq. 8 ἐκεῖ] Eth. Nic. Δ 14 p. 1127b33 sq. 14 χρᾶται V: χρῆται s 16 δὲ Vs: δ' ἡ Arist. 18 ἀναγωγῆς scripsi: ἀναγωγῇ Vs: ἀγωγῆς Plut.: ἀγωγῇ cod. Paris. gr. 1951 18. 19 Πλούταρχος] De lib. educ. p. 10F sq. 6C sq. 29 τί V Arist.: τίς s ἐκενοδόξει ex corr. cod. Ambros. B 3 inf.: ἐκαινοδόξει Vc 34 πρόδυο s τετρα V: τετράδια s 35 Χοιρίλου s (cf. Arist.)

ζουσιν ὡς ἔοικεν ἐπὶ τῶν ἡμερῶν αὐτοῦ καὶ οὕτω χαλεπαίνων ἀποφθέγγεται 160
ταῦτα τὰ ἔπη 25

"ἆ μάκαρ, ὅστις ἔην κεῖνον χρόνον ἴδρις ἀοιδῆς,
μουσάων θεράπων, ὅτ' ἀκήρατος ἦν ἔτι λειμών·
5 νῦν δ' ὅτε πάντα δέδασται, ἔχουσι δὲ πείρατα τέχναι,
ὕστατοι ὥστε δρόμου καταλειπόμεθ' οὐδέ πῃ ἔστι
πάντῃ παπταίνοντα νεοζυγὲς ἅρμα πελάσσαι" 30

καὶ τὰ ἑξῆς. αἰτιᾶται οὖν τὴν σύγχυσιν τῶν ποιητῶν καὶ ἀποδύρεται διὰ τὴν ποιητικὴν κοινωθεῖσαν καὶ συγχυθεῖσαν καὶ ὡσανεὶ μοιρασθεῖσαν παρὰ 10 συγκλύδων καὶ ἀγελαίων καὶ βωμολόχων ἀνδρῶν, οἳ ὡς ἔοικεν ἐθρασύνοντο κατὰ τοῦ ἀνδρός. |

[1415 b 20] "Ἄναξ, ἐρῶ μὲν οὐχ ὅπως τάχους ὅπο 161
δύσπνους ἱκάνω κοῦφον ἐξάρας πόδα."

ὁ Κρέων ἐπεὶ ἔπεμψέ τινα ὥστε ἰδεῖν, εἰ ἄθαπτος ὁ Πολυνείκης, ὁ δὲ 15 εὗρεν ἐκεῖνον τεθαμμένον, ἀνεπτερωμένος τὴν ἀκοὴν ἵστατο. ἔρχεται οὖν ὁ ἄγγελος καὶ ταῦτα τὰ ἰαμβεῖα φησιν 'οὐ τοσοῦτον εἴπω σοι τὸ πῶς ὀλίγα 5 — ὁ δὲ ἐλθὼν δύσπνους εἰμὶ διὰ τὸ πολὺ τάχος —, ἀλλ' ὅτι οὐδέν σοι μέλλω εἰπεῖν ἤτοι οὐχ ὃ ἀποδεκτόν σοι μέλλω ἐρεῖν, ἀλλ' ὃ εἰς λύπην μᾶλλόν σοί ἐστιν. τὸ μαθεῖν σε δηλαδή, ὅτι παρά του τέθαπται Πολυ- 20 νείκης'. ἐν τῷ μεταξὺ δὲ τίθησι καὶ τὴν αἰτίαν τοῦ βραχεῖαν μὲν εἶναι 10 τὴν μεταξὺ ὁδόν, δύσπιστον δὲ αὐτὸν φαίνεσθαι διὰ τὸ ἀργεῖν κατὰ τὴν ὁδὸν καὶ βουλεύεσθαί με καθ' ἑαυτὸν ὑποχωρῆσαι καὶ φυγεῖν, ἵνα μή σοι ἄγγελος γένωμαι τοῦ λυπηροῦ· εἶτά φησι 'χοὕτως ὁδὸς βραχεῖα γίνεται 15 μακρά· τέλος δὲ ἐνίκησέ με ὁ λογισμὸς τὸ ἐλθεῖν εἰς σὲ καὶ παθεῖν με 25 τὸ μόρσιμον. διὰ γοῦν τὸ βραδύνειν με πολλὰ διὰ τὴν ἀνέλιξιν τῶν λογισμῶν ὕστερον ὀξέως ἐβάδισα καὶ διὰ τοῦτο πλήρης ἱδρώτων γέγονα'. τὸ δὲ 'τί φροιμιάζῃ' τοῦ Κρέοντός ἐστι λέγοντος 'τί προφέρεις τὰ κύκλῳ 20 καὶ τὰ ἔξω τῆς ἀποστολῆς; τάχιον οὖν εἰπὲ τά, ἐφ' οἷς ἀπεστάλης, καὶ μὴ φοβοῦ.'

30 16. [1417 a 13] Φησὶν ὁ Πλάτων ἐν τῷ δεκάτῳ τῶν Πολιτειῶν "ἀλλ' οὐ μέντοι σοι, ἦν δ' ἐγώ, Ἀλκίνου γε ἀπόλογον ἐρῶ, ἀλλ' ἀλκίμου μὲν ἀνδρός, Ἡρὸς τοῦ Ἀρμενίου, τὸ γένος Παμφύλου, ὅς ποτε ἐν πολέμῳ 25 τελευτήσας ἀναιρεθέντων δεκαταίων τῶν νεκρῶν ἤδη διεφθαρμένων ὑγιὴς μὲν ἀνῃρέθη, κομισθεὶς δ' οἴκαδε μέλλων θάπτεσθαι δωδεκαταῖος ἐπὶ τῇ 35 πυρᾷ κείμενος ἀνεβίω." οὕτως ὡς παροιμίᾳ τινὶ ὁ Πλάτων χρῆται τῷ ἀπολόγῳ Ἀλκίνου. |

3 κεῖνον Victorius: ἐκεῖνον Vs 10 οἳ V: οἷον s 12 ἄναξ κτλ.] Soph. Ant. 223 τάχους Vs Soph.: σπουδῆς Arist. 17 haec vix sana sunt 23 χοὕτως κτλ.] Soph. Ant. 232 27 τί φροιμιάζει Eurip. Iphig. Taur. 1162 30 Πλάτων] Reip. X 614 B 31 μέντοι V Plat.: μήν τι s ἀλκίμου scripsi ex Platone: ἀλκίνου Vs 33 utrum V praebeat ἀναιρεθέντων et 34 ἀνηρέθη an ἀναιρηθέντων et ἀνηρήθη, dubium est νεκρῶν V Plat.: ἀνδρῶν s

14. [1415 b 21] Τὸ δὲ 'τί φροιμιάζῃ' ἐν τισὶ τῶν ἀντιγράφων 162
οὐ κεῖται.

16. [1417 a 19] Ἐν οἷς ἀνώτερον περὶ προδιηγήσεως ἔλεγε καὶ
ἤθους, εἶπεν, ὅτι οὐκ ἔχουσι τὰ μαθηματικὰ ἦθος, ὅτι οὐδὲ προαί-
5 ρεσιν οὐδὲ τὸ προαιρετὸν τέλος. φησὶν ἐν τῷ τρίτῳ τῶν Ἠθικῶν, ὅτι 5
τὸ προαιρετὸν βουλευτόν ἐστι καὶ ἐφ' ἡμῖν, οὐδεὶς δὲ βουλεύεται περὶ διαμέτρου ἢ κύκλου οὐδὲ περὶ τῶν καθ' εἱρμὸν γινομένων οἷον τροπῆς ἰσημερίας, ἀλλὰ περὶ τῶν ἐφ' ἡμῖν πρακτῶν. "ὄντος δὲ τοῦ προαιρετοῦ
βουλευτοῦ ὀρεκτοῦ τῶν ἐφ' ἡμῖν, καὶ ἡ προαίρεσις ἂν εἴη βουλευτικὴ 10
10 ὄρεξις τῶν ἐφ' ἡμῖν." ἡ δὲ μαθηματικὴ ζήτησιν μὲν ἔχει, οὐ μὴν βούλευσιν· πᾶσα μὲν γὰρ βούλευσις ζήτησις, οὐ μὴν δὲ πᾶσα ζήτησις βούλευσις· καθολικωτέρα γὰρ ἡ ζήτησις.

[1417 a 13] Ὃν ὁ Πλάτων λέγει ἐν τῷ μύθῳ τῆς νεκυίας αὐτοῦ
περὶ τῆς ἀναβιώσεως τοῦ Ἡρὸς καὶ περὶ τῶν ἐν Ἅιδου κολαστηρίων ἀπό- 15
15 λογον τοῦ Ὀδυσσέως πρὸς Ἀλκίνοον τὸν Φαίακα, τοῦτον ὧδε ὁ Ἀριστοτέλης λέγει παραδιήγησιν· ἠρώτα γὰρ ἐν Ἅιδου ὁ Ὀδυσσεὺς τὸν Τειρεσίαν
περὶ τῶν οἴκοι καὶ τὴν ἑαυτοῦ μητέρα περὶ Πηνελόπης καὶ τοῦ υἱοῦ καὶ 20
εἰ ἔγημέ τις αὐτοῦ τὴν γυναῖκα ἢ οὔ, καὶ ἐν ὀλίγοις ἔπεσιν Ὅμηρος τὴν
τοιαύτην παραδιήγησιν γράφει. φησὶν ὁ Πρόκλος 'κατὰ δή τινα ζῆλον τῶν
20 παρ' Ὁμήρῳ νεκυιῶν μετάγεται καὶ ὁ Πλάτων ἐπὶ μύθους, ἐν οἷς ὁ
ποιητὴς ἀφηγούμενον ποιεῖ τὸν Ὀδυσσέα ⟨τὰ⟩ ἐν Ἅιδου θεάματα πρὸς τὸν 25
Ἀλκίνουν'.

---

1 v. supra p. 328,27 4 οἱ μαθηματικοὶ λόγοι ἤθη Arist. 5 ἐν τῷ τρίτῳ τῶν Ἠθικῶν] Eth. Nic. Γ 4—5 6 καὶ ἐφ' V: παρ' s οὐδεὶς κτλ.] Eth. Nic. Γ 5 p. 1112a21 sq. 8 ὄντος κτλ.] Eth. Nic. Γ 5 p. 1113a9 9 τῶν scripsi ex Aristotele: τοῦ Vs 10 μαθηματικὴ] cf. Eth. Nic. Γ 5 p. 1112b22 13 Πλάτων] Reip. X 614 B (v. supra p. 324,12. 328,30) 16 ἠρώτα κτλ.] cf. Hom. λ 90 sq. 18 Ὅμηρος] ψ 310—341 19 Πρόκλος] similis locus est Procl. in Plat. Remp. p. 61,5 sq. Schoell. (p. 16,9 sq. Pitra) ὁ μὲν οὖν Ἀλκίνου ἀπόλογος δηλοῖ τὴν ἐν Ἀλκίνου τοῦ Ὀδυσσέως νέκυιαν, οὗ δὴ τὰ ἐν Ἅιδου διηγεῖται θεάματα καὶ ὅσα εἶδεν κτλ. 21 τὰ inserui, cf. Procl. θεάματα s Paris. gr. 1869: τα deletum (an casu?) V

FRAGMENTVM PARAPHRASIS IN ARISTOTELIS RHETORICA

ΠΕΡΙ ΕΡΩΤΗΣΕΩΣ

ed. Spengelii
(Arist. Ars rhet., vol. I)

18. Ἐρώτα δὲ αὐτὸν τετραχῶς· τοσοῦτοι γάρ εἰσι τῶν ἐρωτήσεων 147
οἱ τρόποι· πολλάκις γὰρ αὗται κατὰ καιρὸν † μὴ γινόμεναι καὶ ὤνησαν
καὶ ἔβλαψαν. εἰσὶ δὲ οἱ τρόποι οἵδε· τὸ εἰς ἄτοπον ἀπάγειν, τὸ τὰ ὁμο-
5 λογούμενα ἐρωτᾶν, καὶ τὸ ἐρωτᾶν τότε, ὅταν μέλλῃς εἰς τοὐναντίον περι- 5
τρέπειν, καὶ τὸ ἀληθέσι ψευδῆ συμπλέκοντα πυνθάνεσθαι.

[1419 a 1] Εἰς μὲν οὖν τὸ ἄτοπον ἐμβάλλεις τὸν ἀντίδικον ἐρωτήσας
οὕτως, ὡς Περικλῆς Λάμπωνα ἤρετο 'τί ταῦτά ἐστιν' εἰπὼν 'τὰ δρώμενα 10
ἐν τοῖς μυστηρίοις;' εἰπόντος δὲ τοῦ Λάμπωνος ὡς 'οὐχ οἷόν τε ταῦτα
10 τοῖς ἀμυήτοις ἐξαγγέλλειν', ἀνήρετο ὁ Περικλῆς, εἰ αὐτὸς οἶδεν· † οὐ
συμφήσαντος δὲ τοῦ Λάμπωνος ἐν τοῖς 'οὐχ οἷόν τε ταυτὶ τοῖς ἀμυήτοις
ἐξαγγέλλειν', 'καὶ πῶς' εἶπεν 'ἀτέλεστος ὤν;'

[a 5] Ὁμολογούμενα δὲ ἐρωτήσεις, εἰ τὰ ἐξ ἀνάγκης δοθησόμενα 15
ὑπὸ τῶν ἀντιδίκων πυνθάνοιο, καὶ ὧν ῥηθέντων ἐπὶ τὸ συμπέρασμα εὐθὺς
15 † οὐ χωρήσεις, τὰ ὁμολογούμενα εὐθὺς παραλιπών, ὡς Πλάτων ἐν τῇ
Σωκράτους ἀπολογίᾳ· λεγόντων γὰρ τῶν κατηγόρων, ὡς Σωκράτης θεοὺς
οὐ νομίζει καὶ καινὰ δαιμόνια εἰσάγει, ἀνήρετο αὐτοὺς περὶ τῶν δαιμονίων. 20

2 ἐρώτα Séguier s: ἐρωτᾶι P 3 γὰρ αὗται Ps: δὲ αὗταὶ Schneidewin ἢ post καιρὸν add. Séguier s γινόμεναι P: γενόμεναι s (καιρὸν γενόμεναι ἢ μὴ γενόμεναι malit Spengel; melius Séguier κατὰ καιρὸν ἢ μὴ, scil. κατὰ καιρόν) 6 ψευδῆ P: ψεύδη s 7 ἐμβάλλεις P: ἐμβαλεῖς s 8 ἐπήρετο Arist. 9 ταῦτα P: ταυτὶ s 10 ἤρετο Arist. οὐ om. Arist. (φάσκοντος δὲ), del. Schneidewin s 11 ἐν—ἐξαγγέλλειν praeter necessitatem del. Schneidewin, qui notam marginalem (ἐν ἐνίοις οὐχ οἷόν κτλ.) irrepsisse putat, et Spengel, qui verba falso repetita esse dicit 14 καὶ del. Finckh 15 οὐ del. Schneidewin s (cf. Arist.) εὐθὺς del. Schneidewin s; fort. iungenda sunt ὁμολογούμενα εὐθὺς, ut infra p. 331,2. 3 τὸ αὐτόθεν ὁμολογούμενον Πλάτων ἐν τῇ Σωκράτους ἀπολογίᾳ] p. 27 C 16 λεγόντων, λε margine abscisso pericerunt, P θεοὺς Arist. s: θεὰς, ut mihi videtur, P 17 δαιμονίων, δα absciss., P: δαιμόνων Finckh s, cf. Arist.

εἰ μὴ θεοὺς ἢ θεῶν παῖδας ἡγοῦνται αὐτούς· ὡς δὲ συνέφησαν, 'ἔστι δέ, 147
ὅστις θεοὺς οὐ νομίζει θεῶν παῖδας νομίζων·' παρέλιπε γὰρ τὸ αὐτόθεν 148
ὁμολογούμενον, ὅτι ὁ δαιμόνια νομίζων θεοὺς νομίζει.

[a 12] Εἰς τὸ ἐναντίον δὲ περιστήσεις, ὡς Λυσίας ἐν τῷ Ἐρατοσθέ-
5 νους· ἐπειδὴ γὰρ ὡμολόγει μὲν ἀπάγειν τὸν ἀδελφὸν αὐτοῦ Πολέμαρχον 5
διὰ τὸ προστάξαι τοὺς τριάκοντα, ὧν εἷς ἦν καὶ αὐτός, ἐρωτηθεὶς δέ, εἰ
παρῆν καὶ αὐτὸς προτεθείσης περὶ αὐτοῦ βουλῆς καὶ εἰ ἀντέλεγεν ἢ ἐπῄνει
τὰ δοκοῦντα τοῖς ἄλλοις, ὡς δὲ ἔφη καὶ παρεῖναι καὶ ἀντιλέγειν τοῖς
ἄλλοις, προσηρώτησεν, εἰ ἄδικα πάσχειν ἡγεῖτο αὐτόν, καὶ συγχωρήσαντος 10
10 ἐπήγαγεν "εἶτα, ὦ σχετλιώτατε πάντων, ἀντέλεγες μέν, ἵνα σώσειας, συνε-
λάμβανες δέ, ἵνα ἀποκτείνῃς;"

[a 13] Τελευταῖος δὲ τοῦ ἐρωτᾶν καιρός, ὅταν μὴ ἐγχωρῇ λῦσαι τὴν
ἐρώτησιν † σοφιστικῶς ἀποκρινόμενον· οἷον 'τὰ μὲν ἔστι, τὰ δὲ οὔ' ἢ 'πῇ 15
μὲν ἀληθὲς τὸ λεγόμενον, πῇ δὲ ψεῦδός ἐστι'· πρὸς γὰρ τοὺς οὕτως ἀπο-
15 κριναμένους οἱ ἀκροώμενοι θορυβοῦσιν ὡς ἀποροῦντας καὶ οὐκ ἔχοντας
ἀντειπεῖν.

[a 16] Δεῖ δὲ παρὰ ταῦτα μηδένα ἄλλον τρόπον ἐρωτήσεων τῶν 20
πρὸς τὸν ἀντίδικον ἐπινοεῖν· ἐνστάντος γὰρ τοῦ ἐρωτωμένου πρὸς ὁτιοῦν,
οὐ πρὸς ὁτιοῦν ἡττῆσθαι δόξει.

20 [a 19] Δεῖ δὲ † ὁμοίως ἐρωτᾶν μηδὲ διὰ πολλῶν ἐρωτημάτων περαι-
οῦσθαι τὰ ἐνθυμήματα· ἀσθενὴς γὰρ ὁ ἀκροατής.

Φεύγοντος τοῦ ἐρωτωμένου τὴν ἀπόκρισιν καὶ ἀνάγκαζε αὐτὸν
ἀποκρίνεσθαι· οἵ τε γὰρ φεύγοντες τὰς ἀποκρίσεις ἐγνωκέναι δοκοῦσι 25

---

2 αὐτό P 4 Λυσίας ἐν τῷ Ἐρατοσθένους] 25—26 κατ' post τῷ add. Séguier
5 ἀπάγειν P (cf. infra v. 8 παρεῖναι, ἀντιλέγειν): ἀπαγαγεῖν Séguier s (ἀπήγαγες Lysias)
6 τοὺς Séguier s: τοῖς P (τὰ ὑπὸ τῶν ἀρχόντων προσταχθέντα δεδιὼς ἐποίουν Lysias)
8 δὲ P: del. Schneidewin s 9 προσηρώτησεν P: προσηρώτα s αὐτόν s (ἡμᾶς Lysias): αὐτόθεν P 10 μὲν Lysias s: ἐν non cognovi in P 11 ἀποκτείνῃς P et Lysiae cod. Palat.: ἀποκτείνοις s 12 ἐρωτᾶν Schneidewin s: ἔρωτ P 12. 13 τὴν ἐ| finis versus |, tum cr. VI litt. evan., tum σοφιστικῶς P: τὴν ἐρώτησιν, ἀλλ' ἢ σοφιστικῶς Schneidewin ex Aristotele, s: εἰ μὴ pro ἀλλ' ἢ add. Séguier (ὅταν μὴ ἐνῇ ἀλλ' ἢ σοφιστικῶς ἀποκρινάμενον λῦσαι Arist.) 13 ἀποκρινόμενον P: ἀποκρινάμενον s Arist. δὲ P: δ' s 14 οὕτως P: οὕτω s 17 δεῖ, εῖ man. post. in charta agglutinata, P 18 ἐρωτωμένου (ου man. post.) πρὸς (π cognoscitur et pars litterae ρ) P πρὸς ὁτιοῦν del. Bake 19 οὐ πρὸς ὁτιοῦν del. s *si enim institerit, obtinere videtur* Arist. Tr.: ἐὰν γὰρ ἐνστῇ, κεκρατῆσθαι δοκεῖ Arist. cet. 20 ὁμοίως Ps: συντόμως Schneidewin: συντόνως Bake ἐρωτημάτων Finckh: ῥημάτων Ps περαίνεσθαι Finckh cf. p. 332,17 ἐρωτήσεων συμπεραίνειν 21 ἐνθυμήματα scripsi ex Aristotele (infra p. 332,17 τὸν συλλογισμόν): ἐν, tum cr. IV (plures utique quam tres) litterae evanuerunt, | finis versus |ματα P manu priore, manu posteriore in lacuna scripta sunt σήμα (legitur igitur ἐνοήμα|ματα): ἐννοήματα s 22 ἐρωτωμένου Schneidewin s: ἐρωτουμένου P καὶ certo legitur in P: om. s: μὴ Finckh ἀνάγκαζε Finckh: ἀναγκάζει Ps 23 τε γὰρ man. post. P ἐγνωκέναι Ps: ἀπεγνωκέναι Bake

καὶ τάχα ἂν εὕροιέν τινα διάλογον βιασθέντες ἀπαντῆσαι πρὸς τὴν 148
ἀπόκρισιν.

Ἔστι δὲ ἄλλος τρόπος ἔξω τῶν πρὸς τὸν ἀντίδικον τοῦ | ἐρωτᾶν †· 149
τοῦτο δὲ ποιεῖν δεῖ, ὅταν ἴδωμεν τοὺς δικαστὰς συμπεριφερομένους ἡμῖν
5 καὶ ἃ ἡμεῖς ἂν βουληθείημεν ἀποκριναμένους πυνθάνεσθαι καὶ τούτων·
τοῦτον γὰρ τὸν τρόπον ἔστιν ἄνευ κινδύνου πάντα συλλογίζεσθαι· ὡς γὰρ 5
αὐτοῦ τοῦ πράγματος ἔχοντος τἀληθὲς οἱ ἀκούοντες καὶ τοῖς ἐξ ἐναντίας
† τοῖς ἐρωτῶσι προσομολογεῖν.

Δεῖ δὲ καὶ τὰς αἰτίας ἐπιφέρειν ταῖς ἐρωτήσεσι [καὶ ταῖς ἀποκρίσε-
10 σιν], αἷς αὐτο * ἐρωτῶμεν, οἷον 'εἰ δέ τίς σε ἔροιτο· τί δήποτε; τοῦτο
γὰρ εὔλογον ἢ φύσιν ἔχον ἐστὶ † τοῦ ἀποκρίνασθαι ἢ τοῦ εὐνοϊκῶς ἔχον- 10
τος τῇ πόλει· καὶ γὰρ ἥδὺ καὶ ἀκριβέστερον οὕτω φαίνεται.' χρήσῃ δὲ
καὶ τούτῳ τῷ ὀργάνῳ πανταχοῦ.

Εἰσὶν οὖν τῶν ἐρωτήσεων οὗτοι οἱ τρόποι· τὸ τὰ ὁμολογούμενα
15 ἐρωτᾶν, τὸ εἰς ἄτοπον ἐμβαλεῖν τὸν ἐρωτώμενον, καὶ τὸ ἐρωτᾶν τότε, 15
ὅτε εἰς τοὐναντίον μέλλῃς περιστήσειν, καὶ ἀληθέσι ψευδῆ συμπλέκοντα
ἐρωτᾶν, καὶ μὴ διὰ πολλῶν ἐρωτήσεων συμπεραίνειν τὸν συλλογισμόν, καὶ
αὐτὸν ἐρωτᾶν, ὅταν ἴδωμεν καὶ τοὺς δικαστὰς συμπεριφερομένους ἡμῖν, καὶ
τὸ μετὰ προσθέσεως τῆς αἰτίας ἐρωτᾶν. 20

20 ΠΕΡΙ ΑΠΟΚΡΙΣΕΩΣ.

[1419 a 19] Τρόποι δὲ αὐτῶν ἢ διώσασθαι τὰς ἀποκρίσεις τέλεον ἢ
φθάσαντες αὐτοὺς ἐρωτήσομεν· εἰ ἄρα δὲ ἀποκρίνα|σθαι δεῖ, τὴν αἰτίαν 150

---

1 διάλογον Ps: λόγον Finck βιασθέντες, τες per ligat. man. post., P 1. 2 τὴν ἀπό| finis versus |κρισιν, τὴν ἀπό man. post., P 3. 4 alius ille interrogandi modus necessario ante pronomen τοῦτο iam commemoratus erat; fort. ἄλλος τρόπος — τοῦ ἐρωτᾶν ⟨τὸ τοὺς δικαστὰς ἐρωτᾶν⟩· τοῦτο aut ἄλλος τρόπος — τὸ ἐρωτᾶν ⟨τοὺς δικαστάς⟩· τοῦτο κτλ.; ceterum cf. infra v. 18 4 δικα| fin. vers. |στὰς, δικα man. post., P συμπεριφερομένους Séguier s (cf. v. 18): συμφέρον P 5 ἀποκριναμένους P: ἀποκρινομένους s ("fort. ἀποκρινουμένους" s) 7. 8 καὶ τοῖς ἐρωτῶσι προσομολογοῦσιν coni. Schneidewin 8 τοῖς del. Bake s προσομολογεῖν P: προσομολογοῦσιν Schneidewin s 9 ἐρωτήσεσιν Schneidewin s καὶ ταῖς ἀποκρίσεσιν del. Schneidewin s (cf. p. 333, 12. 13) 10 αὐτο ' ἐρωτῶμεν P manu priore, ι μὲν suppleta man. post. (unde αὐτοὶ μὲν s); sed μὲν manu priore vix scriptum erat; utrum αὐτοὶ an αὐτοὺς scriptum fuerit, dubium est 11 τοῦ P: del. s: fort. τὸ ἀποκρίνασθαι P: ἀποκρίνεσθαι s 12 φαίνεται P: φαίνεσθαι s 13 καὶ del. s 15 ἐμβαλεῖν P: ἐμβάλλειν s 16 ὅτε Ps: fort. ὅταν scrib. ex p. 330,5 μέλλῃς P: μέλλεις Schneidewin s ψευδῆ P: ψεύδη s 18 αὐτὸν P: exspecto τοὺς δικαστὰς: ἑαυτὸν Bake: "num αὐ τὸ?" s cf. supra v. 4 συμπεριφερομένους ἡ|fin. vers.|μῖν, ένους ἡ man. post., P 21 δὲ P: δ' s: τέτταρες Schneidewin διωσόμεθα Schneidewin (cf. p. 333,6) 22 "scrib. εἰ δ' ἄρα" s δεῖ man. post. P 22 sq. cf. Arist. ἀποκρίνασθαι δὲ δεῖ πρὸς μὲν τὰ ἀμφίβολα διαιροῦντα λόγῳ καὶ μὴ συντόμως, πρὸς δὲ τὰ δοκοῦντα ἐναντία τὴν λύσιν φέροντα εὐθὺς τῇ ἀποκρίσει, πρὶν ἐπερωτῆσαι τὸ ἐπιὸν ἢ συλλογίσασθαι

